ΚΛΑΥΔΙΟΥ ΓΑΛΗΝΟΥ

ΑΠΑΝΤΑ.

CLAVDII GALENI

OPERA OMNIA.

Galenus

EDITIONEM CVRAVIT

D. CAROLVS GOTTLOB KÜHN

PROFESSOR PHYSIOLOGIAE ET PATHOLOGIAE IN LITERARVM VNIVERSITATE LIPSIENSI PVBLICVS ORDINARIVS ETC.

TOMVS IX.

LIPSIAE

PROSTAT IN OFFICINA LIBRARIA CAR. CNOBLOCHII

1825.

MEDICORVM GRAECORVM

OPERA

QVAE EXSTANT.

EDITIONEM CVRAVIT

D. CAROLVS GOTTLOB KÜHN

PROFESSOR PHYSIOLOGIAE ET PATHOLOGIAE IN LITERARVM VNIVERSITATE LIPSIENSI PVBLICVS ORDINARIVS ETC.

VOLVMEN IX.

CONTINENS

CLAVDII GALENI T. IX.

LIPSIAE

PROSTAT IN OFFICINA LIBRARIA CAR. CNOBLOCHII

1825.

CONTENTA TOMI IX.

PRAEFATIO.

Pauca quaedam huic volumini operum GALENI praefanda esse putavi. Etenim cum primum editionis meae prodiret, spem emtoribus feci, ut illa reliquis omnibus auctior foret. Quam quidem spem haud temere motam fuisse, documento erit hoc, quod nunc prodit, volumen. Continet enim illud librorum sedecim, quos GALENUS de differentiis, dignotione, caussis et praesagiis pulsuum composuerat, compendium, graece hucusque nondum editum.

Scriptum autem talem librum a GALENO fuisse, patet non solum e cap. 5. *de libris propriis* (to. IV. p. 366. ed. Bas.) *γέγονε δ' οὖν*

μοι καὶ ἄλλο τι βιβλίον ἓν, ἐν ᾧ τὴν σύνοψιν ἐποιησάμην τῶν ἑκκαίδεκα βιβλίων, ſed, ſe in animo habere, ejusmodi librum componere, declaravit quoque idem auctor in *arte* c. 37. (to. I. p. 410. ed. Lipſ.) de indice ſeu titulo libri adhuc anceps dubiusque: ἐννοῶ δὲ καὶ ἄλλο τι ποιῆσαι βιβλίον ἓν οἷον ἐπιτομὴν ἁπάντων, ὅπερ ἤτοι τέχνην περὶ σφυγμῶν, ἢ σύνοψιν ἐπιγράφω. Hujus vero libri, qui nunc primum graece prodit, auctorem Galenum vere fuiſſe, facile ex orationis ſimilitudine apparet, de qua quotusquisque ſcripta ſummi hujus medici attente perlegerit, ne minimum quidem poterit dubitare. Dein quoque omnia, quae in hac ſynopſi de pulſuum differentiis, dignotione, cauſſis et praeſagiis GALENUS tradidit, accuratiſſime cum iis conveniunt, quae in reliquis libris de eodem argumento fuſius expoſita erant. Denique cauſſae, quae GALENUM ad hanc ſynopſin edendam adduxerunt, maxime probabiles ſunt et ad perſuadendum aptae.

Partim enim eos, qui ſedecim de pulſibus libros in compendium redigere promiſerant, a tali conatu abſterrere, partim medicinae ſtudioſis offerre librum cupiebat, qui graviſſimum illud de pulſu argumentum ita pertractaret, ut modum inter verboſam prolixitatem librorum XVI. et inter ieiunam quodammodo brevitatem, qua doctrinam hanc in iſagoge expoſuerat, medium quaſi teneret. Poſteriorem cauſſam declarat ipſe GALENUS c. 11. hujus libri: *λεχθήσεται δὲ καὶ νῦν τὰ κατ᾽ αὐτὸ χάριν τοῦ μηδὲν ἐλλείπειν τῶν ἀναγκαίων τῇ νῦν ἐνεστώσῃ πραγματείᾳ, ἀλλ᾽ ἔχειν τοὺς φιλοπονεῖν βουλομένους ἐν ἐλαχίστῳ τὰ μὲν πρῶτα καὶ ἀναγκαιότατα κατὰ τὴν εἰσαγωγὴν, ἐν διεξόδῳ δὲ τελεωτάτῃ τὰ κατὰ τὴν μεγάλην πραγματείαν, ἐν τῷ μέσῳ δ᾽ ἀμφοῖν τὰ νῦν λεγόμενα.*

Cujus quidem libri verſio latina tantum, ab AUGUSTINO GADALDINO facta, hactenus innotuit. Mihi autem contigit eſſe tam felici, ut ſumma benivolentia OTTON. DIET. BLOCHII,

qui bibliothecae academicae Hafnienſi praeeſt, apographum libri e codice, qui in illa bibliotheca adſervatur, accuratiſſime factum, nanciſcerer. De quo inſigni favoris erga me documento, cujus memoria nunquam animo excidet meo, viro eruditiſſimo et humaniſſimo publice ſummas iterum gratias agendi, hac libenter utor opportunitate. Codex ille, quem in fine mutilum eſſe, mecum omnes, qui talia curant, dolebunt, ſignatur in Catal. bibl. illius, *No. 14. in Fol. e donatione variorum.* Dabam Lipſ. ipſis Calend. Decembr. A. R. S. CIϽIϽCCCXXIV.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΤΩΝ ΕΝ ΤΟΙΣ ΣΦΥΓΜΟΙΣ ΑΙΤΙΩΝ ΒΙΒΛΙΟΝ Α.

Ed. Chart. to. VIII. [p. 167.] Ed. Bas. to. III. (p. 84.)

Κεφ. α'. Τῶν τοὺς σφυγμοὺς τρεπόντων αἰτίων τὰ μὲν τῆς γενέσεως αὐτῶν ἐστιν αἴτια, τὰ δὲ τῆς ἀλλοιώσεως μόνον· τῆς γενέσεως μὲν ἥ τε χρεία δι' ἣν γίνονται καὶ ἡ δύναμις ὑφ' ἧς καὶ τὰ ὄργανα δι' ὧν διατείνονται, τῆς δ' ἀλλοιώσεως τὰ λοιπὰ πάντα τά τε προηγούμενα καλούμενα καὶ τὰ τούτων ἔτι προκατάρχοντα. τριττὸν γὰρ δὴ τὸ γένος τῶν αἰτίων οὐκ ἐν σφυγμοῖς μόνον, ἀλλὰ κἀν τοῖς ἄλλοις ἅπασιν, ἓν μὲν τὸ πρῶτόν τε καὶ κυριώτατον, ὃ δὴ καὶ

GALENI DE CAVSIS PVLSVVM LIBER I

Cap. I. Causarum quae pulsus variant aliae generationis eorum sunt causae, aliae tantum alterationis. Generationis tum usus cujus gratia fiunt tum facultas a qua, tum instrumenta per quae distenduntur: alterationis caeterae omnes et quae antecedentes appellantur et quae his succedunt externae. Nam triplex quidem est causarum genus non in pulsibus modo, sed et in aliis cunctis: unum quod primum est et praecipuum, quod quidem etiam

συνεκτικὸν καλοῦσιν, ἀπὸ τοῦ συνέχειν αὐτῶν τὴν οὐσίαν ὠνομασμένον, ὅπερ, ὡς ἔμπροσθεν ἐῤῥέθη, γενέσεως αἴτιον. τὰ δ' ἄλλα δύο γένη τοῦ μὲν γίνεσθαι τοὺς σφυγμοὺς ἀναίτια, τοῦ δὲ γεγενημένους τρέπειν αἴτια. πάχος γοῦν χυμῶν, ἢ πλῆθος, ἢ γλισχρότης, ἢ δριμύτης ποιεῖν μὲν οὐ δύνανται σφυγμοὺς, ἀλλοιοῦν δὲ δύνανται. οὕτω δὲ καὶ ψυχρὸν λουτρὸν, ἢ θερμὸν, καὶ χειμὼν καὶ θέρος καὶ ὅλως κρύος καὶ θάλπος, ἀλλοιώσεως μὲν σφυγμῶν αἴτια, γεννήσεως δ' οὐκ ἔστι. ταυτὶ μὲν οὖν τὰ νῦν εἰρημένα προκαταρκτικὰ λέγεται, τὰ δ' ἔτι τούτων ἔμπροσθεν τὰ κατὰ τοὺς χυμοὺς προηγούμενα. καθόλου γὰρ εἰπεῖν ὅσα μὲν ἔξωθεν ὄντα τοῦ σώματος ἀλλοιοῖ τι τῶν κατ' αὐτὸ προκαταρκτικὰ λέγεται, προκατάρχοντά γε δὴ τῶν ἐν τῷ σώματι διαθέσεων. αὗται δὲ αἱ διαθέσεις ὅταν τὰ συνεκτικὰ τρέπωσι, προηγούμεναι γίνονται αὐτῶν αἰτίαι. φέρε [168] γὰρ ὑπὸ προσπεσόντος ἔξωθεν ψυχροῦ πυκνωθῆναι μὲν τὸ δέρμα, διὰ δὲ τὴν τούτου πύκνωσιν ἐπισχεθῆναι τὴν κατὰ φύσιν διαπνοὴν, ἐπισχεθεῖσαν δ' ἀθροισθῆναι, κἄπειθ' οὕτως ἐξάψαι πυρετὸν, ἐφ' ᾧ τὴν χρείαν

continens appellant, cujus inde appellatio deducta eſt, quod illorum eſſentiam contineat, quae, ut modo diximus, generationis eſt cauſa: reliqua duo genera ut fiant pulſus in cauſa non ſunt, ſed cauſa ſunt illorum, qui jam geniti ſunt mutationis. Nam humorum craſſities, abundantia, lentor, acrimonia efficere non valent pulſus, alterare valent; ita frigidum balneum vel calidum et hiems aeſtasque, breviter frigus et calor alterandorum pulſuum ſunt, non generandorum cauſae. Ac quas nunc commemoravimus, externae appellantur, quae has etiam praecedunt quae quidem in humoribus ſunt praecedentes. Breviter ſic habeto: quaecunque extra corpus poſitae quicquam in corpore alterant externae vocantur, quae has etiam antecedunt antecedentes cauſae corporis affectuum. Hi affectus ubi continentes moveant, evadunt antecedentes illarum cauſae. Denſetur enim ab occurſu externi frigoris cutis, cujus denſitas naturalem halitus digeſtionem impediat, impeditus ille coacervetur, tandem accendat febrem, ob quam uſus pulſuum mute-

τῶν σφυγμῶν ἀλλοιωθῆναι, καὶ διὰ τοῦτο καὶ τοὺς σφυγμοὺς, ἐνταῦθα προκαταρκτικὸν μὲν αἴτιον τὸ προσπεσὸν ἔξωθεν ψυχρὸν, τὰ δ' ἄλλα πάντα τα μέχρι τῆς χρείας τῶν σφυγμῶν προηγούμενα. διὰ μέσων οὖν τῶν προηγουμένων τὸ προκαταρκτικὸν αἴτιον, ἀλλοιῶσαν τὴν χρείαν τῶν σφυγμῶν ἓν οὖσαν τῶν συνεκτικῶν αἰτίων, ἔτρεψεν οὕτω καὶ αὐτοὺς τοὺς σφυγμούς. οὐ γὰρ ἐνδέχεται τραπῆναι μέν τινα συνεκτικὴν αἰτίαν, ἄτρεπτον δὲ μεῖναι τὸ πρὸς αὐτῆς ἀποτελούμενον. πρὶν δ' ἐπί τι τῶν συνεκτικῶν διαδοθῆναι τὴν ἀλλοίωσιν, ἀδύνατον τραπῆναι τοὺς σφυγμούς. διὸ καὶ κυριώτατα καὶ μάλιστα καὶ πρῶτα ταῦτ' αἴτια τῶν σφυγμῶν, τὰ δ' ἄλλα πάντα διὰ ταῦτα. τῷ γὰρ τὴν ἔξωθεν γεγενημένην ἀλλοίωσιν εἰς τὰ συνεκτικὰ διαδίδοσθαι σφυγμῶν αἴτια λέγεται, κατά γε τὴν ἰδίαν τε οὐσίαν καὶ φύσιν οὐδαμῶς τρέπειν αὐτοὺς δυνάμενα. χρὴ τοίνυν ὅστις βούλεται τὴν περὶ τοὺς σφυγμοὺς τέχνην ἱκανὸς γενέσθαι γυμνάσασθαι πολυειδῶς ἐν ἅπασι τοῖς γένεσι τῶν αἰτίων, ὥσθ' ἑνὸς οὑτινοσοῦν αὐτῷ προτεθέντος ἔχειν εἰπεῖν τὴν γενομένην ἐν τοῖς σφυγμοῖς ἀλλοίωσιν. ἀρχὴ δὲ τῆς γυμνασίας ἀρίστη τὰς συνεκτικὰς αἰτίας ἐπισκέπτεσθαι, καθότι γεννῶν

tur, itaque etiam ipsi pulsus hic externa causa est occursus externi frigoris, caeterae usque ad usum pulsuum omnes antecedentes. Causa igitur externa mediis causis antecedentibus, quia variat usum pulsuum quae una ex continentibus causis est, etiam immutat ipsos pulsus, neque enim possit ulla continens causa mutari, ut immutabilis maneat affectus ejus: sed prius quam continentes attingat alteratio non possunt immutari pulsus. Ideoque principes hae et praecipuae sunt primae causae pulsuum, caeterae sunt harum gratia, nam quod externa illa alteratio ad continentes penetravit, propterea pulsuum causae dicuntur, quum sua sponte et per se alterare illos nequaquam possint. Quare qui peritus evadere artis de pulsibus volet, hic versatus in causarum omnibus generibus mirifice debet esse, ut quicquid propositum ipsi sit, explicare pulsuum alterationem possit. Principium exercitationis optimum est, ut continentes causas, quamobrem ge-

Ed. Chart. VIII. [168.] Ed. Baf. III. (84. 85.)

ἑκάστη πέφυκε σφυγμόν. ᾧ γὰρ λόγῳ τῆς γενέσεως αὐτῶν ἐξηγοῦνται, τούτῳ καὶ τῆς ἀλλοιώσεως. αἱ γὰρ κατὰ τὸ ποσὸν καὶ ποιὸν ἐν ταῖς αἰτίαις διαφοραὶ τὰς κατὰ τὸ ποσόν τε καὶ ποιὸν ἐν τοῖς (85) σφυγμοῖς ἐργάζονται διαφοράς.

Κεφ. β'. Φαίνεται δὴ διὰ παντὸς ἡ καρδία μετὰ πασῶν τῶν ἀρτηριῶν τὴν σφυγμικὴν καλουμένην κίνησιν, ἔστ' ἂν περιῇ τὸ ζῶον, κινουμένη, ἀποθανόντος δ' οὔτε τῶν ἀρτηριῶν οὐδεμίαν οὔτ' αὐτὴν τὴν καρδίαν ἔστιν ἰδεῖν ἔτι σφύζουσαν. ᾧ δῆλον ὡς ἦν τις αἰτία τέως ὑφ' ἧς ἐκινοῦντο· τίς δ' αὕτη χαλεπὸν εὑρεῖν. ὁ μὲν γὰρ τὴν ἔμφυτον θερμασίαν, ὁ δὲ τὸν τόνον, ὁ δὲ τὴν ἰδιότητα τῆς κράσεως, ὁ δὲ τὴν ὅλην κατασκευὴν τῶν σωμάτων, ὁ δὲ τὸ πνεῦμα μόνον, ὁ δέ τινα τούτων, ὁ δὲ καὶ πάνθ' ἅμα φησί. ἤδη δέ τινες ἀσώματον εἰσηγήσαντο δύναμιν, οἰκείοις ὀργάνοις τῆς κινήσεως τοῖς εἰρημένοις χρωμένην ἤτοι πᾶσιν ἢ τισιν ἢ τινι. ταύτην οὖν τὴν αἰτίαν τὴν δημιουργοῦσαν τοὺς σφυγμούς,

nerare quaeque pulſum poſſit, perpendas. Qua enim ratione generandorum eorum ſunt cauſae, eadem etiam alterandorum, ſiquidem cauſarum in quantitate et qualitate differentiae pulſuum differentias in quantitate et qualitate efficiunt.

Cap. II. Videtur porro perpetuo cum omnibus arteriis cor motum illum pulſatilem, ut vocant, dum ſuperſtes animans ſit, habere, ubi interiit, nec ullam arteriam nec vero ipſum cor amplius pulſare videas. Quo fuiſſe tum quandam conſtat cauſam, a quo moveretur; at quae haec ſit, non proclive inventu eſt. Unus nativum calorem, alius contentionem, alius temperamenti proprietatem, hic univerſam ſtructuram corporum, ille ſpiritum tantum, eſt qui quaedam horum, alius etiam omnia ſimul affirmat. Et vero quidam etiam facultatem quandam nullo praeditam corpore introduxerunt, quae peculiaribus inſtrumentis motus, quae retulimus, utatur, vel omnibus, vel pluribus, vel uno. Hanc cauſam quae pulſus molitur, quaecunque

ἥ τις ἂν ᾖ, κἂν τὴν οὐσίαν αὐτῆς ἀγνοῶμεν, ἀπὸ τοῦ δύνασθαι σφυγμοὺς ἐργάζεσθαι δύναμιν αὐτὴν ἐκαλέσαμεν, ὥσπερ, οἶμαι, καὶ πᾶσαν ἑτέραν δύναμιν ἀπὸ τοῦ δύνασθαι ποιεῖν ὅπερ ἂν δύνηται καλεῖν εἰθίσμεθα. τίνος γάρ ἡ δύναμίς ἐστι καὶ τὴν νόησιν αὐτῆς ἐν τῷ πρός τι κεκτήμεθα, καὶ διὰ τοῦτο οὕτως αὐτὴν ὀνομάζομεν, ὅταν τὴν οὐσίαν ἀγνοοῦμεν. ὅταν δὲ ῥώμην, ἢ ἀρετὴν δυνάμεως λέγομεν, ἢ αὖ πάλιν ἀῤῥωστίαν τε καὶ κακίαν, ὡς πρὸς τὴν ἐνέργειαν ἀκούειν χρὴ τούτων τῶν ὀνομάτων. ἡ γὰρ δραστική τε καὶ ποιητικὴ καὶ δημιουργικὴ τῆς ἐνεργείας αἰτία ποτὲ μὲν βέλτιον ὡς πρὸς ταύτην, ποτὲ δὲ χεῖρον διάκειται. καὶ διὰ τοῦτο νῦν ἄμεινον, αὖθις δ' εἰ τύχοι χεῖρον ἡ ἐνέργεια συντελεῖται. τὸ μὲν οὖν βέλτιον ὡς πρὸς τοὔργον ἔχειν τὴν δύναμιν ἀρετή τε καὶ ῥώμη, τὸ δὲ χεῖρον ἀῤῥωστία τε καὶ κακία. περὶ μὲν δὴ τοὺς σφυγμοὺς ἐργαζομένης δυνάμεως ἀρκεῖ καὶ ταῦτα διαγινώσκειν εἴς γε τὰ παρόντα.

Κεφ. γ'. [169] Περὶ δὲ τῆς χρείας αὐτῶν ἀναμνησθῆναι χρὴ τῶν ἐν ἑτέροις ἐποδεδειγμένων, ὅτι φυλακῆς ἕνεκα

illa sit, licet ejus nos fugiat essentia, quod facultatem habeat pulsus efficiendi, facultatem illam vocavimus, ut quamlibet puto aliam facultatem a facultate faciendi cujus habet facultatem solemus nominare, alicujus enim est facultas et ejus notio est relationi subjecta. Itaque quando essentia ipsius incognita nobis sit, hoc appellamus eam nomine. At vero quum robur facultatis, vel virtutem dicimus aut contra, infirmitatem et vitium, ad functionem haec nomina sunt referenda, quippe quae obit et efficit creatque functionem causa, interim ad eam melius est disposita, interim deterius. Quo fit ut modo praeclarius, postea, si res ferat, deterius functio administretur, ac praestantior ad functionem dispositio facultatis virtus est et robur, deterior infirmitas atque vitium. Sed de facultate pulsus effectrice haec satis est hoc loco nosse.

Cap. III. De usu eorum illa sunt, quae alio loco demonstravimus commemoranda, quod tuendi causa caloris

τῆς καθ᾽ ὅλον τὸ σῶμα θερμασίας γεγόνασιν ἐμψύχοντές τε ταύτην καὶ εἴ τι λιγνυῶδες ἐκ τῆς τῶν χυμῶν συγκαύσεως ὑποτρέφοιτο, τοῦτ᾽ εὐθέως ἀποκρίνοντες. εἴρηται δ᾽ ἐν ἐκείνοις ὡς καὶ τῇ γεννήσει τοῦ ψυχικοῦ πνεύματος συντελοῦσι.

Κεφ. δ᾽. Λοιπὴ δὲ καὶ τρίτη σφυγμῶν γενέσεως αἰτία συνεκτικὴ τὸ σῶμα τῶν ἀρτηριῶν ἐστιν αὐτό. πᾶσα γὰρ δύναμις ἐνεργοῦσά τινος ἕνεκεν ὀργάνων ἐπιτηδείων δεῖται πρὸς τοὔργον. ἦν δ᾽ ἐπιτήδειον ὄργανον πρὸς τὰ παρόντα τὸ στεγανὸν μὲν τοῖς χιτῶσι, κοῖλον δ᾽ ἔνδοθεν, οἷόν περ τὸ τῶν ἀρτηριῶν ἐστι. ὡς οὖν οἱ κατὰ τὰς πόλεις οὗτοι δημιουργοὶ, σκυτοτόμοι τε καὶ χαλκεῖς καὶ γραφεῖς, δι᾽ ὀργάνων τινῶν ἐπιτελοῦσι τὸ σφέτερον ἔργον, οὕτως ἡ τοὺς σφυγμοὺς ἐργαζομένη δύναμις δι᾽ ὀργάνων τῶν ἀρτηριῶν τὸ ἑαυτῆς ἔργον, τὴν φυλακὴν τῆς ἐμφύτου θερμασίας, ἀποτελεῖ, τοσόνδε μόνον τῶν ἄλλων διαφέρουσα δημιουργῶν ὅτι τοῖς ὀργάνοις ἐνδέδεται καὶ δι᾽ ὅλων αὐτῶν ἅπασα διελήλυθεν, οὐκ ἔξωθεν ἅπτεται καθάπερ ἐκεῖνοι. καὶ τοίνυν ἐπειδὰν μὲν τὴν ψύχουσαν οὐσίαν ἕλκῃ, διαστέλλεται τὸ σῶμα τῶν

universi corporis creati sunt, quem refrigerent et si quid sit fuliginis ex succorum adustione contractum, id excernant e vestigio. Etiam illo loco hoc dictum est, ad gignendum hos referre animalem spiritum.

Cap. IV. Reliqua et tertia gignendorum pulsuum continens causa ipsum est arteriarum corpus. Nam omnis facultas, quae alicujus causa agit, instrumenta quaerit ad opus apposita; erat autem hic accommodatum instrumentum quod spissis tunicis et cavum esset intus. Nam ut artifices hi, quos in urbibus conspicimus, sutores, excusores, pictores, certis instrumentis opus suum efficiunt, ita quae pulsus efficit facultas suum opus, tutelam nativi caloris, instrumentis peragit arteriis. Hoc tantum inter hanc et alios opifices interest, quod instrumentis haec indita est ac per ea tota permanavit, non foris ut illi attingit. Itaque ubi refrigerantem substantiam trahit, arteriarum distenditur corpus,

ἀρτηριῶν, ἐπειδὰν δὲ τὸ αἰθαλῶδες ἐκκρίνῃ, συστέλλεται. πλεονεκτεῖ δὲ ποτὲ μὲν ἡ τοῦ διαστέλλεσθαι, ποτὲ δὲ ἡ τοῦ συστέλλεσθαι χρεία, πάντως δ᾽ ἕπεται θατέρῳ μέρει τῆς κινήσεως τὸ λοιπόν. κατὰ ταύτας δὲ τὰς αἰτίας τῶν σφυγμῶν γινομένων ἀνάγκη πάσας τὰς τροπὰς αὐτῶν ἕπεσθαι ταῖς τῶν αἰτίων ἀλλοιώσεσιν, ὥστε τὰς πρώτας μὲν καὶ γενικωτάτας τοσαύτας εἶναι διαφορὰς σφυγμῶν ὅσαι περ καὶ τῶν αἰτίων. τῆς μὲν δὴ δυνάμεως αἱ διαφοραὶ ῥώμη τε καὶ ἀῤῥωστία ἐστὶ, τῆς δ᾽ ἐμφύτου θερμασίας ἐκπύρωσίς τε καὶ κατάψυξις, τοῦ δὲ τῶν ἀρτηριῶν χιτῶνος σκληρότης τε καὶ μαλακότης καὶ πρὸ τούτων ἁπάντων αἱ καθ᾽ ἕκαστον γένος τῶν εἰρημένων συμμετρίαι. ἀλλ᾽ αἱ μὲν συμμετρίαι τοὺς κατὰ φύσιν ἐργάζονται σφυγμοὺς τοὺς μέσους τῶν ὑπερβαλλόντων, αἱ δ᾽ ἀμετρίαι τοὺς παρὰ φύσιν. αἱ μὲν ἄλλαι σαφεῖς, ἡ δὲ κατὰ τὴν εὐῤῥωστίαν τῆς δυνάμεως ἔχει τι ζητήσεως ἄξιον, ὃ προϊὼν ὁ λόγος διασκέψαιτο. ῥώμη μὲν οὖν δυνάμεως σφοδρὸν ἐξ ἀνάγκης ἐργάζεται τὸν σφυγμὸν, ἀῤῥωστία δ᾽ ἀμυδρὸν καὶ σκληρότης μὲν ὀργάνων σκληρὸν, μαλακότης

quum fuliginosam expurgat, contrahitur. Jam praepollet modo distentionis usus, modo contractionis, ac consequitur omnino alteram motus partem reliqua. Itaque quum ex his causis pulsus proficiscantur, necesse est omnes illarum diversitates sequi causarum alterationes, unde tot primae sunt et generales pulsuum differentiae, quot sunt causarum. Et facultatis quidem differentiae robur et imbecillitas, nativi caloris adustio refrigeratioque, arteriae tunicae durities ac mollities, atque prae his omnibus in singulis generibus commemoratorum mediocritates. Verum mediocritates naturales efficiunt pulsus, qui medium locum obtinent inter excedentes, excessus vero pulsus praeter naturam. Atque alii perspicui sunt, qui autem in firmitate consistunt facultatis, quiddam dignum habent quaestione, quod progressus disputationis dispiciet. Porro robur facultatis necessario vehementem pulsum facit, infirmitas languidum et instrumentorum durities durum, mollities mollem.

Ed. Chart. VIII. [169. 170.] Ed. Baſ. III. (85.)

δὲ μαλακόν. οὐ μὴν ἐπί γε ταῖς αὐξήσεσιν ἢ ταῖς μειώσεσι, τῆς κατὰ φύσιν θερμασίας ἓν εἶδος σφυγμῶν ἐξ ἀνάγκης ἕπεται ταὐτὸν ἀεί. οὔτε γὰρ ὁ ταχὺς, ὥς τισιν ἔδοξεν, οὔθ᾽ ὁ μέγας οὔθ᾽ ὁ πυκνὸς ἐκπυρουμένης ἀεὶ γίγονται τῆς φύσεως οὔθ᾽ ὁ βραδὺς ἢ μικρὸς ἢ ἀραιὸς σβεννυμένης, ἀλλ᾽ οἱ περὶ τούτων ἀμφισβητοῦντες ὁμοίως ἁμαρτάνουσι Ἀρχιγένει πρὸς Μάγνον διαφερομένῳ περὶ τάχους σφυγμοῦ, ὡς οὐχ ὑπὸ ῥώμης μᾶλλον ἢ ἀῤῥωστίας γίνεται δυνάμεως. οὐδετέρα μὲν γὰρ ἐξ ἀνάγκης ἕπεται, μᾶλλον μὴν ἐστιν οἰκεῖον τάχος μὲν ῥώμῃ τε δυνάμεως καὶ πλήθει θερμασίας καὶ προσέτι μαλακότητι τῶν ὀργάνων, βραδύτης δὲ τοῖς ἐναντίοις· ὡσαύτως δὲ καὶ μέγεθος μὲν ἰσχυρᾷ δυνάμει καὶ πλήθει θερμασίας καὶ μαλακοῖς ὀργάνοις ἐστὶν οἰκεῖον, μικρότης δὲ τοῖς ἐναντίοις· [170] ὡσαύτως δὲ καὶ πυκνότης οὐδενὶ μὲν τῶν εἰρημένων ἐξ ἀνάγκης ἕπεται, μᾶλλον μὴν ἐστιν οἰκεία δυνάμεως ἀῤῥωστίᾳ, πλήθει δὲ θερμασίας, ὀργάνων δὲ σκληρότητι, καὶ ἀραιότης δὲ κατὰ ταὐτὰ τοῖς ἐναντίοις οἰκεία μᾶλλον, οὐ μὴν ἐξ ἅπαντος

Non tamen incremento nativi caloris, vel imminutioni unum semper et idem pulſuum genus ex neceſſitate conſequitur: nec enim celer, quod nonnulli ſunt opinati, nec magnus, vel creber ſemper incidit, ubi aduritur natura, nec quum extinguitur, tardus, vel parvus, vel rarus. Sed de his, qui ambigunt perinde ac Archigenes errant, qui in Magnum disputat de pulſus celeritate, quod non a robore potius quam ab imbecillitate proficiscatur facultatis; nam neutrum ſequitur neceſſario. At tamen peculiaris magis eſt celeritas quidem robori facultatis et caloris abundantiae, praeterea mollitiei inſtrumentorum, tarditas vero contrariis. Eodem modo validae facultati magnitudo et copiae caloris, tum etiam mollibus inſtrumentis eſt familiaris, parvitas vero contrariis. Crebritas item nulli neceſſario ex commemoratis adhaeret, magis tamen propria facultatis eſt imbecillitati, copiae caloris, duritiei inſtrumentorum, et raritas item magis ad contraria ſpectat, non annexa illis eſt perpetuo ta-

ἑπομένη. πειράσομαι δ᾽ ἀποδεῖξαι τῶν εἰρημένων ἕκαστον ἀναλαβὼν τὸν λόγον ἐπ᾽ ἀρχήν.

Κεφ. έ. Πλείονος θερμασίας ἠθροισμένης ἐν τῷ σώματι μείζονος μὲν χρήζειν ἀνάγκη τὸ ζῶον τῆς ἀναπνοῆς, μειζόνων δὲ καὶ σφυγμῶν, ᾧ δὲ λόγῳ μειζόνων, τούτῳ καὶ θαττόνων τε καὶ πυκνοτέρων· ὡς γὰρ οἱ διψῶντες οὐ τὸ πολὺ μόνον, ἀλλὰ καὶ ταχέως καὶ πυκνῶς προσφέρονται τὸ πόμα, οὕτως καὶ οἱ τῆς ἐμψυχούσης οὐσίας δεόμενοι πολλήν θ᾽ ἅμα ταύτην καὶ ταχέως καὶ πυκνῶς ἐπισπῶνται· καὶ τοῦτο δὴ οὖν ἔφαμεν οἰκείους εἶναι σφυγμοὺς πλήθει θερμασίας, τόν τε μέγαν καὶ τὸν ταχὺν καὶ τὸν πυκνὸν, οὐ μὴν δ᾽ ἐξ ἀνάγκης γ᾽ ἑπομένους αὐτῇ. χρήζει γὰρ, ἵνα τοιοῦτοι γενηθῶσι, δυνάμεως μὲν ἐῤῥωμένης, ὀργάνων δὲ μαλακῶν· εἰ γὰρ ἀσθενὴς ἡ δύναμις ἢ σκληρὸν ἢ τὸ ὄργανον, οὔτε μεγάλους αὐτοὺς οὔτε ταχεῖς ἐνδέχεται γενέσθαι, τοῦ μὲν ὀργάνου διὰ σκληρότητα δυσπειθοῦς γινομένου τῇ κινούσῃ δυνάμει, τῆς δυνάμεως δ᾽ αὐτῆς δι᾽ ἀῤῥωστίαν ἀδυνατούσης ἐξαίρειν τὰς ἀρτηρίας εἰς ὅσον προσήκει. χρὴ τοίνυν συνεργεῖν ἀλλήλοις τὰ τρία γένη τῶν αἰτίων, ἵν᾽ ὁ σφυγμὸς ταχὺς ἢ μέγας

mes. Faciam autem ut haec repetita ab initio oratione figillatim demonſtrem.

Cap. V. Si amplior in corpore ſit collectus calor, animanti opus erit cum majore reſpiratione tum majoribus pulſibus, et quia majoribus, continuo etiam celerioribus et crebrioribus; ficut enim qui ſitiunt non multum modo, ſed et celeriter potant ac crebro, ſic qui indigent refrigerio, copioſum ſimul id et celeriter crebroque attrahunt. Quamobrem peculiares dixi eſſe pulſus copioſo calori magnum, celerem crebrumque, non tamen neceſſario comitari, poſtulant enim, quo tales evadant, facultatem validam atque inſtrumenta mollia. Sin infirma facultas, aut durum ſit inſtrumentum, neque magni eſſe neque celeres poſſint, quod inſtrumentum ſit per duritiem adverſus moventem facultatem contumax: illa vero attollere, quatenus oportet, arterias per imbecillitatem impos. Quare ut celer pulſus vel magnus fiat, tria oportet cauſarum genera inter ſe con-

Ed. Chart. III. [170.] Ed. Baf. III. (85. 86.)

ἀποτελεσθῇ, τὴν μὲν χρείαν τῆς γενέσεως αὐτῶν ἐπείγουσαν, τὴν δὲ δύναμιν εὐεκτοῦσαν, τῶν δ' ἀρτηριῶν τοὺς χιτῶνας μαλακοὺς, ἢ πάντως γε μὴ σκληροὺς ὄντας. ὡς γὰρ καὶ ὠθεῖν ἢ μέγα προβαίνειν οὔθ' οἱ πάνυ γέροντες οὔθ' οἱ μικροὶ παῖδες δύνανται, κἂν ἔτι μάλιστα χρῄζωσιν ἠπειγμένης κινήσεως, οὕτως οὐδ' ἡ ἄῤῥωστος δύναμις οὔτε ταχέως οὔτ' εἰς μέγα τὰς ἀρτηρίας ἐξαίρειν δύναται, κἂν δέηται. ὥσπερ δὲ πάλιν ἡ μὲν μαλακὴ κύστις ἑτοίμως εἰς πολὺ διαστέλλεταί, ἡ σκληρὰ δὲ οὔ· εἰ πάνυ σφόδρα βιάζοιο, οὕτω καὶ τῶν ἀρτηριῶν ὁ χιτὼν ὁ μὲν μαλακὸς ῥᾳδίως ἐπὶ πλέον ἐξαίρεται, κἂν ἄῤῥωστος ἡ δύναμις ᾖ, ὁ δὲ σκληρὸς ἀντιτείνεταί τε καὶ ἀντιβαίνει τῇ κινούσῃ δυνάμει, κἂν σφοδρότατα περὶ αὐτὸν ἐνεργοῦσα τύχῃ. μέθοδος δὲ καὶ κατὰ τούτων ἁπάν(86)των μία, τῆς ἐξεταζομένης αἰτίας μόνης ὑπαλλαττομένης, τῶν δ' ἄλλων ἐν ταὐτῷ μενουσῶν, τὴν διάκρισιν ποιεῖσθαι τῆς ἀλλοιώσεως τῶν σφυγμῶν. εἰ γὰρ ἅμα πολλῶν ἐνηλλαγμένων ἐπισκέπτοιο, πρῶτον μὲν ἄδηλον, ἢ διὰ τὸ πασῶν ὁμοῦ συνιουσῶν ἀθρόον κεφάλαιον ἡ τροπὴ γέγονεν,

spirent, ut usus illorum generationis urgeat, facultas valida sit, mollesque arteriarum tunicae, aut eerte non durae. Ut enim impellere velociter, aut multum progredi, ut maxime concitato motu indigeant, nec senes valent, nec parvi pueri, ita nec imbecilla facultas, etiam si usus postulet, vel celeriter, vel multum attollere arterias potest. Jam etiam sicut mollis vesica prompte multum distenditur, dura ne si admodum quidem etiam atque etiam contendas, sic arteriarum tunica mollis quidem perfacile attollitur plurimum, vel facultate infirma, at dura, licet facultas summopere illam impellat, resistit facultati motrici renititurque. Via omnium horum ratioque una est; nam ut causa quae in examen venit, sola convertatur, reliquae maneant omnes in eodem statu, ita discernes alterationes pulsuum. Nam si quum multae immutatae sunt, attendes, primum obscurum erit, propter acervumne omnium in unum coactarum mutatio evenerit, an propter unam quandam ex illis;

Ed. Chart. VIII. [170. 171.] Ed. Bas. III. (86.)

ἢ διά τινα μίαν ἐξ αὐτῶν. ἔπειτα δ' εἰ καὶ συγχωρηθείη διὰ μίαν, ἥ τίς ἐστιν αὕτη μία ἐξ αὐτῶν οὐδέπω δῆλον. ἂν γοῦν αὐξηθῇ μὲν ἡ θερμασία μόνη, φυλάττοιντο δὲ ἥ τε δύναμις καὶ οἱ χιτῶνες τῶν ἀρτηριῶν ἄτρεπτοι, μείζους τε καὶ θάττους ἐξ ἀνάγκης οἱ σφυγμοὶ γενήσονται καὶ συναυξηθήσονταί γε τῷ πλήθει τῆς θερμασίας ἄχρι περ ἂν ἐπὶ τὴν μεγίστην ἀφίκωνται διαστολήν. τάχιστοι δὲ οὐδὲ νῦν οὐδέ ποτε φανοῦνται πρὶν τὴν θερμασίαν ὑπὲρ τὴν μεγίστην αὐξηθῆναι διαστολήν. τότε δ' ὑπὲρ τὴν μεγίστην αὔξεται διαστολήν, ὅταν ἐνδεῶς ὑπ' αὐτῆς ἀναψύχηται. τὸ τοίνυν λεῖπον ἐπανισοῖ τηνικαῦτα τῷ τάχει τῆς κινήσεως, καὶ οὕτως οἱ σφυγμοὶ τάχιστοι γίνονται. ἀρκεῖ δ' οὐδὲ ταῦτα τῇ μεγάλως ἐκπυρωθείσῃ, ἀλλ' ἂν ἡσύχασε πρότερον χρόνον μεταξὺ τῶν κινήσεων, ἤδη καὶ τοῦτον συντέμνει. πολλάκις δ' οὕτως βραχὺν ἀπέφηνεν, ὡς συνεχεῖς ἀλλήλαις δοκεῖν εἶναι τὰς κινήσεις, [171] μηδαμῇ σχιζομένας ἡσυχίᾳ· ταῦτα δ', ὅταν ἐσχάτως ἐκκαυθῇ, γίνεται. τριῶν γὰρ ὄντων τρόπων ἐπικουρίας ἐν ἁπάσαις ὑπερβολαῖς πᾶσιν ὁμοῦ χρῆται. καὶ γὰρ πλείστης ἀπολαύει τῆς ἐμψυχούσης αὐτὴν οὐσίας καὶ τάχιστα καὶ συνεχέστατα. τούτων

deinde ut conveniat propter unam, quaenam sit haec una de illis, nondum constat. Nam si calor increverit solus et maneant facultas tunicaeque arteriarum immotae, pulsus necessario majores et celeriores fient, auique cum calore, dum ad maximam perveniant distentionem, augebuntur, celerrimi vero ne sic quidem prius quam maximam calor distentionem superaverit apparebunt. Tunc autem ultra maximam distentionem extenditur, quum ab ea refrigeratur parcius, quare celeritate motus resarcitur defectus, itaque pulsus fiunt celerrimi. Jam vero neque haec satisfaciunt calori vehementer incenso, sed quod temporis quo ante inter duos motus quiescebat, nunc quid praesecat etiam. Subinde etiam tam reddit breve, ut perpetuos putes motus esse, nulla quiete interpellatos; sed hoc accidit, ubi ad ultimum incensus calor sit. Et quum tres sint in omnibus excessibus rationes opis, omnibus simul utitur, nam consequitur re refrigerantis substantiae quum plurimum tum celerrime et

δὲ τὸ μὲν πρῶτον μεγίστους ποιεῖ τοὺς σφυγμοὺς, τὸ δὲ δεύτερον ταχίστους, τὸ δὲ τρίτον πυκνοτάτους. οὔτε γὰρ, ὅταν ἱκανῶς ἀναψύχηται τῷ μεγέθει τῆς διαστολῆς, κατεπείγει τὸ τάχος, οὔθ' ὅταν αὐτάρκως ὑπ' ἀμφοῖν ὠφελῆται, τὴν πυκνότητα. θατέρου δ' αὐτῶν ἀεὶ τὸ λεῖπον ἐπανισοῖ θατέρῳ, τοῦ μὲν μεγέθους τῷ τάχει, τοῦ δὲ τάχους τῇ πυκνότητι. καθόλου γὰρ φάναι πυκνότητος σφυγμῶν αἰτία μία τὸ τῆς προτέρας ἐνεργείας ἐνδεὲς, γίνεται δὲ τοῦτο καὶ δι' ἄλλας μὲν αἰτίας, ἃς ἑξῆς ἐροῦμεν, ἀτὰρ οὖν καὶ διὰ πλῆθος θερμασίας, ὡς νῦν ἀποδέδεικται. καὶ σχεδὸν ἤδη πέρας ἔχει τὸ προκείμενον. ἐδείχθη γὰρ ὡς οὐκ ἐξ ἀνάγκης ἕπεται πλήθει θερμασίας μέγας καὶ ταχὺς καὶ πυκνὸς σφυγμὸς οὐδεὶς, οἰκεῖοι δ' εἰσὶν αὐτῇ μάλιστα μὲν ὁ μέγας καὶ ταχὺς, ἤδη δέ ποτε καὶ ὁ πυκνὸς κατά τι συμβεβηκός.

Κεφ. στ'. Εἴη δ' ἂν, οἶμαι, δῆλον, ἤδη καὶ περὶ τῶν ἐν ταῖς ἐνδείαις τῆς ἐμφύτου θερμασίας ἑπομένων σφυγμῶν. καὶ γὰρ καὶ ταύταις ἐξ ἀνάγκης μὲν οὐδεὶς ἕπεται, οἰκεῖοι δ' εἰσὶν μάλιστα μὲν ὅ τε μικρὸς καὶ βραδὺς, ἤδη δὲ καὶ

maxime continenter, quorum primum maximos pulſus creat, alterum celerrimos, creberrimos tertium. Neque ubi liberaliter illum magnitudo refrigerat diſtentionis, irritat celeritatem, neque crebritatem ubi ab ambabus auxilium conſequitur: alterius enim illarum ſemper defectus corrigitur altera, magnitudinis celeritate, celeritatis crebritate. Quid multis? crebritatis pulſuum cauſa una eſt prioris actionis defectus. Accidit id quum aliis de cauſis, quas deinceps recenſebimus, tum de copia caloris, uti modo eſt oſtenſum. Propemodum jam quod erat inſtitutum confectum eſt. Declaravimus enim abundantiam caloris nullum conſequi neceſſario pulſum magnum, celerem, crebrum, ſed peculiares eſſe in primis magnum et celerem et nonnunquam crebrum etiam, ſecundum accidens quoddam.

Cap. VI. Puto jam quoque conſtare quinam e pulſibus caloris nativi defectum comitentur, hunc ſcilicet nullum neceſſario comitari. Familiares tamen ſunt ei parvus et tardus praecipue, mox etiam rarus. Nam ut natura,

ὁ ἀραιός. ὥσπερ γὰρ οὔτε πολλῆς οὔτε ταχείας τῆς ἐμψύξεως ἡ φθάνουσα κατεψύχθαι δεῖται φύσις, οὕτως οὐδὲ δι' ὀλίγου. ταὐτὸν δ' ἐστὶ τὸ μὲν δι' ὀλίγου τῷ πυκνῷ, τὸ δὲ διὰ μακροῦ τῷ ἀραιῷ.

Κεφ. ζ. Ἐπεὶ δὲ καὶ περὶ τούτων αὐτάρκως εἴρηται, τὸ ἀναβληθὲν ὀλίγῳ πρότερον ἐφ' ὅσον εἰς τὰ παρόντα χρήσιμόν ἐστι διασκεψάμενοι τὸ συνεχὲς τοῦ λόγου περαίνωμεν. τοῦ μὲν γὰρ μεγάλου τε καὶ μικροῦ σφυγμοῦ μέσος τίς ἐστιν ὁ κατὰ φύσιν τε καὶ σύμμετρος, ᾧ παραβάλλοντές τε καὶ παραμετροῦντες τοὺς ἄλλους ἅπαντας, ὅσοι μὲν ἂν μείζους ὦσιν αὐτοῦ, τούτους μὲν μεγάλους ὀνομάζομεν, τοὺς δ' ἐλάττους μικρούς. κατὰ ταὐτὰ δὲ καὶ τοῦ τάχεός τε καὶ βραδέος ὁ μέσος τε καὶ σύμμετρος ὁ κατὰ φύσιν ἔχων ἐστὶν, καὶ τοῦ πυκνοῦ δὲ καὶ τοῦ ἀραιοῦ καὶ προσέτι σκληροῦ καὶ μαλακοῦ κατὰ τὸν αὐτὸν λόγον οἱ μέσοι κατὰ φύσιν. οὐ μὴν ἀμυδροῦ τε καὶ σφοδροῦ μέσος ὁ κατὰ φύσιν εἶναι δοκεῖ. ἐῤῥωμένης γὰρ ἔργον δυνάμεως ὁ σφοδρὸς σφυγμὸς, ὥσπερ οὖν καὶ ὁ ἀμυδρὸς ἀῤῥώστου. τὸ δ' ἐῤῥῶσθαι ταύτην οὐ παρὰ φύσιν δήπουθεν, ἀλλὰ τοῦτο μὲν ἀρετή τε καὶ κατὰ φύσιν,

quae jam pridem refrigerata est, nec multum requirit, nec celere refrigerium, fic nec brevibus intervallis. Brevibus intervallis idem est quod crebrum, et longis intervallis idem quod rarum.

Cap. VII. Sed quoniam fatis de his dictum est, fi quod produximus dudum, quantum disputationi conducat perfpexerimus, feriem orationis profequemur. Inter magnum pulfum et parvum naturalis intercedit et moderatus: cum quo comparantes et aestimantes reliquos omnes, qui majores funt eo, hos magnos vocamus, qui minores, parvos. Itidem inter celerem et tardum medius moderatusque naturalis est: fic inter crebrum et rarum. Ad haec inter durum et mollem medii naturales funt. At naturalis non item videtur, qui inter vehementem medius est et languidum, validae enim est facultatis opus vehemens pulfus, ut languidus infirmae. Cujus fane firmitas non est contra naturam, imo haec virtus est et fecundum naturam, infirmi-

Ed. Chart. VIII. [171. 172.] Ed. Baf. III. (86.)

ἡ δ᾽ ἀῤῥωστία τῆς δυνάμεως κακία τε καὶ παρὰ φύσιν. ὅσον δ᾽ ἐν τῷ μεταξὺ ῥώμης τε καὶ ἀῤῥωστίας, ὁδός ἐστιν ἀπὸ θατέρου πρὸς θάτερον ἐν μεθορίῳ που τεταγμένον ἀμφοῖν, τοσούτῳ μὲν βέλτιον ἀῤῥωστίας, ὅσῳ χεῖρον εὐρωστίας, τοσούτῳ δ᾽ αὖ πάλιν εὐρωστίας χεῖρον, ὅσῳ βέλτιον ἀῤῥωστίας: οὔκουν ἐνταῦθά φασι χρῆναι τὸ κατὰ φύσιν ζητεῖν, ἀλλ᾽ ἐν τῷ ἄκρῳ τέ καὶ εὐρώστῳ, τούτου δ᾽ ἔγγονον ὑπάρχειν τὸν σφοδρὸν σφυγμόν. εἰσὶ δ᾽ οἳ τοῦτο μὲν ἀληθὲς εἶναι συγχωροῦσιν, [172] ἀμφισβητοῦσι δὲ πρὸς τὸ καθόλου καὶ φάσκουσι τὸν κατὰ φύσιν σφυγμὸν τὸν ἐν τούτῳ μὲν τῷ γένει γίνεσθαι καὶ αὐτὸν ὑπὸ τῆς ἄκρας τε καὶ ἀρίστης ἕξεως, ὥσπερ οὖν κἀν τοῖς ἄλλοις ἅπασι γένεσιν, οὐ μὴν ἄκρον γε καὶ ἔσχατον ὑπάρχειν, ἀλλ᾽ εἶναί τινα τῶν οὐ κατὰ φύσιν ἕτερον τούτου σφοδρότερον. ἴδιον γάρ τι συμβεβηκέναι τούτῳ τῷ γένει τῶν σφυγμῶν παρὰ τἄλλα πάντα φασὶ, διὸ καὶ τὴν ἀπορίαν τε καὶ τὰ σφάλματα τοῖς μὴ δυναμένοις αὐτὸ συνιδεῖν ἀπηντηκέναι. γίνεσθαι μὲν γὰρ εὐρωστούσης τῆς δυνάμεως τὸν σφοδρὸν σφυγμὸν, εἶναι μέντοι τι καὶ τού-

tas vero facultatis vitium praeterque naturam est. Quantum jam in via, quae intercedit inter robur et imbecillitatem, est ab altero ad alterum in confinio alicubi utrinsque positum, tanto id praestat infirmitate, quanto robore inferius est, contraque tantum firmitati cedit, quantum superat infirmitatem. Proinde non hic quaerendum ajunt esse naturalem pulsum, sed in summo et valido, atque ex hoc provenire vehementem pulsum. Sunt qui verum fateantur hoc esse, sed dubitent hoc undequaque ita habere: quorum haec sententia est, naturalem pulsum in hoc genere fieri quoque ipsum a summo et optimo statu non secus ac alios in omnibus generibus, non summum tamen et extremum esse, sed esse non ex naturalibus quendam alium hoc vehementiorem. Nam singulare quiddam huic pulsuum generi accidisse ac extra ordinem autumant: quo factum esse ut in haesitationem illi erroresque, qui assequi illud non possent, incurrerint: siquidem fieri quidem valente facultate vehementem pulsum, attamen certum esse et hujus modum ve-

του μέτρον τῆς σφοδρότητος, οὗ προσωτέρω χωρῶν ἐξίσταται τοῦ κατὰ φύσιν. ἐν γοῦν τοῖς θυμοῖς, φασὶ, καὶ πολλάκις ἐν τοῖς γυμνασίοις καὶ ταῖς οἰνοποσίαις εὑρίσκεσθαι σφοδρότερον τοῦ κατὰ φύσιν κινουμένας τὰς ἀρτηρίας, ὁμολογεῖσθαι δὲ πρὸς ἁπάντων τὸν ὡς ἀκριβῶς κατὰ φύσιν ἔχοντα σφυγμὸν ἐπὶ ζώου θεωρητέον, ἐν ἠρεμίᾳ καθεστηκότος ἁπασῶν τῶν μεγάλων τε καὶ ἰσχυρῶν ἀλλοιώσεων. ἰσχυρὰ δὲ ἀλλοίωσις ἡ ἐκ θυμοῦ καὶ γυμνασίου καὶ οἴνου, οὐκ οὖν τοῦτον εἶναι τὸν κατὰ φύσιν, ἀλλ' ὡς ἂν ἐῤῥωμένης τε ἅμα τῆς φύσεως καὶ πρὸς μηδενὸς τῶν ἔξωθεν αἰτίων βιαίως ταραττομένης γίνεται. οὕτως δὲ πὼς μὲν εἶναι μέσον, πὼς δὲ οὐκ εἶναι τὸν κατὰ φύσιν ἐν τούτῳ τῷ γένει σφυγμόν. καθόσον μὲν γὰρ αὐτοῦ εἰσί τινες ἕτεροι σφοδρότεροι σφυγμοὶ, καὶ νὴ Δία ἕτεροί γ' ἧττον σφοδροὶ, κατὰ τοσοῦτον μὲν εἶναι μέσον, καθόσον δὲ τριῶν οὐσῶν διαφορῶν ἐν τούτῳ τῷ γένει, σφοδρότητός τε καὶ ἀμυδρότητος καὶ τῆς ἀμφοῖν μεσότητος, οὐκ ἐκ τῆς μεσότητός ἐστιν, ἀλλὰ ἐκ μιᾶς τῶν ἀκροτάτων, κατὰ τοσοῦτον οὐκ ἔτι εἶναι μέσον. ὅλον οὖν τὸ λοιπὸν οἶμαι

hementiae, quem ſi praetereat, de natura recedat. Certe quidem in ira dicunt, ſubindeque in exercitationibus atque potionibus vini vehementius offendi ac natura poſtulat motas arterias: at hoc inter omnes convenire, naturaliter pulſum ad unguem comparatum in animante eſſe ſpectandum, in quiete poſito omnium magnarum ac validarum alterationum, validam autem alterationem ira, exercitatio, vinum concitant: quare non nunc eſſe naturalem, ſed qui valente natura ſimul et per extraneam cauſam quae violenta ſit nullam commota fiat, itaque quadam ratione eſſe medium, quadam non eſſe naturalem in hoc genere pulſum. Quatenus eo enim alii quidam ſunt vehementiores pulſus et vero alii minus vehementes, hactenus eſſe medium, quatenus autem, quum tres ſunt hujus generis differentiae, vehementia, imbecillitas et utriusque medium, non ex medio eſt, ſed una de ſummis, hactenus medium non eſſe, omnino ergo eſſe reliquum, recte de illo pariter ac

Ed. Chart. VII. [172.] Ed. Bas. III. (86. 87.)

περὶ αὐτοῦ καλῶς ἂν ἅμα καὶ ἀληθῶς ῥηθῆναι τὸν κατὰ φύσιν ἐν τούτῳ τῷ γένει σφυγμὸν μέσον ἐν θατέρῳ τῶν ἄκρων εὑρίσκεσθαι διαφορῶν. εἰσὶ δ' οἳ καὶ πρὸς τοῦτ' ἀντιλέγουσιν, οὐ γίνεσθαι σφοδροὺς ἐν τοῖς εἰρημένοις καιροῖς τοὺς σφυγμοὺς, ἀλλὰ φαίνεσθαι φάσκοντες, ἐξαπατᾶσθαι δὲ τοὺς ἀμελέστερον ἁπτομένους ὑπὸ τοῦ προσγινομένου τάχους αὐτοῖς καὶ μεγέθους· ἔστι δ' ὅτε καὶ ὕψους, ὥσπερ ἐν τοῖς θυμοῖς· δῆλον δὲ ὡς τῆς τοιαύτης διαφωνίας ἡ κρίσις εἰς τὴν διάγνωσιν ἀναφέρεται. τίς οὖν ἡ ἀληθὴς διάγνωσις; χρὴ γὰρ ἀποφήνασθαι τὸ φαινόμενον ἡμῖν. ἐπὶ μὲν ταῖς τῶν οἴνων πόσησι, ταῖς γοῦν μετρίαις, οἱ σφυγμοὶ σαφῶς ὥσπερ μείζους καὶ θάττους, οὕτω καὶ σφοδρότεροι γίνονται, ἐπὶ μέντοι τοῖς θυμοῖς τε καὶ τοῖς μετρίοις γυμνασίοις οὐκ ἔθ' ὁμοίως σαφῶς, ἀλλ' εἰ ἄρα καὶ προσγίνεταί τι σφοδρότητος αὐτοῖς, ὀλίγον τοῦτο καὶ δυσδιάγνωστόν ἐστιν. ὅπως δ' ἂν ἔχοι τὸ ἀληθὲς, οὐδὲν κω(87)λυόμεθα περαίνειν τὸ προκείμενον, αὐτὸ τοῦτο μόνον ζητοῦντες, εἰ μέγεθος καὶ τάχος σφυγμῶν οἰκεῖα δυνάμεως ἐῤῥωμένης, ὅπερ εἶναι φαίνεται

vere dictam esse, naturalem pulsum hujus generis medium locum in altera extrema differentia obtinere. Sunt qui hoc impugnent etiam, qui ajunt vehementes pulsus non fieri iis temporibus, quae commemorata sunt, sed videri fieri; falli autem illos, qui negligentius tangunt, a celeritate cum iis conjuncta et magnitudine, atque interim etiam altitudine, ut fit in ira. At hujus controversiae constat judicium ad dignotionem pertinere. Quae est ergo vera dignotio? Dicendum est enim quod perspicimus. Vino potato, modice certe, pulsus aperte quum majores et celeriores tum vehementiores evadunt, in ira vero et in modicis exercitationibus non perinde aperte. Imo si quid illis accedat vehementiae, id adeo est minutum, ut animadverti aegre possit. Utcunque sit, quin, quod in manibus habemus, conficiamus, nihil causae est, hoc si tantum quaeramus, an magnitudo celeritasque pulsuum pertineant ad robustam facultatem: quod esse his videtur, qui summa cu-

Ed. Chart. VIII. [172. 173.] Ed. Baſ. III. (87.)

τοῖς μὴ παρέργως σκοπουμένοις ἐξ αὐτῆς τῶν πραγμάτων τῆς φύσεως. ὡμολογημένου γὰρ τοῦ διαστέλλεσθαι τὰς ἀρτηρίας ὑπὸ δυνάμεως εὔλογον ἐπὶ πλέον ἐξαίρειν μὲν αὐτὰς τὴν ἰσχυρὰν, ἐπ᾽ ὀλίγον δὲ τὴν ἀσθενῆ, καὶ θᾶττον μὲν τὴν ἰσχυρὰν, βραδύτερον δὲ τὴν ἀσθενῆ, ὥσπερ οὖν ἐφ᾽ ἡμῶν αὐτῶν ἔχει βαδιζόντων τε καὶ θεόντων καὶ ἐρεσσόντων καὶ σκαπτόντων καὶ ὁτιοῦν ἄλλο δρώντων. ὁ γὰρ ἰσχυρότερος ἐν τούτοις οὐ μείζονα μόνον, ἀλλὰ καὶ θάττονα τὴν ἐνέργειαν ἐπιδείκνυται, τῶν γ᾽ ἄλλων ὡσαύτως ἀμφοτέροις ἐχόντων. εἰ γὰρ ὁ μὲν ἀσθενέστερος ἐπείγοιτο πρὸς τῆς χρείας ἐς τὴν ἐνέργειαν, ὁ δ᾽ ἰσχυρότερος ἤτοι μηδὲν αὐτῆς ὅλως ἢ ὡς ἐλαχίστης δέοιτο, θᾶττον ἂν οὕτως ὁ ἀσθενέστερος ἐνεργήσειεν. [173] ἀλλ᾽ οὐ χρὴ κατὰ τοῦτον τὸν τρόπον παραβάλλειν, ἀλλ᾽ ὡς καὶ πρόσθεν ἐῤῥέθη, τῶν μὲν ἄλλων ἁπάντων ὁμοίως ἀμφοῖν ὑπαρχόντων, καθ᾽ ἓν δ᾽ ὁτιοῦν μόνον ὅπερ ἂν ἑκάστοτε τύχῃ ζητούμενον τῆς ὑπαλλαγῆς γενομένης· οἷον εἰ καὶ λῃστῶν ἐπιόντων φεύγειν δεήσειεν, οὐκ ἴσα δήπουθεν διαβαίνοντες. οὐδ᾽ ἐν ὁμοίῳ τῷ τάχει δραμοῦνται νεανίσκος ἰσχυρὸς καὶ γέρων ἀσθενής. εἰ μέντοι παραβάλλεις κίνησιν

ra aeſtimant ex ipſa rerum natura. Quando enim in confeſſo eſt diſtendi a facultate arterias, plus eas probabile eſt validam attollere et infirmam parum, celerius item validam, tardius infirmam: quod quidem vel in nobis ipſis conſpicitur, quum ambulamus, currimus, metimus, fodimus, denique quicquid agimus. Nam in his qui fortior eſt non majorem modo, ſed et celeriorem operam praeſtat, ſiquidem alia utrique paria ſint. Quod ſi infirmiorem ad opus neceſſitas urgeat, fortior autem aut plane eo nihil indigeat, aut quam pauciſſimo, celerius ſic imbecillior aget. Sed inepta iſta eſt comparatio, imo ſi, ut ante eſt dictum, alia utrique paria ſint et unum tantummodo quodque, quod quoque loco in disquiſitionem venit commutetur. Ut ſi imminentibus latronibus fugiendum ſit, profecto non paria conficient ſpacia nec aequali velocitate current juvenis valens atque imbecillus ſenex. Quod ſi tamen motum ſenis qui inva-

Ed. Chart. VIII. [173.] Ed. Baf. III. (87.)

γέροντος ἔφοδον λῃστῶν δεδιότος νεανίσκου κινήσει ῥαθύμως ἐν ἄστει βαδίζοντος, ὠκυτέρα τε καὶ μείζων οὕτως ἡ τοῦ γέροντος φανεῖταί σοι, οὐχ ὅτι δύναται θᾶττον κινεῖσθαι τοῦ νέου καὶ μᾶλλον τὰ κῶλα μεταφέρειν, ἀλλ' ὅτι δεῖται κινήσεως ἠπειγμένης διὰ τὸν φόβον, ὑφ' οὗ καταναγκαζόμενος ἁπάσῃ χρῆται πρὸς τοὖργον τῇ δυνάμει. τῷ νεανίσκῳ δὲ τὰ μὲν τῆς δυνάμεως ῥωμαλεώτερα, ἀλλ' οὐδὲν αὐτῆς δεῖται πρὸς τὴν ἐνέργειαν, ὡς εἴ γε δεηθείη παραπλησίως τῷ γέροντι, τοσούτῳ θᾶττόν τε καὶ μᾶλλον ἐνεργήσει ὅσῳ καὶ τὰ τῆς δυνάμεως αὐτῷ βελτίω. ἄξιον οὖν ἐνταῦθα μέμψασθαι καὶ Ἀρχιγένει καὶ Μάγνῳ καὶ πολύ γε μειζόνως τῷ Ἀρχιγένει. ὁ μὲν γὰρ εἰ καὶ μὴ πᾶν τὸ ἀληθὲς, ἀλλὰ μέρος τι καλῶς κατεῖδεν, ὁ δ' Ἀρχιγένης δέον τὸ λεῖπον προσθεῖναι καὶ τὸ καλῶς ηὑρημένον ἀνατρέπειν πειρᾶται, γράφων ὡδί· δίκαιον γὰρ αὐτὴν παραθέσθαι τὴν λέξιν· ἐπὶ μὲν οὖν τῶν ἀρτιγενῶν μικρὸς παντελῶς ὁ σφυγμός ἐστι καὶ οὐ σφοδρὸς, καὶ πυκνὸς ἄγαν καὶ ταχύς. Μάγνος δὲ οὐκ εἶναι ταχὺν αὐτόν φησι, δι' ὅλου συστῆσαι βουλόμενος τὸ

sionem timet latronum ad juvenis motum conferas qui segniter in urbe obambulat, velocior sic atque major tibi senis videatur, non quo celerius moveri juvene possit vel magis artus transferre, caeterum quod motu indigeat concitatiore ob metum, a quo compulsus omnes vires accommodat ad opus. Juvenis viribus est quidem robustioribus, sed ad opus eas non requirit, nam si opus ipsi, ut seni, sit, hoc celerius aget, atque magis quo vires illi sunt melius comparatae. Quamobrem accusare hic operae pretium est tum Archigenem tum Magnum, tamen longe Archigenem magis: nam Magnus quidem, etsi non undequaque verum, certe aliqua ex parte animadvertit. Archigenes vero, quum quod desiderabatur, deberet addere, etiam quod recte esset inventum, studet labefactare, qui ita scribit, aequum est enim ut adscribam ipsa verba: *Nam infantes parvum prorsus pulsum habent, nec vehementem, tum mire crebrum et celerem.* Magnus eum negat esse celerem, in perpetuum constituere volens hoc, non proprium imbecillitati

Ed. Chart. VIII. [173.] Ed. Bas. III. (87.)

μὴ οἰκεῖον ἀσθενείᾳ τὸν ταχὺν σφυγμὸν εἶναι, ἀλλὰ τὸν πυκνόν. ἔστι γὰρ καὶ τὰ τηλικαῦτα ἀσθενῆ καὶ μικρὸν ὁ Ἀρχιγένης προελθὼν; ἐμοὶ μὲν οὐ κατὰ τὴν ἰσχὺν, φησὶ, τὸ τάχος δοκεῖ κεῖσθαι, ὅταν εὕρω ἐπὶ χολερικῶν καὶ ἐπὶ καρδιακῶν συνηρημένην τὴν κίνησιν τῶν ἀρτηριῶν. ἡ μὲν οὖν λέξις ἡ τοῦ Ἀρχιγένους τοιάδε, πιθανὴ πάνυ καὶ παρακρούσασθαι ῥᾳδίως δυναμένη τὸν ἀκροατὴν, ὡς ἂν ἐξ ὧν οἱ πολλοὶ τῶν ἰατρῶν ἐπιδιδόασι λημμάτων συλλογιζομένη. πάντες γὰρ ὀλίγου δεῖν ὁμολογοῦσι τὸν ἐπὶ τῶν χολερικῶν τε καὶ καρδιακῶν σφυγμὸν ταχὺν ὑπάρχειν. ὑφ᾽ ἡμῶν δ᾽ ἱκανῶς ἐν τῷ πρώτῳ περὶ τῆς διαγνώσεως τῶν σφυγμῶν εἴρηται περὶ τάχους τε καὶ βραδύτητος, ἕτερον μὲν δεικνύντων τὸν ταχὺν, ἕτερον δὲ τὸν ὀλιγοχρόνιον σφυγμόν· ὡσαύτως δὲ καὶ περὶ τῆς βραδύτητος, ἕτερον μὲν τὸν βραδὺν, ἕτερον δὲ τὸν πολυχρόνιον. οὔκουν ἔτι περὶ τῶν αὐτῶν ἐνταῦθα λέγειν προσήκει, ἀλλὰ τοῦ συμπεράσματος μόνου μνημονεύσαντας ὡς ἐν τοῖς προειρημέναις πάθεσιν οἱ σφυγμοὶ βραχυχρόνιοι μέν εἰσιν, οὐ μὴν καὶ ταχεῖς, οὕτως ἐπὶ τὸ προκείμενον ἐπανιέναι. περανθήσεται γὰρ οὐδὲν ἔτι

celerem pulſum eſſe, ſed crebrum; ſunt enim imbecilli illi. Ac paulo inferius Archigenes, *Mihi quidem non in robore,* inquit, *videtur celeritas poſita eſſe, quum in cholericis reperiam et cardiacis arteriarum contractum motum.* Haec Archigenis verba ſunt, multum quidem probabilia, quae facile auditorem circumveniant, utpote ex lemmatibus collecta, quae vulgus medicorum comprobat, ſiquidem in hac ſententia ſunt pene omnes, cholericorum et cardiacorum celerem pulſum eſſe. Nos vero ſatis in primo libro De pulſibus dignoſcendis diximus de celeritate et tarditate: ubi alium monſtravimus celerem eſſe, alium non diuturnum pulſum, itidem de tarditate, non eundem tardum eſſe atque diuturnum. Nihil eſt igitur quod eadem hic repetamus, ſed concluſione duntaxat commemorata, in illis affectibus non diuturnum quidem pulſum eſſe, tamen non celerem, tum ad inſtitutum eſt redeundum. Jam enim Archi-

Ed. Chart. VIII. [173. 174.] Ed. Baf. III. (87.)

τῷ Ἀρχιγένει, μὴ συγχωρηθέντων τῶν ἐν τοῖς χολερικοῖς καὶ καρδιακοῖς πάθεσι σφυγμῶν ταχέων ὑπάρχειν. καίτοι κἂν εἰ ταῦτα συνεχωρεῖτο, σημεῖον μὲν ἀσφαλὲς οὐκ ἐγίνετο ῥώμης δυνάμεως τὸ τάχος, οἰκεῖον δ' αὐτῆς ὑπάρχειν οὐκ ἐκωλύετο, διωρισμένου γε ἤδη σαφῶς πρὸς ἡμῶν ὡς τινὲς μὲν ἐξ ἀνάγκης ἕπονται σφυγμοὶ ταῖς συνεκτικαῖς αἰτίαις, τινὲς δ' οἰκεῖοι μέν εἰσιν αὐταῖς, οὐ μὴν ἀναγκαίως ἀκολουθοῦσι. ὧν μὲν γὰρ σφυγμῶν μιᾶς αἰτίας ἡ γένεσις χρήζει, ταύτῃ διὰ παντὸς ἀκολουθήσουσιν οὗτοι. καὶ σημεῖον γὰρ ἄκρον ἔσονται τῆς αἰτίας ὁ σφοδρὸς μὲν τῆς ἐῤῥωμένης δυνάμεως, ὁ δ' ἀμυδρὸς τῆς ἀῤῥώστου. ὧν δ' εἰ μὴ πλείους συνέλθοιεν αἰτίαι, οὐχ οἷόν τε τὴν γένεσιν συστῆναι, τούτους οἰκείους μὲν εἶναι ταῖς αἰτίαις ἐροῦμεν, οὐ μὴν καὶ δηλοῦν τινα ἐξ ἀνάγκης αὐτῶν μίαν. ὡσαύτως δ' εἰ καὶ πρὸς μιᾶς αἰτίας γίγνοιτό ποτε σφυγμὸς, [174] ἀλλὰ μὴ τῆς αὐτῆς διὰ παντὸς, οἰκεῖος μὲν ἔσται πάσαις ταῖς ποιούσαις αἰτίαις, οὐ μὴν δηλώσει γε βεβαίως αὐτῶν οὐδεμίαν. οὐδὲ γὰρ εἰ τάχος σφυγμῶν, ἐξ ἀνάγκης καὶ ῥώμη δυνάμεως, ἀλλ' ἔστι μὲν ὅτε πλείων ἡ

geni nihil efficietur, quum negatum fit pulfus in cholericis cardiacisque affectibus effe celeres. Et quidem, ut hoc conceffum fit, non fuerit facultatis roboris certum fignum celeritas, fed familiare illi quin fit, nihil obftat, quandoquidem jam fatis aperte declaravimus, quosdam neceffario pulfus confequi continentes caufas, aliquos effe illis familiares, neceffario conjunctos non effe. Nam quorum pulfuum poftulat generatio unam caufam, hanc perpetuo illi comitabuntur et hercle indicium erunt caufae fideliffimum, ut vehemens valentis facultatis, languidus infirmae, at quorum, nifi plures concurrant caufae, conftitui generatio nequeat, hos familiares effe caufis dicemus, non autem fignificare certam ex illis aliquam. Eodem modo fi ex una aliquando caufa pulfus proficiscatur, fed non ab eadem perpetuo, familiaris quidem omnibus caufis erit quae efficiunt eum, conftanter vero ex illis indicabit nullam. Neque fi celeritas fit pulfuum, ftatim robur quoque neceffario facultatis erit, imo

χρεία τῆς γενέσεως τοῦ ψυχικοῦ πνεύματος, ἔστι δ' ὅτε πλεονεξία θερμασίας, ἢ ὀργάνων μαλακότης, ἤ τινα τούτων, ἢ πάνθ' ἅμα. κατὰ ταὐτὰ δὲ καὶ εἰ μέγεθος σφυγμῶν, ἤτοι ῥώμη δυνάμεως ἢ δαπάνη πλείων ψυχικοῦ πνεύματος, ἢ πλεονεξία τῆς ἐν τῇ καρδίᾳ θερμασίας, ἢ ὀργάνων μαλακότης, ἤ τινα τούτων, ἢ καὶ πάντα. Μάγνος μὲν οὖν φήσας οἰκεῖον μὲν εἶναι δυνάμεως ἐῤῥωμένης τὸ τάχος οὐδὲν ἁμαρτάνει. γίνεται γάρ ποτε καὶ διὰ ταύτην ὠκύτερος ὁ σφυγμός. Ἀρχιγένης δ' ἁμαρτάνων ἀντιλέγει, πρῶτον μὲν ὅτι καταψεύδεται τοῦ φαινομένου τοὺς ὀλιγοχρονίους σφυγμοὺς πάντας ταχεῖς εἶναι νομίζων, ἔπειτα δ' ὅτι κἂν ταχεῖς ὦσιν, οἴεται περαίνεσθαι τὸ μηδαμῶς οἰκείους αὐτοὺς ὑπάρχειν ἐῤῥωμένης δυνάμεως, φανερῶς ψεῦδος ὄν. οὐδὲ γὰρ ὡς οὐδέποτε γίνονται σφυγμοὶ ταχεῖς δι' εὐρωστίαν δυνάμεως, ἀλλ' ὡς οὐ διὰ παντὸς ὑπ' ἐκείνης μόνης, περαίνοιτ' ἄν, εἰ καὶ τοὺς προειρημένους σφυγμοὺς ταχεῖς εἶναι συγχωρήσαιμεν. εἰ δ' οὐκ οἰκείους μόνης ἐῤῥωμένης δυνάμεως τοὺς ταχεῖς σφυγμοὺς

eſt quum major ſit uſus generationis animalis ſpiritus et eſt quum caloris ſit copia, vel inſtrumentorum mollities, vel horum quaedam, vel omnia ſimul. Haud aliter, ſi magnitudo ſit pulſuum, erit vel robur facultatis, vel impendium animalis ſpiritus majus, vel calor in corde abundantior, vel inſtrumentorum mollities, vel quaedam horum, vel etiam univerſa. Itaque Magnus, qui familiarem eſſe celeritatem dixit facultati validae, nihil peccat, ſiquidem eſt quum velocior hujus occaſione pulſus fiat. Archigenes vero, qui eum oppugnat, errat primum, quod in eo mentiatur, quod perſpicuum eſt, qui omnes ducat non diuturnos pulſus eſſe celeres, deinde quod ſi ſint celeres, hoc exiſtimat conſequi, haudquaquam validae facultati eos familiares eſſe, id quod plane falſum eſt. Neque enim quin pulſus celeres aliquando a robore facultatis proficiſcantur, verum quod ab illo non ſemper ſolo, conſequetur ut illos, quos diximus, pulſus fateamur celeres eſſe. Quod ſi exiſtimavit non familiares eſſe tantum valenti facultati Magnus pulſus

ὁ Μάγνος ἐνόμιζεν, ἀλλ' ὡς καὶ σημείοις ἐχρῆτο διὰ παντὸς, ἐσφάλλετο. οὐ γὰρ εἰ τάχος σφυγμῶν, ἤδη καὶ ῥώμη δυνάμεως, ἀλλ' ὡς εἴρηται πρόσθεν, ἤτοι τῆς χρείας ἐπειγούσης ἢ τῶν ὀργάνων μαλακωτέρων γινομένων θᾶττον αἱ ἀρτηρίαι κινοῦνται. πότ' οὖν ἕπεται ῥώμῃ δυνάμεως τὸ τάχος καὶ πότε πλήθει θερμασίας, ἢ δαπάνῃ ψυχικοῦ πνεύματος, ἢ ὀργάνων μαλακότητι, βέλτιον ἦν εὑρόντα τὸν Ἀρχιγένην προσθεῖναι τῷ τοῦ Μάγνου λόγῳ. τέλειος γὰρ ἂν οὕτως ἐγένετο καὶ διαρκὴς εἰς ἁπάσας τὰς διαγνώσεις. ἐπεὶ τοίνυν ἐκεῖνος αὐτὸ παρέλιπε, καίτοι πρόσθεν ὑφ' Ἡροφίλου κεκινημένον, ἡμεῖς οἷς καλῶς ὅ τε Μάγνος ἔγραψε καὶ ἔτι μᾶλλον ὁ Ἡρόφιλος τὸ λεῖπον προσθέντες τελείαν τὴν διδασκαλίαν τῆς διαγνώσεως τῶν τὸ τάχος ἐργαζομένων αἰτίων ποιησόμεθα. πρότερον δ' ὑπομνῆσαι χρὴ τῶν ἐν τῷ δευτέρῳ περὶ διαγνώσεως σφυγμῶν εἰ(88)ρημένων, ἵνα τοῖς σημαινομένοις ὑπὸ τῶν ὀνομάτων ἑπόμενοι μηδὲν παρακούωμεν ἐν τῷ λόγῳ. ταχεῖς γὰρ δὴ λέγομεν εἶναι τοὺς σφυγμοὺς, ὡσαύτως δὲ καὶ βραδεῖς, οὐ τοῖς νοσοῦσι μόνον, ἀλλὰ καὶ τῶν

celeres, fed etiam ut fignis femper eft ufus, lapfus eft. Etenim non fi celeritas eft pulfuum, continuo robur etiam eft facultatis, imo vero, ut fupra diximus, fi vel ufus urgeat, vel fint molliora inftrumenta, velocius arteriae moventur. Omnino quando robur facultatis fequitur celeritas et quando caloris copiam, aut exhauftum animalem fpiritum, aut mollitiem inftrumentorum, melius feciffet Archigenes, fi Magni fermoni inveftigatum adjunxiffet: ita enim abfolutus fit fatisque ad omnes dignotiones. Quod ille quando praeteriit, etfi prius ab Herophilo motum, nos quibus bene Magnus et melius etiam Herophilus fcripfit, refiduum addemus, ac doctrinam dignoscendarum quae celeritatem efficiunt caufarum omnibus fuis numeris abfolvemus. Prius tamen faciendum mihi eft ut illorum admoneam quae in fecundo De pulfibus dignofcendis libro docuimus, quo fignificationes affequentes horum nominum, nihil fecus in fermone accipiamus. Celeres dicimus pulfus, itemque tardos non aegrotis modo, verum etiam valentibus nonnullis, quod naturali-

ὑγιαινόντων ἔστιν οἷς, καὶ φύσει γε τοῦτο αὐτοῖς ὑπάρχειν φαμὲν, ὥσπερ οὖν ἑτέροις, οἳ ἂν ἄριστα τῆς κατασκευῆς τοῦ σώματος ἔχωσιν, οὔτε βραδεῖς οὔτ᾽ ὠκεῖς, ἀλλὰ συμμέτρους ὑπάρχειν φύσει τοὺς σφυγμούς. τοῖς δ᾽ αὐτοῖς τούτοις οὐδὲ μεγάλους, οὐδὲ μικροὺς, ἀλλὰ τοὺς μέσους ἀμφοῖν τοὺς συμμέτρους, οὐδὲ πυκνοὺς, ἢ ἀραιοὺς, ἀλλὰ καὶ τοὺς ἐν τούτῳ γένει συμμέτρους. ἐπὶ τούτου τοίνυν πρότερον, τοῦ τὴν ἀρίστην κατασκευὴν ἔχοντος, ὁ λόγος προΐτω. καὶ γὰρ δὴ οἷον κανών τις καὶ μέτρον ὁ τοιοῦτος ἁπάντων ἐστὶ τῶν ἄλλων ἀνθρώπων. μεγάλους γὰρ καὶ μικροὺς καὶ ταχεῖς, καὶ βραδεῖς καὶ τοὺς ἀνάλογον τούτοις ὠνομασμένους καθ᾽ ἕκαστον γένος σφυγμοὺς, τοὺς τὰς ὑπερβολὰς δηλοῦντας, οὐ πρὸς ἄλλον τινὰ ἢ τοῦτον ἀναφέροντες ὀνομάζομεν. ὁ δὴ τοιοῦτος ἄνθρωπος εἰ θερμότερος ἑαυτοῦ γένοιτο καὶ τοῦτο μόνον ἀλλοιωθείη, τὴν μὲν σφοδρότητα τῶν σφυγμῶν οὐκ ἂν ὑπαλλάξειεν, ἀλλ᾽ οὐδὲ τὸ κατὰ σκληρότητα, ἢ μαλακότητα γένος, εἰς μέγεθος μέντοι [175] καὶ τάχος ὑπαλλάξει πάντως, ἔστι δ᾽ ὅτε καὶ εἰς πυκνότητα παρὰ τὸ μᾶλλόν τε καὶ ἧττον ηὐξῆσθαι τὴν θερμασίαν. ὀλίγῳ μὲν γάρ τινι θερμότερος

ter quidem iis ineſſe dicimus, quemadmodum etiam alios, quibus comparatum optime corpus eſt, nec tardos, nec citatos, ſed moderatos natura habere pulſus, eosdemque nec magnos, nec parvos, ſed medios inter utrosque moderatos, neque item crebros, vel raros, ſed et in hoc genere moderatos. Atque de hoc, qui corpore optime eſt conſtituto, priore loco dicamus, ut qui regula ſit et modus caeterorum omnium hominum; magnos enim et parvos pulſus, celeres, tardos, denique qui ad hunc modum ſingulis in generibus appellantur, ac exceſſus denotant, ad nullum alium nunquam praeter hunc, quum illos nominamus, referimus. Hic ergo homo ſi calidior ſolito evaſerit, atque hac re ſit tantum alteratus, vehementiam is pulſuum non immutaverit, imo nec duritiei et mollitiei genus, at in magnitudinem et celeritatem vertet: interim etiam in crebritatem, prout magis vel minus calor increverit. Paulo enim ſi quam ſolet

Ed. Chart. VIII. [175.] Ed. Baf. III. (88.)

ἑαυτοῦ γενόμενος ἐναργῶς μὲν ἕξει μείζους τοὺς σφυγμοὺς, οὐ μὴν καὶ θάττους ἐναργῶς. εἰ δ' ἐπὶ πλέον αὐτῷ τὰ τῆς θερμασίας αὐξηθείη, συναυξηθήσεται μὲν αὐτῷ καὶ τὸ τῶν σφυγμῶν μέγεθος ἀνάλογον, ἐπίδηλον δ' ἔσται καὶ τὸ τάχος. ἐπὶ πλεῖστον δ' αὐξηθείσης τῆς θερμασίας μέγιστοι μὲν οἱ σφυγμοὶ γενήσονται, τάχιστοι δὲ οὐδέπω, ἀλλ' ὡς καὶ πρόσθεν ἐῤῥέθη, τότε πρῶτον, ὅταν ὑπὲρ τὴν μεγίστην αὐξηθῇ διαστολήν. τηνικαῦτα δ' ἤδη καὶ ἡ πυκνότης ἐναργῶς διαγινώσκεται. τοὺς δὲ περὶ τούτων τῶν φαινομένων λογισμοὺς τοὺς μὲν ἤδη φθάνομεν εἰρηκέναι, τοὺς δ' οὐ χαλεπὸν ἐκ τῶν εἰρημένων ἀνευρίσκειν. εἰ μέντοι ψυχρότερος ἑαυτοῦ ὁ τοιοῦτος ἄνθρωπος γένοιτο, πρώτη μὲν ἡ ἀραιότης ἐναργῶς φαίνεται, δευτέρα δ' ἡ βραδύτης, τρίτη δ' ἡ μικρότης. καί τινι τάχ' ἂν δόξειε μάχεσθαι τὰ φαινόμενα καὶ ἀλλήλοις καὶ ταῖς ὑποτεθείσαις αἰτίαις. χρὴ γὰρ, ὥσπερ ἐπὶ τῆς θερμασίας πρῶτον μὲν τὸ μέγεθος, δεύτερον δὲ τὸ τάχος, τρίτη δ' ἡ πυκνότης ἦν, οὕτω καὶ ἐπὶ τῆς ψύξεως πρώτην μὲν γίνεσθαι τὴν μικρότητα, δευτέραν δὲ τὴν βραδύτητα, τρίτην δὲ τὴν ἀραιότητα. τίς οὖν ἡ λύσις τῆς ἀπορίας;

factus calidior fit, manifefto pulfus habebit majores, verumtamen non celeriores aperte. Quod fi amplius illi calor increverit, una cum illo magnitudo pulfuum proportione augebitur: ad haec elucebit celeritas. At fi calor plurimum auctus fit, maximi erunt pulfus, celerrimi vero nondum, fed ut antea tradidimus, tum demum, ubi maximam excefferit diftentionem, jam tum crebritas quoque clare animadvertitur. Horum cur ita appareant rationem partim jam ante explicavimus, partim non magno negotio ex commemoratis invenias. At fi frigidior jufto is homo factus fit, primum raritas perfpicua erit, deinde tarditas, poftremo parvitas. Putaverit aliquis haec evidentia eventa et inter fe et cum pofitis caufis pugnare, par effe enim ut quemadmodum in calore prima erat magnitudo, celeritas altera, crebritas tertia et in frigiditate item prima parvitas, fecunda tarditas, tertia raritas fit. Ergo quae ratio eft expli-

ὅτι τῆς δυνάμεως ἐῤῥωμένης, κἂν τὰ τῆς χρείας ἐλάττω βραχεῖ γένηται, τὴν μὲν πρώτην ἐνέργειαν οὔτε μικρὰν οὔτε βραδεῖαν ἀναγκαῖον γενέσθαι, τὴν δευτέραν μέντοι μετὰ πλείονα χρόνον, εἰ τὰ τῆς χρείας μὴ ἐπεῖγον εὔλογον ὑπάρξεσθαι. ὡς γὰρ καὶ ὅτ' ἤπειγεν ἐκέντριζέ τε καὶ ἀνίστη τὴν δύναμιν ἐπὶ τὴν ἐνέργειαν, οὕτως οὖν ὅτ' οὐκ ἐπείγει, μέχρι πλείονος ἡσυχάζειν ἐπιτρέπει. ἂν μέντοι πλείων ἡ ψύξις γένηται καὶ διὰ τοῦτο τὰ τῆς χρείας ἱκανῶς ἐκλυθῇ, συνεκλυθήσεται μὲν οὕτως καὶ τὸ τάχος τῆς κινήσεως, μικροτέρα δ' εὐθὺς ἔσται καὶ ἡ διαστολὴ, ἐπὶ πλεῖστον δὲ προϊούσης τῆς ψύξεως ἀραιοτάτους μὲν, οὐ μὴν καὶ βραδυτάτους τε καὶ μικροτάτους ἀνάγκη γενέσθαι τοὺς σφυγμοὺς, ἀλλ' ἀρκεῖ βραδυτέρους ἀεὶ καὶ μικροτέρους τῶν κατὰ φύσιν γίνεσθαι. τελέως γὰρ βραδεῖς ἢ μικροὶ τῆς δυνάμεως ἐῤῥωμένης οὐκ ἄν ποτε γένοιντο, κἂν τὰ τῆς χρείας ἱκανῶς ἐκλυθῇ. ταῦτα δὲ φαίνεται κἀπὶ τῶν ἄλλων ἐνεργειῶν ὡσαύτως ἔχοντα. αὐτίκα γοῦν ἐπὶ τῆς βαδίσεως, αὐξηθείσης μὲν τῆς χρείας, τοῦτ' ἔστιν εἰ δεήσειε καθ' ἑκάστην ἡμέραν πολλοὺς διανύειν σταδίους, καὶ θᾶττον καὶ μεῖζον προβαίνομεν καὶ τὰς ἐν ταῖς καταγωγαῖς

candi hujus modi? Quod quum valida facultas eſt, etſi paulo minor ſit uſus, primam actionem nec parvam neceſſe eſt nec tardam eſſe: alteram vero multo poſt, ſi uſus non flagitet, veriſimile eſt fore. Ut enim quum urgebat, facultatem ſtimulabat et excitabat ad officium, ita etiam quietem longiſſimam concedit, ubi non urgeat. Jam ſi major refrigeratio ſit, eoque uſus ſit magnopere remiſſus, una elanguescet celeritas motus atque minor ſtatim erit diſtentio. Si plurimum progreſſa refrigeratio ſit, rariſſimi quidem, ſed non tardiſſimi tamen et minimi neceſſe erit ut ſint pulſus. Sed ſat eſt, ſi tardiores ſemper et minores fiant nativis, exacte quidem certe tardi, vel parvi, ſi valida facultas ſit, quamvis multum ſit uſus remiſſus, nunquam fiant. Eadem caeteris actionibus videas uſui venire, ut ambulationi aucta neceſſitate, id eſt ſi multa ſingulis diebus ſint ſtadia conficienda, velocius et magis progredimur, nec in diverſoriis

διατριβὰς ὀλιγοχρονίους ποιούμεθα. μειωθείσης δ᾽ εἰς τὸ τοσοῦτον, ὡς εἰ τύχοι πεντεκαίδεκα μόνους ἀνύειν δεῖ ἑκάστης ἡμέρας σταδίους, ἐν μὲν ταῖς καταγωγαῖς ἐπὶ πλεῖστον διατρίβομεν, οὐ μὴν εἰς ἔσχατον βραδύτητός τε καὶ μικρότητος ἐκλύομεν τὴν ἐνέργειαν. ὡσαύτως δ᾽ ἔχει κἀπὶ τῆς ἀναπνοῆς. ἀλλὰ περὶ μὲν ταύτης ἐν τοῖς περὶ δυσπνοίας αὐτάρκως εἴρηται.

Κεφ. η΄. Περὶ δὲ τῶν σφυγμῶν αὖθις ἀναλαβόντες εἴπωμεν ὡς ἐπειδὰν μὲν ἢ διὰ θερμασίαν μόνην, ἢ διὰ ψύξιν ἀλλοιῶνται, μηδενὸς τῶν ἄλλων αἰτίων τῶν συνεκτικῶν ἀρχαίας φύσεως ἐξισταμένων ἀνάγκη τὴν ἀλλοίωσιν αὐτῶν οἵαν εἰρήκαμεν γενέσθαι. ἡνίκα δὲ μὴ μόνον τὰ τῆς χρείας, ἀλλ᾽ ἤδη καὶ τὰ τῆς δυνάμεως ὑπαλλάττηται, τέσσαρες μὲν οὕτως ἅπασαι συζυγίαι διάφοροι γίνονται, καθ᾽ ἑκάστην δ᾽ αὐτῶν ὧδέ πως αἱ ἀρτηρίαι φαίνονται κινούμεναι, κατὰ μὲν τὴν ἀῤῥωστοτέραν ἅμα καὶ θερμὴν, εἰ μὲν ἐπιπλέον ὑπ᾽ ἀμ[176]φοτέρων τῶν αἰτίων δυναστεύοιτο, ἥ τε δύναμις ἱκανῶς ἄῤῥωστος εἴη καὶ τὸ θερμὸν πυρῶδες, μικροὶ καὶ βραδεῖς οἱ σφυγμοὶ καὶ πυκνότατοι γίνονται. μετρίας δ᾽

diu commoramur. Sin adeo ſit imminuta, ut ſingulis diebus habeamus quina dena ſtadia verbi gratia duntaxat perficienda, diutiſſime ſubſiſtimus in diverſoriis, attamen non ad extremam tarditatem et parvitatem actionem remittimus. Eadem in reſpiratione ratio eſt, de qua late egimus in commentariis De dyspnoea.

Cap. VIII. Ad pulſus redeamus ac repetamus, quando aut per ſolum calorem, aut frigiditatem alterantur, nec cauſa alia continens a priſtina natura deſciſcat ulla, alteratio eorum talis neceſſario exiſtet, qualem diximus. At ubi non modo uſus, verum etiam mutatur facultas, quatuor tum in univerſum differentiae diverſae erunt, in quarum ſingulis moveri arteriae in hunc modum videntur. In debiliore pariter et calida, ſi multum ab utraque cauſa vincatur, ut magnopere imbecillis ſit facultas et calor igneus, parvi et tardi pulſus creberrimique fiunt: ſin modica noxa

Ed. Chart. VIII. [176.] Ed. Baſ. III. (88.)

οὔσης τῆς βλάβης πυκνοὶ μὲν ὁμοίως, σύμμετροι δὲ κατὰ τὴν διάστασιν καὶ τὴν κίνησιν. τί δή ποτε πυκνοὶ μὲν ὁμοίως, μικροὶ δ' οὐκ ἔθ' ὁμοίως, οὐδὲ βραδεῖς; ὅτι τῆς ἐσχάτης πυκνότητος οὐδέν ἐστι πυκνότερον, ἵν' ὁμοίως ἔχωσιν ἀμφότεροι. εἰ δέ γε καὶ ταύτης δυνατὸν ἦν ἑτέραν γενέσθαι πυκνοτέραν, ἔσχον ἂν πάντως αὐτὴν οἱ ἀσθενέστατοι ὅσον ἐπί γε τῷ μηδέπω τὴν χρείαν πληροῦν. διὰ τί δ' ἐπὶ ταῖς μετρίαις βλάβαις τῆς τε δυνάμεως ἅμα καὶ τῆς θερμασίας οἱ σφυγμοὶ πυκνοὶ μὲν γίνονται, μικροὶ δ' οὐκ ἔτι οὐδὲ βραδεῖς, ἀλλὰ σύμμετροι; ἢ ὅτι τῆς δυνάμεως ἀῤῥωστούσης μὲν, οὐ μὴν εἰς τοὔσχατον συνῃρημένης, σύμμετρος διαστολὴ καὶ κίνησις γένοιτ' ἄν ποτε, καθάπερ καὶ τῶν ἀσθενεστέρων μὲν ἀνθρώπων, ἐπειγομένων δὲ πρὸς τῆς χρείας ἡ σύμμετρος βάδισις. ὃ γὰρ τοῖς ἰσχυροῖς ἄνευ μεγάλης ἀνάγκης, τοῦτο τοῖς ἀσθενεστέροις ἀναγκαζομένοις γίνεται. τοῖς δ' αὐτοῖς τούτοις καὶ τὸ συνεχῶς ἐνεργεῖν, ὁπόταν ὑπὸ τῆς χρείας ἐπείγωνταί τε καὶ οἷον βιάζωνται, συμβαίνει ἀλλ' οὗτοι μὲν εἰ καὶ μόγις, ἀλλ' οὖν πληροῦσί γε τὴν χρείαν. οἱ δ' ἐσχάτως ἀσθενεῖς, κἂν ὅτι μάλιστα προθυμηθῶσιν, ὅσον πλεῖστον δύνανται προσθεῖ-

fit, aeque fiunt crebri, ſed moderati in diſtentione et motu. Quid autem crebri perinde, non autem ex aequo parvi, nec tardi? quoniam nihil extrema crebrius eſt crebritate, ubi ſimiliter habeant ambo. Quod quidem ſi hac fieri etiam alia frequentior poſſet, omnino eam imbecillimi haberent hoc quidem nomine, quod nondum uſum compleant. Quid vero in modicis offenſionibus, tum facultatis, tum caloris pulſus frequentes fiunt, ſed nequaquam parvi, neque etiam tardi, verum moderati? an quia quum imbecilla facultas ſit, non plane tamen dejecta, moderata diſtentio et motus nonnumquam fiet, ſicut hominibus debilioribus quidem, ſed compulſis neceſſitate, moderata eſt ambulatio? quod enim robuſtis citra inſignem neceſſitatem accidit, eo compelluntur imbecilliores. Idem hi hoc habent, ut ubi uſus inſtet et velut compellat, in perpetua ſint actione: nihilominus hi tametſi aegre, at uſum implent. Qui vero plane ſunt imbecilli, etiam ſi maxime contendant quam plurimum poſſint

Ed. Chart. VIII. [176.] Ed. Bas. III. (88. 89.)
ναι μεγέθους τε καὶ τάχους καὶ πυκνότητος ταῖς ἐνεργείαις, οὐδ᾽ οὕτως ἐκπληροῦσι τὴν χρείαν. ὅτι δ᾽ ἀμυδρὸν ἅπαντες ἔχουσιν οἱ ἀσθενεῖς τῇ δυνάμει τὸν σφυγμὸν ἔμπροσθεν εἴρηται, καὶ εἰς τοσοῦτόν γ᾽ ἀμυδρὸν εἰς ὅσον καὶ τὰ τῆς δυνάμεως πεπόνθασιν. περὶ μὲν δὴ τῆς διὰ πλῆθος θερμασίας καὶ ἀῤῥωστίας δυνάμεως κακοσφυξίας ἱκανὰ καὶ ταῦτα. μεταβῶμεν δ᾽ ἐπὶ τὴν ἑτέραν συζυγίαν τὴν ἐξ ἀῤῥωστίας τε καὶ καταψύξεως συγκειμένην· ἐφ᾽ ἧς ἀμυδρὸς μὲν εἰς τοσοῦτον εἰς ὅσον ἂν καὶ τὰ τῆς δυνάμεως ἔχῃ κακῶς ὁ σφυγμὸς γίνεται, μικρὸς δὲ καὶ βραδὺς, ὥσπερ καὶ οἱ ἐπὶ τῆς προτέρας συζυγίας, οὐ μὴν ὁμοίως γ᾽ ἐκείνοις εἰς ἐσχάτην ἀφικνεῖται πυκνότητα, πλὴν εἴ ποθ᾽ ἡ δύναμις ἐσχάτως εἴη κεκμηκυῖα, δῆλον ὡς σμικρότατος ἐπὶ τῶν τοιούτων ὁ σφυγμὸς ἔσται, καὶ διαλείπων τε καὶ ἐκλείπων τὰ πολλά. μετρίως μέντοι τῆς δυνάμεως ἀῤ(89)ῥωστούσης, ἰσχυρᾶς δὲ τῆς καταψύξεως οὔσης, πυκνὸς οὐδόλως ὁ σφυγμὸς γίνεται, ὡς ἂν πληρουμένης τῆς χρείας αὐτάρκως καὶ πρὸς τῆς τοιαύτης δυνάμεως. τρίτη δὲ συζυγία σφυγμῶν ἀλλοιώσεως αὐξανομένης ὁμοῦ θερμασίας τε καὶ δυνάμεως, ἐν ᾗ σφοδρότατοι μὲν καὶ

augere actionis magnitudinem, celeritatem crebritatemque, ne sic quidem respondent usui. Porro pulsum quibus, debilis est facultas omnibus languidum esse diximus antea ;et tam languidum, quam maxime affecta facultas sit. Atque de pulsu depravato per caloris copiam et infirmitatem facultatis haec sufficiunt. Jam ad alteram conjugationem conferamus, quae in imbecillitate constat et refrigeratione cui pulsus competit quum imbecillus pro offensa quidem facultatis, tum parvus tardusque sicut pulsus prioris conjugationis, sed non aeque, ut illi ad extremam devenit crebritatem: praeterquam si quando omnino facultas prostrata sit, tunc plane pulsus minimus erit intermittetque et deficiet frequenter. At modice si facultas infirma sit validaque refrigeratio, creber minime evadit pulsus, utique quod satis efficiat, vel ejuscemodi facultas usui. Tertia est conjugatio pulsuum alterationis, quum simul calor increscit et facultas,

Ed. Chart. VIII. [176. 177.] Ed. Bas. III. (89.)

μέγιστοι, τάχιστοι δ' οὐκ ἔθ' ὁμοίως οἱ σφυγμοὶ γίνονται, πυκνότατοι δὲ τὰ πολλὰ μὲν οὐκ ἐναργῶς, ἔστιν ὅτε μέντοι καὶ σαφῶς ὑπὲρ τὸ κατὰ φύσιν εἰσί. καὶ γίνεται τοῦτο, ὅταν ἐπὶ πλεῖστον αὐξηθῇ τὰ τῆς θερμασίας. τηνικαῦτα γὰρ καίτοι μέγιστος ὁ σφυγμὸς καὶ ταχὺς, ὅμως οὐχ ὑπηρετεῖ τῇ χρείᾳ διὰ τὸ πλῆθος τῆς θερμασίας. ἡ δὲ λοιπὴ καὶ τετάρτη συζυγία τῆς κατὰ τοῦτο τὸ γένος τῶν σφυγμῶν ἀλλοιώσεως, ὅταν εἰς ταὐτὸν ἀφίκηται ῥώμη τε δυνάμεως καὶ θερμασίας ἔνδεια. γίνονται δ' οὗτοι σύμμετροι μὲν τῷ μεγέθει, βραδύτεροι μέντοι καὶ ἱκανῶς ἀραιοὶ καὶ μάλιστα ὅταν ἐπὶ πλέον ἡ ψύξις κρατῇ. βραχείας γὰρ οὔσης τηνικαῦτα τῆς τῶν σφυγμῶν χρείας καὶ πάσης πληρουμένης ῥᾳδίως τῷ μεγέθει τῆς διαστολῆς, εὐλόγως ἐπὶ πλεῖστον ἡσυχάζουσιν αἱ ἀρτηρίαι. ὡς γὰρ ὅτ' ἤπειγεν ἡ χρεία συνεχὴς ἡ κίνησις αὐτῶν ἦν, οὕτω νῦν ὅτ' ἐκλύεται διὰ μακροῦ γίνεται. τὸ μέντοι τῆς διαστάσεως αὐτῶν ποσὸν οὐ κωλύεται σαφῶς οὐδ' ἐναργῶς διὰ τὴν εὐρωστίαν τῆς δυνάμεως. οὐ μὴν οὐδὲ ἡ βραδύτης ἐπὶ πολὺ κρατεῖ διὰ τὴν αὐτὴν αἰτίαν. [177] ἐῤῥωμένη γὰρ ἡ δύναμις σώζεται τὰ κατὰ φύσιν τῆς κινήσεως μέτρα, κἂν ἡ

quam vehementissimi pulsus et maximi comitantur, sed non perinde celerrimi, creberrimi vero fere non sunt aperte; est tamen quum perspicue naturam excedant, id quod accidit, ubi plurimum calor increvit; tunc enim etsi pulsus sit maximus celerrimusque, tamen quae copia est caloris, non respondet usui. Reliquum est quarta alterationis, quae in hoc incidit genus pulsuum, conjugatio, ubi coierint robur facultatis et caloris defectus. Hi magnitudine moderata sunt, sed tardiores et bene rari, maxime ubi praepolleat refrigeratio; nam quum sit paucus tum pulsuum usus, universumque magnitudo distentionis facile tueatur, recte sane diutissime quiescunt arteriae. Etenim, ut quum usus flagitabat, illarum erat perpetuus motus; ita nunc quum est remissus, longis intervallis fit, tamen ob facultatis robur, distentionis non impeditur aperte, vel dilucide quantitas. At nec multum tarditas eadem de causa pollet, siquidem valens facultas naturales motionis tuetur modos, etiam

Ed. Chart. VIII. [177.] Ed. Baſ. III. (89.)

χρεία μὴ καλῇ. μεγάλως μὲν γὰρ δεῖ τὴν χρείαν ἐκλυθῆναι τῆς ψύξεως ἰσχυρῶς κρατούσης, ἵν' ὁ σφυγμὸς ἐναργῶς γένηται μικρότερος. ὡς τὰ πολλὰ δὲ τὴν κατὰ φύσιν σώζει ποσότητα τῆς διαστάσεως, ἢ ὀλίγῳ γέ τινι, καὶ οὐ πάνυ σαφεῖ γίνεται μικρότερος, ἐπὶ πλέον μέντοι βραδύτερος, ἢ μικρότερος ἐν ταῖς καταψύξεσι φαίνεται, παραπλησίως τοῖς βαδίζουσιν, ὅταν μὴ δέωνται τῆς κινήσεως ἠπειγμένης. ἧττον γὰρ οὗτοι τοῦ μεγέθους τῆς βαδίσεως ἀφαιροῦσιν ἢ τοῦ τάχους. καὶ εἰ δεήσειε δέ ποτε θᾶττον αὐτοὺς βαδίσαι, τῷ μεγέθει πλέον ἢ τῷ τάχει προστιθέασι. προσέχειν δ' ἐνταῦθα χρὴ τὸν νοῦν ἀκριβῶς τῷ λεγομένῳ, μή τι παρακούσωμεν αὐτοῦ καὶ δόξωμεν ἐπὶ πάσης διαθέσεως τὴν κατὰ μέγεθός τε καὶ μικρότητα τροπὴν πλείονα γίνεσθαι τῆς κατὰ τάχος καὶ βραδύτητα. πλείων μὲν γὰρ οὐ γίνεται διὰ παντὸς, ἑτοιμοτέρα μέντοι, καὶ διὰ τοῦτο καὶ προτέρα. τὴν γὰρ ἀπὸ τοῦ συμμέτρου μετάστασιν εἰς μέγεθος καὶ μικρότητα ῥᾷόν ἐστιν ἰδεῖν γινομένην τῆς εἰς τὸ τάχος καὶ βραδύτητα. προελθούσης μέντοι τῆς τροπῆς εἰς ἀξιόλογον μέγεθος, ἐὰν ἔτι συμβαίνῃ τὴν

ſi non poſtulet uſus. Omnino ut manifeſte pulſus evadat, magnopere diſſolutum oportet uſum eſſe, frigore admodum ſuperante; plerumque vero diſtentionis tuetur naturalem quantitatem, aut paulum, neque id admodum perſpicuo imminuitur. Caeterum multo tardior quam minor in refrigerationibus apparet, perinde atque illi qui iter faciunt, quum non opus ſit concitato motu; hi enim minus de magnitudine greſſus quam de celeritate detrahunt; quod ſi quando feſtinato opus ſit, plus ad magnitudinem addunt quam ad celeritatem. Hic ne male haec accipiamus et quolibet in ſtatu ducamus variationem magnitudinis et parvitatis mutationem ſuperare celeritatis et tarditatis, animo etiam atque etiam opus eſt attento; neque enim perpetuo praeſtat, caeterum promptior eſt, itaque prior; nam a moderato converſionem ad magnitudinem et parvitatem proclivius videas ſieri hac, quae ad celeritatem tarditatemque. Attamen ſi quum ad inſignem magnitudinem mutatio per-

θερμασίαν αὐξάνεσθαι, τὸ τάχος τηνικαῦτα ἐπιδίδωσιν ἀθρόως. καὶ τοῦτ' εὐλόγως συμβαίνει, καθάπερ καὶ πρόσθεν εἴπομεν. εἰς γὰρ τὸ πληρῶσαι τὴν χρείαν ἀρκεῖ τῇ καρδίᾳ τὸ μέγεθος τῆς διαστολῆς αὐξάνειν, οὐδὲν δεομένῃ καὶ τὸ τάχος ἀνάλογον αὐτῷ συναυξάνειν. ὅταν δ' ἤδη τὸ μέγεθος μὲν ἀξιόλογον ᾖ, εἶτα δὲ καὶ τὰ τῆς χρείας ἐπείγῃ, τότε καὶ τῷ τάχει τὸ λεῖπον πᾶν προστίθησιν· εἰ δὲ μηδὲ τοῦτ' ἀρκοίη, συνεχεῖς ποιεῖται τὰς κινήσεις, ὅπερ ἐστὶ ταὐτὸν τῷ πυκνός. ἀλλὰ περὶ μὲν τούτων ἱκανὰ καὶ ταῦτα.

Κεφ. θ'. Μεταβάντες δ' αὖθις ἐπὶ τὰς τῶν ὀργάνων διαφορὰς ἐπισκεψώμεθα πρῶτον μὲν τοὺς οἰκείους ἑκατέρας αὐτῶν σφυγμοὺς, ἔπειτα δ' ἤδη καὶ τὰς μετὰ τῶν ἄλλων αἰτίων ὑπαλλάξεις, ὥσπερ ὀλίγῳ πρόσθεν ἐποιήσαμεν. ὅτι μὲν οὖν ἐπειδὰν σκληρότερον καὶ μαλακώτερον ἑαυτοῦ γένηται τὸ τῆς ἀρτηρίας σῶμα, καὶ τοὺς σφυγμοὺς αὐτοὺς ἢ σκληροὺς ἢ μαλακοὺς ἀπεργάζεται πρότερον εἴρηται, καὶ οὐ δεῖται μακροτέρων λογισμῶν τὸ τοιοῦτον, ὑπὸ πάντων τῶν ἐναργῶν μαρτυρούμενον, ὡς κατὰ τὴν τοῦ πλήξαντος φύσιν καὶ ἡ τῆς πληγῆς ἀποτελεῖται ποιότης. ὅτι δὲ καὶ μέγεθος μὲν ταῖς

venit, adhuc fiat ut crescat calor, celeritas tum affatim extenditur; quod sicut diximus prius, non immerito accidit; nam ad implendum usum satis est cordi si distentionis augeat magnitudinem; neque velocitatem perinde ac illam requirit auctam. Quum vero luculenta jam sit magnitudo, praeterea urgeat usus, hic tum omne quod desideratur, adjicit celeritas; sin parum sit ea contentum, perpetuos ciet motus, quod perinde est ac crebros facit. Atque de his hactenus.

Cap. IX. Transeamus jam ad instrumentorum differentias ac inspiciamus primum peculiares utriusque earum pulsus; deinde aliarum etiam causarum immutationes, uti fecimus paulo ante. Quod igitur, quum durius solito vel mollius evaserit corpus arteriae, ipsos pulsus id ibi simul reddat vel duros vel molles ante explicatum est; nec quaerit hoc longiorem probationem, quum id omnia perspicua eventa approbent, ferientis naturae respondere qualitatem ictus. Quod vero mollitiei instrumentorum familiaris

μαλακότησι τῶν ὀργάνων, μικρότης δὲ ταῖς σκληρότησιν οἰκεία, λέλεκται μέν τι καὶ περὶ τούτων ἔμπροσθεν, εἰρήσεται δὲ καὶ νῦν διὰ τὴν ἀκολουθίαν τοῦ λόγου. τὸ μὲν μαλακὸν ὄργανον ἑτοίμως ἐκτεινόμενον πάντη ῥαδίως διαστέλλεται, τὸ δὲ σκληρὸν οὐκ ἄνευ μεγάλης βίας. ἕπεται δὲ τῷ μὲν ἑτοίμῳ τῆς διαστολῆς τὸ μέγεθος, τῷ δ' ἀντιβατικῷ τε καὶ δυσπαθεῖ σμικρότης. ὡσαύτως δὲ καὶ τάχος μὲν τῷ προτέρῳ, βραδύτης δὲ τῷ δευτέρῳ γένει, οὐ μὴν κατὰ τὴν αὐτὴν ἀναλογίαν μεγέθει τε καὶ μικρότητι. θάττων μὲν γὰρ ὀλίγῳ, παμπόλλῳ δὲ μείζων ὁ ἐπὶ μαλακότητι τῶν ὀργάνων σφυγμὸς τοῦ διὰ σκληρότητα. τὸ γὰρ ὑμενῶδες τοῦ σώματος τῆς ἀρτηρίας, κἂν σκληρότερόν ποτε γένοιτο, πρὸς μὲν τὸ τάχος τῆς κινήσεως ἕτοιμόν τε καὶ εὐπειθὲς, εἰς δὲ τὸ μέγεθος τῆς διαστολῆς ἁπάντων ἀφυέστατον, εἴ γε χρὴ ῥαδίως ἐκτείνεσθαι πάντη τὸ μεγίστην διαστολὴν ποιησόμενον. τοιοῦτον δ' ἐστὶ τὸ μαλακόν. καὶ ὅταν ἐπὶ πλεῖστον ἐκστῇ τοῦ κατὰ φύσιν ἢ εἰς μαλακότητα, [178] ἢ εἰς σκληρότητα τὸ τῶν ἀρτηριῶν σῶμα, βραδύτερος ὁ μαλακὸς σφυγμὸς τοῦ σκληροῦ γίνεται.

fit magnitudo, parvitasque duritiei, quanquam de his antea verba fecimus, tamen quia ita fluit series orationis, etiam hoc loco exponemus. Molle instrumentum, quoniam prompte extenditur in omnem partem, facile distenditur; durum non absque magno negotio. Jam comes est promptitudinis distentionis magnitudo, renisus et contumaciae parvitas. Itemque celeritas prioris, tarditas alterius generis est comes, non tamen ex aequo ac magnitudo et parvitas. Paulo enim celerior pulsus est ex mollitie profectus instrumentorum pulsu quem creat durities, major permulto, quia corporis arteriae membranositas, quamvis durior interim sit, ad celeritatem quandam motus parata est et facilis, ad magnitudinem vero distentionis omnium ineptissima; nam opus est ut in omnem partem extendatur facile quod maximam distentionem sit affecturum; hujusmodi molle est. Quumque a natura longissime aut ad mollitiem, aut ad duritiem corpus arteriarum recesserit, tardior fit

Ed. Chart. VIII. [178.] Ed. Baſ. III. (89.)

τὸ μὲν γὰρ βραχεῖ τοῦ κατὰ φύσιν μαλακώτερον σῶμα τοῦ βραχεῖ σκληροτέρου, διότι πρὸς τὸ μέγεθος τῆς διαστολῆς εὐπειθέστερόν ἐστι, διὰ τοῦτο καὶ πρὸς τὸ τάχος τῆς κινήσεως, τὸ δ' ἐπὶ πλεῖστον ἐκλυθὲν εἰς μαλακότητα καὶ οἷον καταῤῥέον τε καὶ καταπῖπτον εἰς ἑαυτὸ δι' ὑπερβολὴν ὑγρότητος οὔτ' εἰς τὸ μέγεθος τῆς διαστολῆς ὁμοίως ἕτοιμον οὔτ' εἰς τὸ τάχος τῆς κινήσεως, καὶ κατὰ τοῦτο ἀπολείπεται τῷ τάχει τοῦ σκληροῦ, μεγέθει δὲ καὶ νῦν ἔτι πλεονεκτεῖ οὐ τοῦ σκληροῦ μόνον, ἀλλὰ καὶ αὐτοῦ τοῦ κατὰ φύσιν. αἱ μέντοι τοιαῦται διαθέσεις, ἐν αἷς εἰς ἄμετρον ὑπερβολὴν ἥκουσιν αἱ ἀρτηρίαι σκληρότητος ἢ μαλακότητος, οὐκ ἄνευ καὶ τῆς τῶν ἄλλων συνεκτικῶν αἰτίων γίνονται μεταβολῆς. οὔτε γὰρ τὴν δύναμιν εὔρωστον ἔτι μένειν οἷόν τε οὔτε τὴν θερμασίαν ἐν τοῖς κατὰ φύσιν ὅροις. ὅθεν οὖν αὐτῆς μόνης ἤτοι μαλακότητος ἢ σκληρότητος ἄνευ τῶν ἄλλων αἰτίων τοὺς οἰκείους σφυγμοὺς ἀποφαινώμεθα, μείζους μὲν καὶ θάττους ἐπὶ ταῖς μαλακότησιν ἐροῦμεν, ἐλάττους δὲ καὶ βραδυτέρους ἐπὶ ταῖς σκληρότησι γίνεσθαι, καὶ ἐπὶ πλέον γε μείζους ἢ ὠκυ-

mollis pulſus duro; nam corpus paulo mollius juſto, quia paulo duriore ad magnitudinem ſequacius eſt, idcirco etiam ad motus velocitatem. At vero quod ad extremam diſſolutum mollitiem eſt et veluti laxum et in ſe ipſum per nimiam humiditatem conſidet, neque ad diſtentionis magnitudinem perinde ſequax eſt, neque ad celeritatem motus: itaque celeritate cedit duro, magnitudine tamen nunc non durum tantum ſuperat, ſed ipſum etiam quod in naturali ſtatu eſt. Et ejuscemodi certe ſtatus, qui ad immodicum arterias exceſſum adducunt duritiei et mollitiei, non fiunt ſine mutatione aliarum continentium cauſarum, neque enim conſtare amplius facultas in ſuo robore, nec in terminis calor a natura praeſcriptis poterit. Quamobrem, ubi ipſius ſolius vel mollitiei, vel duritiei, remotis aliis cauſis, proprios pulſus pronunciamus, majores et celeriores dicemus a mollitie, minores tardioresque a duritie fieri; et multo quidem majores quam celeriores ob cauſam quam expli-

τέρους δι' ἣν εἴπομεν ἔμπροσθεν αἰτίαν, πυκνότητι δὲ καὶ ἀραιότητι τοσοῦτον ἀλλήλων τε καὶ συμμέτρου παραλλάττειν, ὅσον ἐκ τοῦ μεγέθους ἢ τῆς μικρότητος ἢ τοῦ τάχους ἢ τῆς βραδύτητος ἐξίστανται τοῦ κατὰ φύσιν. ἐῤῥέθη δὲ καὶ πρόσθεν ὡς ἔστιν αἰτία μία καθόλου πυκνότητος ἐνεργειῶν ἁπασῶν, ὅταν ἐλλιπέστερον τῆς χρείας ἑκάστης συντελῆται. τῶν μὲν οὖν σκληρῶν ὀργάνων ἡ διαστολὴ μικρότερα καὶ διὰ τοῦτ' ἐλλιπεστέρα τῆς χρείας ἡ ἐνέργεια, τῶν δὲ μαλακῶν τοὐναντίον ἀξιόλογος μὲν ἡ διαστολὴ, πληροῦται δ' ἱκανῶς ἡ χρεία. εὐλόγως οὖν τοῖς μὲν σκληροῖς σφυγμοῖς αἱ πυκνότητες, τοῖς δὲ μαλακοῖς αἱ ἀραιότητες ἕπονται. εἰ δὲ σύνδρομοι ποτὲ τῇ μὲν σκληρότητι ψύξις, τῇ δὲ μαλακότητι θερμασία, γένοιντ' ἂν οὕτω οἱ σκληροὶ σφυγ(90)μοὶ τῶν μαλακῶν ἀραιότεροι. κατὰ συμπλοκὴν δέ τιν' ἤδη τῶν ἐν τοῖς συνεκτικοῖς αἰτίοις διαφορῶν ἡ τοιαύτη τῶν σφυγμῶν ἀλλοίωσις γίνεται. ἐπεὶ δὲ κατὰ τὴν ἀκολουθίαν αὐτὴν τοῦ λόγου πρώτης ἐμνημονεύσαμεν τῆς κατὰ σκληρότητα καὶ ψύξιν συζυγίας, τὸ πᾶν ἤδη περὶ αὐτῆς λεγέσθω. σκληρότερον γὰρ τὸ σῶμα τῶν ἀρτηριῶν γενόμενον ἅμα τῇ ψύξει τῆς ἐμφύτου

cavimus nuper; crebritate vero ac raritate tantum a ſe mutuo et a mediocri variare quantum magnitudine, parvitate, celeritate, tarditate a natura recedunt. Dictum praeterea ante eſt, unam omnino cauſam eſſe crebritatis omnium actionum, quum quemque uſum non aſſequantur. Atque durorum inſtrumentorum eſt minor diſtentio, itaque minor uſus actio obitur; mollium contra inſignis eſt diſtentio, impleturque abunde uſus: jure itaque cum duris pulſibus crebritates, cum mollibus raritates cohaerent. Quod ſi quando incidat ut cum duritie reſrigeratio concurrat et calor cum mollitie, tum pulſus duri mollibus evadent rariores; haec tamen pulſuum alteratio fit, concurrentibus differentiis continentium cauſarum. Quando autem eo proceſſit oratio, ut primam commemorarem duritiei et refrigerationis conjugationem, ſummam ejus explicemus. Si durum corpus arteriarum ſit conjunctum cum innati caloris

Ed. Chart. VIII. [178.] Ed. Baf. III. (90.)

θερμασίας τοὺς σφυγμοὺς ποιήσει μικροτέρους τε καὶ βραδυτέρους τῶν κατὰ φύσιν· εἰ μὲν ἡ σκληρότης κρατοίη, μικροτέρους πλέον ἢ βραδυτέρους, εἰ δ' ἡ ψύξις, ἔμπαλιν βραδυτέρους πλέον ἢ μικροτέρους. οὕτω δὲ καὶ πυκνοτέρους μὲν, εἰ ἡ σκληρότης πλεονεκτοίη τῆς ψύξεως, ἀραιοτέρους δὲ, εἰ ἡ ψύξις κρατοίη· εἰ δ' ἴση καθ' ἑκάτερον αὐτῶν ἡ εἰς τὸ παρὰ φύσιν ἐκτροπὴ γένοιτο, τοσούτῳ μικροτέρους ὅσῳ καὶ βραδυτέρους· ἀραιότητι δὲ ἢ πυκνότητι τῶν κατὰ φύσιν οὐδὲν ἀλλοιοτέρους. ὅσον γὰρ ἡ χρεία τῆς γενέσεως αὐτῶν ἀφεῖλε διὰ τὴν ψύξιν, τοσοῦτον καὶ τοῦ ποσοῦ τῆς διαστολῆς καὶ τοῦ χρόνου τῆς κινήσεως συγκαθεῖλεν. οὔκουν δεῖται συνεχέστερον κινεῖν τὰς ἀρτηρίας ἡ φύσις, ὥσπερ ἐν τοῖς πλείστοις τῶν μικρῶν σφυγμῶν, ἐφ' ὧν ἐλλιπεστέρα τῆς χρείας ἡ διαστολὴ, εἰ μέντοι ἡ σκληρότης μὲν ἱκανὴ, ὀλίγη δ' εἴη παντελῶς ἡ ψύξις, αὐτὸ δὲ τοῦτο ἔσται τηνικαῦτα τὸ προειρημένον, τὸ τῆς χρείας ἐλάττονα γινομένην τὴν διαστολὴν συνεχεῖς τὰς κινήσεις ἐργάσασθαι, ὥσπερ οὖν εἰ καὶ τοὔμπαλιν γένοιτο παμπόλλη μὲν ἡ ψύξις, ἐλάττων δ' ἐλαχίστῳ τοῦ κατὰ φύσιν ἡ σκληρότης. ἀνάγκη γὰρ τότε τοὺς σφυγμοὺς

refrigeratione, pulfus efficiet jufto minores et tardiores; fi fuperet durities, minores magis quam tardiores; fin autem refrigeratio, contra tardiores magis quam minores. Ad eundem modum crebriores, fi durities refrigeratione fuperior fit; fin vincat refrigeratio, rariores; at fi par fuerit utriusque a natura receffus, tanto reddet minores quanto tardiores, a raritate vero et crebritate naturali non abducet, fiquidem quantum ufus eorum generationis detraxit ob refrigerationem, tantumdem fimul de quantitate diftentionis temporeque motus abftulit; quare nihil caufae eft cur arteriarum magis natura continuet motum, ficut in plerisque parvis pulfibus, ubi infra ufum manet diftentio. Quod fi tamen infignis durities et pauca omnino fuerit frigiditas, tum id ipfum exiftet quod commemoravimus, nempe distentionem, quae ufum non affequitur, perpetuos creare motus At fi contra accidat, ut permultum fit frigiditatis duritiesque naturali pulfu quam minimo minor, tum pul-

Ed. Chart. VIII. [178. 179.] Ed. Baſ. III. (90.)

ἀραιοτέρους ἐπὶ πλέον ἢ μικροτέρους γενέσθαι, ὅτι καὶ τὰ τῆς χρείας ἐπὶ πλέον ἠλάττωται τοῦ ποσοῦ τῆς διαστολῆς. [179] τοιαύτη μέντοι ἡ πρώτη συζυγία τῶν αἰτίων. δευτέρα δ' ἦν ἐφ' ἧς ἐκράτει μαλακότης ἅμα θερμότητι. τρεῖς δ' ἀνάγκη κἀνταῦθα γενέσθαι τὰς πρώτας διαφορὰς, ποτὲ μὲν ὁμοίως εἴς τε μαλακότητα καὶ θερμότητα τῆς τροπῆς γενομένης, ποτὲ δὲ ἤτοι τῆς μαλακότητος ἢ τῆς θερμότητος κρατούσης. εἰ μὲν οὖν ὅσον ἡ μαλακότης, τοσοῦτον καὶ ἡ θερμότης τοῦ κατὰ φύσιν ἐξίστατο, μεγάλους ἀνάγκη καὶ ταχεῖς γίνεσθαι τοὺς σφυγμοὺς, πυκνοὺς δ' οὐκ εὐθέως, ἀλλ' ὅταν ἡ χρεία τῆς γενέσεως αὐτῶν ὑπὲρ τὸ μέγεθος ᾖ τῆς διαστολῆς. εἰ δ' ἡ μαλακότης κρατοίη, πλεονεκτήσει καὶ μέγεθος τοῦ τάχους· εἰ δ' ἡ θερμότης κρατοίη, οὐκ ἔθ' ἁπλῶς ἀποφήνασθαι δυνατὸν, ἀλλὰ χρὴ διορίσασθαι. παμπόλλης μὲν γὰρ οὔσης τῆς θερμασίας, ὡς μὴ πληροῦσθαι τὴν χρείαν ὑπὸ τῆς ἐνεργείας, πλέον ὠκυτέρους ἢ μεγάλους ἀνάγκη γίνεσθαι τοὺς σφυγμοὺς, εὐθὺς δὲ δηλονότι καὶ πυκνούς· ὅταν δ' ἱκανῶς ἀπολαύῃ τῆς χρείας ἡ φύσις, εἰς ὅσον μεγάλους, εἰς τοσοῦτον καὶ ταχεῖς. τρίτη δ' ἂν εἴη συζυγία τῶν κατὰ

ſus multo rariores neceſſe eſt ſint quam minores, quod uſus etiam longe inferior ſit quantitate diſtentionis. Habes cauſarum primam conjugationem. Altera erat, in qua cum calore pollebat mollities, quae etiam tres neceſſario primas differentias producit; interim enim par mollitiei eſt et caloris mutatio, interim praepollet vel mollities vel calor. Quare ſi quantum naturam mollities relinquat, tantundem deſciſcat ab ea etiam calor, magnos neceſſe eſt et celeres fieri pulſus, non ſtatim tamen crebros; verum ubi generandorum eorum uſus ſuperet magnitudinem diſtentionis, ſi mollities praeſtet, magnitudo etiam vincet celeritatem; ſi calor, non item ſtatuendum eſt abſolute, ſed diſtinctione eſt opus. Si ita abundet calor, ut uſum actio complere nequeat, multo celeriores fiant neceſſe eſt quam majores pulſus, ſimulque etiam crebri; ubi vero naturae ſatisfacit uſus, aeque magni atque celeres. Porro autem tertia erit

ταῦτα τὰ γένη τὸν σφυγμὸν ἀλλοιούντων αἰτίων, ὅταν εἰς ταὐτὸν ἥκῃ σκληρότης θερμότητι. μεγάλης μὲν οὖν τῆς καθ' ἑκάτερον εἰς τὸ παρὰ φύσιν ἐκτροπῆς γινομένης οἱ σφυγμοὶ τάχιστοι μὲν ἔσονται καὶ πυκνότατοι, μικρότατοι δ' οὐκ ἔτι, πλὴν εἰ καὶ τὰ τῆς δυνάμεως ἔχοι κακῶς, ὅπερ οὐχ ὑπόκειται νῦν, ἀλλ' ἥττους μὲν τῶν κατὰ φύσιν, οὐ μὴν εἰς ἔσχατόν γε μικρότητος ἥκοντες. εἰ μέντοι τὰ τῆς θερμασίας ἀμέτρως ἔχοι, τὸ δ' ὄργανον μὴ πάνυ σκληρὸν, ἀλλ' ὀλίγῳ γέ τινι τοῦ συμμέτρου παραλλάττον, οὐχ ὅπως ἐλάττων τοῦ κατὰ φύσιν ἡ διαστολὴ τῶν ἀρτηριῶν, ἀλλὰ καὶ μείζων γένοιτ' ἄν. οἰκείων γὰρ ὄντων σφυγμῶν τῇ μὲν σκληρότητι τῶν ὀργάνων τοῦ μικροῦ, τῇ δ' ἀμετρίᾳ τῆς θερμασίας τοῦ μεγάλου, κατὰ λόγον ἐν τοιαύταις διαθέσεσιν ὁ σφυγμὸς μέγας γίγνεται, συνεξομοιούμενος τῷ κρατοῦντι, ὥσπερ ὅταν ἡ σκληρότης κρατῇ, μικρός· ταχὺς μέντοι πάντως ὁπότερον ἂν τῶν αἰτίων πλεονεκτῇ, καὶ πολὺ μᾶλλον, ὅταν ἡ θερμασία. τηνικαῦτα δὲ καὶ ἡ πυκνότης ἐπιφανεστέρα. λοιπὴ δ' ἂν εἴη συζυγία κατὰ τὰ νῦν προκείμενα γένη τῶν σφυγμῶν, ὅταν εἰς ταὐτὸν ἀφίκηται μαλακότητι ψύξις. ὄντος δὲ κἀνταῦθα τοῦ μὲν μεγάλου

caufarum conjugatio, quae pulfum in hoc genere variant, ubi calori adjuncta durities fit. Atque quum uterque multum a natura recedit, pulfus erunt celerrimi creberrimique, minimi autem nequaquam, nifi fimul facultas affecta fit (fed id hic non pofuimus) fed minores illi quidem jufto, non ad ultimam tamen parvitatem delabentur. At fi immodicus calor fit et inftrumentum non magnopere durum, verum paululum a moderato varietur, tantum abeft ut jufto fiat diftentio arteriarum minor, ut etiam major evadat. Nam quum peculiaris duritiei inftrumentorum parvus fit et magnus immodico calori, jure pulfus in iftis ftatibus fit magnus, affimilatus vincenti, ficut quum praepolleat durities, parvus. At celer erit, utra caufarum excellat, maxime tamen quum calor; tum vero etiam luculentior erit crebritas. Reftat conjugatio in propofitis pulfuum generibus, ubi concurrant mollities frigiditasque. Quia vero magnus

Ed. Chart. VIII. [179.] Ed. Baf. III. (90.)

σφυγμοῦ ταῖς μαλακότησιν οἰκεῖον, τοῦ δὲ μικροῦ ταῖς ψύξεσιν; ὁπότερον ἂν αὐτῶν πλέον ἐξίστηται τῆς φύσεως, ἐκείνῳ συνεξομοιοῦσθαι τοὺς σφυγμοὺς ἀναγκαῖον. ὥστε μεγάλοι μὲν τῆς μαλακότητος τῶν ὀργάνων κρατούσης, μικροὶ δ' ἐν ταῖς ψύξεσιν ἔσονται, σύμμετροι δ', ὅταν ὅσον εἰς μέγεθος ὑπὸ τῆς μαλακότητος αὔξωνται, τοσοῦτον καθαιρῶνται πρὸς τῆς ψύξεως εἰς μικρότητα. καθόλου γὰρ εἰπεῖν οὐκ ἐπὶ τῶν νῦν προκειμένων μόνων αἰτίων, ἀλλὰ κἀπὶ τῶν ἄλλων ἁπάντων τῶν παρὰ φύσιν οἱ σύμμετροι γίνονται σφυγμοὶ, τῶν εἰς τἀναντία τρεπόντων αὐτοὺς ἑκατέρων ὁμοίως δυναμένων, καὶ δόξαν γε ψευδῆ τοῦ κατὰ φύσιν διακεῖσθαι τοὺς οὕτω νοσοῦντας οἱ πολλοὶ τῶν ἰατρῶν ἴσχουσιν. ἀλλὰ περὶ μὲν τούτων ἐν τοῖς δι' αὐτῶν προγνώσεως ἐπὶ πλέον εἰρήσεται· τὸ δὲ νῦν εἶναι τοῦτ' ἀρκεῖ μόνον ἐνδεδηλωμένον, ὅσον τῆς προκειμένης πραγματείας ἴδιον, ὡς πάντες μὲν οἱ κατὰ φύσιν σφυγμοὶ μέσοι τῶν ὑπερβολῶν εἰσι καὶ σύμμετροι, οὐ μὴν ἅπαντές γε οἱ σύμμετροι κατὰ φύσιν.

pulfus hic quoque mollitiei peculiaris eft et parvus frigiditati, utra longius a natura recedat, illi neceffe eft pulfus affimilentur. Itaque magni inftrumentorum praepollente mollitiei, parvi in frigiditatibus erunt; moderati autem, quum quantum a mollitie in magnitudinem producantur, tantumdem a frigore contrahantur in parvitatem. Nam ut femel dicam, moderati pulfus non ex hisce tantum caufis, fed et ex caeteris praeter naturam omnibus fiunt, quum ambae, quae in contrarias partes diftrahunt eos, parem vim habeant; unde falfos illos, qui in eum modum laborant, vulgus putat medicorum naturaliter comparatos effe; verum de his fufius dicam in commentariis De praefagitione ex pulfibus. In praefentia hoc tantum fatis eft declaraffe (quod quidem ad hanc commentationem pertinet) omnes naturales pulfus inter exceffus medios moderatosque effe; non tamen quicunque moderati funt etiam naturales om-

Ed. Chart. VIII. [179. 180.] Ed. Baf. III. (90.)

ἀραιοὶ μέντοι καὶ βραδεῖς οἱ τοιοῦτοι σφυγμοὶ πάντες εἰσὶ, καὶ μᾶλλον ὅταν ἡ ψύξις κρατῇ.

Κεφ. ι'. Ἐπεὶ δὲ καὶ περὶ τούτων εἴρηται τὰ εἰκότα, ἐπαλλάξωμεν ἑξῆς τὰς ἀπὸ τῶν ὀργάνων διαφορὰς ταῖς ἀπὸ τῆς δυνάμεως, [180] ἐκεῖνο πρότερον ἀναμνήσαντες, ὡς ὅσα πλεονεξίᾳ θερμασίας ἕπεται πάθη σφυγμῶν, τοσαῦται καὶ χρεῖαι γενέσεως ψυχικοῦ πνεύματος. ὀργάνων οὖν σκληρότης ἅμα μὲν ἀσθενείᾳ δυνάμεως μικροὺς καὶ βραδεῖς καὶ πυκνοὺς ἀποτελεῖ τοὺς σφυγμοὺς, ἅμα δὲ ῥώμῃ μικροὺς μὲν καὶ πυκνοὺς, οὐ μὴν καὶ βραδεῖς, ἀλλ' ἔστιν ὅτε πολὺ τοῦ κατὰ φύσιν ὠκυτέρους. ὅσον γὰρ διὰ τὴν σκληρότητα τῶν ὀργάνων ἐλλιπὲς τῷ συμμέτρῳ τῆς διαστολῆς, τοσοῦτον ἀναπληροῦται πρὸς τοῦ τάχους τε καὶ τῆς πυκνότητος. εἰ δέ γε μαλακὸν μὲν εἴη τὸ ὄργανον, ἐῤῥωμένη δ' ἡ δύναμις, μείζονες μὲν ἐπιφανῶς οἱ σφυγμοὶ γίνονται, ὀλίγῳ δέ τινι βραδύτεροι καὶ ἀραιότεροι. εἰ δ' ἀῤῥωστία δυνάμεως συνέλθοι μαλακότητι τῶν ὀργάνων, ἴσης μὲν ἀμφοτέρων καὶ μετρίας ἅμα τῆς εἰς τὸ παρὰ φύσιν ἐκτροπῆς γενομένης, σύμμετροί τε καὶ πάνυ

nes esse. Rari quidem et tardi certe id genus omnes sunt pulsus, maxime si superior sit frigiditas.

Cap. X. Sed quandoquidem et de his quae par erat exposuimus, deinceps instrumentorum differentias varias faciamus ex differentiis facultatis, illud prius in memoriam revocantes, quot excellentiam caloris affectus sequuntur pulsuum, tot generandi animalis spiritus usus. Igitur instrumentorum durities conjuncta imbecillitati facultatis parvos pulsus et tardos et crebros concitat, robori parvos atque crebros, non etiam tardos, imo longe interim justo celeriores; quod quantum distentionis mediocritati propter duritiem organorum desit, tantum a celeritate resarcitur et a crebritate. Si vero instrumentum molle sit, facultas autem valida, majores quidem manifesto pulsus fiunt, at aliquanto tardiores rarioresque. Quod si ad mollitiem instrumentorum infirmitas adjuncta sit facultatis, si quidem aequus utriusque simulque modicus fuerit a natura recessus,

Ed. Chart. VIII. [180.] Ed. Baſ. III. (90. 91.)

τοῖς κατὰ φύσιν ὡσαύτως ἔχοντες οἱ σφυγμοὶ φαίνονται, πλὴν ὅσα μαλακότητι διαλλάσσουσιν, ἀμέτρου δ' ἱκανῶς μικροὶ καὶ βραδεῖς καὶ πυκνοὶ γίνονται. ὡσαύτως δ', εἰ καὶ τὰ τῆς ἀῤῥωστίας κρατοίη πολλῷ. καὶ γὰρ οὖν καὶ τότε μικροὶ καὶ βραδεῖς καὶ πυκνοὶ γίνονται. τῆς μέντοι μαλακότητος κρατούσης ἐγγύς τι τῶν κατὰ φύσιν οἱ σφυγμοὶ φαίνονται. βραχεῖ γὰρ ἀπολειπομένη τοῦ κατὰ φύσιν ἡ δύναμις οὐ κωλύεται διαφυλάττειν οὔτε τὸ ποσὸν τῆς διαστολῆς οὔτε τὸ ποιὸν τῆς κινήσεως, ὥσπερ ὅταν ὀργάνων συμπέσῃ σκληρότητι. τηνικαῦτα μὲν γὰρ κωλύεται ἡ διαστολή. πυκνοῦνται δὲ ἐξ ἀνάγκης εἰς τοσοῦτον οἱ σφυγμοὶ εἰς ὅσον ἐλλιπὴς ἑκάστη γίνεται (91) τῶν ἐνεργειῶν. ὅταν δ' ἡ μὲν δύναμις ἐπ' ὀλίγον ἀσθενῇ, μαλακοὶ δ' οἱ χιτῶνες ὦσιν οἱ τῶν ἀρτηριῶν, οὔτε βραδυτέρας γενομένης τῆς κινήσεως οὔτε μικροτέρας τῆς διαστολῆς καὶ διὰ τοῦθ' ἱκανῶς τῆς χρείας πληρουμένης, οὐδ' εἰς πυκνότητά τις γένηται μεταβολὴ τῶν σφυγμῶν.

Κεφ. ια'. Λοιπὸν δ' ἂν εἴη πάσας ὁμοῦ συμπλέξαι τὰς τῶν συνεκτικῶν αἰτίων διαφοράς· γίνονται δὲ τὸν ἀριθμὸν

et moderatos videntur et naturales plane hi pulſus referre, niſi quantum variant mollitie, ſin valde immodicus ſit, parvi et tardi et crebri fiunt. Haud aliter ſi multo imbecillitas praepolleat; etenim tum quoque generantur parvi, tardi, crebri. Verum ſi ſuperior mollities ſit, accedunt pulſus ad moderatos, quod facultas, quum paulo quam naturae lex poſtulat debilior ſit, non impediatur quin retineat et quantitatem diſtentionis et qualitatem motus, ſicut quum incurrit in duritiem inſtrumentorum; ſiquidem quum impeditur ibi diſtentio, tum vero tanto fiunt neceſſario crebriores pulſus, quanto actio quoque fiat imperfectior. Quum autem facultas aliquantum imbecilla et molles tunicae arteriarum ſint, quia nihilo fit tardior motus, neque minor diſtentio, ideoque ſatis uſui efficitur, nulla ſit pulſuum in crebritatem mutatio.

Cap. X. Reſtat jam ut omnes ſimul corrigamus continentium cauſarum differentias, et fiunt conjugationes

ὀκτώ· δύο μὲν, ὅταν ἐκλυθείσης ἅμα τῆς τε δυνάμεως καὶ τῆς χρείας ποτὲ μὲν μαλακώτερόν αὐτοῦ γένηται τὸ ὄργανον, ποτὲ δὲ σκληρότερον, δύο δ' ἄλλαι τῆς μὲν δυνάμεως ἐκλυθείσης, τῆς δὲ χρείας ἐπιταθείσης, τῶν δ' ὀργάνων ἢ μαλακῶν ἢ σκληρῶν γενομένων, καὶ ἄλλαι δύο τῆς μὲν δυνάμεως ἐῤῥωμένης, τῆς χρείας δὲ ἐκλελυμένης ἅμα τῇ τῶν ὀργάνων ὑπαλλαττομένῃ διαφορᾷ. δύο δὲ λοιπαὶ τῆς μὲν δυνάμεως ἐῤῥωμένης, τῆς δὲ χρείας ἐπιτεταμένης, ἅμα τῇ προειρημένῃ τῶν ὀργάνων διαφορᾷ. ἐκλυθείσης μὲν οὖν τῆς δυνάμεως ἅμα καὶ τῆς χρείας εἰς μικρότητα μὲν καὶ βραδύτητα πάντως οἱ σφυγμοὶ τρέπονται καθ' ἑκατέραν τῶν ὀργάνων τὴν διαφορὰν, πυκνοῦνται δ' οὐκ ἐξ ἀνάγκης, ὥσπερ οὐδ' ἀραιοῦνται, ἀλλὰ τούτων ἑκάτερον αὐτοῖς ἐν μέρει προσγίνεται παρά τε τὴν τῶν ὀργάνων διαφορὰν καὶ τὸ ποσὸν τῆς βλάβης καθ' ἑκάστην τῶν συνεκτικῶν αἰτίων. ὀλίγης μὲν γὰρ οὔσης τῆς ἐν τῇ δυνάμει βλάβης καὶ τῶν ὀργάνων μὴ πάνυ σκληρῶν ὑπαρχόντων οὐδεμία γίνεται κατὰ πυκνότητα σφυγμῶν ἀλλοίωσις. ἐῤῥέθη γὰρ καὶ πρόσθεν ὅτι μὴ τοὺς σφυγμοὺς μόνους, ἀλλὰ καὶ πάσας ἁπλῶς τὰς ἐνεργείας πυκνοῦσθαι συμ-

numero octo; duae, quum remissa facultate pariter et usu modo mollius solito sit instrumentum, modo durius; duae alterae, ubi languescat facultas et usus auctus sit instrumentaque vel mollia vel dura; praeterea aliae duae, quando valida sit facultas, sed remissus usus, una cum variante instrumentorum differentia; reliquae duae, quum valens facultas sit, auctus usus, accedatque instrumentorum quam diximus differentia. Ac languida quidem facultate simul et remisso usu omnino in parvitatem et tarditatem mutantur in utraque differentia instrumentorum pulsus; caeterum non redduntur necessario crebri, vel rari; sed vicissim hoc pro instrumentorum iis differentia contingit et pro quantitate laesionis singularum caufarum continentium. Nam si parva facultatis laesio sit, nec insignis instrumentorum durities, nihil crebritate pulsus immutantur, nam hoc docuimus ante, non pulsus modo, sed omnes plane actiones

βαίνει διὰ τὸ καθ' ἑκάστην αὐτῶν ἐλλιπές· τὸ δ' ἐλλιπὲς ὡς τῇ χρείᾳ μετρεῖται, καὶ τοῦτ' εἴρηται πρόσθεν. ὅταν οὖν ἐκλυθῇ μὲν αὐτὴ, βραχεῖα δ' ᾖ τῆς δυνάμεως ἡ βλάβη, τηνικαῦτα μὲν οὐκ ἂν ἐλλιπὴς ἡ ἐνέργεια γένοιτο, πλὴν εἰ δι' ὀργάνων ἄμετρον σκληρότητα. ἐὰν τοίνυν μεγάλως μὲν ἡ δύναμις βλαβῇ, [181] μετρίως δ' ἡ χρεία ἐκλυθῇ, σκληρὰ δ' ἱκανῶς ἀποτελεσθῇ τὰ ὄργανα, μικροτέρους ἀνάγκη γίνεσθαι τοὺς σφυγμοὺς τῆς χρείας, καὶ διὰ τοῦτ' ἐλλιπῆ τὴν ἐνέργειαν, εἰς ὅσον δ' ἐλλιπεστέραν, εἰς τοσοῦτον καὶ πυκνοτέραν. ἀλλὰ καὶ αὐτὴν τὴν μικρότητά τε καὶ βραδύτητα τῶν τοιούτων σφυγμῶν οὐχ ὡσαύτως ἔχειν διὰ παντὸς οἷόν τε. περὶ γὰρ τὸ μᾶλλόν τε καὶ ἧττον ἤτοι τὴν δύναμιν ἢ τὴν χρείαν βεβλάφθαι ἀνάγκη καὶ αὐτοὺς τοὺς σφυγμοὺς ἢ μᾶλλον ἢ ἧττον εἰς μικρότητά τε καὶ βραδύτητα μεταβάλλεσθαι. μικρότεροι μὲν γὰρ καὶ διὰ τὴν ἀῤῥωστίαν τῆς δυνάμεως γίνονται καὶ διὰ τὴν χρείαν ἐκλελυμένην καὶ διὰ τὴν τῶν ὀργάνων σκληρότητα, ἀλλ' ἧττόν τε καὶ μᾶλλον πάσχουσι τοῦτο παρὰ τὸ ποσὸν τῆς ἀλλοιώσεως ἑκάστου τῶν αἰτίων, ἢ κατὰ μόνας, ἢ κατὰ σύνδυο, ἢ πάντων ὁμοῦ βεβλαμμένων·

fieri crebriores ex defectu qui accidit cuique. Jam defectum ufu aeftimari, id fupra expofuimus. Quum ergo remiffus hic fit parvaque laefio facultatis, nifi per inftrumentorum nimiam duritiem, nihil defiderabitur in actione. Atqui fi facultas magnopere fit laefa, modice remiffus ufus, inftrumenta bene dura evaferint, non poterunt pulfus non fieri quam ufus poftulat minores; itaque imperfectum fimul officium, ac quanto quidem imperfectius, tanto etiam crebrius. Jam vero nec ipfa horum pulfuum parvitas et tarditas poteft perpetuo fimilis effe; nam prout facultas plus vel minus aut ufus offenfus eft, etiam pulfus ipfi neceffe eft plus vel minus ad parvitatem tranfeant et ad tarditatem; minores enim redduntur et ob facultatis imbecillitatem et ob ufum remiffum et duritiem inftrumentorum. Hoc tamen pro quantitate alterationis caufarum aut fingularum, aut binarum, aut univerfarum affectarum plus vel

κατὰ μόνας μὲν, ὅταν μικρότατος ὁ σφυγμὸς γένηται, ἤτοι τῶν ὀργάνων σκληροτάτων ἀποτελεσθέντων ἢ τῆς δυνάμεως ἀῤῥωστούσης ἐσχάτως· ἀρκεῖ γὰρ καὶ τὸ ἕτερον αὐτῶν ὁποτερονοῦν, ὡς εἴρηται, βλαβὲν μικρότερον ἐργάσασθαι τὸν σφυγμόν· κατὰ σύνδυο δὲ, ὥσπερ ὅταν ἐσχάτως μὲν γένηται μικρὸς, οὐκ εἰς ἔσχατον δὲ βλάβης ἥκη τι τῶν εἰρημένων αἰτίων, ἀλλ' ἑκάτερον αὐτῶν τοσοῦτον ἀπολείπηται τῆς ἄκρας βλάβης, ὥστε τὸν ἐξ ἀμφοῖν ἀποτελούμενον σφυγμὸν ὁμοίως ἠλλοιῶσθαι τῷ διὰ θάτερον ἐσχάτως βεβλαμμένῳ. οὕτω δὲ καὶ εἰ τὰ τρία γένη τῶν αἰτίων εἰς ἑνὸς σφυγμοῦ γένεσιν συνδράμοι, ποιήσειεν ἄν ποτε τηλικαύτην ἀλλοίωσιν, ὅση καὶ δι' ἓν ἐξ αὐτῶν ἄκρως βεβλαμμένον ἐγένετο. καὶ χρὴ τούτου μεμνῆσθαι παρὰ πάντα τὸν λόγον, ὅπως μή τις ἐξαπατηθεὶς τὴν ἐξ ἁπάντων τῶν αἰτίων ἐσχάτως βεβλαμμένων γινομένην ἀλλοίωσιν ἐξ ἀνάγκης ἡγῆται μείζονα τῆς ἐξ ἑνὸς ὑπάρχειν. ἀρκεῖ γὰρ, ὡς εἴρηται, δι' ἓν ὁτιοῦν αἴτιον ἀκριβῶς βεβλαμμένον εἰς ἐσχάτην ἀλλοίωσιν ἀφικέσθαι τοὺς σφυγμούς. ἡ γοῦν τῆς δυνάμεως εἰς τοὔσχατον κατάπτωσις

minus habent. Singularum, ubi minimus factus pulfus fit, vel ufu penitus remiffo, vel inftrumentis durioribus redditis, vel facultate prorfus infirma; valet enim, vel alterutrum eorum, ut dictum eft, fi offenfum fit, minorem efficere pulfum; binarum, ut quum prorfus factus parvus fit, neutra tamen ex memoratis caufis fumme laefa fit, fed utraque earum hactenus abfit ab extrema offenfione, ut pulfus, quem ambae conftituunt, perinde alteretur atque is quem altera fumme offenfa. Ita etiam fi tria genera caufarum ad unum concurrant pulfum conftituendum, inducant interim tantam alterationem quantam committat etiam una de illis maxime offenfa; quod memoria per omnem disputationem tenendum eft, ut ne deceptus quispiam alterationem putet quae ex omnibus offenfis caufis conftat majorem oportere ea effe quam facit una; valent enim, ficut docuimus, vel de una qualibet caufa, quae prorfus laefa fit, ad ultimam pulfus devenire alterationem. Facultatis igitur ad extre-

μικροτάτους ἐργάζεται τοὺς σφυγμοὺς, κἂν μαλακοὶ μὲν οἱ χιτῶνες οἱ τῶν ὀργάνων ὑπάρχωσιν, ἐπείγῃ δὲ ἡ χρεία, ὥστε καὶ τούτου πάλιν ἐν τῷ καθόλου μεμνῆσθαι χρήσιμον, ὡς πολλάκις μὲν εἰς τὴν τῶν ἐσχάτων σφυγμῶν γένεσιν πλειόνων αἰτίων δεῖ, πολλάκις δ᾽ ἓν ἀπόχρη. μέγιστος μὲν γὰρ οὐ γένοιτο δι᾽ εὐρωστίαν ἄκραν δυνάμεως, εἰ μὴ καὶ τἄλλα συντελῆ, μικρότατος δ᾽ ἄν ποτε γένοιτο δι᾽ ἀῤῥωστίαν. καὶ τό γε τούτου θαυμασιώτερον, τῶν λοιπῶν αἰτίων πολλάκις τὸν ἐναντιώτατον σφυγμὸν οἰκεῖον ἐχόντων, καὶ καθ᾽ ἓν ἐξ αὐτῶν τὸ κρατοῦν ἡ τροπὴ γίνεται. κρατεῖ δ᾽ ἄλλο, νῦν μὲν εἰ τύχοι, δυνάμεως ἀῤῥωστία, δι᾽ ἣν μικρότατος ὁ σφυγμὸς ἐγένετο, αὖθις δ᾽ ὀργάνων σκληρότης, καὶ αὖθις πάλιν χρείας κατάλυσις. ὥσπερ γὰρ ἀῤῥωστούσης ἐσχάτως τῆς δυνάμεως οὐκ ἂν οὔθ᾽ ἡ μαλακότης τῶν ὀργάνων οὔθ᾽ ἡ τῆς χρείας ἔπειξις αὐξήσει τὸ μέγεθος, οὕτω καὶ κατασκληρυνθέντων τῶν ὀργάνων οὐδὲν οὔθ᾽ ἡ δύναμις ἐῤῥωμένη συντελέσει πρὸς τὸ μέγεθος οὔθ᾽ ἡ τῆς χρείας ἔπειξις. ὥσπερ δὲ δι᾽ ἓν αἴτιον ἐσχάτως βεβλαμμένον ἐσχάτη σφυγμῶν ἀλλοίωσις γίνεται

mum dejectio minimos efficit pulfus, etiam fi molles quidem tunicae fint inftrumentorum, urgeat autem ufus. Quare vel hujus iterum operae pretium eft in univerfum meminiffe, ad pulfus extremos conftituendos identidem plures caufas requiri, identidem fatis effe unam; nam maximus fieri ob facultatis fummum robor non poffit citra caeterarum opem, minimus autem nonnunquam ob imbecillitatem poffit; et quod eo magis mirandum eft, licet reliquae caufae frequenter diverfiffimum pulfum habeant peculiarem, tamen ex unius earum victoria fit mutatio. Vincit autem alias alia; modo verbi gratia imbecillitas facultatis, ex qua ortus minimus pulfus eft, modo inftrumentorum durities; interdum remiffio ufus. Nam ut languida femel facultate magnitudinem nec mollities inftrumentorum, nec incitatio ufus augeat, fic inftrumentis exficcatis nil conferet ad magnitudinem nec facultas valida, nec ufus incitatio. Et ut per unam caufam, quae offenfa omnino fit, pulfuum faepe

πολλάκις, οὕτως ἔστιν ὅτε πάντων ἅμα τῶν αἰτίων εἰς ἑνὸς σφυγμοῦ γένεσιν συντελούντων οὐδέπω τὴν ἐσχάτην ἀλλοίωσιν ἔσχηκεν ὁ πρὸς αὐτῶν ἀποτελούμενος. εἰ γὰρ ἅμα μὲν ἄῤῥωστος ἡ δύναμις, ἅμα δὲ ἡ σκληρότης μὲν τῶν ὀργάνων, ἔκλυσις δὲ τῆς χρείας, οὐδ' οὕτως ἀναγκαῖον μικρότατον γενέσθαι τὸν σφυγμὸν, καίτοι πάντων τῶν εἰρημένων αἰτίων μικρὸν γεννᾷν πεφυκότων. ἀλλ' ἐὰν μήτε ἓν ὁτιοῦν ἐξ αὐτῶν εἰς ἔσχατον ἥκῃ βλάβης μήτε τὸ ἐξ ἁπάντων ἀθροιζόμενον κεφάλαιον ἴσον ᾖ τῇ καθ' ἓν μεγίστῃ κακώσει, τὸν σφυγμὸν οὐκ ἐνδέχεται γενέσθαι μικρότατον. ὅπερ οὖν ἔφην, οὐδὲν οὕτω σκοπεῖν χρὴ κατὰ τὰς ἀλλοιώσεις τῶν σφυγμῶν, ὡς τὸ ποσὸν τῆς βλάβης τῶν αἰτίων. [182] ἀλλὰ τοῦτο μὲν κἀν τοῖς περὶ τῆς δι' αὐτῶν προγνώσεως ἐροῦμεν, ἐν δὲ τῷ παρόντι λόγῳ μεταβῶμεν ἐπὶ τὴν τρίτην τε καὶ τετάρτην συζυγίαν τῶν ὀκτὼ τῶν προειρημένων, ἐνταῦθά που καταλιπόντες ἤδη τὸν περὶ τῶν πρώτων δυοῖν λόγον. εἰ γάρ τι καὶ παρεῖται κατὰ ταύτας, ῥᾳδίως ἐκ τῶν προειρημένων ἂν εὑρεθήσεται. ὅταν οὖν ἀῤῥωστῇ μὲν ἡ δύναμις, ἐπείγῃ δ' ἡ χρεία,

extrema mutatio accidit, fic interdum, etiam fi conjunctae fint cunctae caufae ad unum pulfum generandum, pulfus quem conftituunt, haudquaquam fummam affequatur alterationem. Nam fi fimul et imbecilla facultas et dura fint inftrumenta et vere etiam diffolutus ufus, tametfi omnes hae valent caufae pulfum parvum reddere, tamen ne fic quidem minimum neceffe eft pulfum fieri; verum fi nec ulla inter illas fumme laefa fit, neque collectus ex omnibus acervus aequet maximam unius offenfionem, non poterit fieri pulfus minimus. Quamobrem, ut dixi, ante omnia in pulfuum alterationibus attendenda quantitas eft caufarum offenfionis. Sed de hoc etiam in libris de praefagitione ex pulfibus agemus. Nunc ad tertiam et quartam octo commemoratarum conjugationem digrediamur atque hic aliquando dicendi finem faciamus de duabus primis; etenim fi quid fit in iis praeteritum, facile ex iis quae ante diximus invenies. Ergo ubi languescat facultas, urgeat ufus, durumque inftru-

σκληρὸν δ' ᾖ τὸ ὄργανον, μάλιστα μὲν εἰς πυκνότητα, δεύτερον δ' εἰς μικρότητα, τρίτον δ' εἰς βραδύτητα τὴν τροπὴν τῶν σφυγμῶν εὑρήσεις γινομένην, οὐ μήν γ' ἐξ ἀνάγκης οὔτε διὰ παντὸς οὔτε καθ' ἕκαστον αὐτῶν ὁτιοῦν οὔθ' ἅμα συμπίπτει πάντα. μεγάλης μὲν γὰρ οὔσης καθ' ἕκαστον τῶν αἰτίων τῆς βλάβης, μικρότατοι καὶ πυκνότατοι καὶ βραδεῖς οἱ σφυγμοὶ γίνονται· βραδεῖς μὲν, ὅτι καὶ ἡ δύναμις ἀσθενὴς, μικρότατοι δὲ διά τε ταύτην καὶ διὰ τὴν τῶν ὀργάνων σκληρότητα. ὅτι δὲ τοιοῦτοι, διὰ τοῦτο καὶ πυκνότατοι, καὶ πολὺ μᾶλλον, ὡς ἂν τῆς χρείας ἐπειγούσης. καὶ τοίνυν καὶ χωρὶς ταύτης ἀῤῥωστία δυνάμεως ὀργάνων σκληρότητι συνελθοῦσα ἱκανὴ μικροτάτους τε καὶ πυκνοτάτους ἐργάσασθαι τοὺς σφυγμοὺς, ἐξ ἐπιμέτρου δὲ τούτοις τὸ ἀπὸ τῆς χρείας βίαιον προσιὸν εἰς ὄλεθρον μὲν (92) οὐ μικρὰ συντελεῖ, πυκνοτέρους δ' οὐκ ἂν ἔτι τοὺς σφυγμοὺς ἐργάσαιτο. καὶ γὰρ καὶ χωρὶς ταύτης ἦσαν ἤδη πυκνότατοι. εἰ μέντοι βραχεῖα μὲν ἥ τε τῶν ὀργάνων εἴη βλάβη καὶ ἡ τῆς δυνάμεως, πολλὴ δ' ἡ χρεία τῆς γενέσεως αὐτῶν, οὔτε μικρότεροι τῶν κατὰ φύσιν οὗτοί γε οὔτε βραδύτεροι γένοιντ' ἂν, ἀλλ' ἔστιν ὅτε

mentum fit, potiffimum ad crebritatem, deinde ad parvitatem, poftea ad tarditatem pulfus videbis vergere; non neceffario tamen nec perpetuo, nec etiam in quolibet illorum nec fimul concurrunt omnia. Siquidem ubi laefae infigniter fint omnes caufae, minimi et creberrimi et tardi pulfus fiunt; tardi, quod fit infirma facultas; minimi quum ob hanc tum vero ob duritiem inftrumentorum; qui quod tales fint, idcirco funt iidem creberrimi, adeoque quia impellit ufus; quinetiam citra eum facultatis imbecillitas et inftrumentorum durities conjunctae minimos poffunt creberrimosque pulfus reddere. Huc fi cumulus accefferit vis ufus, non parvum erit illud quidem ad exitum momentum, nihilo tamen pulfus efficiet crebriores, quum fint vel fine hoc frequentiffimi. At fi offenfio fit inftrumentorum et facultatis parva ac generationis eorum multus ufus, hi non erunt jufto minores, nec tardiores, imo interdum manifefte

θάττους μὲν σαφῶς, μείζους δὲ κἂν μὴ σαφῶς, ἀλλ' ἴσοι γε ἐναργῶς τοῖς κατὰ φύσιν. ἐπειγούσης γὰρ ἱκανῶς τῆς χρείας, κἂν ἀῤῥωστοτέρα τοῦ κατὰ φύσιν ἡ δύναμις ᾖ, κινεῖται ταχέως. πολὺ δ' ἂν μᾶλλον ηὔξησε τὸ μέγεθος τοῦ τάχους, εἰ μὴ πρὸς τῆς σκληρότητος ἐκωλύετο. νυνὶ δὲ διὰ τοῦτ' ἐπιδηλότερον γίνεται τὸ τάχος τοῦ μεγέθους, ὅτι τῷ μὲν οὐδὲν ἐμποδίζει βραχεῖ σκληρότερον ἑαυτοῦ γενόμενον τὸ ὄργανον, τῷ μεγέθει δ' ἐναντιοῦται μάλιστα πάντων, πυκνοὶ δ' ἐπὶ τῶν τοιούτων οἱ σφυγμοὶ γίνονται τῷ μὴ πληροῦσθαι τὴν χρείαν. εἰ δέ γε βραχεῖα καὶ ταύτης ἡ εἰς τὸ παρὰ φύσιν ἐκτροπὴ γένοιτο, παντελῶς ὀλίγη τε καὶ δυσδιάγνωστος ἔσται καὶ ἡ πυκνότης, πληροῦται γὰρ αὐτάρκως τηνικαῦτα τῷ τάχει τε καὶ τῷ μεγέθει καὶ καθόλου φάναι χρὴ παραβάλλειν ἐπὶ τῆς τοιαύτης συζυγίας τῷ ποσῷ τῆς χρείας τὴν ὑπὸ τῆς δυνάμεως διὰ τῶν ὀργάνων ἀποτελουμένην ἐνέργειαν. ὅσον γὰρ ἀπολείπεται τῆς χρείας ἡ ἐνέργεια, τοσοῦτον ἐπιδίδωσιν εἰς πυκνότητα. μικρότεροι δ' αὖ πάλιν εἰς τοσοῦτον καὶ βραδύτεροι γίνονται τοῖς οὕτω διακειμένοις εἰς ὅσον ἂν ἤτοι τὰ τῆς δυνάμεως ἢ τὰ τῶν ὀργάνων

celeriores, majores autem, fi non aperte, pares certe perfpicuo moderatis. Etenim ubi multum inftat ufus, quamvis fit imbecillior jufto facultas, celeriter movetur, ac longe vero aucturus ultra celeritatem magnitudinem erat, ni durities impedimento fuiffet, nunc eo apertior evadit celeritas magnitudine, quod huic nulli impedimento fit inftrumentum paulo durius folito, ac hoc magnitudini repugnat praeter caetera. Crebri porro in eo genere pulfus fiunt, ut ufus impleatur; qui quidem fi etiam paulum divertat a natura, omnino parva, ut dignosci vix poffit, erit crebritas, quod ufui tum fatisfaciat celeritas et magnitudo. Et quid multis? in hac conjugatione comparanda cum quantitate ufus functio eft, quam per organa obit facultas. Quanto enim inferior functio ufu eft, tantum crescit in crebritatem; contra tanto minores fiunt et tardiores ita comparatis, quantum vel facultas, vel inftrumenta naturalem

Ed. Chart. VIII. [182. 183.] Ed. Baſ. III. (92.)

ἐξίσταται τοῦ κατὰ φύσιν. ἀλλὰ περὶ μὲν τῆς τρίτης ἐπαλλάξεως τῶν αἰτίων ἱκανὰ καὶ ταῦτα· περὶ δὲ τῆς τετάρτης συζυγίας ἤδη λεκτέον, ἐφ᾽ ἧς ἄῤῥωστος μὲν ἡ δύναμις, ηὔξηται δ᾽ ἡ χρεία σὺν τῇ τῶν ὀργάνων μαλακότητι. δῆλον οὖν κἀπὶ ταύτης ὡς εἰ μὲν ἡ κατὰ τὴν χρείαν αὔξησις παμπόλλη γένοιτο, βραχὺ δ᾽ ἀπολείποιτο τοῦ κατὰ φύσιν ἥ τε δύναμις καὶ τὰ ὄργανα, πολὺ μᾶλλον εἰς μέγεθος ἤπερ εἰς τὸ τάχος ἐπιδώσουσιν οἱ σφυγμοί. κατὰ μὲν γὰρ τὴν πρὸ ταύτης εἰρημένην συμπλοκὴν ἡ σκληρότης τῶν ὀργάνων ἀντέπραττε τῷ μεγέθει τῆς διαστολῆς, κατὰ δὲ τὴν νῦν προκειμένην οὐχ ὅπως ἀντιπράττει πρὸς τὴν διαστολὴν ἡ μαλακότης αὐτῶν, ἀλλὰ καὶ συνεργεῖ πάντων μάλιστα. μείζων οὖν ἐναργῶς ἔσται τοῦ κατὰ φύσιν ὁ σφυγμὸς, οὐ μὴν ὁμοίως γε καὶ θάττων ἐναργῶς. ἔσται δὲ καὶ πυκνότερος ὁ τοιοῦτος σφυγμὸς τοῦ κατὰ φύσιν, οὐ μὴν ὡσαύτως, οὐδ᾽ οὕτως τῷ κατὰ τὴν τρίτην συζυγίαν, ὅτι νῦν ἡ χρεία μᾶλλον ἢ κατ᾽ ἐκείνην πληροῦται. [183] εἰ δὲ τὰ μὲν ἀπὸ τῆς χρείας τε καὶ τῆς δυνάμεως ὀλίγῳ τινὶ παραλλάττοιτο τοῦ κατὰ φύσιν, ἡ δ᾽ εἰς μαλακότητα τροπὴ τῶν ὀργάνων εἴη συχνὴ,

relinquant modum. At de cauſarum tertia variatione ſatis haec ſunt. Accedamus jam ad quartam conjugationem, ubi infirma facultas eſt et major eſt uſus, una cum inſtrumentorum mollitie. Sane in hac quoque ſi permultum uſus increscat et non multum a natura facultas discedat et inſtrumenta, omnino longe magis in magnitudinem increscent pulſus quam in celeritatem. Nam durities inſtrumentorum in proxima ſuperiore conjugatione magnitudini diſtentionis reſiſtebat; in hac non tantum non officit diſtentioni mollities illorum, ſed prae caeteris adjuvat etiam. Itaque juſto major plane pulſus erit, ſed non perinde celer aperte. Jam crebrior etiam juſto erit is pulſus, nec tamen hic perinde ac ille tertii complexus, quod uſu hic magis quam illic ſatisfiat. Quod ſi paululum uſus et facultas a naturali ſtatu recedant, inſtrumenta vero multum ad mollitiem desciscant,

πλησίον τῶν κατὰ φύσιν ἐν ταῖς τοιαύταις διαθέσεσιν οἱ σφυγμοὶ γενήσονται καὶ τῷ ποσῷ τῆς διαστολῆς καὶ τῷ ποιῷ τῆς κινήσεως καὶ τῷ χρόνῳ τῆς ἡσυχίας, ἑνὶ δὲ μόνῳ τῷ μαλακῷ τῆς προσβολῆς, τοῦτο γὰρ ἴδιον ἀχώριστον αὐτῶν, διαλλάξουσι τῶν κατὰ φύσιν. εἰ δὲ τὰ τοῦ μὲν ἀπὸ τῆς χρείας τε καὶ τῶν ὀργάνων μὴ μεγάλην ἔχοι τὴν ἐκτροπὴν, ἡ δύναμις δ' ἰσχυρῶς κάμνοι, μικροὶ μὲν ἱκανῶς καὶ πυκνοὶ, μετρίως δ' ἂν εἶεν οἱ τοιοῦτοι βραδεῖς. ἀρκεῖ καὶ περὶ ταύτης τῆς συμπλοκῆς τοσαῦτα. μεταβῶμεν δ' ἐπὶ τὰς ἑξῆς δύο, κοινὸν μὲν ἐχούσας τήν τε ῥώμην τῆς δυνάμεως καὶ τὴν χρείαν τῆς γενέσεως τῶν σφυγμῶν ἐκλελυμένην, διαφερούσας δ' ἐν τοῖς ὀργάνοις. ἡ μὲν δὴ ἑτέρα αὐτῶν, ἐφ' ᾗ σκληρὸν μὲν τὸ ὄργανον, εὐρωστία δ' ἐστὶ δυνάμεως, ἐλάττων δ' ἡ χρεία, μικροτέρους μὲν πάντως ἐργάζεται τοὺς σφυγμοὺς, οὐ μὴν οὔτε βραδυτέρους οὔτε πυκνοτάτους ἐξ ἀνάγκης. ἀλλ' εἰ μὲν ἱκανῶς ἐκλυθείη τὰ τῆς χρείας, μετρίως τῶν ὀργάνων ἐσκληρυσμένων, οὐ μικρότεροι μόνον, ἀλλὰ καὶ βραδύτεροι σαφῶς καὶ ἀραιότεροι γενήσονται. εἰ δὲ πλείων ἡ τῶν ὀργάνων εἴη κάκωσις ἤπερ

ad mediocritatem pulfus horum affectuum accedent, tum quantitate diftentionis tum motus qualitate, praeterea quietis tempore, una tantum occurfus mollitie (nam hoc proprium iis infeparabile) excedent ftatum naturalem. Quod fi non ita deflectant multum ufus et inftrumenta, facultas autem vehementer laboret, tales pulfus fatis parvi erunt et crebri, modice vero tardi. Atque hactenus fatis etiam fit de hac concurfione egiffe. Conferamus nos jam ad proximas duas, quae commune habent robur facultatis ufumque pulfuum generandorum remiffum, fed diftant inftrumentis. Itaque altera illarum, in qua durum inftrumentum eft, valida facultas, minor ufus, minores plane pulfus creat, non tardiores tamen, nec crebriores neceffario. Verum fi admodum remiffus fit ufus et dura modice inftrumenta, non minores modo, verum etiam perfpicuo tardiores rarioresque fient. Sin vitium inftrumentorum vincat vitium ufus,

Ed. Chart. VIII. [183.] Ed. Baf. III. (92.)

ἡ τῆς χρείας, μικρὸς ἱκανῶς ὁ τοιοῦτος σφυγμὸς γίνεται καὶ διὰ τοῦτο πυκνὸς, διὰ δὲ αὐτὸ τοῦτο καὶ ἧττον βραδὺς τοῦ κατὰ τὴν προτέραν διάθεσιν. εἰ γὰρ μήθ' ἡ χρεία πληροῦται καὶ ἡ δύναμις εὔρωστός ἐστιν, οὐκ ἄρ' ἀξιολόγως γένοιτο βραδύς. οὐ πληροῦται δ' ἡ χρεία διὰ τὴν μικρότητα διαστολῆς. αὕτη δ' εἵπετο τῇ σκληρότητι τῶν ὀργάνων. μαλακὰ δ' εἴπερ ἦν, οὐκ ἂν ἐλάττων σαφῶς τοῦ κατὰ φύσιν ὁ σφυγμὸς ἦν, πλὴν εἰ μὴ μεγάλως ἠλάττωτο τὰ τῆς χρείας. καὶ πάντως ἂν εἰς τοσοῦτον ἀραιότερος ἐφαίνετο, εἰς ὅσον ἂν καὶ τὰ τῆς χρείας καθῄρητο. καὶ μέντοι καὶ βραδὺς σαφῶς μὲν ἐπὶ ταῖς ἀξιολόγοις τῆς χρείας ὑπαλλαγαῖς, οὐ σαφῶς δ' ἐπὶ ταῖς ἐλάττοσι. ἀλλ' ἤδη καὶ περὶ τούτων τῶν συμπλέξεων αὐτάρκως διειλεγμένοι τῶν ὑπολοίπων δυοῖν μνημονεύσωμεν, ἐφ' ὧν αὐξηθείσης μὲν τῆς χρείας, ῥωσθείσης δὲ τῆς δυνάμεως οἱ χιτῶνες τῶν ἀρτηριῶν ποτὲ μὲν μαλακοὶ, ποτὲ δὲ σκληροὶ γίνονται. μαλακῶν μὲν δὴ ὄντων αὐτῶν πάντως μὲν οἱ σφυγμοὶ μεγάλοι τε καὶ ταχεῖς γενήσονται, πυκνοὶ δ' οὐκ ἐξ ἅπαντος, ἀλλ' ὅταν ἐξαίσιος ἡ τῆς χρείας αὔξησις ᾖ. τηνικαῦτα γὰρ οὔτε τὸ μέγεθος τῆς διαστολῆς οὔτε τὸ τάχος τῆς κινήσεως

abunde fit is pulfus parvus, itaque creber, eademque de caufa minus tardus illo prioris ftatus; fi enim nec ufus completur et valida eft facultas, non ita infigniter fiet tardus. Atqui non completur ufus propter diftentionis parvitatem, quae quidem duritiem comitabatur inftrumentorum; haec enim fi mollia effent, non minor, quod animadverti poffet, foret naturali, nifi fingulariter ufus fit imminutus, et omnino hoc rarior apparebit, quo diffolutior fit ufus. Et vero etiam tardus aperte quidem in mutationibus infignibus ufus, non aperte in minoribus. At quando et fatis de his concurfibus disputavimus, ad reliquos jam duos accedamus; in quibus tunicae arteriae, ufu aucto, valente facultate, nunc molles funt, nunc durae. At molles fi fint, prorfus pulfus magni et celeres erunt; crebri non femper, fed ubi immodicum ufus fit incrementum; nam tum quidem nec magnitudo diftentionis nec celeritas motus

ἱκανὰ πληροῦν τὴν χρείαν. ὀλίγης δ' οὔσης τῆς ὑπερβολῆς ἀποχρώντως ὑπηρετεῖ καὶ τὸ μέγεθος μόνον. εἰ μέντοι σκληροὶ γενηθεῖεν οἱ τῶν ἀρτηριῶν χιτῶνες, πολυειδῶς ἐν ταῖς τοιαύταις διαθέσεσιν οἱ σφυγμοὶ τρέπονται. βραχείας μὲν γὰρ οὔσης τῆς σκληρότητος, ἀξιολόγου δὲ τῆς κατὰ τὴν χρείαν ὑπαλλαγῆς καὶ μείζους καὶ θάττους καὶ πυκνότεροι τῶν κατὰ φύσιν ἔσονται. ἴσης δὲ καθ' ἑκάτερον τῶν αἰτίων τῆς εἰς τὸ παρὰ φύσιν ἐκτροπῆς γενομένης, καὶ μηδὲ πάνυ τι μηδ' ἑτέρας ἰσχυρᾶς, ἴσοι μὲν τοῖς κατὰ φύσιν, ὠκύτεροι δὲ καὶ πυκνότεροι γίνονται. εἰ δ' ἰσχυρὰ βλάβη καὶ τῆς χρείας καὶ τῶν ὀργάνων γένοιτο, τῶν μὲν σκληρυνθέντων ἐπὶ μᾶλλον, τῆς δ' ἐπειγούσης ἀμετρότερον, θάττους μὲν ἂν ἔτι καὶ νῦν εἶεν τῶν κατὰ φύσιν, μικρότεροι δὲ καὶ πυκνότεροι.

Κεφ. ιβ'. Ἐπεὶ δὲ καὶ περὶ τούτων εἴρηται τὰ εἰκότα, λοιπὸν ἂν εἴη προχειρισάμενον ἕνα τινὰ σφυγμὸν ἐπ' αὐτοῦ διδάξαι τὸ χρήσιμον τῆς αὐτοῦ γυμνασίας. ἔστω δὴ ὁ ταχὺς, ὃν οἰκεῖον ῥώμης τε καὶ δυνάμεως ἐλέγομεν ὑπάρχειν καὶ χρείας ἐπειγούσης καὶ ὀργάνων μαλακότητος. πῶς οὖν οὗτος

complendo eſt uſui; ubi vero parvus exceſſus ſit, abunde vel ſola ſuppeditat magnitudo. Nam ſi arteriarum durae ſint tunicae, varie in ejuscemodi ſtatibus mutantur pulſus. Parva enim ſi durities ſit, ſed uſus inſignis mutatio, majores, celeriores crebrioresque quam juſtum ſit evadent. Sin autem aequo utraque cauſa intervallo receſſerit a natura, neutraque admodum longo, pares quidem naturalibus, ſed celeriores atque crebriores fiunt. Jam ſi inſignis offenſio uſus et inſtrumentorum ſit, ut haec plane duriora ſint reddita, ille urgeat nimium, celeriores etiamnum erunt moderatis, at minores ac crebriores.

Cap. XII. Quia vero quae de his dicenda erant diximus, ſupereſt ut pulſum unum aliquem proponamus, in quo doceamus uſum et fructum hujus exercitationis. Sit vero celer, quem peculiarem robori facultatis eſſe uſuique urgenti et mollitiei inſtrumentorum docuimus. Quonam

[184] εὑρεθεὶς ἐφ' ἑνὸς ἀῤῥώστου διορισθήσεται, πηνίκα μὲν ὑφ' ἑνὸς τῶν εἰρημένων αἰτίων, πηνίκα δ' ὑπὸ δυοῖν, ἢ καὶ πάντων γίνεται; τόνδε τὸν τρόπον. ἐπειδὴ τῆς μὲν ἰσχυρᾶς δυνάμεως ὁ σφοδρὸς ἀχώριστός ἐστι, τῶν δὲ μαλακῶν ὀργάνων ὁ μαλακὸς, ὅταν μὲν χωρὶς ἀμφοτέρων τούτων τὸ τάχος, ἐκ τῆς χρείας ἐπειγούσης μόνης γίνεται, ὅταν δὲ μετὰ θατέρου, πάντως μὲν καὶ ἐπ' ἐκείνου, τοῦτο γνώρισμα παρέχοντος, ἐξ ἀνάγκης δὲ καὶ διὰ τὴν τῆς χρείας αὔξησιν. ἐδείχθη γὰρ ἔμπροσθεν ὡς οὐχ οἷόν τε γενέσθαι ταχεῖς σφυγμοὺς, ὥσπερ οὐδὲ μεγάλους ἄνευ τοῦ τὴν χρείαν καλεῖν. ὁπόσον μὲν οὖν τι μετέβαλεν εἰς (93) ῥώμην, ἢ εἰς ἀῤῥωστίαν ἡ δύναμις, ἐκ τῶν ἰδίων αὐτῆς σφυγμῶν ἔνεστι διαγινώσκειν. οὕτω δὲ καὶ περὶ τῶν ὀργάνων τῆς ποιότητος. καὶ γὰρ καὶ ταύτης ἐνδεικτικοὺς ἔχομεν σφυγμούς. ὁπόσον δὲ ἡ χρεία τῆς γενέσεως αὐτῶν, τεκμήρασθαι χρὴ συλλογιζόμενον ἐκ τῆς κατὰ τὸ μέγεθός τε καὶ τὴν πυκνότητα καὶ τὸ τάχος μεταβολῆς. εἰ γὰρ καὶ μέγιστος καὶ πυκνότατος ἅμα αὐτὸς εἴη καὶ τάχιστος, ἐσχάτως ἐπείγεται τῆς χρείας· εἰ δ' ἁπλῶς μέγας τε καὶ

hunc pacto, quum eum oftenderimus, in uno aegroto explorabimus, quando ex una illarum caufarum, quando ex duabus, quando etiam ex omnibus natus fit? Ad hunc modum. Quandoquidem a valida facultate vehemens non poteft fejungi, nec a mollibus inftrumentis mollis, fi cum neutro horum fit celeritas conjuncta, ab ufu folo provenit urgente. Ubi vero cum altero, omnino ex illo oritur, quod fignum hoc edit, et etiam neceffario ex ufus incremento; oftenfum enim eft ante celeres pulfus non poffe exiftere, nec vero etiam magnos, nifi poftulet ufus; at quatenus ad robur, vel imbecillitatem facultas tranfit, ex propriis ejus pulfibus dignoscas licet. Eadem eft ratio in qualitate inftrumentorum; etenim hanc etiam pulfus habemus qui prodant. Quantus autem generationis eorum fit ufus, conjectandum eft atque colligendum ex commutatione magnitudinis, crebritatis et celeritatis. Si enim maximus pariter et creberrimus idem fit et celerrimus etiam, fumme urget ufus; fin

Ed. Chart. VIII. [184.] Ed. Baf. III. (93.)

θάττων βραχεῖ, μὴ μέντοι μέγιστός τε καὶ πυκνὸς, οὐκ ἂν εἴη μεγάλη τῆς χρείας ἡ μεταβολὴ πρὸς τῷ καὶ ἀπὸ τῶν ἄλλων γνωρισμάτων χωρὶς τῶν σφυγμῶν δύνασθαι προγινώσκεσθαι τὰ τῆς χρείας πῶς ἔχει. εἴτε γὰρ θερμασίας εἴη πλῆθος εἴτε δαπάνη τοῦ ψυχικοῦ πνεύματος, οὐ χαλεπὸν διορίσασθαι. ἡ μὲν γὰρ θερμασία τὴν ἁφὴν οὐκ ἂν λάθοι, τὰ πολλὰ δὲ καὶ τῷ τῆς δυσπνοίας ἤδη σαφέστατα γνωρίζεται καὶ δίψει καὶ τῇ ἔνδον αἰσθήσει τοῦ κάμνοντος. ἡ δὲ τοῦ ψυχικοῦ πνεύματος ἀνάλωσις ἔν τε τοῖς γυμναζομένοις καὶ διαφορουμένοις καὶ τοῖς εἴσω ῥεύμασι γίνεται, ὧν οὐδὲν λάθοι τὸν ἰατρόν. οὐδὲ χρὴ νῦν ἡμᾶς ἐπὶ πλέον ὑπὲρ αὐτῶν λέγειν, οὐ γὰρ τῆς ἄρτι προκειμένης πραγματείας ὅτι μὴ πάρεργον, ἀλλὰ τῆς προγνωστικῆς ἐστιν ὁ τοιοῦτος λόγος. ἐμνημονεύσαμεν δ' αὐτοῦ νῦν ἐνδείξασθαι τοῖς περὶ τὸν Ἀρχιγένην βουλόμενοι, πρὸς τοῖς περὶ τῆς γενέσεως τοῦ ταχέος σφυγμοῦ κακῶς αὐτοῖς εἰρημένοις, ὡς οὐ χαλεπόν ἐστιν ἐξευρίσκειν ἑκάστοτε τὴν ποιήσασαν αἰτίαν. ἔσται δὲ καὶ διὰ τῶν ἑξῆς ἔτι σαφέστερον ταὐτὸ τοῦτο, περὶ τῶν ὑπολοίπων

magnus tantum et paulo celerior, nec etiam maximus et creber, usus non sit magna immutatio. Etiam poterit ex aliis quoque signis citra pulsus ut usus habeat praesciri. Sive enim copiosus sit calor, sive exhauriater animalis spiritus, haud id magno negotio explorabis, quod tactum calor non fugiat et hercle saepenumero etiam ex forma difficultatis spirandi sitique prodatur, atque interno laborantis sensu; animalis autem spiritus consumitur in exercitationibus et immodicis per halitum digestionibus fluxionibusque intro vergentibus, quorum nihil est quod medicum praeterire possit. Nec hoc loco ista longiorem quaerunt orationem; neque enim ad propositam commentationem nisi obiter, sed ad praesagitionem pertinet ea disputatio. Attingimus autem hic eam, quo Archigeni ostenderemus quum erraffe ipsum in prodenda celeris pulsus origine, tum in promptu semper esse efficientis causae inventionem. Eritque id ipsum ex sequentibus multo apertius, si prius de

σφυγμῶν τῆς γενέσεως εἰ διέλθοιμεν πρότερον, οἷον τῶν τε ἀτάκτων καὶ ἀῤῥύθμων καὶ ἀνωμάλων καλουμένων, καὶ μάλιστα εἰ καὶ κατὰ μίαν διαστολὴν τῆς ἀρτηρίας εἶεν τοιοῦτοι.

origine narremus reliquorum pulſuum, ut inordinatorum, arrhythmorum et inaequalium, quos vocant; praecipue ſi tales in arteriae una diſtentione ſint.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΤΩΝ ΕΝ ΤΟΙΣ ΣΦΥΓΜΟΙΣ ΑΙΤΙΩΝ ΒΙΒΛΙΟΝ Β.

Ed. Chart. VIII. [185.] Ed. Bas. III. (93.)

Κεφ. α'. Περὶ μὲν οὖν τοῦ σφοδροῦ σφυγμοῦ καὶ τοῦ σκληροῦ καὶ τοῦ μεγάλου καὶ προσέτι ταχέος τε καὶ πυκνοῦ καὶ τῶν ἐναντίων αὐτοῖς διὰ τοῦ πρώτου δεδήλωται λόγου, τίς θ' ἡ γένεσις ἑκάστου καὶ πόσων αἰτίων δεῖται καὶ πῶς ἀλλήλοις συμπραττόντων καὶ τίνες μὲν ἐξ ἀνάγκης αὐτῶν ἕπονται ταῖς γεννώσαις αἰτίαις, τίνες δ' οἰκεῖοι μέν εἰσιν αὐταῖς, οὐ μὴν ἀναγκαίαν γε τὴν ἀκολουθίαν ἔχουσιν. ἑξῆς δ' ἂν εἴη περὶ τῶν ὑπολοίπων σφυγμῶν τῆς γενέσεως διελθεῖν, καὶ πρῶτόν γε τῶν ἀνωμάλων.

GALENI DE CAVSIS PVLSVVM LIBER II.

Cap. I. Ac de vehementi quidem pulsu et duro, atque magno, praeterea celeri, crebro contrariisque horum in primo libro explicavimus, quae cujusque origo sit et quot indigeat causis, tum quemadmodum inter se conspirantibus; ad haec qui illorum necessario efficientes comitentur causas, ac qui familiares quidem sint iis, non consequantur tamen necessario. Reliquum est de caeterorum pulsuum ut agamus generatione, atque primum inaequa-

Ed. Chart. VIII. [185. 186.] Ed. Baf. III. (93.)

ἐπεὶ δὲ τούτων οἱ μὲν ἐν μιᾷ κινήσει τῆς ἀρτηρίας τὴν ἰσότητα διαφθείρουσι, οἱ δ' ἐν πλείοσιν, ἥν περ δὴ καὶ συστηματικὴν ἀνωμαλίαν ἔθος ἐστὶ τοῖς ἰατροῖς ὀνομάζειν, καὶ ἔστιν αὕτη πολὺ σαφεστέρα τῆς καθ' ἕνα μόνον σφυγμὸν γινομένης, κάλλιον ἂν εἴη περὶ προτέρας ταύτης ποιήσασθαι τὸν λόγον. ἕπονται δὴ πάντες οἱ τοιοῦτοι σφυγμοὶ καθόλου μὲν φάναι ταῖς τε τῆς καρδίας ἀνωμάλοις δυσκρασίαις καὶ κακώσεσιν ὀργάνων ἢ δυνάμεων. ἢ γὰρ ἐμφράξεσιν, ἢ θλίψεσιν, ἢ σκληρότησιν, ἢ πλήθεσιν ἐπιγίνονται, πλήθους νῦν ἀκουομένου τοῦ πρὸς τὴν δύναμιν μετρουμένου. οὐ μὴν ἀρκεῖ τοῦτο μόνον γιγνώσκειν ὑπὲρ αὐτῶν, ἀλλὰ χρὴ τά τε κατὰ μέρος ἅπαντα διορίσασθαι καὶ τὴν οἰκείαν ἀπόδειξιν ἑκάστῳ προσθεῖναι. τριῶν οὖν ὄντων συνεκτικῶν αἰτίων γενέσεως σφυγμῶν, ὀργάνου καὶ δυνάμεως καὶ χρείας, διὰ μὲν τὴν τῆς χρείας ἀλλοίωσιν οὐχ οἷόν τε γενέσθαι τὴν ἐν τοῖς σφυγμοῖς ἀνωμαλίαν συστηματικὴν ἐναργῆ. οὐδὲ γὰρ ἐξαίφνης, οὐδὲ ἀθρόως εἰς τοσοῦτόν ποτε μεταβάλλειν ἐγχωρεῖ τὴν χρείαν, [186] ὥστε εἰ τύχοι τὸν σφυγμὸν τὸν πρότερον μὲν γενέσθαι μέγαν, ἢ ταχὺν, ἢ πυκνότερον, τὸν δὲ δεύτερον

lium. Quia vero quidam de his aequalitatem in arteriae uno motu labefactant, alii in pluribus, quam medici collectivam inaequalitatem folent appellare; quoniam eft longe haec apertior inaequalitate unius pulfus, fatius primo loco fit de hac tractare. Sane comites funt ejuscemodi pulfus, ut uno verbo dicam, inaequalis temperiei cordis, atque vitiorum inftrumentorum vel facultatis; nam aut obftructiones, aut compreffiones, aut durities, aut plenitudines fubfequuntur, ut plenitudinem nunc accipias quae ad facultatem aeftimatur. At non fatis eft hoc de illis noffe, fed funt fingulae partes explicandae fuisque confirmandae demonftrationibus. Itaque quum tres caufae fint continentes pulfuum generationis, inftrumentum, facultas, ufus, non poterit ex ufus alteratione conftitui in pulfibus collectiva quae aperta fit inaequalitas; quod nec repente, nec cumulate adeo unquam immutari ufus poffit, ut pulfus verbi gratia prior fit magnus, vel celer, vel crebrior, alter tar-

μικρὸν, ἢ βραδὺν, ἢ ἀραιόν. εἴτε γὰρ αὔξησις εἴη τῆς κατὰ φύσιν θερμότητος, εἴτε μείωσις, εἴτε πλείων εἴτε ἐλάττων δαπάνη τοῦ ψυχικοῦ πνεύματος, οὐδὲν τούτων ἀθρόαν οὕτως ἴσχοι μεταβολὴν, ὡς τοὺς σφυγμοὺς ἀνίσους ἐργασθῆναι. μάθοις δ' ἂν ἀκριβῶς ἐκ τῶν γινομένων παροξυσμῶν ἐν ἅπασι τοῖς ἐπιεικέσι πυρετοῖς, οἷον τοῖς τ' ἐπὶ βουβῶσι καὶ τριταίοις τοῖς ἀκριβέσι καὶ τοῖς δι' ἔγκαυσιν, ἢ ψύξιν, ἢ ὁτιοῦν ἄλλο τοιοῦτον. ἅπας γὰρ ὁ ἀπὸ τῆς ἀρχῆς αὐτῶν ἕως τῆς ἀκμῆς χρόνος ἀνάλογον τῇ κατὰ θερμασίαν αὐξήσει καὶ τοὺς σφυγμοὺς εἰς μέγεθος καὶ τάχος καὶ πυκνότητα τρέπων οὐδέποτε τὸν δεύτερον σφυγμὸν τοῦ προτέρου σαφῶς ἐνδείκνυται διαφέροντα. ἀλλ' εἰ μὲν χρόνον τινὰ συχνὸν διαλείποις καὶ μείζων ἐναργῶς καὶ θάττων καὶ πυκνότερος φαίνεται, παραυτίκα δ' οὐδὲ ἀλλοιότερος, πλὴν εἰ συνέλθοι ποτὲ τῶν προειρημένων τι, ἢ πλῆθος λέγω τὸ πρὸς τὴν δύναμιν νοούμενον, ἢ σφήνωσις, ἢ θλίψις, ἢ σκληρότης ὀργάνων, ἢ τῆς καρδίας αὐτῆς δυσκρασία τις ἀνώμαλος, ἅπερ οὐκ ἔτ' ἐπιεικοῦς νοσήματος. καὶ γάρ τοι καὶ αὐτοῖς τοῖς ὑγιαίνουσιν,

dus, parvus, vel rarus. Sive enim augeatur innatus calor, ſive imminuatur, ſive plus animalis ſpiritus, ſive minus exhauriatur, horum nihil adeo affatim mutetur, ut inaequales efficiat pulſus. Id quod plane ex acceſſionibus in omnibus lenibus febribus perſpicias, veluti iis, quae ex buboribus concitantur et ſinceris tertianis, iisque etiam quae ex aduſtione, vel frigore, vel quocunque alio ejus generis oriuntur. Totum enim inde usque a principio eorum tempus ad vigorem pro incremento caloris pulſus convertens in magnitudinem, celeritatem crebritatemque nusquam ſecundum pulſum clare a primo variat: verum ſi multum temporis interponas, dilucide major, celerior, crebrior apparet. E veſtigio autem diverſus non videbitur, niſi quando ex illis quae commemoravimus aliquod acceſſerit; vel plenitudines, illae inquam quae ad facultatem intelliguntur, vel obſtructio, vel compreſſio, vel durities inſtrumentorum, vel ipſius cordis aliqua inaequalis intemperies; quae certe excedunt jam lenem morbum. Siquidem ipſis etiam valen-

Ed. Chart. VIII. [186.] Ed. Bas. III. (93.)

ὅταν ἤτοι λουσάμενοι τύχωσιν ἢ γυμνασάμενοι, δαπανωμένου μὲν τοῦ πνεύματος, αὐξανομένης δὲ τῆς θερμασίας, μείζους καὶ θάττους καὶ πυκνότεροι τῶν κατὰ φύσιν οἱ σφυγμοὶ φαίνονται, σαφῆ δὲ οὐδέποτε ὁ δεύτερος τοῦ προτέρου τὴν διαφορὰν ἴσχει. ὅστις δ' ἀνωμάλους καὶ τοὺς τοιούτους εἶναι λέγει σφυγμοὺς, κἂν μὴ φαίνωνται, τῆς μὲν ἐν τοῖς ὀνόμασι συνηθείας ὑπερορᾷ, σοφώτερον δ' οὐδὲν διδάσκει· οὐδὲ γὰρ οὓς ἂν ὁ λόγος ἐξεύρῃ κατά τινα συλλογισμὸν ἀνίσους, τούτους ἀνωμάλους εἰώθαμεν καλεῖν, ἀλλ' οὓς ἂν ἐναργῶς αἰσθήσει διαγινώσκοιμεν ὄντας τοιούτους. καλείτω δὲ οὖν, εἰ βούλοιτό τις, καὶ τούτους ἀνωμάλους, ἀλλ' ἐκεῖνό γ' ἴστω, ὡς οὐδεμία τῶν αἰσθητῶν ἀνωμαλιῶν διὰ τὴν τῆς χρείας ἀλλοίωσιν γίνεται. τάχα μὲν οὖν ἤρκει καὶ τοσαῦτ' εἰς ἔνδειξιν τοῦ μηδέποτε τὴν συστηματικὴν καλουμένην ἀνωμαλίαν ἀλλοιώσει χρείας ἕπεσθαι. προσκείσθω δ' ἔτι τὸ κατὰ τοὺς θυμοὺς ἐνίοτε φαινόμενον, ἐπειδὴ καὶ οὗτοι τῆς ἐμφύτου θερμασίας οἷον ζέσις τις εἶναι δοκοῦσιν. ἀνώμαλοι τοίνυν καὶ τούτοις οἱ σφυγμοὶ γίνονταί ποτε, κατὰ μὲν τὸν ἴδιον αὐτῶν λόγον οὐδαμῶς, ἦσαν γὰρ ἂν ἀεὶ τοιοῦτοι, φόβου δέ τινος

tibus, ubi laverint, vel exercitationem subierint, exhausto spiritu, calore aucto, majores, celeriores, crebriores justo videntur pulsus esse; at manifeste nunquam a primo differt secundus. Si quis inaequales esse etiam eos pulsus contendat, licet non videantur, hic dum usum nominum repudiat, nihil tamen ad doctrinam affert lucis; neque enim quos ratio esse collegit impares, eos solemus inaequales vocare, caeterum quos dilucide sensu comperimus tales esse. At vocaveris vel hos inaequales, verum hoc scito, in sensilibus inaequalitatibus quae ex alteratione usus fiat esse nullam. Ac fortasse quidem haec sufficiebat dixisse ad probandum collectivam quam vocant inaequalitatem variationi nunquam usus succedere: adjiciamus tamen et hoc quod animadvertitur nonnunquam in ira, quando videtur et haec innati caloris esse veluti quidam fervor. Sane habet inaequales interdum haec quoque pulsus, non illos quidem sua sponte (semper enim haberet tales) sed ubi adjunctus ad

συνδραμόν(94)τος αὐταῖς, εὐλόγως δὴ τηνικαῦτα ποικίλοι τε καὶ ἀνώμαλοι φαίνονται, ὡς ἂν οὐ μόνον ὑπὸ διαφερόντων αἰτίων, ἀλλὰ καὶ τῇ φύσει ἐναντίων ἀλλοιούμενοι. διὰ μὲν γὰρ τὴν τῆς ἀντιτιμωρήσεως ὄρεξιν ὑψηλοὶ καὶ μεγάλοι καὶ ταχεῖς καὶ σφοδροὶ, διὰ δὲ τὴν τοῦ τι παθεῖν μᾶλλον ἢ δρᾶσαι προσδοκίαν μικροὶ καὶ ταπεινοὶ καὶ ἀμυδροὶ καὶ βραδεῖς γίνονται. ἐναλλὰξ οὖν ἀλλήλοις ἑκάτεροι φαίνονται κατὰ τὴν τοῦ κρατοῦντος αἰτίου φύσιν ὑπαλλαττόμενοι. κρατεῖ δὲ ποτὲ μὲν ὁ θυμὸς μᾶλλον, ποτὲ δὲ τὸ δέος, ἀλλὰ καὶ αὐτὸς ὁ φόβος, ὁ γοῦν ἰσχυρὸς, ἀνωμάλους ἐργάζεται τοὺς σφυγμοὺς κακώσει δυνάμεως, μὴ ἀλλοιώσει χρείας. πῶς οὖν ἡ δύναμις κακουμένη τοὺς σφυγμοὺς ἀνωμάλους ἐργάζεται; τοῦτο γὰρ ἐφεξῆς ἐστιν εἰπεῖν. τῷ μὴ πάντη τῶν ὀργάνων κρατεῖν, ὡς ὅταν γε κρατῇ, πάντας ὁμοίους τε καὶ ἴσους ἀποτελεῖ. εἰ δέ που σφάλλει περὶ τὴν ἐνέργειαν, οἷον ὀκλάσασα, διαφθείρει ταύτῃ τὴν ἰσότητα. χρὴ δὲ προσέχειν ἀκριβῶς τῷ λεγομένῳ τὸν νοῦν, ἵνα μή τις οἰηθῇ πάσῃ κακώσει δυνάμεως ἐξ ἀνάγκης ἕπεσθαι τὴν συστηματικὴν ἀνωμαλίαν. οὐ γὰρ οὕτως ἔχει. ἀλλ᾿ ὅταν μὲν κατὰ τὸν ἑαυτῆς λόγον ἀῤῥωστῇ, σπανίως

eam aliquis timor fit. Jure ergo varii tunc et inaequales apparent, quum non tantum a diverfis caufis alterentur, fed etiam natura contrariis; nam propter vindictae cupiditatem alti, magni, celeres, vehementes; quia vero timor eft major accipiendi mali quam fpes dandi, parvi, humiles, languidi et tardi fiunt. Quare invicem utrique pro caufae praepollentis natura videntur evariari, ac excellit modo ira, modo metus; quinimo ipfe timor, fi quidem ingens fit, quod laedatur facultas et alteretur ufus, pulfus reddit inaequales. Quomodo ergo pulfus facultas affecta inaequales facit? nam hoc deinceps eft dicendum. Quod non omnino imperet inftrumentis; nam quum imperat, cunctos fimiles efficit et pares; ficubi autem offendat in agendo et veluti claudicet, ibi evertit qualitatem. Quod dico, diligenter attendendum eft, ne omni putes offenfioni facultatis neceffario fuccedere collectivam inaequalitatem; nam aliter fe res habet; fed quum per fe infirma fit, creat pulfus non ita

ποτὲ τοὺς σφυγμοὺς ἀνωμάλους ἀποτελεῖ. ὅταν δ' αὐτὴ μὲν ἰσχυρὰ καθ' ἑαυτὴν ᾖ, βαρύνηται δ' ὑπὸ πλήθους, ἢ δυσπειθῆ παντάπασιν ἔχῃ τὰ ὄργανα, [187] τηνικαῦτα τὴν εἰρημένην ἀνωμαλίαν ἐργάζεται. μαθεῖν δ' ἔνεστιν ὃ βούλομαι σαφέστερον διὰ παραδείγματος. ἀναμνησθῶμεν γὰρ δυοῖν ἀνθρώπων βαδιζόντων ἀτρέμα. ἔστω δὲ ὁ μὲν ἕτερος ἰσχυρότατός τε ἅμα καὶ νεώτατος, ἀλλὰ βασταζέτω μέγιστον φορτίον, ὁ δ' ἕτερος μηδὲν ὅλως βασταζέτω, πάνυ δ' ἀσθενὴς ἔστω διὰ νόσον, ἢ γῆρας. οὔτ' αὖ μέγα προβαίνοντες οὔτε ταχέως οὗτοι, καὶ ταύτῃ μηδὲν ἀλλήλων διαφέροντες εἰς τὴν ἐνέργειαν ἐκείνῳ διοίσουσι, ᾗ τὰ πολλὰ μὲν ὡσαύτως ὁ ἀσθενὴς βαδιεῖται, διαφερόντως δὲ καὶ ἀνωμάλως καὶ ἄλλοτε ἀλλοίως ὁ ἰσχυρός. ὁ μὲν γὰρ οὐδ' εἰ προθυμηθείη δυνατός ἐστιν ἢ μεγάλην ἢ ταχεῖάν ποτε τὴν ἐνέργειαν ποιήσασθαι, ὁ δ' ἰσχυρὸς τὰ πολλὰ μὲν καὶ αὐτὸς ὁμοίως, ἔστι δ' ὅτε πλέονι προθυμίᾳ χρησάμενος καὶ θᾶττον καὶ μᾶλλον ἐνήργησε. πρὸς γοῦν ὀλίγον, εἶτ' αὖθις ὑπὸ τοῦ φορτίου κινηθεὶς εἰς τὴν ἐξ ἀρχῆς βραδύτητά τε καὶ μικρότητα τῆς ἐνεργείας ὑπηνέχθη. ταὐτὸν δὴ τοῦτο συμπίπτει καὶ τῇ διὰ

crebro inaequales; ubi vero valida fit fua fponte, opprimatur autem a copia humorum, aut plane contumacia habeat inftrumenta, ibi illam efficit inaequalitatem. Mentem meam exemplo perfpicies facilius. Ob oculos ponamus duos homines qui incedunt pedetentim; fit alter robuftiffimus fimul et florentiffima aetate, verum pondus portet graviffimum; alter prorfus nihil bajulet, at valde fit imbecillis ex morbo, aut ex fenectute; jam nec multum progrediantur hi, nec celeriter; itaque nihil different in actione; fed in eo different, quod aequis plerumque paffibus procedet imbecillis; diverfis validus ac inaequalibus et alias aliis. Nam ille quidem, ne fi contendat quidem, poterit unquam vel magnam vel celerem actionem obire; robuftius vero etiam fere perinde, interim tamen majore alacritate celerius aliquand[illegible] et mag[illegible] aget, deinde ab onere preffus ad pri[illegible] [illegible] p[illegible]itatem redibit. Idem ufu

Ed. Chart. VIII. [187.] Ed. Baf. III. (94.)

τῶν ἀρτηριῶν ἐνεργείᾳ. καταπεπτωκυίας μὲν γὰρ εἰς ἱκανὴν ἀσθένειαν τῆς δυνάμεως, ἀμυδροὶ καὶ μικροὶ καὶ βραδεῖς οἱ σφυγμοὶ γίνονται. εἰ δ' ἐῤῥωμένη μὲν εἴη κατὰ τὸν ἑαυτῆς λόγον, ὑπὸ δέ τινος πλήθους βαρύνοιτο, ποικίλους οὕτω καὶ ἀνωμάλους ἀποτελεῖ, τοὺς πλείστους μὲν ἀμυδροὺς καὶ βραδεῖς καὶ μικρούς, ὅταν ἰσχυρῶς βαρυνθῇ, τοὺς πλείστους δ' αὖ πάλιν σφοδροὺς καὶ ταχεῖς καὶ μεγάλους, ὅταν ἐπ' ὀλίγον. ὁπόταν δὲ μήτ' ἰσχυρὰ πάνυ μήτ' ἄγαν ἐπιεικὴς ἡ κάκωσις γένηται, ἐγγύς τι τῷ πλήθει τοὺς ἐναντίους, ὡς μήτε πλείους ἔχειν εἰπεῖν μήτ' ἐλάσσους ἢ τοὺς σφοδροὺς τῶν ἀμυδρῶν, ἢ τοὺς μεγάλους τῶν μικρῶν, ἢ τοὺς ταχεῖς τῶν βραδέων. οὕτω μὲν αἱ τῆς δυνάμεως βλάβαι τοὺς σφυγμοὺς ἀνωμάλους ἐργάζονται.

Κεφ. β'. αἱ δὲ τῶν ὀργάνων τόνδε τὸν τρόπον· ὅταν αἱ περικείμεναι χῶραι τῆς ἀρτηρίας ἕνεκα τοῦ διαστελλομένας αὐτὰς ἐκδέχεσθαι καταληφθῶσιν ὑπό τινος ἑτέρου σώματος, ἀνάγκη στενοχωρουμένας τούτῳ τὰς ἀρτηρίας ἀδυνατεῖν αὐτάρκως διαστέλλεσθαι. τὸ καθ' ἑκάστην οὖν ἐνέργειαν ἐλλιπὲς ἀθρόον ἕν ποτε κεφάλαιον ἀξιόλογον ἀποτελεῖ, ὥστε πολὺ τῆς χρείας ἀπολείπεσθαι τὴν ἐνέργειαν.

venit arteriarum actioni. Nam quum eſt delapſa in imbecillitatem facultas inſignem, pulſus eduntur languidi, parvi, tardi; ſin illa, quantum in ea eſt, valeat, ſed alia copia gravetur, varios tum inaequalesque efficit; plurimos quum gravi onere preſſa ſit, languidos et tardos et parvos quum levi, plerosque vehementes, celeres, magnos; quum vero nec admodum gravis, nec nimium levis offenſio ſit fere, ut in copia, contrarios; ut nec plures poſſis dicere nec pauciores vel vehementes eſſe imbecillibus, vel magnos parvis, vel celeres tardis. Atque hunc in modum pulſus inaequales facultatis noxae efficiunt.

Cap. II. Inſtrumentorum vitia in hunc modum. Ubi circumjectas regiones arteriae, quae ad hoc creatae ſunt, ut eam diſtentam excipiant, aliud corpus inſederit, non poſſunt per illud coarctatae arteriae ſatis diſtendi. Itaque ſingularum actionum defectio ſummam interim magnam coacervat, ut longe ab uſu abſit officium. Ibi jam violenter

τότε δ' ἤδη καὶ ἡ δύναμις ἀναγκάζεται βιαίως τε καὶ σφοδρῶς ἐνεργεῖν, ἀπωσασθαι καὶ διώσασθαι σπεύδουσα τὰ περικείμενα τοῖς ὀργάνοις αὐτῆς καὶ κωλύοντα τὰς κινήσεις. κἂν τούτῳ μείζονά τε τῶν ἔμπροσθεν ἀνάγκη καὶ σφοδρότερον καὶ ὠκύτερον γενέσθαι τὸν σφυγμόν. πυκνότερος δ' ἂν οὐ νῦν πρῶτον, ἀλλ' εὐθὺς ἐξ ἀρχῆς ἐγένετο. δέδεικται γὰρ ἐν τῷ πρὸ τούτου λόγῳ ταῖς ἐλλιπεστέραις τῆς χρείας ἐνεργείαις ἐξ ἀνάγκης ἑπομένη πυκνότης σφυγμῶν. εἰ μὲν οὖν τὴν ἴσην ὁρμὴν ἡ δύναμις ἐπὶ τούτων ἐφύλαττεν ἐν ἁπάσαις ἐφεξῆς διαστολαῖς, ὁμοίως ἂν ἀεὶ μεγάλοι καὶ σφοδροὶ καὶ ταχεῖς ἐγίνοντο, νυνὶ δ', οὐ γὰρ φυλάττει, ἀλλὰ πάλιν ἐπὶ τὴν ἐξ ἀρχῆς φέρεται κίνησιν, ἐν τούτῳ πολυειδής τε καὶ συνεχὴς ἡ ἀνωμαλία γίνεται. τοῦ δὲ μὴ φυλάττειν αἴτιόν ἐστι τὸ μηδὲν ἀνύουσαν αὐτὴν μέγα κάμνειν ματαίως. εἰ μὲν οὖν ὑγρότης εἴη τις περικεχυμένη ταῖς ἀρτηρίαις ταῖς σφοδραῖς καὶ βιαίαις κινήσεσιν ὠθουμένη, μεταῤῥεῖν ἄλλοτ' εἰς ἄλλους ἀναγκάζεται τόπους, ἔστ' ἂν ἤτοι κατά τινα πόρον ἐνεχθεῖσα τὸν ἐξοχετεῦσαι δυνάμενον αὐτὴν, ἐκπέσῃ τοῦ σώματος, ἢ καὶ λεπτυνθεῖσα τῷ χρόνῳ ἢ καὶ τελέως εἰς

agere et vehementer facultas cogitur, rejicere et propellere illa studens, quae sua instrumenta obsederunt et motu prohibuerunt; ubi majorem prioribus et vehementiorem et etiam celeriorem necesse est pulsum evadere; crebrior non nunc primum, sed statim a principio fuerat. Ostendimus enim in superiori libro, imparium usui actionum necessario comitem esse crebritatem pulsuum. Itaque si parem impetum facultas in omnibus, quae consequuntur, distentionibus retineret, aeque magni semper fierent et vehementes et celeres; nunc quia non servat, sed refert se ad pristinum motum, varia hic inaequalitas existit et continua. Quo minus conservet in causa est, quod quum nihil fere proficiat, nequicquam defatigetur. Ac si humor sit aliquis effusus in arterias, vehementibus et violentis motibus propulsus, de loco in locum cogitur defluere dum in meatum impingat, qui educere ipsum possit, itaque emanet ex corpore; vel etiam tempore tenuatus, aut totus resolutus, in halitum

ἀτμοὺς λυθεῖσα διαπνευσθείη. κᾀν τούτῳ τέως ἀνάγκη ποικίλην τε καὶ συνεχῆ γίνεσθαι τὴν ἀνωμαλίαν, μήτ' ἴσων τὸ πλῆ[188]θος ἐν παντὶ τῷ μεταξὺ χρόνῳ τῶν ὑγρῶν φυλαττομένων μήτε τὰς αὐτὰς στενοχωρούντων ἀρτηρίας, ἀλλ' ἐξ ἀκυρωτέρων πολλάκις μορίων εἰς τὰ κυριώτερα, κᾀκ τούτων αὖθις εἰς ἀκυρώτερα μεθισταμένων. εἰ δ' ἤτοι φλεγμονή τις ἢ ἀπόστασις, ἢ σκίῤῥος εἴη τὸ πάθημα τῶν περικειμένων ταῖς ἀρτηρίαις σωμάτων ὑφ' οὗ θλίβονταί τε καὶ στενοχωροῦνται, διὰ μακροτέρων οὕτως ἀνάγκη χρόνων τοῖς ἴσοις σφυγμοῖς παρεμπίπτειν τοὺς ἀνίσους. ἀεὶ γὰρ τὰ αὐτὰ μόρια τῶν αὐτῶν ἀρτηριῶν θλίβεται πρὸς τῶν αὐτῶν, ἢ ἴσων τοῖς μεγέθεσιν, ἢ καὶ παραπλησίων ὄγκων. γίνεται δέ ποτε καὶ διὰ πλῆθος αἵματος, ἤτοι ταῖς φλεψὶν ἢ ταῖς ἀρτηρίαις αὐταῖς ἐγκεχυμένου, ἀνωμαλία σφυγμῶν. ἀλλ' αὕτη γε ταῖς φλεβοτομίαις τάχιστα καθίσταται. τὸ μὲν γὰρ ἐν ταῖς φλεψὶ πλῆθος, ὡς ἂν παρακειμένων ἑαυταῖς ἀρτηριῶν, θλῖβόν τε καὶ στενοχωροῦν αὐτὰς, ὁμοίως τῷ παρὰ φύσιν ὄγκῳ κενωθὲν ταῖς φλεβοτομίαις αὐτίκα μὲν συγκαθεῖλε τὸν ὄγκον τῶν φλεβῶν, εὐθὺς δὲ καὶ ταῖς ἀρτηρίαις χώραν εὐπετῆ πρὸς τὴν κίνησιν

digeratur. Ubi diversa etiam et continens inaequalitas necessario fit, quod nec pari copia humores perpetuo deinceps maneant, nec easdem coarctent arterias, sed ex partibus saepe ignobilioribus in nobiliores, atque ex iisdem rursus migrent in ignobiliores. Quod si qua inflammatio, aut abscessus, aut scirrhus arteriis circumfusa corpora afficiat, a quo comprimantur et coarctentur, tum longioribus coguntur intervallis inaequales pulsus interpolare aequales; semper enim earumdem arteriarum premuntur eaedem partes ab iisdem, vel paribus magnitudine, vel similibus tumoribus. Accidit etiam pulsuum inaequalitas interim ex sanguinis copia, qui aut in venas, aut arterias ipsas sit infusus, at haec quidem sanguinis missione sedatur facillime; etenim copia illa in venis arterias non secus ac tumor praeter naturam, utpote iis vicinas, premit et coarctat; vacuata per sanguinis missionem illico venarum tumorem contrahit, statimque etiam locum arteriis amplum ad motum

Ed. Chart. VIII. [188.] Ed. Bas. III. (94. 95.)

παρέσχεν, ἐφ᾽ ᾗ τὴν κατὰ φύσιν ἐνέργειαν ἀκώλυτον λαβοῦσαι τὴν ὁμαλότητα τῶν σφυγμῶν ἅμ᾽ αὐτῇ τὴν κατὰ φύσιν ἀνεκτήσαντο. τὸ δ᾽ ἐν ταῖς ἀρτηρίαις αὐταῖς αἷμα, τοῦτο μὲν ὅπως ἐνίσταται ταῖς ὁδοῖς τοῦ πνεύματος οὐδὲ λόγου δεῖται, καὶ μάλιστα ἢν καὶ παχύ πως, ἢ γλίσχρον, ἢ κἂν τοῖς ἐσχάτοις αὐτῶν πέρασιν ἐσφηνωμένον εἴη. τηνικαῦτα γὰρ οὔθ᾽ ἕλκειν οὔτ᾽ ἐκπέμπειν τὸ πνεῦμα δυνάμεναι πολυειδῆ θ᾽ ἅμα καὶ χαλεπωτάτην ἐργάζονται τὴν ἀνωμαλίαν, καὶ μάλισθ᾽ ὅταν ἤτοι τῆς καρδίας αὐτῆς ἐγγὺς ἢ καὶ πόῤῥω μὲν ἀλλ᾽ ἐν κυρίοις μέρεσιν ἡ σφήνωσις τῶν ἐμφραττόντων χυμῶν γίνηται. καθόλου τοίνυν εἰπεῖν ἢ θλιβομένων ἰσχυρῶς τῶν ἀρτηριῶν, ἢ ἐμφραττομένων ἀνωμαλία τις γίνεται περὶ τοὺς σφυγμοὺς, κἂν μηδὲν ἡ δύναμις πέπονθεν. εἰ μέντοι καὶ ἡ δύναμις ἔχει φαύλως ἐπὶ τῇ τοιαύτῃ τῶν ὀργάνων διαθέσει, παντί που δῆλον ὡς πολυειδεστέραν ἀνάγκη γενέσθαι τὴν ἀνωμαλίαν, ὥσπερ γε καὶ εἰ (95) κατὰ τὴν καρδίαν αὐτὴν ἀνώμαλος ὑπάρχει δυσκρασία, περὶ ἧς ἅπαντα τὸν λόγον ἀκριβώσαιμι ἐν τῇ προγνωστικῇ πραγματείᾳ. εἰ δὲ τὰ μὲν τῶν ὀργάνων ἔχοι καλῶς, ἡ δύναμις δ᾽ ἀσθενὴς εἴη μεγάλως,

dat; ubi quia solitam functionem nemine interpellante tenent, simul cum ea aequalitatem naturalem pulsuum recuperant. At vero hic sanguis, qui in arteriis est, quemadmodum occupet spiritus rivos quid refert narrare? potissimum si crassus, vel lentus, vel si extremis earum finibus sit impactus; tunc enim quia nec allicere spiritum, nec reddere valent, diversas simul et difficillimas faciunt inaequalitates, praecipue si vel prope ipsum cor, vel procul quidem, sed in nobiles partes impingant, obstruantque illi succi. Quare ut uno verbo dicam, quum aut valide comprimuntur arteriae, aut quum obstruuntur, ut integra omnino facultas sit, inaequalitas quaedam corripit pulsus. At si facultas una sit affecta cum eo affectu instrumentorum, clarissimum est magis variam oportere inaequalitatem existere; itemque si ipsum cor infestet aequalis intemperies, de qua accuratissime in libris de praesagitione scribam. At vero si instrumentorum illaesus status sit, sed magnopere facultas infirma, in-

Ed. Chart. VIII. [188.] Ed. Baſ. III. (95.)

ἡ προειρημένη μὲν οὐκ ἂν εἴη, ἡ μέντοι μύουρος ὀνομαζομένη γένοιτ᾽ ἂν ἀνωμαλία. κατὰ γὰρ τὴν ἐπιβολὴν τῶν δακτύλων ἡ δύναμις νικωμένη μικροτέρους ἀεὶ καὶ ἀμυδροτέρους ἐργάζεται τοὺς σφυγμούς. ἀποδείξεως δ᾽ οὐκ ἔτι δεῖ τῷ λόγῳ. δέδεικται γὰρ ἐν τοῖς περὶ διαγνώσεως αὐτάρκως. ἀλλ᾽ ὃ χρὴ προσθεῖναι χρήσιμον εἰς τὰ παρόντα, τοῦτο προσκείσεται.

Κεφ. γ᾽. Τὴν ἀσθένειαν τῆς τοὺς σφυγμοὺς ἐργαζομένης δυνάμεως οὐκ ἴσην ἐν πάσαις ταῖς διαθέσεσι ὑπάρχειν ἀναγκαῖον, ἀλλὰ πάμπολυ δή τι τὸ μᾶλλόν τε καὶ ἧττον ὑπάρχειν. ἡ μὲν δὴ πρώτη καὶ βραχεῖα μικροτέρους μὲν καὶ ἀμυδροτέρους, οὐ μήν γε μυούρους ἐργάζεται τοὺς σφυγμούς· ἡ δὲ ἐπὶ ταύτῃ τοσούτῳ μείζων, ὡς ἤδη καὶ τοὺς ἐπιβαλλομένους δακτύλους ἄχθος εἶναι τῇ δυνάμει, τῶν μυούρων ἐστὶ σφυγμῶν ἀποτελεστική. διττῆς δ᾽ οὔσης ἐν αὐτοῖς διαφορᾶς, οἱ μὲν γὰρ αὐτῶν εἰς τὴν ἐξ ἀρχῆς κίνησιν ἐπανέρχονται καὶ καλοῦσιν αὐτοὺς μυούρους παλινδρομοῦντας, οἱ δ᾽ αὐτόθι που καταστρέφουσιν, ἰστέον ὡς οἱ μὲν πρότεροι μικρο-

aequalitas illa, de qua jam diximus, non exiſtet, ſed mutila et decurtata, quam vocant, inaequalitas; ab admotis enim digitis victa facultas minores ſemper imbecillioresque pulſus creat. Demonſtrationem oratio ampliorem non quaerit, quum abunde in libris de dignoscendis pulſibus declaraverim; quod vero refert ad hunc locum, hoc faciam ut adjiciam.

Cap. III. Facultatis quae creat pulſus non eſt neceſſe imbecillitatem in omnibus affectibus parem eſſe, ſed in ea permagnus eſt exceſſus et defectus; nam prima quidem et parva minores languidioresque, non autem decurtatos pulſus facit; quae vero eſt hac tanto major, ut jam facultati ſint oneri applicati digiti, haec pulſuum decurtatorum auctor eſt. Sed quia duplex eſt in his ipſis differentia, (quidam enim illorum ad priſtinum motum revertuntur, quos decurtatos vocant reciprocos; aliqui illic alibi permanent) priores ſcito minorem indicare imbecilli-

[189]τέραν δείκνυνται τὴν ἀσθένειαν. ἀναμάχεται γάρ πως ἡ δύναμις ἔτι καὶ οἷον ἀθροίζουσα καὶ συστρέφουσα πολλάκις ἑαυτὴν αὔξει μὲν τὸ μέγεθος οὕτω τῶν σφυγμῶν, αὔξει δὲ καὶ τὸν τόνον. οἱ μέντοι καταμένοντες ἐν ἐσχάτῃ μικρότητι καὶ μηκέτ᾽ ἐπανερχόμενοι μειζόνως ἢ κατὰ τούτους ἐμφαίνουσι λελύσθαι τὴν δύναμιν, ὥσπερ εἰ καὶ τελέως ἐκλείποιεν, ἐσχάτην τινὰ τὴν ἀῤῥωστίαν ἐνδείξονται. ὅτι μέντοι τούτων ἁπάντων ἡ διάγνωσις ἐπικειμένων τῶν δακτύλων ταῖς ἀρτηρίαις καὶ μηδόλως αἰρομένων γίνεται παντί που πρόδηλον. εἰ γὰρ αἴροντες αὐτοὺς, εἶτα μετ᾽ ὀλίγον ἐπιφέροντες εὑρίσκομεν καθ᾽ ἑκάστην ἐπιβολὴν ἐκλελοιπυῖαν τὴν κίνησιν, ἀσφυξίαν τε τοῦτο καλοῦμεν παντελῆ καὶ οὐκ ἐκλείποντα σφυγμόν. πολὺ δ᾽ οἶμαι διαφέρειν ἀσφυξίαν ἐκλείποντος σφυγμοῦ. ἡ μὲν γὰρ οἷον στέρησις ἁπάσης τῆς ἐνεργείας, πρός γοῦν τὴν αἴσθησιν, ὁ δ᾽ ἐξ ἡμισείας ἀπώλεια. ὁπόταν οὖν ἐπιβάλλοντι μέν σοι τοὺς δακτύλους ἡ κίνησις ἐμφαίνηται, φυλάττοντι δ᾽ ἐπικειμένους ἐκλυθεῖσα κατὰ βραχὺ παύσηται παντάπασι, τοὺς μὲν σφυγμοὺς τοὺς τοιούτους ἐκλείποντας ὀνομάζειν, τὴν διάθεσιν δ᾽ ἡγεῖσθαι μέσην τῆς τε τῶν μυούρων

tatem; adhuc enim refiftit quodammodo facultas et veluti colligens fe ipfam et faepe concitans magnitudinem ita auget pulfuum, auget item contentionem. At qui permanent in extrema parvitate, nec omnino recipiunt fefe, languidiorem quam in his oftendunt facultatem effe. Sic fi prorfus deficiant, fignificabunt ultimam quandam imbecillitatem. Verum haec explorari omnia applicandis digitis arteriae, nequaquam fufpenfis, apertiffimum eft; nam fi elevatis iis et mox applicatis inveniamus in fingulis applicationibus motum deficientem, veram abolitionem pulfus vocamus, non deficientem pulfum. Equidem longe abeffe abolitionem puto a pulfu deficiente; illa enim velut eft defectus, ut fenfus quidem indicat, totius functionis, hic dimidiatae amiffio. Ergo ubi admoventi digitos videatur motus exolutus, et tenenti applicatos paulatim prorfus definat, eos pulfus vocamus deficientes, illumque ftatum medium numeramus inter

Ed. Chart. VIII. [189.] Ed. Bas. III. (95.)

σφυγμῶν καὶ τῆς παντελοῦς ἀσφυξίας, ὅσῳ δὲ τῶν μυούρων χαλεπωτέραν, τοσούτῳ τῆς ἀσφυξίας ἐπιεικεστέραν. τρεῖς μὲν οὖν αὗται διαθέσεις τῷ ποσῷ τῆς βλάβης διαφέρουσαι. τετάρτη δ' ἡ τῶν παλινδρομούντων μυούρων ἡ πασῶν ἐπιεικεστάτη. πέμπτη δ' ἔτι προσκείσθω ταύταις ἡ τῶν διαλειπόντων, προηγουμένη δηλονότι τῆς τῶν ἐκλειπόντων. ὃ γὰρ ἐφ' ἑνὸς, ἢ δυοῖν, ἢ ὅλως ἀριθμοῦ τινος σφυγμῶν ἦν, τοῦθ' ἡ τῶν ἐκλειπόντων ἐπὶ πάντων ἐργάζεται. πρόδηλοι δὲ καὶ αὐτῶν τῶν διαλειπόντων αἱ διαφοραί. μείζονες μὲν γὰρ αἱ βλάβαι τῆς δυνάμεως, ὅταν πλείονες, ἐλάττονες δ', ὅταν ὀλιγώτεραι κινήσεις ἐκλείπωσιν. ἡ δὲ τῶν παρεμπιπτόντων καλουμένων σφυγμῶν διάγνωσις ἐναντία τῇ τῶν διαλειπόντων ἐστίν· εἶεν δ' ἂν δηλονότι καὶ οὗτοι τῶν ἀνωμάλων ἐν ἀθροίσματι, καὶ γίνονται τῆς δυνάμεως ἐῤῥωμένης μὲν, ἀλλ' ὑπὸ πλήθους χυμῶν ἢ ἐμφράξεως ὀργάνων ἐνοχλουμένης. ὡς οὖν, ἵνα διώσηται τὰ λυποῦντα, μείζονας πολλάκις καὶ σφοδροτέρους καὶ ὠκυτέρους ἐργάζεται τοὺς σφυγμοὺς, οὕτω καὶ πλείονας ἐν ταῖς τοιαύταις διαθέσεσι μάλιστα καὶ ὑψηλοὺς

decurtatos pulsus et perfectam pulsus abolitionem, et quanto decurtatis graviorem, tanto leviorem pulsus abolitione. Ac hi quidem tres status quantitate noxae differunt. Quartus reciprocorum est decurtatorum, qui est omnium levissimus. Quintus his addatur intermittentium, qui praecedit deficientium statum; quod enim in uno, aut altero erat, aut certe in numero pulsuum certo, id status deficientium in omnibus efficit. Manifestae etiam ipsorum intermittentium differentiae sunt; gravius enim facultas offensa est, ubi plures, levius, ubi pauciores motus deficiunt. Jam vero intercurrentium, quos vocant, pulsuum affectio contraria est affectioni intermittentium; qui quidem item inter inaequales, qui acervatim fiunt, sunt; inciduntque, ubi facultas valens copia humorum, vel instrumentorum obstructione impeditur. Ut ergo ad repellenda quae molestant majores saepe et vehementiores edit celerioresque pulsus, ita plures quoque in ejuscemodi praesertim stati-

γίνονται σφυγμοὶ, καὶ διὰ τοῦτο κριτικῆς ἐκκρίσεως εἴη σημεῖα. οὐ μόνον δὲ δι' ἀῤῥωστίαν δυνάμεως ὁ διαλείπων γίνεται σφυγμὸς, ἀλλὰ καὶ δι' ἔμφραξιν ὀργάνων ἰσχυρὰν, ἢ θλίψιν τινὰ καὶ στενοχωρίαν, ὅταν μηδ' ὅλως εἰς ἑαυτὰς ἕλξαι τι δυνηθῶσιν αἱ ἀρτηρίαι. περὶ μὲν οὖν τῆς ἐν ἀθροίσματι τῶν σφυγμῶν ἀνωμαλίας ἱκανὰ καὶ ταῦτα.

Κεφ. δ'. Περὶ δὲ τῆς καθ' ἕνα λεκτέον ἐφεξῆς. εἰσὶ δὲ ταύτης πάμπολλαι μὲν αἱ κατὰ μέρος διαφοραί. πειρατέον δ' ἡμῖν εἰς τὰς καθόλου πάσας ἀναγαγεῖν, ὧν σαφῶν γενομένων, κἂν εἴ τι τῶν κατὰ μέρος ὑπολείποιτο, ῥᾳδίως ἐκ τῶν προειρημένων εὑρεθήσεται καὶ τὰ λοιπά. καὶ ἡ γ' ἀρχὴ τῷ λόγῳ ἡ αὐτὴ γιγνέσθω ἥπερ κἂν τῷ περὶ διαφορᾶς αὐτῶν. ἠρξάμεθα δ' ἐν ἐκείνῳ διαιρούμενοι τῆς κινήσεως αὐτῆς πρῶτον τὴν ἀνωμαλίαν, ἤτοι διακοπτομένης ἢ συνεχοῦς μενούσης, ἢ ἐπανερχομένης. καὶ τοίνυν ἐννέα διαφορὰς ἐδιδάξαμεν γινομένας, ὁπόταν διαστελλομένης τῆς ἀρτηρίας ἡσυχία τις ἐν τῷ μέσῳ γενομένη τὴν ὅλην διαστολὴν εἰς τρεῖς τέμνῃ χρόνους. ἐξῆς οὖν ὑπὲρ ἑκάστης αὐτῶν ἐνταῦθα σκεψώμεθα τὰς

bus atque alti pulfus fiunt, itaque portendunt decretoriam excretionem. Porro non folum facultatis infirmitas inducit intermittentem pulfum, fed et inftrumentorum valida obftructio, aut compreffio et conftrictio, ubi in fe nihil prorfus arteriae allicere valeant. Hactenus de pulfuum inaequalitate collectiva fatis dictum eft.

Cap. IV. Nunc de inaequalitate unius pulfus agendum eft, cujus funt complures fingulares differentiae. Has laborandum nobis eft ut ad univerfales reducamus cunctas; quibus perfpectis, etiam fi quid defideretur fingulare, ex ante dictis prompte reliqua invenientur. Orationi etiam idem fit initium quod in fermone de differentiis illorum fuit, ubi initium fecimus a dividenda primum motus inaequalitate, qui vel interpellatur, vel perpetuus eft, vel reciprocus. Ac novem differentias docuimus fieri, quum distentionem arteriae quies aliqua interfecans, totam eam in tria partiatur tempora. Ergo hic fingulas ordine confideremus, ut caufas inveniamus; ac primo quidem loco quam

αἰτίας ζητοῦντες, [190] καὶ πρῶτόν γε τῆς πρώτης ἐν αὐταῖς ῥηθείσης, ὅταν ὠκέως ἀρξαμένη τῆς κινήσεως ἡ ἀρτηρία, κἄπειτα μικρὸν ἡσυχάσασα τὸ λεῖπον τῇ διαστολῇ μετὰ ταῦτα προσθῇ βραδέως κινηθεῖσα. γίνεται γὰρ τοῦτο μὲν χρείας ἐπειγούσης, τῆς δυνάμεως δὲ ὑπηρετούσης μὲν ὅσον ἐφ᾽ ἑαυτῇ, κωλυομένης δ᾽ ἤτοι δι᾽ ὀργάνων βλάβην ἢ πλῆθος ἀξιόλογον· ἐπεὶ εἴ γε μὴ διεκόπτετό ποτε τῆς ἡσυχίας ἡ διαστολὴ, πάντως ἂν ἦν μεγάλη. τοιαύτη δ᾽ οὐκ ἂν γένοιτο χωρὶς τοῦ καὶ τὴν χρείαν καλεῖν καὶ τὴν δύναμιν ὑπηρετεῖν. ὅτι δὲ οὐκ ἐνδέχεται μικρὰν διαστολὴν ἡσυχίᾳ μεσολαβεῖσθαι μάθοις ἂν ἐννοήσας ὡς οὐδεὶς τῶν μικρῶν σφυγμῶν εἰς δύο αἰσθητὰ μόρια τμηθῆναι δύναται. οὗτος δέ γε ὑπὲρ οὗ νῦν ὁ λόγος εἰς δύο τέτμηται σαφεῖς σφυγμοὺς, τόν τε πρὸ τῆς ἡσυχίας, τὸν ταχὺν, καὶ τὸν ἐπὶ ταύτῃ, τὸν βραδύν. εἰ μὲν δὴ καὶ ἑκάτερος αὐτῶν ἀξιόλογον ἔχοι μέγεθος, οὗτος ἂν ὅλος εἴη τῶν μεγίστων· εἰ δὲ μὴ, ἀλλ᾽ οὐ μικρός γε πάντως ἐστὶ, κἂν ἐκ μικρῶν δυοῖν συννοῆται. δηλοῖ δὲ τὴν ῥώμην τῆς δυνάμεως καὶ τὸ τῆς προτέρας κινήσεως τάχος, ὥσπερ γε καὶ τὸ τῆς

illarum primam expofuimus, quum celeriter primum concitata arteria, deinde parva interpofita quiete refiduum denique addat diftentioni tarde mota. Hoc enim accidit, quum ufus urgeat et facultas quantum in ea eft obfequatur, fed aut a vitio interrumpatur inftrumentorum, aut ab humorum infigni abundantia; nam ni interrumpatur usquam diftentio quiete, omnino magna fit; qualis nunquam, nifi flagitet ufus, et morem gerat facultas, fiat. Nam parvam diftentionem quiete intercipi non poffe perfpicias, fi intelligas nullum effe parvum pulfum, qui diffecari in partes duas ut animadvertere poffis valeat; at hic vero, de quo nunc agimus, in duos manifeftos eft divifus pulfus, alterum ante quietem, qui celer eft, et alterum a quiete, qui tardus. Ac fiquidem infigni uterque magnitudine praeditus fit, tum erit totus ex maximis; fin minus, non parvus certe eft prorfus, licet ex parvis quidem duobus conftare intelligatur. Porro facultatis robur prioris motus demonftrat celeritas et

Ed. Chart. VIII. [190.] Ed. Baf. III. (95. 96.)

χρείας ἐπεῖγον ἡ μετὰ τὴν ἡσυχίαν κίνησις ἐνδείκνυται, οὐ γὰρ ἄνευ τούτου συνεπλήρωσεν ἄν ποτε τὴν ἐξ ἀρχῆς ὁρμὴν ἡ δύναμις, ἀλλ' ἔνθα πρῶτον ἐπεσχέθη κινουμένη, κατέπαυσεν ἂν ἐνταῦθα τὴν διαστολὴν, μικρὸν ἕνα τοῦτον ἐργασαμένη σφυγμόν· ὥσπερ οὖν καὶ φαίνεται μυριάκις ἐν ταῖς συστηματικαῖς ἀνωμαλίαις μικρὸς γινόμενος ὁ σφυγμὸς οὐ τῷ μὴ δύνασθαι κινεῖσθαι τὴν δύναμιν, ἀλλὰ τῷ κωλύεσθαι. πολλάκις οὖν τὸν ἐφεξῆς αὐτῷ μέγιστον εἰργάσατο συστρέψασα καθάπερ ἂν εἴποι τις ἑαυτὴν καὶ οἷον ἀθροίσασα καὶ ἀνακτησαμένη καὶ παντὶ τῷ τόνῳ βιαίως χρησαμένη. ἑνὸν οὖν αὐτῇ καὶ νῦν ἐργάσασθαί τι τοιοῦτον, οὐκ ἐργασαμένη τὴν χρείαν ἐπείγειν ἐνεδείξατο. πόθεν οὖν ὅτι πλῆθος ἄμετρον, ἢ θλίψις ὀργάνων, ἢ ἔμφραξις ἐμποδίζουσι τὴν κίνησιν; πρῶτον μὲν ἐκ τοῦ τήν τε δύναμιν ἐῤῥῶσθαι καὶ τὴν χρείαν ἐπείγειν, οὐ γὰρ ἂν ἔτι λοιπὸν οὐδὲν εἴη τῆς βλάβης αἴτιον ἔξω τῶν εἰρημένων, ἔπειτα δὲ κἀξ αὐτῆς τῆς (96) φύσεως αὐτῶν. εἴτε γὰρ πλῆθος εἴη τὸ βαρῦνον, οὐκ ἀδύνατον ἐν τῷ μέσῳ τῆς διαστολῆς στᾶσαν τὴν δύναμιν καὶ οἷον

ufum etiam urgentem motus indicat ille fecundum quietem; nam fi absque eo effet, nunquam inceptum motum facultas abfolveret; fed ubi inhibitus primum motus ejus effet, ibi defineret diftentionem, unumque hunc faceret parvum pulfum. Quomodo millies in collectivis inaequalitatibus parvum factum cernas pulfum, non quin moveri facultas poffit, fed quod impediatur; unde fequentem faepe maximum afficit, concitans, ut ita dicam, fe ipfam et veluti colligens, viresque recuperans, denique omnem contentionem vimque advocans. Hoc autem quum poffet etiam hic moliri, quia non fecit, ufum declaravit urgere. At unde quod immodici humores, vel inftrumentorum compreffio, aut obftructio motum impediant? primum hinc quod valeat facultas et ufus inftet, neque enim extra illa quod noxam inducat reliquum quicquam fit. Deinde etiam ex ipfa natura illorum; nam five copia fit humorum, quae gravet, nihil obftabit quo minus in media diftentione fubfiftat fa-

ἀναπαυσαμένην οὕτω τὸ λεῖπον προσθεῖναι, εἴτ' ἔμφραξις τῶν ὀργάνων ἰσχυρὰ, ἢ θλίψις τις βίαιος, ἴσχεσθαι τὴν κίνησιν εἰς τοσοῦτον εὔλογον εἰς ὅσον ἀποῤῥεῖ τοῦ πληρώσοντος πνεύματος τὴν χώραν τῆς διαστολῆς. ἀλλ' ἐπεὶ τὸ τελέως ἴσχεσθαι τοῦ τελέως ἀποκεκλεῖσθαι τὰς ὁδοὺς τοῦ πνεύματος ἐνδεικτικόν ἐστιν, διὰ τοῦτο καὶ τὴν θλίψιν καὶ τὴν ἔμφραξιν ἰσχυρὰν εἶναί φαμεν. τοῦτο μὲν δὴ κοινὸν ἁπασῶν τῶν ἐφ' ἡσυχίας τεμνομένων διαστολῶν, ἴδια δὲ ἑκάστης αὐτῶν τὰ νῦν λεχθησόμενα· τῆς μὲν πρώτης ἱκανῶς βαρύνεσθαι τὴν δύναμιν ὑπὸ τοῦ πλήθους, ὅταν γε διὰ πλῆθος ὁ σφυγμὸς γίνηται τοιοῦτος. ἡ γὰρ ὑστέρα κίνησις ἡ μετὰ τὴν ἡσυχίαν οὐκ ἂν ἄλλως ἐγένετο βραδεῖα, τῆς προτέρας οὔσης ὠκείας, εἰ μὴ ἐνενίκητό τε καὶ ἰσχυρῶς ἐβεβάρητο πρὸς τοῦ πλήθους ἡ δύναμις. ἔμπαλιν δ' ἐπὶ τῆς δευτέρας ἔχει διαφορᾶς, ἐφ' ἧς ἀμφότερα τὰ μέρη τῆς κινήσεώς ἐστι ταχέα. φαίνεται γὰρ ἀναφέρουσα καὶ διασώζουσα τὸν τόνον ἡ δύναμις καὶ διαμαχομένη τῷ πλήθει. μέση δ' ἀμφοῖν ἐστι δηλονότι διάθεσις ἐφ' ἧς καὶ ἡ κίνησις ἡ δευτέρα μέση ταχείας τε καὶ

cultas et quafi refpiret atque inde refiduum apponat; five fit valida inftrumentorum obftructio, five compreffio violenta, retineri hactenus verifimile eft motum, quatenus fpiritu deficitur locum diftentionis impleturo. At quia omnino confiftere et retineri omnino fignificat obftructas effe femitas fpiritus, ideo etiam compreffionem et obftructionem validam effe dicimus. Atque hoc omnibus diftentionibus commune eft, quas quies dividit; fingulis autem feparatim ea quae nunc exponemus; primae admodum onerari a copia humorum facultatem, quum ex abundantia certe humorum gignatur is pulfus; pofterior enim motus, qui fecundum quietem fit, quum prior effet celer, non poffet tardus fieri, nifi oppreffa tum et graviter onerata facultas fit ab humorum copia. Contra eft in altera differentia, in qua motus utrinque celer eft; videtur enim attollere facultas et retinere contentionem copiaeque humorum repugnare. Jam medius eft inter utrumque ftatus, ubi motus quoque fecundus medius eft inter celerem et tardum, qui

βραδείας, ὅπερ ἐστὶ σύμμετρος. αὗται μὲν οὖν τρεῖς διαφοραὶ τῶν ἡσυχίᾳ σχιζομένων διαστολῶν. ἕτεραι δὲ τρεῖς, ὅταν τῆς προτέρας κινήσεως βραδείας γινομένης ἡ δευτέρα τὰς τρεῖς τρέπηται τροπὰς, ἤτοι βραδεῖα, ἢ ὠκεῖα, ἢ σύμμετρος γινομένη, καὶ δηλονότι καὶ ταύταις χειρίστη μὲν ἐφ᾽ ἧς αἱ κινήσεις ἄμφω βραδεῖαι, [191] πολὺ δ᾽ ἐπιεικεστέρα ταύτης ἐφ᾽ ἧς ἡ δευτέρα ταχεῖα, μέση δ᾽ ἀμφοῖν ἐφ᾽ ἧ σύμμετρος. οὕτω δὲ κἂν εἰ τῆς πρώτης κινήσεως συμμέτρου γινομένης ἡ δευτέρα τὰς τρεῖς τρέποιτο τροπὰς, ἐπιεικεστέραν μὲν ἐνδείξεται διάθεσιν ἡ ὠκεῖα κίνησις, ὀλεθριωτέραν δ᾽ ἡ βραδεῖα, μέσην δ᾽ ἡ σύμμετρος. πασῶν δὲ τῶν ἐννέα διαφορῶν, ὑφ᾽ ἧς τινος ἂν αἰτίας γίνωνται, χειρίστη μὲν ἡ ἀμφοτέρας ἔχουσα τὰς κινήσεις βραδείας, ἐπιεικεστάτη δ᾽ ἡ ἀμφοτέρας ταχείας, μέση δ᾽ ἐφ᾽ ἧς ἀμφότερα σύμμετρα, καὶ ἄλλαι δὲ μεταξὺ τῆς τε μέσης καὶ τῶν ἄκρων ἑκατέρας ἀνάλογον. ἀλλὰ καὶ χρόνος οὗτος ὁ τῆς ἡσυχίας ὅσῳ περ ἂν πλείων γίγνηται καθ᾽ ἑκάστην τῶν εἰρημένων ἐννέα διαφορῶν, τοσούτῳ χαλεπώτερος. ἔμπαλιν δὲ τῶν κινήσεων ὁ χρόνος αὐξανόμενος ἐπιεικεστέραν ἐμφαίνει τὴν διάθεσιν. ὡσαύτως

eft moderatus. Hae funt diftentionum quiete interpellatarum tres differentiae. Aliae tres funt differentiae, ubi priore motu tardo, alter trifariam variet, ut aut tardus, aut celer, aut moderatus fiat. Sane hic quoque peffimus eft qui utrumque motum tardum habet, ac longe hoc commodior in quo celer alter, medius inter utrumque ubi fit moderatus. Haud aliter quum a primo motu moderato alter tribus modis convertatur, commodiorem fignificabit ftatum celer motus, perniciofiorem tardus, medium moderatus. Omnium harum novem differentiarum, a quacunque caufa proficifcantur, quae eft utroque motu tardo deterrima eft, commodiffima cujus celer eft uterque motus, media in qua uterque moderatus; jam aliae, quae intercedunt inter mediam et extremam utramque, proportione. Quin etiam tempus hoc quietis quo fit in quaque novem harum differentiarum longius, hoc eft deterius; e diverfo diuturnius motuum tempus meliorem declarat ftatum. Praeterea

δὲ καὶ τὸ τῶν διαστολῶν ἀμφοτέρων μέγεθος ἄριστον. ὥσπερ οὖν ἡ μικρότης χείριστον, οὕτω δὴ καὶ ἡ μὲν σφοδρότης ἄριστον, ἡ δ᾽ ἀμυδρότης χείριστον. εἰ δ᾽ ἅπανθ᾽ ἅμα συνέλθοι τὰ εἰρημένα κακὰ περὶ ἕνα σφυγμὸν, οὗτος ἂν ὁ χείριστος εἴη αὐτῶν, ὥσπερ εἰ καὶ πάντα τὰ ἐπιεικέστατα ὁ βέλτιστος. ὁ μὲν γὰρ, εἴτε πλῆθός εἴη τὸ βαρῦνον τὴν δύναμιν, νενικῆσθαί φησιν αὐτὴν ἀξιολόγως, εἴτε ἔμφραξίς τις ἐν ταῖς ἀρτηρίαις, ἐν κυρίαις μὲν ταύταις καὶ οὐ πόῤῥω τῆς ἀρχῆς, μεγάλην δὲ καὶ αὐτὴν τὴν ἔμφραξιν ἐπιδείκνυται, εἴτε θλίψις τις καὶ στενοχωρία, πᾶσαν ὀλίγου δεῖν κατειλῆφθαι δηλοῖ τὴν χώραν τῶν ἀρτηριῶν. ὁ δ᾽ ἐπιεικέστατος ἐν αὐτοῖς, ἐφ᾽ οὗ δηλονότι καὶ αἱ κινήσεις ἀμφότεραι ταχεῖαί τε καὶ μεγάλαι καὶ σφοδραὶ καὶ ὁ χρόνος ὁ τῆς ἡσυχίας βραδὺς τὴν μὲν δύναμιν κρατεῖν τοῦ πλήθους ἐνδείξεται, τὰς δ᾽ ἐμφράξεις τε καὶ θλίψεις τῶν ἀρτηριῶν ἢ μικρὰς, ἢ οὐκ ἐν κυρίοις, ἢ πόῤῥω τῆς ἀρχῆς. ταῦτα μὲν οὖν τῆς καλουμένης ἰδίως προγνωστικῆς θεωρίας ἔχεται, τῇ κοινωνίᾳ τοῦ λόγου συναναγραφέντα.

utriusque diftentionis magnitudo optima; contra peffima eft parvitas. Similiter vehementia optima, remiffio peffima. Quod fi omnia quae commemoravimus mala in uno pulfu conveniant, hic illorum fcilicet peffimus erit: contra fi omnia commoda, optimus. Ille enim, fi copia humorum fit quae facultatem oneret, valde declarat fuperatam naturam effe, fi obftructio arteriarum, quum praecipuarum effe harum, nec remotarum longe a principio, tum hanc obftructionem indicat infignem effe; fi compreffio fit et conftrictio, innuit arteriarum locum occupatum pene omnem. At vero commodiffimus inter illos, cujus inquam, uterque eft motus celer, magnus vehemens, ac quietis breve tempus, quum facultatem denunciabit fuperiorem abundantia humorum effe, tum obftructiones et compreffiones arteriarum, vel parvas, vel non in nobilioribus partibus, vel procul a principio. Sed haec ad contemplationem proprie pertinent praefagiendi, nos quod a propofito non effent aliena, adfcripfimus.

Ed. Chart. VIII. [191.] Ed. Bas. III. (96.)

Κεφ. ε΄. Μεταβάντες δ᾽ ἤδη σκεψώμεθα περὶ τῶν συνεχῆ μὲν τὴν κίνησιν ὅλης αὐτῆς τῆς διαστολῆς ἐχόντων σφυγμῶν, οὐ μὴν ἰσοταχῆ γε πᾶσαν. εἴρηται δὲ καὶ περὶ τούτων ἱκανῶς ἐν τῷ περὶ διαφορᾶς τῶν σφυγμῶν, ὁπόσαι μὲν αἱ πᾶσαι τούτου τοῦ γένους διαφοραὶ γίνονται, πόσοι δὲ καὶ οἱ καθ᾽ ἑκάστην αὐτῶν σφυγμοί. ὥστε οὐδὲ τούτων τὸν ἀριθμὸν ἔτι χρὴ νῦν ἐπεξιέναι, ἀλλ᾽ ἐπὶ τὰς αἰτίας αὐτῶν ἰτέον, ὡς οἷόν τε καὶ ταύτας ἐν τῷ καθόλου διεξιόντας, ὑπὲρ τοῦ βραχύτερον γίνεσθαι τὸν ἅπαντα λόγον. ὅσοι μὲν δὴ αὐτῶν ἀπὸ τῆς ἀρχῆς ἄχρι τοῦ τέλους εἰς τάχος διαδιδόασιν, ἧττον βαρύνεσθαι τὴν δύναμιν ἐμφαίνουσιν, ὅσοι δ᾽ ἔμπαλιν, μᾶλλον. οὐ μὴν λυομένης γε τῆς δυνάμεως οὐδεὶς τούτων γίνεται. μεγάλοι γὰρ ἅπαντές εἰσι καὶ μάλισθ᾽ ὅσον εἰς διαστήματα τρία καὶ χρόνους τρεῖς, ἢ τέτταρας αἰσθητοὺς ἐγχωρεῖν οἷόν τε τὴν κίνησιν. ἴδιον δὲ τῶν ἀθρόαν εἰς τἀναντία ποιουμένων τὴν μεταβολὴν τὸ μὴ τῆς δυνάμεως μόνης βαρυνομένης, ἀλλὰ καὶ ἔμφραξιν, ἢ θλίψιν ὀργάνων γίνεσθαι. λέγω δ᾽ εἰς τἀναντία ποιεῖσθαι μεταβολὴν ἀθρόως, εἰ κινού-

Cap. V. Nunc ad pulsus commentandos transeamus, qui totius distentionis habent quidem perpetuum motum, non universum tamen pari celeritate; de quibus in libro de differentiis pulsuum abunde diximus, et quot omnes hujus generis differentiae sint, quotque in quaque earum pulsus. Quominus horum hic numerus recensendus est, sed ad causas illorum accedamus, easque quo brevior tota disputatio sit, quoad ejus assequi poterimus, generatim explicemus. Ac qui jam inde ab initio ad finem usque in celeritatem insurgunt, minus onerari annunciant facultatem; qui contra, magis, verum tamen soluta quidem facultate nullus horum existit; siquidem omnes magni sunt, praesertim quatenus in tria intervalla, triaque tempora, aut quatuor, quae sentiri possint, motus valet extendi. Est autem proprium iis, qui in contraria affatim mutantur, non solum gravari facultatem, sed etiam obstrui et premi instrumenta. In contraria affatim mutari dico, si quum moveantur celeriter, subito

μενοι ταχέως ἐξαιφνίδιον ἐγένοντο βραδεῖς, ἢ ἔμπαλιν ἐκ βραδείας τῆς πρόσθεν κινήσεως ὠκεῖς. γίγνονται γὰρ οὗτοι δι᾽ ἐμφράξεις μέν τινας καὶ στενοχωρίας, ἀλλ᾽ ἧττον χαλεπὰς τῶν διαλειπόντων, καὶ τῆς δυνάμεως δ᾽ αὐτῆς ὑπὸ πλήθους βαρυνομένης, ἀλλ᾽ ἧττον ἢ ἐν τοῖς διαλείπουσιν· οὐ γὰρ ἴσον δή που τὸ κακόν ἐστιν ἢ ὑπαλλαγῆναι τὴν κίνησιν, ἢ κωλυθῆναι. [192] οἱ γὰρ κατὰ μέρος μέντοι τούτου τοῦ γένους τῆς ἀνωμαλίας σφυγμοὶ πῇ ποτ᾽ ἀλλήλων διαφέρουσι καὶ τίνες μέν εἰσιν αὐτῶν ὀλεθριώτεροι, τίνες δὲ καὶ αὐτοὶ καὶ ἐπιεικέστεροι, ῥᾴδιον μὲν καὶ αὐτόν τινα τῶν ἐντυγχανόντων ἐξευρεῖν κἀξ ὧν ἐπὶ τῶν διαλειπόντων εἰρήκαμεν ὡρμημένον. εἰρήσονται μέντοι καὶ πρὸς ἡμῶν ἐν τοῖς περὶ τῆς διὰ σφυγμῶν προγνώσεως. ὁ γάρ τοι παρὼν λόγος οὐδὲν αὐτῶν ἔτι δεῖται, ὡς κατὰ τὸ κοινὸν τοῦ γένους κοινὰς καὶ τὰς τῆς γενέσεως ἐχόντων αἰτίας, ἃς δὴ νῦν πέπαυμαι λέγων.

Κεφ. στ΄. Ἀλλ᾽ ἐπὶ τὸ λοιπὸν ἔτι γένος τῆς καθ᾽ ἓν μόριον τῆς ἀνωμαλίας, οὓς δικρότους ὀνομάζομεν σφυγμοὺς, ἤδη μετιτέον. ἐλέγομεν δ᾽ αὐτοὺς ἐξ ἀνάγκης εἶναι κλονώδεις.

fiant tardi; aut qui ex tardo primo motu evadant celeres. Oriuntur enim hi quum ex obſtructionibus quibusdam et conſtrictionibus, ſed minus difficilibus quam intermittentibus; tum ex facultate ipſa copioſis humoribus onerata, minus illa tamen quam in intermittentibus, etenim non aeque magnum eſt incommodum mutari motum ac impediri. Sed enim hujus generis inaequalitatis ſinguli pulſus qua re mutuo differant, quique inter eos exitialiſſimi ſint, quique letiſſimi, quivis prompte vel de vulgo adminiculo illorum quae de intermittentibus tradidimus inveniat; faciam tamen ut in commentariis de praeſagitione ex pulſibus aperiam; nam propoſita quidem diſputatio non requirit jam eos, ut qui pro communi genere communes habeant generationis cauſas, de quibus modo dixi.

Cap. VI. Porro ad reliquum jam genus inaequalitatis in una parte poſitae, quos dicrotos pulſus vocamus, pergendum eſt. Hos diximus non poſſe eſſe, niſi vibrati ſint;

οὔκουν οἷόν τε τὰς αἰτίας αὐτῶν ἐξευρεῖν ἀκριβῶς, πρὶν τὰς τοῦ κλονώδους ἐπιμελῶς διασκέψασθαι. γίνεται τοίνυν οὗτος, ὅταν ἡ μὲν δύναμις εὔρωστος ᾖ, τὸ δ' ὄργανον σκληρὸν, ἐπείγῃ δ' ἡ χρεία. εἰ γὰρ ἕν τι τούτων ἐκλείπει, κλονώδης οὐκ ἂν γένοιτο. τὸ γάρ τοι συνέχον αὐτοῦ τὴν γένεσιν ἐστι βίαιος διαστολὴ σκληρᾶς ἀρτηρίας. οὐ γὰρ ἂν ἄλλως κραδαίνοιτό τε καὶ διασείοιτο πάντῃ, μὴ οὐκ ἀμφοτέρων τούτων συνελθόντων. εἴτε γὰρ ἡ ἀρτηρία μόνη σκληρυνθείη, μὴ μέντοι βιάζοιτο διαστέλλειν αὐτὴν ἡ δύναμις ἐπὶ πλεῖστον, οὐκ ἂν οὐδεὶς δή που γένοιτο κλόνος, ἀλλ' αὐτὸ δὴ τοῦτο μόνον ὁ καλούμενος σκληρὸς σφυγμός. εἰ δ' ἐπὶ πλεῖστον μὲν ἡ δύναμις ἐθέλοι διαστέλλειν τὰς ἀρτηρίας, αἳ δ' ἕποιντο μαλακότητι συμμέτρῳ, μέγας μὲν ἂν οὕτως, ἀλλ' οὔ τί γε κλονώδης, οὐθ' ὅλως σκληρὸς ἔσται. εἴπερ οὖν μέλλει κλονώδης ἔσεσθαι, δῆλον ὡς διαστέλλειν αὐτὰς ἡ δύναμις ἐπὶ πλεῖστον ἢ πεφύκασι βιάζεται. ἀλλ' οὐκ ἂν εἰ μὴ πρὸς τῆς χρείας ἐπειγούσης ἠναγκάζετο, βιαίως ἄν ποθ' ὥρμησεν ἐνεργεῖν ἡ δύναμις. ὥστ' εὐλόγως ἐῤῥῶσθαι μὲν ἔφαμεν χρῆναι τὴν δύναμιν, ἐσκληρύνθαι δὲ τὰς ἀρτηρίας, ἐπείγειν δὲ τὴν

quamobrem eorum caufas nulla ratione exacte invenias prius quam vibrati caufas accurate perfpexeris. Fit autem hic, ubi valida fit facultas, inftrumentum durum, urgeatque ufus; quorum certe unum fi abfit, non fiat vibratus: quae enim conftituit ejus generationem, eft violenta diftentio durae arteriae; nam nifi ambo fint haec conjuncta, non vibretur et undequaque concutiatur. Quod fi arteria indurata fit fola, nec cogatur diftendere eam plurimum facultas, nulla erit plane vibratio, fed hoc tantum, durus quem vocant pulfus. Sin plurimum dilatare arterias facultas ftudeat, illae autem moderata mollitie fequantur, magnus tunc erit, non vibratus, minimeque durus. Quare fi fiet ut vibratus fit, plane diftendere amplius eas quam poffint facultas molietur. Atqui nifi ab ufu urgeatur et compellatur, violentam facultas actionem nunquam obeat. Recte ergo robufta facultate diximus opus effe, induratis arteriis

(97) χρείαν. αὐτὴν δὲ ταύτην τὴν ἔπειξιν ὑπὸ τίνος ποτὲ αἰτίας γίγνεται λεκτέον. οὐδὲ γὰρ οὐδὲ τοῦτο χρὴ παραλιπεῖν. ἔστι δὲ μία μὲν, ὡς ἂν οὕτω τις εἴποι, προσεχὴς αἰτία, πολλαὶ δ᾽ αὐτῆς δημιουργοί. τίς οὖν ἡ μία καὶ τίνες αἱ πολλαί; ἡ μία μὲν, ὅταν ἀπλήρωτος ἡ χρεία μένῃ πρὸς τῆς ἐνεργείας, αἱ πολλαὶ δὲ ταύτης ποιητικαὶ καθόλου μὲν φάναι δυνάμεως ἀῤῥωστία καὶ ὀργάνων δυσπάθεια. καὶ τῆς χρείας αὔξησις. ἀλλ᾽ ἐπὶ τοῦ νῦν προκειμένου γένους τῶν σφυγμῶν ἀφελεῖν χρὴ τὴν ἀῤῥωστίαν τῆς δυνάμεως, ἐδείχθη γὰρ ἐῤῥῶσθαι. λοιπὸν οὖν ἤτοι τῆς χρείας αὐξανομένης ἢ τῶν ὀργάνων ἀπειθούντων, ἢ καὶ ἀμφοῖν ἅμα συνελθόντων ἐλάττων ἡ διαστολὴ τῆς χρείας ἐν τοῖς κλονώδεσιν ἔσται σφυγμοῖς. ἀλλ᾽ ἡ μὲν χρεία τῇ πλεονεξίᾳ τῆς θερμότητος, ἢ τῇ δαπάνῃ τοῦ ψυχικοῦ πνεύματος αὐξάνεται, δυσπαθῆ δὲ γίνεται ὄργανα δι᾽ ἐμφράξεις, ἢ θλίψεις, ἢ σκληρότητας. αὗται δὲ αἱ σκληρότητες ἢ φλεγμαινόντων, ἢ σκιῤῥουμένων, ἢ σκληρυνομένων ἢ ξηραινομένων, ἢ ψυχομένων, ἢ τεινομένων γίνονται τῶν ὀργάνων. καὶ οὕτως ἤδη πάσας εὑρίσκομεν τὰς αἰτίας τῶν κλονωδῶν σφυγμῶν τῆς γενέσεως. ἡ γάρ τοι δύσκρατος ἀνωμαλία προϊοῦσα μὲν

atque urgente usu. Ut autem urgeat, a quanam procedat causa, exponendum est; hoc enim minime est praetermittendum; una est, ut sic dicam, finitima causa, cujus multae auctores sunt. Quae tandem haec una est et quae multae illae? una haec est, quum usum functio non impleat; multae illae hujus auctores, breviter imbecillitas facultatis, instrumentorum contumacia et major usus. At de proposito pulsuum genere demenda facultis imbecillitas est; namque eam probavimus firmam esse. Relinquitur igitur ut vel usu increscente, vel instrumentis renitentibus, vel utrisque copulatis distentio in vibratis pulsibus non assequatur usum. Atqui usus abundantia caloris augetur, vel exhausto animali spiritu; contumacia instrumenta fiunt per obstructiones, compressiones et duritiem; atque haec durities existit, si inflammata sint, induruerint, desiccata sint, refrigerata, contenta instrumenta. Itaque omnes jam invenimus causas originis vibratorum pulsuum; nam intemperata inaequalitas

Ed. Chart. VIII. [192. 193.] Ed. Baf. III. (97.)

αὐξήσει τὸν κλόνον, οὐ μὴν αἰτία γε αὐτῶν ἐστι τῆς γενέσεως. ἀλλὰ ἡ κατὰ διαφέροντα μόρια τῆς ἀρτηρίας ἀνωμαλία τῶν σφυγμῶν ταῖς τοιαύταις ἕπεται προσεχῶς δυσκρασίαις. ἔνθα μὲν γὰρ ὑγρότερόν θ' ἅμα καὶ θερμότερον ᾖ τὸ μόριον τῆς ἀρτηρίας, ἐνταῦθα καὶ μείζονος καὶ θάττονος τοῦ σφυγμοῦ γινομένου, ἔνθα δ' ἂν ἤτοι ψυχρότερον ᾖ ξηρότερον, ἐνταῦθ' ἐλάττονός τε καὶ βραδυτέρου. καὶ δὴ καὶ προσεξορμᾶται μὲν εἰς τὴν κίνησιν τὸ πρότερον εἰρημένον, ὕστερον δ' ἄρχεται τὸ δεύτερον, [193] ὥστε κατὰ τοῦτο μὲν καὶ τοὺς κλονώδεις συναυξήσει, προσεχὲς δ' αἴτιον γενήσεται τῆς κατὰ διαφέροντα μόρια τῶν ἀρτηριῶν ἀνωμάλου κινήσεως. ὁ τοίνυν δίκροτος καλούμενος σφυγμὸς, ἤδη γάρ ποτε καὶ περὶ τούτου λέγωμεν, ὧδέ πως γίνεται. ὅταν τοῦ μέρους τῆς ἀρτηρίας, ᾧ τὴν ἀφὴν ἐπιβάλλομεν, σκληρότερα καὶ ψυχρότερα, καὶ διὰ τοῦτο δυσκινητότερα τὰ ἑκατέρωθεν, ὧν οὐκ ἁπτόμεθα, γένηται, κἄπειτα προεξορμῆσαν αὐτῶν εἰς τὴν διαστολὴν τὸ μέσον ἀντισπάσῃ πάλιν ἔσω καὶ αὖθις συνεξαίρῃ, δὶς ἀνάγκη πλήττεσθαι τὴν ἀφήν. ὁ μὲν οὖν τοιοῦτος σφυγμὸς δίκροτός ἐστι μόνον,

si progrediatur, augebit quidem vibrationem, non tamen causa est eorum generationis. Caeterum inaequalitas pulsuum in diversis arteriae partibus comitatur proxime talem intemperiem, quod ubi humidior simul et calidior sit pars arteriae, major illic citatiorque fiat pulsus; ubi vel frigidior, vel durior, ibidem minor et tardior. Jam etiam ad motum prius concitatur pars illa prior, postea orditur altera. Quare ex eo quum augebit simul vibratos, tum erit finitima causa inaequalis in partibus diversis arteriarum motus. Igitur pulsus, qui vocatur dicrotus, ut tandem aliquando ad hunc veniamus, ad hunc modum fit. Ubi partes arteriae, quam attingimus, duriores sint frigidioresque, et ob id difficilius etiam moveantur partes utrinque, quas non attingimus; ac deinde partem mediam prae ipsis in distentione concitatam retrahant intro, iterumque secum attollant; his necesse est feriatur tactus. Ejuscemodi pulsus dicrotus est

Ed. Chart. VIII. [193.] Ed. Baf. III. (97.)

οὐ μέντοι καὶ κλονώδης σαφῶς. ἕτερος δέ τις ἅμα καὶ κλονώδης ἱκανῶς ἐστι καὶ δίκροτος γίνεται κατὰ τοιόνδε τινὰ τρόπον. ὅταν κλονωδῶς ἀναφερομένης τῆς ἀρτηρίας, ὅσον μὲν ὑπὸ τῷ δέρματι μόνῳ γυμνὸν ἑτοίμως ἀναφέρηται, τὰ δ᾽ ἑκατέρωθεν τοῦδε βαρύνηται διὰ πάχος ἢ πλῆθος τῶν ἐπικειμένων σωμάτων, ὡς μηδὲ τὴν κίνησιν αὐτῶν ὑποπίπτειν τοῖς ἁπτομένοις, ἀνάγκη τηνικαῦτα τοῦ φανεροῦ μέρους ἤδη παντὸς ἀνηνεγμένου, τὰ μὴ φαινόμενα τὰ ἑκατέρωθεν ἔτ᾽ ἀναφέρεσθαι, καὶ οὕτω φθάνον καταφέρεσθαι τὸ μέσον, αὖθις συνεξαίρεσθαι τοῖς ἑκατέρωθεν. ὥστ᾽ ἐπανέρχεσθαί τε καὶ προσπίπτειν ἐκ δευτέρου τοῖς ἔξωθεν ἁπτομένοις. εὔδηλον οὖν ὅτι δίκροτος ὁ τοιοῦτος ἔσται, ταύτῃ πλεονεκτῶν τοῦ κλονώδους μόνον, ὅτι κατὰ μεγάλα μόρια τῆς ἀρτηρίας τὴν ἀνωμαλίαν τῆς κινήσεως ἐκτήσατο. τοῦ μὲν γὰρ ὑποπίπτοντος τοῖς δακτύλοις ἅπαντος ὁμοίως κινουμένου, πλὴν ὅσα κλονεῖται, τῶν δ᾽ ἑκατέρωθεν αὐτοῦ διαφερόντων, ὁ δίκροτος γίνεται, τῷ κλονώδει δὲ μόνῳ οὐδὲν πλέον ὑπάρχει τοῦ κραδαίνεσθαι καὶ διασείεσθαι κατὰ μικρὸν ἅπαντα τὰ μόρια,

duntaxat, non autem vibratus perfpicue. Alter qui juxta et fatis vibratus eft et dicrotus fit ad hunc modum. Ubi cum vibratione fublatae arteriae pars ea, quae fola cute tecta eft, facile attollatur, aliae autem utrinque partes craffitudine numeroque onerentur corporum incumbentium, adeo ut ne motus quidem earum tangentibus occurrat, neceffe tum ex parte hac, quae aperta eft, omni jam fublata, partes illas non manifeftas, quae utrinque funt, adhuc attolli, itaque mediam, quae delata jam dudum eft, de integro una cum illis, quae utrinque funt, attolli ita ut redeat et occurrat iterum foris ipfam tangentibus. Proinde conftat eum dicrotum futurum, qui in eo tantum vincit vibratum, quod motus inaequalitatem in magnis obtineat partibus arteriae, quum enim pars, quae digitis occurrit, omnis, nifi quatenus vibratur, aequaliter moveatur, ac partes ex utroque latere ab illa differant, efficitur dicrotus; vibratus cui nihil fuppetit amplius quam quod vibrantur concutiunturque

Ed. Chart. VIII. [193.] Ed. Baſ. III. (97.)

τὴν δὲ ἐν οὕτω μεγάλοις μέρεσι διαφορὰν τῆς κινήσεως ὥσπερ ὁ δίκροτος οὐκ ἔχει. δῆλον οὖν ἐκ τῶν εἰρημένων ὡς ὁ δίκροτος ἔσθ᾽ ὅτε μὲν ἐπὶ δυσκρασίᾳ γίνεται μεγάλῃ καὶ σκληρότητι βραχείᾳ τῆς οὕτω κινουμένης ἀρτηρίας, ἔσθ᾽ ὅτε δ᾽ ἐπὶ σκληρότητι μεγάλῃ μετά τινος δυσκρασίας ἢ πάχους ἢ πλήθους χυμῶν τε καὶ σαρκῶν.

Κεφ. ζ. Ὁ μέντοι δορκαδίζων καλούμενος κοινὸν μὲν ἔχει πρὸς τὸν δίκροτον τὸ δὶς πλήττειν, οὐ κοινὴν δὲ τὴν αἰτίαν. οὔτε γὰρ τῆς σκληρότητος τῶν ὀργάνων οὔτε τῆς δυσκρασίας ἐξ ἀνάγκης ἐφάπτεται, ἀλλ᾽ ὅταν ἡ δύναμις ὅσον μὲν ἐφ᾽ ἑαυτῇ σώζῃ τὸν κατὰ φύσιν τόνον, ἴσχηται δὲ τῆς κινήσεως, ἤτοι διὰ πλῆθος ἄμετρον, ἢ δι᾽ ἔμφραξιν, ἢ θλίψιν τῶν ὀργάνων, ἡσυχία τηνικαῦτα διακόπτει τὴν διαστολήν. δεόντως ἄρα τὸ δεύτερον μέρος αὐτῆς τὸ μετὰ τὴν ἡσυχίαν εὐρωστότερον φαίνεται τοῦ πρὸ τῆς ἡσυχίας. ἀθροίσασα γὰρ ὡς ἂν εἴποι τις ἑαυτὴν καὶ συλλέξασα καὶ ῥώσασα καὶ ἀνακτησαμένη ἡ τέως νενικημένη δύναμις ἐπιτίθεται

paulatim omnes partes, motus in tam magnis partibus diverſitate, quam habet dicrotus, vacat. Planum eſt igitur ex praedictis dicrotum interim ex magna intemperie oriundum eſſe, parvaque duritie arteriae in eum modum motae, interim ex ingenti duritie conjuncta cum quadam intemperie, vel craſſitudine, vel abundantia humorum et carnis.

Cap. VII. Caprizans vero quem vocant hoc cum dicroto commune habat, quod bis pulſat, non communem tamen cauſam habet. Neque enim cum inſtrumentorum duritie neceſſe illi eſt nec cum intemperie ut conjungatur. Verum ubi retinet facultas quantum illa quidem praeſtare poteſt contentionem nativam, arcetur autem a motu, vel ob humorum immodicam copiam, vel propter obſtructionem, vel compreſſionem inſtrumentorum, quies tunc diſtentionem interpellat. Jure itaque altera ejus pars ſecundum quietem robuſtior illa, quae eam antecedit videtur. Siquidem ubi ſeſe facultas, quae prius fuit victa, collegit, ut ita dicam, et confirmavit, viresque reparavit, imminet gra-

Ed. Chart. VIII. [193. 194.] Ed. Baſ. III. (97.)

σφοδρότερον, ἐκνικῆσαί τε καὶ διώσασθαι τὰ λυποῦντα σπεύδουσα. καὶ δὴ καὶ δρᾷ τοῦτο πολλάκις. ἢν δὲ ποτε καὶ κατὰ τὴν δευτέραν ὁρμὴν νικηθῇ, χείρων μὲν ἂν οὕτως εἴη τοῦ δορκαδίζοντος ὁ τοιοῦτος σφυγμὸς, ἀνώνυμος δέ ἐστι. καίτοι τινὲς ἅπαντας τούτους, ὧν τὸ συνεχὲς τῆς διαστολῆς ἡσυχία διακόπτει, δορκαδίζοντας καλοῦσιν. ἡμῖν δὲ ὀνομάτων γὰρ οὐδὲν μέλει, πλὴν ὅσα τοῦ σαφοῦς τῆς διασκαλίας ἕνεκα.

Κεφ. η'. [194] Δεδηλωμένου τοῦ πράγματος ἤδη σαφῶς ἐφ' ἕτερον εἶδος ἀνωμάλων σφυγμῶν ἰτέον ἐστὶν, οὓς καλοῦσιν κυματώδεις ποτὲ καὶ σκωληκίζοντας. ἐδείχθη γὰρ οὖν καὶ περὶ τούτων ὅτι τῷ ποσῷ μόνῳ διαφέρουσιν ἓν εἶδος ἄμφω κεκτημένοι. καί εἰσι δηλονότι τῶν κατὰ διαφέροντα μόρια τῆς ἀρτηρίας ἐν μιᾷ διαστολῇ τὴν ἀνωμαλίαν ἐχόντων. αἰτίαι δ' αὐτῶν τῆς γενέσεως ἀῤῥωστία τῆς δυνάμεως, ἢ πλῆθος χυμῶν, ἢ μαλακότης ὀργάνων ἐσχάτη. ὅταν μὲν γὰρ ἀπὸ τῆς ἀρχῆς διϊκνούμενος εἰς τὰς κατὰ μέρος ἀρτηρίας ὁ τόνος ἰσοσθενῶς ὅλον ἐξαίρειν ἀδυνατῇ τὸ ἀγγεῖον, ἐν τούτῳ

vius, et ut ſuperet rejiciatque quae moleſta ſunt contendit, id quod frequenter facit. Quod ſi in altero etiam impetu ſit inferior, fuerit is ſane caprizante deterior pulſus. Nomen hic non eſt ſortitus, tametſi hos quidam omnes, quorum continuitatem diſtentionis interpellat quies, appellent caprizantes. Nos vero de nominibus nihil ſolliciti ſumus, niſi quatenus flagitat inſtitutionis perſpicuitas.

Cap. VIII. Nunc quum res aperte declarata ſit, ad aliud genus pulſuum veniendum eſt inaequalium, quos undoſos, nonnunquam etiam vermiculantes vocant. Diximus vero de his quoque ſola eos diſtare quantitate, ſub uno tamen ambos genere poſitos eſſe; ac ſunt quidem in eorum numero, qui in diverſis partibus arteriae inaequalitatem idque in una diſtentione habeant. Cauſae ſunt illorum generationis facultatis imbecillitas, vel copia humorum, vel ſumma inſtrumentorum mollities; nam quum a principio in ſingulas arterias permeans contentio pari firmitate totum attollere vas nequeat, hic propinquior prin-

Ed. Chart. VIII. [194.] Ed. Baſ. III. (97.)

τὸ μὲν ἐγγυτέρω τῆς ἀρχῆς πρότερον ἄρχεται τῆς κινήσεως, τὸ ποῤῥωτέρω δ᾽ ὕστερον. εἰ μὲν οὖν ὁμαλῶς τὸ τοιοῦτον γίγνοιτο δι᾽ ὅλων τῶν ἀρτηριῶν, ἀεὶ τὸ πρότερον αὐτοῦ μόριον πρότερον φανεῖταί κινούμενον, ὡς εἰ καὶ ῥέοντός τινος ἀκωλύτως δι᾽ αὐτῶν ἤτοι πνεύματος ἢ ὑγροῦ τοὺς σφυγμοὺς ἐπιτελεῖσθαι συνέβαινε. καὶ τοῦτ᾽ Ἐρασίστρατος μὲν ἀεὶ γίνεσθαί φησι, καταψευδόμενος τοῦ φαινομένου, τῶν δ᾽ ἄλλων οὐδεὶς μὴ ὅτι ἰατρῶν, ἀλλὰ μηδὲ τῶν φιλοσόφων ἢ ἰδιωτῶν. ἅπασι γὰρ ἐναργῶς φαίνεται ἅπαντα τὰ μόρια τῶν ἀρτηριῶν ἐν ταὐτῷ χρόνῳ διαστελλόμενα, σπανίως δὲ καὶ οὐδὲ κατὰ φύσιν ἔτι τὸ τὰ μὲν ἐγγυτέρω τῆς καρδίας πρότερον φαίνεσθαι κινούμενα, τὰ δ᾽ ἀπωτέρω δεύτερα. οὐ μὴν ἤδη γέ πως κυματώδης, ἢ σκωληκίζων ὁ τοιοῦτος σφυγμὸς, ἀλλ᾽ ὅταν αὐτῷ προσγένηται τὸ διὰ τῶν ἀρτηριῶν ῥεῖν φανταζόμενον, ἴσχεσθαί πη καὶ μένειν καὶ ἡσυχάζειν δοκεῖν, εἶτ᾽ αὖθις ῥεῖν, καὶ πάλιν ἴσχεσθαι, καὶ τοῦτο γίγνεσθαι δι᾽ ὅλης τῆς ἀρτηρίας, ὁ τοιοῦτος σφυγμὸς ἤτοι κυματώδης ἢ σκωληκίζων ἐστί. περιγραφομένων γὰρ ἀεὶ τῶν κατὰ μέρος κινήσεων ἡσυχίας, τὴν οἷον κυμάτων διαδοχὴν ἢ σκώληκος διέρποντος

cipio motum orditur primum, remotior ſerius; atqui aequaliter ſi hoc ſiat per omnes arterias, ejus ſemper prior pars prius videbitur moveri; veluti ſi fluente quopiam per eas libere, vel ſpiritu, vel humore, pulſus contingeret effici. Quod quidem Eraſiſtratus perpetuum autumat eſſe, in quo mentitur de rebus evidentibus; aliorum vero nullus non modo medicorum, ſed nec philoſophorum, nec imperitorum; omnes enim clare cernunt omnes partes arteriarum eodem diſtendi tempore; raro et iam praeter naturam partes cordi viciniores moveri prius, deinde longinquiores. At talis pulſus non undoſus jam, nec vermiculans eſt, verum quum ei hoc acceſſerit, ut quod ſpeciem habet fluentis per arterias, morari alicubi et ſubſiſtere videatur quiescereque, mox iterum fluere, iterumque retineri, atque per totam hoc arteriam accidere; is pulſus vel undoſus, vel vermiculans eſt; nam quum ſinguli motus ſemper terminentur quiete ſeriem veluti undarum vel vermis perrepentis ſpeciem con-

Ed. Chart. VIII. [194.] Ed. Baf. III. (97. 98.)

φαντασίαν γίνεσθαι συμβαίνει. εἰ μὲν οὖν ὑπὸ (98) πλήθους βαρύνοιτο, τοῦτ' ἴσχει καὶ διακόπτει καὶ διασχίζει τὸν τόνον, ἔνθα ἂν ᾖ πλεῖστον ἠθροισμένον, καὶ οὕτω πολλαὶ διαστολαὶ γίνονται δίκην κυμάτων ἀλλήλας ἐκδεχόμεναι, καθ' ὅ τι ἂν ὁ τόνος σχισθῇ, τῆς ἀκινησίας ἐνταῦθα περιγραφούσης τὸ κῦμα. εἰ δὲ καὶ χωρὶς ὑγρότητος ἡ δύναμις αὐτὴ μόνη κάμνοι, πᾶσαν μὲν ἀθρόως ἀδυνατοῦσα διαστέλλειν τὴν ἀρτηρίαν, κατὰ μόρια δὲ ἐργαζομένη τοῦτο, γένοιντ' ἂν καὶ οὕτως οἷον κυμάτων τινῶν περιγραφαὶ πολλαὶ, διαδεχομένων ἀλλήλας τῶν διαστολῶν. τό γε μὴν διάφορον τούτων γε τῶν σφυγμῶν καὶ τῶν διὰ πλῆθος γινομένων μέγεθός ἐστι. καὶ διὰ τοῦτο σκωληκίζοντες μὲν οὗτοι διὰ τὴν μικρότητα, κυματώδεις δ' ἐκεῖνοι διὰ τὸ μέγεθος ὠνομάσθησαν. αἰτία δὲ τοῖς μὲν ἡ τῆς δυνάμεως ἀῤῥωστία, τοῖς δ' ἡ περὶ τῆς ὑγρότητος πλεονεξία. καὶ μὴν καὶ διὰ μαλακότητα τῶν ὀργάνων ἐσχάτην γίνονται οἱ τοιοῦτοι σφυγμοὶ, παραπλησίου τοῦ συμβαίνοντος τῷ κατὰ τὰς μαλακὰς καὶ νεαρὰς ῥάβδους, ὧν αἱρομένων ἐξ ἄκρου τὰ μέν τινα τῶν μερῶν, καὶ μάλιστα τὰ πλησίον

tingit repraefentari. Si igitur *facultas* a copia humorum oneretur, haec moratur contentionem ac interpellat atque diffindit illic quo plurima confluxit. Itaque exiftunt multae diftentiones in modum undarum fefe mutuo excipientes, atque quo loci divifa contentio eft, illic terminat undam quies. Quod fi ipfa facultas etiam citra humorem languescat fola, nec univerfam poffit arteriam diftendere, fed hoc particulatim faciat, et tum exiftent veluti undarum quarundam multae circumfcriptiones fuccedentium mutuo diftentionum. Porro quod inter hos pulfus intereft et illos quos copia humorum conftituit, magnitudo eft; unde hi ob parvitatem vermiculantes, ob magnitudinem illi undofi vocati funt. Et caufam habent illi facultatis imbecillitatem, hi humorum abundantiam. Jam confequuntur etiam extremam mollitiem inftrumentorum ejuscemodi pulfus fimili modo ac in mollibus ac tenellis virgis, quae quum ex vertice apprehenduntur, quaedam partes, praecipue vicinae parti prehenfae, una attolluntur, quaedam quum flectun-

τῆς λαβῆς συνεξαίρεται, τὰ δέ τινα λυγιζομένων αὐτῶν ἔτι μένει ταπεινὰ κᾂν τῷ κάτω. οὐ μὴν ἔν γε ταῖς σκληραῖς καὶ ξηραῖς ῥάβδοις φαίνεταί τι τοιοῦτον, ἀλλ᾽ ὁμοτόνως ἅπασα καθ᾽ ὅ τι ἂν αὐτῆς λαβόμενος ἐξαίρειν ἐθέλοις συνεξαίρεται. τοιοῦτον δέ τι συμπέπτωκε καὶ ταῖς ἀρτηρίαις, ὅταν ὑγρότητι πολλῇ διάβροχοι γενηθῶσιν. [195] οὐκ ἔτι γὰρ δέχονται τὸν ἀπὸ τῆς ἀρχῆς τόνον ὁμοίως ἅπασι τοῖς μορίοις, ἀλλ᾽ οἷον λυγιζόμεναι καὶ κλώμεναι πολλαχόθι διακόπτουσι, κᾂν τούτῳ τὰ πολλὰ μὲν κυματώδης, ἔστι δ᾽ ὅτε καὶ σκωληκίζων ὁ σφυγμὸς ἔσται. σὺν μὲν γὰρ ἐῤῥωμένῃ τῇ δυνάμει κυματώδης, μεγάλα γὰρ ἐξαίρειν οὕτω δύναται μέρη τῶν ἀρτηριῶν, σὺν ἀῤῥωστοτέρᾳ δὲ σκωληκίζων, ἐκ μικροῦ δηλονότι διαστήματος τηνικαῦτα νικωμένου τοῦ τόνου. ἀλλ᾽ εὐθὺς ἀνάγκη τοῦτον ἀνώμαλόν τε ἄλλως καὶ προσέτι καὶ διαλείποντα γενέσθαι, καθάπερ καὶ ἐπὶ τῶν ὑδεριώντων ἔχει. ἐφ᾽ ὧν ἔτι μὲν ἀντέχοντος τοῦ τόνου, καθάπερ καὶ ἐν τοῖς περὶ αὐτῶν λόγοις ἐφεξῆς εἰρήσεται, πλατὺς καὶ κυματώδης ἐστὶ, νικωμένου δὲ πολυειδῶς ἀνώμαλος γίνεται.

tur, adhuc demiſſae manent et humi; at vero duris virgis et ſiccis hoc non accidit; ſed pari contentione ſi attollere velis, quacunque parte prehendas, tota ſimul attollitur. Idem arteriis uſu venit, quum multa humiditate imbutae ſunt. Neque enim tum a principio contentionem aequaliter omnibus partibus accipiunt, ſed quaſi flecterentur et frangerentur, multis partibus diſſecant, in eoque undoſus plerumque, nonnunquam vermiculans erit. Nam validam facultatem habet undoſus, quippe magnas ſic partes arteriarum poterit attollere, imbecilliorem vermiculans, quod parvis intervallis tum contentio vincatur. Caeterum statim hunc neceſſe eſt inaequalem alioqui et etiam intermittentem fieri, ut fit in hydropicis, quibus quum reſiſtat adhuc contentio, quemadmodum inferius ubi tractabimus de illis dicemus, latus undoſusque eſt; ubi vero ſit victa, varie fit inaequalis.

Ed. Chart. VIII. [195.] Ed. Baf. III. (98.)

Κεφ. θ'. Ἀλλ' ἐπεὶ καὶ περὶ τούτων αὐτάρκως εἴρηται, τῶν μυούρων ἐφεξῆς μνημονεύσωμεν, ἀσθενείᾳ τῆς τοὺς σφυγμοὺς ἐργαζομένης δυνάμεως ἑπομένων. ὅταν γὰρ ὁ ἀπὸ τῆς καρδίας ἐπὶ τὰς κατὰ μέρος ἀρτηρίας διήκων τόνος ἀεὶ καὶ μᾶλλον ἐν τοῖςποῤῥωτέρω μέρεσιν ἐκλύηται, μικροτέρας οὕτω καὶ ἀμυδροτέρας ἀναγκαῖον γίνεσθαι τὰς ἐν αὐτοῖς κινήσεις. πῶς οὖν ἐν τοῖς ἐγγυτέρω μέρεσι τῆς ἀρχῆς εὑρηκέναι τινές φασιν ἐνίοτε τὰς ἐλάττους κινήσεις; οὐκέτι γὰρ οἷόν τε λέγειν ἐπὶ τούτων ὡς ὁ παρὰ τῆς ἀρχῆς τόνος ἐν τοῖς ἐγγυτέρω μᾶλλον ἢ ἐν τοῖς ποῤῥωτέρω διαλύεται. ἐμοὶ μὲν δοκοῦσιν ἢ διὰ τὴν τῆς θέσεως τῶν ἀρτηριῶν ἀνωμαλίαν οὕτως φαντασθῆναι, ἢ εἰ καὶ ὄντως ἀληθεύουσιν, εἰς δυσκρασίας ἀνωμαλίαν ἀναφέρειν χρὴ τῶν τοιούτων σφυγμῶν ἁπάντων τὴν γένεσιν, ἵν' ἡ παρὰ τῆς ἀρχῆς εἰς τὰς ἀρτηρίας ἐκτεταμένη δύναμις τοῖς μὲν εὐκράτοις αὐτῶν μορίοις εὐλόγως βέλτιον ᾖ χρωμένη, τοῖς δυσκράτοις δὲ χεῖρον. ὑπὸ γὰρ ἴσου τε καὶ ταὐτοῦ τόνου τὸ μὲν ὑγρότητί τε καὶ θερμότητι μετρίᾳ κεκραμένον ὄργανον ἑτοιμότερόν τε καὶ μᾶλλον κινεῖται,

Cap. IX. Sed quia fatis eft dictum de his, de decurtatis jam agamus qui imbecillitatem confequuntur facultatis, a qua pulfus creantur, quum enim a corde permeet in fingulas arterias contentio et magis ac magis in partibus remotioribus diffolvatur, minores tum languidioresque neceffario earum motus fiunt. Qui tandem igitur in partibus quidam principio propinquioribus inveniri ajunt nonnunquam minores motus? neque enim hic poterimus dicere, contentionem, quae ex principio oritur, in vicinioribus magis quam in remotioribus remitti. Equidem puto iis aut propter arteriarum inaequalem fitum eam fpeciem oblatam effe, aut fi plane vera praedicant, intemperiei inaequalitati origo omnium iftorum pulfuum referenda accepta eft; ut a principe parte facultas in arterias diftufa, partibus earum temperatis merito utatur melius, intemperatis deterius; fiquidem inftrumentum a pari robore eodemque, fi humiditate et calore fit modico temperatum, facilius ac magis

τὸ δ᾽ αὐχμῶδες ἢ ὑγρὸν ὑπερβαλλόντως, ἢ ψυχρὸν, ἀργότερόν τε καὶ ἧττον.

Κεφ. ι΄. Ἆρ᾽ οὖν καὶ τοὺς οἷον ἐπινενευκότας τε καὶ περινενευκότας σφυγμοὺς ὡσαύτως φυσιολογήσομεν, ἢ δύνανται μὲν ἴσως ποτὲ καὶ οὕτως γενέσθαι; πολλὰ μὴν ἐναργῶς ἐφάνησαν ἐμοὶ γοῦν δι᾽ ἑτέρας γιγνόμενοι προφάσεις. ὅταν μὲν γὰρ ἡ δύναμις ἄῤῥωστος ᾖ, σύντηξις δὲ τῶν περικειμένων ταῖς ἀρτηρίαις σωμάτων, καθ᾽ ὅ τι ἂν αὐτῶν μάλιστ᾽ ἐκτετηκὸς, καὶ διὰ τοῦτο κουφότατον ὂν, ἡ κίνησις ἀνακύψαι δυνηθῇ, κατὰ τοῦτο μάλιστα καὶ τὸ μέγεθος αὐτῆς ἐμφαίνεται. παραβαλλομένη γὰρ ἡ ἐν τούτῳ διαστολὴ ταῖς ἑκατέρωθεν μικροτέραις οὔσαις μύουρον κατ᾽ ἄμφω τὰ μέρη τὴν κίνησιν ἀποφαίνει. τοῦτο δ᾽ ἐν ταῖς ἰσχυροτάταις δυνάμεσιν οὐκ ἐνδέχεται γενέσθαι, χρὴ γὰρ ἀκίνητον αὐτὴν εἶναι, καὶ μὴ φέρειν τὸ βάρος τῶν ἐπικειμένων σωμάτων, ἵν᾽ αἰσθητὴν ποιήσῃ τὴν ὑπεροχὴν τῆς ἐν τῷ γυμνοτέρῳ μορίῳ διαστάσεως παρὰ τὰς ἐν τοῖς βεβαρημένοις.

movetur, fqualidum, aut nimium humidum, aut frigidum, tardius minusque.

Cap. X. Igitur naturam innuentium et circumnuentium pulfuum fimili ratione commentabimur. Poffint forfitan pari modo ac fimili aliquando fieri? nam faepe luculenter mihi certe apparuerunt aliis de caufis accidiffe. Ubi enim imbecilla fit facultas, corpora autem, quae ambiunt arterias, marcescant, qua parte illorum maxime marcida, atque eo leviffima, emicare motus poffit, ibi etiam maxime elucescit ejus magnitudo; comparata enim hujus partis distentione aliis utrinque minoribus, decurtatum in utrisque partibus motum oftendit. Hoc fieri in validiffimis facultatibus non poteft, quod immotam oporteat eam effe, nec fuftinere incumbentium corporum pondus, ut manifeftam efficiat excellentiam diftentionis in partibus nudioribus prae illis, quae funt in partibus oneratis.

Ed. Chart. VIII. [196.] Ed. Baf. III. (98.)

Κεφ. ια΄. [196] Πῶς οὖν ἡ παρὰ τὴν θέσιν τῆς ἀρτηρίας ἀνωμαλία γίνεται τῶν σφυγμῶν; τοῦτο γάρ ἔτ' ἐνδεῖν ἔοικε τῷ λόγῳ. πῶς δ' ἄλλως ἢ ὥσπερ Ἱπποκράτης εἶπε καθόλου περὶ πάσης ἡμᾶς διδάσκων διαστροφῆς; καὶ γὰρ καὶ ἡ τῆς μήτρας ὡσαύτως καὶ αἱ τῆς ῥάχεως καὶ τῶν μυῶν γίνονται, τεινομένων εἰς ἐκεῖνα τὰ μέρη τῶν σωμάτων εἰς ἅπερ καὶ διαστρέφεται. τῷ δ' εἶναι πολλὰς τὰς τεινούσας αἰτίας δυσφώρατον τὸ καθόλου τοῖς πλείστοις τῶν ἀρχαίων ἰατρῶν ἐγένετο. καὶ γὰρ φλεγμοναὶ καὶ σκίῤῥοι καὶ ἀποστήματα καὶ τινων ἀπέπτων φυμάτων γένεσις καὶ ὅλως ἅπαντες οἱ παρὰ φύσιν ὄγκοι τείνειν πρὸς ἑαυτοὺς δύνανται τὰ συνεχῆ, ἤδη δὲ καὶ σκληρότης αὐχμώδης καὶ ψύξις ἄμετρος ὅμοιόν τι πήξει δρῶσα καὶ σπασμώδης σύντασις, ὧν ἄλλοτ' ἄλλο διαστρέφει τὰς ἀρτηρίας. μάλιστα δὲ τὴν ἀνώμαλον δυσκρασίαν ἡγητέον διαστρέφειν.

Κεφ. ιβ΄. Ἀλλ' ἐπεὶ καὶ περὶ τούτων εἴρηται τὰ εἰκότα, προσθεῖναι χρὴ τὸν περὶ τοῦ σπασμώδους σφυγμοῦ λόγον, ᾧ τὸ μὲν ὄνομα πρέπον ἀπό τε τῆς ἰδέας αὐτῆς

Cap. XI. At quomodo ex fitu arteriae fit pulfuum inaequalitas? hoc enim deeffe orationi adhuc videtur. Qui vero aliter, ac dixit Hippocrates, qui de omni nos diftortione in communi docuit? Etenim uterus fimiliter et fpina musculique diftorquentur, quum in corporis illas partes tenduntur, in quas diftorqueantur, fed quia multae caufae funt, quae tenfionem inducunt, univerfum plerisque veteribus medicis difficillimum fuit inveftigatu. Inflammationes enim, fcirrhi, abfceffus ac crudorum quorundam generatio tuberculorum, breviter omnes praeter naturam tumores, vicinas partes ad fe retrahere valent. Praeterea fqualida ficcitas frigusque immodicum quiddam faciat in modum gelu et convulfiva intentio, quorum alias aliud arterias diftorquet. Praeter caetera diftorquere inaequalis intemperies cenfenda eft.

Cap. XII. Sed quoniam de his quae nobis vifa funt expofuimus, jam de convulfivo pulfu etiam disputandum eft; qui nomen recte invenit ex ipfa fpecie et affectu, quem

Ed. Chart. VIII. [196.] Ed. Baf. III. (98.)

καὶ τοῦ παθήματος ὃ δηλοῦν πέφυκε. τείνεσθαι μὲν γὰρ ἐπ' ἄμφω τὰ πέρατα δόξεις τὴν ἀρτηρίαν καὶ μικρὸν ὕστερον σπασμὸς τὸν ἄνθρωπον καταλαμβάνει. τί οὖν δὴ τὸ ἄπορον ἐνταῦθα καὶ τίνος ἕνεκα προβέβληται; εἰ μὲν ἡ καρδία καθάπερ ἀρτηριῶν, οὕτω καὶ νεύρων ἐστὶν ἀρχὴ, οὔτ' ἄπορον οὐδὲν καὶ μάτην προβέβληται· εἰ δ' ἄλλη μὲν ἀρχὴ νεύρων, ἄλλη δ' ἀρτηριῶν, καὶ ταῖς μὲν σφυγμὸς ἐνέργεια, τοῖς δ' αἴσθησίς τε καὶ κίνησις ἑκούσιος, ὥσπερ οὐκ ἔστι τῶν ἐνεργειῶν αὐτοῖς οὐδεμία μετουσία, οὕτως οὐδὲ τῶν παθημάτων ἔσται τις κοινωνία. ἢ κακῶς τοῦτο καὶ ψευδόμενοι λέγουσιν, ὅσοι γε δοκοῦσιν οὐκ εἶναι σφίσιν ἐπιμιξίαν; ὁ γάρ τοι πατὴρ τοῦ δόγματος ὁ θεῖος ἐκεῖνος Ἱπποκράτης, σύῤῥοια μία, φησὶ, σύμπνοια μία, πάντα πᾶσι συμπαθέα, φύσις κοινή. ἦ γὰρ ἂν, εἰ μὴ τοῦτ' ἦν, δύο ἤστην οὕτω ζῶα καὶ οὐχ ἓν ἕκαστος ἡμῶν. νυνὶ δὲ καρδία μὲν ἀρτηρίας ἐγκεφάλῳ μεγάλας ἐκπέμπει δεσμὸν τῆς κοινωνίας, νεῦρα δ' ἐγκέφαλος καρδίᾳ, κἂν εἰ μὴ μεγάλα, τὸ γοῦν ἐκ τοῦ λόγου πρόσταγμα διαστέλλειν δυνάμενα. οὕτω δὲ καὶ ταῖς κατὰ μέρος ἀρτηρίαις αἱ παρὰ τῶν νεύρων ἶνες εἰς κοινωνίαν ἔρχονται, δι' ὧν οὐκ

ſolet denotare; tendi enim ad utrumque terminum arteriam putaveris et ſtatim corripit hominem convulſio. At quis tandem hic ſcrupulus eſt et ob quid propoſitus? Si ut arteriarum cor, ſic nervorum eſt fons, nihil eſt ſcrupuli et fruſtra eſt propoſitus; ſin aliud principium nervorum, aliud arteriarum, atque harum pulſus functio eſt, illorum ſenſus et motus voluntarius; ut functionum illis nulla ſocietas eſt, ita nec erit affectuum. An vero errant in eo et mentiuntur qui putarunt illis nullum commercium eſſe? Nam princeps quidem hujus placiti divinus ille Hippocrates, *Confluxio una*, inquit, *eſt conſpiratio una, omnia omnibus conſentiunt, natura communis, nam niſi hoc eſſet, duo animalia eſſet, nec unum unusquisque noſtrum.* Nunc arterias magnas cor cerebro vinculum ſocietatis transmittit, cerebrum nervos cordi; qui quanquam non magni ſint, mandatum tamen rationis poſſunt transmittere. Ad haec ſingulis arteriis fibrae a nervis deductae ad ſocietatem veniunt,

ἔργων μόνων, ἀλλὰ καὶ παθημάτων ἀλλήλοις μεταδιδόασι. καὶ οὐδὲν ἔτι θαυμάσιον, εἰ τοῦ νευρώδους γένους ἅπαντος ἑνουμένου ταῖς ἀρτηρίαις, ἡ κοινωνία τοῦ παθήματος ἐμφαίνεται, τῶν γε κατὰ μέρος ἀποφύσεων ἀλλήλαις ἐπιμιγνυμένων, καὶ τῶν ἀρχῶν, ὡς εἴρηται, ξυνημμένων.

Κεφ. ιγ'. Ἀλλὰ γὰρ ἐπεὶ καὶ τὰ περὶ σπασμώδους εἴρηται σφυγμοῦ, τὸ λοιπὸν ἔτι προσ(99)θετέον ἡμῖν ἐστιν εἰς τὴν περὶ τῶν ἀνωμάλων ἁπάντων φυσιολογίαν. λείπεται δ', ὡς οἶμαι, πῶς ὑψηλοὶ [197] καὶ ταπεινοὶ καὶ πλατεῖς καὶ στενοὶ καὶ μακροὶ καὶ βραχεῖς γίνονται σφυγμοί. πλεῖστοι γὰρ δὴ οὗτοι καὶ μάλιστα ποικίλλουσι τὰς ἀνωμαλίας πάσας τάς τε καθ' ἕνα σφυγμὸν καὶ πολὺ δὴ μᾶλλον τὰς ἐν ἀθροίσματι. συμβαίνει δή τι τοιοῦτον ἐν τῷ διαστέλλεσθαι τὰς ἀρτηρίας, ἐπί τε τοῖς ὑγιαίνουσιν ἅπασιν καὶ τοῖς πλείστοις τῶν νοσούντων τῆς ἄνω περιφερείας αὐτῆς μᾶλλον αἰσθανόμεθα κινουμένης ἢ τῶν ἐν τοῖς πλαγίοις μερῶν. ἡ μὲν γὰρ ἐγγυτέρω τῆς ἁφῆς ἡμῶν ἐστι καὶ δι' ἐλαττόνων ὁμιλεῖ σωμάτων, τὰ δ' ἑκατέρωθεν αὐτῆς αὐτά τε πλέον ἄπεστι

per quas fe finunt mutuo in confenfum venire, non modo actionum, fed affectuum etiam. Nec jam quicquam habet admirationis, fi quum univerfum nervofum genus conjunctum cum arteriis fit, fingulique eorum ramuli fibi mutuo immixti, principiaque, ut dictum eft, inter fe conjuncta fint, communis appareat affectus.

Cap. XIII. Sed quia de convulfivo pulfu diximus, refiduum ad commentationem omnium inaequalitatum adjiciam. Supereft nimirum quemadmodum alti, humiles, lati, angufti, longi et breves pulfus fiant, maximus eft enim horum numerus et variant maxime omnes inaequalitates quum in uno pulfu, tum vero longe magis in acervo. Accidit autem tale quippiam, dum diftenduntur arteriae et in valentibus omnibus et aegrotis plerisque, ut fupernam ipfam fuperficiem moveri clarius fentiamus, quam partes obliquas, quod propior illa fit noftro tactui et congrediatur paucioribus interpofitis corporibus; partes ex utroque latere hujus quum remotiores funt, tum pluribus corporibus, quae in-

καὶ πλεῖον περιβέβληται τὰ διὰ μέσου σώματα. καὶ τοίνυν αὐτὸς ὁ κατὰ φύσιν σφυγμὸς, ἂν ἀκριβῶς ἐξετάζῃ τις, ὑψηλότερός ἐστιν, ἀπολειπομένης μὲν ἀεὶ τῆς εἰς τὸ πλάτος ἐν αὐτῷ κινήσεως, πλεονεκτούσης δὲ τῆς εἰς ὕψος. ἀλλ' ἐπεὶ μέτρον οὗτος ἡμῖν καὶ κανὼν ἁπάντων τῶν ἄλλων, οὔθ' ὑψηλὸν οὔτε στενὸν ὀνομάζομεν αὐτὸν, ἀλλ' ὥσπερ οὖν πρέπει καὶ δίκαιόν ἐστιν, σύμμετρόν τε καὶ μέσον ἁπασῶν τῶν ὑπερβολῶν. εἰθισμένοι δὲ τούτῳ καὶ συντεθραμμένοι καὶ πολλάκις εὑρίσκοντες αὐτὸν οὐκ ἐπὶ τῶν ὑγιαινόντων μόνων, ἀλλὰ καὶ ἐπὶ τῶν νοσούντων, ῥαδίως γνωρίζομεν τοὺς ἀπολειπομένους ἢ ὑπερβάλλοντας αὐτὸν καθ' ἡντιναοῦν τῶν διαστάσεων. καὶ γάρ τοι καὶ ὁ μακρὸς καὶ ὁ βραχὺς ὡς πρὸς τοῦτον λέγονται. καὶ ὅστις μὴ εἴθισται τῷδε, οὐχ ὅπως ὑψηλοῦ καὶ ταπεινοῦ καὶ πλατέος καὶ στενοῦ γένοιτ' ἂν ἀκριβὴς γνώμων, ἀλλ' οὐδὲ μακροῦ καὶ βραχέος. ὡς οὖν ἄνθρωπόν τινα πάντη σύμμετρον εἶναί φαμεν οὐ τῇ προχείρῳ κατὰ τὴν αἴσθησιν ἰσότητι τὸ μῆκος τῷ πλάτει καὶ βάθει παραβάλλοντες, ἀλλὰ τῇ κατὰ δύναμιν· οὐδεὶς γὰρ οὕτως εὑρεθείη βραχὺς ὡς ἀπολείπεσθαι τὸ μῆκος τοῦ πλάτους· οὕτω καὶ

terpofita funt, indutae. Proinde ipfe naturalis pulfus, fi diligenter expendas, altior eft; quod deficiat femper ejus in latum motus, praepolleat autem motus in altum. Verum quia menfura nobis haec eft, reliquorumque regula aliorum, nec altum eum, nec anguftum appellamus, fed ut par eft et poftulat aequitas, moderatum et inter omnes exceffus medium. Cui quia affueti nos fumus et una cum eo crevimus, ac faepe eum invenimus, non in fanis modo, fed et in aegrotis facile cognoscimus, qui fuperantur ab eo et qui eum fuperant in quacunque dimenfione; etenim longus et brevis ad hunc collatus dicitur. Ac quicunque non eft in hoc verfatus, non tantum non alti, humilis, lati, angufti, fit probus explorator, fed nec longi et brevis. Nam ut hominem dicimus aliquem undequaque moderatum, non obvia illa ad fenfum paritate longum cum lato et profundo comparantes, fed paritate in poteftate, neque enim tam eft quisquam brevis ut concedat longitudo latitudini, fic vocamus modera-

Ed. Chart. VIII. [197.] Ed. Baf. III. (99.)

σφυγμὸν σύμμετρον ὀνομάζομεν, τὴν κατὰ φύσιν ἀναλογίαν τε καὶ συμμετρίαν κανόνα τῆς ἰσότητος, οὐ τὴν αἴσθησιν ποιούμενοι. πάντως δὲ ἐν αὐτῷ τὸ μὲν μῆκος ὑπερέχει τοῦ βάθους, τοῦτο δ' αὖ τοῦ πλάτους. αὐτὴν μὲν γὰρ εἰ νοήσαιμεν καθ' αὑτὴν τὴν ἀρτηρίαν, γυμνὴν ἁπάντων τῶν περικειμένων σωμάτων, ἴσον ἔσται τὸ πλάτος τῷ βάθει. μᾶλλον δ' οὐδ' εἰπεῖν ἕξομεν ἐπί γε τῆς τοιαύτης τουτὶ μὲν εἶναι τὸ πλάτος, ταυτὶ δὲ βάθος, ἀλλ' ὥσπερ ὅμοιον ἑαυτῷ πάντῃ τὸ σῶμα κυκλοτερὲς ἀκριβῶς ὑπάρχει, οὕτω καὶ τῶν διαστημάτων οὐδεμία διαφορά. τεθείσης μέντοι κατά τινος ἑτέρου σώματος αὐτῆς, κάτω μὲν ἂν ἤδη λέγοιτο καθ' ὧν στηρίζεται μορίων, ἄνω δὲ τὸ κατ' ἄντικρυ. τὸ δ' ἐν τῷ μέσῳ τῶν διαστημάτων κάτωθεν μὲν ἄνω νοοῦσιν ὕψος, ἄνωθεν δὲ κάτω βάθος. ἔνθα δ' ὕψος καὶ πλάτος, ἐνταῦθα θάτερον τῶν διαστημάτων βάθος καὶ πλάτος. εἰ δὲ μὴ μόνον στηρίζοιτο κατά τινος, ἀλλὰ κἀκ τῶν πλαγίων αὐτῶν καὶ προσέτι τῶν ἄνω περιλαμβάνοι τινὰ σώματα, παντί που δῆλον ὡς τὰ δι' ἐλαττόνων σκεπασμάτων ἡμῖν ὁμιλοῦντα μόρια σαφε-

tum pulfum, naturalem proportionem et mediocritatem normam aequalitatis, non fenfum facientes. In hoc omnino longitudo praeftat profunditati atque haec latitudini. Nam fi ipfam folam arteriam fingamus omnibus circumjectis corporibus nudatam, aequabit profunditatem latitudo, atque adeo in ea certe nec dicere poterimus quidem, quae latitudo, quae profunditas fit; fed ficut undique fibi eft fimile corpus plane circulare, ita nulla dimenfionum differentia eft. At fi in alio fit corpore ea collocata, deorfum jam dicetur, quibus partibus fuftentatur et defixa eft; furfum quod eft e regione, quod interponitur his intervallis ex imo furfum, intelligunt altitudinem, et defuper deorfum profunditatem; ubi autem altitudo et latitudo eft, illic alterutra dimenfionum profunditas et latitudo eft. Quod fi non tantum fulciatur aliqua parte, fed etiam ex ipfis obliquis partibus et fuperioribus complectatur quaedam corpora, planiffime partes, quas per pauciora tegumenta contingimus, apertiorem motum

στέραν ἐνδείξεται τὴν κίνησιν ἤπερ τὰ διὰ πλειόνων. ἀλλὰ μὴν ὧν γέ ἐστιν ἀρτηριῶν ἡ θέσις ὑπὸ τῷ δέρματι, τοιαῦται δ' εἰσὶν ὧν ἐφαπτόμεθα τοὺς σφυγμοὺς διαγινώσκοντες, τούτων τὸ μὲν ἄνω διὰ μόνου τοῦ δέρματος ἡμῖν ὁμιλεῖ, τὰ δ' ἑκατέρωθεν εἰς ὅσον ἀποχωρεῖ πρὸς τὸ πλάγιον εἰς τοσοῦτο διὰ μακροτέρου τε τοῦ διαστήματος πλεόνων τε τῶν ἐν τῷ μέσῳ σωμάτων. καὶ διὰ ταύτην τὴν ἀνάγκην ὑψηλότερος μὲν ἀεὶ πᾶς σφυγμός ἐστιν ὁ κατὰ φύσιν, εἰ παραβάλλοις ἀλλήλοις τὰ διαστήματα. λέγεται δὲ σύμμετρος καὶ κανὼν τῶν ἄλλων ὁμοίως τῷ Πολυκλείτου κανόνι. ὡς γὰρ ἐκείνῳ παραβάλλοντες τοὺς ἄλλους ἀνδριάντας ἁδροὺς, ἢ ἰσχνοὺς, ἢ πλατεῖς, ἢ στενοὺς, ἤ τι τῶν ἄλλων ἀμετριῶν ὄνομα προσαγορεύομεν, οὕτω καὶ τοὺς σφυγμοὺς τῷ κατὰ φύσιν ἀντεξετάζοντες [198] ὑψηλοὺς, ἢ ταπεινοὺς, ἢ πλατεῖς, ἢ στενοὺς, ἢ μακροὺς, ἢ βραχεῖς, ἢ ἁδροὺς, ἢ ἰσχνοὺς, ἢ μεγάλους, ἢ μικροὺς ὀνομάζομεν. τίνες οὖν αἰτίαι τῆς γενέσεως αὐτῶν; τοῦτο γὰρ εἰπεῖν προὔκειτο. πρόχειρον μὲν ἦν ἤτοι δυσκρασίαν ἀνώμαλον αἰτιᾶσθαι τῶν ὀργάνων, ἢ διαστροφὴν ἐν τῇ θέσει. δέδεικται γὰρ ὅπως ἐν ταῖς τοιαύταις διαθέ-

quam quae tangimus per plura edent. Atqui quae arteriae fub cute pofitae funt, (tales autem funt quas dignoscendis pulfibus attingimus) harum fuperiorem partem interpofita fola cute tangimus; partes utrinque alias, quantum recedunt in obliquum, tanto per longius intervallum et per plura interpofita corpora. Qua neceffitate fit ut omnis pulfus, qui naturalis fit, fi mutuo compares dimenfiones, fit femper longior; vocatur autem moderatus et aliorum regula, ut Polycleti regula; nam ut quum alias ftatuas ad hanc conferimus, craffas, graciles, latas et anguftas vocamus, aut fi quo alio exceffus nomine; fic pulfus cum naturali comparantes, altos, humiles, latos, anguftos, longos, breves, craffos, graciles, magnos, atque parvos appellamus. At quaenam funt caufae, unde oriantur? quod inftitueramus dicere. Ad manum erat quidem ut in inftrumentorum intemperiem inaequalem caufam conferremus, aut diftortionem fitus; fiquidem quemadmodum appareant in ejusmodi affectibus

σεσιν αἱ κινήσεις ἀνώμαλοι φαίνονται. ἀλλ᾽ ἐγὼ τοὺς μὲν ὑψηλοὺς ἔν τε τοῖς θυμοῖς καὶ πρὸ τῶν κρίσεων εὑρίσκω γινομένους, τοὺς δὲ πλατεῖς τοὐπίπαν ἐπὶ ταῖς κριτικαῖς ἐκκρίσεσιν. οὐκ ἔτι δὲ δύναμαι δυσκρασίαν ὀργάνων ἢ διαστροφὴν θέσεως αἰτιάσασθαι μόνας, γένοιτο γὰρ ἄν ποτε καὶ διά τι τούτων, ἀλλ᾽ αἱ πλεῖσται διαθέσεις ἐφ᾽ ὧν οἱ τοιοῦτοι φαίνονται σφυγμοὶ τῶν εἰρημένων αἰτίων ἐκτός εἰσιν. οὔτε γὰρ ἀνωμαλία κράσεως, ἤγουν εἰς τοσοῦτο τὴν φύσιν ὑπαλλάττουσα τῶν ὀργάνων, ὡς ἀνωμάλους ἐργάσασθαι τοὺς σφυγμοὺς, οὔθ᾽ ἡ τῆς θέσεως ἐξαλλαγὴ δύναιτ᾽ ἂν συστῆναί ποτε χωρὶς μεγάλης βλάβης ἢ χρόνου μακροῦ ὧν οὐδὲν οὔτε τοῖς θυμουμένοις οὔτε τοῖς ἤδη κεκριμένοις οὔτε τοῖς ὅσον οὐδέπω κριθησομένοις ὑπάρχει, ἀλλ᾽ ἐστὶ τὸ γινόμενον ἐπ᾽ αὐτῶν τοιοῦτο· μείζονα τὸν σφυγμὸν ἐργάζεται τοῖς θυμουμένοις τε καὶ κριθησομένοις, οὐ μὴν ὅσον γε μεῖζόν τι γίγνεται, τοσοῦτον καὶ φαίνεται. τῇ μὲν γὰρ εἰς ὕψος κινήσει τε καὶ διαστολῇ τῆς ἀρτηρίας ὅσον προσέρχεται φαίνεται πᾶν, τῇ δ᾽ εἰς τὸ πλάγιον τὸ πλεῖστον ἀφανίζεται, κατὰ τὸν αὐτὸν, οἶμαι, λόγον καθ᾽ ὃν καὶ τοῖς ἄνευ περιστάσεώς τινος

motus inaequales declaratum eſt. Sed altos ego in ira et ante judicationes comperio fieri, latos plurimum in decretoriis excretionibus. Non poſſum igitur inſtrumentorum jam intemperiem, aut diſtortum ſitum ſolos in culpa ponere, ſane quidem interim etiam de aliqua harum cauſarum incidat. Verum plerique affectus, in quibus inveniuntur ejuscemodi pulſus ſunt expertes cauſarum, quas diximus; neque enim temperamenti inaequalitas, quae immutat adeo naturam inſtrumentorum, ut inaequales efficiat pulſus, nec vero ſitus immutatio unquam inveniatur citra ingentem noxam tempusque longum; quorum ſuppetit nihil nec iratis, nec modo judicatis, nec jam jamque judicandis. Sed quod illis accidit hoc eſt. Magnus pulſus fit iratis et judicandis, non tamen quanto quicquid majus evadit, tantum etiam animadvertitur; motus enim in altum et diſtentio arteriae, quousque progrediatur, univerſa conſpicua eſt; motus obliquus fere occultatur, eodem ſcilicet modo, quo inculpata

ὑγιαίνουσιν ἀεὶ πλεονεκτεῖν ἐδείκνυτο ἡ εἰς ὕψος κίνησις. μεμνημένοι τοιγαροῦν τῆς τότε καταστάσεως τῶν σφυγμῶν οὓς συμμέτρους ὀνομάζομεν, εἶτα νῦν εὑρίσκοντες ἱκανὸν μὲν εἰς ὕψος, οὐχ ἱκανὸν δ' εἰς πλάτος, ἀλλ' ἤτοι παντάπασιν ὀλίγον ἢ οὐδὲν ὅλως ἐπιδεδωκυῖαν τὴν κίνησιν, εὐλόγως ὑψηλοὺς ὀνομάζομεν τοὺς τοιούτους σφυγμούς, εἰ μέν τι καὶ τῷ πλάτει σαφὲς προσεγένετο, μεγάλους ἅμα καὶ ὑψηλοὺς καλοῦντες, εἰ δ' οὐδὲν ὅλως αἰσθητὸν, ὑψηλοὺς μόνον, εἰ δ' εἰς ἄμφω μὲν ηὐξήθησαν ὕψος, τε καὶ πλάτος, οὐκ ἀξιόλογος δ' ἡ τοῦ ὕψους εἴη παρὰ τὸ πλάτος ὑπεροχὴ, μεγάλους μόνον τοὺς τοιούτους ὀνομάζοντες. ὅταν γὰρ ἐν ταὐτῷ λόγῳ τὸ προσαυξόμενον ὕψος ὑπερέχει τοῦ πλάτους, ᾧ κἂν τῷ κατὰ φύσιν ὑπερέχῃ, τὴν αὐτὴν ἰδέαν τῷ συμμέτρῳ κληθέντι διασώζειν ἀνάγκη τὸν νῦν γινόμενον. οὐκ οὖν ὑψηλὸς, ὥσπερ οὐδ' ἐκεῖνος, ἀλλὰ μείζων μόνον αὐτοῦ φαίνεται. τῶν γὰρ ταὐτὸν εἶδος διασωζόντων οὐκ ἐνδέχεται τὸν μὲν σύμμετρον, τὸν δ' ὑψηλὸν καλεῖν, ἀλλ' εἴπερ πάντῃ κατὰ τὴν αὐτὴν ἀναλογίαν ὁ ἕτερος ηὐξήθη, μείζονα μόνον. καὶ γὰρ οὖν καὶ περὶ τοῦ μήκους ὡσαύτως ἔχει. κατὰ μὲν γὰρ τὴν αὐτὴν

valetudine praeditis ſemper oſtendimus praepollere motum in altum. Itaque memores illius ſtatus pulſuum, quos moderatos appellamus, ſi jam comperiamus bene auctam altitudinem motus, nec multum latitudinem, ſed omnino parum, vel nihil prorſus, recte vocamus eos pulſus altos. Quod ſi manifeſtum accedat incrementum latitudini, magnos ſimul et altos vocamus; ſin omnino obscurum, altos multum. Si ambo increverint, altitudo et latitudo, ſed non multum latitudinem vincat altitudo, hos vocamus magnos tantum; quum enim eadem proportione altitudo adaucta vincat latitudinem, qua etiam in naturali pulſu ſuperaret, eandem ſpeciem ac moderatus quem vocant retineat hic oportet. Itaque non altus, ut nec ille, ſed major tantum illo videtur; ſiquidem eorum, quae eandem ſervant formam, non decet unum moderatum, alterum vocare altum, ſed ſi eadem undequaque proportione alter crevit, majorem tantum. Quinetiam in longitudine eadem eſt ratio; quae quum

Ed. Chart. VIII. [198. 199.] Ed. Baf. III. (99. 100.)

ἀναλογίαν καὶ τοῦτο συναυξανόμενον τῷ βάθει τε καὶ τῷ πλάτει τὸν ὅλον σφυγμὸν, ὡς ἤδη λέλεκται, μείζονα φαίνεσθαι ποιεῖ. οὔκουν ἴσων ἁπλῶς δεῖ τῶν ἐπαυξανομένων ἐν τοῖς τρισὶ διαστήμασι κινήσεων, ἀλλ' ἀνάλογον ἴσων, ἵν' ὁ σφυγμὸς μείζων γένηται. τοῖς οὖν εἰθισμένοις τῇ τοῦ κατὰ φύσιν ἀναλογίᾳ ῥᾳδίως τὸ (100) προσιὸν, ὅσον ἔξω τοῦ λόγου, γνωρίζεται. καὶ τοιαῦται μέν τινές εἰσιν αἱ γενέσεις τῶν προκειμένων σφυγμῶν, ἑξῆς δ' ἂν εἴη τὰς αἰτίας εἰπεῖν δι' ἃς ἢ σώζεσθαι τὴν φυσικὴν ἀναλογίαν ἐπ' αὐτῶν, ἢ διαφθείρεσθαι πέφυκε. σώζεται μὲν οὖν, ὅταν μηδεμία μεγάλη τοῦ κατὰ φύσιν εἰς πολυσαρκίαν, ἢ λεπτότητα τῆς ἕξεως γένηται μεταβολὴ, ἀλλὰ μηδὲ ξηρότης ἄμετρος, ἢ ὑγρότης, ἢ τις ἀνάγκη μεγάλη ἐσχάτης διαστολῆς. φθείρεται δὲ καὶ συγχεῖται διά τι τούτων παρὸν, οἷον αὐτίκα τὰ μὲν ἄλλα πάντα καλῶς ἐχέτω, μεγάλην δ' οὕτως ἡ δύναμις ἐπειγέσθω ποιήσασθαι διαστολὴν, ὡς μὴ χωρεῖσθαι τὸν ὄγκον αὐτῆς ὑπὸ τῶν περιεχουσῶν τὰς ἀρτηρίας χωρῶν. [199] ἀνάγκη γὰρ ἐν τῇ τοιαύτῃ καταστάσει τὸν σφυγμὸν ὑψηλὸν φανῆναι,

eadem proportione augetur, qua profunditas et latitudo, univerfum pulfum, uti diximus modo, majorem repraefentat. Unde ut magnus fiat pulfus, non requiritur ut plane pares fint motus, qui in tribus dimenfionibus augentur, verum ut proportione fint aequales. Quare qui naturalem proportionem explorare confueverunt, nullo negotio quantum acceffio difceffit a proportione perfpicient. Hoc pacto generantur propofiti pulfus. Reftat ut caufas aperiamus, quamobrem naturalis eorum proportio conftare, vel perire folet. Conftat fane, ubi nulla praeter naturam infignis in craffitudinem mutatio, aut in gracilitatem corporis fiat; praeterea nec ficcitas immodica, vel humiditas, vel neceffitas quaedam maximae prorfus diftentionis; perit vero atque conturbatur cujuspiam horum praefentia. Exempli gratia, reliqua omnia fe recte habeant, facultas autem compellatur ita magnam diftentionem facere, ut ejus tumorem circumjecta arteriis loca non capiant; in eo utique ftatu, ut alia

κἂν μηδὲν τῶν ἄλλων ἔχῃς μέμψασθαι. ἄχρι γὰρ ἂν εἰς τοσοῦτον αἴρηται μέγεθος ἡ διαστολὴ τῆς ἀρτηρίας, ὡς μηδέπω στενοχωρεῖσθαι μηδαμοῦ, τὴν κατὰ φύσιν ἐν τοῖς τρισὶ διαστήμασιν ἀναλογίαν ἀποσώζει. στενοχωρηθεῖσα δὲ τοσοῦτον τοῦ κατ' ἐκείνην τὴν διάστασιν ἀφεῖλεν ὅσον ἔτυχε κωλυθεῖσα τοῦ πρόσω. διὰ τοῦτο τοῖς θυμουμένοις, κἂν ἄμεμπτον ἔχωσι τὴν ἕξιν, ὁ σφυγμὸς ὑψηλὸς γίνεται. τὸ γὰρ τῆς διαστολῆς ἐσχάτως ἄμετρον οὐδ' ἡ τοιαύτη πέφυκεν ἕξις ἀλύπως ἀνέχεσθαι, ἀλλ' ἤδη θλίβεται κάτωθέν τε κἀκ τῶν πλαγίων ἡ ἀρτηρία. μόνον οὖν ὅσον γυμνὸν αὐτῆς ὑπὸ τῷ δέρματι τὴν θέρμην ἅπασαν ἐκδέχεται, ὅταν δ' ἐν τοῖς ἄλλοις μὲν ἅπασιν ἡ διαστολὴ κωλυθῇ, τὸ δ' ἄνω μόνον αὐτῆς ἀπαραπόδιστον φυλαχθῇ, πλεονεκτεῖν ἀνάγκη τῶν ἄλλων τὴν κατ' ἐκεῖνο κίνησιν, ὅπερ ἦν οὐδὲν ἄλλο ἢ ὑψηλὸς σφυγμός. ἐπεὶ δὲ τοῖς θ' ὑγιαίνουσιν ἅπασι καὶ τῶν νοσούντων τοῖς πλείστοις ταῖς μεγίσταις διαστολαῖς τῶν ἐπιπολῆς ἀρτηριῶν ὧν ἁπτόμεθα τὰ μὲν ἄλλα πάντα μόρια θλίβεταί τε καὶ στενοχωρεῖται καὶ κωλύει τὰς καθ' αὐτὰ κινήσεις, τὰ δ' εἰς ὕψος ἀνέχοντα μόρια πᾶσαν ἐλευθέραν τε καὶ ἀπαραπόδιστον

ſint inculpata omnia, altus pulſus appareat oportet. Dum enim in eam attollitur magnitudinem diſtentio arteriae, ut nondum coarctetur, naturalem tuebitur trium dimenſionum proportionem: coarctata vero tantum detrahet de illa dimenſione quantum progreſſu prohibita eſt. Quocirca iratis, licet corpore ſint optime comparato, ſit pulſus altus; diſtentionis enim ſummum exceſſum ne is quidem commode ferat habitus; ſed jam ex imo premitur et ex obliquo arteria. Sola ergo pars illius ea, quae inſtrata ſola cute eſt, omnem calorem excipit. Ubi vero in aliis omnibus impedita diſtentio ſit, pars autem ejus duntaxat ſuperna ſervetur ſoluta et libera, non poterit illius motus non praeſtare caeteris, quod aliud erat nihil ac altus pulſus. Quia porro valentibus cunctis et aegrotantibus plerisque in maximis diſtentionibus arteriarum manifeſtarum, quas tangimus, partes comprimuntur aliae omnes et in anguſtum coguntur ac ſuo motu libero prohibentur, partes autem eminentes libe-

Ed. Chart. VIII. [199.] Ed. Baſ. III. (100.)
ἐπιδέχεται τὴν διαστολὴν, διὰ τοῦτο καὶ τοῖς ἰατροῖς τετήρηταί τε καὶ γέγραπται τῶν θυμουμένων σφυγμὸς ὑψηλός. ἢ γὰρ οὐκ εἶδον τὸ σπάνιον, ἢ ἀμελῶν εἶδον, ἢ τοῦτον οἰκεῖον ἐνόμιζον ἑκάστου τῶν παθῶν σφυγμὸν, ὃν καὶ συνεδρεύοντα αὐτοῖς ἑώρων πλειστάκις. εἰσὶ δ' οἳ καὶ σιωπῶσιν ἑκόντες τὸ σπάνιον, ὅταν ἀπορῶσι τῆς αἰτίας, ἀλλὰ τούτου μὲν ἕνεκα κἂν μέμψαιτό τις αὐτοῖς, τῶν ἄλλων ἁπάντων συγγνώμην νείμας. μύρια γὰρ οὕτως ἄξια γινώσκεσθαι σιωπηθήσεται. χρὴ δὲ τὸν ἀληθείας ἐραστὴν ἅπαν ἀκριβῶς τὸ φανὲν ἐκδιηγεῖσθαι, κἂν ἀπορῇ τῆς αἰτίας. τί δὴ οὖν τὸ φαινόμενόν ἐστι; πολλοῖς τῶν ἰσχνῶν καὶ οὐ πάνυ τὴν δύναμιν εὐρώστων οἱ σφυγμοὶ θυμουμένοις μεγάλοι μὲν, οὐκέτι δὲ καὶ ὑψηλοὶ φαίνονται. τίς γοῦν καὶ ἡ τοῦδε αἰτία, οὐδὲ γὰρ οὐδὲ πόῤῥω που τῶν ἐξ ἀρχῆς ὑποκειμένων ἔοικεν ὑπάρχειν, εἴ γε δὴ τὴν ῥώμην τῆς δυνάμεως τηλικαύτην ἐλέγομεν εἶναι δεῖν ἐν τοῖς ὑψηλοῖς σφυγμοῖς, ὡς δύνασθαι μὲν ἐργάσασθαι μεγίστην διαστολὴν, μὴ χωρεῖσθαι δὲ ὑπὸ τῶν περιε-

rum obtinent et haud impeditum motum; hinc factum eſt ut obſervaverint medici et ſcriptis prodiderint pulſum iratorum altum eſſe. Qui certe aut rarum exemplum non animadvertunt, aut negligenter attenderunt, aut hunc duxerunt ſingulis affectibus pulſum proprium, quem cum iis cernerent frequenter eſſe conjunctum. Quidam etiam ultro rara exempla, ubi cauſa deficiuntur, reticent, quos hoc ſane nomine accuſes, ſi alia omnia ignoscas, ita enim ſcitu digna infinita ſilentio praetermittentur. Oportet enim veritatis ſtudioſum omne quod planum eſt, etiamſi ejus cauſam ignoret, ſedulo exponere. At quod tandem eſt illud evidens exemplum? Multis gracili corpore, nec facultate admodum firma, pulſus, ſi irascantur, magni et non alti videntur eſſe. Quae vero tandem hujus eſt cauſa? neque enim multum videtur ab illis, quae initio jam poſita ſunt, abeſſe; ſiquidem robur facultatis diximus eſſe tantum debere in altis pulſibus ut maximam diſtentionem poſſit moliri,

χρυσῶν τὰς ἀρτηρίας χωρῶν. εἰ γὰρ τοῦτο, παντί που δῆλον ὅς ἐν ταῖς προειρημέναις διαθέσεσιν οὐκ ἐγχωρεῖ γίνεσθαι τὸν σφυγμὸν ὑψηλὸν, μήτε τῆς δυνάμεως εὐρωστούσης καὶ τῶν περὶ τὰς ἀρτηρίας χωρῶν εὐρυτάτων διὰ τὴν ἔκτηξιν γεγενημένων. ἐπεὶ δὲ καὶ τοῦτο θᾶττον ἢ κατὰ τὴν προσδοκίαν εὕρηται, δῆλον οἶμαι σὺν αὐτῷ καὶ τὸ τῶν πλατέων γεγενῆσθαι σφυγμῶν: ὁπόταν γὰρ ἀπολείπηταί πως ἡ δύναμις τῆς κατὰ φύσιν εὐρωστίας, εὐρύτης δ' ἀξιόλογος ᾖ χωρῶν, προσγένηται δέ τι βάρος ἐκ τῶν ἄνωθεν μερῶν ταῖς ἀρτηρίαις, πλατύτερος ὁ τοιοῦτος σφυγμὸς φαίνεται τῷ συμμέτρῳ παραβαλλόμενος. τὸ δὲ βάρος τοῦτο τὸ προσγινόμενον πολλάκις μὲν ἡ τοῦ δέρματός ἐστιν αὐτοῦ ῥυσσότης, ὥσπερ ἐπὶ τῶν γερόντων ἔχει καὶ τῶν ἰσχνῶν μὲν, οὐ μὴν τῶν κατεξηρασμένων γε τὴν ἕξιν, ἐξ οὗ γένους εἰσὶν οἱ κεκριμένοι προσφάτως, πολλάκις δὲ δι' ὑγρότητα, καὶ μάλισθ' ὅταν αὐτὰ τὰ σώματα τῶν ἀρτηριῶν γεγένηται διάβροχα, καθάπερ ἐν τοῖς ὑδέροις: καταῤῥεῖ γὰρ αὐτῶν τὰ ἐπ' ἄκρου τοῦ ὕψους τεταγμένα μόρια καὶ φέρεται κάτω τὰ μὲν εἰς αὐτὴν τῶν ἀρτηριῶν τὴν κοιλότητα, τὰ δ' εἰς τὰ πλάγια. τοσοῦτον οὖν

nec loca cingentia arterias capere eam valeant. Quod si est, in commemoratos affectus planissimum est non posse altum pulsum incidere, quum nec valeat facultas et circum arterias loca sint amplissima ex marcore. Sed hoc quum praeter expectationem celerius sit inventum, apertum arbitror simul cum hoc esse, quaenam latorum pulsuum sit causa. Nam quum naturali robore facultas aliquatenus deficiatur et latitudo sit insignis locorum, pondusque accedat arteriis ex superioribus partibus, hic pulsus collatus ad moderatum latior est. Pondus hoc quod accessit, saepe sunt ipsius cutis rugae; quod accidit senibus et gracilibus, qui tamen habitu non sunt exsiccato; de quo genere sunt et qui recenter sunt judicati. Saepe etiam ex humiditate, praecipue si irrigua sint ipsa corpora arteriarum, ut fit in hydropicis; partes enim earum, quae in summo cacumine sunt positae, delabuntur demittunturque partim in ipsam arteriarum cavitatem, partim in obliquum. Quare hactenus ascensu ne-

ἀνάγκη τῆς εἰς ὕψος ἀνόδου κωλύεσθαι τοὺς σφυγμοὺς, ὅσον ὑπεῤῥύη κάτω τὸ νῶτον τῆς ἀρτηρίας. καὶ δὴ καὶ πλεονεκτεῖν διχόθεν ἀναγκαῖον ἤδη τὸ πλάτος ἔκ τε τῶν εἰς τὰ πλάγια παραῤῥεόντων τῆς ἀρτηρίας μερῶν θλιβόντων τε καὶ διὰ τοῦτο πλατυνόντων τὰ κάτω κἀξ ὧν αὐτὸ τὸ ὕψος ἔφθανε κε-[200]κολοῦσθαι. ἤρκει δ', οἶμαι, καὶ θάτερον αὐτῶν τὸν σφυγμὸν ἀποφῆναι πλατὺν, ἢ μειωθὲν τὸ ὕψος, ἢ αὐξηθὲν τὸ πλάτος. ἐπεὶ δ' ἄμφω συνέπεσε, διὰ τοῦτ' ἐναργὴς καὶ ἀξιόλογος ἐν ταῖς τοιαύταις διαθέσεσιν ἡ πλατύτης ἐμφαίνεται. πῶς οὖν ὁ μακρὸς καλούμενος γίνεται σφυγμός; εὑρίσκεται γάρ ποτε τοῖς μὲν τέσσαρσι δακτύλοις ἡ κίνησις ὑποπίπτουσα, στενὴ μέντοι καὶ ἀμαυρὰ εἰς τοσοῦτον ὡς χορδῆς ἔμφασιν εἶναι λεπτῆς, ἢ καὶ τοῦτο χαλεπὸν οὐδὲν ἐξευρεῖν ἐξ αὐτῶν ὧν εἴπομεν ὁρμωμένους; εἴτε γὰρ οἷον ἰσχνῆς τινος χορδῆς εἴτε οἷον τριχὸς ἡ προσβολὴ φαίνοιτο, σκληρότης ἐξ αὐτοῦ μεγάλη τις ἐμφαίνεται τοῦ χιτῶνος τῶν ἀρτηριῶν. ἀλλ' οὐ μόνη· οὕτω μὲν γὰρ ἂν σκληρὸς ἁπλῶς ἦν ὁ σφυγμός. ἐπεὶ δὲ καὶ στενὸς καὶ ταπεινός ἐστιν, ἀναγκαῖον ἀῤῥωστοτέραν

cesse est pulsus prohibeantur, quatenus infra arteriae dorsum demittitur. Ac nimirum latitudinem jam bifariam oportet praepollere, tum quod in obliquum dilabantur arteriae partes ac comprimant, atque eo inferiorem regionem dilatari; tum vero quod imminuta ipsa altitudo sit; quarum certe vel altera reddere pulsum latum valeat, aut imminuta altitudo, aut latitudo aucta, quia vero ambae conjunctae sunt, hinc clare in ejuscemodi affectibus et ampla conspicitur latitudo. Quomodo jam pulsus fit longus, quem vocant? invenitur enim motus nonnunquam, qui quatuor digitis occurrat, sed ita angustus et obscurus ut speciem tenuis fidis referat. At ne hoc quidem ex iis quae diximus inventu difficile est, sive enim fidem tenuem quandam occursus, sive pilum repraesentet, durities ex eo arteriarum tunicae ingens significatur. Verum non ea modo, durus enim tantum pulsus sit; imo, quia angustus humilisque est, oportet imbecilliorem facultatem esse quam quae magna vi

εἶναι τὴν δύναμιν ἢ ὥστε διαστέλλειν βιαίως, δυσπειθὲς ὑπὸ σκληρότητος ὄργανον. τί δ' οὖν εἰ τοῦτ' ἔστιν ἀληθὲς, οὐχὶ καὶ βραχὺς εὐθέως ὁ τοιοῦτος γίνεται σφυγμός; ἢ καὶ τούτου τὴν αἰτίαν εὑρήσομεν ἀναμνήσαντες τὰς διαθέσεις ἐφ' ὧν οἱ τοιοῦτοι γίνονται σφυγμοί; τίνες οὖν αἱ διαθέσεις; ἡ μὲν ἕξις τοῦ σώματος λεπτὴ, περιτεταμένον δὲ καὶ ξηρότερόν πως τὸ δέρμα. εἴπερ οὖν τὸ χαλαρὸν ἅμα καὶ παχὺ κατακρύπτει πολὺ τῆς κινήσεως, τὸ λεπτὸν καὶ τεταμένον ἀκριβῶς ἅπαν διασώζει. καὶ δῆλον ἤδη γέγονεν ὡς χρὴ συνελθεῖν λεπτότητα μὲν ὅλης τῆς ἕξεως, ξηρότητα δὲ τοῦ δέρματος, σκληρότητα δὲ τῶν ὀργάνων, ἀῤῥωστίαν δὲ τῆς δυνάμεως, ἀλλ' οὐκ ἐσχάτην. ἄσφυκτος γὰρ ἂν οὕτως ἦν ὁ ἄνθρωπος, οὐ μακρόσφυκτος. οὐδὲ ὅλως γὰρ εἰς αἰσθητὴν ἐξαίρει κίνησιν ἡ παντελῶς ἐκλελυμένη δύναμις μὴ ὅτι τὸ σκληρὸν ἀγγεῖον, ἀλλ' οὐδὲ τὸ μαλακόν. ὁ μὲν οὖν οὕτως μακρὸς σφυγμὸς κατὰ ἐξοχήν τινα προσαγορεύεται, λεπτὸς δ' αὐτῷ καὶ ἰσχνὸς ὄνομα τό γε ἴδιον, ὁ δ' ἁπλῶς καὶ κυρίως μακρὸς, ᾧ μὴ συνεπινοεῖται τῶν ἑτέρων δυοῖν διαστάσεων τὸ ποσὸν, ἤτοι διὰ λεπτότητα τοῦ σώματος ἢ δι' οἰκεῖον μέγεθος

inſtrumentum diſtendere propter duritiem contumax poſſit. Quid jam, ſi hoc verum eſt, num et brevis continuo is pulſus eſt? an hujus etiam cauſam invenerimus, ſi affectus commemoremus, qui praediti eo pulſu ſunt? Qui tandem ſunt illi affectus? habitus corporis tenuis, circumtenta aliquantoque ſiccior cutis; proinde ſi laxa et craſſa magnam partem motus tegit, tenuis contentaque prorſus omnem conſervat. Unde liquet conſpirare gracilitatem totius habitus oportere et duritiem cutis, ad haec duritiem inſtrumentorum, tum imbecillitatem facultatis, non ultimam tamen; perdiderit enim ſic pulſum homo, non longum habuerit, omnino enim non attollit in ſenſibilem motum facultas prorſus languida ne vas quidem molle, nedum durum. Sane per excellentiam longus pulſus hoc nomen ſortitus eſt; proprium autem nomen eſt tenuis et gracilis. Qui abſolute eſt et proprie longus, cum quo quantitatem non concipimus dimenſionum duarum reliquarum, aut ex corporis tenuitate,

ἀποτελεῖται τοιοῦτος· ὁ δὲ δὴ βραχὺς, ὅταν καθ᾽ ἓν ὁτιοῦν μόριον μικρὸν ἡ ἀρτηρία μόνῳ τῷ δέρματι σκέπηται, τὸ δ᾽ ἑκατέρωθεν ἐκείνου πᾶν αὖθις ἀθρόως εἰς τὸ βάθος δύηται. τότε γὰρ ἀνάγκη ἐπιπολῆς μόριον αὐτῆς τὸ ὑπὸ τῷ δέρματι σαφῆ τὴν κίνησιν ἅπασαν ἐνδείκνυσθαι, τὰ δ᾽ ἐν (101) τῷ βάθει πολλῶν ἐπίπροσθεν ὄντων σωμάτων κατακρύπτεσθαι. τοῦτο δὲ φύσει μὲν πολλοῖς ὑπάρχει, κατὰ διαθέσεις μέντοι νοσώδεις ὀλίγοις, ὅταν ἐν τῇ διαθέσει διαστοφή τις τῆς ἀρτηρίας γένηται, καὶ μικρὸν μὲν ἐπιφανὲς αὐτῆς ᾖ μόριον, τὰ δ᾽ ἄλλα πάντα πρὸς τὸ βάθος ἔσω κατασπασθῇ. ἔστι δὲ καὶ ὁ τοιοῦτος σφυγμὸς τῶν κατ᾽ ἐξοχὴν λεγομένων βραχέων, ἐπεὶ τό γ᾽ ἴδιον ὄνομα καὶ τοῦδε παχὺς καὶ ἁδρός. ὁ δ᾽ ἁπλῶς βραχὺς ἢ πολυσαρκίας, ἢ μικρότητος ἔγγονος ὑπάρχει. εἴρηταί μοι σχεδὸν ὑπὲρ ἁπάντων ἤδη τῶν ἀνωμαλίαν ἐργαζομένων αἰτίων, εἰ γάρ τι καὶ παραλέλειπται μικρὸν, οὐδὲν ἂν εἴη χαλεπὸν ἐκ τῶν εἰρημένων ἀνευρίσκειν.

Κεφ. ιδ'. Περὶ δὲ τῶν ἀτάκτων τε καὶ τεταγμένων ἤδη ῥητέον. ἐπεὶ τοίνυν ἀνώμαλοι πάντες εἰσὶν οἱ τοιοῦτοι σφυγ-

aut ex fua ipfius magnitudine talis evadit. Porro autem brevis fit, ubi in parte quapiam parva, arteria fola cute muniatur et partes ex utroque illius latere omnes in profundum affatim demergantur; namque pars ejus illa fublimis, quae fubter cutem eft, aperte omnem motum prodat oportet, profundae contra, quod multa objecta fint corpora, occultentur. Hoc multis ineft a natura; in morbofis affectibus, fane paucis, quum fitu diftorqueatur aliquo modo arteria ac parva fit ejus pars confpicua, reliquae intro omnes in profundum depreffae fint. Eft vero et hic pulfus de illis qui breves per excellentiam dicuntur; nam proprium hujus nomen eft craffus et turgidus, quandoquidem qui fimpliciter brevis eft, vel ex corpulentia nascitur, vel ex parvitate. Percurri jam omnes pene quae inaequalitatem inducunt caufas; quod fi qua res parva praeterita fit, facile invenias ex commemoratis.

Cap. XIV. Proximum eft ut de inordinatis et ordinatis dicamus. Hi pulfus quando inaequales omnes funt,

μοὶ, καθάπερ καὶ ἐν τοῖς περὶ διαφορᾶς αὐτῶν δεδήλωται, διαλλάττουσι δὲ τῷ τοὺς μὲν ἐν περιόδοις τισὶ διασώζειν τὴν ἰσότητα, τοὺς δὲ πάντη συγχέειν, ἓν κοινὸν κατὰ πάντων αὐτῶν ἐν βραχεῖ τόδε χρὴ διαγινώσκειν, ὡς τῆς αἰτίας, ἥ τις ἂν ἑκάστοτε τὴν ἀνωμαλίαν ἐργάζηται, ἐστηριγμένης μὲν ἐν τοῖς τεταγμένοις, ἀστηρίκτου δ᾽ ἐν τοῖς ἀτάκτοις οὔσης. καὶ μέντοι καὶ τῆς φύσεως, εἴπερ τι ἄλλο, [201] καὶ ἡ τάξις οἰκεῖον, ὥσπερ οὖν καὶ ἡ ὁμαλότης. ἐὰν οὖν θάτερον αὐτῶν συγχυθῇ, μικροτέραν ἐνδείκνυται τὴν βλάβην, ἐὰν δ᾽ ἄμφω, μείζονα, συγχεῖται δ᾽ ἄμφω μὲν ἐν τοῖς ἀτάκτοις, θάτερον δ᾽ ἐν τοῖς τεταγμένοις μὲν, ἀνωμάλοις δὲ δηλονότι.

Κεφ. ιέ. Τὰ δ᾽ ἐν ταῖς τῶν ῥυθμῶν ἐξαλλαγαῖς αἴτια, ταῦτα γὰρ ὑπόλοιπα διελθεῖν, οὐ χαλεπῶς ἂν οὐδ᾽ αὐτά τις εὑρίσκοι τῶν ἐξ ἀρχῆς ἐχόμενος. εἴπερ γὰρ ὀρθῶς ἡμῖν ἀποδέδεικται κατὰ μὲν τὰς διαστολὰς τῶν ἀρτηριῶν ἕλκεσθαί τις ἀερώδης οὐσία, κατὰ δὲ τὰς συστολὰς ἐκκρίνεσθαι τὸ περιττόν τε καὶ οἷον καπνῶδες τῆς ἐκ τῶν χυμῶν συγκαύσεως, ἀναγκαῖον ἔσται τῆς μὲν τοῦ διαστέλλεσθαι χρείας ἐπειγούσης μείζω τε καὶ θάττω γίνεσθαι τὴν διαστολὴν, τῆς δὲ τοῦ

commode docuimus in libris de differentiis pulſuum; ſed in eo variant, quod paritatem in certis circuitibus tueantur, illi confuſi undequaque ſint. Hoc in communi unum breve caput de omnibus iis cognoscendum eſt, cauſam quaecunque inaequalitatem efficiat, ſemper firmam in ordinatis et fixam eſſe, in pulſibus inordinatis non fixam. Inſuper ordo, ut aequalitas, naturae, ſi quid aliud, familiaris eſt; quare ſi alterum eorum ſit conturbatum, minorem deſignat offenſam; ſin utrumque, majorem; concurrunt autem in inordinatis ambo; alterum in ordinatis, qui inaequales ſunt.

Cap. XV. Porro et mutationum rhythmorum cauſas, (hae enim reſtant explicandae) ſi perſequare ſuperiora, facile invenias. Si enim recte demonſtratum eſt, allici per diſtentiones arteriarum aëream quandam ſubſtantiam; in contractionibus autem excrementa excerni et quaſi fuligines aduſtorum humorum, neceſſe eſt, quum diſtentionis uſus inſtet, majorem fieri; celerioremque diſtentionem, quum

Ed. Chart. VIII. [201.] Ed. Bas. III. (101.)

συστέλλεσθαι τὴν συστολήν. ταῦτ᾽ ἄρα καὶ τῶν ἡλικιῶν ἐν αἷς μὲν πλείστη δαπάνη χυμῶν, αὗται δ᾽ εἰσὶν αἱ μέχρι τῆς ἀκμῆς, ἐν ταύταις μὲν ὀλίγον ἀπολείπεται ἡ διαστολὴ τῆς συστολῆς, ἐν αἷς δ᾽ ἐλαχίστη, τοῦτο δ᾽ ἐν ταῖς πρεσβυτικαῖς γίνεται, παρὰ πολὺ πλείων ἐν ταύταις ὁ τῆς συστολῆς ἐστι χρόνος τοῦ τῆς διαστολῆς, εἴ γάρτοι καθ᾽ ὅλον τὸ σῶμα διαπνοὴ τῆς συστολῆς τῶν ἀρτηριῶν ἔργον ἐστίν. ἐν μὲν γὰρ ταῖς διαστολαῖς ἕλκουσιν εἰς ἑαυτὰς, ὥσπερ οὖν διὰ τῶν ἄλλων ἁπάντων στομάτων, οὕτω καὶ διὰ τῶν εἰς τὸ δέρμα περαιουμένων. οὐκ οὖν ἐκκρίνεταί τι τηνικαῦτ᾽ ἐκ τοῦ σώματος, ἀλλ᾽ εἴσω μᾶλλον πάντως ἕλκεται. ἐν δ᾽ αὐταῖς ταῖς συστολαῖς ἔμπαλιν ἐκκρίνεται μὲν, ἕλκεται δ᾽ οὐδέν. ὅτι δ᾽ ἐν αἷς ἡλικίαις οὐκ εἰς τὸ τρέφεσθαι μόνον, ἀλλὰ καὶ εἰς τὸ αὔξεσθαι κατεργάζεται τοὺς χυμοὺς ἡ φύσις, ἐν ταύταις ἀνάγκη καὶ τὰ περιττώματα πλείω γίνεσθαι, πρόδηλόν ἐστιν. ἀνάλογον γὰρ ἀεὶ τῷ ποσῷ τῶν κατεργαζομένων χυμῶν τὸ ποσόν ἐστι τοῦ περιττώματος. ἔνθα οὖν ἡ πλείστη κατεργασία, πλεῖστον ἐνταῦθα καὶ τὸ περίττωμα, ἔνθα δ᾽ ἂν πλεῖστον περίττωμα, συνεχοῦς τε ἅμα τούτῳ καὶ πολλῆς δεῖται

contractionis, contractionem. Quamobrem quibus in aetatibus multi humores infumuntur, quae funt usque ad juventutem, in his parum diftentio cedit contractioni; in quibus paucillimi, quod in fenibus fit, longe in his majus eft contractionis tempore diftentionis tempus, fiquidem difflatus per totum corpus contractionis eft arteriarum munus. In diftentionibus enim in fe attrahunt, ut aliis omnibus ofcillis, ita illis etiam, quae ad cutem pertinent; nihil ergo hic quicquam ex corpore excernitur, imo vero prorfus intro trahitur. Contra in contractionibus ipfis excernitur quidem, attrahitur autem nihil. Jam in quibus aetatibus humores natura non ad nutrimentum modo, fed etiam ad incrementum conficit, in his excrementa oportere magis affluere in aperto eft; femper enim quantitati confectorum fuccorum quantitas refpondet excrementorum. Proinde ubi plurimi conficiuntur, illic plurima funt excrementa, et ubi plurima excrementa, perpetua hic et multa opus eft

Ed. Chart. VIII. [201.] Ed. Baf. III. (101.)

τῆς ἐκκρίσεως, ὥσπερ, οἶμαι, καὶ ἐν τοῖς κατὰ τὴν γαστέρα τε καὶ τὴν κύστιν ἔχει περιττώμασιν. ἀλλὰ τὰς μὲν τούτων ἐκκρίσεις ταῖς αἰσθήσεσι διαγινώσκομεν, τὰς δὲ τῶν ἐν ταῖς ἀρτηρίαις ὁ λόγος ἐξευρίσκει. καὶ οὐκ οἶδ' εἴ τις ἢ οὐ καὶ διὰ τῆς ἐκτὸς ἐπιφανείας ὁμολογήσει κενοῦσθαι τὰς ἀρτηρίας, ἢ οὐ καθ' ὃν εἴπομεν τρόπον. ἀποδέδεικται δ' εἰς ὅσον ἐχρῆν ὑπὲρ αὐτῶν ἐν τῷ περὶ χρείας σφυγμῶν. εἰς δὲ τὸν παρόντα λόγον ἀρκεῖ καὶ τὰ νῦν εἰρημένα.

excretione; ut fcilicet in ventris et veficae excrementis fit. Caeterum horum excretiones perfpicimus fenfibus, illorum vero, quae in arteriis funt, affequitur ratio. Ac miror, ecquis erit, qui aut per externam fuperficiem negabit arterias vacuari, aut non quo diximus modo. Demonftravi autem haec, quantum opus erat, in libro de ufu pulfuum; ad propofitam disputationem fatis haec funt.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΤΩΝ ΕΝ ΤΟΙΣ ΣΦΥΓΜΟΙΣ ΑΙΤΙΩΝ ΒΙΒΛΙΟΝ Γ.

Ed. Chart. VIII. [202.] Ed. Bas. III. (101.)

Κεφ. α΄. Τὰς μὲν ἀπὸ τῶν πρώτων τε καὶ κυριωτάτων αἰτίων ἀλλοιώσεις τῶν σφυγμῶν ὁ πρόσθεν λόγος αὐτάρκως ἐξηγήσατο, τὰς δ' ἀπὸ τῶν ἄλλων ἁπάντων, ὅσαι μὴ δι' ἑαυτῶν ἄντικρυς, ἀλλὰ τῷ τὰ πρῶτα τρέπειν αἴτια σφυγμῶν λέγεται, νῦν ἐπέξιμεν. ἐπεὶ δὲ τούτων τὰ μέν ἐστι παρὰ φύσιν, τὰ δὲ κατὰ φύσιν, τὰ δὲ ἐν τῷ μεταξὺ τούτων, ἃ δὴ καὶ οὐ φύσει καλοῦσιν, εὔλογον ἀπὸ τῶν κατὰ φύσιν ἄρξασθαι, καὶ τάξιν γε τὴν αὐτὴν ἐπιθεῖναι τῷ λόγῳ ἥνπερ κἀν τῷ τοῖς εἰσαγομένοις γεγραμμένῳ πεποιήμεθα. τά τε

GALENI DE CAVSIS PVLSVVM LIBER III.

Cap. I. Postquam de pulsuum alterationibus, quae ex primis et praecipuis causis proficiscuntur, satis superiori sermone disputavimus, illas nunc explicabimus, quae ab aliis omnibus fiunt; quae non per se plane, quod mutent primas, causae pulsuum vocantur. Hae autem quia partim praeter naturam sunt, partim naturales, partim etiam inter has mediae, quas non naturales vocant, ut a naturalibus exordiamur par est, eodemque ordine dicamus quem in libro tironibus scripto instituimus. Nam praeter alia

Ed. Chart. VIII. [202.] Ed. Baſ. III. (101.)

γὰρ ἄλλα καὶ γένοιτ' ἂν ἐξήγησίς θ' ἅμα τῶν ὀρθῶς ἐν αὐτῷ λεγομένων ἔνδειξίς τε τῶν εὐλόγως παραλελειμμένων, παραλέλειπται δὲ τὰ μὲν ὅλως, τὰ δ' ἐν τῷ μὴ διορίσασθαι. πᾶν γὰρ ὅσον ἔμελλεν ἀσαφὲς ἔσεσθαι τοῖς ἀρχομένοις τῆς θεωρίας, ἐδόκει χρῆναι παραλιπεῖν. παραλέλειπται δ' οὐχ ἥκιστα καὶ ὁ τῆς αἰτίας λογισμός. ἄμεινον γὰρ ἦν τοῖς εἰσαγομένοις ἐπ' αὐτῶν τῶν ἔργων γυμνάσασθαι πρότερον ἐμπειρικῶς, ἔπειθ' ὕστερον ἅπασαν ἐκδιδαχθῆναι τῷ λόγῳ τὴν οὐσίαν τοῦ πράγματος. ὡς τοίνυν γεγυμνασμένοις αὐτοῖς καὶ μανθάνειν τοὺς τελειοτέρους λόγους δυναμένοις ἥδε ἡ πραγματεία σύγκειται, διὰ μὲν τῶν προτέρων δυοῖν ὑπομνημάτων εἰς ὅσον αὔταρκες ὑπὲρ τῶν συνεκτικῶν ὀνομαζομένων αἰτίων διαλεχθεῖσα, διὰ δ' αὖ τῶν λοιπῶν δυοῖν, τούτου τε καὶ τοῦ μετ' αὐτὸν, περὶ τῶν ἄλλων ἁπάντων ἐκδιδάξουσα. ἀρκτέον δὲ ἤδη τοῦ λόγου προχειριζομένους ἑκάστην ῥῆσιν τῶν ἐν ἐκείνῳ τῷ βιβλίῳ γεγραμμένων, ἔπειτ' ἐξηγουμένους. εἴη δ' ἂν ἡ πρώτη τῶν εἰς τὸν παρόντα λόγον ἐπιτηδείων ἥδε.

enarrabuntur etiam, quae illic recte tradidimus; ſimulque oſtendentur, quae congrue illic ſunt praeterita. Ac reliquimus quaedam prorſus; aliqua hactenus, ut non diſtincte explicaremus; quicquid enim initiatis huic commentationi allaturum erat obſcuritatem, hoc viſum eſt praeterire: potiſſimum autem omiſſa eſt cauſarum explicatio. Praeſtabat enim initiatis in ipſis exerceri operoſius primum per experientiam, deinde univerſam aliquando perdiſcere ratione eſſentiam rei. Itaque ut exercitatis jam illis et aſſequentibus abſolutiorem narrationem hanc lucubrationem conſcripſi, quae prioribus duobus commentariis quantum de cauſis quas continentes appellant ſatis erat diſſeruit, duobus reliquis, hoc et proximo, caetera omnia plana faciet. Itaque aggrediamur narrationem ac ſingula capita quae in illo libro conſcripſimus proponamus, eaque inde interpretemur. Primum ex iis quae accommodata inſtituto noſtro ſunt hoc ſit.

Κεφ. β'. [203] Ἄνδρες μὲν οὖν γυναικῶν ὡς ἐπίπαν μείζονα πολλῷ καὶ σφοδρότερον ὡσαύτως πολλῷ καὶ βραδύτερον ὀλίγῳ καὶ ἀραιότερον ἱκανῶς τὸν σφυγμὸν ἔχουσιν.

Ἡ μὲν λέξις αὕτη. καὶ διότι πρῶτος οὗτος ὁ λόγος ἐπιτηδειότερος ἦν λέγεσθαι δι' ἐκείνου τοῦ γράμματος δεδήλωται. ὥστε, οὐ γὰρ ἔθος ἡμῶν περὶ τῶν αὐτῶν γράφειν πολλάκις, ἐπὶ τὰς αἰτίας ἰτέον ἤδη καὶ δεικτέον τὴν ἀνάγκην τῆς φύσεως τοῦ πράγματος, δι' ἣν οὕτω μὲν ἀνδράσιν, οὕτω δὲ γυναιξὶν ἔχει τὰ κατὰ τοὺς σφυγμούς. ᾧδ' οὖν. ἐπειδὴ θερμότερόν ἐστι καὶ ξηρότερον τὸ ἄῤῥεν τοῦ θήλεος, ὡς καὶ τοῖς ἀρίστοις τῶν ἔμπροσθεν ἰατρῶν τε καὶ φιλοσόφων εἴρηται, καὶ ἡμῖν δὲ δι' ἑτέρων ἀποδέδεικται, τήν τε χρείαν ἀναγκαῖον ἤδη τῆς τῶν σφυγμῶν γενέσεως καὶ τὴν τῶν ὀργάνων κατασκευὴν ἑτεροίως ἔχειν αὐτοῖς· εἰ δὲ τοῦτο, καὶ αὐτοὺς (102) τοὺς σφυγμούς. ἐδείχθη γὰρ ἐν τοῖς ἔμπροσθεν λόγοις ὡς πλήθει θερμασίας οἰκεῖός ἐστιν ὁ μέγας σφυγμός. εἴπερ οὖν θερμότερον τὸ ἄῤῥεν τοῦ θήλεος, εὐθὺς ἂν καὶ μείζους ἔχοι τοὺς σφυγμοὺς, καὶ εἰ πολλῷ θερμότερον,

Cap. II. *Viri mulieribus pulsum fere habent longe tum majorem tum vehementiorem, paulo tardiorem, satisque rariorem.*

Hoc eft caput. Cur autem accommodatior haec oratio fit ut primo loco referatur, in illo libro eft explicatum. Itaque quia non eft noftri inftituti faepius de rebus iisdem fcribere, ad caufas jam pergendum eft declarandumque quae imponatur neceffitas naturae rei, quamobrem virorum et mulierum pulfus aliter atque aliter comparati fint, ad hunc modum. Quandoquidem calidior et ficcior foemina mas eft, ut praeftantiffimi quique fenferunt veterum medicorum et philofophorum, nosque alias demonftravimus, ufum generationis pulfuum et inftrumentorum praeparationem differre in illis oportet; quod fi haec, tum ipfos etiam pulfus; etenim copiofo calori in fuperioribus libris oftendi magnum pulfum familiarem effe. Itaque fi calidior mas foemina eft, etiam pulfus ftatim habebit majores; fi multo calidior, multo majores; at enim tum calidior, tum

πολλῷ μείζους. ἀλλὰ μὴν καὶ θερμότερον καὶ πολλῷ θερμότερόν ἐστιν, ὥστε καὶ μείζους καὶ πολλῷ μείζους ἕξει τοὺς σφυγμούς. ἀλλ' ὅτι μὲν θερμότερον ἔκ τε τῶν περὶ κράσεων ἡμῖν ἤδη γεγραμμένων καὶ τῶν ἔτι πρότερον τοῖς παλαιοῖς εἰρημένων αὐτάρκως ἀποδέδεικται· ὅτι δὲ καὶ πολλῷ, τοῦτ' οὐκέτι οὔτε ὑμεῖς οὔτε ἄλλος τις ἀπέδειξε. νῦν οὖν ἀποδεικνύσθω, ἢ οὐδέπω πιστὸς ὁ σύμπας λόγος. πρῶτον μὲν ἀναμνησθῆναι χρὴ τοῦ προκειμένου τῇ λέξει καὶ πᾶσαν αὐτὴν ἀναγνῶναι, καθ' ἕκαστον ὄνομα προσέχοντα τὸν νοῦν. τί γάρ φησιν; ἄνδρες μὲν οὖν γυναικῶν ὡς ἐπίπαν μείζονα πολλῷ τὸν σφυγμὸν ἔχουσι. τί δὴ τοῦτ' ἔστι τὸ ἐπίπαν ἐπιμελῶς χρὴ διασκέψασθαι. οὐ γὰρ δὴ μάτην γε πρόσκειται, ἀλλ' ἔστιν ἐν αὐτῷ τὸ πᾶν κῦρος τοῦ λόγου. τῷ γὰρ μήτε ἐξ ἀρχῆς εὐθὺς ὡσαύτως ἅπαντας ἡμᾶς κεκρᾶσθαι μήτ' ἐπιτηδεύμασι μήτε διαίταις ὁμοίαις κεχρῆσθαι τὸ καθόλου τῆς ἀποφάσεως διαφθείρεται, δυναμένης ποτὲ γυναικὸς εὑρεθῆναι μὴ ὅτι πολλῷ μικρότερον, ἀλλὰ μηδὲ μικρὸν ὅλως, μηδ' ἴσον, ἀλλὰ καὶ σαφῶς μείζονά τινων ἀνδρῶν ἐχούσης

multo eſt calidior, proinde et majores et multo majores pulſus obtinebit. Nam calidiorem eſſe cum in libris quos De temperamentis jam edidimus tum vero antea etiam in veterum ſcriptis ſatis probatum eſt; jam vero multo calidiorem, id nondum nec vos, nec quisquam demonſtravit alius; quare faciendum nunc id nobis eſt, ut demonſtremus, alioqui nequaquam conſtituta erit et confirmata tota oratio. Primum initium capitis commemorandum eſt atque ipſum totum legendum, ſingulaque verba attendenda. Nam quid dicit? *Viri mulieribus pulſum in univerſum habent multo majorem.* Quid hoc ſit, *in univerſum*, ſumma diligentia expendendum eſt; certe enim non temere quidem appoſitum eſt, ſed totum firmamentum in eo et cardo verſatur orationis. Nam quia nec inde ab initio perinde nos temperati omnes ſumus, nec vitae inſtitutis iisdem, nec victu uſi, univerſalis affirmatio tollitur, quum inveniri interim poſſit mulier, cujus non ſolum non multo minor pulſus, ſed omnino ne parvus quidem ſit, nec par, ſed plane etiam quam

τὸν σφυγμόν. ἄνδρα γάρ μοι νόει φλεγματικώτερον φύσει, ψυχρὰ δ' ἂν ἥδε κρᾶσις εἴη καὶ ὑγρὰ παραβαλλομένη γυναικὶ χολωδεστέρα φύσει, τοῦτ' ἔστι θερμοτέρα τε καὶ ξηροτέρα. ἀρκείτω δὲ μὴ τοῦτο μόνον, ἀλλ' ὁ μὲν τὸν Πόντον, ἡ δὲ τὴν Αἴγυπτον ἐποικείτω, καὶ σκιατροφείσθω μὲν καὶ ἀργείτω καὶ διατεθρύφθω κατὰ τὴν δίαιταν ὁ ἀνὴρ, θυραυλείτω δ' ἡ γυνὴ καὶ γυμναζέσθω πολλὰ καὶ μετρίως διαιτάσθω, μείζων ὁ τῆς τοιαύτης γυναικὸς ἢ ὁ τοῦ ἀνδρὸς ἔσται σφυγμός. ἀλλ' ἐὰν ἐν τῇ φύσει διαιτώμενον ἑκάτερον φυλάξῃς καὶ τὴν οἰκείαν κρᾶσιν ἐξ ἀρχῆς κεκραμένον ἐνί τε χωρίῳ καὶ ταὐτῷ χρώμενον, οὐ μείζων μόνον, ἀλλὰ καὶ πολὺ μείζων ὁ τοῦ τοιούτου ἀνδρὸς σφυγμὸς γένοιτ' ἄν. ὅσον μὲν γὰρ ἐπὶ τῇ φυσικῇ κράσει μείζων ἁπλῶς, οὐ μὴν πολλῷ μείζων γένοιτ' ἄν. ἐπεὶ δὲ τὸ ἀπὸ τῶν οἰκείων ἐπιτηδευμάτων ἑκατέρῳ προσέρχεται διάφορον, ἡ μὲν γὰρ ἀταλαίπωρον, ὁ δὲ ἐν πόνοις πλείοσι διαιτᾶται, [204] πολὺ δή τι θερμότερος ὁ ἀνὴρ οὕτω γίνεται καὶ διὰ τοῦτο τοὺς σφυγμοὺς πολλῷ μείζους ἴσχει τῆς γυναικός. πρόσκειται δὲ τὸ ἐπίπαν

quorundam virorum major. Fac virum mihi fingas natura pituitofiore; frigidum hoc erit temperamentum humidumque, fi cum muliere conferas natura biliofiore, id eft calidiore et ficciore. Nec hic confiftamus, fed incolat ille Pontum, haec Aegyptum, praeterea vir in umbra vivat et otio ac multis in delitiis molliterque, mulier ruri agat ac multa in exercitationibus fit et victu utatur modico, hujus mulieris pulfus quam viri major erit. Verum fi ut poftulat natura, viventem utrumque obferves et in fua propria ab initio temperie conftitutum, unaque et eadem commorantem in regione, non major tantum, fed multo etiam major fit hujus viri pulfus; nam pro naturali quidem temperamento major tantum, non multo major erit. Verum quum acceffit a peculiaribus vitae inftitutis utrique differentia, illa in otio vivat, hic in multis laboribus, multo fane ita calidior vir efficitur, itaque pulfibus eft multo quam mulier majoribus. Additum eft autem capiti, *in univer-*

ἐν τῇ ῥήσει τοῖς εὐφυεστέροις τῶν εἰσαγομένων οἷον κέντρον τι, διεγεῖρόν τε καὶ παρορμῶν ἐπὶ τὴν ἔρευναν ἁπάσης τοῦ πράγματος τῆς φύσεως. εὐθὺς γὰρ καὶ περὶ τῆς κατὰ φύσιν ἐν ἀνδρὶ καὶ γυναικὶ διαφορᾶς ἐννοήσουσί τε καὶ πᾶν ἐπιβλέψουσιν τὸ κατὰ πάντα ζῶα γένος ἄῤῥεν ὡς ἰσχυρότερόν ἐστι τοῦ θήλεος, καὶ ὡς τῷ μὲν θήλει τὸ κύειν τε καὶ θηλάζειν καὶ ὅλως ἐκτρέφειν τὰ γεννηθέντα κατὰ φύσιν, τῷ δ' ἄῤῥενι τό τε τροφὰς ἐκπορίζειν αὐτοῖς καὶ ὑπερμαχεῖν ἐπιβουλευομένοις, ἐξ ὧν εἴσονται τὴν μὲν ὡς ἄῤῥενος ἀεὶ πρὸς θῆλυ διαφορὰν μείζονας ἁπλῶς τοὺς σφυγμοὺς ἐργαζομένην, τὴν δ' ὡς ἀνδρὸς πρὸς γυναῖκα πολλῷ μείζονας. οὕτω δὲ καὶ σφοδροτέρους μὲν ἁπλῶς ὅσον ἐπὶ τῇ φύσει τοὺς τῶν ἀῤῥένων σφυγμοὺς, πολὺ μέντοι σφοδροτέρους τοὺς τῶν ἀνδρῶν παρὰ τὰς γυναῖκας, ὅτι τοῖς μὲν αὐξάνεσθαι τὸν φυσικὸν τόνον ἐν τοῖς πόνοις ἀνάγκη, ταῖς δ' ἀργούσαις ἐκλύεσθαι. εἰ δὲ καὶ μηδὲν τούτων αὐτός τις ἐξεύροι σαφῶς, ἀλλ' εἰς ὑπόνοιάν γε αὐτῶν ἀφίκοιτ' ἂν ζητῶν, ἢ τοὔσχατόν γε οἷον διψῶν ὧν ἐπιθυμεῖ μὲν εὑρεῖν, οὐδέπω δ' εὕρηκεν, ἐπὶ τὸν

ſum, quod ſagacioribus tironibus pro ſtimulò quodam excitante eſt et ad totius rei perſcrutandam naturam inſtigante. Statim enim de naturali differentia viri et mulieris meditabuntur et intuebuntur univerſum genus in omnibus animantibus, maſculinum valentius foeminino eſſe; atque foemellae eſſe officia concipere lactareque denique foetus naturales educare, maris vero nutrimenta iis ſuppeditare et ſi petantur inſidiis defendere. Unde perſpicient ſemper differentiam ut maris ad foemellam majores tantum pulſus creare, at differentiam ut viri ad mulierem multo majores. Sic etiam vehementiores tantum, ſi naturam ſpectes, pulſus marium, longe vero vehementiores virorum quam mulierum, quia contentionem illis naturalem in laboribus creſcere oportet, his, quia ociantur, remitti. Horum etiam ſi aperte nihil tua ſponte inveneris, at in opinionem eorum inquirendo venies; aut certe, veluti ſiti eorum ardens, quae cupis invenire, neque dum inveniſti, ſi ad magiſtrum, qui docere

διδάξαι δυνάμενον ἀφικόμενος, τάχιστά τε ἂν οὕτω μάθοι καὶ μάλιστα μνημονεύσειεν. ἀλλὰ ταῦτα μὲν οὕτως. ἡ δὲ ῥώμη τῆς δυνάμεως ἡ τοῖς ἄῤῥεσιν ὑπάρχουσα δοίη ἄν τι καὶ αὐτὴ τοῖς σφυγμοῖς μεγέθους, ὥστ' οὐ μόνον διὰ τὸ πλῆθος τῆς θερμασίας, ἀλλὰ καὶ διὰ τὴν ῥώμην οἱ τῶν ἀῤῥένων σφυγμοὶ μείζους γενήσονται. δέδεικται γὰρ οὖν καὶ τοῦτ' ἐν τῷ πρώτῳ λόγῳ, τὸ ταῖς εὐρώστοις δυνάμεσι τοὺς μεγάλους σφυγμοὺς οἰκείους ὑπάρχειν. ἆρ' οὖν ταύτῃ μόνον ἄνδρες γυναικῶν εἰς σφυγμῶν αἰτίας διαλλάττουσιν, ἢ καὶ τὸ περὶ τῆς ἕξεως τοῦ σώματος τοῖς ἑκατέροις πάμπολυ προσέρχεται; τοῖς μὲν γὰρ ὅλον σῶμα εὔπνουν τε καὶ καθαρὸν καὶ ἀπέριττον καὶ ἄθλιπτον, ταῖς δὲ τἀναντία στεναὶ μὲν αἱ μεταξὺ τῶν ἀγγείων χῶραι, πιμελῆς αὐτὰς καὶ σαρκὸς μαλακῆς καί τινων φλεγματωδῶν περιττωμάτων καταλαμβανόντων, πυκνόν τε καὶ δύσπνουν τὸ σῶμα καί τινες συστάσεις πολλαχόθι τοῦ σώματος ἀργῶν καὶ παχέων καὶ ἀπέπτων ὑγρῶν, ὑφ' ὧν ἁπάντων θλίβεσθαί τε καὶ στενοχωρεῖσθαι τὰς ἀρτηρίας αὐτῶν ἀναγκαῖον, οὔσας καὶ φύσει πολὺ τοῖς

ea valeat, applicaveris, et citiffime difces et optime memoria complectere. Atque haec fic habent. Robur jam facultatis, quod maribus adeft, conferet aliquid et ipfum pulfibus magnitudinis; quare non folum ex caloris abundantia, verum etiam ex robore marium majores pulfus fient. Sed hoc etiam in libro primo probavi, validis facultatibus effe magnos pulfus peculiares. Quid jam viri nunquid hactenus tantum a mulieribus diftant in caufis pulfuum; an etiam momentum utrisque ex corporis habitu non leve accedit? Illi enim totum corpus ad perfpiratum habent probe comparatum, purum, excrementis vacuum, non compreffum; his contra arctae inter vafa regiones funt, quas adeps mollisque caro atque excrementa quaedam occupant pituitofa; ad haec fpiffum eft et quod difficile perfpiret corpus; praeterea coguntur quidam in plerisque corporis partibus illaborati, craffi crudique humores, a quibus comprimi omnibus arterias earum fua natura alioqui longe minore mole

ὄγκοις ἐλάττους, ὥστε πάντη πάντοθεν εἰς μικρότητα σφυγμῶν αὐτοῖς παρεσκευάσθαι τὴν ἕξιν. ἓν δὲ μόνον εἰς τὸ μέγεθος ἐπιτήδειον ἔχουσαι τὴν μαλακότητα τῶν ὀργάνων, οὐδὲν οὐδ᾽ ἀπὸ ταύτης ὀνίνανται· πρῶτον μὲν, ὅτι πλείω τε καὶ ἰσχυρότερα τὰ τῆς μικρότητος αἴτια γίνεται, δεύτερον δ᾽, ὅτι πολλὴ μὲν ἡ παρ᾽ ἐκεῖνα διαφορὰ τῶν ἀνδρῶν πρὸς τὰς γυναῖκας, ἐλαχίστη δ᾽ ἡ διὰ τὴν μαλακότητα τῶν ὀργάνων. οὐ γὰρ οὕτω ξηρότερον λέγεται τὸ τῶν ἀνδρῶν σῶμα τοῖς τῶν γυναικῶν παραβαλλόμενον, ὡς ἂν εἰ τύχοι λίθος τις εἴη πηλοῦ ξηρότερος, οὐδ᾽ ἂν εὕροις ἐν αὐτοῖς τοῖς χιτῶσι τῶν ἀρτηριῶν πολλὴν τὴν ὑπεροχὴν, ἀλλὰ καὶ τὸ τῶν ἀνδρῶν ὄργανον οὕτως ἔχει κατασκευῆς, ὡς εὐπειθὲς εἶναι πρὸς τὴν ἐνέργειαν. εἰ δὲ καὶ μεγάλη τις ἦν ὑπεροχὴ καὶ πολλῷ τὸ τῆς γυναικὸς ὄργανον ὑπῆρχε μαλακώτερον, αὐτὸ δὴ τοῦτο μικροτέρους ἂν εἰργάσατο τοὺς σφυγμούς. ἔνθα μὲν γὰρ οὐδέν ἐστι τὸ βαρῦνον, ἢ θλῖβον, ἢ στενοχωροῦν, ἐνταῦθα τὸ μαλακώτερον ὄργανον ἐπιτηδειότερον εἰς μέγεθος διαστολῆς, ἔνθα δ᾽, ὡς ἔμπροσθεν ἐπὶ τῆς γυναικείας ἕξεως ἐῤῥέθη, τὰ θλίβοντα

praeditas coarctarique necesse est. Quare habitus iis omnino est undequaque ad parvitatem pulsuum dispositus. Unum modo ad magnitudinem consecutae sunt appositum, mollitiem instrumentorum quae illis etiam nulli usui est; primum, quia sunt plures parvitatis fortioresque causae: deinde, quod quum late in illis viri a mulieribus distent, minimum dissideant in mollitie instrumentorum. Neque enim perinde siccius virorum dicitur corpus collatum ad mulierem, ut si verbi gratia lapis sit coeno siccius; neque multum invenias excessum in arteriarum ipsis tunicis; imo vero instrumentum virorum ita comparatum est, ut ad functionem sit sequax. Quin si major excessus sit et multo mulieris instrumentum mollius, id ipsum sane sit in causa cur minores fiant pulsus. Siquidem ubi nihil est quod gravet, vel comprimat, vel coarctet, illic accommodatius ad magnam distentionem est mollius instrumentum; at ubi, ut modo in mulierum ostendimus habitu, pressus, pondera atque coarctationes

καὶ βαρύνοντα καὶ στενοχωροῦντα πολλὰ, ἐνταῦθα τὸ μαλακώτερον ὄργανον ἀφυέστερον εἰς τὴν διαστολὴν, ὡς ἂν ῥᾷον ὑπὸ πάντων τῶν λυπούντων νικώμενον. [205] ὅτι μέντοι ταῦτα πάντα περὶ τῶν ἄριστα μὲν κατεσκευασμένων σωμάτων, οἰκείως δὲ ταῖς κατασκευαῖς διαιτωμένων λέγεται, δῆλον μὲν κἀξ ὧν ἤδη προειρήκαμεν· ὁ μέντοι σύμπας καὶ τέλειος ὑπὲρ αὐτῶν λόγος ὁ μετ' ἀποδείξεως περαινόμενος ἐν τῷ δευτέρῳ περὶ τῆς τῶν σφυγμῶν διαγνώσεως γέγραπται. ὥστε κἀκείνην τὴν πραγματείαν ἀναγνωστέον ἐστὶ τοῖς ὀρθῶς μέλλουσι μετιέναι τὰ περὶ τοῦ σφυγμοῦ. καὶ μέντοι καὶ περὶ τοῦ ταχέος σφυγμοῦ διὰ τοῦ τρίτου τῶν ὑπομνημάτων ἐκείνων ἀποδέδεικται, πηλίκον ἁμαρτάνουσιν οἱ πλεῖστοι τῶν ἰατρῶν εἰς τὴν διάγνωσιν αὐτῶν βραχυχρόνιον εὐθὺς καὶ ταχὺν εἶναι νομίζοντες. ἀμέλει καὶ τὸν τῆς γυναικὸς σφυγμὸν, ἕνεκα γάρ τοι τῶν νῦν προκειμένων ἐμνημόνευσα τῶν ἐν ἐκείνοις ἀποδεδειγμένων, ἱκα(103)νῶς ταχὺν εἶναι νομίζουσιν. ὁ δ' ἐστὶ μὲν θάττων, οὐ μὴν ἀξιολόγῳ γέ τινι καὶ μεγάλῃ διαφορᾷ τοῦ τῶν ἀῤῥένων ὑπερέχει. τὸ μὲν οὖν ἀληθὲς τοῦτο καὶ γέγραπται καλῶς τοῖς εἰσαγομένοις, βραχεῖ βραδύτερος ὁ

multae, hic inftrumentum mollius, ut quod omnibus quae infeftant facile cedat, ad diftentionem eft ineptius. Verum de corporibus haec omnia optime conftitutis referri et conftitutioni viventibus convenienter, vel ex his planum eft, quae commemoravimus; at abfoluta de his et integra disputatio ac demonftratione confirmata in fecundo libro de pulfibus dignofcendis prodita eft; quare qui commemorationem probe de pulfibus geftit affequi, ei illo opere opus eft revoluto. Iam vero etiam de celeri pulfu eft in tertio illorum commentariorum demonftratum, quantus error fit plurimorum in eo dignofcendo, qui pulfum brevi tempore durantem ftatim etiam velocem arbitrantur effe. Et nimirum mulieris pulfum (nam caufa praefentis difputationis memini, quae demonftravi illic) bene celerem putant effe; eft vero ille celerior quidem, non infigni tamen et magna differentia excellit pulfum virorum. Sic fe res habet et recte tironibus fcriptum eft paulo effe virorum tardiorem pul-

Ed. Chart. VIII. [205.] Ed. Baf. III. (103.)

τῶν ἀνδρῶν εἶναι σφυγμὸς τοῦ τῶν γυναικῶν, οὐ μὴν ἥ γ' αἰτία πρόσκειται, καθάπερ οὐδ' ἄλλῳ τινὶ τῶν ἐκεῖ γεγραμμένων. ἀλλὰ νῦν εἰρήσεται. ὅσον μὲν ἐπὶ τῷ καὶ τὴν δύναμιν ἀῤῥωστοτέραν εἶναι καὶ τὴν θερμασίαν ἐλάττονα τὴν τῶν γυναικῶν, ἐχρῆν καὶ τὸν σφυγμὸν εἶναι βραδύτερον, ἀμφοτέροις γὰρ τοῖς εἰρημένοις αἰτίοις οἰκεῖος ὁ τοιοῦτος ἐδείχθη. ἀλλ' ἐπεὶ πολλῷ μικρότερός ἐστι καὶ διὰ τοῦτο καὶ τὸ τῆς χρείας οὐχ ἱκανῶς πληροῦται, προστίθησιν ὅσον δύναται τῷ τάχει. τοῦτο γὰρ ὁ πρῶτος λόγος ἔδειξεν ἀναγκαῖον ὑπάρχειν, καὶ ὅστις οὐ μέμνηται τῶν ἐν ἐκείνῳ γεγραμμένων, μάτην καὶ τούτοις ἐντυγχάνει. εἰ μὲν οὖν τὸ προσιὸν τοῦ τάχους τοσοῦτον ἦν ὡς αὐτάρκως ἅπασαν τὴν χρείαν πληροῦν, οὐδὲν ἂν ἔδει πυκνότητος· ἐπεὶ δὲ πολλῷ μὲν ἀπολείπεται τῆς χρείας ἡ ἐνέργεια διὰ τὴν μικρότητα τῆς διαστολῆς, βραχὺ δ' ἐπωφελεῖται διὰ τὸ τάχος, ἀναγκαῖον ἤδη πυκνὸν ἀξιολόγως γενέσθαι τὸν σφυγμόν. καὶ γὰρ καὶ τοῦτο διὰ τοῦ πρώτου δέδεικται λόγου. γυναῖκες μὲν οὖν ἀνδρῶν οὕτω διαφέρουσι τοῖς σφυγμοῖς, τὸ δ' ἄῤῥεν βρέφος τοῦ θήλεος ἀνάλογον μὲν, οὐ μὴν πάντῃ γε ὡσαύτως, ἀλλ' ὡς ἔμπροσθεν εἴπομεν.

fum quam mulierum; at caufa illic, ut in omnibus eo loco traditis, omiffa eft, quam nunc aperiemus. Quatenus quidem infirmior facultas eft et calor parcior mulierum, debebat tardior etiam pulfus effe, quod eum utrique huic caufae oftendimus effe peculiarem; caeterum, quia multo eft minor, eoque minus ufui fatis fit, auget, quantum poteft, celeritatem; quippe hoc primus liber effe neceffarium probavit; itaque cui illa exciderunt, quae in illo libro docuimus, nequicquam haec legit. At fi quidem celeritatis tanta acceffio fit, ut omni ufui foret complendo, non quaereretur crebritas; fed quoniam multum ufui cedit functio ob distentionis parvitatem, aliquantum autem adiuvatur a celeritate, oportet jam fatis pulfus fit creber; id quod etiam in primo libro eft declaratum. Ergo mulieres ad hunc modum a viris pulfu diftant. Mafculi infantis ad foeminam fimilis ratio eft; non undique tamen eadem, fed quomodo diximus

ἁπλῶς γὰρ μείζονα καὶ σφοδρότερον καὶ ἀραιότερον, οὐκέτι δὲ καὶ πολλῷ τὸν σφυγμὸν ἔχει τὸ ἄῤῥεν τοῦ θήλεος. περὶ μὲν δὴ τούτων ἀρκεῖ καὶ ταῦτα. μεταβῶμεν δ' ἐπὶ τὴν ἑξῆς ῥῆσιν περὶ τῆς κατὰ τὴν κρᾶσιν διαφορᾶς διδάσκουσαν.

Κεφ. γ'. *Οἱ δὲ φύσει θερμοὶ μείζονα μὲν καὶ ὠκύτερον καὶ πυκνότερον πολλῷ, σφοδρότερον δὲ οὐ πολλῷ.*

Καὶ οὗτος ὁ λόγος ἐν ἑαυτῷ περιέχει ζήτημα μέγιστον, ᾧ μηδ' ἐπιβάλλειν τις δύναται τὴν διάνοιαν τῶν εἰσαγομένων, εἰ μὴ πάνυ συνετὸς ὑπάρχει. τῶν γὰρ φύσει θερμῶν τοὺς μὲν ὑγροὺς εἶναι λέγουσι, τοὺς δὲ ξηρούς. ἐχρῆν οὖν οὐχ ἁπλῶς εἰρῆσθαι τῶν φύσει θερμῶν τοὺς σφυγμοὺς, ἀλλὰ πρότερον μὲν τῶν μεθ' ὑγρότητος, δεύτερον δὲ τῶν μετὰ ξηρότητος. οὐ γὰρ δὴ πάντες οἱ θερμοὶ φύσει τοὺς αὐτοὺς ἔχουσι σφυγμοὺς, ἀλλὰ καὶ τρίτοι τινές εἰσιν, εὔκρατοι μὲν ὅσον ἐφ' ὑγρότητι καὶ ξηρότητι, δύσκρατοι δ' ὅσον ἐπὶ θερμότητι. καὶ ὡς οὐκ ὀρθῶς αὐτοὺς παρεῖδον ὅσοι πρὸ ἡμῶν διείλοντο τὰς κράσεις ἀποδέδεικται διὰ τῶν γραφέντων ἡμῖν περὶ κράσεων ὑπομνημάτων. [206] τούτους δὴ καλεῖν ἔθος

antea; nam majorem tantum, vehementiorem, rariorem, non multo item pulſum habet maſculus quam foemina. Atque de his hactenus. Nunc ad proximum caput digrediamur, quod de differentia docet ex temperamento.

Cap. III. *Calidi natura multo habent majorem, celeriorem, crebriorem, vehementiorem non item multo.*

Complectitur et haec oratio quaeſtionem maximam, cui ne adhibere quidem, niſi praeditus ſingulari prudentia ſit, ullus tironum animum poteſt; etenim qui natura calidi ſunt, partim eos eſſe humidos ajunt, partim ſiccos. Quo minus abſoluto ſermone pronunciatos oportuit eorum pulſus, qui natura calidi ſunt; ſed prius illorum, qui ſimul humidi ſunt, ſecundo loco eorum, qui ſicci; neque enim qui natura calida ſunt, eundem omnes pulſum edunt; imo vero ſunt quidam tertii, temperati illi quidem humiditate et ſiccitate, at calore intemperati; at eos neglexiſſe parum recte, qui ante nos temperamenta diſcreverunt, in commentariis, quos ſcripſi de temperamentis, oſtendi. Ergo hos moris eſt calidos vo-

ἐστὶ θερμοὺς, τοὺς τῶν τεττάρων δυνάμεων, μίαν μόνην ταύτην ὑπὲρ τὰς ἄλλας ἔχοντας. οὗτοι τοίνυν εἰς ὅσον θερμότεροι τῶν εὐκράτων εἰσὶν εἰς τοσοῦτον καὶ μείζονας καὶ ὠκυτέρους καὶ πυκνοτέρους ἔχουσι τοὺς σφυγμούς. καὶ ἡ αἰτία πρόδηλος τοῖς μεμνημένοις τῶν ἐν τῷ πρώτῳ βιβλίῳ γεγραμμένων. ἀλλὰ διὰ τί σφοδροτέρους οὐ πολλῷ τοὺς τοιούτους εἴπομεν σφυγμούς; καίτοι γ᾽ ἐν τῷ πρώτῳ λόγῳ τῆσδε τῆς πραγματείας ἀποροῦντες, εἰ δύναται γενέσθαι σφοδρότερος ὁ σφυγμὸς ἄνευ τοῦ τὴν δύναμιν εἰς ῥώμην ὠφεληθῆναι· ὅτι τοῖς εἰσαγομένοις οἱ τοιοῦτοι πάντες σφυγμοὶ σφοδρότεροι φαίνονται. παράκειται γάρ πως ὁ ταχὺς ἅμα καὶ μέγας σφυγμὸς κατά γε τὴν ἀδιάρθρωτον φαντασίαν τῷ σφοδρῷ, ὥστε καί τινες καὶ αὐτῶν τὰ συγγράμματα καταλελοιπότων ἡμῖν ἰατρῶν οὐδ᾽ ἄλλον τινὰ σφοδρὸν ἔφασαν εἶναι σφυγμὸν ἢ τὸν ἐκ μεγέθους τε καὶ τάχους σύνθετον. οὐκ οὖν ἐχρῆν τοῖς εἰσαγομένοις κινεῖν τηλικαῦτα ζητήματα. συμφέρει γὰρ αὐτοῖς ἐπὶ πολλῶν τὸ ἀδιόριστόν τε καὶ συγκεχυμένον μᾶλλον τοῦ διηρθρωμένου, ὅταν γε βαθείας τοῦτο δέηται θεωρίας καὶ λόγων μακρῶν καὶ χρόνου πολλοῦ. ἀλλ᾽ ἡμεῖς

cari, qui de quatuor temperamentis unum hoc ſolum vincens reliqua obtinent: qui quidem quo calidiores ſunt temperatis, hoc majores habent et celeriores pulſus crebrioresque. Cauſa, ſi retinuiſti quae prodidi in primo libro, aperta eſt. At quid vehementiores diximus non multo eſſe eos pulſus, quum in hujus operis primo libro quaeſierimus, ecquis poſſit pulſus citra opem roboris facultatis vehementior fieri? Quoniam ſi pulſus tironibus omnes videntur vehementiores eſſe, adjacet enim quodammodo prima ſpecie celer ſimul et magnus pulſus vehementi; quare quidam etiam medici, qui libros nobis ſcriptos reliquerunt, alium negaverunt eſſe vehementem pulſum, ac conflatum ex magnitudine et celeritate. Proinde tironibus non erant movendae tantae quaeſtiones; incertum enim identidem illis nec diſtributum confuſumque conducibilius certo eſt et definito, ubi profundam hoc contemplationem poſtulet declarationemque prolixam ad longum tempus. Verum quan-

Ed. Chart. VIII. [206.] Ed. Baf. III. (103.)
ἐν τῷ πρώτῳ λόγῳ τῆσδε τῆς πραγματείας αὐτάρκως περὶ τούτου διειλεγμένοι, μέλλοντες δὲ κἂν τοῖς ἑξῆς ὅταν ὁ περὶ τῶν ῥυθμῶν ἀφίκηται λόγος, αὖθις ἐρεῖν τι, κατὰ μὲν τὸ παρὸν ἐνταυθοῖ καταπαύσομεν τὴν ἐξήγησιν, ἑτέραν δ' ἤδη λέξιν προχειριούμεθα.

Κεφ. δ'. Οἱ δ' ἰσχνότεροι μείζονα μὲν καὶ ἀραιότερον πολλῷ, σφοδρότερον δ' ὀλίγῳ. φύσει μὲν οὖν οὕτως διαφέρουσιν.

Πάλιν ἐνταῦθα τοὺς ἰσχνοτέρους ἀκουστέον ἄνευ τινὸς ἄλλης διαθέσεως. εἰ γὰρ ἤτοι τῆς κράσεως ὑπαλλαγείσης, ἢ τῆς δυνάμεως, ἢ διά τι πάθος ἰσχνότερος γένοιτο, σύνθετος ἡ τροπὴ τῶν σφυγμῶν ἔσται, καὶ οὐκ ἔτι διὰ μόνην τὴν ἰσχνότητα. ἰσχνότης οὖν αὐτὴ μόνη κατὰ ἑαυτῆς λόγον εὐρυτέρας μὲν τὰς χώρας τῶν ἀρτηριῶν ἐργαζομένη, κουφότερα δὲ τὰ ἐπικείμενα σώματα, μέγεθος ἱκανὸν προσδίδωσι τοῖς σφυγμοῖς. ἔνθα δ' ἂν ἴσης τῆς χρείας μενούσης αὐξάνηται τὸ μέγεθος, ἀραιοτέρους ἐνταῦθα ἀναγκαῖον γίνεσθαι τοὺς σφυγμοὺς εἰς τοσοῦτον εἰς ὅσον καὶ μείζονας. μείζους δ' ἦσαν πολλῷ, γένοιντ' ἂν οὖν οὕτω καὶ ἀραιότεροι πολλῷ. σφοδρότεροι δὲ τοσοῦτον φανοῦνται ὅσῳ διὰ λεπτοτέρων

doquidem abunde in primo libro hujus operis differuimus de his, dicturi etiam nonnihil posthac, quum perduxerimus ad rhythmos fermonem, hic enarrationem in praefentia finiam, ac me jam conferam ad aliud caput.

Cap. IV. *Graciliores majorem rarioremque multo, vehementiorem paulo. Atque natura fic differunt.*

Accipiendi hic etiam absque ullo affectu alio graciles; nam fi ex converfo temperamento, vel facultate, vel ex alio affectu graciliores facti fint, pulfuum compofita immutatio erit, non vero ex una gracilitate. At gracilitas, quia fua fponte fola magis regiones arteriarum dilatat, atque leviora impofita corpora reddit, magnitudinem pulfibus non contemnendam conciliat. Atqui ubi pari relicto usu crefcit magnitudo, hic rariores necesse eft pulfus fiant, idque tanto quanto fcilicet fint majores; majores vero erant multo, proinde rariores etiam multo erunt; at vehementiores hoc invenientur, quo tangentibus per fubtiliora occur-

Ed. Chart. VIII. [206. 207.] Ed. Baf. III. (103.)

ὁμιλοῦσι τοῖς ἁπτομένοις σωμάτων. οὐκ οὖν τῷ προσκτᾶσθαί τινα τόνον, ἀλλὰ τῷ μᾶλλον ὃν ἔχουσιν ἐνδείκνυσθαι, τοιοῦτοι φαίνονται. περὶ δὲ τάχους καὶ βραδύτητος, οὐδὲν ὑπὲρ αὐτῶν εἴρηται, οὐδὲν γὰρ εἰς οὐδέτερον τούτων ἐκ τῆς ἰσχνότητος προσλαμβάνουσιν, ἀλλ᾽ ὡσαύτως ἔχουσι τοῖς παχυτέροις, ὅταν καὶ ῥώμης καὶ χρείας αὐτοῖς ὡσαύτως ἔχωσιν. ἑξῆς δὲ περὶ τῶν ἡλικιῶν ὧδέ πως γέγραπται.

Κεφ. ε΄. Τρέπονται δὲ κατὰ μὲν τὰς ἡλικίας ὧδέ πως. ὁ μὲν τοῦ νεογενοῦς παιδίου πυκνότατος, ὁ δὲ τοῦ γέροντος ἀραιότατος, οἱ δ᾽ ἐν τῷ μεταξὺ πάντες ἀνάλογον, ἐφ᾽ ὅσον ἂν ἢ παιδίου ἢ γέροντος ἐγγύτεροι τυγχάνουσιν ὄντες. ὡσαύτως δὲ τάχιστος μὲν ὁ τοῦ παιδὸς, βραδύτατος δ᾽ ὁ τοῦ γέροντος, οἱ δὲ τῶν ἄλλων ἡλικιῶν ἐν τῷ μεταξύ. πολλῷ δὲ μείζων ἡ κατὰ τὴν ἀραιότητα διαφορὰ γέροντος πρὸς παιδίον τῆς κατὰ τάχος. [207] ἐν δὲ τῇ κατὰ σφοδρότητα καὶ μέγεθος διαφορᾷ μέγιστος μὲν ὡς ἐν ἡλικίαις ὁ τῶν ἀκμαζόντων, μικρότατος δὲ ὁ τῶν γερόντων, μέσος δὲ βραχεῖ

rant corpora. Quamobrem non quod acquifierint ullam contentionem, fed quod magis, quam obtinent, prodant, tales videntur effe. De celeritate et tarditate nihil hic memini, quod neutram de his gracilitati acceptam referat, fed perinde habeant ut craffiores, quum illis robore et ufu refpondeant. De aetatibus deinceps in hunc modum eft fcriptum.

Cap. V. *Porro pro aetatibus hoc pacto immutantur. Infantis pulfus creberrimus eft; rariffimus fenis; omnes qui inter hos intercedunt, proportionem fervant, prout vel ad puerum, vel ad fenem propius accedant; celerrimus item pueri pulfus, fenis tardiffimus; reliquarum aetatum pulfus ambigunt inter hos; at fenex a puero longe magis raritate quam celeritate diftat. In vehementiae et magnitudinis differentia maximus eft, ut in aetatibus, pulfus juvenum; minimus fenum; medius et paulo major*

μείζων ὁ τῶν παιδίων, καὶ σφοδρότατος μὲν ὁ τῶν ἀκμαζόντων, ἀμυδρότατος δὲ ὁ τῶν γερόντων, μέσος δ᾽ αὐτῶν ὁ τῶν παιδίων.

Ὅτι πυκνότης καὶ ἀραιότης σφυγμῶν κατὰ διττὸν νοεῖται τρόπον, ἑτέρως μὲν ὑπὸ τῶν καὶ τῆς συστολῆς αἰσθάνεσθαι λεγόντων, ἑτέρως δ᾽ οἷς ἀναίσθητος αὕτη, σαφέστερον μὲν ἐν τοῖς περὶ τῆς διαφορᾶς τῶν σφυγμῶν εἴρηται λόγοις, οὐ μὴν ἀλλὰ καὶ ἐν αὐτῷ τούτῳ τῷ βιβλίῳ τῷ τοῖς εἰσαγομένοις γεγραμμένῳ δεδήλωται, καὶ ἠξιοῦμέν γε αὐτοὺς ὡς ἐπ᾽ ἀναισθήτῳ πρότερον γυμνάσασθαι τῆς συστολῆς. ἔστι μὲν οὖν ἀκριβέστερόν τε ἅμα καὶ μακρῷ χρησιμώτερον ἐν τῷ τῶν ἠρεμιῶν ποσῷ συνίστασθαι νομίζειν τοῦτο τὸ γένος τῶν σφυγμῶν· οὕτω γὰρ ἡμῖν καὶ τὰ κατὰ τοὺς ῥυθμοὺς εἰς ἀκριβῆ διάγνωσιν ἀφίξεται. ἀλλ᾽ ἐπεὶ τοὔπιπαν αἱ διαθέσεις αἱ πυκνὸν ἢ ἀραιὸν ἐργαζόμεναι τὸν σφυγμὸν ἑκατέραις αὐτῶν ταῖς αἱρέσεσι τοιοῦτον φαίνεσθαι ποιοῦσιν, εἴη ἂν καὶ ὁ τῆς αἰτίας λογι(104)σμὸς κοινὸς ἀμφοῖν. ἀλλ᾽ ἄμεινον αὐτὸν ἐπὶ τὸ ἀληθέστερον ἀνάγοντας, κατ᾽ ἐκεῖνο προϊέναι τῷ λόγῳ, τῆς γε νῦν δὴ προκειμένης ἡμῖν πραγματείας μηκέτι τῶν εἰσαγομένων στοχαζομένης, ἀλλ᾽ ἅπαν τὸ ἀληθὲς ἐκδι-

pulſus puerorum. Jam vehementiſſimus juvenum, languidiſſimus ſenum; medius eſt inter hos puerorum pulſus.

Bifariam crebritatem et raritatem intelligi, aliter ab illis, qui et contractionem confirmant ſentiri, aliter ab illis, qui negant, apertius in libris de differentiis pulſuum disputavimus; et vero etiam in ipſo hoc tironibus deſcripto libro declaratum eſt. Sane illos volebamus prius in contractione, quaſi inſenſibili, verſari. Ac multo quidem tutius eſt pariterque commodius, ſi in quietum quantitate ponas genus hoc pulſuum; ita enim fiet, ut ſimul in notitiam exactam veniamus rhythmorum; verum quod ſtatus, qui crebri, vel rari pulſus ſunt auctores, fere talem eum utrique huic ſectae repraeſentant, erit cauſae etiam utrique aſſignatio communis. At praeſtiterit, ut eam ad veritatem reducamus, hancque in hoc ſermone ſectemur; quandoquidem propoſitum opus minime ad tirones dirigitur, ſed plane docet ve-

δαρκούσης. οἱ τοίνυν παῖδες ἔχοντες μὲν καὶ τὸ θερμὸν οὐκ ὀλίγον, οὐδὲ τῆς ἐμψυχούσης αὐτὸ χρήζουσιν οὐσίας ὀλίγης, καὶ διὰ τοῦτο μεγάλων δέονται τῶν σφυγμῶν. ἔχοντες δὲ καὶ τὴν τῶν χυμῶν δαπάνην πλείστην, ὡς ἂν οὐκ εἰς θρέψιν μόνον, ἀλλὰ καὶ εἰς αὔξησιν ὑπηρετοῦσαν, ἐν ταῖς κατεργασίαις αὐτῶν ἀναγκαίως ἀθροίζουσιν ἐν ὅλῳ τῷ σώματι πλῆθος ἀτμωδῶν τε καὶ ὡς ἂν εἴποι τις λιγνυωδῶν περιττωμάτων, ὥστε καὶ διὰ ταῦτα τῆς συστολῆς τῶν ἀρτηριῶν δέονται μεγίστης, καὶ μέντοι καὶ τὴν τοῦ ψυχικοῦ πνεύματος οὐσίαν οὐ τρέφεσθαι μόνον, ὡς τοῖς τελείοις, ἀλλὰ καὶ συναυξάνεσθαι τοῖς ὀργάνοις ἀναγκαῖον. ὥστε καὶ διὰ ταύτην μειζόνων δεήσονται τῶν διαστολῶν, καὶ σχεδὸν εἰς ἴσον ἥκει τοῖς βρέφεσιν ἡ τοῦ συστέλλεσθαι τὰς ἀρτηρίας χρεία τῇ τοῦ διαστέλλεσθαι. πλεῖστα μὲν γὰρ τὰ περιττώματα καὶ διὰ τοῦτο μεγίστης δεόμενα τῆς συστολῆς, τὸ θερμὸν δ' εἰ καὶ μὴ πλεῖστον ἁπλῶς, ἀλλά τοι καὶ διὰ τὴν τοῦ ψυχικοῦ πνεύματος αὔξησιν ἥκει τῇ τοῦ πλείστου χρείᾳ θερμοῦ τῆς διαστολῆς αὐτοῖς. ὅσον γὰρ τῶν νεανίσκων ἀπολείπεται τοῦ πλεονάζοντος ἐν ἐπικτήτῳ θερμότητι, τοῦτο ἐκ τῆς διὰ τὸ

rum. Ergo quum calore pueri non pauco praediti ſint, ſubſtantiam quoque, quae refrigeret illum, non paucam requirunt; quapropter magnis egent pulſibus. Quia vero humores etiam exhauriunt quamplurimos (quippe qui illis non ad nutrimentum modo, verum etiam ad incrementum ſuppetant) neceſſario in conficiendis iis contrahent per totum corpus vaporoſorum et ut ita dicam fuliginoſorum acervum excrementorum; itaque etiam deſiderant maximas arteriarum contractiones. Et vero etiam animalis ſpiritus non tantum nutriri ſubſtantiam oportet, ſicut in adultis, ſed una etiam cum inſtrumentis augeri; itaque vel hoc nomine majores diſtentiones flagitabunt. Adeoque uſus contractionis arteriarum in infantibus aequat pene uſum diſtentionis; etenim ſunt plurima excrementa, itaque majorem quaerunt contractionem. Calor autem, ut non ſit omnino copioſiſſimus, at quod augeatur animalis ſpiritus, aequat in illis diſtentio-

πνεῦμα χρείας προσέρχεται. μεγίστων οὖν ἅμα καὶ ταχίστων οἱ παῖδες ἀμφοτέρων χρήζουσι τῶν κινήσεων καὶ διὰ τοῦτ' ἐλλιπεστέρα τῆς χρείας ἐστὶν ἐπ' αὐτῶν ἡ ἐνέργεια. καὶ γὰρ εἰ ὅτι μάλιστα ταχεῖς εἰσι καὶ μεγάλοι, ἀλλ' οὐδέπω τῆς χρείας ἀξίως. ἀναγκαῖον οὖν ἐν τούτῳ πυκνὰς γίνεσθαι τὰς κινήσεις, ἐπὶ δὲ τῶν γερόντων ἐναντία πάντα, τὸ μὲν θερμὸν ὀλίγον, ἀνάλογον δὲ τούτῳ καὶ ἡ τῶν οἷον αἰθαλωδῶν περιττωμάτων γένεσις καὶ ἡ τοῦ πνεύματος τοῦ ψυχικοῦ θρέψις, ὥστε ἐναντίους αὐτοῖς εὔλογον εἶναι καὶ τοὺς σφυγμοὺς, μικροὺς καὶ βραδεῖς καὶ ἀραιούς. ἀναμνησθῆναι δ' ἐνταῦθα χρὴ τῶν ἐν τῷ δευτέρῳ περὶ διαγνώσεως σφυγμῶν εἰρημένων, ἵν' ἴδωμεν ἐκ τίνος ἀπατώμενοι πολλοὶ τῶν ἰατρῶν μικροὺς ὑπέλαβον εἶναι τοὺς τῶν παιδίων σφυγμοὺς, καὶ ὅτι μεγάλοι μέν εἰσιν, εἰ τοῖς ὄγκοις τῶν ἀρτηριῶν αὐτοὺς παραβάλλοις, μικροὶ δὲ, εἰ κατὰ τὴν πρόχειρον ἐξετάζοις φαντασίαν, τοῦτ' ἔστιν, εἰ τὸ ποσὸν τῆς διαστάσεως μόνον ἐν αὐτοῖς σκοποῖο, τοῖς τῶν ἀκμαζόντων παραβάλλων. οὐ μὴν μεγίστους γ' ἔχουσιν οἱ παῖδες τοὺς σφυγμοὺς, οὐδ' εἰ πρὸς

nis ufum ei, quem poftulat plurimus calor: quo enim juvenibus cedunt exuperantibus adventitio calore, hoc ufu, quem imponit fpiritus, refarcitur. Maximum ergo fimulque celerrimum pueri utrunque motum requirunt; ficque infra ufum eft functio in iis, nam licet quam maxime celeres fint et magni, non fatis tamen faciunt ufui; quare hic crebris opus motibus eft. In fenibus plane contra habet; calor paucus, cui par eft generatio fuliginoforum excrementorum; fpiritusque animalis nutritio; jure habent ergo contrarios illis pulfus parvos, tardos, raros. Hic meminiffe oportet eorum, quae in fecundo libro De pulfibus dignofcendis diximus; ut quo adducti errore intelligamus complures medici puerorum pulfus putaverunt parvos effe, tametfi fint magni, fi cum magnitudine eos arteriarum compares; parvi, fi ex prima fpecie aeftimes, id eft fi quantitatem tantum diftentionis fpectes, eamque conferas ad juvenum pulfus. Sed tamen non maximos habent pulfus pueri,

Ed. Chart. VIII. [207. 208.] Ed. Baſ. III. (104.)

τοὺς ὄγκους τῶν ἀρτηριῶν ἐξετάζοις αὐτούς. τὸ γὰρ μήτε τὴν δύναμιν ἥκειν εἰς ἄκρον ῥώμης αὐτοῖς [208] καὶ τὸ στενοχωρεῖσθαί τε καὶ θλίβεσθαι τοὺς χιτῶνας τῶν ἀρτηριῶν ἔτι μαλακοὺς ὄντας ἀφαιρεῖται πολὺ τῆς μεγίστης διαστολῆς. ὅμως μὴν ἔτι τηλικοῦτός ἐστιν αὐτοῖς ὁ σφυγμὸς, ὡς ὑπὲρ τὸν μέσον ὑπάρχειν, τῷ τάχει δ' ὡσαύτως ἔχει κατά τε τὴν διαστολὴν καὶ συστολὴν, ὅτι καὶ ἡ χρεία τῶν κινήσεων ἀμφοτέρων ἴση, οὐχ ὥσπερ ἐπὶ τῶν γερόντων· εἰς ὅσον γὰρ ἡ τοῦ συστέλλεσθαι χρεία λείπεται τῆς τοῦ διαστέλλεσθαι εἰς τοσοῦτον καὶ ἡ συστολὴ τῆς διαστολῆς ἐστι βραδυτέρα. λείπεται δ' εὐλόγως τοῖς πρεσβύταις, ὅτι βραχὺ παντελῶς ἢ οὐδὲν ἐκ τῆς τῶν χυμῶν συγκαύσεως γίνεται περίττωμα διὰ τὴν ἀῤῥωστίαν τοῦ θερμοῦ, καὶ ὅτι μήτε ἀξιολόγως τρέφονται μήτε ὅλως αὐξάνονται. ἡ μέντοι τοῦ διαστέλλεσθαι χρεία καὶ εἰ μὴ μεγάλη, μέτριος γοῦν ἔτι μένει τοῖς πρεσβύταις, ῥιπίζεσθαι μὲν γὰρ δεῖται τὸ ἔμφυτον θερμὸν καὶ τρέφεσθαι τὸ πνεῦμα τὸ ψυχικόν. πολὺ δὲ πλείων ἡ εἰς ἀραιότητα τροπὴ τῶν γερόντων τῆς εἰς βραδύτητα, διὰ τὸ τὴν χρείαν τῶν σφυγμῶν οὐ μόνον πληροῦσθαι τελέως ὑπὸ τῆς

ne ſi ad magnitudinem quidem eos arteriarum perpendas; ſiquidem, quod nec facultas eorum perveniat ad ſummum robur, et coarctentur etiamnum molles arteriarum tunicae, multum de maxima diſtentione detrahitur; nihilominus tamen tantum retinent pulſum, ut medium ſuperet. Ac celeritatem habent parem in diſtentione et contractione; nam et motus utriusque par uſus eſt, non ut in ſenibus; quo enim minor contractionis uſus eſt quam diſtentionis, hoc contractio tardior diſtentione eſt. Nec injuria quidem ſenes minorem habent, quoniam parum omnino, aut nihil ex aduſtis humoribus excrementi provenit, eſt enim imbecillus calor; praeterea, quod non magnopere nutriantur, nec ullo modo augeantur. Tamen uſus diſtentionis, etſi non magnus, mediocris tamen adhuc ſenibus manet; etenim ventilari oportet innatum calorem, atque nutriri animalem ſpiritum. Quia vero uſus pulſuum non completur tantum undequaque a functione, ſed et exolutus per ſe eſt omnino, longe magis

ἐνεργείας, ἀλλὰ καὶ κατὰ τὸν ἑαυτῆς λόγον ἐκλελύσθαι παντελῶς. μακροτάτην οὖν εὔλογον ἐν τούτῳ γίνεσθαι τὴν ἡσυχίαν, ὥσπέρ γε καὶ ὅτε οὐκ ἐπληροῦτο μετὰ τοῦ μεγάλως ηὐξῆσθαι, συνεχεῖς ἠνάγκαζεν εἶναι τὰς κινήσεις. ὅτι γὰρ ἐπὶ τῶν βρεφῶν οὐκ ηὔξηται μόνον εἰς ἔσχατον ἡ χρεία τῆς γενέσεως τῶν σφυγμῶν, ἀλλὰ καὶ τῆς μεγίστης διαστολῆς, ἣ μόνη τάχ᾽ ἂν ἐπλήρωσε τὴν χρείαν, οὐκ ὀλίγον ἀφῄρηται, πρότερον εἴρηται, εἶναι τὸ ἀφαιρούμενον εἰπόντων ἡμῶν ὅσον ἥ τε δύναμις ἀπολείπεται τῆς ἄκρας ῥώμης καὶ βαρύνεται καὶ στενοχωρεῖται τὰ ὄργανα, μαλακὰ δι᾽ ὑγρότητα τοῖς τηλικούτοις ὄντα. καὶ γὰρ οὖν καὶ ταῦτ᾽ ἔμπροσθεν εἴπομεν, ὡς αἱ μαλακότητες τῶν ὀργάνων αἱ μὲν χωρὶς τοῦ θλίβεσθαι καὶ βαρύνεσθαι καὶ στενοχωρεῖσθαι μεγέθεσι σφυγμῶν συντελοῦσιν, αἱ δὲ σὺν τούτοις μικρότησι, καὶ μάλισθ᾽ ὅταν ἡ δύναμις ἐνδεέστερον ἔχῃ τόνου. εἰς ὅσον δὲ μεταπέπτωκεν ὁ τῶν γερόντων σφυγμὸς ἐκ τῆς τῶν παιδίων πυκνότητος εἰς ἀραιότητα, σχεδὸν εἰς τοσοῦτο καὶ ἡ τῆς συστολῆς κίνησις ἐκ τοῦ τάχους εἰς τὴν βραδύτητα. καὶ ἡ αἰτία πρόδηλος, εἴγε

in raritatem immutant pulsus senes quam in tarditatem; quare hic oportet longissimam quietem fieri; quomodo quum non impleretur, praeter quod magnopere augebat, perpetuos etiam concitabat motus. Nam non solum in infantibus non esse auctum ad summum usum generandorum pulsuum, verum etiam de maxima distentione, quae compleret forsitan una usum, non parum discessisse ante demonstravimus, quum tantum detrahi diceremus quantum facultas a summo robore absit, ac degraventur coarctenturque instrumenta, quae infantes ex humiditate habent mollia. Sane hoc quoque diximus supra, instrumentorum mollitiem, quae remota est a compressione, nec gravatur, vel coarctatur, referre ad pulsuum magnitudinem; quae vero his conjuncta est, ad parvitatem, praecipue si robore facultas deficiatur. At quantum senum pulsus ex puerorum degeneravit crebritate in raritatem, tantumdem prope motus contractionis in tarditatem ex celeritate. Nec obscura est causa, siquidem se-

Ed. Chart. VIII. [208.] Ed. Baſ. III. (104.)

δὴ τελέως ἐκλελύσθαι τὴν χρείαν τῆς συστολῆς ἐν ταῖς τοιαύταις ἡλικίαις ὀρθῶς ἐλέγομεν, οὐ μὴν εἴ γε τῆς διαστολῆς χρεία τελέως ἀπόλωλεν, ὡς καὶ τοῦτο ἐδείξαμεν. ὅθεν ἧττόν ἐστιν ἡ ἐν ταύτῃ κίνησις βραδεῖα τῆς ἐν τῇ συστολῇ. ταύτης δ' ἦν διαγνωστικὸς ὁ εἰσαγόμενος μόνης. ὥστ' εὐλόγως ἐῤῥήθη πλείων ἡ κατὰ τὴν ἀραιότητα διαφορὰ γέροντος πρὸς παιδίον τῆς κατὰ βραδύτητα. ἀλλὰ νῦν γε τὸ λεῖπον πᾶν ἤδη προσδιώρισται περί γε αὐτῆς ταύτης τῆς διαφορᾶς, καὶ προσέτι τῆς κατὰ τοὺς ἐν ταῖς ἡλικίαις ῥυθμοὺς μεταβολῆς, ὑπὲρ ὧν, ἀσαφέστερον εἶναι νομίσαντες ἢ κατὰ τοὺς εἰσαγομένους τὸν λόγον, οὐδὲν εἰρήκαμεν. ὡς γὰρ περὶ τῆς πυκνότητος, οὕτω καὶ περὶ τῶν ῥυθμῶν διτταὶ γεγόνασιν αἱρέσεις, τῶν μὲν δὴ μηδόλως αἰσθάνεσθαι λεγόντων τῆς συστολῆς, τὸν τῆς διαστολῆς χρόνον τῷ λοιπῷ παντὶ παραβαλλόντων, ὃς οὐκ ἐκ τῆς συστολῆς μόνον, ἀλλὰ κἀκ τῶν δυοῖν ἠρεμιῶν σύγκειται, τῶν δὲ καὶ ταύτης αἰσθάνεσθαι φασκόντων ἐν τοῖς τῶν κινήσεων χρόνοις τοὺς ῥυθμοὺς συνιστάντων. ὅσῳ δὲ ἀκριβεστέρα ἥδε ἡ αἵρεσις καὶ εἰς τὰς προγνώσεις χρησιμωτέρα, δῆλον ἔσται πολὺ μᾶλλον ἐν τῇ μελλούσῃ γράφεσθαι πραγματείᾳ. οὐκ ἄδη-

mel usum contractionis exolutum esse recte docuimus in iis aetatibus, non tamen diſtentionis uſus periit totus; nam hoc etiam tradidimus; quo minus eſt in hac tardus motus quam in contractione; atqui hanc tiro ſolam poterat dignoſcere. Probe ergo dictum eſt; *ſenex a puero longe magis raritate quam celeritate diſtat.* Jam omne declaratum eſt, quod deficiebat huic ipſi differentiae; praeterea, quod mutationi rhythmorum pro aetatibus; quos (quoniam obſcuriorem eſſe ſermonem quam qui tironibus accommodatus eſſet, arbitratus ſum) non attigimus. Nam ut de crebritate, ita de rhythmis exiterunt duae ſectae; una prorſus negabat ſentiri contractionem, quae diſtentionis tempus comparat cum toto reliquo, quod non tantum conſtat ex contractione; ſed ex binis etiam quietibus; altera ſentiri contendebat, ac rhythmos in motuum temporibus ponebat. Haec quanto ſecta ſit perfectior et utilior ad praeſagiendum, clarius in proxima lucubratione aperiemus; nec tamen nunc obſcurum

λος δ' οὐδὲ νῦν ἐστιν, εἰ μὴ παρέργως τις ἤκουσε τῶν εἰρημένων. ἐκ τῶν αὐτῶν δὲ καὶ τὰς ἐν ταῖς ἡλικίαις διαφορὰς τῶν ῥυθμῶν, παρ' ἥν τινα γίγνονται τὴν αἰτίαν ἐξευρίσκειν οὐδὲν ἔτι χαλεπόν. ἐπειδὴ γὰρ πλείστη μὲν ἑκατέρας τῶν κινήσεων τῆς ἀρτηρίας χρεία τοῖς βρέφεσιν, ἐλαχίστη δὲ τοῖς γέρουσιν, ὁ δ' ἐν τῷ μεταξὺ χρόνος πᾶς τῶν ἡλικιῶν ἐκλύει μὲν ἀμφοτέρας τὰς χρείας, ἀλλὰ μᾶλλον τὴν τῆς συστολῆς, εὐλόγως ὅσῳ πέρ ἂν ἀποχωρῶσι τῶν βρεφῶν, ὡς ἐπὶ τοὺς γέροντας, [209] ἀμφοτέρας μὲν ἕξουσιν ἀεὶ τὰς κινήσεις βραδυτέρας, ἀλλὰ μᾶλλον τῆς συστολῆς. ἐκ τούτων δὲ αἱ κατὰ τὰς ἡλικίας γίνονται τῶν ῥυθμῶν διαφοραὶ, περὶ ὧν ἐπὶ πλέον ἐροῦμεν ἐν τοῖς περὶ τῆς διὰ τῶν σφυγμῶν προγνώσεως ὑπομνήμασιν. ἀλλὰ καὶ διὰ τί σφοδρότατος μὲν ὁ τῶν ἀκμαζόντων, ἀμυδρότερος δ' ὁ τῶν γερόντων, εὔδηλον. ἰσχυροτάτη μὲν γὰρ ἡ δύναμις ἐν τοῖς ἀκμάζουσιν, ἀσθενεστάτη δ' ἐν τοῖς γέρουσιν. οὕτω δὲ καὶ ἐν ταῖς ἄλλαις ἡλικίαις, ἃς ἂν ἰσχύος ἔχωσιν, ἢ ἀσθενείας, οἱ (105) σφυγμοὶ διοίσουσιν ἀμυδρότητί τε καὶ σφοδρότητι.

Κεφ. στ'. Κατὰ δὲ τὰς ὥρας, ἦρος μὲν τὰ μέσα

eſt, niſi obiter ſuperiora et negligenter attendiſti; nam ex iisdem etiam differentiae rhythmorum pro aetatibus, a qua proficiſcuntur cauſa, nullo negocio invenias. Quum enim utriusque motus plurimus infantibus uſus ſit, minimus ſenibus et omne interpoſitum tempus aetatum utrunque uſum exolvat, magis tamen contractionis, rationi conſonum eſt, ut, quantum a pueris recedant ad ſenes, tanto ſemper utrunque motum habeant tardiorem, magis autem contractionis. Ex his naſcuntur differentiae rhythmorum pro aetatibus, de quibus latius in commentariis De praeſagitione ex pulſibus agemus. Jam etiam quamobrem vehementiſſimus ſit juvenum pulſus, ſenum contra languidiſſimus, in aperto eſt; juvenibus enim validiſſima facultas eſt, ſenibus vero debiliſſima. Eadem etiam aliis in aetatibus ratione, pro robore earum vel imbecillitate pulſus remiſſione, et vehementia different.

Cap. VI. *Pro anni temporibus. Medio vere pulſus*

μεγίστους καὶ σφοδροτάτους, ὡς ἐν ὥραις, τάχει δὲ καὶ πυκνότητι συμμέτρους, ὡσαύτως δὲ καὶ φθινοπώρου τὰ μέσα. προϊὸν δὲ τὸ μὲν ἔαρ ἀφαιρεῖ τι μεγέθους καὶ σφοδρότητος, ποστίθησι δὲ τῷ τάχει καὶ τῇ πυκνότητι. καὶ τέλος ἡνίκα ἂν ἐπιλάβοι τὸ θέρος, ἀμυδροὶ καὶ μικροὶ καὶ ταχεῖς καὶ πυκνοὶ γίνονται. τὸ δὲ φθινόπωρον προϊὸν ἁπάντων ἀφαιρεῖ μεγέθους, σφοδρότητος, τάχους, πυκνότητος. ὥστε τοῦ χειμῶνος ἐπελθόντος εἰς μικρότητα καὶ ἀμυδρότητα καὶ βραδύτητα καὶ ἀραιότητα τετράφθαι. ἔοικε δὲ τὰ μὲν πρῶτα τοῦ ἦρος τοῖς ὑστάτοις τοῦ φθινοπώρου, τὰ δ' ὕστατα τοῖς πρώτοις, καὶ τὰ μὲν πρῶτα τοῦ θέρους τοῖς ὑστάτοις τοῦ θέρους, τὰ δὲ τοῦ χειμῶνος πρῶτα τοῖς ὑστάτοις τοῦ χειμῶνος, ὡς ὅσα θέρους μέσου καὶ μέσου χειμῶνος ἴσον ἐφ' ἑκάτερον ἀφέστηκεν, ὁμοίως τρέπειν. μέσον δὲ θέρος ἐστὶν ᾗ μὲν ὡσαύτως, ᾗ δὲ ἐναντίως ἔχει μέσῳ χειμῶνος. μικροὶ μὲν γὰρ καὶ ἀμυδροὶ καθ' ἑκάτερον, ὠκεῖς δὲ καὶ πυκνοὶ θέρους, καὶ βραδεῖς καὶ ἀραιοὶ χειμῶνος. οὐ μὴν οὕτως μικροὶ θέρους, ὡς χειμῶνος, ἀλλ' ἧττον θέρους, οὐδ' οὕτως ἀμυδροὶ χειμῶνος ὡς θέρους, ἀλλ' ἧττον χειμῶνος.

maximi ſunt et vehementiſſimi, ut in temporibus; celeritate et crebritate moderati; pari modo medio autumno; progrediens autem ver nonnihil de magnitudine et vehementia detrahit, ſed auget celeritatem atque crebritatem; tandemque ineunte jam aeſtate languidi, parvi, celeres crebrique fiunt. Autumni progreſſus cuncta imminuit, magnitudinem, vehementiam, celeritatem, crebritatem; ita ineunte hieme in parvitatem convertuntur et remiſſionem et tarditatem et raritatem. Reſpondet autem initium veris fini autumni, illius finis initio hujus; aeſtatis item principium ſuo, et principium hiemis ſuo fini. Proinde quae pari ſpatio a media aeſtate et media hieme in utranque partem deſlexerunt ſimiliter variant. Porro media aeſtas partim convenit cum media hieme, partim diſſidet; nam parvi utrobique et languidi ſunt; ſed celeres atque crebri aeſtate, tardi rarique hieme; non perinde tamen parvi aeſtate, ut hieme, ſed aeſtate minus. Nec ita hieme languidi, ut aeſtate, caeterum minus hieme.

Καὶ τὰ κατὰ τὰς ὥρας εἰς τρεῖς ταύτας αἰτίας ἀνάγεται, τὴν χρείαν, τὴν δύναμιν, τὰ ὄργανα. παρὰ γὰρ τὸ διαφερόντως ἔχειν ἕκαστον τούτων ἐν αὐτοῖς καὶ αἱ τῶν σφυγμῶν ἀλλοιώσεις γίνονται. τοῦ μὲν οὖν ἦρος ἐν τοῖς μέσοις εὐκρατοτάτη κατάστασίς ἐστι τοῦ περιέχοντος ἡμᾶς ἀέρος, ὅθεν καὶ τὰ σώματα ὑγιεινά. τούτου γὰρ ἀεὶ χρὴ μεμνῆσθαι, μάλιστα ἐφ᾽ ὧν αὐτὸς ζῶν διάκειται, καὶ ταῖς δυνάμεσιν εὐρωστότατα, καὶ ταῖς θερμασίαις εὐκρατότατα, καὶ τοῖς ὀργάνοις ὄντα συμμετρότατα, ὡς ἂν μήθ᾽ ὑγρότητι περιττῇ τεγγόμενα, μήθ᾽ ὑπὸ ξηρότητος αὐχμοῦντα, μήθ᾽ οἷον πεφρικότα τε καὶ πεπηγότα τῷ κρύει, μήθ᾽ οἷον ἐκλελυμένα τε καὶ παρειμένα τῷ θάλπει. ταῦτ᾽ ἄρα καὶ οἱ σφυγμοὶ μέγιστοί τε καὶ σφοδρότατοι γίνονται τοῖς ἄριστα κατεσκευασμένοις δηλονότι σώμασιν. ὅτι γὰρ ἐπὶ τῶν τοιούτων αἱ κατὰ τὰς ἡλικίας καὶ ὥρας καὶ χώρας καὶ τὰ ἄλλα τὰ παραπλήσια τροπαὶ τῶν σφυγμῶν ἐγράφησαν τοῖς ἰατροῖς αὐτάρκως, ἐν ἄλλοις τε καὶ τῷ δευτέρῳ περὶ σφυγμῶν διαγνώσεως ἐπιδέδεικται. ἀλλὰ καὶ τοῖς οὕτως ἔχουσιν οἱ σφυγμοὶ μεγάλοι καὶ σφοδροὶ γενήσονται, διὰ τοῦ πρώτου δεδήλωται

Quae accidunt ex temporibus, in tres referuntur hasce causas, in usum, facultatem et instrumenta. Nam prout in iis haec singula variant, mutantur pulsus. Ac medio vere status aëris nos amplectentis temperatissimus est, itaque corpora etiam sunt salubria. Hoc enim semper memoria tenendum est, hoc tempore prae caeteris, a quibus vivens afficitur, facultatem robustissimam esse et calorem temperatissimum et etiam instrumenta in summa mediocritate esse, quod nec humiditate immodica madeant, nec siccitate squalleant, neque veluti rigeant gelu, ac congelascant, neque calore quasi remittantur languescantque. Unde et pulsus corporibus quidem optime comparatis maximi et vehementissimi fiunt. Nam in illis pulsuum pro aetatibus, temporibus, regionibus et id genus aliis mutationes prodidisse litteris medicos declaravi, ut alia loca ne citem, in secundo libro De pulsibus dignoscendis; itemque eos, qui ejus status sunt, magnos esse edituros et vehementes pulsus, in primo libro docuimus.

λόγου. οὗτοι γὰρ οἰκεῖοι δυνάμεως ἐῤῥωμένης καὶ χρείας συμμέτρου καὶ ὀργάνων κατὰ φύσιν ἐχόντων. ὡς εἴ γε τὰ τῆς χρείας ἦν ἀμετρότερα, οὐ μεγάλοι μόνον καὶ σφοδροὶ, ἀλλὰ καὶ ταχεῖς ἂν ἐγίνοντο. καὶ εἰ ἐπὶ πλέον ἄμετρα, ὡς μὴ πληροῦσθαι πρὸς τῆς ἐνεργείας αὐτὴν, εὐθὺς ἄν τις καὶ εἰς πυκνότητα μεταβολὴ προσεγίγνετο. ἀλλ᾽ ἐπεὶ τὰ τῆς χρείας ἔχει συμμέτρως, οὔτ᾽ εἰς τάχος οὔτ᾽ εἰς πυκνότητα γίνεταί τις τροπή. [210] πρόσκειται δὲ τῷ λόγῳ τὸ, ὡς ἐν ὥραις, δεόντως. οὐ γὰρ ἁπλῶς μέγιστοι καὶ σφοδρότατοι τηνικαῦτα γίνονται, πολλῷ γὰρ αὐτῶν ἐν ταῖς φύσεσιν ἕτεροι σφοδρότεροί τε καὶ μείζους εὑρίσκονται, ἀλλ᾽ ὡς ταῖς ἄλλαις ὥραις παραβαλλόμενοι οἱ σφυγμοὶ τοιοῦτοι γίνονται μεσοῦντος τοῦ ἦρος. θέρους μὲν γὰρ ἐπιτείνεται μὲν τὰ τῆς χρείας, ἐκλύεται δὲ τὰ τῆς δυνάμεως. ὥστε διὰ μὲν ταύτην ἀφαιροῦσί τι τῆς εἰρημένης σφοδρότητος, ὡσαύτως δὲ καὶ τοῦ μεγέθους, ἀλλ᾽ ἔλαττον. ἡ γὰρ τῆς χρείας ἔπειξις προστίθησί τι. διὰ τοῦτο δέ τι καὶ τῷ τάχει καὶ τῇ πυκνότητι πρόσεισιν ἀξιόλογον. χειμῶνος δ᾽ αὖ πάλιν τἀναντία ἢ τοῦ θέρους ἐστὶν, ἰσχυροτέρα μὲν ἡ δύναμις, πλὴν οὐκ εἰς τοσοῦτον εἰς ὅσον

Siquidem hi facultati validae peculiares ſunt et moderato uſui inſtrumentisque naturali lege conſtitutis. Nam ſi quid mediocritatem uſus excedat, non magni ſolum et vehementes, ſed et celeres fient. Si vero longius excedant, ut uſum jam actio non compleat, illico mutatio addetur in crebritatem. Quia vero uſus eſt moderatus, non tendunt, nec ad celeritatem nec ad crebritatem. At enim adjecimus orationi, ut in temporibus, recte ſane. Neque enim ſimpliciter maximi tum atque vehementiſſimi fiunt, quum multo aliis alii pulſus in naturis vehementiores atque majores reperiantur. Sed ſi pulſus cum aliis temporibus compares, tales medio vere evadunt. Nam aeſtate quidem crescit uſus, ſed languescit facultas. Quamobrem aliquatenus decrescit illa vehementia ſimul et magnitudo; ſed tamen haec minus; nam quia urget uſus, augetur nonnihil; idemque momentum celeritati et crebritati non lene adſert. Contra hieme eſt ac aeſtate validior facultas, non aeque tamen ac vere; ſed

ἦρος, ἐκλέλυται δὲ καὶ ἡ χρεία τῆς τῶν σφυγμῶν γενέσεως. ὅθεν ἀμυδροὶ μὲν μᾶλλον ἢ τοῦ ἦρος, σφοδροὶ δὲ μᾶλλον ἢ τοῦ θέρους οἱ ἐν τῷ χειμῶνι σφυγμοὶ, μέσοι πως ὄντες ἀμφοτέρων τῶν ὡρῶν, ὅτι καὶ ἡ δύναμις ἐν τῷ μέσῳ, ἱκανῶς μέντοι μικροὶ διὰ τὸ καὶ τὴν δύναμιν ἀπολείπεσθαί τι τῆς ἄκρας εὐρωστίας καὶ τὴν χρείαν ἀξιολόγως ἐκλελύσθαι. διὰ δὲ τὴν αὐτὴν ταύτην ἔκλυσιν καὶ βραδεῖς καὶ ἀραιοί. μεμνῆσθαι δὲ χρὴ πάλιν κἀνταῦθα τῶν ὑφ' Ἱπποκράτους εἰρημένων, ἃ δι' ἑτέρων ἐξηγησάμεθα. χρεία γὰρ αὐτῶν ἐστιν ἐπί τε τῶν κατὰ τὰς ἡλικίας καὶ τὰς ὥρας καὶ τὰς χώρας καὶ τὰς καταστάσεις καὶ πάντα τὰ τοιαῦτα μεταβολῶν, ἵνα μή τις ἐναντίον με λέγειν αὐτῷ νομίσῃ. οὐδὲ γὰρ ἐκεῖνος ἁπλῶς εἶπε, τὰ αὐξανόμενα πλεῖστον ἔχει τὸ θερμὸν, ἀλλὰ, τὸ ἔμφυτον, προσέθηκεν, ὡς ἂν ἕτερον εἰδὼς θερμὸν ἐπίκτητον, ᾧ πλεονεκτοῦσιν οἱ ἀκμάζοντες. εὔκρατον μὲν γὰρ τὸ ἔμφυτον θερμὸν, ἄκρατον δὲ καὶ οἷον πυρῶδες ἤδη τὸ ἐπίκτητον. οὕτω δὲ καὶ αἱ κοιλίαι, φησὶ, χειμῶνος καὶ ἦρος θερμόταται φύσει. οὐχ ἁπλῶς οὖν οὐδὲ αὗται θερμόταται,

usus remittitur generationis pulsuum. Quare languidiores pulsus hieme quam vere sunt et vehementiores quam aestate, atque veluti medium locum occupant inter utraque tempora, nempe quod et facultas teneat locum medium. Verum satis sunt parvi, quoniam quum facultas infra summum robur est, tum usus insigniter est remissus. Quae ipsa in causa remissio est cur simul tardi et rari sint. Hic rursus memoria tenendum est dictum, quod aliquando declaravi, Hippocratis; usus est enim ejus in mutationibus ex aetatibus, temporibus, regionibus, statibus omnibusque ejus generis, ne me quis cum illo existimet pugnare. Neque enim ille absolute dixit: *Quae augentur, plurimum habent calidi,* sed, *innati,* addidit, ut qui alterum sciret calidum acquisititium esse, quod plurimum juvenibus suppeditat. Nam temperatus est nativus calor; acquisititius autem intemperatus et quasi igneus est. Sic etiam, *Ventres,* inquit, *hieme et vere calidissimi natura sunt.* Imo ne hi quidem calidissimi

ἀλλὰ τῷ ἐμφύτῳ θερμῷ. ἐν δὲ τῷ θέρει τούτου μὲν ἥκιστα μετέχουσι, κρατεῖ δ' ἐν αὐταῖς τὸ ἐπίκτητόν τε καὶ αὐχμῶδες θερμὸν, ὃ συντήκει μᾶλλον ἢ τρέφει τὸ σῶμα, καὶ τὰς ἐνεργείας μὴ ὅτι κρείττους, ἀλλ' οὐδ' ὁμοίας ἐργάζεται ταῖς ἐπὶ τοῦ συμμέτρου γινομέναις. ταῦτ' οὖν μεμνημένοις τοῖς ἀναγινώσκουσιν οὔτ' ἐν τοῖς παροῦσι λόγοις οὔτ' ἐν τοῖς ἔπειτα δόξει τις εἶναι πρὸς Ἱπποκράτους διαφωνία. ἑξῆς δὲ περὶ τῶν χωρῶν τε καὶ καταστάσεων γέγραπται τοῖς εἰσαγομένοις. καὶ ἔστιν ὁ λόγος σαφὴς ἐκ τῶν ἤδη προειρημένων καὶ τὴν αἰτίαν ἔχων γνωριμωτάτην. ὥστε αὐτὴν μόνην παραγράψω τὴν ῥῆσιν. ἔστι δὲ ἥδε.

Κεφ. ζ'. *Παρὰ δὲ τὰς χώρας ὡσαύτως ταῖς ὥραις ἐν μὲν ταῖς ἄγαν θερμαῖς οἷον μέσου θέρους, ἐν δὲ ταῖς ἄγαν ψυχραῖς οἷον χειμῶνος, ἐν δὲ ταῖς εὐκράτοις ἦρος, ἀνάλογον δὲ καὶ ταῖς μεταξύ. καὶ τῶν ἄλλων δὲ καταστάσεων τοῦ περιέχοντος ἡμᾶς ἀέρος αἱ μὲν θερμαὶ ταῖς θερμαῖς ὥραις, αἱ δὲ ψυχραὶ ταῖς ψυχραῖς, αἱ δὲ μέσαι ταῖς μέσαις τοῦ ἦρος ἐοίκασιν.*

absolute, sed calore nativo. Aestate paucissimum hunc habent; abundant vero adventitio calore et squalido, qui colliquat potius quam nutriat corpus. Praeterea functiones tantum abest ut meliores reddat, ut illae ne aequent quidem illas, quae in moderato obeuntur. Haec si retinuerint lectores, nihil me nec in hac oratione nec in reliquis diffidere ab Hippocrate ullus arbitrabitur. Posthac de regionibus et statibus praescriptum est tironibus. Quae oratio ex superioribus clara est ac causam habet apertissimam. Itaque solum ipsum adscribam caput, quod hoc est

Cap. VII. *Pro regionibus perinde ut pro temporibus. In vehementer calidis sicut media aestate. In magnopere frigidis ut media hieme. In temperatis ita ut medio vere. Ad harum proportionem in iis, quae medium locum sunt sortitae. Porro aëris nos circumdantis alii status, qui calidi sunt, calidis temporibus, frigidi frigidis, medii medio veri respondent.*

Ed. Chart. VIII. [211.] Ed. Baf. III. (105. 106.)

Κεφ. η'. [211] Ἐν δὲ τῷ κύειν οἱ σφυγμοὶ μείζονες καὶ πυκνότεροι καὶ ὠκύτεροι γίνονται, τὰ δ' ἄλλα φυλάττουσιν.

Ἐπὶ τῶν κυουσῶν οὐδὲν παρήλλακται τῶν πρόσθεν ἢ τὰ τῆς χρείας. ἣ τις δ' ἂν ἥδε ᾖ, πάντως ἐπιτείνεταί τε καὶ προσαύξεται μηκέτι τῆς γυναικὸς ἑαυτῇ μόνον ἀναπνεῖν τε καὶ σφύζειν, ἀλλὰ καὶ τῷ κυουμένῳ δεομένης. ὥστ' εὐλόγως ὠκύτεροι μὲν καὶ μείζονες ἔσονται καὶ πυκνότεροι, οὐ μὴν σφοδρότεροί γε, ἢ ἀμυδρότεροι, ἢ σκληρότεροι, ἢ μαλακώτεροι, κατ' αὐτόν γε τὸν τοῦ κύειν λόγον. οὐδὲ γὰρ ὅσον ἐπὶ τούτῳ τὰ τῆς δυνάμεως τῶν ὀργάνων ταῖς κυούσαις ὑπαλλάττεται.

Κεφ. θ'. Εἶεν δ' ἄν, εἴπέρ τι ἄλλο, καὶ ὕπνοι κατὰ φύσιν. τρέπουσι δὲ καὶ οὗτοι τοὺς σφυγμοὺς, ἀρχόμενοι μὲν μικροτέρους καὶ ἀμυδροτέρους καὶ βραδυτέρους καὶ ἀραιοτέρους ἐργαζόμενοι, προϊόντες δὲ βραδύτητα ἐπιτείνουσι καὶ ἀραιότητα καὶ μάλιστα μετὰ τροφήν. μείζους δὲ γίνονται (106) καὶ σφοδρότεροι, χρονίσαντες δὲ πάλιν τρέπονται εἰς ἀμυδρότητα, φυλάττουσι δὲ βραδύτητα καὶ ἀραιότητα.

Cap. VIII. *Pragnantium majores, crebriores celerioresque pulfus funt. Praeterea nihil mutatur.*

In praegnantibus praeter ufum mutatum priorum nihil eft. Quicunque hic fit, omnino increscit et augetur; quod mulier non fibi jam foli refpiret et pulfet, fed foetui etiam cogatur. Rationis ergo eft ut celeriores et majores fint crebrioresque. Nihilo tamen vehementiores funt, vel languidiores, vel duriores, vel molliores, pro ipfa fane conceptus ratione. Neque enim, ut ex eo, ulla facultatis, vel inftrumenti, praegnantium facta mutatio eft.

Cap. IX. *Jam fomni etiam fint, fi quid aliud, fecundum naturam, qui et ipfi variant pulfus, dum incipiunt, minores, languidiores, tardiores rarioresque reddunt. Dum procedunt, tarditatem pedetentim augent et raritatem, praefertim a cibo; at majores funt et vehementiores. Tandem cum diuturniores fuerint ad remiffionem et parvitatem redeunt, tarditatem et raritatem retinent.*

Ed. Chart. VIII. [211.] Ed. Baſ. III. (106.)

Τίς μὲν ἡ αἰτία δι᾽ ἣν ἐν τοῖς ὕπνοις αἱ πέψεις ἀμείνους οὐ τῶν κατὰ γαστέρα μόνον, ἀλλὰ καὶ τῶν κατὰ τὰς φλέβας τε καὶ ἀρτηρίας καὶ πᾶσαν τοῦ ζώου τὴν ἕξιν, οὐ τοῦ παρόντος καιροῦ διελθεῖν. οὐδὲ γὰρ ὡμολόγηται πᾶσι τοῖς ἰατροῖς περὶ τῆς αἰτίας, ἥ τις δ᾽ ἂν ᾖ. τοῦτο δ᾽ οὖν ἤδη καθόλου περὶ αὐτῆς ἀποφαινόμεθα, ὡς ἡ δύναμις ἡ τὰς πέψεις ἐργαζομένη εἴσω μᾶλλον ἑαυτὴν καὶ πρὸς τὸ βάθος ἐπιστρέφει κατὰ τοὺς ὕπνους. διά γ᾽ οὖν τὴν ἔσω κίνησιν καὶ ὅτι περὶ τὴν ὕλην ἐνεργεῖ, τὸ μὲν πρῶτον οἷον ἀῤῥωστοτέρα καὶ βεβαρημένη γίνεται, μικρὸν δὲ ὕστερον ἀπολαύουσα τῆς τροφῆς, ἣν κατεργάζεται, ῥώννυταί τε αὕτη καὶ τὸ θερμὸν αὐξάνει τὸ ἐν τῷ ζώῳ, ὥσπέρ γε καὶ οἱ τὰ ψυχρὰ σιτία προσενεγκάμενοι παραχρῆμα μὲν ψυχροτέρων ἑαυτῶν αἰσθάνονται, καὶ πολλοί γε αὐτῶν καὶ φρίττουσι καὶ ῥιγοῦσι φανερῶς, μικρὸν δὲ ὕστερον θερμότεροι γίνονται. εἰ μὲν δὴ τὸ ἔμφυτον θερμόν ἐστι τὸ πέττον τὰς τροφὰς, καὶ τούτου κρατοῦσαι κινήσεις, ὡς Ἱπποκράτης ὑπελάμβανεν, αἱ μὲν ἔξω τὴν ἐγρήγορσιν, αἱ δὲ ἔσω τὸν ὕπνον ἐργάζονται, ῥᾷστ᾽ ἂν ἡμῖν ἐφυσιολογεῖτο τὰ κατὰ τὰς ἐν

Quae ſit cauſa, cur concoctiones per ſomnum meliores ſint non in ventriculo modo, verum etiam in venis, in arteriis, in omni denique animalis habitu, non eſt hujus loci explicare. Neque enim de cauſa, quaenam illa ſit, convenit inter omnes medicos; equidem hoc in praeſentiarum de illa breviter dico. Facultas concoctrix ſe intro per ſomnum recipit magis et in altum; ergo quia intro movetur et materiam conficit, primo veluti imbecillior redditur ac oneratur, paulo poſt quum fruitur alimento, quod conficit, roboratur ipſa ac calor creſcit animantis, ut qui frigidiores cibos comederunt, illico frigidiores ſe animadvertunt, multique adeo illorum manifeſte et horrent et rigent, haud multo poſt fiunt calidiores. Proinde ſi nativus calor eſt, qui concoquit cibos, ac qui huic praeſunt motus, ut ratio fuit Hippocratis, qui foras tendunt, vigilias: qui intro, ſomnos conciliant; facillime rationem ac naturam commentemur

τοῖς ὕπνοις τῶν σφυγμῶν ἀλλοιώσεις. εἰ δ' ἄλλη τις δύναμίς ἐστιν ἡ ταύτης δημιουργὸς, ἀλλά τῷ γε δεδιδάχθαι συμπάσχειν ἀλλήλοις ἁπάσας τὰς διοικούσας τὸ ζῶον δυνάμεις οὐδὲν θαυμαστὸν οὐδὲ τὴν φυσικὴν ταύτην δύναμιν συνδιατίθεσθαί πως ἐκείνῃ. ἀλλ' εἰ τοῦθ' ἅπαξ συγχωρηθείη, τὸ ῥώννυσθαι καὶ αὖθις χείρω γίνεσθαι τὴν σφυγμοὺς ἐργαζομένην δύναμιν, εὔπορος ὁ τῆς αἰτίας λογισμός. ἐν μὲν γὰρ ταῖς ἀρχαῖς τῶν ὕπνων βαρυνομένης τε καὶ χείρονος γινομένης αὐτῆς μικροτέρους καὶ ἀμυδροτέρους εὔλογον γίνεσθαι τοὺς σφυγμοὺς, μετ' ὀλίγον μέντοι ῥωσθείσης τἀναντία μείζονάς τε καὶ σφοδροτέρους. τί δήποτ' οὖν καὶ βραδύτεροι καὶ ἀραιότεροι γίνονται; Ἐρασίστρατος μέν φησι διὰ τὴν ἠρεμίαν τῶν κατὰ προαίρεσιν κινήσεων, ἣν καὶ τοῦτο πέττειν καλῶς, οὐκ αὐτοὺς τοὺς ὕπνους αἰτιᾶται. Ἱπποκράτης δὲ καὶ ὅσοι τὸ θερμὸν ἔσω συννεύειν ἐν τοῖς ὕπνοις φασὶ, σχεδὸν δ' εἰσὶν ἁπάντων ἰατρῶν τε καὶ φιλοσόφων οἱ δοκιμώτατοι, [212] ταῖς τούτου μειώσεσί τε καὶ αὐξήσεσι καὶ διαφερούσαις κινήσεσιν ἀνοίσουσι τὰς αἰτίας. ἔλαττον μὲν γὰρ ἑαυτοῦ

pulfuum mutationis, quae ex fomno proficifcitur. Quod fi qua eft alia hujus effectrix facultas, certe quia confenfum effe traditum eft mutuum omnium facultatum, quae animali moderantur; fed mirum eft, fi quid haec facultas naturalis confentiat cum illa. Sed hoc fi femel admiffum fit, roborari et debilitari viciffim facultatem, quae pulfum creat, prompte expedias caufam. Nam quia oneratur illa initio fomni atque debilitatur, minores et languidiores pulfus oportet exiftere, at mox ea roborata, e diverfo majores vehementioresque. At enim quid fimul tardiores et rariores fiunt? Erafiftratus quidem caufam confert in motuum voluntariorum quietem, quae idcirco concoquat probe; non fomnum in caufa ponit. Hippocrates ac caeteri, qui vergere *calorem intro ferunt per fomnum*, qui quidem medicorum ac philofophorum funt plane omnium probatiffimi, in hujus incrementa et decrementa motusque diverfos caufas conferunt. Imminui enim dicunt ac veluti fuffocari,

Ed. Chart. VIII. [212.] Ed. Baf. III. (106.)

γίνεσθαι καὶ οἷον καταπνίγεσθαι φήσουσιν ἐμπεσὸν ἀθρόως εἰς τὸ πλῆθος τῆς ἐντὸς ὕλης, ὥσπέρ γε καὶ τὸ πῦρ, ὅταν εἴς τι πλῆθος ξύλων σεσωρευμένων ἐμπέσῃ. ὥσπερ δὲ αὐτὸ τοῦτο τὸ πῦρ, ὅταν ἐγκρατὲς τῆς ὕλης γένηται, ῥώννυταί τε καὶ εἰς μέγεθος αἴρεται, οὕτω καὶ τὸ ἔμφυτον θερμὸν, ὅταν ἀπολαύσῃ τῆς τροφῆς, κατεργασάμενον τοὺς χυμοὺς οἷς ἐνέπεσεν ἑαυτοῦ τε πλέον ἤδη καὶ ῥωμαλεώτερον γίνεται. ἀλλ' οὐδέπω βραδύτητος, οὐδ' ἀραιότητος αἰτίας εἰρήκαμεν. ἄλλως δ' ἔχει τὸ ἀληθὲς, ἐμοὶ γοῦν κριτῇ. ἐπειδὴ τοῖς κοιμωμένοις ἡ μὲν ἔξω κίνησις τοῦ θερμοῦ μεμείωται, κρατεῖ δ' ἡ ἔσω, τὴν μὲν συστολὴν εὔλογον γίνεσθαι θάττονα, τὴν δὲ διαστολὴν βραδυτέραν. ἀτὰρ οὖν καὶ φαίνεται γινόμενον ὧδε, καὶ ὅσοι μὴ παρακολουθοῦσι τῇ συστολῇ τῶν ἀρτηριῶν, ἀλλ' ἐκ μόνης τῆς διαστολῆς τὰς διαγνώσεις ποιοῦνται, βραδὺν ἁπλῶς ἀποφαίνονται τῶν κοιμωμένων τὸν σφυγμόν. ὁ δ' ἐστὶν οὐ βραδὺς ἁπλῶς, ἀλλὰ κατὰ θάτερον μέρος τῶν κινήσεων βραδὺς, ὅλος δὲ οὐδὲ μᾶλλον βραδὺς ἢ ταχύς. οὗ γὰρ ἡ μὲν διαστολὴ βραδεῖα, ταχεῖα δ' ἡ συστολὴ, τούτων οὐδέτερον ἁπλῶς χρὴ λαλεῖν, οὔτε ταχὺν οὔτε βραδὺν,

ubi in acervum fubito incurrat ingeftae materiae; quomodo ignem quoque, quum in lignorum ingentem ftruem incidat. Atque ut idem ignis, ubi fuperior evafit materia, roboratur ac in magnitudinem elevatur: fic innatus calor quum fruatur alimento, confectis jam fuccis, in quos invaferat, copiofior quam ante fit et validior. At caufas adhuc tarditatis et raritatis non expedivimus, imo vero aliter me judice res habet. Quando dormientibus motus caloris, qui foras tendit, imminutus eft, viget autem qui intro, contractionem oportet celeriorem fieri, diftentionem vero tardiorem. Ac fic quidem manifefto fit. Qui contractionem non affequuntur arteriarum, fed discernunt ex fola diftentione pulfus, hi tardum abfolute volunt dormientium pulfum effe. Ille autem abfolute non eft tardus, fed altera ex parte tardus, totus non tardus potius quam celer. Nam cujus tarda distentio et celeris eft contractio, is neutro horum nominum appellandus eft, nec celer nec tardus, fed funt diftiguendae

ἀλλὰ διοριζόμενον τοῖς μορίοις, ὥσπερ Ἱπποκράτης ἐπὶ τῆς ἀναπνοῆς ἐποίει. καὶ μὲν δὴ καὶ μικρὸς κατὰ θάτερόν ἐστι τῶν ἑαυτοῦ μορίων τοῖς κοιμωμένοις ὁ σφυγμός. ἐπιπλεῖστον μὲν γὰρ συστέλλεται, διαστέλλεται δ' οὐκ ἐπὶ πλεῖστον, ἀλλ' ὅσον ἀνάγκη τὴν ἐναντίαν ἀποδοῦναι κίνησιν τῇ συστολῇ. κινεῖται μὲν οὖν κατ' ἴσου διαστήματος ἡ ἀρτηρία διὰ παντὸς ἔν τε τῷ συστέλλεσθαι καὶ τῷ διαστέλλεσθαι, πλὴν εἰ μεταβάλλοι ποτὲ ἐξαίφνης τὸν ῥυθμόν· ἀλλὰ τοῖς ὅροις ὅθεν τε ἄρχεται καὶ οἷς τελευτᾷ διαλλάττει. πλεονεκτούσης μὲν γὰρ τῆς ἔσω κινήσεως, εἰς ἐσχάτην δ' ἐρχομένης σύμπτωσιν, ἐντεῦθέν τε πάλιν ἀρχομένης τῆς ἔξω, τὴν διαστολὴν οὐκέτ' ἐπιπλεῖστον ποιεῖται, κρατούσης δ' αὖ πάλιν τῆς ἐκτὸς κινήσεως, ἀσθενοῦς δ' οὔσης τῆς ἐναντίας, οὐκ ἔτι μὲν ἀπὸ τῆς ἐσχάτης ἄρχεται συμπτώσεως ἐν τῷ διαστέλλεσθαι, τελευτᾷ δ' εἰς ἔσχατον μέγεθος. ἐντεῦθεν δὲ πάλιν ὑπαρξαμένης τῆς ἔσω κινήσεως, τὴν τελευτὴν τῆς συστολῆς, ὅθενπερ ἤρξατο διαστέλλεσθαι, ποιεῖται. καὶ οὕτως οἷον δίαυλόν τινα τῶν κινήσεων ἀεὶ ποιουμένη ποτὲ μὲν ἔσω μᾶλλον,

ejus partes. Quod in refpiratione fecit Hippocrates. Jam vero etiam altera fui parte parvus eft dormientium pulfus, fiquidem plurimum contrahitur, diftenditur autem non plurimum, fed quantum contrarius motus necefle habet reddere contractioni. Porro arteria in pari femper intervallo movetur in contractione ac diftentione, nifi quando rhythmum fubito inmutet; terminis vero unde proficifcitur et quibus finitur variat. Nam quum motus, qui intro pergit, praepolleat atque prorfus confideat, rurfusque inde incipiat, qui foras tendit motus, haudquaquam hic diftentionem plurimum producit. Contra quum praepolleat motus qui foras concitatur, contrario exiftente debili, minime tunc ab extremo orditur collapfu in diftentione, ac fummam tandem magnitudinem affequitur. Quumque inde coeperit denuo qui intro fertur motus, finem contractionis, unde incepit diftendi, facit. Ita quum facit femper veluti motuum quendam orbem, modo intro magis, modo foras fertur.

ποτὲ δὲ ἔξω φέρεται. τοῖς οὖν μόνοις αἰσθανομένοις τῆς διαστολῆς ἀναγκαῖον ἐν τοῖς ὕπνοις τὸν σφυγμὸν φαίνεσθαι καὶ μικρὸν καὶ βραδύν. ἀναγκαῖον δὲ τοῖς αὐτοῖς τούτοις, ὡς ἂν καὶ ἀγυμναστοτέροις οὖσι περὶ τὰς διαγνώσεις, ὀλίγον μέν τι φαίνεσθαι τῆς κατὰ τὴν διαστολὴν κινήσεως, λανθάνειν δὲ τὸ πλεῖστον. ἐπὶ γὰρ τῆς οὕτως κινουμένης ἀρτηρίας οὐδ᾽ οἱ σφόδρα γεγυμνασμένοι τοῖς ἔσω πέρασι τῶν κινήσεων ἀκολουθοῦσιν, ἀλλὰ καὶ τῆς συστολῆς καὶ αὐτοὺς ἡ τελευτὴ λανθάνει καὶ τῆς διαστολῆς ἡ ἀρχή. ὥστε τούς γε ἀγυμνάστους ἀμήχανον ὅσον εἰκὸς ἐκφεύγειν τῆς κινήσεως, τὴν μὲν συστολὴν σχεδὸν ἅπασαν, μέρος δ᾽ οὐκ ἐλάχιστον οὐδὲ τῆς διαστολῆς. ὅσον δ᾽ ἂν ἐκφύγῃ τῆς κινήσεως, ἀναίσθητον τοῖς ἁπτομένοις γενόμενον, τῷ χρόνῳ τῆς ἡσυχίας προσγενόμενον, ἀραιὸν ποιεῖ φαίνεσθαι τὸν σφυγμὸν, ἐπεὶ, πρός γε τὴν ἀλήθειαν αὐτὴν, οὐδαμῶς ἀραιότερος ὁ τῶν κοιμωμένων ἐστὶ σφυγμὸς, ὥσπερ οὐδ᾽ ἡ ἀναπνοή. ἀλλὰ σαφῶς μὲν κἀπὶ ταύτης ἡ ἐκπνοὴ πλεονεκτεῖ, μετ᾽ ἐκφυσήσεως γινομένη, τῆς δ᾽ ἡσυχίας ὁ χρόνος οὐδὲν προσαυξάνεται. εἴρηταί μοι σχεδὸν ἤδη τὸ σύμπαν ὕπνων πέρι, σαφηνείας δ᾽ ἕνεκα προσκείσεται τὸ ὑπόλοιπον. ὁ σφυγμὸς ὁ τῶν κοιμωμένων

Quamobrem qui duntaxat distentionem sentiunt, his pulsus necesse est in somnis parvus et tardus videatur. Iisdem necesse est ut imperitioribus in dignoscendo pusillam partem conspici motus distentionis et fugere maximam. Quippe in eo motu arteriarum internos motuum terminos ne exercitatissimi quidem attendunt, sed contractionis hos finis fugit et principium distentionis. Quo magis imperitos immensam partem motus praeterire par est, totam prope contractionem et partem non mediocrem distentionis. Quae autem pars motus lateat, quam non sentiant, qui tangunt, ea quum adjungatur ad tempus quietum, speciem praebet pulsus rari; tametsi re vera dormientium pulsus nihilo rarior sit; ut nec respiratio; sed aperte etiam in hac expiratio, quae cum efflatione fiat, major est; quietis tempori nullum accedit incrementum. Explicavi jam summam fere de somnis; tamen quo res clarior sit, addam reliquum. Pulsus dormientium

Ed. Chart. VIII. [212. 213.] Ed. Baf. III. (106. 107.)

κατὰ μὲν τὴν ἐκτὸς ἠρεμίαν ὅμοιός ἐστι τοῖς τῶν ἐγρηγορότων, κατὰ δὲ τὴν ἐντὸς ἱκανὸν φαίνεται διαλλάττειν, οὐκέτ' ἀκολουθούσης ἡμῶν τῆς [213] αἰσθήσεως τοῖς ἔσω πέρασι τῶν κινήσεων. ἀλλὰ καὶ μικρότερός ἐστι καὶ ἀμυδρότερος ἢ ὁ τῶν ἐγρηγορότων, καὶ μάλιστα κατ' ἀρχὰς εὐθὺς, ὕστερον γὰρ αὐτῷ προσέρχεταί τι μεγέθους τε καὶ σφοδρότητος. ἀλλὰ καὶ βραδὺς μὲν ἐν ταῖς διαστολαῖς, ταχὺς δὲ ἐν ταῖς συστολαῖς ἐστι, καὶ ὅλως εἴσω μᾶλλον κινεῖται. ὥστε καὶ σφοδρὸν αὐτὸν ἐν ταῖς συστολαῖς εἰπὼν οὐκ ἂν ἁμάρτοις. καὶ γὰρ οὖν καὶ τὸ περίττωμα τῆς τῶν χυμῶν ἐργασίας τὸ οἷον αἰθαλῶδες ἐκκρίνειν ἐφίεται σφοδρότερον ἡ ἀρτηρία κατὰ τοὺς ὕπνους, ὡς ἂν πλέον τότε γινόμενον, ὥστε καὶ διὰ τοῦτο τὰ τῆς ἔσω κινήσεως πλεονεκτεῖ. ὅταν μέντοι καταπαύσηται μὲν ἡ ἐργασία τῶν χυμῶν, μένῃ δ' ὑπνώττων ὁ ἄνθρωπος, ἄμετρος ἂν δήπουθεν ὁ τοιοῦ(107)τος ὕπνος εἴη, μικρότεραι δ' αἱ κινήσεις ἑκάτεραι καὶ βραδεῖαι καὶ ἄῤῥωστοι καὶ ἀραιαὶ γίνονται κατὰ λόγον. ὕπνος γὰρ, ὡς καὶ τῶν ποιητῶν ἔστιν ἀκοῦσαι λεγόντων, ἀδελφός ἐστι θανάτου, καὶ ἓν αὐτῷ κοινὸν ὑπάρχει μόνον πρὸς τοὺς ζῶντας, ἡ περὶ τὴν τροφὴν

in externa quidem quiete fimiles funt vigilantium pulfibus, in interna vero permultum videntur diftare, quia terminos internos motuum non affequitur nofter fenfus: fed tum minor eft tum languidior quam pulfus vigilantium, praefertim a principio ftatim. Nam poftea magnitudo ei quaedam et vehementia adjungitur et jam tardus in diftentionibus eft, in contractionibus velox, et in summa intro magis movetur. Quare fi vehementem in contractionibus eum dicas, nihil erres. Etenim excrementum fuccorum confectorum veluti fuliginofum excernere arteria per fomnos, quod copiofius tum collectum fit, vehementius avet; unde motus, qui intro fertur, vel hoc nomine praepollet. At vero ubi abfolute fucci confecti funt fi in fomno homo permaneat, immoderatus erit utique talis fomnus. Motus autem merito fit uterque minor, tardus, imbecillus, rarus. Somnus enim (quod vel ex poëtis audias) mortis eft frater. Una illi haec convenit cum viventibus, confectio alimenti. Reliqua mortuis funt fimilia,

ἐργασία, τὰ δ' ἄλλα πάντα τοῖς ἀποθνήσκουσιν ὅμοια, μὴ βλέπειν, μὴ ἀκούειν, μὴ φρονεῖν, μὴ νοεῖν, μὴ λαλεῖν, ἀναίσθητον, ἀκίνητον, ἀλόγιστον ἐῤῥίφθαι. ἂν τοῦτο τοίνυν, ὃ κοινὸν ἔτι μόνον ἔχει πρὸς τοὺς ζῶντας, ἀπόλλυται, τί ἄλλο ἢ ὀρθῶς ἐπὶ θάνατον ὁδὸς ἂν λέγοιτο; καὶ γὰρ οὖν καὶ ὅτι πρώτη μέν ἐστι καὶ κατὰ φύσιν ἡ ἔξω τε καὶ ἀφ' ἑαυτοῦ κίνησις τῷ θερμῷ, δευτέρα δ' ἡ εἴσω τε καὶ εἰς ἑαυτὸ, διὰ τὴν τροφὴν γινομένη, πολλάκις ἤδη φθάνομεν εἰρηκέναι. ὅταν οὖν μήτε περὶ τὴν τροφὴν ἔτι πραγματεύηται μηδὲν μήτε τῆς ἔξω οἰκείας ἀναμιμνήσκηται κινήσεως, ἀλλ' ἀργὸν ἑκατέρωθεν ᾖ, θανάτῳ δηλονότι πελάσει. καὶ λύεται μὲν ὁ τόνος αὐτοῦ καὶ διὰ τοῦτο ἀμυδρὸς ὁ σφυγμὸς γίνεται, καταλύεται δ' ἡ κίνησις καὶ διὰ τοῦτο μικρὸς καὶ βραδὺς καὶ ἀραιός. κἂν ἐπὶ πλέον γε προέλθῃ μικρότητός τε καὶ βραδύτητος καὶ ἀραιότητος, ἐγγὺς ἂν ἥκοι τοῦ μηδόλως κινεῖσθαι. τοῦτο δ' ἦν ὁ θάνατος. οὕτω μὲν ἔχει πάντα τὰ κατὰ τοὺς ὕπνους. εἰ δ' Ἀρχιγένης μὲν πρὸς τοῖς εἰρημένοις καὶ πληρεστάτους φησὶ φαίνεσθαι τοὺς σφυγμοὺς, Ἀπολλωνίδης δὲ

non videre, non audire, nihil intelligere, vel cogitare, vel loqui, vel fentire, ratione carere, proftratum effe. Et vero quid aliud, fi illud unum quod commune adhuc cum viventibus habet, fit ablatum, nisi recte via ad mortem dicatur? Jam etiam primum effe et nativum caloris motum, quum foras et extra feipfum movetur, fecundum, quum intro et in feipfum, qui propter nutrimentum comparatus eft, id jam pridem multis locis diximus. Qui ubi non amplius in nutrimento detineatur, neque proprium fuum motum, quo fertur foras, repetat, fed otiofus fit utrinque, habet tum certe imaginem mortis exolviturque ejus contentio, unde oritur languidus pulfus; diffolvitur porro motus, quam ob rem parvus et tardus et etiam rarus fit. Quod fi increscat etiam atque etiam parvitas, tarditas raritasque, propemodum nihil movebitur, at haec mors erat. Habes omnia de fomnis. Quanquam praeterea Archigenes pleniffimos dicat pulfus in fomnis videri, Apollonides maxime vacuos, mihi

κινωτάτους, οὔ μοι δοκεῖ μηκύνειν ἔτι δεῖν ἡμᾶς περί γε τῶν τοιούτων, ἱκανῶς ἀποδεδειχότας ἐν ταῖς ἔμπροσθεν πραγματείαις ὡς μάτην τοῦτο τὸ γένος τῶν σφυγμῶν οἱ μεθ' Ἡρόφιλον ἐπεισήγαγον, ὥσπερ καὶ ἄλλα πολλά. καὶ θαυμαστὸν οὐδὲν ἐν πράγματι μηδόλως διαγινωσκομένῳ τἀναντία λέγειν Ἀρχιγένην τε καὶ Ἀπολλωνίδην, οὐ γὰρ αἰσθήσεως κοινῆς τὸ πάθος, ἀλλὰ φαντασμάτων ἰδίων ἑκάτερος ἔγραψεν.

Κεφ. ι. Τῶν δ' ἐξ ὕπνου μεταπεπτωκότων εἰς ἐγρήγορσιν ἐν μὲν τῷ παραχρῆμα μεγάλοι καὶ σφοδροὶ καὶ ταχεῖς καὶ πυκνοὶ καί τινα κλόνον ἔχοντες, μετ' ὀλίγον δ' εἰς συμμετρίαν ἔρχονται.

Οὐχ ὡσαύτως εἰς ὕπνον ἐξ ἐγρηγόρσεως κἀξ ὕπνου πάλιν εἰς ἐγρήγορσιν μεταπίπτομεν, ἀλλὰ τὸ μὲν κατὰ βραχὺ πάντως, τὸ δ' ἀθρόως ὡς τὸ πολὺ γίνεται. καὶ γὰρ ἐνύπνια ταραχώδη καὶ φωνήσας τις καὶ ψοφήσας καὶ ἀψάμενος τοῦ κοιμωμένου ταχεῖάν τε κἀξαίφνης εἰργάσατο τὴν μετάπτωσιν. τοιγάρτοι καὶ οἱ προγεγραμμένοι σφυγμοὶ τοῖς μὲν οὕτω μεταπίπτουσιν ἐναργέστατα φαίνονται,

videtur de his non producere orationem, quum in fuperioribus lucubrationibus falfo hoc probaverimus genus pulfuum inductum ab Herophili fucceffloribus effe, ficut multa alia. Neque quicquam habet admirationis, fi in re, quae plane discerni nequit, inter fe Archigenes et Apollonides diffideant. Neque enim communis fenfus affectum, fed fuas uterque opiniones fcripfit.

Cap. X. *Qui expergifcuntur, e veftigio pulfus magnos, vehementes, celeres, crebros et cum quadam vibratione habent: qui mox mediocritatem affequuntur.*

Non perinde in fomnum incidimus vigiles, ac ex fomno evigilamur, quod hoc fere fubito, illud omnino pedetentim fiat. Etenim turbulenta infomnia, vel fi quis vociferetur, perftrepat, tangat dormientem, celerem et fubitaneam concitat mutationem. Quocirca pulfus illos, quos commemoravimus, qui in eum modum immutantur, cla-

οὐ μὴν οὐδ᾽ ἐπὶ τῶν ἄλλων, ἐφ᾽ ὅσων αὐτῇ πρὸς τοὐκτὸς κινήσει τῆς ἐμφύτου θερμασίας ἡ ἐγρήγορσις ἐγένετο, λανθάνουσι τοὺς γεγυμνασμένους. [214] ὁ μὲν γὰρ ὕπνος γίνεται τῆς ἐμφύτου θερμασίας ἤτοι διὰ κάματόν τινα καὶ ξηρότητα πλέονα πρὸς τὴν τροφὴν ἐπιστραφείσης ἢ δι᾽ ἀμετρίαν ὑγρότητος ἀδυνατούσης ἐκτὸς ἀποτείνεσθαι. ἔστι δ᾽ ὁ μὲν πρότερος ὑγιεινός τε καὶ κατὰ φύσιν, ὁ δὲ δεύτερος ῥηθεὶς οἷος ὁ ἐν κώμασί τε καὶ ληθάργοις, ᾧ πάλιν ἀντίκειται ἡ ἐν φρενίτισί τε καὶ ταῖς παρὰ φύσιν ἀγρυπνίαις ἁπάσαις ἐγρήγορσις, ὑπερξηρανθείσης τε τῆς ἐμφύτου θερμασίας τηνικαῦτα καὶ οἷον ἐκπυρωθείσης καὶ διὰ τοῦτο καὶ ἐκτὸς ἀμέτρως κινουμένης. ἀλλὰ τὰς μὲν παρὰ φύσιν διαθέσεις, ἃς οὐδ᾽ ἐγρήγορσιν, οὐδ᾽ ὕπνον, ἀλλ᾽ ἀγρυπνίαν καὶ κῶμα κάλλιον ὀνομάζειν ἐστὶν, ἐατέον ἔν γε τῷ παρόντι. τῶν δ᾽ ὕπνων τῶν κατὰ φύσιν ὥσπερ οὖν καὶ τῶν ἐγρηγόρσεων ἡ γένεσις οἵα πρόσθεν εἴρηται, δεομένου μὲν ἅμα καὶ ἀπορροῦντος ὑγρότητος δαψιλοῦς τοῦ κατὰ φύσιν ἐν τοῖς ζώοις θερμοῦ καὶ διὰ τοῦτο συνιόντος εἰς τὰ σπλάγχνα καὶ τὴν γαστέρα τῶν ὕπνων γινομένων, αὐτάρκως δ᾽ ἀπολαύσαντος

rissime percipiunt. Nec tamen in aliis, qui, motu innati caloris foras progrediente, excitati sunt, fugiunt exercitatos. Nam somnus incidit, quum nativus calor aut ex fatigatione et nimia siccitate ad alimentum se convertat, aut ob immodicam humiditatem foras nequeat progredi. Quorum est salubris primus et naturalis, alter quem memoravimus veluti somnus, qui est in comatibus et lethargis. Cui opposita est phrenitidum et vigiliarum praeter naturam vigilantia; ubi supra modum siccatus nativus calor est et quasi ignitus, atque idcirco foras quoque movetur immodice. Sed affectus praeter naturam, quos nec vigilantiam nec somnum, sed vigilias et comata potius voces, relinquam in praesenti. At somni naturales simulque vigilantiae ita, quomodo ante diximus, gignuntur. Nam quum indigeat, simulque desideret naturalis animalium calor copiosam humiditatem, ideoque in viscera conveniat et ventrem, fit somnus; qui simul

ταύτης, ὡς ἤδη τὴν κατὰ φύσιν ἔχειν ποιότητα, τῆς ἐγρηγόρσεως ἀποτελουμένης· ἐν ᾧ δὴ καιρῷ τὰς μεταπτώσεις γινομένας ἀναγκαῖόν ἐστιν ἔχειν τι βίαιον. ἐν γὰρ τῇ κατεργασίᾳ τῆς τροφῆς ὑγρότητος ἀτμώδους πολλῆς ὑποτρεφομένης κατά τε τὸ δέρμα αὐτὸ καὶ τοὺς πόρους καὶ πάντα τὰ μεταξὺ σώματα μέχρι τῆς ἐκτὸς ἐπιφανείας, οὐκέτ' εὐπετὴς ὁμοίως ἡ ἐπὶ τὰ ἐκτὸς κίνησίς ἐστι τῷ θερμῷ. δεῖται τοίνυν, ἵνα ταύτην ἀποσείσηταί τε καὶ διώσηται καὶ τοὺς πόρους ἐκκαθάρῃ καὶ πάντῃ πόριμον ἑαυτῷ τὸ σῶμα παράσχῃ, σφοδρῶν καὶ βιαίων τῶν πρώτων κινήσεων. ὅταν δὲ εὔπνουν ἤδη τοῦτο καὶ καθαρὸν ἔχῃ, τῆς κατὰ φύσιν ἀναμιμνήσκεται συμμετρίας. διὰ ταῦτα τοίνυν ἐν μὲν τῷ παραχρῆμα τοῖς ἐπεγερθεῖσιν ἐκ τῶν ὕπνων οἱ σφυγμοὶ μεγάλοι καὶ σφοδροὶ καὶ ταχεῖς γίνονται καὶ προσέτι βραχύ τι κλόνου προσλαβόντες διὰ τὸ βίαιον τῆς κινήσεως, ὀλίγῳ δ' ὕστερον εἰς τὴν κατὰ φύσιν ἐπανέρχονται συμμετρίαν. ἑξῆς δὲ τούτων περὶ τῶν ἐπικτήτων σχέσεων τοῦ σώματος γέγραπται τοῖς εἰσαγομένοις, σχέσεις μὲν αὐτὰς ὀνομασάντων ἡμῶν, ὥσπερ καὶ Ἱπποκράτης ἐν τῷ περὶ τῶν ἄρθρων εἰπὼν, διαφέρει μέντοι

atque ea satis fruitus est, ut naturalem jam qualitatem recuperaverit, expergiscuntur; quo quidem tempore illae conversiones nullo modo citra vim aliquam fiant. Nam in alimento concoquendo quia succrescit humiditas vaporosa large quum in ipsa cute, tum in poris, corporibusque ad externam superficiem usque interpositis omnibus, non perinde jam calori proclivis est ad externa motus. Quare ut hanc discutiat removeatque et meatus repurget et etiam corpus undequaque sibi penetrabile reddat, postulat primos vehementes atque violentos motus. Quod ubi perspirabile purumque reddidit, mediocritatis naturalis recordatur. Hinc pulsus illico experrectis ex somno magni et vehementes et celeres eduntur. Praeterea ob motus vim nonnihil vibrantur. Paulo post ad nativam mediocritatem revertuntur. Deinceps tironibus scripsimus de corporis adventitiis habitudinibus, quas *σχέσεις* nos Hippocratem secuti appellamus, qui in libro De articulis dixit, *Caeterum refert*

τι καὶ σχέσις σώματος. σφυγμοὺς δ' ἐφ' ἑκατέρας αὐτῶν γραψάντων ἡμῶν, τοὺς ἐναργῶς φαινομένους, ὧν τὰς αἰτίας οὐ χαλεπὸν ἂν εἴη νῦν προσθεῖναι, τοῖς εἰρημένοις ἑπομένῳ. ἃ γὰρ ἐπὶ τῶν φυσικῶν διαφορῶν τοῦ σώματος, ταῦτα κἀπὶ τῶν ἐπικτήτων ῥηθήσεται. ὥστ' οὐ χρὴ μηκύνειν, ἀλλὰ μόνον αὐτὴν γράψαι τὴν ἐκεῖθεν ῥῆσιν, ὑπομνήσεως ἕνεκεν τῶν πραγμάτων, ἔχουσαν ὧδε.

Κεφ. ια'. Αἱ δ' ἐπίκτητοι σχέσεις τοῦ σώματος ὁμοίως ταῖς φυσικαῖς τρέπουσι τοὺς σφυγμούς. ὁ μὲν γὰρ ἰσχνὸς γενόμενος εὔσαρκος ἀνάλογον τῷ τοιούτῳ φύσει τὸν σφυγμὸν ἴσχει· ὁ δ' εὔσαρκος ἰσχνὸς γενόμενος τοῖς ἰσχνοῖς φύσει παραπλήσιον. δῆλον δ' ὅτι χωρὶς τοῦ τὴν δύναμιν ὑπαλλάττεσθαι τὴν κατ' ἰσχνότητα καὶ εὐσαρκίαν διαφορὰν ἐξετάζειν χρὴ, καὶ ἐπὶ τῶν ἄλλων δὲ ἁπάντων ὡσαύτως, ὥστε καθ' ἓν μόνον ὑπὲρ οὗ τὸν λόγον ἑκάστοτε ποιούμεθα τὴν τροπὴν γεγονέναι. ἅπερ δ' ἐπὶ τῶν εὐσάρκων εἴρηται, ταῦτα καὶ ἐπὶ τῶν παχέων εἰρῆσθαι χρὴ δοκεῖν ἐπιτεταμένα μᾶλλον.

etiam nonnihil corporis habitudo. Ac pulſus nos utraque illarum maxime conſpicuos prodemus, quorum facile nunc ſit adjungere cauſas ex commemoratis: nam quae de naturalibus differentiis corporis tradita ſunt, eadem dicentur de adventitiis. Quo brevior ero, ſolumque ipſum illinc caput ſubjiciendarum cauſa rerum huc transferam, quod ita habet.

Cap. XI. *Ascititiae habitudines corporis perinde pulſus, ut naturales immutant. Nam gracilis natura ſi quadratus evaſerit, huic, qui talis natura eſt, aſſimilem pulſum habet. Sin quadratus factus gracilis ſit, aſſimilem gracilibus natura. Conſtat autem gracilitatis et quadrati corporis citra facultatis immutationem, aeſtimandam differentiam eſſe; itaque in omnibus aliis, ut unum id tantum ubique de quo in praeſenti disputemus mutetur. Quae diximus de quadratis, eadem etiam de corpulentis a nobis eſſe dicta putandum eſt, niſi quod magis ſunt intenſa.*

Οὕτω μὲν ἐν ἐκείνοις περὶ τῶν σχέσεων τοῦ σώματος διώρισται. πρόσκειται δὲ καὶ περὶ τῶν κράσεων ὡσαύτως. καὶ μόνον ἀρκέσει κἀπὶ τούτων παραγράψαι τὴν ῥῆσιν ὑπομνήσεως ἕνεκα, τόνδε τὸν τρόπον ἔχουσαν.

Κεφ. ιβ'. [215] Καὶ αἱ κράσεις δὲ τοῦ σώματος αἱ ἐπίκτητοι ταῖς φυσικαῖς κράσεσιν ἀνάλογον τρέπουσι τοὺς σφυγμούς.

Καὶ δηλονότι κἀνταῦθα, καθὰ καὶ περὶ τῶν ὡρῶν εἴπομεν, ὡς αἱ μὲν θερμαὶ ταῖς θερμαῖς, αἱ δὲ ψυχραὶ ταῖς ψυχραῖς ἐοικότας ἐργάζονται σφυγμούς. ἡ γὰρ καθ' ὑγρότητα καὶ ξηρότητα διαφορὰ τῶν κράσεων ἐν ταῖς σχέσεσι τοῦ σώματος περιείχετο. ταῖς μὲν γὰρ ξηραῖς αἱ ἰσχνότητες, ταῖς δ' ὑγραῖς αἱ παχύτητες οἰκεῖαι. δέδεικται δὲ ταῦτα ἐν τοῖς περὶ κράσεων, ὥσπέρ γε καὶ ὅτι σκληρότης μὲν τοῦ σώματος ταῖς ξηραῖς κράσεσιν, μαλακότης δὲ ταῖς ὑγραῖς ἕπεται. καὶ διὰ τοῦτο καὶ ὁ σφυγμὸς ταῖς μὲν σκληρὸς, ταῖς δὲ μαλακός.

Κεφ. ιγ'. Ἑξῆς δ' ἂν εἴη λέγειν τὰς ἄλλας τροπὰς τὰς

In eum illic modum de habitudinibus corporis differuimus. Appofuimus itidem de temperamentis; caput etiam hic memoriae gratia fatis eft adfcripfiffe. Eft autem hoc.

Cap. XII. *Jam etiam temperamenta corporis ascititia pulfus ea proportione mutant, qua naturalia temperamenta.*

Scilicet ad eundem hic modum ut de anni temporibus diximus; calida calidis, frigida frigidis affimiles pulfus creant. Nam temperamentorum in humiditate et ficcitate differentia continebatur in habitudinibus corporis; fiquidem ficcis gracilitas, corpulentia eft humidis familiaris. Verum haec in libris De temperamentis declaravimus. Praeterea hoc quoque, corporis duritiem temperamenta ficca mollitiem comitari humida. Itaque pulfus his mollis eft, illis durus.

Cap. XIII. *Nunc alias mutationes, quae caufus*

ἐπὶ τοῖς οὐ φύσει γινομένας αἰτίοις. γυμνάσια κατ᾽ ἀρχὰς μὲν καὶ μέχρι τοῦ μετρίου σφοδροὺς καὶ μεγάλους καὶ ταχεῖς καὶ πυκνοὺς τοὺς σφυγμοὺς ἐργάζεται, πολλὰ δὲ καὶ ὑπὲρ τὴν δύναμιν (108) τοῦ πονοῦντος μικροὺς καὶ ἀμυδροὺς καὶ ταχεῖς καὶ πυκνοὺς ἐσχάτως, ὑπερβαλλόντως δ᾽ ἄμετρα καὶ ὥστε μόγις ἔτι κινεῖσθαι δύνασθαι, καὶ διὰ μακρῶν ἀναπαύσεων ἢ μηδόλως, ἀλλ᾽ ἱκανῶς ἐκλελύσθαι, πάνυ μικροὺς καὶ ἀμυδροὺς καὶ βραδεῖς καὶ ἀραιοὺς, εἰ δὲ εἰς διάλυσιν τῆς δυνάμεως καταστρέφοι, τοὺς ἐκείνης ἰδίους. εἰρήσεται δὲ μικρὸν ὕστερον ὁποίους διαλυομένη δύναμις ἐργάσεται σφυγμούς.

Αὕτη μὲν ἡ ῥῆσις ἡ ἐν ἐκείνῳ τῷ βιβλίῳ γεγραμμένη. προσκείσεται δὲ νῦν καὶ ἡ αἰτία. ἐν τοῖς γυμνασίοις ἡ μὲν δύναμις ἅπαντι χρῆται τῷ τόνῳ καὶ διὰ τοῦτο οἱ σφυγμοὶ σφοδροὶ γίνονται· τὰ δὲ τῆς χρείας αὐξάνεται καὶ διὰ τοῦτο καὶ μεγάλοι καὶ ταχεῖς. καὶ ἐπειδὴ διχῶς αὐξάνεται, τῇ τε τοῦ πνεύματος δαπάνῃ καὶ τῇ τῆς θερμασίας αὐξήσει, διὰ τοῦτο καὶ πυκνοὶ γίνονται, μὴ πληρουμένης αὐτάρκως τῆς

habent non naturales recenſeamus. Exercitationes primo quae moderatae ſunt vehementes, magnos, celeres, crebros pulſus efficiunt; ſi multae ſint et vires excedant laborantis, parvos, languidos, celeres et crebros in ſummo. Nimium immodicae, adeo ut aegre jam ſe poſſit movere et multis interpoſitis quietibus, aut nihil prorſus poſſit, ſed exolutae vires impenſe ſint, pulſus mire parvos et languidos tardosque et raros. Quod ſi ad virium diſſolutionem perveniant, pulſus creant illis proprios. Quales autem excitet pulſus facultas quae diſſolvitur, dicemus paulo inferius.

Habes caput, quod illo in libro conſcripſi. Nunc jam addam cauſam. Facultas in exercitationibus univerſam adhibet coutentionem, unde pulſus vehementes excitantur; uſus autem increscit, unde magni celeresque. Hic quandoquidem binis acceſſionibus augetur, ſpiritu exhauriendo et caloris incremento, ideo etiam, quoniam non ſatis magni-

Ed. Chart. VIII. [215.] Ed. Bas. III. (108.)

χρείας πρὸς τοῦ μεγέθους τε καὶ τοῦ τάχους αὐτῶν. τὰ δ' ὑπὲρ τὴν δύναμιν τοῦ γυμναζομένου μικροὺς μὲν καὶ ἀμυδροὺς· διὰ τὴν ταύτης ἀῤῥωστίαν, πυκνοὺς μὲν ἔτι διὰ τὴν τῆς χρείας ἔπειξιν, οὐ μὴν ταχίστους διὰ τὴν ἀῤῥωστίαν τῆς δυνάμεως, ἀλλ' ἀντὶ τούτων πυκνοτάτους, καὶ παρ' ὅσον ἡ ἐνέργεια πάμπολυ τῆς χρείας ἀπολείπεται. ὅταν δ' ἐπὶ τοσοῦτόν τις ἀναγκάζηται πονεῖν ὥστε μὴ μόνον ὑπὲρ τὴν δύναμιν εἶναι τοὺς πόνους, ἀλλὰ καὶ συνεχῶν τῶν μεταξὺ διαναπαύσεων δεῖσθαι, καταψύχεται μὲν ἐν τῷ τοιούτῳ τὸ σύμπαν σῶμα, οἱ σφυγμοὶ δὲ διὰ τὴν ἀῤῥωστίαν τῆς δυνάμεως ἀμυδροὶ καὶ μικροὶ, διὰ δὲ τὴν ψύξιν οὔτ' ὠκεῖς οὔτε πυκνοί. πρόδηλος γὰρ ὁ λογισμὸς τῷ μεμνημένῳ τῶν πρώτων.

Κεφ. ιδ'. Λουτρὰ θερμὰ μὲν μεγάλους καὶ ταχεῖς καὶ πυκνοὺς καὶ σφοδροὺς, ἔστ' ἂν ᾖ σύμμετρα· τὰ δ' ἄμετρα μικρούς τε καὶ ἀμυδροὺς, ὠκεῖς δ' ἔτι καὶ πυκνούς. εἰ δ' ἐν τούτῳ παύσαιτο, μικροὺς καὶ ἀμυδροὺς καὶ βραδεῖς καὶ ἀραιούς.

tudine illorum et celeritate completur, crebri fiunt. At quae vires excedunt exercitantis se, efficiunt parvos et languidos propter earum imbecillitatem; tamen illos quidem adhuc, quia urget usus, crebros, at non celerrimos, propter facultatis infirmitatem, sed pro his creberrimos; idque quatenus actio longe usu inferior est. Quod si adeo quis cogatur laborare, ut non modo superiores facultate labores sint, sed continenter necesse habeat interquiescere, huic refrigeratur universum corpus. Pulsus autem ob imbecillam facultatem languidi sunt et parvi, ob frigus nec celeres nec crebri. In aperto ratio est, si memineris priorum.

Cap. XIV. *Balneae calidae, dum sint moderatae, pulsus creant magnos, celeres, crebros, vehementes. Immodicae parvos et languidos, tamen adhuc celeres ac crebros. Quod si hic relinquantur, parvos, languidos, tardos atque raros.*

[216] Ἐν τοῖς βαλανείοις, ὅταν γε κατὰ καιρὸν παραλαμβάνηται, πάντως τις ὠφέλεια γίνεται τῷ σώματι. ἤτοι γὰρ κεκμηκότες, ἢ τεθερμασμένοι, ἢ ἐψυγμένοι, ἢ ἐξηρασμένοι, ἢ ἄσης τινὸς ἢ ἀνωμάλου κράσεως αἰσθανόμενοι, ἢ κενώσεως χρήζοντες, εἰς ταῦτα παραγινόμεθα. ἀλλ' ἐν τοῖς εἰρημένοις ἅπασι καιροῖς εἰς εὐκρασίαν μὲν ἐπανέρχεται τὸ σῶμα, βελτίων δ' ἡ δύναμις γίνεται, πρόσκαιρος δέ τις αὐξάνεται θερμασία, καί τι διαφορεῖται πνεύματος ἅμα τοῖς ἱδρῶσι. ὥστ' εὐλόγως τά γε σύμμετρα λουτρὰ τὰ θερμὰ τοιαύτην τροπὴν ἐργάζεται σφυγμῶν, οἵαν ἀπεδείξαμεν γίνεσθαι τῆς τε δυνάμεως ὠφελουμένης καὶ τῆς χρείας αὐξανομένης. τὰ δ' ἄμετρα πρόδηλον ὡς τὴν μὲν δύναμιν ἐκλύει, τὴν χρείαν δ' ἀμέτρως ἐπαύξει, καὶ διὰ τοῦτο πυκνοτάτους ἐργάζεται, ταχεῖς δ' ὁμοίως τοῖς πρόσθεν, ὅταν γε μὴ εἰς ἔσχατον ἥκῃ καταπτώσεως ἡ δύναμις. οὕτω γὰρ ἂν οἱ μυρμηκίζοντες καλούμενοι γένοιντο. εἰ δ' ἀμέτροις βαλανείοις χρησάμενοι παύσαιντο καὶ μηκέτι λούοιντο, δῆλον ὅτι καὶ ἡ ἕξις κατέψυκται καὶ ἡ δύναμις καταλέλυται.

Ex balneis, si in tempore utaris, omnino corpus commoditatem aliquam percipit. Nam quum defessi sumus, incaluimus, sumus refrigerati, exiccati, anxietatem aut temperiem inaequalem sentimus; denique si vacuatione opus sit nobis, illas non subimus. In illis autem omnibus temporibus corpori restituitur mediocritas temperamenti, vires reparantur, opportunus augetur quidam calor, ac pars digeritur spiritus una cum sudoribus. Quare calidae balneae par est, si sint moderatae, ut ad eum modum mutent pulsum, sicut declaravimus immutari, quum facultati commodatur et augetur usus. Immoderatas planum est facultatem dissolvere, usumque praeter modum intendere; unde fit ut creberrimos creent; celeres autem perinde ut priores; nisi sane facultas ad extremum usum devenerit; nam tum quidem formicantes, quos appellant, prodibunt. Quod si ab immodicis balneis destiterint nec laventur amplius, manifestum est quod et corporis habitus refrigeratus est et facultas

ὥστε καὶ ἡ τροπὴ τῶν σφυγμῶν τοιαύτη γένοιτ' ἂν οἵαν ἐδείξαμεν ἐν τῷ πρώτῳ λόγῳ δυνάμεως ἀῤῥωστίᾳ καὶ χρείας ἀκολουθεῖν ἐκλύσει. τοῦτο γὰρ ἐν τῷ παρόντι μόνον ἀρκέσει, τὸ δεικνύναι, πῶς ἐξ ἑκάστου τῶν προηγουμένων τε καὶ προκαταρχόντων αἰτίων εἰς τὰ πρῶτα καὶ κυριώτατα καὶ συνεκτικὰ κληθέντα διικνεῖται ἡ τροπή. τὸ δ' ὅπως ἐπ' ἐκείνοις ἀνάγκη τοὺς σφυγμοὺς ἀλλοιωθῆναι διὰ τοῦ πρώτου δεδήλωται λόγου.

Κεφ. ιε'. Ψυχρὰ δὲ λουτρὰ παραχρῆμα μὲν μικροὺς καὶ ἀμυδροτέρους καὶ βραδεῖς καὶ ἀραιοὺς, εἰς ὕστερον δὲ οἷον ἄν τι καὶ τύχῃ ἐργασάμενα. πάντως γὰρ ἢ ναρκώσει, ἢ ῥώσει. ναρκώσαντα μὲν οὖν καὶ καταψύξαντα μικροὺς καὶ ἀμυδροὺς καὶ βραδεῖς καὶ ἀραιοὺς, ἐκθερμήναντα δὲ καὶ ῥώσαντα μεγάλους μὲν καὶ σφοδροὺς, τάχει δὲ καὶ πυκνότητι συμμέτρους.

Τὰ ψυχρὰ λουτρὰ παραυτίκα μὲν ἐμψύχει πάντως, εἰς ὕστερον δὲ ἤτοι ῥώννυσιν ἢ καταλύει τὴν δύναμιν μετὰ καταψύξεως. τοῦτο γάρ ἐστι τὸ ναρκᾷν. ὥστε καὶ αἱ τροπαὶ

dissoluta. Quamobrem mutatio pulsuum ea existet, quam in libro primo docuimus excipere facultatis imbecillitatem et usus remissionem. Hoc enim in praesenti satis est si demonstrem, quemadmodum ex singulis antecedentibus et extremis causas ad primas et praecipuas et continentes vocatas mutatio penetret; ut autem ex illis pulsus necessario alterentur, in primo aperuimus libro.

Cap. XV. *Frigidae balneae illico parvos ac languidiores et tardos rarosque pulsus efficiunt. Postea, prout id fit, quod induxerunt, omnino vel torporem inducunt, vel robur. Quae torporem intulerunt et refrigerarunt, parvos et languidiores et tardos rarosque efficiunt. Quae calefecerunt et robur conciliarunt, magnos, vehementes, celeritate et crebritate moderatos.*

Balneae frigidae e vestigio refrigerant omnino, postea vel roborant, vel obruunt facultatem unaque perfrigerant; nam id est torporem inducere. Itaque et pulsus pro ra-

τῶν σφυγμῶν ἀνάλογον ταῖς εἰρημέναις αἰτίαις. ὅπερ δ' οὐχ οἷόν τ' ἦν προσδιορίσαι τοῖς εἰσαγομένοις, νῦν εἰρήσεται. ἡ ἔσω κίνησις τῶν ἀρτηριῶν ἐπὶ ταῖς ψυχρολουσίαις πλεονεκτεῖ τῆς ἔξω, ὡς ἂν καὶ τοῦ θερμοῦ ταύτῃ μᾶλλον ἐν τῷ παραυτίκα κινουμένου. καὶ εἰ δυνατὸν ἦν ἔσωθεν ἅψασθαι τῶν ἀρτηριῶν, πάντα τὰ τέως ἐν ταῖς διαστολαῖς φαινόμενα νῦν ἀνεφάνη κατὰ τὰς συστολὰς, τὸ μέγεθος, τὸ τάχος, ἡ σφοδρότης. ἐπεὶ δὲ τοῦτο ἀμήχανον, ἀπὸ τῶν ἐν ταῖς διαστολαῖς φαινομένων τοὺς σφυγμοὺς ὅλους οὕτως ὀνομάζομεν· μικροὺς μὲν, ὅτι πολὺ μείων ἡ ἐν τοῖς τοιούτοις καιροῖς διαστολὴ τῆς ἔμπροσθεν· οὕτω δὲ καὶ βραδεῖς, ὅτι καὶ ἡ κίνησις ἐκλέλυται σαφῶς. ἀλλὰ καὶ ἀραιοὺς, ὅτι καὶ οἱ ἄλλοι πάντες, ἐφ' ὧν ἡ ἔσω πλεονεκτεῖ κίνησις, ἐφαίνοντο τοιοῦτοι τοῖς τῆς συστολῆς οὐκ αἰσθανομένοις. καὶ ἡ αἰτία πρόσθεν εἴρηται. ἀμυδροὺς δὲ οὐχ ἁπλῶς εἴπομεν, ἀλλ' ἀμυδροτέρους ἐγράψαμεν, ἐνδεικνύμενοι διὰ τῆς λέξεως τὴν βραχύτητα τῆς εἰς τοῦτο μεταβολῆς.

Κεφ. ιστ'. [217] *Σιτία πολλὰ μὲν, ὥστε βαρῦναι τὴν*

tione caufarum immutantur. Quod vero non poterat tum tironibus explicari, id nunc declarabo. In frigida lotione arteriarum motus plus intro quam foras fertur, quod et calor illuc illico magis feratur. Quod fi intus arterias poffemus contingere, omnia quae alias in diftentionibus animadvertimus, haec in contractionibus hic apparerent, magnitudo, celeritas, vehementia; fed hoc quia non poteft ulla ratione, ab iis, quae in diftentionibus percipimus, totos pulfus fic appellamus: parvos, quia multo minor diftentio id temporis eft quam ante; tardos item, quod aperte exfolutus eft motus; jam raros quoque, quod alii etiam omnes, in quibus plus motus intro fertur, tales effe vifi fint contractionem non fentientibus. Caufa ante explicata eft. Languidos non diximus abfolute, fed fcripfimus languidiores, qua voce parvam mutationem fignificavimus in remiffionem effe.

Cap. XVI. *Cibus largus, ut etiam gravet facultа-*

δύναμιν, ἀνωμάλους τε καὶ ἀτάκτους τοὺς σφυγμοὺς ἐργάζεται. Ἀρχιγένης δέ φησιν, ὠκυτέρους πλέον ἢ πυκνοτέρους. τὰ δὲ σύμμετρα μεγάλους καὶ ταχεῖς καὶ πυκνοὺς καὶ σφοδρούς. τὰ δ' ἐλάττω ἢ ὡς τρέφειν αὐτάρκως οὐχ ὁμοίως τοῖς συμμέτροις, ἀλλ' ἐλάττονά τε τὴν τροπὴν ἐργάζεται καὶ μέχρι χρόνου βραχέος.

Καθ' ἕκαστον κεφάλαιον τῶν ἐν τῷδε τῷ γράμματι προβαλλομένων ἐνὸν ἡμῖν πρῶτον μὲν τὰ τοῖς ἄλλοις ὑπὲρ αὐτῶν δόξαντα λέγειν, ἔπειθ' ὡς οὐκ ὀρθῶς ὑπέλαβον ἀντιλέγειν, οὐ ποιοῦμεν οὕτως, ἀλλ' εὐθὺς ἐπ' αὐτὸ τὸ δόκιμόν τε καὶ ἀληθὲς ἐρχόμεθα, τὸ μέγεθος τῆς πραγματείας ὡς ἐνι μάλιστα ἐπιτέμνειν σπεύδοντες. ὅπου γὰρ καὶ νῦν αὕτη καθ' ἑαυτήν ἐστι μακρὰ, τί χρὴ νομίζειν, εἰ καὶ τὰς τῶν ἔμπροσθεν δόξας προσέλαβεν μετὰ τῆς δεούσης ἀντιλογίας; ἆρ' οὐκ εἰς ἀπέραντόν τι μῆκος ἐκταθήσεται; ὅτῳ μέντοι καὶ σχολῆς τῆς πρὸς τὰ μαθήματα καιρὸς καὶ προθυμία τὰς δόξας τῶν ἰατρῶν ἁπάσας ἀναλέγεσθαι, τούτῳ σαφῶς οἶδα τήνδε τὴν πραγματείαν ἐπιβάθραν τινὰ ἐσομένην εἰς τὸ καὶ καθ' ἑαυτὸν ἐξευρεῖν ὅπῃ μὲν ἀληθεύουσιν, ὅπῃ δὲ καὶ σφάλ-

tem, pulſus inaequales atque inordinatos concitat. Archigenes vult celeriores quam crebriores. Modicus magnos, celeres, crebros, vehementes. Parcior quam qui ſatis nutriat non aeque ac moderatus, caeterum minus mutat, neque id diu.

Quum poſſimus in ſingulis capitibus hoc in libro praeſcriptis, primum quae alii de iis cenſuerunt commemorare, deinde eſſe falſos confutare, non hoc facimus; ſed ſtatim ad id quod probatum et verum eſt accedimus, id agentes, ut operis, quoad ejus fieri poſſit, prolixitatem contrahamus. Quod quum nunc et ſua ſponte longum ſit, quid ſiet, ſi veterum praeterea opiniones una cum confutatione congrua complectatur, nonne in immenſum ducetur? At qui tempore ad disciplinas abundat ardetque cupiditate medicorum omnes opiniones cognoscendi, huic lucubratio haec, certo ſcio, viam muniet, ut per ſe inveniat ubi bene ſentiant et

λονται. καὶ μέντοι καὶ ἡμῖν αὐτοῖς ἑτέρωθι γέγραπται πολλὰ τοῖς οὕτω προειρημένοις συντελέσοντα. περί γέ τοι τοῦ νῦν προκειμένου σκέμματος, ἐν οἷς ὑπὲρ τῆς Ἐρασιστράτου περὶ τοὺς σφυγμοὺς τέχνης ἐσκοπούμεθα, σαφῶς οἶμαι δεδεῖχθαι τὸ μοχθηρὸν τῆς δόξης, ἀλλὰ καὶ ὅσα διαφερόμεθα πρὸς τοὺς ἄριστα δοκοῦντας ἐγνωκέναι τὰ κατὰ τοὺς σφυγμοὺς, καὶ ταῦτά μοι δοκεῖ συνετὸς ἀνὴρ ἐκ τῶν ἐνθάδε γεγραμμένων ὁρμώμενος οὐ χαλεπῶς διαιτήσειν. εὑρήσει γὰρ αὐτῶν τὰ πλεῖστα τὰ μὲν ἐν τῇ λέξει μόνῃ, τὰ δ' ἐν τῷ τῶν διορισμῶν ἀκριβεῖ συνιστάμενα, καθάπερ καὶ ταυτὶ τὰ νῦν προκείμενα· γράφοντος γὰρ Ἀρχιγένους οὕτω περὶ τῆς βαρυνούσης τὴν δύναμιν τροφῆς· ἡ δὲ τῷ θλίβειν ἀμυδροτέρους καὶ μι(109)κροτέρους, ταχυτέρους τε πλέον ἢ πυκνοτέρους. ἡμεῖς οὐχ οὕτως, ἀλλὰ πῶς ἐγράψαμεν; σιτία πολλὰ μὲν, ὥστε βαρῦναι τὴν δύναμιν, ἀνωμάλους τε καὶ ἀτάκτους τοὺς σφυγμοὺς ἐργάζεται. καὶ ὅτῳ μέλει τῶν ἔργων τῆς τέχνης, οὐκ ἐπὶ τῶν σιτίων μόνον, ἀλλὰ καὶ ἐπὶ τῶν ἄλλων ἁπασῶν διαθέσεων ἐν αἷς ἡ δύναμις βαρύνεται τοὺς σφυγμοὺς ἀνωμά-

ubi errent. Et quidem alio ipfi loco multa fcripfimus, quae his qui in ea voluntate fint conducent. De propofita quaeftione in libris ubi inquirimus in Erafiftrati artem de pulfibus, opinionis errorem, ut puto, clare prodidimus. Ad haec ubi discrepamus ab illis qui peritiffimi habentur in arte de pulfibus, de his item vir qui fapientia fit praeditus facile mihi videtur horum praefidio quae nunc tradidimus exiftimaturus. Inveniet enim ea fere partim in fola dictione, partim in exactis et diftinctis explicationibus confiftere, ut etiam haec de quibus nunc agimus. Nam quum fcribat Archigenes in hunc modum de cibo facultatem onerante: *Hic quia premit, languidiores minoresque pulfus concitat et celeriores quam crebriores:* nos non fic, fed quomodo fcripfimus? Cibus largus, ut etiam gravet facultatem, pulfus inaequales atque inordinatos concitat. Qui autem opera artis diligenter obfervat, non in cibo tantum, fed et in aliis affectibus omnibus in quibus oneratur facultas

λους εὑρήσει. καὶ τοῦτό γ' ἐστὶν αὐτὸ τὸ διορίζον τὴν ἄῤῥωστον δύναμιν τῆς βαρυνομένης. εὐθὺς δ' αὐτῷ συνεμφαίνεται καὶ τὸ ποσὸν τῆς βλάβης. εἰ μὲν γὰρ ἐν πολλοῖς τοῖς μεγάλοις τε καὶ σφοδροῖς ὀλίγοι τινὲς εὑρίσκοιντο μικροὶ καὶ ἀμυδροὶ, βραχεῖα ἡ βλάβη τῆς δυνάμεως· εἰ δ' ἔμπαλιν ὀλίγοι μὲν οἱ μεγάλοι καὶ σφοδροὶ, πολλοὶ δ' οἱ μικροὶ καὶ ἀμυδροὶ γίνοιντο, μεγάλως ἐπὶ τῶν τοιούτων διαθέσεων ἡ δύναμις κάμνει βαρυνομένη. μικροὶ δὲ καὶ ἀμυδροὶ σφυγμοὶ διαπαντὸς γίνονται μηδενὸς αὐτοῖς τῶν ἐναντίων παρεμπίπτοντος, οὐκ ἐν ταῖς βαρυνομέναις, ἀλλ' ἐν ταῖς διαλυομέναις δυνάμεσιν. ἔστ' ἂν δὲ κατὰ μὲν τὴν ἰδίαν οὐσίαν εὐρωστῶσι, βαρύνωνται δ' ὑπό του καὶ θλίβωνται, πάντως παρεμπίπτουσιν οἱ σφοδροὶ καὶ ἀμυδροὶ σφυγμοὶ, κἂν ἐν ἐσχάτῳ βλάβης ὑπάρχωσιν. ὀλιγώρως οὖν ὁ Ἀρχιγένης ἀμυδροτέρους τε καὶ μικροτέρους γράφει γίνεσθαι τοὺς ἐπὶ ταῖς βαρυνομέναις ὑπὸ τῶν σιτίων δυνάμεσι σφυγμούς. καταλυομένης γὰρ οὗτοι καὶ οὐ θλιβομένης δυνάμεώς εἰσι γνωρίσματα. ὥσπερ δ' ἐν ταῖς κατὰ μέγεθός τε καὶ σφοδρότητα διαφοραῖς ἀνώμαλοι τυγχάνουσιν ὄντες, οὕτω κἂν ταῖς κατὰ πυκνότητα καὶ τάχος.

reperiet inaequales pulſus. Atque hoc ſcilicet ipſum eſt quod imbecillam facultatem ab onerata diſtinguat, ſimulque cum eo proditur et noxae magnitudo. Si enim inter multos magnos et vehementes pauci offendantur parvi languidique, puſilla eſt offenſio facultatis; contra ſi pauci magni et vehementes, parvi autem atque languidi multi ſint, ingenti in ejuscemodi affectibus onere opprimitur facultas. At vero parvi et languidi pulſus perpetuo fiunt, nullo interpellante contrariorum, non in iis quae onerantur, ſed in iis quae diſſolvuntur facultatibus. Dum vero per ſe quidem validae ſint, ſed a quopiam graventur et premantur, omnino vehementes et languidi pulſus commiscentur, etiam ſi ſumme offenſae ſint. Oscitanter igitur ſcribit Archigenes, languidiores et minores pulſus fieri, quum facultates cibo gravantur; haec enim, quod facultas diſſolvatur, non quod prematur, ſigna ſunt. Atque ut in differentiis magnitudinis et vehementiae ſunt inaequales, ſic in differentiis

Ed. Chart. VIII. [218.] Ed. Bas. III. (109.)

[218] οὐκ οὖν οὐδὲ τοῦτ᾽ ἔχω συμβαλεῖν ὅπως ἔγραψεν ὁ Ἀρχιγένης, θάττονας αὐτοὺς πλέον ἢ πυκνοτέρους ὑπάρχειν, εἰ μὴ ἄρα τοῦτο βούλεται δηλοῦν, ὡς ἀνωμάλων ὄντων αὐτῶν ὅμως πλείους εἰσὶν οἱ ταχεῖς τῶν βραδέων ἢ οἱ πυκνοὶ τῶν ἀραιῶν. καίτοι οὐδὲ τοῦτο ἀληθές ἐστιν ἁπλῶς οὕτω καὶ ἀδιορίστως λεγόμενον. ἀλλ᾽ αἱ μὲν ἐλάττους βλάβαι ταχεῖς μᾶλλον ἢ πυκνοὺς, αἱ δὲ μείζους ἔμπαλιν ἐπὶ πλέον πυκνοὺς ἢ ταχεῖς ἀπεργάζονται τοὺς σφυγμούς. ἡ δ᾽ αἰτία πρόδηλος ἐκ τῶν ἐν τῷ πρώτῳ βιβλίῳ δεδειγμένων, εἴ γε τάχος μὲν οἰκεῖον εὐρώστου δυνάμεως, πυκνότης δ᾽ ἀῤῥώστου. καὶ τῶν ἄλλων δὲ τῶν ἐφεξῆς εἰρημένων ὁ τῆς αἰτίας λογισμὸς πρόδηλος, εἴ τις τῶν ἐν τῷ πρώτῳ βιβλίῳ γεγραμμένων εἴη μεμνημένος.

Κεφ. ιζ΄. Οἶνος τὰ μὲν ἄλλα παραπλησίως σιτίοις τρέπει τοὺς σφυγμοὺς, διαφέρει δὲ τῷ τε παραχρῆμα τὴν τροπὴν ἐργάζεσθαι καὶ τῷ πρότερον παύεσθαι τὴν ἀπ᾽ οἴνου τῆς ἀπὸ σιτίων, καὶ τῷ τὸ τάχος πλέον αὔξειν καὶ τὸ μέγεθος ἤπερ τὴν σφοδρότητα καὶ πυκνότητα. σχεδὸν γὰρ

crebritatis et celeritatis. Quare ne istuc quidem queo conjicere, quemadmodum Archigenes scripserit, celeriores eos quam frequentiores esse; nisi si hoc dicere velit, licet sint hi inaequales, majore numero tamen celeres tardos vincunt quam raros crebri. Etsi ne hoc quidem verum est, si ita nude proferatur, nec distincte; imo offensiones leviores celeres magis quam crebros, graviores e diverso crebriores pulsus quam celeriores reddunt. Causa in aperto est ex demonstratis in primo libro, siquidem celeritas facultati peculiaris validae est, crebritas imbecillae. Jam aliorum etiam, de quibus deinceps dicemus, nisi exciderunt ea tibi quae primo in libro docuimus, in promptu est causa.

Cap. XVII. *Vinum caetera quidem peraeque ac cibus pulsus variat; hoc vero interest, quod illico immutet et citius mutatio a vino profecta recedat quam illa quae a cibo; quod item celeritatem amplius et magnitudinem quam vehementiam et crebritatem augeat.* Quanto

ὅσῳ σφοδροτέραν τε καὶ διαρκεστέραν ἰσχὺν ἡ σύμμετρος τροφὴ παρέχει, τοσούτῳ καὶ τὸ μέγεθος ὁ οἶνος ἐξαίρει.

Καὶ οὗτος ὁ λόγος αὐτὸς αὑτὸν ἐξηγεῖται, τὰ πρὸς ἁπάντων εἰρημένα τῶν ἰατρῶν ὑπὲρ οἴνου δυνάμεως ἀναμιμνήσκων ἡμᾶς. ἔστι γὰρ ἡ ἀπ᾽ αὐτοῦ πρόσθεσις ταχεῖα, διότι καὶ ὑγρὸς καὶ θερμός. ὅσοι γὰρ ταχείης, φησὶ, προσθέσιος δέονται, ὑγρὸν ἴημα. ὅταν οὖν καὶ ποδηγῆται πρὸς τῆς θερμότητος ἡ ὑγρότης, ἔτι δὴ καὶ μᾶλλον. ἀλλὰ καὶ τῶν ἀθρόως καὶ ταχέως τρεφόντων ταχεῖα καὶ ἡ διαχώρησις γίνεται. διὰ τοῦτο οὖν ὥσπερ ταχεῖα, οὕτω καὶ βραχυχρόνιος ἡ ἀπὸ τοῦ οἴνου προσθήκη τοῖς σώμασιν. εὐδιάπνευστος γάρ. ὅτι δὲ διὰ μὲν τὸ τρέφειν ὁμοίως τοῖς σιτίοις ἀλλοιώσει τοὺς σφυγμοὺς, διὰ δὲ τὸ θερμαίνειν μᾶλλον ἢ ἐκεῖνα μέγεθός τε καὶ τάχος ἐπιφανέστερον αὐτοῖς προσθήσει, τοῖς μεμνημένοις τῶν ἐν τοῖς πρώτοις ὑποδείγμασι λελεγμένων ἄντικρυς δῆλον. τῶν δ᾽ ἑξῆς λεγομένων διὰ τῆς εἰσαγωγῆς οὐδενὸς ἄδηλος ἡ αἰτία τῷ μεμνημένῳ τῶν ἐν τῷ πρώτῳ βιβλίῳ γεγραμμένων.

enim vehementius moderatus cibus conſtantiusque robur conciliat, tantum fere vinum extollit magnitudinem.

Haec quoque oratio ſeipſam interpretatur ac omnia ſubjicit nobis quae de vini facultate ſunt ab omnibus medicis prodita. Quae enim ab ipſo fit appoſitio celeris eſt, quod humidum ſit et calidum. *Quicunque enim celerem,* inquit, *requirunt appoſitionem, his humidum medetur. Quando vero calor etiam dux eſt humiditatis, multo jam magis. Ad haec quae affatim ſubitoque nutriunt, haec celeriter dejiciuntur.* Quamobrem ut celerem, ita minime diuturnam a vino appoſitionem corpora accipiunt. Facile enim digeritur per halitum. Porro quod nutriat, pulſus ita ut cibus variabit, quod autem amplius quam ille calefaciat, inſigniorem adjicit illis et magnitudinem et celeritatem; id quod plane apertum eſt illis qui retinuerunt quae in primis exemplis docuimus. Ac reliquorum quae in iſagoge prodidimus, ſi memoria teneas quae in primo libro ſcripſimus, omnes clarae ſunt cauſae. Quare praetermiſſa

ὑπερβάντες οὖν αὐτῶν τὰ πολλὰ, μόνον τῶν ἀσαφεστέρας ἐχόντων αἰτίας μνημονεύσωμεν, ὧν ἓν καὶ τόδε ἐστίν. τί δή ποτε χολέραις μὲν καὶ ῥεύμασιν ἰσχυροῖς κοιλίας καὶ τῷ καλουμένῳ γυναικείῳ ῥῷ καὶ πᾶσι τοῖς ἐκ τοῦ κενοῦν τὸ σῶμα καταλύουσι τὴν δύναμιν οἱ σκωληκίζοντες ἕπονται σφυγμοὶ, ταῖς δ᾽ ὑπὸ κακοήθους πυρετοῦ καταλυομέναις δυνάμεσιν οἱ μυρμηκίζοντες ἕπονται; ἢ ὅτι βραδὺν εἶναι δεῖ καὶ ἀραιὸν τὸν σφυγμὸν πάντως, ἵν᾽ ᾖ σκωληκίζων, οὔτε γὰρ οἷόν τε τὸ πρότερον τῆς ἀρτηρίας μόριον πρότερον φαίνεσθαι κινούμενον οὔθ᾽ οἷον περιγραφάς τινας γίνεσθαι πολλὰς ἐν μιᾷ διαστολῇ, μὴ οὐ βραδείας τε ἅμα καὶ ἀραιᾶς οὔσης τῆς κινήσεως. ἐν δὲ τοῖς ὀξέσι πυρετοῖς, ἐξ ἀνάγκης γὰρ οἱ κακοήθεις ὀξεῖς, οὐκ ἀνέχεται τὸ πλῆθος τῆς θερμασίας οὔτε βραδὺν ἐσχάτως οὔθ᾽ ὅλως ἀραιὸν γίνεσθαι τὸν σφυγμόν. ἀλλὰ βραδὺς μέν ἐστιν, ἢ πάντως γε οὐ ταχὺς ὁ ἐν ταῖς καταλυομέναις δυνάμεσι, κἂν τινες ἁμαρτάνωσιν περὶ τὴν διάγνωσιν αὐτοῦ, οὐ μὴν ἐσχάτως γε βραδὺς, ἀραιὸς δ᾽ οὐδ᾽ ὅλως, ἀλλ᾽ ἀεὶ πυκνὸς, καὶ ὅταν τὰ τῆς θερμασίας

illorum magna parte caufas tantum illorum quae funt obfcuriora referamus; de quibus hoc eft. Cur choleras, magnos alvi fluores, profluvium muliebre vocatum et omnia quae ex vacuatione corporis facultatem diffolvunt, comitentur pulfus vermiculantes, at facultatem quae a febre maligna diffolvitur, formicantes confequatur? An quia pulfus, quo vermiculans fit, tardus effe omnino et rarus debet? neque enim poffit fieri ut prior arteriae pars prius moveri videatur, neque ut fiant veluti circumfcriptiones in una diftentione multae, ni tardus fimulque rarus fit motus. At in acutis febribus (neceffe enim eft malignas acutas effe) non fuftinet pulfum caloris copia vel tardum in fummo, vel femel fieri rarum; caeterum tardus eft, aut non celer certe pulfus, quum diffolvitur facultas, (tametfi in eo quidam dignoscendo hallucinentur) fed non fumme tardus tamen; rarus autem haudquaquam; imo creber femper, ac ubi vis

ἐπείγῃ, πάνυ σφόδρα πυκνός. καιρὸς εἶναί μοι δοκεῖ καὶ τουτονὶ τὸν τρίτον λόγον ἐνταυθοῖ καταπαύσειν· ἐν δὲ τῷ τετάρτῳ τὰ λείποντα προσθήσομεν, ἀπὸ τῶν ψυχικῶν παθῶν ἀρξάμενοι.

urgeat caloris, magnopere eſt creber. Mihi quidem jam viſum eſt tertii hujus libri hic finem facere. Reliqua in quarto perſequar, ab affectionibus animi exorſus.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΤΩΝ ΕΝ ΤΟΙΣ ΣΦΥΓΜΟΙΣ ΑΙΤΙΩΝ ΒΙΒΛΙΟΝ Δ.

Ed. Chart. VIII. [219.] **Ed. Baf. III. (109.)**

Κεφ. α'. Τῶν ἀλλοιούντων τοὺς σφυγμοὺς αἰτίων ὅσα μὲν δι' ἑαυτὰ τὴν τροπὴν ἐργάζεται συνέχοντα τὴν γένεσιν αὐτῶν, καὶ διὰ τοῦτο συνεκτικὰ κεκλημένα, διὰ τῶν προτέρων δυοῖν ὑπομνημάτων ἐγράψαμεν· ὅσα δὲ ἐκείνων προηγεῖται, τὰ μὲν ἐν αὐτοῖς τῶν ζώων τοῖς σώμασιν ὑπάρχοντα, τὰ δ' ἔξωθεν προσπίπτοντα, ταῦτα ἐν τοῖς ἐχομένοις δύο προθέμενοι διελθεῖν, ἐπειδὴ καὶ διὰ τοῦ τοῖς εἰσαγομένοις γεγραμμένου περὶ τῶν σφυγμᾶν ἐφθάσαμεν εἰρη-

GALENI DE CAVSIS PVLSVVM LIBER IV.

Cap. I. Inter cauſas, unde pulſus alterantur, quaecunque mutationem moliuntur per ſe, continentes eorum generationem, ex quo ſunt continentes appellatae, prioribus duobus libris expoſuimus Quae has praecedunt, quarum conſiſtit pars in ipſis animalium corporibus, pars extrinſecus accidit, has quum inſtituiſſemus duobus proximis explicare, quia ante etiam in libro illo quem tironibus ſcripſimus de pulſibus ſummatim de his et citra demonſtra-

κέναι περὶ αὐτῶν ἐν κεφαλαίοις τε καὶ χωρὶς ἀποδείξεως, ἄμεινον ἐκρίναμεν εἶναι καὶ νῦν αὐτῶν μνημονεύοντες αὐτοῖς ὀνόμασιν ἅμα μὲν ἐπιδιορίζειν ἀκριβέστερον, ἅμα δὲ καὶ τὰς αἰτίας ἀποδοῦναι. διὰ μὲν οὖν τοῦ τρίτου γράμματος τὸν περὶ τῶν ἡλικιῶν τε καὶ χωρῶν καὶ ὡρῶν καὶ φύσεων καὶ προσέτι τῶν καλουμένων ἐπιτηδευμάτων, ἐδεσμάτων τε καὶ πομάτων ἐποιησάμεθα λόγον· ἐν δὲ τούτῳ τῷ τετάρτῳ τε καὶ ὑστάτῳ τῆς προκειμένης πραγματείας ὄντι περὶ τῶν παρὰ φύσιν αἰτίων ὁ λόγος ἡμῖν ἔσται, τὴν ἀρχὴν μὲν ἀπὸ τῶν ψυχικῶν παθῶν ποιησαμένοις, ἐφεξῆς δὲ καὶ περὶ τῶν σωματικῶν διελθοῦσι. προσγράψομεν δὲ κἀνταῦθα καθ᾽ ἕκαστον κεφάλαιον τὰς ῥήσεις ἐκ τοῦ τοῖς εἰσαγομένοις γεγραμμένου βιβλίου.

Κεφ. β'. [220] *Θυμοῦ μὲν ὑψηλός ἐστιν ὁ σφυγμὸς καὶ μέγας καὶ σφοδρὸς καὶ ταχὺς καὶ πυκνός.*

Καὶ τὰ περὶ θυμοῦ λεγόμενα δῆλα τῷ μεμνημένῳ τῶν (110) ἔμπροσθεν. ὑπὲρ οὗ δὲ οὐδέπω πρότερον ἀπεφηνάμεθα, νῦν μὲν ἀναγκαῖον ἤδη προσθεῖναι, πότερον φαίνεται μόνον σφοδρότερος ὁ τῶν θυμουμένων σφυγμὸς, ἢ ὄντως τοιοῦτος γίνεται. κατελίπομεν γὰρ αὐτὸ,

tionem tractavimus, operae pretium mihi est visum, ut hic quoque de iis agerem citatis ipsis capitibus atque distincte explicarem, simulque caussas adderem. Ac in tertio quidem libro de aetatibus, regionibus, anni temporibus, naturis, praeterea de exercitiis quae vocant et cibo potuque diximus. In hoc quarto, qui hujus commentationis est postremus, de caussis praeter naturam sermonem habebo, exorsus ab affectibus animi; deinde etiam de corporis affectibus dicturus. Jam hic quoque ad singula capita clausulas traducam ex libro tironibus scripto.

Cap. II. *Irae altus est pulsus, magnus, vehemens, celer, creber.*

Qui superiorum est memor, huic etiam quae de ira dicuntur aperta sunt. At de quo ante haud dum diximus, hoc est in praesentia adjiciendum, vehementiorne tantum appareat pulsus iratorum, an ejuscemodi sit vere. Id enim

καίτοι διελθόντες ἐπὶ πλέον ἐν τῷ πρώτῳ λόγῳ, σχεδὸν ἄκριτον. οὐδὲ γὰρ οὕτως ἄν τις ἐπείσθη τότε, λεγόντων ἡμῶν ὅτι μὴ φαίνεται μόνον, ἀλλὰ καὶ γίνεται σφοδρότερος, ὡς νῦν προσθήσεται, προακηκοὼς ἐν τῷ μεταξὺ λόγῳ πολλὰ συντελοῦντα πρὸς τὴν πίστιν καὶ μάλιστα τὰ περὶ τῶν ἀνωμαλιῶν εἰρημένα. φαίνεται γὰρ ἐναργῶς ἐναλλὰξ ἐν ταύταις ὁ σφυγμὸς ἀμυδρὸς καὶ σφοδρὸς γινόμενος, οὐ δήπου τῆς δυνάμεως οὕτω ταχέως εἰς ἀῤῥωστίαν τε καὶ ῥώμην μεταπιπτούσης, ἀλλὰ διαμαχομένης μὲν τοῖς λυποῦσιν αἰτίοις, οὐκ ἀεὶ δ᾽ αὐτῶν κρατούσης. ἐναργέστατα δ᾽ ἐπὶ τῶν ἀγαθῶν κρίσεων οἱ σφυγμοὶ γίνονται σφοδροὶ, ἐπεγειρούσης τηνικαῦθ᾽ ἑαυτὴν τῆς δυνάμεως ὑπὲρ τοῦ διώσασθαι τὰ λυποῦντα. φαίνεταί δὲ τοῦτο κἀπὶ τῆς ψυχικῆς δυνάμεως γινόμενον, οὐ μόνης τῆς ζωτικῆς. ἐκλελυμένοι γοῦν τινες ἐσχάτως ἢ διὰ γῆρας, ἢ διὰ νόσον, ἢ διά τινα προηγησάμενον κάματον, εἶτ᾽ ἐξαίφνης θεασάμενοι λῃστῶν ἔφοδον, ἢ πολεμίων, ἢ θηρίου τινὸς, ἔδραμον ὠκέως ἀποφεύγοντες τὸ δεινὸν οὐδὲν ἧττον τῶν ἰσχυρῶν. οὕτω δὲ καὶ διὰ σεισμὸν τινὲς ἐκπηδήσαντες

omifimus, etfi latius in primo libro disputaremus, fere dubium. Neque enim ita quis fidem tum haberet, fi diceremus non apparere folum, fed effe etiam vehementiorem, ut jam adducetur, quum ante in fermone interpofito multa ordine audierit, quae conferunt ad fidem, praefertim quae de inaequalitatibus narravimus, in quibus pulfus viciffim clare videtur fieri languidus et vehemens; non quo tam repente facultas in imbecillitatem variet et robur, fed quod cum caufis eam laedentibus decertet, nec fuperet perpetuo eas. Apertiffime autem pulfus per bonas judicationes vehementes fiunt. Etenim facultas tum ut quae moleftiam exhibent repellat, excitat feipfam, quod et in animali cernas facultate, non tantum vitali. Exfoluti enim quidam extreme vel per fenectutem, vel per morbum, vel aliam quampiam quae antecefferit laffitudinem, fi latrones fubito confpiciant ingruere, vel hoftes, vel feram aliquam, concitato curfu aufugiunt periculum, neque in eo validis concedunt. Itemque in terrae motu ex aedibus exiliunt, aut per

τῶν οἰκιῶν, ἢ δι᾽ ἐμπρησμὸν, ὠκύτατα διαθέουσιν, ἔμπροσθεν μόλις ὑπὸ τῆς ἀῤῥωστίας προβαίνοντες. ἐν ἅπασιν οὖν τοῖς τοιούτοις δῆλόν ἐστιν ὡς αἱ διοικοῦσαι τὸ ζῶον δυνάμεις ἀνάγκης τινὸς καταλαβούσης σφοδρότερον ἐνεργοῦσι, καὶ οὐ χρὴ θαυμάζειν οὐδ᾽ εἰ ἐν τοῖς θυμοῖς τοῦτο γίνεται. καὶ γὰρ φαίνεται καὶ λόγον ἔχειν, ὥσπερ οὖν καὶ γυμναζομένων καὶ ὁπωσοῦν ἀνδριζομένων οὐκ εἰς μέγεθος μόνον, ἀλλὰ καὶ εἰς σφοδρότητα τοὺς σφυγμοὺς ἰδεῖν ἔστιν τρεπομένους.

Κεφ. γ΄. Ἡδονῆς δὲ μέγας καὶ ἀραιὸς καὶ βραδὺς, οὐ μὴν σφοδρότητί γε διάφορος.

Διαχεῖται γὰρ τὸ θερμὸν τοῖς ἡδομένοις εἰς ἅπαν τὸ σῶμα καὶ ἡ ἐκτὸς αὐτοῦ κρατεῖ κίνησις, ὥσπερ τοῖς λυπουμένοις ἡ ἐντός. εὐλόγως οὖν μείζων μὲν αὐτῶν ὁ σφυγμὸς γίνεται, σφοδρότερος δ᾽ οὐκ ἔτι. οὔτε γὰρ ἐπίκτητός τις προσγίνεται διὰ τὸ πάθος οὔτ᾽ ἰσχυροτέρας ἐνεργείας χρεία. δῆλον δ᾽ ὡς ἐπὶ τῆς κατὰ τὸν ἴδιον λόγον τῆς συμμέτρου ἀλλοιούσης τοὺς σφυγμοὺς ἡδονῆς εἴρηται ταῦτα. πολλάκις γὰρ κατὰ συμβεβηκὸς καὶ οἱ ἐναντίοι γίνονται σφυγμοὶ, τῆς

incendium, atque ociſſime discurrunt, quum antea per infirmitatem progredi vix poſſent. Ex quibus omnibus liquet facultates animalis moderatrices, ſi quando impendeat neceſſitas, majore vi obire ſuas functiones. Quo minus mirum eſt, ſi in ira hoc contingat, quum videatur merito fieri; ut et in his etiam animadvertas qui exercitationem ſubeunt, aut quam aliam navant operam, pulſus non in magnitudinem modo, ſed et in vehementiam converti.

Cap. III. *Laetitiae magnus, rarus et tardus eſt pulſus, at vehementia nihil differt.*

Laetis diffunditur per univerſum corpus calor atque plus foras ejus motus fertur, at in triſtibus intro. Unde major fit merito pulſus illorum, at non vehementior item. Neque enim ascititius ex affectu comparatur neque validioris actionis uſus. Planum autem eſt haec intelligi debere de moderata laetitia, quae propria ratione pulſus alterat. Nam ſi nimia quidem laetitia ſit, ut facultatem diſſolvat,

Ed. Chart. VIII. [220. 221.] Ed. Bas. III. (110.)

ἡδονῆς ἀμέτρου γινομένης, καὶ διὰ τοῦτο καταλυούσης τὴν δύναμιν. ἀλλὰ τότε γε οἱ ἐπὶ καταλύσεως δυνάμεως γίνονται σφυγμοί. προείρηται γὰρ ὡς τὰ σφοδρότερα τῶν παθῶν καθ᾽ ἑαυτὰ τὴν ὅλην τῶν σφυγμῶν ἀλλοίωσιν ἐργάζεται.

Κεφ. δ΄. [221] *Λύπης δὲ μικρὸς καὶ ἀμυδρὸς καὶ βραδὺς καὶ ἀραιός.*

Καὶ ἡ λύπη μετά τε καταψύξεως γίνεται καὶ τῆς ἔσω τοῦ θερμοῦ κινήσεως. εὐλόγως οὖν ἐπ᾽ αὐτῆς οἱ ἐναντίοι σφυγμοὶ τοῖς προειρημένοις ἕπεσθαι ταῖς ἡδοναῖς ἀποτελοῦνται.

Κεφ. ε΄. *Φόβου δὲ τοῦ μὲν ὑπογυίου καὶ σφοδροῦ ταχὺς καὶ κλονώδης καὶ ἄτακτος καὶ ἀνώμαλος, τοῦ δὲ ἤδη κεχρονισμένου οἷος ὁ τῆς λύπης.*

Ὁ φόβος ἐν μὲν τῷ παραυτίκα πολλοῖς ταραχὴν τῆς διανοίας ἐργαζόμενος εὐλόγως εἰς ἀνωμαλίαν τρέπει τοὺς σφυγμούς. εἴρηται γὰρ ἔμπροσθεν ὑπὲρ τούτου. ἐν δὲ τῷ χρόνῳ τοῖς τῆς λύπης ἐξομοιοῖ, οὐδὲ γὰρ οὐδ᾽ ἄλλό τι λύπης γίνεται χρονίζων φόβος. ἅπασι δὲ τούτοις χρονίζουσιν, ἢ σφοδροῖς

pulsus saepe per accidens contrarii existunt. At tunc pulsus fient, qui dum virtus dissolvitur, fieri solent. Diximus enim ante, qui inter affectus sunt vehementiores, hos totam alterationem pulsuum per seipsos moliri.

Cap. IV. *Tristitiae parvus, languidus, tardus et rarus est.*

Et tristitia enim refrigerat et calorem intro concitat. Itaque non injuria contrarios pulsus efficit superioribus, quos consequi laetitiam dicebamus.

Cap. V. *Timoris recentis et vehementis celer et vibratus et inordinatus est inaequalisque. Inveterati jam similis ei quem habet tristitia.*

Timor e vestigio, quia statim multam mentis conturbationem facit, jure inaequales edit pulsus. Nam ante de hoc verba fecimus. Temporis diuturnitate pulsus creat quales tristitia. Neque quicquam a tristitia abest diuturnus timor. Omnibus autem his, si diuturna sint, aut admodum

Ed. Chart. VIII. [221.] Ed. Baſ. III. (110.)
ἄγαν γενομένοις οἷοι διαλυομένης τῆς δυνάμεως ἕπονται σφυγμοί. καὶ γὰρ καὶ λύει τὴν δύναμιν ἅπαντα ταῦτα, συντόμως μὲν ὅσα ἰσχυρὰ, χρονίως δὲ τἀναντία. τοῦτο δὲ καὶ μικρῷ πρόσθεν ἐκ τῶν ἐπὶ ταῖς ἡδοναῖς λεχθέντων ἐδηλοῦτο. καὶ νῦν προσγέγραπται διά τε τὸ κατὰ τὴν εἰσαγωγὴν ἐφεξῆς ἐκείνων εἰρῆσθαι καὶ διὰ τὸ περὶ τῶν ὁμοίων ἁπάντων ἀποφήνασθαι καθόλου προσήκειν. ἐξηγήσεως δὲ περισσοτέρας οὐ δεῖται τὰ λεγόμενα, ἀλλ᾽ ἐπὶ τὰ συνεχῆ μεταβαίνωμεν ἤδη.

Κεφ. στ΄. Ἄλγημα δὲ τὸ τρέπον τοὺς σφυγμούς· τρέπει δὲ τὸ ἰσχυρὸν, ἢ ἐν κυρίοις μορίοις, ὡς καὶ ἡ φλεγμονή· μικρὸν μὲν ὂν ἔτι καὶ ἀρχόμενον μείζονα καὶ σφοδρότερον καὶ ὠκύτερον καὶ πυκνότερον τὸν σφυγμὸν ἐργάζεται, αὐξηθὲν δὲ καὶ ἰσχυρὸν πάνυ γενόμενον, ὡς ἀδικεῖν ἤδη τὸν ζωτικὸν τόνον, μικρότερον καὶ ταχὺν καὶ πυκνόν. καὶ ὅσῳ ἂν ἐγχρονίζῃ μᾶλλον, ἢ σφοδρότερος γίνηται, τῶν εἰρημένων ἕκαστον ἐπιτείνει. τὸ δὲ ἤδη διαλῦον τὴν δύναμιν καὶ

vehementia, pulſus ſuccedunt ut ſolent dum facultas diſſolvitur. Etenim diſſolvunt omnia haec facultatem brevi quidem vehementia, tempore vero contraria. Atqui paulo ante idem ex illis, quae de laetitia retulimus, oſtendebatur; nunc etiam adſcripſimus, quod illis hoc in iſagoge ſubjunximus et etiam quod de ſimilibus univerſaliter ſtatuendum eſt item. Longiorem vero interpretationem haec oratio non quaerit; quare ad ea jam quae conſequuntur transeamus.

Cap. VI. *Dolor qui quidem variat pulſus, (variat autem ingens, aut qui principes partes tenet, ut etiam inſlammatio) dum parvus eſt atque initio pulſum edit majorem, vehementiorem, celeriorem, crebriorem. Auctus vero jam et admodum validus, ut etiam vitalem contentionem offendat, minorem, languidiorem, celerem, crebrum. Ac quo diuturnior ſit, vel vehementior efficiatur, hoc illorum quodque increscit magis. Qui vero facultatem jam*

εἰς ἀμυδρότητα καὶ μικρότητα καὶ τάχους ψευδῆ φαντασίαν καὶ ὑπερβάλλουσαν πυκνότητα τὴν τροπὴν ἐργάζεται.

Ὥσπερ ἐπὶ τῶν ἄλλων ἁπάντων τῶν λυπούντων, οὕτω καὶ τῶν ἀλγημάτων ἡ δύναμις ἐπεγείρειν πέφυκεν ἑαυτὴν καὶ διαμάχεσθαι καὶ διωθεῖσθαι πᾶν τὸ διοχλοῦν, ὅθεν εὐλόγως εἰς μέγεθος καὶ τάχος καὶ σφοδρότητα τρέπει τοὺς σφυγμούς. εἰ μέντοι μηδὲν ἀνύσειεν, ἐν τῷδε δῆλον ὡς ἐκ περιττοῦ κάματος αὐτῇ καὶ κατάλυσις τοῦ τόνου γίνεται, καὶ οὕτως εἰς ἀμυδρότητα μεταπίπτουσιν αἱ κινήσεις, ἡττηθείσης πρὸς τῶν λυπούντων τῆς δυνάμεως. διὰ τί δὲ τάχους ψευδῆ φαντασίαν εἴπομεν, ἐν τῷ τρίτῳ περὶ τῆς διαγνώσεως εἴρηται. καὶ μέντοι καὶ διὰ τί τοῖς μικροῖς σχεδὸν ἅπασι σφυγμοῖς ἔζευκται πυκνότης, ἐν τῷ πρώτῳ λόγῳ τῶνδε τῶν ὑπομνημάτων ἀποδέδεικται.

Κεφ. ζ. [222] Φλεγμονῆς σφυγμὸς ὁ μὲν κοινὸς ἁπάσης οἷον ἐμπρίων ἐστὶν, ὡς δοκεῖν τὸ μέν τι διεστάλθαι τῆς ἀρτηρίας, τὸ δὲ μὴ, σκληροτέρας δηλονότι φαινομένης αὐτῆς. ἔχει δέ τι καὶ κλονῶδες σφυγμὸς οὗτος καὶ ταχὺς

diffolvit, in remiffionem et parvitatem et falfam celeritatis fpeciem, ingentemque crebritatem commutat.

Ut in omni moleftia facultas, ita in doloribus fefe folet ad depugnandum et rejiciendum id quod infeftat concitare. Optimo igitur jure in magnitudinem et celeritatem vehementiamque pulfus mutat. Quae fi in eo nihil perficiat, veluti ex inani labore vis ejus et contentio diffolvitur. Itaque in remiffionem motus fuperata ab infeftantibus facultate recidunt. Quid autem falfam celeritatis fpeciem dixerim, in tertio libro De dignoscendis pulfibus declaratum eft. Jam etiam demonftravimus in horum commentariorum libro primo, cur parvis pulfibus pene omnibus adjuncta crebritas fit.

Cap. VII. *Inflammatio habet omnis communem pulfum veluti ferrantem, ut alia pars attolli arteriae, alia non videatur, quum illa fcilicet videatur durior. Habet etiam vibrationis aliquid hic pulfus, ac celer qui-*

μέν ἐστι καὶ πυκνὸς, οὐκ ἀεὶ δὲ μέγας. ὁ δὲ ἴδιος ἑκάστης ὁ μὲν τῆς ἀρχομένης μείζων τοῦ κατὰ φύσιν καὶ σφοδρότερος καὶ ὠκύτερος καὶ πυκνότερος, ὁ δ᾽ αὐξανομένης ἔτι ταῦτά γε προσαυξάνει πάντα, καὶ σαφῶς τε ἤδη σκληρότερός ἐστι καὶ κλονωδέστερος· τῆς δ᾽ ἀκμαζούσης σαφέστερος μὲν ἔτι καὶ σκληρότερος καὶ κλονωδέστερος, μικρότερος δὲ ἢ πρόσθεν, οὐ μὴν ἀμυδρότερός γε, πλὴν εἰ μὴ ὑπὲρ τὴν δύναμιν εἴη τὸ πάθος. ἀλλὰ καὶ πυκνότατος γίνεται καὶ ταχύς· εἰ δ᾽ ἱκανῶς χρονίζοι καὶ ἤδη σκληρύνοιτο σκιῤῥωδῶς, πρὸς τοῖς εἰρημένοις ἰσχνότης σφυγμοῦ καὶ σκληρότης γίνεται. ταῦτ᾽ ἐπὶ τῆς τὸν ἐν ὅλῳ τῷ ζώῳ σφυγμὸν τρεπούσης φλεγμονῆς, ἢ διὰ τὸ μέγεθος, ἢ διὰ τὸ κύριον τοῦ μέρους ἐν ᾧ συνέστη. τῆς δὲ μὴ συγκινούσης τὸ πᾶν ὅ γ᾽ ἐν τῷ φλεγμαίνοντι μέρει σφυγμὸς οἷος εἴρηται. ἐπιτείνεται δὲ καὶ ἀνίεται τῶν εἰρημένων ἕκαστον ἢ παρὰ τὸ ποσὸν τῆς φλεγμονῆς, ἢ παρὰ τὴν αὐτοῦ τοῦ φλεγμαίνοντος ὀργάνου φύσιν. τὰ μὲν γὰρ νευρωδέστερα μέρη σκληροτέρους καὶ μᾶλλον ἐμπρίοντας καὶ μικροτέρους τοὺς σφυγμοὺς ἐργάζεται, τὰ δὲ φλεβωδέστερα καὶ ἀρτηριωδέστερα τοὺς ἐναντίους.

dem et creber eſt, non perpetuo magnus tamen. At ſingulis eſt ſuus proprius. Incipientibus quidem major juſto et vehementior et celerior et crebrior. Augescentibus adhuc quum illa omnia increscunt tum clare jam durior et magis vibratus eſt. Vigentibus autem manifeſtior eſt duriorque atque vibratus magis, ſed minor eſt quam dudum, non tamen languidior, niſi facultatem excedat affectus; quinetiam creberrimus ſit et celer; quae ſi diuturnior ſit atque in ſcirrhum jam induresc at, accedit illis gracilitas pulſus et durities. Haec inflammatio habet quae pulſum per totum corpus immutat, vel quia magna eſt, vel quia principi inſidet. Si vero univerſum corpus non afficiat, pulſus in parte inflammata talis erit qualem diximus. Crescunt autem quae commemoravimus ſingula, minuunturque aut pro inflammationis quantitate, aut pro ipſius inſtrumenti natura inflammati. Siquidem partes nervoſiores duriores edunt pulſus magisque ſerrantes et minores, venoſiores vero et arterioſiores

αὐτῶν δὲ τούτων μείζων ὁ ἐν τοῖς ἀρτηριώδεσι καὶ ῥαδίως ἀνώμαλος καὶ ἄτακτος γενόμενος. δῆλον οὖν ἤδη καὶ ὁ τῶν τὸ ἧπαρ φλεγμαινόντων σφυγμὸς, οἷος ἂν εἴη, καὶ ὁ τῶν τὸν σπλῆνα καὶ ὁ τῶν τοὺς νεφροὺς, ἢ τὴν κύστιν, ἢ τὸ κῶλον, ἢ τὴν γαστέρα καὶ πλευριτικῶν καὶ περιπνευμονικῶν καὶ πάντων ἁπλῶς εἰπεῖν ὧν τῇ τοῦ μέρους φλεγμονῇ πυρετὸς ἕπεται, πλὴν ὅσα διὰ τὴν τῶν συμπτωμάτων φύσιν, (111) τῶν τε ἐξ ἀνάγκης ἑπομένων αὐτοῖς καὶ τῶν κατὰ τύχην συνδραμόντων, ὡς ἂν ἕκαστον τρέπειν δύνηται. καὶ τὸν σφυγμὸν ἐπὶ τοσοῦτον ἀλλοιοῦσθαι συμβήσεται, μικτῆς τροπῆς ἐν αὐτῷ γινομένης τῆς τε κατὰ τὸν λόγον τῆς φλεγμονῆς καὶ ἣν ἡ τοῦ τόπου φύσις, ἢ τοῦ παρόντος συμπτώματος ἐργάζεται. σπασθῆναι μὲν γὰρ τοῖς τὰς φρένας φλεγμαίνουσιν ἕτοιμον, πνιγῆναι δὲ τοῖς τὸν πνεύμονα, συγκοπῆναι δὲ τοῖς τὸ στόμα τῆς γαστρὸς, ἀτροφῆσαι δὲ τοῖς τὸ ἧπαρ, ἀπεπτῆσαι δὲ τοῖς τὴν κοιλίαν, ἐπισχεθῆναι δὲ τὰ οὖρα τοῖς τοὺς νεφρούς. καὶ τὰ μὲν αἰσθητικώτερα μέρη καὶ διὰ τὰς ὀδύνας τρέπει τοὺς σφυγμοὺς, τὰ δὲ ἀναισθητότερα κατὰ

contrarios. Ac inter hos major eft in arteriofioribus atque inaequalis facile fit inordinatusque. Ex his liquet, qui pulfus fit illorum quibus inflammatum jecur eft, vel lien, renes, vefica, colon, ventriculus; praeterea pleuriticorum et peripneumonicorum et breviter omnium, in quibus partis inflammationem comitatur febris. Nifi quibus in locis ob fymptomatum naturam, quae tum neceffario ea confequantur tum cafu adjuncta funt, prout quodque poffit mutare, ita pulfus contingat variari; ut mixta ibi mutatio fiat et quae inflammationi congrua eft et quam loci natura, vel praefentis inducit fymptomatis. Quibus enim inflammatum eft feptum transverfum, hi convulfionibus funt opportuni; quibus pulmo, fuffocationibus; quibus ventriculi os, fyncopis; quibus jecur, atrophiae; quibus ventriculus, cruditati; quibus renes, urinae fuppresfioni. Adhaec partes infigniore praeditae fenfu etiam dolorum nomine pulfus mutant; quae minus fentiunt, pro

Ed. Chart. VIII. [222.] Ed. Baf. III. (111.)

τὴν διάθεσιν μόνην. ἐκ τούτων οὖν ἁπάντων πολυειδεῖς αἱ ἀλλοιώσεις γίνονται τῶν ἐπὶ ταῖς φλεγμοναῖς σφυγμῶν. καὶ ὡς χρὴ διορίζειν αὐτὰς εἴρηται μὲν ἐν ἑτέροις τελέως, εἴρηται δὲ καὶ νῦν εἰς ὅσον τοῖς εἰσαγομένοις χρήσιμον.

Καὶ ἡ μὲν ῥῆσις ἐκ τῆς εἰσαγωγῆς αὕτη, σαφῶς ἐκδιδάσκουσα τὴν ὑπὸ τῶν φλεγμονῶν γινομένην ἀλλοίωσιν ἐν τοῖς σφυγμοῖς. ὅπως δὲ τὰ πρῶτα καὶ συνέχοντα τὴν γένεσιν αὐτῶν αἴτια διατιθέμενα πρὸς τῆς φλεγμονῆς τὴν εἰρημένην τροπὴν ἐργάζεται, λέγειν ἂν ἑπόμενον εἴη, τὴν ἀρχὴν ἔνθεν ποιησαμένους. παντὶ τῷ φλεγμαίνοντι μορίῳ δύο ταῦτ᾽ ἐξ ἀνάγκης συμβέβηκε, θερμότερον τοῦ κατὰ φύσιν ὑπάρχειν, καὶ τετάσθαι. ταῦτ᾽ οὖν ἄμφω παντὶ τῷ σώματι μεταδίδωσιν, ὅταν ἤτοι κύριον ὑπάρχῃ τὸ μέρος ἢ μεγάλην ἱκανῶς ἔχῃ τὴν φλεγμονήν. ἀλλ᾽ ἡ μὲν καθ᾽ ὅλον τὸ ζῶον πλεονεξία τῆς θερμασίας πυρετός ἐστιν, καὶ δῆλον ὡς τὴν χρείαν οὗτος ἀλλοιώσει τῶν σφυγμῶν· ἡ δ᾽ ἐκ τοῦ φλεγμαίνοντος τάσις διαδίδοται καὶ εἰς τὰς ἀρτηρίας. διὰ ταύτην μὲν δὴ σκληρότερος ὁ σφυγμὸς ἔσται, καὶ μᾶλλόν γε σκληρότερος ἐπὶ τοῖς νευρώδεσι μορίοις, ὅτι καὶ τείνεται ταῦτα τῶν ἄλλων μᾶλλον

affectu tantum. Igitur in inflammationibus varie pulfus ex his omnibus mutantur. Quae quemadmodum discernenda funt, quum alio loco exacte tractavimus tum vero in praefentia quantum intereft tironibus perfequemur.

Hoc caput eft ex ifagoge, quod pulfuum perfectam ab inflammationibus mutationem clare docet. Porro ut primae caufae et generationem eorum continentes afficiantur ab inflammatione, ut illam mutationem inducant, explicare confequens eft hinc exorfos. Omni parti quae inflammata fit haec neceffario duo accidunt, calor immodicus et tenfio. Quae univerfo corpori impartit ambo, ubi pars nobilis fit, vel infigni praedita inflammatione. Atqui immodicus calor, qui univerfum corpus occupet, febris eft; quae ufum pulfuum alterabit dilucide. At partis inflammatae tenfio pervadit etiam arterias. Quamobrem durior pulfus erit; eoque fane in nervofis partibus durior, quod praeter caete-

Ed. Chart. VIII. [222. 223.] Ed. Baf. III. (111.)

ἐν ταῖς φλεγμοναῖς, [223] ὡς ἂν ἤδη φύσει τεταμένα, καὶ συντείνειν ἑαυτοῖς τὰ συνεχῆ μᾶλλον πέφυκεν, ὡς ἂν ἰσχυρότερα. ἡ δὲ τῆς θερμασίας πλεονεξία ταχὺν ἐνεδείκνυτο καὶ μείζονα κατὰ τὸν ἑαυτῆς λόγον ἐργαζομένη τὸν σφυγμόν. ἐπειδὰν δὲ ἐλλείπῃ τι τῇ χρείᾳ, τηνικαῦτα ἤδη καὶ πυκνόν. εὐλόγως οὖν σκληρότερος ἅπασι τοῖς ἐπὶ φλεγμονῇ πυρέττουσιν ὁ σφυγμὸς γίνεται καὶ προσέτι γε διὰ τὴν δυσκρασίαν τὴν ἐν ταῖς ἀρτηρίαις ἀνώμαλος κατὰ μίαν προσβολήν· καὶ δῆλον ὡς ἀμφοῖν συνελθόντων τὸ εἰρημένον ὑπό τινων εἶδος ἔσται τῷ σφυγμῷ, τὸ οἷον ἐμπρίον τὴν ἀφήν. οὕτω γὰρ ἀνάγκη φαντασιοῦσθαι τὸν ἁπτόμενον ὀργάνου σκληροῦ, τὴν προσβολὴν ἀνώμαλον ἔχοντος. ἔστι δ᾽, ὡς εἴρηται, θάττων ἐπιφανῶς, καὶ εἰ μὴ ἀντιβαίνοι γε ἡ σκληρότης, καὶ μείζων σαφῶς. εἰ δ᾽ ἀντιβαίνοι κατά τι, τοσούτῳ προσλήψεται κλονώδους κινήσεως ὅσῳ ἀφῃρέθη τοῦ μεγέθους. ὅτι δ᾽ ἐν τούτῳ καὶ πυκνότερον ἔσται τοσοῦτον ὅσον οὐχ ἱκανῶς ἐπλήρωσε τὴν χρείαν ἡ διαστολὴ, καὶ τοῦτο τῷ μεμνημένῳ τῶν ἐν τοῖς ἔμπροσθεν ἀποδεδειγμένων πρόδηλον· ὥσπερ γε καὶ ὅτι τοῖς ἴσοις μεγέθεσι

ras hae in inflammationibus tendantur, ut quae fint fua fponte etiam tenfae; atque una fecum partes vicinas, quia funt fcilicet fortiores, intendunt. Nimium calorem autem oftendimus efficere per fe pulfum celerem et majorem; quod fi quid deficiat ufui, ibi etiam crebrum. Recte igitur omnes quos ex inflammatione febris arripuit, habent pulfum durum et infuper etiam ob intemperiem arteriarum in uno occurfu inaequalem. Quae fi ambo conjuncta fint, exiftet dubio procul fpecies illa pulfus quae veluti ferrat tactum; eam enim oportet qui tangit ut imaginem concipiat, ubi inaequaliter inftrumentum durum occurrat. Erit porro, ut diximus, manifefte celerior ac, nifi refiftat durities, plane major; fin quid refiftat, tantum fibi conciliabit vibrati motus quantum imminuta magnitudo fit. Jam etiam tanto hunc fore crebriorem, quanto minus diftentio ufum complevit, nofti, fi quae ante demonftravimus recordaris. Praeterea magnitudinibus paribus inflammationum variationem

Ed. Chart. VIII. [223.] Ed. Baf. III. (111.)

τῶν φλεγμονῶν οὐκ ἴση τῶν σφυγμῶν ἀλλοίωσις ἕπεται, ἀλλ' ἐν μὲν τοῖς φλεβώδεσιν μέρεσιν αἱ φλέγμοναὶ μείζους ἐργάζονται σφυγμοὺς, ἐν δὲ τοῖς νευρώδεσιν ἐλάττους, ὥσπερ καὶ σκληροτέρους τε καὶ μᾶλλον ἐμπρίοντας. οὐδὲ γὰρ τούτων ἀσαφὲς οὐδὲν, εἰ μνημονεύοιμεν ὅτι μειζόνως τείνεσθαι τὰς ἀρτηρίας ἀναγκαῖον ὑπὸ τῶν νευρωδῶν μορίων φλεγμαινόντων. τὰ δ' ἀρτηριώδη μέρη δῆλον ὡς καὶ ταῦτα τό τε πλῆθος τῆς ἐν ταῖς ἀρτηρίαις θερμασίας, ὡς ἂν θερμοτέραις οὔσαις, ἐπὶ μᾶλλον παραυξήσει, καὶ διὰ τοῦτο μεγίστους ἀναγκάζει γίνεσθαι τοὺς σφυγμούς. καὶ εἴ τις ἀνωμαλία συνίσταιτο καθ' ὁντιναοῦν λόγον, ἐπιφανέστερον αὐτὴν ἀποδείξει. δύο γὰρ, εἴ τι μεμνήμεθα, τὰς πρώτας αἰτίας ἐδείκνυμεν ἀνωμαλίας σφυγμῶν, ἀῤῥωστίαν τε τῆς κινούσης δυνάμεως τὰς ἀρτηρίας, διὰ πλῆθος βαρῦνον, καὶ προσέτι τῶν ὀργάνων αὐτῶν τὰς διαθέσεις, ἐμφράξεις δή τινας καὶ σφηνώσεις καὶ τάσεις καὶ θλίψεις. οὐδὲν οὖν θαυμαστὸν ἀνωμάλους ἐπὶ τοῖς ἀρτηριώδεσι μορίοις φλεγμαίνουσι τοὺς σφυγμοὺς ἀποτελεῖσθαι, τῆς τε δυνάμεως τῆς ἐργαζομένης αὐτοὺς ῥᾷον ἐν τοῖς τοιούτοις καμνούσης, αὐτῶν τε τῶν ὀργάνων κακῶς διακειμένων. τὰ δ'

pulſuum non parem comitari, ſed inflammationes partium venoſarum pulſus creare majores, ſed eos duriores magisque ſerrantes. Nihil eſt enim in his quod non clarum ſit, ſi retineamus arterias magis tendi oportere a partibus nervoſis inflammatis. Partes autem arterioſae plane etiam copiam caloris in arteriis, utpote calidioribus, adaugebunt amplius atque maximos idcirco excitant pulſus. Et ſi qua alicunde inaequalitas exoriatur, eam detegent manifeſtius. Duas, ni fallor, cauſas eſſe docuimus inaequalium pulſuum, facultatis quae arterias movet, ob nimios humores, qui ipſam degravent, imbecillitatem, praeterea ob ipſorum inſtrumentorum affectus, obſtructiones inquam et conſtrictiones atque tenſiones et compreſſiones. Quare nihil eſt mirum, ſi inaequales in arterioſis partibus inflammatis pulſus fiant, quum effectrix facultas illorum facillime in talibus defatigetur ipſaque inſtrumenta ſint affecta. Reliqua quae

ἄλλα τὰ εἰρημένα διὰ τοῦ τοῖς εἰσαγομένοις γεγραμμένου βιβλίου ταῖς ἐπὶ φλεγμονῇ τροπαῖς τῶν σφυγμῶν ὑπάρχειν οὐδεμιᾶς ἐξηγήσεως δεῖσθαι νομίζω. μεταβαίνειν οὖν ἤδη καιρὸς ἐπί τινα τῶν ἑξῆς ῥήσεων.

Κεφ. η΄. Τῶν μὲν πλευριτικῶν ταχὺς καὶ πυκνὸς καὶ οὐ λίαν μέγας. δόξειε δ᾽ ἂν καὶ σφοδρός. ὁ δ᾽ ἐστὶν οὐκ ἀμυδρὸς μὲν, οὐ μὴν ἤδη καὶ σφοδρὸς, ὅσον ἐπὶ τῷ πάθει. τοῦτο γὰρ ἐπὶ πάντων μεμνῆσθαι χρὴ, τὸ δεῖν ἐφ᾽ ἑκάστου τῶν πραγμάτων, ὅσον ἐπ᾽ ἐκείνῳ, τὴν τροπὴν ἐξετάζειν, διορίζοντα τὸ διά τι ἄλλο καὶ μὴ δι᾽ ἐκεῖνο συμβεβηκός. ὁ τοίνυν τῶν πλευριτικῶν σφυγμὸς νευρωδεστέραν πως καὶ σκληροτέραν ἐργαζόμενος τὴν ἀρτηρίαν, ὡς ἂν εἰς σφοδρότητα τρέπων, ἀπατᾷ τοὺς ἀγυμνάστους, οὐ δυναμένους διακρῖναι σκληρὰν πληγὴν σφοδρᾶς. οὕτω δὲ καὶ ἄλλας διαφορὰς σφυγμῶν ἀδυνατοῦντες διακρίνειν οἱ πολλοὶ τάχ᾽ ἂν ἴσως μέμψαιντο τοῖς ἐνταῦθα γεγραμμένοις, ἐξ ὧν αὐτοὶ συνιᾶσι τῶν ὀρθῶς λεγόντων καταγινώσκοντες. ἀλλ᾽ οὐ χρὴ μηκύνειν ἐν τῷ νῦν λόγῳ περὶ αὐτῶν. γέγραπται γὰρ ἡμῖν ἰδίᾳ περὶ

in libro tironibus nuncupato scripsimus de mutatis ab inflammatione pulsibus non puto desiderare interpretem. Itaque ad unum nunc de proximis capitibus est digrediendum.

Cap. VIII. *Pleuriticorum celer pulsus est et creber, nec admodum magnus, videatur etiam vehemens esse. Est ille vero non languidus quidem, sed tamen non vehemens statim, quod ad affectum refert. Siquidem ubique hoc memoria servandum est, in unaquaque re mutationem esse pro illa re aestimandam, distinguendumque quod alia de re, non de illa acciderit. Pulsus itaque pleuriticorum, quia nervosiorem quodammodo durioremque efficit arteriam, quasi converteret in vehementiam, imperitis imponit, quos quid intersit inter durum ictum et vehementem latet. Ita quoque vulgus medicorum, quod alias etiam differentias pulsuum discernere nesciat, has fortassis institutiones accusabit, atque ex sua ignorantia damnabit recta praecepta. Verum non faciam ut hic longior sim, quum*

Ed. Chart. VIII. [223, 224.] Ed. Baf. III. (111.)

τῆς τῶν σφυγμῶν διαγνώσεως. ἀσκεῖν οὖν παρακελεύομαι τόν τε λογισμὸν ἅμα καὶ τὴν ἁφὴν, ὡς ἐπ' αὐτῶν τῶν ἔργων γνωρίζειν δύνασθαι τὴν ἁφὴν [224] τοὺς σφυγμοὺς, οὐ λόγῳ διακρίνειν μόνον. ἀρχὴ δὲ τῆς ἐπὶ τῶν ἔργων τριβῆς ἡ διὰ τῶν λόγων διδασκαλία. καὶ γάρ τοι καὶ τῆς πυκνότητος τὸ ποσὸν οὐχ οἷόν τε ἑρμηνεῦσαι, καί τοι μεγάλην ἔχει διαφορὰν ἡ ὑπερβαίνουσα τὸ εἰθισμένον μέτρον πλευρίτιδος, ἢ ἐλλείπουσα. τὰς γὰρ ὑπερβολὰς εἰς περιπνευμονίαν μεθισταμένης ἢ συγκοπὴν ἀπειλούσης ἀνάγκη γίνεσθαι, τὰς δ' ἐνδείας εἰς καταφορὰν ἢ νεύρων τελευτᾶν βλάβην. οὕτω δὲ καὶ τὸ τῆς ἀνωμαλίας εἶδος τὸ ἐμπρηστικὸν, ἴδιον οὐχ ἥκιστα πλευρίτιδος ὑπάρχον, ἀνιέμενον μὲν μαλακῆς καὶ οὐχ ἥκιστα πεφθησομένης, ἐπιτεινόμενον δὲ χαλεπῆς καὶ δυσπέπτου γνώρισμα πλευρίτιδος. αἱ τοιαῦται σὺν ἀσθενεῖ τῇ δυνάμει ὀξέως κινδυνώδεις, σὺν ἰσχυρᾷ δὲ ἢ χρονίως ἐπέφθησαν, ἢ εἰς ἐμπύημα μετέπεσον, ἢ φθινώδης αὐτὰς μαρασμὸς διεδέξατο. τῆς μὲν οὖν πεπτομένης ὁ σφυγμὸς πᾶσαν ἀποτίθεται

ſeparatim de pulſibus dignoscendis ſcripſerim. Quare ut rationem exerceatis ſimul et tactum admoneo, ut in experiundo pulſum valeat tactus cognoscere, non discernere ſolum ratione. Principium vero eſt exercitationis ſermone expreſſa doctrina. Quippe nequeas vel crebritatis quantitatem verbis explicare, tametſi multum interſit, excedat juſtum pleuritidis modum, an non aſſequatur. Siquidem exceſſus, ubi in peripneumoniam migret, aut denuntiet ſyncopen, neceſſe eſt fieri; defectus in ſoporem, vel nervorum deſinere laeſionem. Simili modo illa inaequalitatis ſpecies quae ſerrantis imaginem praebet in primis pleuritidis proprium eſt ſignum, ſi remiſſa eſt, mollis et probe maturandae; ſi vero magna, difficilis et admodum crudae pleuritidis. Tales cum imbecilli facultate conjunctae periculum praeſens habent; cum firma autem, aut tarde concoquentur, aut ad ſuppurationem convertentur, aut tabidus eas excipiet marcor. Atque ejus quae concoquitur pulſus pedetentim omnem deponit illam prae-

Ed. Chart. VIII. [224.] Ed. Baf. III. (111. 112.)

κατὰ βραχὺ τὴν παρὰ φύσιν τροπὴν, τῆς δ' εἰς ἐμπύημα μεταβαλλούσης οἱ τῶν ἐμπυημάτων ἴδιοι γίνονται, κατὰ ταῦτα δὲ καὶ τοῖς φθινωδῶς μαρανθησομένοις οἱ τῶν μαρασμῶν.

Αὕτη μὲν ἐκ τῆς εἰσαγωγῆς ἡ ῥῆσις, αὐτὰ τὰ φαινόμενα συμπίπτειν τοῖς πλευριτικοῖς ἐκδιδάσκουσα, οὐ μὴν τὰς αἰτίας ἔτι ἐκδιηγουμένη. νῦν οὖν λεγέσθωσαν. ἡ πλευρῖτις τοῦ ὑπεζωκότος τὰς πλευρὰς ὑμένος ἐστὶ φλεγμονὴ, καὶ διὰ τοῦτο πυρέττουσι μὲν ὀξέως, ὡς ἂν πλησίον κειμένης τῆς καρδίας· ὅτι δ' οὕτω πυρέττουσι, ταχὺς αὐτοῖς ὁ σφυγμός· ὅτι δὲ καὶ νευρῶδες τὸ πεπονθὸς μόριον, ἐπιφανῶς σκληρός· ἐπεὶ δὲ τοῦτο, διὰ τοῦτο καὶ μικρότερος ἢ κατὰ τὴν ἀξίαν τοῦ πυρετοῦ. δεόντως οὖν καὶ πυκνὸς ἀποτελεῖται, τῆς μὲν θερμασίας δεομένης μεγέθους σφυγμῶν, τῆς σκληρότητος δ' οὐχ ὑπα(112)κουούσης. ἐδείχθη δ' ἐν τοῖς ἔμπροσθεν ὅσον ἂν ἐλλίπῃ τῇ χρείᾳ τὸ μέγεθος τοῦ σφυγμοῦ, τοῦτ' ἐκ τῆς πυκνότητος ἀναπληρούμενον. ἄνισος δ' ἐπ' αὐτῶν ἡ πυκνότης, ὅτι καὶ τῶν ἐργαζομένων τὴν φλεγμονὴν χυμῶν οὐχ ἓν εἶδος. εἰ μὲν οὖν χολωδέστεροι τύχοιεν ὄντες, ὅ τε πυρετὸς

ter naturam mutationem. Quae convertitur ad suppurationem, habet pulsus suppuratorum proprios; ita quoque quae tabide marcescet, pulsus marcorum.

Caput ex isagoge hoc est, ac quae aperte accidunt pleuriticis, declarant, causas autem non item aperit. Quamobrem eas hic exponam. Pleuritis inflammatio est succingentis costas membranae, itaque febricitant acute; quippe vicina est cordi. Quia vero ad eum modum febricitant, ideo habent pulsum celerem. Quod nervosa etiam pars sit quae est affecta, hinc insigniter durus est. Jam quia ita habet, ideo minor est quoque quam febri conveniat. Quare ut et creber fiat par est, quod magnos pulsus calor postulet, refragetur durities: diximus autem ante quantum ab usu abstit magnitudo pulsus, resarcire crebritatem. Inaequalis autem in iis est crebritas, quod nec humorum qui inflammationem committunt una sit species. Quare si sint biliosiores, etiam febris acutior erit ac offensio quaedam

ὀξύτερος ἂν γένοιτο καί τις ἀκολουθήσει βλάβη τῆς δυνάμεως· εἰ δὲ φλεγματωδέστεροι, πρᾳότερος μὲν ὁ πυρετὸς, ἑτοιμότερος δ' εἰς καταφοράν. ἀεὶ μὲν γὰρ ἐπὶ πλευρίτισι καὶ περιπνευμονίαις ἡ κεφαλὴ κακοῦται, τῶν ἐν ταῖς φλεγμοναῖς σηπομένων χυμῶν ἐκδεχομένη τὴν λιγνύν. ἀλλ' ὅταν μὲν ὁ σηπόμενος χυμὸς ᾖ χολώδης, ἀτμίζων δριμὺ, καθάπερ αἰθάλην τινὰ, δάκνει τοῦτο καὶ διαβιβρώσκει καὶ ἐρεθίζει τὰ κατὰ τὸν ἐγκέφαλον, καὶ οὕτως εἰς παραφροσύνην ἄγει. φλεγματώδης δ' ὑπάρχων, οὐ καπνῷ δριμεῖ παραπλήσιος, ἀλλ' ἀχλύϊ τινὶ παχείᾳ καὶ θολερᾷ, καθάπερ τι νέφος ἐπὶ τὴν κεφαλὴν ἀναπέμπων ὑγραίνει τε τοῦτο καὶ βαρύνει τὸν ἐγκέφαλον, ἀναγκάζει τε καταφέρεσθαι, καὶ καρώδη γίνεσθαι τὸν ἄνθρωπον. εὐλόγως οὖν ἡ μὲν εἰς πλείονα πυκνότητα τροπὴ τῶν σφυγμῶν ἢ περιπνευμονίαν, ἢ συγκοπὴν ἐπιφέρει· περιπνευμονίαν μὲν ἐπιλαμβανούσης ἀεὶ καὶ βλαπτούσης τὰ συνεχῆ τῆς ἐν τῇ πλευρᾷ φλεγμονῆς, ὡς ἂν ὑπὸ θερμοῦ καὶ ζέοντος καὶ ῥᾳδίως κινουμένου χυμοῦ γεγενημένης· συγκοπὴν δ' αὖ κακώσει τῆς δυνάμεως ἤτοι διὰ νεύρων βλάβην, ἢ καταφορὰν, ὅταν ἐκ τῶν φλεγματωδῶν χυμῶν ἀτμιζόντων ὁ ἐγκέφαλος

consequetur facultatis; sin pituitosiores, et lenior erit febris et proclivior ad soporem. Nunquam enim in pleuritide et peripneumonia sit ut caput non laedatur, quod humorum excipiat in inflammationibus putrium fuliginem. Verum quum putris humor sit biliosus, vaporem habet in modum fuliginis acrem; qui mordicat et erodit; irritatque cerebrum, itaque ad delirium perducit; si pituitosus sit, nec fumo acri similis, sed caligini crassae turbulentae, quasi nubem quandam ad caput attollens, humectat id gravetque crebrum, cogitque in gravem somnum deferri ac sopiri hominem. Recte ergo quum pulsus in majorem crebritatem mutantur, aut peripneumoniam, aut syncopen annunciant: peripneumoniam, quod occupet semper offendatque lateris inflammatio vicinas partes, ut quae a calido gignatur ferventeque humore atque facile moto: syncopen vero ex affecta facultate, vel per nervorum laesionem, vel soporem: quum ex pituitosis humoribus vaporantibus cerebrum re-

πληρωθῇ. καὶ γὰρ αὖ καὶ οὗτος εἰ μὲν ἀπώσασθαι δυνηθείη τὸ βλάπτον εἰς τὰς ἀποφύσεις, ἡ τῶν νεύρων ἀκολουθεῖ κάκωσις· εἰ δ᾽ ἀδυνατήσειεν, ἡ καταφορά. τοῖς μὲν οὖν τοιούτοις χυμοῖς ἀραιότεροι, τοῖς δ᾽ ἐναντίοις τοῖς χολώδεσι πυκνότεροι τοῦ συνήθους μέτρου τῆς πλευρίτιδος οἱ σφυγμοὶ συμπίπτουσιν. τὸ δὲ δὴ μέσον ἀμφοῖν ἐστιν ἀραιότητός τε καὶ πυκνότητος ἐν πλευρίτιδι μέτρον, ὅταν αἱματικὸς ὁ τὸ πάθος ἐργαζόμενος ὑπάρχῃ χυμός. οὕτω δὲ καὶ τὸ τῆς σκληρότητος ὑπάρχον μέσον [225] ἐπί γε τῷ τοιούτῳ χυμῷ καὶ τῇ μέσῃ κατὰ τὸ μέγεθος γίνεται φλεγμονῇ. ἐπιτείνεται δ᾽ ἤτοι διὰ μέγεθος ὑπερβάλλον φλεγμονῆς, ἢ χολώδεις χυμοὺς, ὥσπερ γε καὶ καθαιρεῖται διὰ τἀναντία. δῆλον δὲ ὡς καὶ τοῖς σκληροῖς σφυγμοῖς ἐναργέστερον ἀκολουθήσει τὸ ἐμπρηστικὸν εἶδος τῆς προσβολῆς.

Κεφ. θ'. Ἔστι δὲ τῶν ἐμπύων ὁ σφυγμὸς ἄρτι μὲν ἀρχομένων οἷος ὁ τῆς ἀκμαζούσης φλεγμονῆς· αὕτη γὰρ καὶ αὐτῶν τῶν ἐμπυημάτων ἐστὶν ἀρχή· ἔσθ᾽ ὅτε δὲ καὶ ἀνώμαλος καὶ ἄτακτος, ἐκτικὸς δὲ πᾶσιν. ἤδη δὲ τοῦ πύου παρακειμένου τἄλλα μὲν παραπλήσιος, ἀλλ᾽ ὁμαλώτερος,

pletur. Jam hoc etiam fi propellere offenfam ad ramulos valeat, confequetur laefio nervorum; et fopor, fi nequeat. Ac talibus quidem humoribus rariores, contrariis, puta biliofis, crebriores jufto modo pleuritidis pulfus eveniunt. Porro autem medius eft inter raritatem et crebritatem modus in pleuritide, ubi qui morbum committit humor fanguineus fit. Sic etiam modus medius duritiei ex tali humore ac moderata inflammatione oritur, augetur vero aut ob inflammationis nimiam magnitudinem, aut ob humores biliofos. Itemque per contraria minuitur. Jam hoc quoque liquet, duros pulfus evidentius confecuturam fpeciem occurfus veluti ferrantis

Cap. IX. *Suppuratorum pulfus initio ftatim pulfum refert vigentis inflammationis; ipfa enim initium eft fuppurationum. Nonnunquam inaequalis eft et inordinatus, fed omnibus hecticus. Quum autem pus prope fit*

ἐν δὲ ταῖς ῥήξεσιν ἀμυδρότερος, πλατύτερος, βραδύτερος, ἀραιότερος.

Τοὺς ἐν τῇ μεταξὺ θώρακός τε καὶ πνεύμονος εὐρυχωρίᾳ πλῆθός τι πύου περιεχόμενον ἔχοντας ἔνιοι μὲν ἐμπύους, οἱ δ᾽ ἐμπυϊκοὺς ὀνομάζουσι. γίνονται δὲ οὗτοι διὰ μέγεθος τῆς ἐν ταῖς πλευραῖς φλεγμονῆς εἰς πῦον μεταβαλλούσης. ἔστι δ᾽ ὅτε καὶ περιπνευμονίαις ἀκολουθοῦσι. ἤδη δὲ καὶ πάντας οἷς σπλάγχνον τι φλεγμῆναν ἐξεπύησεν, ἐμπύους ὀνομάζουσιν. ὁ τοίνυν προγεγραμμένος περὶ τῶν ἐμπύων λόγος ἐκ τῆς εἰσαγωγῆς μάλιστα μὲν ἐπὶ τῶν πρώτων εἰρημένων, ἤδη δὲ κἀπὶ τῶν ἄλλων ἁπάντων ἀληθής. εἰς πῦον γάρτοι μεταβαλλούσης τῆς φλεγμονῆς ἀναγκαῖον ἀνωμαλίαν γέ τινα καὶ ἀταξίαν ἐν τοῖς σφυγμοῖς γενέσθαι, διά τε τὴν τῶν ὀργάνων κάκωσιν καὶ τὴν τῆς δυνάμεως ἀσθένειαν. ἐξ ἐπιμέτρου δὲ προσέρχεται ἡ οἷον διαμάχη τῆς φύσεως πρὸς τὸ σύμπτωμα. τὸ γὰρ ἐκ τῆς σήψεως ὑγρὸν, ὡς ἂν ἄλλοτ᾽ ἀλλαχόσε μεταῤῥέον ἀτάκτως, ἅμα μὲν ἐμποδὼν ἵσταται ταῖς διεξόδοις τοῦ πνεύματος, ἅμα δ᾽ ἐπεγείρει τὴν φύσιν ἀπώσασθαι τὰ λυ-

maturum, caetera similis est, nisi quod aequalior sit: at quum erumpit, languidior, latior, tardior, rarior.

Qui multum puris in capedine inter thoracem et pulmonem collectum habent, hos quidam ἐμπύους, alii ἐμπυϊκους suppuratos appellant, qui fiunt quum magna ad costas inflammatio suppurat. Interim etiam comitantur peripneumonias. Denique omnes quibus inflammatum viscus aliquod suppuravit suppuratos vocant. Hoc ergo caput de suppuratis, quod ex isagoge proposuimus, quum praecipue est in primis quos commemoravimus verum, tum vero in reliquis omnibus. Nam ubi suppurat inflammatio, quod instrumenta vitiata et debilitata sit facultas, non potest non pulsibus inaequalitas quaedam et ordinis perturbatio moveri; huic cumulus accedit naturae cum symptomate certamen. Humor enim putridus, qui modo huc, modo illuc sine ordine confluit, tum spiritum transitu intercludit tum ad propulsanda naturam incitat quae molesta sunt, unde ma-

ποῦντα, κἀν τούτῳ μεγάλοι τε καὶ ὑψηλοὶ καὶ ταχεῖς οἱ σφυγμοὶ γίνονται. μικρὸν ὕστερον δὲ ἤτοι καμνούσης ἐν τῇ διαμάχῃ τῆς δυνάμεως ἢ κατά τι μόριον ἐμφράξεως ἰσχυροτέρας γινομένης, εἰς τἀναντία μεταπίπτουσι, μέχρις ἂν ἡ ζωτικὴ δύναμις ἑαυτὴν ἐπεγείρουσα πρὸς τὸ διωθεῖσθαι τράπηται τὰ λυποῦντα, κἀν τούτῳ πάλιν ὑψηλότεροι καὶ σφοδρότεροι τῶν ἔμπροσθεν οἱ σφυγμοὶ ἀποτελοῦνται. συνεχοῦς οὖν τῆς τοιαύτης μεταβολῆς γινομένης, ἀνωμαλία τέ τις ἐξ ἀνάγκης ἐν αὐτοῖς συνίσταται καὶ ἀταξία, καὶ ταῦτα παραμένει διηνεκῶς, ἄχρις ἂν ἡ ῥῆξις γένηται. διὰ τοῦτο καὶ ἑκτικὸς αὐτῶν ὁ σφυγμὸς εἴρηται. δηλωτικὸν γάρ ἐστι τοῦτο τὸ ὄνομα παρὰ τοῖς νεωτέροις ἰατροῖς τοῦ διὰ παντὸς μένειν αὐτὸν ὅμοιον, καὶ μὴ κατὰ περιόδους οἷον καταβολάς γέ τινας ποιεῖσθαι, καὶ αὖθις διαλείμματα, καθάπερ ἐν τοῖς ἄλλοις πυρετοῖς. παραμένει γὰρ ὁ προειρημένος σάλος ἐν τῇ κινήσει τῶν ἀρτηριῶν, ἄχρις ἂν ἡ ῥῆξις γένηται. ῥαγέντος μέντοι τοῦ διαπυΐσκοντος μορίου, δῆλος ὡς τἀναντία πάντα γενήσεται. καὶ χρὴ μεμνῆσθαι τῶν ἐν τῷ δευτέρῳ λόγῳ περί τε πλατέος εἰρημένων καὶ ὑψηλοῦ σφυγμοῦ, καὶ μὴ περὶ πάντων ἐθέλειν

gni vehementesque et alti celeresque pulfus oriuntur. Paulo poft autem ubi defatigatur pugnando facultas, aut fiqua firmius pars obftruatur, in contraria recidunt, dum feipfam concitet vitalis facultas, ac ad rejicienda quae fibi funt infefta fe convertat, ubi denuo altiores atque vehementiores prioribus evadunt pulfus. Ergo quum perpetua haec fit mutatio, inaequalitas in iis neceffario quaedam et ordinis perturbatio nascitur, eaque dum fiat eruptio perdurat. Quamobrem hecticus eft dictus pulfus illorum; quod quidem nomen recentioribus medicis fignificat conftanter manere illum eundem et non in orbem veluti acceffiones quasdam facere rurfusque intervalla, quod in aliis fit febribus. Perpetua eft enim illa in motu arteriarum agitatio, donec fiat eruptio; at dirupta parte quae fuppurat, plane erunt omnia contraria. Ac meminiffe oportet eorum quae de lato pulfu in fecundo libro et de alto docuimus, neque hoc po-

ἀκούειν πολλάκις. ἐπὶ γάρ τοι ταῖς ῥήξεσι τῶν ἐμπυημάτων ἥ τε τάσις ἤδη τῶν ἀγγείων παύεται καὶ ἡ δύναμις ἐν τῇ διαμάχῃ κέκμηκε, καὶ ἰσχνὸς ὁ ἄνθρωπος ἐξ ἀνάγκης γέγονεν. ὧν συνελθόντων ὁ πλατὺς ἐγένετο σφυγμός. αὔξει δ' αὐτοῦ μάλιστα τὴν ὡς πρὸς τὴν αἴσθησιν φαντασίαν ἡ πρὶν ῥαγῆναι τῶν ἀρτηριῶν εἰς ὕψος ἄνοδος. ἐκείνης γὰρ ἔτι μεμνημένοι, καὶ παραμετροῦντες αὐτῇ τὰ νῦν φαινόμενα, πλατὺν ἱκανῶς ἀποτελεῖσθαι τὸν σφυγμὸν ὑπολαμβάνομεν.

Κεφ. ι'. [226] Ἑξῆς ἐστιν ὁ περὶ τῶν μαραινομένων λόγος, ἐφ' οὗ καὶ αὐτοῦ προγράψαντες ὅσα πρὸς τὴν τῆς αἰτίας εὕρεσίν ἐστι χρήσιμα, μετὰ ταῦθ' ὑπογράψομεν τὴν ἐκ τῆς εἰσαγωγῆς ῥῆσιν. ὠνόμασται δὲ τὸ πάθος ἀπὸ τῶν φλογῶν τῶν μαραινομένων. ἐνδείᾳ δ' αὗται τροφῆς ἀποσβέννυνται. ὅταν οὖν κατὰ τὸν αὐτὸν λόγον ἡ σύμφυτος τοῖς ζώοις θερμασία μαραίνηται, τοὺς σφυγμοὺς ἀναγκαῖον ἀμυδροὺς ὑπάρχειν, ὡς ἂν ἐξ ἀνάγκης ἀῤῥώστου τοῖς οὕτως ἔχουσι τῆς δυνάμεως ἀποτελουμένης. διὰ δὲ ταὐτὸ τοῦτο καὶ μικροὶ γίνονται. καὶ μὴν καὶ τάχος ἔχειν τι φαίνονται, τῷ καὶ τοῦτ' ἀχώριστον εἶναι τῶν πυρεττόντων. ἐπεὶ καὶ πυρέττουσι μὲν, ἄῤῥωστοι

ſtulandum, ut de omnibus ſaepius repetamus. Nam vaſa jam erumpente pure deſinunt tendi, facultasque defeſſa eſt ex colluctatione, ac neceſſario homo eſt attenuatus, quae ubi convenerunt, latus fit pulſus. Augebit porro multo magis ad ſenſum quidem ejus ſpeciem ascenſus ante eruptionem arteriarum. Siquidem quia illius adhuc ſumus memores, eique comparamus quae nunc apparent, pulſum reddi bene latum arbitramur.

Cap. X. Proximum eſt de marcescentibus caput, de quo etiam quae ad cauſam inveniendam faciunt, primo loco tradam, deinde caput ipſum ex iſagoge adſcribam. Nomen hic affectus invenit a flammis marcescentibus, quae defectu nutrimenti extinguntur. Ac ubi calor eodem modo marcescit nativus animantium, pulſus oportet eſſe languidos. Nam ita affectis facultas efficitur debilis. Quocirca etiam parvi fiunt; jam celeritate etiam quadam videntur praediti, quod nec haec abeſſe a febricitantibus poſſit. Quia autem et

δ᾽ εἰσὶ τὴν δύναμιν, καὶ διὰ τοῦτο καὶ τὸν σφυγμὸν ἔχουσι μικρὸν, ἀναγκαῖον αὐτοῖς ἐστι καὶ πυκνὸν ἔχειν. ἐδείχθη γὰρ καὶ τοῦτ᾽ ἐν τοῖς ἔμπροσθεν λόγοις. ἀῤῥωστίᾳ δὲ δυνάμεως ἐδείκνυτο καὶ ὁ περινενευκὼς ἕπεσθαι σφυγμὸς, μύουρος ὢν καθ᾽ ἑκάτερα τὰ μέρη. δῆλον δ᾽ ὡς καὶ διὰ παντὸς ὅμοιον ἑαυτῷ τὸν σφυγμὸν ἔχουσιν οἱ τοιοῦτοι, τῆς διαθέσεως οὐκ ἐκ τῶν ὑγρῶν, ἢ τοῦ πνεύματος ὁρμωμένης, ἀλλ᾽ ἐν αὐτοῖς τοῖς στερεοῖς ὑπαρχούσης. ὅλη γὰρ ἐπὶ τούτων ἡ ἕξις τοῦ σώματος οἷον ἄνθραξ τις γέγονε. καὶ διὰ τοῦτο ἑκτικοὺς οἱ νεώτεροι τῶν ἰατρῶν ὀνομάζουσι τοὺς τοιούτους σφυγμούς. ἐφ᾽ ὧν δ᾽ ἤδη τελείως ἀποσβέννυται τὸ θερμὸν, ἐπὶ γερόντων δὲ μάλιστα τοῦτο συμπίπτει, καὶ ἀραιότερος ὁ σφυγμὸς γίνεται. καλεῖ δὲ τὸν τοιοῦτον μαρασμὸν ὁ Φίλιππος ἐκ νόσου γῆρας, καὶ συμπίπτει μάλιστα μὲν τοῖς παρηβῶσιν, ἐνίοτε καὶ τοῖς ἔτι ἀκμάζουσι. καὶ καλῶς ὑπὲρ αὐτῶν γέγραπται τῷ Φιλίππῳ ὅτι τούτων ἡ διάθεσις οὐ τοῖς ἀκριβῶς διαπύροις (113) ἄνθραξιν ἔοικεν, ἀλλὰ τοῖς οὕτω σβεννυμένοις ὡς εἰς τέφραν ἤδη μεταβάλλειν. ἀρκεῖ ταῦτα τῷ γε νοῦν

febricitant et facultate sunt imbecilla, itaque pulsum habent parvum, necessario jam simul crebrum obtinent; id quod et in libris prioribus est ostensum. Imbecillitatem autem facultatis comitari item pulsum circumnutantem declaravimus, qui decurtatus est in utraque parte. Atque planum est, eos semper pulsum habituros undequaque similem: quod non ex humoribus affectus, nec ex spiritu procedat, sed in ipsis consistat solidis partibus. In his enim corporis habitus universus ut carbo quidam factus est, qua de re hecticos juniores medici hos pulsus appellant. At quibus jam calor extinctus est totus, quod accidit potissimum senibus, rarior quoque pulsus fit. Hunc marcorem Philippus vocat ex morbo senium; quem fere habent senescentes et interdum vigentes etiam. De quibus optime Philippus scripsit, non plane ignitis carbonibus hunc affectum similem esse, sed his qui ita extinguuntur ut in cinerem jam vertantur. Haec

Ed. Chart. VIII. [226.] Ed. Baf. III. (113.)

ἔχοντι πρὸς τῷ παρακολουθῆσαι τοῖς ἑξῆς. ὑπογράψομεν οὖν ἤδη τὴν ἐκ τῆς εἰσαγωγῆς λέξιν.

Ὁ δὲ τῶν μαραινομένων οὐ καθ᾽ ἓν εἶδος σφυγμὸς τρέπεται. χρὴ γοῦν καθόσον ἐνδέχεται διαφοραῖς εὐδήλοις διορίσασθαι περὶ αὐτῶν. οἱ μὲν δὴ ταῖς μὴ λυθείσαις φλεγμοναῖς κατὰ βραχὺ συναπομαρανθέντες ἀμυδροὺς καὶ θάττονας καὶ πυκνοὺς ἄγαν καὶ μυούρους κατὰ μέγεθος ἐν μιᾷ πληγῇ τοὺς σφυγμοὺς ἴσχουσιν, οὓς Ἀρχιγένης ἐπινενευκότας τε καὶ περινενευκότας καλεῖ, σαφῶς δηλοῦν βουλόμενος τὸ κατὰ τὴν διαστολὴν βραχὺ μετὰ τῆς τῶν ἑκατέρωθεν περάτων οἷον ἐπινεύσεως. οὐ γὰρ ὡς ἀποκεκομμένων ἀθρόως, ἀλλ᾽ ὡς ἐπικεκαμμένων τῶν ἑκατέρωθεν μερῶν εἰς βραχὺ συνέσταλται, μύουρος ὢν τῷ μεγέθει καὶ καθ᾽ ἑκάτερα τὰ μέρη. τοῦτο μὲν οὖν οὐ τούτοις μόνοις, ἀλλὰ καὶ τοῖς πλείστοις τῶν ὁπωσοῦν μαραινομένων ὑπάρχει, τοῖς μὲν διὰ φλεγμονὰς πᾶσιν, ἤδη δὲ καὶ τῶν ἄλλων πολλοῖς, εἰ μή τι ἄρα κἀκεῖνοι διά τινας φλεγμονὰς λανθανούσας μαραίνονται. καὶ εἴη ἂν οὗτος τῶν ἐπὶ φλεγμοναῖς μαραινομένων ἴδιος, οὐδενὶ τῶν

viro prudentia praedito certe ad reliqua intelligenda fatis funt, itaque caput nunc ex ifagoge adfcribemus.

Marcescentium pulfus non uno modo variat. Quare differentiis hi quam apertiffimis discernendi funt. Qui una cum inflammatione, quae non discuffa fit, emarcuerint, languidos et celeriores valdeque crebros pulfus habent, ac decurtatos magnitudine in uno ictu; quos Archigenes nutantes et circumnutantes appellat, ut aperte declaret diftentionis brevitatem cum utriusque extremitatis quafi inclinatione. Neque enim ut praecifis affatim, fed ceu partibus utrinque inflexis contrahitur decurtatus magnitudine et in utrisque partibus. Atque hoc quidem non hi modo, fed marcescentes qualibet de occafione habent fere omnes; qui ex inflammatione marcescant, omnes; et alii item multi; nifi illi fane, qui de occulta quapiam inflammatione marcescunt. Eritque hic marcescentium ex inflammatione proprius, nulli conveniens qui aliam ob

ἄλλως μαρανθέντων ὑπάρχων. ἑκτικὸς δὲ πᾶσι τοῖς μαραινομένοις ὁ σφυγμός ἐστι καὶ τοῦτ᾽ αὐτοῖς κοινότατον. ἐν δευτέρῳ δ᾽ ἡ κατὰ τὸ μέγεθος τῆς διαστολῆς ἀνωμαλία μυουρίζουσα. καὶ γὰρ καὶ τοῦτο τοῖς πλείστοις ὑπάρχει. τρίτον δὲ τὸ τῆς πυκνότητος. ὑπάρχει γὰρ καὶ τοῦτο πᾶσι μὲν τοῖς ἐπὶ φλεγμοναῖς μαρανθεῖσιν ἀχώριστον, ἅπασί τε τοῖς ἐπὶ καρδιακαῖς, ἢ στομαχικαῖς συγκοπαῖς ὀξέως κινδυνεύσασιν, εἶτα ὑπὸ οἴνου πόσεως διαφυγοῦσι μὲν τὴν ὀξύτητα, μαρανθεῖσι δὲ τῷ χρόνῳ, [227] εἰ μή τι ἄρα καὶ τούτους φήσειέ τις ἐπὶ μικραῖς φλεγμοναῖς ἀδήλοις ἡμῖν ἀπόλλυσθαι. καὶ γάρ τινες αὐτῶν τὸν ἐπινενευκότα σφυγμὸν ἔχουσιν, εἰ μή τι ἄρα πάλιν τούτους μὲν ἐπὶ φλεγμονῇ, τοὺς δ᾽ ἄλλους χωρὶς φλεγμονῆς μαραίνεσθαί φασι. τοῦτο μὲν δὴ ἄπορον. ἔχουσι δ᾽ οὖν οὗτοι σφυγμὸν ἑκτικὸν, ἀμυδρὸν, πυκνὸν ἄγαν, καί τινες αὐτὸν ἐπινενευκότα καλοῦσι. δευτέρα μὲν αὕτη διαφορὰ σφυγμῶν τοῖς μαραινομένοις. ἄλλη δὲ τρίτη τὸν ἀραιὸν ἰσχόντων, ἀλλὰ καὶ τούτοις πάντως ὅ τε προηγησάμενος πυρε-

cauſam marcuerit. At hecticus omnibus marcescentibus pulſus eſt, qui quidem iis eſt communiſſimus. Secundum illum inaequalitas ſecundum magnitudinem diſtentionis decurtata, quae etiam adeſt plerisque, deinde crebritas, etenim haec quoque omnibus qui ex inſlammatione marcuerint perpetua adhaeret; omnibusque adeo qui ob ſyncopen ex corde, vel ſtomacho profectam in praeſens periculum venerunt, ac deinde vini potione praeceps declinaverunt periculum, ſed tempore tamen marcuerunt: niſi ſane hos quoque dicas ex parvis inſlammationibus perire, nobis incognitis. Siquidem ſunt inter eos qui nutantem habeant pulſum; niſi etiam hos dicas ex inſlammatione, alios citra inſlammationem marcescere. Verum hoc in dubio eſt. Pulſum igitur hi habent hecticum, languidum, admodum crebrum, quem nutantem quidam appellant; atque alteramhanc marcescentes differentiam pulſuumſunt ſortiti. Alia item tertia eſt eorum qui rarum habent; verum et his quum antegreſſa febris pulſus reddidit cre-

τὸς ἐπύκνωσεν αὐτοὺς, τῆς τε δυνάμεως ἡ ἐσχάτη λύσις ἱκανῶς πυκνοῖ. τοὐν μέσῳ δὲ πάντων πυρετῶν ἀποψυχθέντων, μηδέπω δὲ ἀπολλυμένων αὐτῶν, τὴν εἰς ἀραιότητα τροπὴν εἰργάσατο. τοῦτο τὸ εἶδος τοῦ μαρασμοῦ πρεσβυτικῆς ἡλικίας ἴδιον, ἡνίκ' ἂν μάλιστα τῶν κατὰ πνεύμονα καὶ θώρακα πεπονθός τι τύχοι. οὗτοι τὴν πυρεκτικὴν σκληρότητα τοῦ σφυγμοῦ φυλάττουσι, κἂν ἀραιὸς ᾖ. παντελῶς δ' ὀλίγοις τῶν μαραινομένων εἰς ἄλλην ἀνωμαλίαν ὁ σφυγμὸς τρέπεται, πλὴν τῆς εἰρημένης κατὰ τὸ μέγεθος.

Κεφ. ια'. Ὁ δὲ τῶν φθισικῶν ὀνομαζομένων σφυγμὸς μικρὸς καὶ ἀμυδρός ἐστι καὶ μαλακὸς, καὶ ταχὺς συμμέτρως καὶ ἑκτικός.

Ἑξῆς περὶ τῶν φθισικῶν ὀνομαζομένων ὁ λόγος ἐστί. μικρὸν μὲν καὶ ἀμυδρὸν ἐχόντων τὸν σφυγμὸν, ἀῤῥωστίᾳ τῆς δυνάμεως, οὐ μὴν ἱκανῶς γε ταχὺν, ὥσπερ οἱ πολλοὶ τῶν πυρεττόντων, ὅτι μηδὲ περικαῆ πυρέττουσι πυρετόν. ἑκτικὸν δὲ καὶ οὗτοι τὸν σφυγμὸν ἔχουσιν, ὅτι καὶ τὸν πυρετόν. ἀπὸ γοῦν τοῦ κατειληφότος τὴν ὅλην ἕξιν τοῦ σώματος αὐτῶν πυρετοῦ ὁ σφυγμὸς οὗτος ὀνομάζεται.

bros, tum facultatis extrema diſſolutio abunde efficit crebros. Quod autem intercedit, omnibus refrigeratis febribus, nondum tamen extinctis iis, in raritatem commutat. Genus hoc marcoris ſenibus proprium eſt, praeſertim quum aliquid vitii pulmo et thorax contraxit. Hi febrilem retinent pulſus duritiem, etiam ſi rarus ſit. Omnino paucis marcescentibus in aliam inaequalitatem pulſus ac illam quam diximus, magnitudinis, vertitur.

Cap. XI. *Phthiſicorum quos vocant pulſus parvus et languidus eſt, mollisque et modice celer atque hecticus.*

Proxima eſt oratio de phthiſicis quos vocant, qui pulſum facultatis imbecillitate parvum et languidum habent, at non nimium celerem ut plerique febricitantes, quod non detineantur urente febre. Hi habent etiam pulſum hecticum, quod et febrem habeant hecticam: ſic a febre, quae corporis occupavit univerſum habitum, appellatur pulſus;

Ἑξῆς δὲ τούτων ἐν τῷ τοῖς εἰσαγομένοις γεγραμμένῳ βιβλίῳ περὶ τῶν περιπνευμονικῶν ὁ λόγος ἐστί. προσγράψαι δὲ κἀνταῦθα τὴν ῥῆσιν ἄμεινον εἶναί μοι δοκεῖ, τοιαύτην ὑπάρχουσαν.

Κεφ. ιβ'. Ὁ δὲ τῶν περιπνευμονικῶν μέγας ἐστὶ καὶ ἀμυδρὸς καὶ μαλακὸς, ὁμοίως τῷ τῶν ληθαργικῶν, πλὴν ὅσα πλεονάζει τῇ ἀνωμαλίᾳ, τῇ τε κατὰ μίαν πληγὴν καὶ τῇ συστηματικῇ καλουμένῃ· κατὰ μὲν τὴν μίαν πληγὴν οἷον διακεκομμένος τε καὶ κυματιζόμενος καὶ δίκροτος ἔσθ' ὅτε γινόμενος, ἐν δὲ τῇ συστηματικῇ, τάς τε ἄλλας διαφορὰς ἔχων καὶ ποτὲ μὲν διαλείπει, ποτὲ δὲ παρεμπίπτει.

Ἡ μὲν ῥῆσις αὕτη, τὰ συμπίπτοντα τοῖς περιπνευμονικοῖς ἀκριβῶς ἐκδιδάσκουσα. τὰς δ' αἰτίας αὐτῶν οὐ χαλεπὸν ἐξευρίσκειν τῷ μεμνημένῳ τῶν ἐν τοῖς πρώτοις ὑπομνήμασιν ἀποδεδειγμένων. οὐδὲν γὰρ θαυμάσιον οὔτε μέγαν εἶναι τὸν σφυγμὸν αὐτῶν οὔτε ἀμυδρὸν οὔτ' ἀνώμαλον ἐπὶ φλεγμοναῖς τοῦ πνεύμονος, οὕτω μὲν χαύνου καὶ μαλακοῦ σπλάγχνου, καὶ μεστοῦ κενῶν χωρίων μυρίων, οὕτω δὲ πλησίον

ab his in libro ad tirones fcripto caput fequitur de peripneumonicis. Quod quidem hic vifum mihi eft adfcribere: habet autem ad hunc modum.

Cap. XII. *Peripneumonicorum magnus eft pulfus et languidus, mollisque fimiliter atque lethargicorum pulfus, nifi quatenus praepollet inaequalitate et in uno pulfu et collectiva quam vocant. In uno ictu, quum veluti interpellatur et undofus eft ac dicrotus interdum fit; in collectiva, cum alias differentias habet, tum modo intermittit, modo intercurrit.*

Hoc caput eft quod accurate quae peripneumonicis accidunt docet. Caufas vero, fi memoriam habes eorum quae docuimus in primis commentariis, nullo negotio inveneris. Neque enim eft mirum vel magnum effe pulfum illorum, vel languidum, vel inaequalem ob pulmonis inflammationem, visceris tam laxi et mollis, locisque inani-

τῆς καρδίας κειμένου. διότι μὲν γὰρ χαῦνον καὶ μαλακὸν καὶ πολύκενον, ὑπὸ φλεγματικωτέρου τε καὶ παχυτέρου τὴν σύστασιν αἵματος, εἰς φλεγμονὴν ἄγεται, τοῦ λεπτοῦ καὶ χολώδους ὡς τὰ πολλὰ διαῤῥέοντός τε καὶ σφηνωθῆναι μηδαμῶς κατὰ τὸ σπλάγχνον δυναμένου. τὸ δὲ τοιοῦτον ῥεῦμα, λέγω δὲ τὸ φλεγμονικὸν, διαβρέχει μὲν τὸν χιτῶνα τῶν ἀγγείων, διαλύει δὲ τὸν τόνον τῆς ἐν αὐτοῖς δυνάμεως, καὶ οὕτω μεγάλους τε ἅμα καὶ ἀμυδροὺς ἀποτελεῖ τοὺς σφυγμούς. [228] ὅτι δὲ καὶ τῆς καρδίας ἐγγὺς τὸ σπλάγχνον, ἡ ἀνωμαλία πολυειδὴς γίνεται. θλίψεσι γὰρ ἀρτηριῶν καὶ σφηνώσεσι καὶ ὅλως πληθωρικαῖς διαθέσεσιν ἐδείξαμεν ἕπεσθαι τὴν ἀνωμαλίαν, καὶ μᾶλλον, ἐπειδὰν ἐγγὺς ὦσι τῆς καρδίας. ὅτι δ' ἐν ταῖς περιπνευμονίαις θλίβονται καὶ βαρύνονται καὶ σφηνοῦνται καὶ ἀῤῥωστοῦσιν αἱ ἀρτηρίαι τοῦ πνεύμονος, οὐ δεῖ λόγου. διὰ τοῦτο δὲ καὶ ὁ δίκροτος ἐπ' αὐτῶν σφυγμὸς σπανίως γίνεται, καίτοι τῆς γ' ἄλλης ἀνωμαλίας πολλῆς συμπιπτούσης, ὅτι δεῖ τοὐπίπαν τῷ δικρότῳ προσεῖναί τι σκληρότητος ἀγγείου. ταύτην δ' ἐκ φλεγματικοῦ ῥεύματος οὐχ οἷόν τε κτήσασθαι. τοῦ γὰρ χολωδεστέρου τὸ

bus infinitis pleni, tam porro vicini cordi. Nam quia laxum eſt et molle et undique vacuum, a pituitoſiore atque craſſiore ſanguine inflammatur, quum tenuis bilioſusque fluat fere, nec in viscere ulla ratione denſari poſſit, talis fluxio, pituitoſa inquam, tunicam irrigat vaſorum, frangit autem vim facultatis quae in illis eſt. Quo fit ut magnos ſimul et languidos pulſus reddat. Quia vero cordi etiam viscus eſt vicinum, multiformis generatur inaequalitas. Siquidem compreſſionibus arteriarum et conſtrictionibus, denique affectibus plethoricis oſtendimus inaequalitatem ſuccedere, potiſſimum ſi finitimae ſint cordi. Atqui quod in peripneumonia comprimantur et graventur conſtringanturque, atque debiles ſint pulmonis arteriae, quid refert dicere? Quapropter pulſus iis dicrotus infrequens eſt, quamvis aliam habeant multam inaequalitatem; quod dicrotus fere ſemper vaſis requirat quandam duritiem, quam quidem non contra-

συνάγειν καὶ ξηραίνειν καὶ τείνειν καὶ σκληρύνειν ἔργον. ἐπεὶ τοίνυν σπανίως τοῦτο διοχλεῖ τῷ πνεύμονι, δῆλον ὡς καὶ ἡ σκληρότης σπανίως ἔσται· εἰ δὲ τοῦτο, καὶ ὁ δίκροτος σφυγμός. ὅτι δὲ παρὰ τὸ τῆς βλάβης μέγεθος ἤτοι διαλείποντες ἢ παρεμπίπτοντες ἔσονται σφυγμοὶ, καὶ τοῦτ᾽ ἐν τῷ δευτέρῳ λόγῳ δεδήλωται. καὶ ὅστις οὐ μέμνηται ἐκείνων, μάτην καὶ ταῦτα ἀναλέγεται. μεμνημένῳ δὲ περιττοτέρας ἐξηγήσεως οὐχ ἡγοῦμαι δεῖν ἔτι. καὶ γὰρ τὰ τούτοις ἐφεξῆς εἰρημένα διὰ τῆς εἰσαγωγῆς ὑπὲρ τῶν περιπνευμονικῶν οὐκ ἔχει τὰς αἰτίας ἀσαφεῖς τῷ μεμνημένῳ τῶν πρώτων, ἀλλ᾽ ἀπόχρη κἀνταῦθα τὴν ῥῆσιν αὐτὴν παραγράψαι μόνον.

Πυρεττόντων δὲ ἁπάντων τῶν περιπνευμονικῶν ὀξέως, καί τι καὶ κωματῶδες ἐχόντων, ὁπότερον ἂν αὐτῶν ἐπικρατῇ, κατ᾽ ἐκεῖνον μάλιστα τὸ ποσὸν τῆς πυκνότητος εὑρίσκεται. πυρετωδεστέρας μὲν γὰρ ὑπαρχούσης τῆς περιπνευμονίας, ἱκανῶς πυκνὸς ὁ σφυγμὸς, κωματωδεστέρας δὲ ἧττον πυκνός.

hat ex pituitofa fluxione. Siquidem biliofioris munus eft cogere, ficcare, tendere, indurare. Quae quando minus faepe pulmonem infeftat, fane erit rara quoque durities, et fi haec, fimul dicrotus pulfus etiam. Jam pro offenfae magnitudine vel intermittentes pulfus, vel intercurrentes fore, etiam fecundo libro declaratum eft, quae fi exciderunt, nequicquam haec leges; fi retines, prolixiorem interpretationem non puto jam te defiderare. Nam quae in ifagoge deinceps de peripneumonicis retulimus fi primorum memoriam retines, non habent obscuras caufas, quandoquidem hic quoque ipfum fatis eft caput duntaxat adfcripfiffe.

Quum autem febre teneantur acuta omnes peripneumatici, atque habeant adiunctum nonnihil comatis, utrum fuperius horum fit; pro ejus ratione potiffimum quantitas crebritatis invenitur. Nam infigniorem fi peripneumonia febrem habeat, pulfus erit multum creber: fin majus coma, minus creber erit.

Κεφ. ιγ'. Ὁ δὲ τῶν ληθαργικῶν σφυγμὸς ὅμοιος ὢν τῷ τῶν περιπνευμονικῶν κατὰ μέγεθος καὶ ἀσθένειαν καὶ μαλακότητα βραδύτερός ἐστιν αὐτοῦ καὶ ἀραιότερος καὶ ἧττον ἀνώμαλος, διαλείπων μᾶλλον ἢ παρεμπίπτων. γίνεται δ᾽ ἔστιν ὅτε καὶ δίκροτος. ἀεὶ μέντοι κυματώδης ἐστὶν ἔν γε ταῖς βαθείαις καταφοραῖς, ἐφ᾽ ὧν ταῦτα λέγεται. τῶν γὰρ συμπεπληρωμένων ἅπασι τοῖς ἑαυτῶν γνωρίσμασι νοσημάτων τοὺς σφυγμοὺς διέξιμεν, ἵνα καὶ τῶν ἐλλειπόντων κατά τι καὶ μηδέπω τελέων ἱκανῶς γνωρίζειν δυνηθῶμεν (114) τὸ μέγεθος, ὅσον τε ἤδη ἔχουσι καὶ ὅσον οἷόν τε προσγενέσθαι αὐτοῖς.

Ὅτι καὶ ὁ λήθαργος ἐπὶ φλεγματώδει γίνεται χυμῷ, δέδεικται καὶ τοῦτ᾽ ἐν τοῖς ἰδίοις ὑπὲρ τῶν νοσημάτων λόγοις. ὥστε καὶ εὐλόγως ὁ σφυγμὸς ὁμοιότατός ἐστι τῷ τῶν περιπνευμονικῶν, βραδύτερος εἰς τοσοῦτον εἰς ὅσον ἀποκεχώρηκε τῆς καρδίας οὐκ ὀλίγον ὁ ἐγκέφαλος. ὁ γὰρ δὴ πνεύμων τῇ γειτνιάσει τῇ πρὸς ἐκείνην εὐλόγως ὠκυτέρους τε καὶ πυκνοτέρους ἀπεργάζεται τοὺς σφυγμοὺς, ἐπειδὰν θερμότερος ᾖ. ὅτι δὲ καὶ ἀνωμάλους μᾶλλον εὔλογον

Cap. XIII. *Lethargicorum pulſus ſimilis peripneumonicorum eſt, magnitudine, imbecillitate, mollitie: ſed eo eſt tardior rariorque ac minus inaequalis, intermittens potius quam intercurrens. Eſt quum dicrotus fiat; at undoſus ſemper in altis quidem ſoporibus eſt, de quibus haec dicuntur. Morborum enim pulſus exponimus, qui omnibus ſuis indiciis conſtent: quo, ſi qui aliquatenus deficiant, neque dum ſint integri, ſatis cognoscere magnitudinem et qua jam ſunt praediti et quae accidere iis poteſt, valeamus.*

Lethargum quoque ex humore pituitoſo gigni, in commentariis quos ſeparatim ſcripſimus De morbis oſtenſum eſt; unde merito ejus pulſus ſimillimus eſt peripneumonicorum, verum hoc tardior, quod procul a corde remotum eſt cerebrum. Nam pulmo quidem ob viciniam, quae ipſi intercedit cum corde, pulſus ſuo jure, quum calidior ſit, celeriores ac crebriores creat. Jam vero etiam magis in-

γίνεσθαι διὰ τὴν γειτνίασιν, οὐδὲ τοῦτο ἄδηλον τοῖς μεμνημένοις τῶν πρώτων. διὰ τοῦτο δὲ καὶ διαλείπων ἐστὶν ἢ παρεμπίπτων μᾶλλον ὁ τῶν ληθαργικῶν σφυγμός. ἐπὶ πλέον γὰρ ψυχρότερον, καὶ ὡς ἂν εἴποι τις νεκρωδέστερον τοῦ τῆς περιπνευμονίας ἐστὶ τὸ τοῦ ληθαργικοῦ νόσημα. ψυχρᾶς δ' ἦν οἰκεῖος διαθέσεως καὶ δυνάμεως ἐπὶ πλέον ἀπεψυγμένης ὁ διαλείπων σφυγμός.

Κεφ. ιδ'. [229] Ὁ δὲ τῶν φρενιτικῶν σφυγμὸς μικρός ἐστι· σπανιώτατα δ' ὤφθη ποτὲ μέγας, καὶ τόνου μετρίως ἔχει καὶ σκληρὸς καὶ νευρώδης ἐστὶ καὶ πυκνὸς ἄγαν καὶ ταχύς. ἔχει δέ τι καὶ κυματῶδες. ἐνίοτε δὲ καὶ ὑποτρέμειν σοι δόξει· ποτὲ δὲ καὶ ἀποκεκόφθαι σπασμωδῶς. τὸ γὰρ τῶν πυρετῶν ἴδιον ἐν τῷ τάχει σύμπτωμα μάλιστα οὗτος ἐναργῶς ἐκτήσατο κατ' ἀμφότερα τῆς διαστολῆς τὰ πέρατα, καὶ μᾶλλον τὸ ἔξω. ἔστι δὲ καὶ τὸ τῆς κατὰ τὴν θέσιν ἀνωμαλίας εἶδος εὑρεῖν ἐν αὐτῷ σφοδρῶς γενόμενόν ποτε. ἀλλὰ καὶ ὅλη σοι δόξει πολλάκις ἡ ἀρτηρία, καταλιποῦσα τὸν ἑαυτῆς τόπον ἄνω φέρεσθαι, κλονωδῶς ἀναβραττομένη μᾶλλον ἢ σφυγμωδῶς διαστελλομένη. κατὰ δὲ τὸν αὐτὸν τρόπον καὶ

aequales eos merito esse ob viciniam, ne hoc quidem est obscurum, si prima retinuisti. Itaque intermittens est potius quam intercurrens pulsus lethargicorum, longe enim frigidior, et ut ita dicam, magis lethalis peripneumonia est morbus lethargici. Atqui frigido erat affectui proprius facultatique valde refrigeratae pulsus intermittens.

Cap. XIV. *Phreniticorum parvus pulsus est, rarissime autem conspectus est magnus esse, et contentus est modice, durus et nervosus est, valde est celer et creber; habet praeterea nonnihil undosi, interdumque vel subtremere tibi videbitur, interdum etiam praecisus cum convulsione quadam. Quod enim febres in celeritate proprium habent symptoma, hic obtinet clarissime, in utroque termino distentionis, praecipue externo. Invenias etiam inaequalitatis in situ genus insigniter aliquando in illo apparere; imo totam subinde arteriam sua sede deserta conspicias attolli potius cum vibratione ebullientem quam more pulsus distentam; pari modo delabi detractam potius*

κάτω χωρεῖν, κατασπωμένη μᾶλλον ἢ συσπωμένη. τὸ δ' ἄγαν αὐτῆς πυκνὸν ἐφεδρεύουσαν ἀπειλεῖ συγκοπήν.

Οὐδ' ἐνταῦθα χαλεπὸν οὐδὲν ἐξευρεῖν τὰς τῶν εἰρημένων αἰτίας τῷ γιγνώσκοντι μὲν ὡς ἐπὶ χολώδει χυμῷ φρενῖτις γίνεται, καθάπερ ἐπὶ φλεγματώδει λήθαργος, εἰδότι δὲ ὅτι καὶ κατὰ μὲν αὐτὸν τὸν ἐγκέφαλον ὁ λήθαργος μᾶλλον ἔχει τὴν γένεσιν, ἡ φρενῖτις δὲ κατά τε τὴν λεπτὴν μάλιστα μήνιγγα καὶ τὸ διάφραγμα. τούτων γάρ τις μεμνημένος καὶ ὅτι μικροὶ καὶ ὅτι σκληροὶ κατὰ λόγον οἱ σφυγμοὶ γίνονται μαθεῖν οὐ δεῖται. καὶ μὴν εἰ θερμὸν μὲν τὸ πάθος, μικροὶ δ' οἱ σφυγμοὶ, πάντως δήπου καὶ πυκνοί. δέδεικται γὰρ ἐν τοῖς ἔμπροσθεν ὡς τὸ τῆς προτέρας διαστολῆς ἐλλιπὲς εἰς πυκνότητα τρέπει τοὺς σφυγμούς. ὥσπερ δ' ὁ περιπνευμονικὸς σπανίως ποτὲ δίκροτος γίνεται, διότι σκληρότητος ἥκιστα μετέχει, οὕτως ὁ φρενιτικὸς κυματώδης σπανιώτατα γίνεται, διότι καὶ αὐτὸς ἥκιστα μετέχει μαλακότητος. τὸ δ' ὑποτρέμειν ὅτι δυνάμεώς ἐστιν ἀῤῥωστούσης γνώρισμα δέδεικται δι' ἑτέρων. ὅταν οὖν ἡ ἐν ταῖς ἀρτηρίαις δύναμις ἐπιπλέον διαστέλλειν αὐτὰς ἐγχειρῇ, δεῖται γὰρ τούτου διὰ τὸ πλῆθος

quam contractam. At vero immodica ejus crebritas proximam denunciat syncopen.

Neque hic quidem causas illorum quae diximus invenire magni laboris fuerit, si scias generari a bilioso humore phrenitidem, ut lethargum a pituitoso; si item hoc teneas, lethargum ex ipso potius cerebro, phrenitidem praecipue gigni ex tenui meninge et ex septo transverso. Quae si memineris, etiam parvos merito pulsus et duros esse, non habebis necesse discere; atqui si affectus calidus est, pulsus autem parvi, omnino etiam crebri sunt. Etenim prioris distentionis defectum demonstravimus ante in crebritatem pulsus mutare. Porro, ut peripneumonicus pulsus raro dicrotus sit, quod nihil prorsus habeat duritiei: sic phreniticus rarissime undosus efficitur, propterea quod et hic plane careat mollitie. Nam quod subtremere facultatis sit signum imbecillae aliis locis ostendimus. Ubi ergo quae in arteriis est facultas amplius distendere eas conetur,

τῆς θερμασίας, ἔπειτα μὴ δύνηται διὰ τὴν σκληρότητα τοῦ χιτῶνος, ὑποτρέμειν πως ὁ σφυγμὸς δοκεῖ. καὶ δῆλον ὡς τηνικαῦτα μάλιστα γίνεται τὸ τοιοῦτον, ἐπειδὰν καὶ συγκοπήσεσθαι μέλλωσιν, ὥσπερ ἐπειδὰν σπασθήσεσθαι, σπασμώδης ἐστὶ καὶ ἡ τῶν σφυγμῶν κίνησις. τὸ δ' ἀποκεκόφθαι σπασμωδῶς τὴν κίνησιν καὶ μὴ κατὰ βραχὺ παύεσθαι διὰ παντὸς ὑπάρχει τοῖς φρενιτικοῖς, ὡς ἂν καὶ τῆς θερμότητος ἐπικρατούσης καὶ τῶν ὀργάνων σκληρῶν ὑπαρχόντων. ὀρεγομένης γὰρ ἔτι τῆς δυνάμεως διαστέλλειν τὰς ἀρτηρίας, ἡ τῶν χιτώνων ἀντιβαίνει σκληρότης, κἀντεῦθεν τὸ βίαιον καὶ τὸ οἷον σπασμωδῶς ἀποκεκομμένον. οὕτω δὲ σκληρότης καὶ ἡ ἀρχὴ τοῦ διαστέλλεσθαι τὰς ἀρτηρίας ἐξαιφνίδιός τέ τις καὶ ἀθρόα ὥσπερ ἐκθορνυμέναις γίνεται μᾶλλον, οὐ κατὰ βραχὺ διαστελλομέναις. οὕτω δὲ καὶ τοῖς ἐπὶ φλεγμονῇ πυρέττουσιν ἅπασι, τοῖς μὲν μᾶλλον, τοῖς δ' ἧττον φαίνεται τὸ τοιοῦτο συμβαῖνον, οὐκ ἐν τῷ πέρατι μόνον τῆς κινήσεως, ἀλλὰ κατὰ τὴν ἀρχὴν εὐθύς. αἰτία δὲ κοινὴ τούτων ἁπάντων ἡ τῆς χρείας τῶν σφυγμῶν αὔξησις, ἅμα τῇ τοῦ χιτῶνος σκληρότητι. ὅταν γὰρ ἐπείγῃ μὲν ἡ χρεία, καὶ διὰ τοῦθ'

nam hoc ob caloris abundantiam deſiderat, idque durities tunicae prohibeat, videtur pulſus quodammodo ſubtremere. Plane tunc hoc potiſſimum accidit, ubi immineat ſyncope; quomodo ubi convulſio, etiam motus eſt pulſuum convulſivus. At hoc phrenitici habent perpetuum, ut cum convulſione quadam motus abrumpatur, non deſinat paulatim; viget enim calor ſuntque dura inſtrumenta. Quum enim cupiat arterias amplius facultas diſtendere, obſtat tunicarum durities; unde violentia procedit et praeciſio illa convulſiva. Sic incipiunt etiam arteriae diſtendi ſubito et affatim, quaſi exilientes magis quam pedetentim diſtentae. Sic etiam ex inflammatione febricitantibus cunctis id his plus, illis minus videtur accidere; non in motus tantum fine, ſed ab initio ſtatim. Omnium horum cauſa eſt communis, uſus pulſuum auctus, una cum duritie tunicae. Nam quum inſtet uſus, eoque quaſi in magnam facultas celeremque erum-

ἡ δύναμις ὡς ἐπὶ μεγάλην τε καὶ ταχεῖαν ἐξορμᾷ διαστολὴν, ἀντιβαίνει δ' ἡ τῶν ὀργάνων σκληρότης, ἀνάγκη τὴν προειρημένην ἰδέαν ταῖς κινήσεσι συμπίπτειν. ἀλλὰ καὶ ὅτι διὰ τὴν αὐτὴν ταύτην ξηρότητά τε καὶ σκληρότητα καὶ τάσιν τῶν ἀγγείων ἀνώμαλος ὁ σφυγμὸς φαίνεται κατὰ τὴν θέσιν οὐδὲν θαυμαστὸν ἐννοεῖν τοῖς μεμνημένοις τῶν ἔμπροσθεν. ὥσπερ οὐδ' ὅτι τὸ λίαν πυκνὸν ἐφεδρεύουσαν ἀπειλεῖ συγκοπήν. ἀῤῥώστου γὰρ δυνάμεως ἡ πυκνότης ἔγγονος ἐδείκνυτο.

Κεφ. ιέ. [230] Ἐφεξῆς ὁ λόγος ἐστὶ περὶ τοῦ μικτοῦ δοκοῦντος εἶναι πάθους ἔκ τε φρενίτιδος καὶ ληθάργου καὶ διὰ τοῦτο καὶ τοὺς σφυγμοὺς ἐν τῷ μέσῳ τῆς ἑκατέρου τῶν παθῶν ἔχοντος ἰδέας. ἥτις μὲν δὴ τοῦδε τοῦ πάθους ἐστὶν ἡ φύσις, ἐν ἑτέροις δεδήλωται· διότι δ' εὔλογον αὐτῷ καὶ τοὺς σφυγμοὺς ἔχειν μικτοὺς, ὡς ἂν καὶ αὐτῷ μικτῷ φύσιν ὑπάρχοντι, θαυμάσιον οὐδέν. ὥστέ τις τοῦτο γινώσκων οὐδὲν ἔτι δεῖται λόγου πλείονος. ἀλλ' ἀρκεῖ μοι κἀνταῦθα παραγράψαι τὴν ἐκ τῆς εἰσαγωγῆς ῥῆσιν, ὧδέ πως ἔχουσαν.

pat diſtentionem, renitatur autem durities inſtrumentorum, in ideam illam quam retulimus neceſſe eſt ut incidat motus. Quin etiam ob eandem hanc ſiccitatem et duritiem tenſionemque vaſorum, non mirum eſt, ſi intelligant, qui priora meminerunt, videri pulſum in ſitu inaequalem: at ne hoc quidem, inſignem crebritatem inſtare, ſignificare ſyncopen. Ab imbecilla enim facultate oſtendimus oriri crebritatem.

Cap. XV. Poſthac ſermo mihi eſt de affectu, qui mixtus eſſe ex phrenitide et lethargo videtur; qui ideo etiam pulſus habet inter utrunque affectum ambigentes. Naturam hujus affectus alibi declaravimus. Itaque pulſus eum merito habere mixtos, quum ſit etiam ipſe natura mixta, non mirum eſt. Quamobrem ſi id noris, non requiras jam longiorem interpretationem; ſed ſi caput hic quoque adſcripſero ex iſagoge, ſatis erit. Habet autem ad hunc modum.

Ἔστι δέ τι καὶ ἄλλο πάθος, ὃ εἴτε μέσον αὐτὸ ληθάργου καὶ φρενίτιδος χρὴ νομίζειν, ὡς οὐδ᾽ ἑτέρῳ ταὐτὸν ὄν, εἴτε κοινὸν ἀμφοῖν, ὡς μικτὸν ἔκ τε τῶν τῆς φρενίτιδος εἰδῶν ἔκ τε τῶν τοῦ ληθάργου, τοῦτο μὲν ἰδίᾳ σκεψόμεθα· περὶ δὲ τῶν σφυγμῶν νῦν αὐτοῦ ἐροῦμεν. καὶ ἵνα μὴ ὥσπερ αἴνιγμά τι προσβεβλημένον εἴη, τοῖς συνεδρεύουσιν αὐτὸ δηλώσω. τὰ μὲν πολλὰ μύουσι τοῖς ὀφθαλμοῖς καὶ ὑπνώδεις εἰσὶ καὶ ῥέγχουσιν. αὖθις δ᾽ αὖ ἐπὶ πλεῖστον ἀτενὲς ὁρῶντες διετέλεσαν ἀσκαρδαμυκτὶ, παραπλησίως τοῖς κατόχοις. καὶ εἰ πυνθάνοιό τι καὶ εἰ διαλέγεσθαι βιάζοιο, δυσχερεῖς ἀποκρίνασθαι καὶ ἀργοὶ, τὰ πολλὰ δὲ παραφόρως φθεγγόμενοι καὶ οὐκ ὀρθῶς ἀποκρινόμενοι καὶ ληροῦντες εἰκῆ. τοιοῦτον μέν ἐστι τὸ πάθος, ὃ νῦν βούλομαι δηλοῦν τοῖς συνεδρεύουσι γνωρισθὲν, ἀπορίᾳ οἰκείου ὀνόματος. οἱ σφυγμοὶ δ᾽ αὐτοῦ ταχεῖς μὲν καὶ πυκνοὶ, παραπλησίως φρενιτικοῖς, ἀλλ᾽ ἧττον. οὕτω δὲ καὶ ἰσχύος ἧττον ἐκείνων ἔχουσιν, πλατεῖς δὲ καὶ βραχεῖς, καὶ τὸ κατὰ τὴν ἔξω κίνησιν, ἀθρόως ἀποκεκομμένον οὐκ ἔχοντες, ἀλλ᾽ ἑτέρῳ μὲν

Jam etiam alius eſt affectus, qui ſive medio loco ponendus ſit inter lethargum et phrenitin, ut qui cum neutro in totum conveniat, ſive communis eſſe ambobus exiſtimandus, ut ex phrenitidis ſpeciebus et lethargi mixtus, ſuo loco conſiderabimus. Nunc de ejus pulſibus agemus; at ne quaſi aenigma quoddam propoſitum ſit per ſigna, quae cum eo ſunt connexa, eum ob oculos ponam. Connivent fere oculis, ſomnolenti ſunt, atque ſtertunt, rurſus oculis fixis ac inconniventibus diutiſſime, ut catochi, intuentur; et ſi quid roges atque ad colloquium compellas, difficiles ſunt ad reſpondendum et tardi. Plerunque etiam ſtulte loquuntur, nec recte reſpondent, ac temere nugantur. Is eſt affectus, quem dico, qui ex ſignis ſibi adjunctis defectu proprii nominis cognoſcitur. Pulſus ejus celeres ſunt et crebri, perinde ut phreniticorum, minus tamen; et roboris item minus ac illi obtinent. Lati autem ſunt et externum motum non habent ſubito trun-

τρόπῳ καθάπερ εἴσω σπεύδοντες ὑποφεύγουσιν, ἐπιταχύνοντες τὴν συστολὴν, καὶ οἷον ὑποκλέπτοντες τῷ τὴν διαστολὴν, οὐ μὴν ὅμοιοί γε κατ' αὐτὴν τῷ τῶν φρενιτικῶν. τὸ γὰρ οἷον ἀποκεκομμένον οὐκ ἔχουσιν.

Κεφ. ιστ'. Οἱ δὲ τῶν κατόχων σφυγμοὶ, κατόχους γὰρ αὐτοὺς καὶ κατεχομένους ἐκάλουν οἱ παλαιοὶ, κατοχὴν δὲ καὶ κατάληψιν οἱ νεώτεροι τὸ πάθος ὀνομάζουσιν, ἐοίκασι μὲν τὰ ἄλλα τοῖς ληθαργικοῖς, μεγέθους τε χάριν καὶ βραδύτητος καὶ ἀραιότητος, ὥσπερ καὶ ὅλον τὸ πάθος τοῦ πάθους οὐ πόῤῥω τὴν ἰδέαν ἐστὶν, οὐ μὴν ἀσθενὴς ὁ τῶν κατόχων σφυγμὸς, οὐδὲ μαλακὸς, ἀλλ' ἐν τούτοις δὴ καὶ πάνυ διαφέρει, ὥσ(115)τε κἂν τῷ λύεσθαι μὲν καὶ οἰδίσκεσθαι τὴν ὅλην ἕξιν τοῖς ληθαργικοῖς, ἐσφίχθαι δὲ καὶ συνέχεσθαι τοῖς κατόχοις. οὕτω δὲ καὶ ἀνωμαλίᾳ καὶ ὁμαλότητι διαφέρουσιν ἀλλήλων. ὁμαλὸς γὰρ ὁ τῶν κατόχων σφυγμὸς, ἀνώμαλος δὲ ὁ τῶν ληθαργικῶν. Ἀρχιγένης δέ φησι τὸν τῆς ἀρτηρίας τόπον ἰδίως ἐπ' αὐτῶν θερμότερον εὑρίσκεσθαι, καθάπερ τοῖς σπασθησομένοις μετὰ καταφορᾶς.

catum; ſed alio modo veluti intro ſe proripientes ſubterfugiunt, ac concitant contradictionem, et quaſi ſuffurantur diſtentionem; verum in ea pulſui phreniticorum non ſunt ſimiles, quod truncatione illa careant.

Cap. XVI. *Catochorum pulſus,* (κατόχους *enim et* κατεχομένους *veteres appellabant; juniores ipſum affectum* κατοχὴν *et* κατάληψιν *vocant) caetera lethargicis ſimiles ſunt; magnitudine, tarditate, crebritate; ut nec totius hujus affectus ſpecies late ab eo diſſidet. Catochorum tamen non imbecillus eſt pulſus, nec mollis, ſed in his ſane multum differt; ut etiam in hoc, quod laxatur lethargicis atque intumeſcit univerſum corpus; contra ſtipatur et cogitur catochis. Ad haec inaequalitate et aequalitate inter ſe diſtant. Aequalis enim pulſus eſt catochorum, inaequalis lethargicorum. Archigenes arteriae locum auctor eſt propriè in iis inveniri calidiorem, ſicut illis quibus convulſio imminet, cum ſopore.*

Σύμπαντα σχεδὸν τἄλλα ταὐτὰ τοῖς κατόχοις ἐστὶ πρὸς τοὺς ληθάργους, πλὴν τοῦ διοιδίσκεσθαί τε καὶ οἷον νεκροῦσθαι τὴν ἕξιν. ὅθεν καὶ οἱ σφυγμοὶ τήν τε ἀμυδρότητα καὶ τὴν μαλακότητα παραλλάττουσαν ἴσχουσι, τὴν μὲν, ὅτι μήπω τῆς δυσκρασίας ὅλην τὴν ἕξιν διαδεδυκυίας ἡ δύναμις εὔρωστός ἐστι, τὴν μαλακότητα δὲ οὐδ' αὐτὴν ἔχουσιν, ὅτι μηδὲ τὸν χιτῶνα τῆς ἀρτηρίας ἤδη μαλακόν. ὁ δὲ τῆς ἀρτηρίας τόπος οὐκ ἀεὶ μὲν ἐναργῶς, ἐμοὶ γοῦν ἐφάνη θερμότερος, ὡς τὰ πολλὰ μέντοι σαφῶς εὑρίσκεται θερμότερος. [231] αἴτιον δὲ κἀν τούτῳ τῷ πάθει κἀν τοῖς ἄλλοις, ἐν οἷς ταὐτὸν εὑρίσκεται σύμπτωμα, τὸ τὴν ψύξιν τῆς ἕξεως οὐχ ὁμοίως ἧφθαι τῶν ἀρτηριῶν. πολλὰ γὰρ τοιαῦτα συμπίπτει ταῖς ἀνωμάλοις δυσκρασίαις. φαίνεται τοίνυν θερμότερος ὁ τῶν ἀρτηριῶν τόπος τῶν πέριξ, ἐνίοτε μὲν αὐτῷ τῷ θερμανθῆναι μᾶλλον, ἐνίοτε δὲ τῷ τῶν περικειμένων ἧττον ἐψύχθαι.

Κεφ. ιζ. Τῶν δὲ σπωμένων αὐτὸ μὲν τὸ σῶμα τῆς ἀρτηρίας συνῆχθαι δοκεῖ, καὶ πανταχόθεν ἐστεγνῶσθαι, οὐχ ὡς τεθλιμμένον ὑπό τινος, ἢ στενοχωρούμενον, οὐ μὴν οὐδ' ὡς πεφρικὸς, οἷον τὸ πυρεκτικὸν, καὶ μάλισθ' ὡς ἐν ἐπιση-

Universa pene alia cum lethargicis conveniunt catochis, praeter quod immutescat habitus et veluti obstupescat, unde pulsibus mutatur tum remissio tum mollities; illa, quod cum intemperies nondum universum habitum occupavit, firma sit facultas. Nec vero mollitiem habent, quod nec tunicam etiam arteriae mollem. Arteriae vero regionem non semper equidem reperi calidiorem, fere tamen invenitur manifeste calidior. Causa est et in hoc affectu et in aliis, ubi invenitur idem symptoma, quod refrigeratio habitus non aeque arterias attigerit. Etenim inaequali intemperiei multa talia usu veniunt. Ac videtur quidem calidior locus arteriarum finitimis circumcirca, modo quod caleat magis; modo quod minus quam circumposita sit frigidus.

Cap. XVII. *Convulsorum ipsum corpus arteriae videtur contractum et undequaque coarctatum, non ceu compressum sit a quopiam, vel constipatum, nec etiam veluti rigidum, ut in febre, praesertim in accessionibus,*

μασίαις, οὐδ᾽ ἐν ἐπισημασίαις, οὐδ᾽ ὡς διὰ σκληρότητα δυσεπέκτατον, οἷον τὸ ἐπὶ χρόνου μήκεσι, καὶ μάλιστα σὺν ἁμαρτήμασιν, ἢ σπλάγχνων κακώσεσιν, ἀλλ᾽ ὡσανεὶ σῶμα νευρῶδες κοῖλον, οἷον ἔντερον, ἤ τι παραπλήσιον ἐξ ἀμφοτέρων τῶν περάτων τεταμένον. οὕτω δὲ καὶ ἡ κίνησις ἀνώμαλος, ἄνω καὶ κάτω μεθισταμένης τῆς ἀρτηρίας, ὥσπερ χορδῆς. οὐδὲ γὰρ διαστολῆς ἢ συστολῆς ἔμφασίς ἐστιν, ἀλλὰ κλόνῳ μᾶλλον ἔοικεν, οἷον ἐκπηδώσης ἄνω καὶ αὖθις εἴσω σπωμένης. καὶ οὐδὲ διακεκριμένως τοῦτο πασχούσης, ἀλλ᾽ ἑνὶ χρόνῳ πολλάκις τὸ μέν τι μέρος αὐτῆς ἄνω φέρεσθαι δοκεῖ, καθάπερ ἐκτοξευόμενον, τὸ δὲ ἔσω φέρεσθαι, καθάπερ ὑπό τινος ἑλκόμενον· καὶ τὸ μὲν ταχέως κινεῖσθαι, τὸ δὲ βραδέως. δοκεῖ δὲ καὶ σφοδρὸς εἶναι καὶ μέγας ὁ τῶν σπωμένων σφυγμός. ὁ δ᾽ ἔστι μὲν οὔτ᾽ ἄῤῥωστος οὔτε μικρός, οὐ μὴν ἐφ᾽ ὅσον φαντάζεται σφοδρὸς, ἢ μέγας. ἐξαπατᾷ γὰρ ἡ πληγὴ, διὰ μὲν τὴν τάσιν εὔρωστος φαινομένη, διὰ δὲ τὸν κλόνον ἐκπηδητική. ὅθεν καὶ ὑψηλότερος ἔσθ᾽ ὅτε φαίνεται καὶ οἷον ψόφον τινὰ τραχὺν ἀποτελεῖ πρὸς τὴν ἁφήν.

nec vero ut prae duritie ad intentionem contumax; veluti quod fit diuturnitate temporis, praefertim quum quid offenfum fit, vel vifcera vitiata; fed ut corpus nervofum cavumque, veluti inteftinum, aut fimile, ex utroque fine intentum. Ad eundem modum inaequalis motus eft arteriae in modum chordae furfum deorfumque agitatae. Neque enim fpecies diftentionis vel contractionis repraefentatur: verum vibrationi potius fimilis eft, ceu exilientis furfum, iterumque retractae intro. Quod ne conftituto quidem tempore habet, fed uno faepe tempore alia ejus pars videtur ferri furfum, veluti ejaculata; altera intro ceu a quopiam attracta; atque una moveri celeriter, altera tarde. Jam vehemens quoque et magnus convulforum pulfus videtur effe. Eft vero hic non imbecillus, neque parvus; non perinde tamen, ut videtur, vehemens, vel magnus. Ictus enim imponit, dum ob tenfionem validus, ob vibrationem exilire appareat. Quamobrem altior interdum videtur ac veluti ftrepitum quendam ad tactum

καὶ οὐκ ἄν τινα λάθοι τῶν ἠσκημένων ὁ σφυγμὸς οὗτος. οὐδενὶ γὰρ ἔοικεν οὔτε κατὰ τὴν ἐφ' ἑκάτερα τάσιν οὔτε τὸ σπασμῶδες τῆς κινήσεως. μιγνυμένου δ' αὐτοῦ τῷ τῆς καταφορᾶς, δυσφορώτατος ἡ κίνησις, καὶ μόνῳ τῷ καθ' ἑαυτὸν ἑκάτερον γνωρίζειν ἀκριβῶς ἐσκεμμένῳ δυνατὸν καὶ τὴν μίξιν ἐπιγνῶναι.

Ἡ μὲν ῥῆσις ἡ ἐκ τῆς εἰσαγωγῆς αὕτη. πρόδηλος δὲ τῶν εἰρημένων ἡ αἰτία τῷ μεμνημένῳ διότι συμπάσχουσιν ἀλλήλαις αἱ ἀρχαί.

Κεφ. ιή. *Παραλύσεως σφυγμὸς μικρὸς καὶ ἀμυδρὸς καὶ βραδύς ἐστι, καὶ τισὶ μὲν αὐτῶν καὶ ἀραιός, τισὶ δὲ καὶ πυκνὸς μέν, ἀλλ' ὑποδιαλείπων ἀτάκτως.*

Μικρὸς μὲν καὶ βραδύς ἐστιν ὁ τῶν παραλελυμένων σφυγμός, ὅτι ψυχρὸν τὸ πάθος· ἀμυδρὸς δέ, ὅτι καὶ ἡ δύναμις ἀῤῥωστοτέρα. μείζονος δὲ τῆς ἐν αὐτῷ γενομένης καταλύσεως πυκνὸς ἅμα καὶ ἀνώμαλος καὶ ὑπολείπων ἀτάκτως. εἴρηται δ' ἐν τοῖς ἔμπροσθεν ἡ αἰτία κατὰ τὸ δεύτερον τῶνδε τῶν ὑπομνημάτων.

edit afperum. Sane neminem, qui quidem fit expertus, fugiat hic pulfus. Quippe nulli eft fimilis vel tenfione in utranque partem, vel convulfione motus. At quando cum pulfu fopitorum commixtus eft, difficillime motus deprehenditur; folusque qui ad amuffim utrunque cognofcere feparatim meditatus eft, poterit confufos cognofcere.

Habes caput ex ifagoge. Caufa autem illorum aperta eft, fi memineris inter fe principia confentire.

Cap. XVIII. *Paralyticorum parvus pulfus et languidus tardusque eft. Nonnullis rarus quoque, aliis creber, fed nonnihil inordinate intermittens.*

Pulfus paralyticorum quia frigidus morbus eft, parvus eft et tardus; languidus etiam, quod facultas imbecillior fit. Quod fi major in illis diffolutio facultatis exoriatur, creber fimul et inaequalis erit intermittensque nonnnihil inordinate. Caufa eft ante expofita in fecundo libro horum commentariorum.

Κεφ. ιθ'. Ἐπιλήπτων δὲ καὶ ἀποπλήκτων οἱ σφυγμοὶ παραπλήσιοι. ὅσα οὖν περὶ τῶν ἐπιλήπτων εἰρήσεται, τοσαῦτα [232] καὶ περὶ τῶν ἀποπλήκτων εἰρήσεσθαι χρὴ δοκεῖν, ἐπιτεταμένα μᾶλλον. ἐν μὲν δὴ τῷ μετρίως ἐνοχλεῖσθαι καὶ μηδέπω τῆς φύσεως ἱκανῶς ἰσχυρότερον εἶναι τὸ πάθος, οὐδεμίαν εὔδηλόν ἐστιν εὑρεῖν τροπὴν ἐν μεγέθει καὶ σφοδρότητι καὶ τάχει καὶ πυκνότητι καὶ σκληρότητι. μόνον δὲ ὥσπερ τεταμένη καθ' ἑκάτερόν ἐστιν ἡ ἀρτηρία τοῖς σπωμένοις εἰκότως. εἰ δ' ἰσχυρὸν εἴη τὸ πάθος, ὡς βαρύνειν τὴν δύναμιν, ἀνωμαλίαν τέ τινα λαμβάνει καὶ τάσιν ἰσχυρὰν καὶ μικρότερος καὶ ἀμυδρότερος γίνεται καὶ ἀραιὸς καὶ βραδὺς, μεγάλως δὲ θλῖψαν καὶ καταβαλὸν τὴν δύναμιν ἀμυδροὺς καὶ μικροὺς καὶ πυκνοὺς ἐργάζεται.

Ἡ μὲν ῥῆσις αὕτη. τοσούτῳ δὲ οὐ δεῖ νεωτέρας ἐξηγήσεως τοῖσδε τοῖς σφυγμοῖς εἰς εὕρεσιν αἰτίας, ὥστε καὶ μαρτυρεῖ σαφῶς τοῖς ἐν τῷ πρώτῳ καὶ δευτέρῳ τῶνδε τῶν ὑπομνημάτων εἰρημένοις.

Κεφ. κ'. Ὁ τῶν συναγχικῶν σφυγμὸς τάσιν μὲν

Cap. XIX. *Comitialium et attonitorum ſimiles pulſus ſunt. Quare de comitialibus quae exponemus, eadem de attonitis, ſed cumulatius accipienda ſunt. Dum modice infeſtatur natura, neque dum eam multum ſuperavit morbus, nullum invenias mutationem inſignem, magnitudinis, vehementiae, celeritatis, crebritatis et duritiei; tantum eſt convulſus, intenta jure utrinque arteria. Sin autem gravis ſit affectus, ut oneret facultatem, inaequalitatem quandam comparat atque tenſionem validam, ac minor, languidior, rarus tardusque efficitur. Si comprimat magnopere et facultatem dejiciat, languidos, parvos crebrosque creat.*

Caput hoc eſt. At tantum abeſt ut novam interpretationem hi pulſus deſiderent ad cauſas inveniendas, ut etiam dilucide illa confirment, quae in horum commentariorum primo et ſecundo tradidimus.

Cap. XX. *Anginae pulſus tenſionem quandam ha-*

τινα παραπλησίαν ἔχει τῷ σπασμώδει, μέγας δ᾽ ἐστὶ καὶ κυματώδης, ὡς ὁ τῶν περιπνευμονικῶν, καὶ ὁπότερον ἂν ἐν αὐτῷ μεγάλως ἐπικρατῇ, κατ᾽ ἐκεῖνο χρὴ προσδοκᾷν τὴν μετάπτωσιν. εἰ μὲν τὸ περιπνευμονικὸν εἶδος ἐπικρατήσειεν, εἰς περιπνευμονίαν· εἰ δ᾽ αὖ τὸ σπασμῶδες, εἰς σπασμὸν ἡ συνάγχη τελευτήσει. ὅσοι δ᾽ ἂν ἐξ αὐτῶν ἰσχυρῶς πνίγωνται, μικρὸς τούτοις καὶ ἀραιὸς ὁ σφυγμὸς γίνεται· τελευτώντων δὲ ἤδη πυκνὸς καὶ ἀνώμαλος.

Πάσῃ μὲν φλεγμονῇ τὴν ἀρχὴν εἰς συμπάθειαν ἀγούσῃ κοινὸν σύμπτωμα τείνειν τὸν σφυγμόν. ἀλλὰ μᾶλλον τοῦτο δρῶσιν αἵ τε τῶν νευρωδῶν σωμάτων καὶ ὅσα πλησίον εἰσὶ τῆς ἀρχῆς. ταῦτά τοι καὶ ὁ τῶν συναγχικῶν σφυγμὸς οὐκ ἂν ἄνευ μὲν τάσεως, ἀλλ᾽ ἤτοι πλέον ἢ ἧττον αὐτῆς μετέχει. γίνεται γὰρ τοῦτο διά τε τὸν ἐπιῤῥέοντα χυμὸν, ἢ χολωδέστερον, ἢ φλεγματικώτερον ὑπάρχοντα, καὶ διὰ τὴν τῶν ὀργάνων αὐτῶν τῶν ἐν τῷ τραχήλῳ διαφοράν. τὰ μὲν γὰρ νευρωδέστερά τε καὶ συντονώτερα τείνει μᾶλλον τὸν σφυγμόν· ὅσα δὲ σαρκώδη τε καὶ χαῦνα, κυματωδέστερον ἀπεργάζεται

bet ei quam convulſivus habet perſimilem, magnus eſt et undoſus, ut pulſus peripneumonicorum, ac utrum inſigniter in eo polleat, pro eo expectanda mutatio eſt. Nam ſi peripneumonica ſpecies ſuperior ſit, in peripneumoniam; ſi vero convulſiva, in ſpaſmum angina deſinet. Quicunque autem ex illis vehementer ſuffocantur, parvum hi habent et rarum pulſum; ubi jam animam agant, crebrum atque inaequalem.

Omnis inflammatio, quae conſentiens ſibi principium habet, commune obtinet ſymptoma, tenſionem pulſuum; verum hoc faciunt praecipue inflammationes nervoſorum corporum et quae ſunt principio finitimae; itaque nec anginae pulſus vacat tenſione, ſed vel plus, vel minus ejus habet; quod ex humore fit confluente, qui vel bilioſior, vel pituitoſior ſit et ex ipſorum etiam inſtrumentorum cervicis differentia. Siquidem nervoſiora et contentiora vehementius pulſum tendunt, carnoſa et remiſſa undoſiorem

Ed. Chart. VIII. [232.] Ed. Baf. III. (115.)

ταῦτα. τὰ δ' ἄλλα τῆς λέξεως δῆλα, πλὴν τοῦ κατὰ τὸ τέλος εἰρημένου, τοῦ μικρὸν μὲν καὶ ἀραιὸν γίνεσθαι τοῖς πνιγομένοις ἐξ αὐτῶν τὸν σφυγμὸν, ἐπὶ τελευτῇ δὲ πυκνὸν καὶ ἀνώμαλον. ἔχει γὰρ οὕτως. ἐν μὲν ταῖς ἀρχαῖς τοῦ πνίγεσθαι μικρότεραι καὶ ἀραιότεραι τῶν ἀρτηριῶν αἱ διαστολαὶ γίνονται, τῆς τε δυνάμεως ἀῤῥωστούσης ἤδη, καὶ τῆς χρείας μειουμένης. ἐφεξῆς δ' ὅταν ἤδη πλησίον ὦσι θανάτου, πειρᾶται ἡ δύναμις ἐπισπᾶσθαι συνεχέστερον, ὡς ἂν καὶ τῆς οὐσίας ἤδη τοῦ ψυχικοῦ πνεύματος ἐλλειπούσης. ἀῤῥωστοῦσα δὲ μικρὰς μὲν ἐξ ἀνάγκης ἐργάζεται τὰς διαστολάς· ὅτι δὲ μικρὰς, διὰ τοῦτο καὶ πυκνάς. εἴρηται γὰρ ὑπὲρ τούτου ἔμπροσθεν. εἶτ' ἐξαίφνης ὡσπερεὶ πεδηθεῖσα, πολλάκις μὲν ἔστη, πολλάκις δ' ἐμέλησε στῆναι. τούτων δὲ τὸ μὲν ἕτερον διαλείποντα, τὸ δ' ἕτερον ἀραιὸν ἐργάζεται τὸν σφυγμόν· ἄμφω δ' ἀνώμαλον ἐν τῇ κατὰ τοῦτο τὸ γένος διαφορᾷ.

Κεφ. κα'. Ὀρθοπνοίας ὀξείας σφυγμὸς ἀνώμαλος ἄτακτος, ὑπεκλείπων, καὶ τῆς μὲν μέσης τῇ κακίᾳ πυκνὸς,

reddunt. Caetera clara ſunt hujus capitis, niſi quod dictum ad exitum eſt, qui illorum ſuffocantur, hos pulſum habere parvum et rarum, inter moriendum crebrum ac inaequalem. Sic enim res habet; quum incipiunt ſuffocari, fiunt arteriarum minores et rariores diſtentiones; quod imbecilla jam facultas ſit et uſus imminutus. Inde ubi morti jam ſunt proximi, molitur quidem facultas attrahere crebrius, quod ſubſtantia deficiat jam ſpiritus animalis: ſed quum imbecilla ſit, parvas diſtentiones neceſſario efficit; et quia parvas, ideo crebras. Nam de hoc diximus ante. Poſtea ſubito veluti victa, ſaepe ſubſiſtit, ſaepe cupit ſubſiſtere. Quorum alterum intermittentem, alterum rarum pulſum creat, ambo inaequalem in hujus generis differentia:

Cap. XXI. *Orthopnoea acuta inaequalem et inordinatum pulſum habet et nonnihil deficientem. Quae*

τῆς δ' ἐσχάτως (116) βιαίας βραδὺς καὶ ἐκλείπων, τῆς δ' ἀναιρούσης ἤδη πυκνὸς καὶ ἀμυδρός.

[233] Τοῦ χρονίου νοσήματος, ὃ δὴ προσαγορεύουσιν ὀρθόπνοιαν, ὀξεῖς εἰσιν οἱ παροξυσμοὶ, καθάπερ καὶ τῆς ἐπιληψίας. ἔν τε οὖν τούτοις, οὐχ ἥκιστα δὲ κἀν ταῖς ἄλλαις ἁπάσαις ὀρθοπνοίαις ταῖς ὁπωσοῦν ἐξαιφνίδιον γινομέναις οἱ σφυγμοὶ πάντως μὲν ἀνώμαλοί τε καὶ ἄτακτοι καὶ ὑπεκλείποντες γίνονται, διὰ τὰς ὀλίγον ἔμπροσθεν εἰρημένας αἰτίας. ἤδη δὲ παρὰ τὰς διαφορὰς τῆς κακίας ἢ πυκνοὶ μᾶλλον ἢ ἀραιοί. ταχεῖς μὲν γὰρ οὐδέποτε, διὰ τὴν ἀῤῥωστίαν τῆς δυνάμεως. ἐν μὲν δὴ τῇ μέσως μοχθηρᾷ πυκνὸς μᾶλλον ἅμα τῷ καὶ ἀνώμαλος εἶναι δηλονότι καὶ ὑπεκλείπων. ἐν ἀρχῇ γὰρ τοῦ λόγου ταῦθ' ὡς ἀχώριστα προείρηται. διότι δὲ πυκνὸς γίνεται τῆς χρείας μὲν ἐπειγούσης, τῆς δυνάμεως δ' ἀῤῥωστούσης, ἐν τοῖς ἔμπροσθεν εἴρηται. καὶ μὲν δὴ καὶ ἤδη νεκρουμένης τῆς δυνάμεως βραδὺς ἅμα καὶ ἐκλείπων. ἄμφω γὰρ ταῦθ' ὑπάρχει τῇ μηκέτι κινεῖσθαι δυναμένῃ. κατ' αὐτὸ δὲ τὸ ἀποθνήσκειν ἤδη βιαιοτάτης μὲν τῆς τοῦ πνεύ-

mediocriter eſt gravis, crebrum; quae violentiſſima, tardum et deficientem; quae jam perimit hominem, crebrum et languidum.

Diuturni morbi, quem orthopnoeam appellant, acutae ſunt acceſſiones, ut morbi comitialis. Ergo cum in his, tum maxime in caeteris orthopnoeis omnibus, quae quocunque modo repente fiunt; pulſus omnino inaequales et inordinati ſunt et nonnihil deficientes, propter cauſas quas commemoravi paulo ante. Jam pro diverſitate offenſae vel crebri magis, vel rari. Nam celeres quidem ob facultatis imbecillitatem fiunt nunquam. At ſi mediocris offenſa ſit, creber magis ſimulque inaequalis ac nonnihil deficiens. Nam in orationis principio haec dicta ſunt, ut inſeparata. Quamobrem autem, ubi urgeat uſus et facultas ſit imbecilla, creber fiat, ante declaravimus: ſicut quum extincta jam facultas ſit, tardus ſimul et deficiens; ambo enim adjunctae haec facultati ſunt, quae moveri amplius nequeat. At in morte jam, quum ſpiritum animalem natura impenſiſſime

ματος ἐπιζητήσεως τῇ φύσει γινομένης, ἀῤῥωστούσης δὲ δηλονότι τῆς δυνάμεως, ἐπὶ τὸ κινεῖσθαι μὲν ἔρχεται τῆς χρείας καταναγκαζούσης, οὐ δυναμένης δ' εἰς τοσοῦτον ἐξαίρειν τὴν ἀρτηρίαν εἰς ὅσον ἡ χρεία ποθεῖ, πυκνοὺς ἐξ ἀνάγκης ἐργάζεται τοὺς σφυγμούς. καὶ τοῦτ' ἐπ' ὀλίγον τινὰ χρόνον ἅπαν ὅσον εἶχε δυνάμεως ἐπιδειξαμένη τελέως εὐθὺς ἀποσβέννυται.

Κεφ. κβ'. Ὑστερικῆς πνίξεως ἀποτεταμένος ἐστὶ σπασμωδῶς καὶ ἀραιός. τῆς δ' ὀλεθρίας πυκνὸς, ἄτακτος καὶ ὑπεκλείπων.

Οὐδ' ἐπὶ ταύτης ἄπορος ἡ αἰτία τῷ μεμνημένῳ τῶν πρόσθεν· διὰ μὲν γὰρ τὸ πεπονθὸς ὄργανον νευρῶδες ὑπάρχον εὐλόγως ἀποτείνεται σπασμωδῶς ὁ σφυγμός. ὅτι δὲ τὸ πάθος ψυχρὸν, ἡ ἀραιότης συνεδρεύει. καταλυομένης δ' εἰς ἔσχατον ἤδη τῆς δυνάμεως εὐλόγως πυκνοῦταί τε καὶ ἀνώμαλος ἅμα καὶ ὑπεκλείπων γίνεται. προείρηται γὰρ ἤδη καὶ περὶ τούτων, ὡς ὅταν ἐπείγῃ μὲν ἡ χρεία, κακῶς δ' ἡ δύναμις ἔχῃ, τοιοῦτον ἀνάγκη γίνεσθαι τὸν σφυγμόν.

Κεφ. κγ'. Στόμαχος πεπονθὼς, οὕτω γὰρ καλείσθω καὶ ὑφ' ἡμῶν ἐν τῷ παρόντι τὸ στόμα τῆς κοιλίας διὰ τὴν

requirat, imbecilla autem facultas ſit, ad movendum impellente uſu ſe confert; quia vero attollere tantum arteriam quantum poſtulat uſus non valet, neceſſario pulſus reddit crebros, ibique modico poſt tempore, quum omnes ſuas vires explicaverit, ſtatim extinguitur univerſa.

Cap. XXII. *Uterinae ſuffocationis pulſus, ut ſi convelleretur, protenſus eſt, et rarus; quod ſi exitialis ſit ſuffocatio, creber, inordinatus, et nonnihil deficiens.*

Ne hic quidem difficilis eſt cauſa, ſi priorum memoriam retineas. Quum enim nervoſus ſit locus affectus, par eſt ut protendatur pulſus, quaſi convulſivus ſit. Quia vero affectus frigidus eſt, adjuncta eſt raritas. At ubi jam prorſus diſſolvatur facultas, recte creber fit, ſimulque inaequalis et nonnihil deficiens. Nam de his ante declaravimus, ubi urgeat uſus et affecta facultas ſit, neceſſario eum pulſum generari.

Cap. XXIII. *Stomachus affectus, (ut ſic etiam vocemus in praeſentia os ventriculi, quod is uſus apud vul-*

Ed. Chart. VIII. [233. 234.] Ed. Baſ. III. (116.)

τῶν πολλῶν συνήθειαν, οὐ καθ' ἓν εἶδος τρέπει τὸν σφυγμὸν, ἀλλ' ὁ μὲν φλεγμαίνων μόνον, οἷον ἐπὶ φλεγμονῇ νευρώδους σώματος εἴπομεν γίνεσθαι, τὴν τροπὴν τοιαύτην ἐργάζεται· ὁ δὲ θλιβόμενος, ἢ δακνόμενος, ἢ ἀλύων, ἢ λύζων, ἢ ἐμετικὸς, ἢ ναυτιώδης, ἢ ἀνόρεκτος, ἢ ὀδυνώμενος, κατὰ τὸ τοῦ συμπτώματος εἶδος. αἱ μὲν γὰρ δήξεις καὶ οἱ ἔμετοι καὶ αἱ ναυτίαι καὶ οἱ λυγμοὶ καὶ ὁ ἀλυσμὸς ἰσχυρῶς πυκνοῦσι σὺν τῷ μικρὸν καὶ ἀμυδρὸν ἐργάζεσθαι καί τισι μετρίως θάττονα. θλίψις δὲ μόνη χωρὶς τούτων τινὸς καὶ ἀραιὸν καὶ βραδὺν καὶ μικρὸν καὶ ἀμυδρόν. ἡ δὲ τοιαύτη θλίψις ἐπί τε τροφαῖς βαρυνούσαις γίνεται, μηδεμίαν ἐχούσαις ἰσχυρὰν δύναμιν, ἀλλ' αὐτῷ μόνῳ τῷ ποσῷ διοχλούσαις, καί τισιν ὑγροῖς συῤῥυεῖσιν εἰς αὐτὸν ἀδήκτοις. εἰ δὲ καὶ ψύχοιτο πρὸς αὐτῶν, τότε δὴ καὶ μάλιστα τοιοῦτος ὁ σφυγμὸς ἔσται. καὶ ὁ τῶν βουλιμιώντων τοιοῦτός ἐστιν. αἱ μὲν οὖν εἰς πυκνότητα τρέπουσαι διαθέσεις ἅπασαι χρονίζουσαι ἢ σφοδρότεραι γιγνόμεναι τὸν σκωληκίζοντα σφυγμὸν ἐργάζονται, [234] αἱ δ' εἰς ἀραιότητα πρὸς τῷ τὰς εἰρημένας διαφορὰς ἐπιτείνειν

gus obtinuit) non uno modo commutat pulſum. Nam ſi inflammatus ſit duntaxat, ita mutat pulſum ut corporis nervoſi diximus inflammationem ſolere; ſi comprimatur, vellicetur, langueſcat, ſingultiat, vomat, nauſeet, faſtidiat, doleat, pro genere ſymptomatis. Nam vellicationes, vomitus, nauſeae, ſingultus et languor, non ſolum parvum et languidum efficiunt, et interdum etiam modice celeriorem, verum etiam admodum crebrum. Sola vero compreſſio, remotis illis omnibus rarum, tardum, parvum et languidum; ea compreſſio tum a cibis oritur gravantibus, neque ulla inſigni praeditis virtute, ſed ſola abundantia moleſtis; tum ab humoribus quibusdam, qui in eum confluant, non mordicantibus. Quae ſi ab his ſimul refrigeretur, tum vero vel maxime talis pulſus exiſtet. Ac bulimo affectorum talis pulſus eſt. At omnes quidem affectus, qui in crebritatem mutent, ſi diuturni ſint, vel evaſerint graviores, pulſum vermiculantem creant. Qui vero in raritatem, praeter quod commemoratas differentias

τοιοῦτόν τι σὺν αὐταῖς εἶδος ἐν τῇ καθ' ἕνα σφυγμὸν ἀνωμαλίᾳ γεννῶσιν, ὡς εἰς πολλὰ δοκεῖν τεθρύφθαι τὸ σῶμα τῆς ἀρτηρίας, ὡς μὴ καὶ συνεχὲς εἶναι. καὶ οἷον ψάμμου προσπιπτούσης αἴσθησις γίνεται τῇ ἁφῇ κατὰ τὴν διαστολήν.

Ἡ μὲν ἐκ τῆς εἰσαγωγῆς ῥῆσις αὕτη. τὰς δ' αἰτίας τῶν εἰρημένων, ὅσα μὲν πάνυ σαφεῖς εἰσι τοῖς μεμνημένοις τῶν ἔμπροσθεν, οὐ δέομαι λέγειν· ὅσαι δ' ἀσαφέστεραι, ῥηθήσονται. δυνάμεως γὰρ ἀῤῥωστούσης τῆς μὲν κατὰ τὸν ἑαυτῆς λόγον ἐπὶ δυσκρασίᾳ δηλονότι, τῆς δὲ διά τι τῶν ἔξωθεν ἤτοι βαρυνομένης ἢ ἐρεθιζομένης κακοήθως, ἐπὶ μὲν ταῖς βαρυνομέναις μικρὸς καὶ βραδὺς καὶ ἀραιὸς ὁ σφυγμὸς γίνεται, μικρὸς μὲν ὡς ἂν τῆς δυνάμεως κεκακωμένης, βραδὺς δὲ διά τε τοῦτο καὶ τῆς χρείας ἐκλελυμένης· ψυχραὶ γὰρ αἱ βαρύνουσαι τὴν δύναμίν εἰσι διαθέσεις· διὰ τοῦτο δὲ καὶ ἀραιὸς, ἐδείχθη γὰρ ἐκλυομένης τῆς χρείας τοιοῦτος γινόμενος· ἐπὶ δὲ ταῖς ἐρεθιζούσαις μόνον καὶ λυπούσαις τὴν δύναμιν διαθέσεσιν, μικρὸς μὲν κἀπὶ ταύταις καὶ ἀμυδρὸς διὰ τὴν κάκωσιν τῆς δυνάμεως, πυκνὸς δὲ διότι καὶ ἀμυδρός· ἔστι δ' ὅτε καὶ βραχεῖ θάττων. ὥσπερ γὰρ καὶ ἡμεῖς αὐτοὶ

adaugent, talem praeterea fpeciem inaequalitatis in uno pulfu generant, ut multis locis pertufum corpus arteriae videatur, neque effe continuum; ac fentit tactus in diftentione veluti arenae occurfum.

Caput ex ifagoge hoc eft. Caufas illorum, quaecunque valde perfpicuae funt memori priorum, praeteribo, exponam autem obscuriores. Quum enim debilitetur facultas aut per fe, puta ex intemperie: aut de caufa aliqua externa, ut vel gravetur, vel irritetur prave, gravata quidem parvum, tardum, rarum pulfum edit; parvum, quod facultas laefa fit; tardum, quum ob hoc, tum ob ufum diffolutum. Frigidi funt enim qui facultatem onerant affectus; itaque rarus quoque eft. Nam diffoluto ufu talem oftendimus pulfum gigni. At ex irritantibus duntaxat et moleftantibus facultatem affectibus parvus etiam fit et languidus ob offenfionem facultatis, et creber, quod languidus fit. Nonnunquam aliquanto etiam celerior eft. Quomodo fcili-

πολλάκις ἀσθενέστεροι γινόμενοι, κἄπειτα διά τινα χρείαν ἐπειχθέντες ἐπὶ πλεῖστον μὲν διαβαίνειν τοῖς σκέλεσιν ἀδυνατοῦμεν, εἰς ὅσον δ' οἷοί τέ ἐσμεν ἀναγκάζομεν ἡμᾶς αὐτοὺς θᾶττόν τε καὶ πυκνότερον προβαίνειν, οὕτω καὶ ἡ τὰς ἀρτηρίας κινοῦσα δύναμις, ὅταν ἐπείγηται μὲν ὑπὸ τῆς χρείας εἰς τὰς κινήσεις, ἀσθενὴς δ' ᾖ, μεγάλας μὲν οὐχ οἵα τέ ἐστι ποιεῖσθαι τὰς διαστολὰς, ἐπ' ὀλίγον δέ πως ὠκυτέρας, πυκνὰς μὲν εἰς τοσοῦτον εἰς ὅσον ἐνδεέστερον τῆς χρείας αἱ διαστολαὶ γίνονται. κατὰ λόγον οὖν ταῖς μὲν εἰς πυκνότητα τρεπούσαις στομαχικαῖς διαθέσεσιν τὸν σφυγμὸν ἐπιτεινομέναις ὁ σκωληκίζων καλούμενος ἐπιγίνεται, καταλυομένης γὰρ ἦν οὗτος οἰκεῖος δυνάμεως, ταῖς δ' εἰς ἀραιότητα οἷον διατεθρυμμένος, ἀνωμάλου δυσκρασίας αὐτῶν τῶν ὀργάνων ἔγγονος ὑπάρχων.

Κεφ. κδ'. Ὑδέρων σφυγμοὶ, τοῦ μὲν ἀσκίτου μικρὸς καὶ πυκνότερος καὶ ὑπόσκληρος σύν τινι τάσει· τοῦ δὲ τυμπανίτου μακρότερος, οὐκ ἄῤῥωστος, θάττων, πυκνὸς, ὑπόσκληρος σύν τινι τάσει· τοῦ δὲ κατὰ σάρκα κυματώδης, πλατύτερος, μαλακός.

cet nos etiam, ubi imbecilliores fimus ac neceffitate quapiam compellamur, plurimum quidem pedibus progredi nequimus, fed quoad poffimus, progreffum noftrum magis concitamus et continuamus: ad eumdem modum facultas, quae arterias movet, ubi ad motum adigatur ab ufu et fit imbecilla, non poterit moliri magnas diftentiones, fed aliquanto celeriores, ac tanto crebriores quanto minus ufum compleant diftentiones. Quare par eft, ut quum affectus ftomachi, qui in crebritatem pulfum convertunt, increscant, hos vermiculans quem vocant confequatur pulfus. Hic enim facultati quae diffolvitur peculiaris erat; at iis qui in raritatem, ille, qui veluti pertufus eft, comitatur, qui ex intemperie ipforum inftrumentorum oritur.

Cap. XXIV. *Hydropum pulfus, afcitae parvus, crebrior, fubdurus cum quadam tenfione eft; tympanitae, longior, non imbecillus, celerior, creber, fubdurus, cum quadam tenfione; illius quem anafarca vocant, undofus, latior, mollisque.*

Ed. Chart. VIII. [234.] Ed. Baf. III. (116.)

Ὁ ἀσκίτης ὕδερος ἐν τοῖς κατὰ τὴν γαστέρα χωρίοις ἀθροίζων ὑδατώδους ὑγροῦ πλῆθος οὐκ ὀλίγον, εἰς συμπάθειαν ἄγει τὰς μεγάλας ἀρτηρίας, ὡς τείνειν τε ἅμα καὶ βαρύνειν καὶ καταψύχειν· τείνειν μὲν ἅμα τοῖς ἄλλοις τοῖς τῇδε· βαρύνειν δὲ διὰ τὸ βάρος· ψύχειν δὲ διὰ τὴν περιττὴν ὑγρότητα. διὰ μὲν δὴ τὴν τάσιν εὐλόγως τὸν σφυγμὸν ποιεῖ ὑπόσκληρον σὺν τινι τάσει, διὰ δὲ τήν τε τῆς δυνάμεως κάκωσιν καὶ τὴν κατάψυξιν μικρότερον. εἰς ὅσον δὲ μικρότερον τοῦ δέοντος εἰς τόσουτον καὶ πυκνότερον, καὶ μᾶλλον ὅταν σὺν πυρετῷ. ὁ δὲ τυμπανίας ὕδερος ἧττον μὲν βαρύνει τὰς μεγάλας ἀρτηρίας, καὶ ὅλως τὴν δύναμιν, οὐχ ἧττον δὲ τείνει. διὰ τοῦτο οὖν ὑπόσκληρος μὲν σύν τινι τάσει, καθάπερ ἐν τοῖς ἀσκίταις ὁ σφυγμὸς γίνεται, θάττων δ᾽ ἐκείνων καὶ ἧττον ἄῤῥωστος, πυκνὸς δὲ κατὰ τὰς αὐτὰς αἰτίας ἐκείνῳ, μακρότερος δὲ διὰ τὴν κουφότητα τῶν ἐπικειμένων ταῖς ἀρτηρίαις σωμάτων. ἐδείχθη γὰρ ἐν τῷ δευτέρῳ λόγῳ βραχὺς μὲν ὁ σφυγμὸς γινόμενος, ἐπειδὰν τῷ βάρει τε καὶ πλήθει τῶν ἐπικειμένων τε καὶ περικειμένων αὐταῖς σωμάτων θλίβωνται, μακρὸς δὲ ἐκ τῶν ἐναν-

Hydrops ascites copiam acervans non modicam in ventre humoris aquofi una fecum magnas arterias afficit, ut intendat pariter et gravet et refrigeret. Tendit autem una cum aliis quae eo loci funt; gravat ob pondus; refrigerat ob nimiam humiditatem; ac tenfionis quidem nomine pulfum reddit merito cum quadam tenfione fubdurum. Quia vero facultas laefa et refrigerata eft, minorem; jam quo minorem jufto, hoc etiam crebriorem, praefertim ubi adjuncta fit febris. Tympanites minus gravat et magnas arterias et femel univerfam facultatem, verum non minus tendit, quae res facit ut perinde ac in ascitis pulfus fubdurus fit cum quadam tenfione. At aliquanto illo eft celerior minusque imbecillus; creber vero iisdem de caufis atque ille, longior ob levitatem tegentium arterias corporum. Siquidem brevem pulfum in libro fecundo oftendimus fieri, ubi pondere et numero incumbentium corporum arteriae et circumdantium ipfas premantur; longum ex contrariis caufis, qua-

τίων αἰτίων, ὧν ἐστι κεφάλαιον ἡ κουφότης τῶν ἐπικειμένων, ἣ κἂν τοῖς τυμπανίαις γίγνεται. [235] πνεύματος γὰρ ὑποπιμπλᾶσιν ὅλον (117) τὸ σῶμα. λοιπὸς δ' ὁ κατὰ σάρκα τε καὶ ἀνὰ σάρκα προσαγορευόμενος, ὑγρότητι πολλῇ διαβρέχων ὅλην τὴν ἕξιν, ὡς τοὺς χιτῶνας τῶν ἀρτηριῶν ἐργάζεται μαλακοὺς, οὕτω καὶ τοὺς σφυγμοὺς μαλακούς τε καὶ κυματώδεις καὶ πλατυτέρους ἀποφαίνεται.

Κεφ. κε'. Ἐλεφαντιώντων σφυγμὸς μικρὸς, ἀμυδρὸς, βραδὺς, πυκνός.

Ὁ τῶν ἐλεφαντιώντων σφυγμὸς οὐκ εὐθὺς ἐξ ἀρχῆς, ἀλλ' ἐπειδὰν ἐπὶ πλεῖστον ἥκωσι κακώσεως, ὡς ἄῤῥωστον αὐτοῖς εἶναι τὴν δύναμιν, μικρὸς καὶ ἀραιὸς καὶ βραδὺς καὶ πυκνὸς ἀποτελεῖται. ἐδείχθησαν γὰρ οἵδε δυνάμεως ἅμα ψύξει κεκακωμένης οἰκεῖοι.

Κεφ. κστ'. Ἰκτέρων ἄνευ πυρετοῦ μικρότερος, σκληρότερος, πυκνότερος, οὐκ ἀμυδρὸς, οὐ ταχύς.

Ὁ τῆς ξανθῆς χολῆς χυμὸς ἔχει τι φύσει ξηραντικὸν, ὥσπερ ἅλμη καὶ θάλαττα, καὶ διὰ τοῦτ' οὖν καὶ τὸν χιτῶνα τῶν ἀρτηριῶν σκληρότερον ἐργαζόμενος, ἅμα

rum eft fumma incumbentium corporum lenitas; quae quidem fit etiam in tympanite. Etenim fpiritu univerfum corpus implet. Reftat hydrops qui κατὰ σάρκα et ἀνὰ σάρκα appellatur. Haec quia imbuit totum habitum humore copiofo, tum tunicas reddit arteriarum molles, tum pulfus molles, undofos latioresque facit.

Cap. XXV. *Elephanticorum pulfus parvus, languidus, tardus creberque eft.*

Qui elephantiafi laborant, pulfum habent non ftatim ab initio, fed ubi plurimum creverit offenfa, ut facultas infirma iis fit, parvum, languidum, tardum et rarum. Hos enim facultati una cum frigiditate laefae demonftravimus peculiares effe.

Cap. XXVI. *Ictericorum pulfus eft, fi abfit febris, minor, durior, crebrior, non languidus, nec celer.*

Vi quadam praeditus eft flavae bilis fuccus exiccandi, ut muria et mare. Quamobrem tunicam arteriarum indu-

αὐτῷ καὶ τὸν σφυγμὸν ἀποφαίνει σκληρότερον, εὐθὺς δὲ καὶ μικρότερον, ἀδυνατούντων δηλονότι τελέως διαστέλλεσθαι τῶν σκληρῶν ὀργάνων. ὥστ᾽ εὐλόγως εἰς ὅσον τοῦ προσήκοντος γίνεται μικρότερος εἰς τοσοῦτο καὶ πυκνότερος, οὐ μὴν ἀμυδρός γε. οὐ γὰρ ἄῤῥωστος ἡ δύναμις. οὐ μὴν οὐδὲ ταχὺς, ὅτι χωρὶς πυρετῶν· ὡς τοῖς γε μετὰ πυρετῶν καὶ ταχὺς, διὰ τὴν τῆς χρείας ἔπειξιν.

Κεφ. κζ. Τῶν δ᾽ ἐλλέβορον εἰληφότων ὀλίγον μὲν πρὸ τῶν ἐμέτων, ἡνίκα ἂν θλίβωνται, πλατὺς, ἀραιὸς, ἀμυδρότερος, βραδύτερος. ἐμούντων δὲ καὶ σπαραττομένων ἀνώμαλος καὶ ἄτακτος. ἤδη δὲ βελτιόνων γινομένων τεταγμένος μὲν, ἀλλ᾽ ἔτι ἀνώμαλος, ἧττον δὲ ἢ πρόσθεν. ἐγγὺς δὲ τοῦ κατὰ φύσιν ἐλθόντων ὁμαλὸς καὶ μείζων τοῦ πρόσθεν καὶ σφοδρότερος. ὅσοι δ᾽ ἐξ αὐτῶν συγκόπτονται καὶ σπῶνται καὶ λύζουσι, μικρὸς τούτοις καὶ ἀμυδρὸς καὶ ἄτακτος καὶ θάττων καὶ πυκνὸς ἄγαν. τοῖς δὲ πνιγομένοις αὐτῶν μικρὸς

rando et exficcando, pulfum quoque facit duriorem fimulque minorem; quod dura inftrumenta fcilicet perfecte distendi nequeant. Proinde rationi confonum eft ut quanto fiat quam par eft minor, tanto etiam crebrior evadat: non languidus eft tamen, neque enim imbecilla facultas eft. Neque vero etiam celer, quod abfint febres: nam illae fi adjunctae fint, propterea quod urgeat ufus, celer etiam fiat.

Cap. XXVII. *Veratrum qui fumpferunt, hi paulo ante vomitum, ubi comprimantur, pulfum habent latum, rarum, languidiorem, tardiorem. Interea dum vomunt et divelluntur, inaequalem et inordinatum. Quum melius habere coeperint, ordinatum quidem, fed inaequalem adhuc, minus tamen quam antea. Ubi vero jam ad naturalem ftatum prope reverfi fuerint, aequalem ac majorem quam dudum vehementioremque. Qui horum fyncope corripiuntur, convelluntur atque fingultiunt, parvum hi et languidum inordinatumque et celeriorem atque multum crebrum habent. Qui ex his fuffocantur, parvum,*

Ed. Chart. VIII. [235.] Ed. Baf. III. (117.)

καὶ ἀμυδρὸς καὶ ἄτακτος καὶ ἀνώμαλος, οὐ μὴν πυκνὸς, οὐδὲ ταχὺς, ἀλλ᾽ ἔτι βραδύνειν μᾶλλον. ἐμφαίνει δέ τι καὶ κυματῶδες καὶ πλατὺ καί ποτε τάσιν τινὰ τῆς ἀρτηρίας βραχεῖαν.

Οὐδ᾽ ἐπὶ τῶν ἐλλέβορον εἰληφότων ἀλόγως οἱ σφυγμοὶ θλιβομένων ἔτι βραδύτεροι καὶ ἀραιότεροι καὶ ἀμυδρότεροι γίνονται. πάσης γὰρ θλίψεως ἦσαν οὗτοι κοινοί. τὸ δ᾽ ἴδιον αὐτῶν ἐστιν ἡ πλατύτης, ἣν ἐκ τοῦ τὸ πνεῦμα πᾶν εἴσω μετὰ τῆς θερμασίας ἕλκεσθαι συμβαίνει γίνεσθαι. τῆς μὲν γὰρ πρὸς τὰ πέρατα κινουμένης δυνάμεως οἰκεῖος σφυγμὸς ὁ ὑψηλὸς, τῆς δ᾽ ὀκλαζούσης τε καὶ ἀντισπωμένης ἐπὶ τὸ ἐντὸς ὁ ταπεινός. οὗτος οὖν ἐστιν ὁ καὶ τὴν τοῦ πλάτους ἀποτελῶν φαντασίαν. τὰ δ᾽ ἄλλα τὰ συμπίπτοντα αὐτοῖς εὔδηλα τοῖς μεμνημένοις τῶν ἔμπροσθεν εἰρημένων.

languidum, inordinatum, inaequalem, non autem crebrum, nec celerem, imo potius tardum. Repraefentat etiam nonnihil undofi et lati, atque parvam quandam interdum arteriae tenfionem.

Ne in his quidem, qui fumpferunt veratrum, a ratione alienum eft, fi pulfus, dum premuntur adhuc, tardiores, rariores languidioresque fiant; nam funt hi omnibus compreffionibus communes. At propria iis eft latitudo, quae hinc oritur, quod fpiritus cum calore intro retrahatur univerfus. Nam motae facultati ad extremitates familiaris eft pulfus altus. Ruenti vero et intro retractae humilis. Atque hic quidem eft qui fpeciem praebet latitudinis. Reliqua horum fymptomata, fi quae tradidimus antea retinuifti, plana funt.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΠΡΟΓΝΩΣΕΩΣ ΣΦΥΓΜΩΝ ΒΙΒΛΙΟΝ Α.

Ed. Chart. VIII. [236.] Ed. Bas. III. (117.)

Κεφ. α'. Ὅτι μὲν οὐ τῶν μελλόντων ἡ πρόγνωσίς ἐστι μόνον, ἀλλὰ καὶ τῶν παρόντων τε καὶ τῶν προγεγονότων, ἀρκεῖ τὸ πάλαι πρὸς Ἱπποκράτους δεδηλωμένον. ἐγὼ γὰρ οὐ τί δύναται πρόγνωσις ἐρῶν ἔρχομαι νῦν, ὅτι μὴ πάρεργον, ἀλλὰ τοῖς εἰδόσιν ὃ δύναται περὶ τῆς διὰ τῶν σφυγμῶν προγνώσεως ἃ γινώσκω φράσω. διττῆς δὲ οὔσης τῆς κατ' αὐτοὺς διδασκαλίας, ὥσπερ καὶ τῆς τῶν βοηθημάτων, ἑτέρας μὲν τῆς κατὰ τὰς οἰκείας αὐτῶν δυνάμεις, ἑτέρας δὲ τῆς κατὰ τὸ πάθημα, βέλτιον ἡγοῦμαι κατ' ἀμφοτέρας

GALENI DE PRAESAGITIONE EX PVLSIBVS LIBER I.

Cap. I. Non esse futurorum tantum praescientiam, sed praesentium etiam atque praeteritorum, satis id olim demonstravit Hippocrates. Neque enim dicere, quae vis sit praescientiae hoc loco nisi obiter statui, sed quibus est perspectum quid valeat de praesagitione per pulsus quae mihi perspecta sunt exponam. Quia vero bipartita est eorum disciplina, ut item remediorum, altera ex peculiaribus facultatibus eorum, altera ex ipso affectu, in utraque

γυμνάζεσθαι, ὥστε καὶ πάθους οὑτινοσοῦν προχειρισθέντος ἑτοιμότατα δύνασθαι τοὺς σφυγμοὺς αὐτῶν διελθεῖν, ἑκάστου τ' αὖ πάλιν ἰδίᾳ ῥηθέντος σφυγμοῦ τῶν παθῶν ἁπάντων ἀναμιμνήσκω διὰ ταχέων, ὅσοις συμπίπτειν εἴωθεν. εἰ γάρ τις ἐν ἀμφοτέροις ἱκανῶς γυμνασάμενος ἀσκήσειεν ἑαυτὸν ἕκαστον τῶν σφυγμῶν ἀκριβῶς διαγινώσκειν, οὗτος ἂν, οἶμαι, τελέως ἂν εἴη τὰ κατ' αὐτοὺς ἐκμεμαθηκώς. ὥστε καὶ εἴ τις εἰς δέον ὁμιλεῖ τοῖσδε τοῖς γράμμασιν, ἀναλέξασθαι χρὴ πρότερον αὐτὸν ἣν ἐγράψαμεν ὑπὲρ τῆς τῶν σφυγμῶν διαγνώσεως πραγματείαν, ἐκείνης δὲ ἔτι πρότερον τὴν ὑπὲρ τῆς διαφορᾶς αὐτῶν, ἔνθα πόσοι τέ εἰσιν οἱ σύμπαντες, ποῖός τέ τις ἕκαστος, ᾧ τέ τινι προσαγορευόμενος ὀνόματι, διήλθομεν. ἔστι δὲ καὶ τρίτη τις ἑτέρα πραγματεία περὶ τῶν ἐν τοῖς σφυγμοῖς αἰτίων, ὧν ἁπασῶν εἰς τὰ παρόντα δεῖ. [237] τῆς μὲν γὰρ πρώτης χωρὶς οὐδὲ νοῆσαι τῶν λεγομένων οὐδὲν οἷόν τε μὴ προγινώσκοντα τῶν ὀνομάτων ἕκαστον ἐφ' ὅτου πράγματος λέγεται· τῆς δὲ δευτέρας ἀγνοουμένης οἴχεται σὺν αὐτῇ τὸ χρήσιμον ἅπαν ἐκ τῆς νῦν προκεχειρισμένης θεωρίας. εἰ γὰρ ἐγὼ μὲν γράφοιμι τὸν ταχὺν, ἢ τὸν μέγαν,

operae pretium mihi visum est exercitari, ut quocunque proposito affectu, ejus in promptu habeamus pulsus. Rursusque perpetuo qui pulsus, quos prodidi singulorum, breviter admoneo quibus soleant accidere. Si quis enim in utrisque probe versatus sit, ac in unoquoque pulsu accurate dignoscendo sese exercuerit, hic demum eorum sit absolutam scientiam assequutus. Itaque etiam qui recte volet in hisce libris versari, huic revolvendum prius est quod conscripsimus opus de dignoscendis pulsibus, ac ante illud de pulsuum differentiis, ubi quot sint universi et qualis quisque, atque quod sortitus nomen, aperuimus. Tertium jam opus de pulsuum causis est; quae omnia ad praesentem sermonem requiruntur. Nam si primum absit, nihil omnino quid dicatur assequere, quum quae nomina quibus rebus assignentur non teneas prius. Secundum vero si te lateat, omnis cum eo hujus commentationis fructus perit. Etenim ego si celerem pulsum, vel magnum, vel vehementem, vel quem

ἢ σφοδρὸν, ἤ τινα τῶν ἄλλων σφυγμὸν, ἐνδείκνυσθαι τόδε τι προγεγονὸς, ἢ παρὸν, ἢ γενησόμενον, ὁ δὲ ἀναγινώσκων ἀγνοοῖ διαγινώσκειν ἐπὶ τῶν ἔργων αὐτοὺς, οὔτε κρῖναι δυνήσεται τῶν λεγομένων τὴν ἀλήθειαν, οὔτε προγνῶναί ποτ᾽ ἐξ αὐτῶν οὐδέν. ἡ δὲ τρίτη πραγματεία τὰς ἀλλοιούσας τοὺς σφυγμοὺς αἰτίας ἐκδιδάσκουσα καὶ πρὸς ἀπόδειξιν τοῖς νῦν λεχθησομένοις ἐστὶν ἀναγκαία καὶ πρὸς μνήμην καὶ πρὸς ἀνάμνησιν. εἰσόμεθα δὲ καὶ τοῦτο αὐτὸ σαφέστερον, ἑνὸς οὑτινοσοῦν σφυγμοῦ προχειρισθέντος, οἷον εἰ τύχοι τοῦ μεγάλου. διαιρησόμεθα γὰρ ἐν αὐτῷ πρῶτον μὲν τὴν ὁμωνυμίαν, ἐπειδὴ διχῶς ὁ μέγας λέγεται σφυγμὸς, εἶθ᾽ ἑξῆς καθ᾽ ἑκάτερον τῶν σημαινομένων ἐπισκεψόμεθα τί δηλοῦν πέφυκεν ἐνεστὸς, ἢ προγεγονὸς, ἢ μέλλον. τὰ μὲν δὴ σημαινόμενα δύο τοιαῦτά ἐστι. μέγας λέγεται σφυγμὸς ὁ μὲν ὡς πρὸς τὸν σύμμετρόν τε καὶ κατὰ φύσιν, ὁ δὲ ὡς πρὸς ὁντιναοῦν τὸν ἐπιτυχόντα. τὰ δὲ ἐξ ἑκατέρου προγινωσκόμενα τὰ μέν τινα κοινὰ τῶν σφυγμῶν ἀμφοτέρων ἐστὶ, τὰ δὲ ἴδια καθ᾽ ἑκάτερον ἑξῆς οὖν ἅπαντα διέλθωμεν, ἀπὸ κοινῶν ἀρξάμ

alium designare tradam certam rem praeteritam, aut praesentem, aut impendentem, nisi eos norit lector in experiundo dignoscere, nec de veritate eorum quae dicuntur poterit judicium facere, nec ex illis unquam praesagire quicquam. Tertia lucubratio, quae causas docet unde variantur pulsus, tum ad demonstrationem est his quae dicenda sunt necessaria, tum ad memoriam et reminiscentiam. Id quod etiam intelligemus apertius, proposito aliquo pulsu, verbi gratia magno. Hic homonymiam primum distinguemus, quandoquidem bifariam dicitur pulsus magnus, deinde in utraque attendemus significatione, quid annuntiare praesens, vel praeteritum, vel futurum possit; quae quidem duae significationes hae sunt. Magnus vocatur pulsus, nunc cum moderato comparatus et naturali, nunc cum quolibet. Jam quae praesciuntur ex utroque partim in communi pertinent ad ambos pulsus, partim utrique sunt propria. Ac vero jam omnia persequamur, exorsi a commu-

μενοι. ῥάστη δ' αὐτῶν ἡ εὕρεσις, εἴ τις εἴη μεμνημένος ὧν ἐν τῇ περὶ τῶν ἐν τοῖς σφυγμοῖς αἰτίων πραγματείᾳ διήλθομεν, ἐπιδεικνύντες ὡς οὐχ ἓν τὸ γένος ἐστὶ τῶν ἀλλοιούντων αὐτοὺς αἰτίων, ἀλλὰ τὸ μὲν, ὡς ἂν οὕτως τις εἴποι, συνεκτικὸν τῆς γενέσεως, ὅπερ δὴ καὶ κατὰ φύσιν ἐστὶν, ἕτερον δ' ἐναντίον τῶνδε τῶν παρὰ φύσιν αἰτίων, ἐφ' ᾧ τρίτον ἄλλο τῶν οὐ φύσει. ταῦτα μὲν (118) ὡς πρὸς τὴν ἀληθινὴν αὐτῶν ὕπαρξίν τε καὶ φύσιν, ἄλλο δὲ τέταρτον, ὡς πρὸς τὴν φαινομένην, ὃ μάλιστα νῦν ἀναγκαῖόν ἐστιν ἀκριβῶς ἐξηγήσασθαι τῆς προγνωστικῆς πραγματείας ἰδιαίτατον ὑπάρχον. ἐκ γὰρ τοῦ φαίνεσθαι τοῖον ἢ τοῖον ἕκαστον τῶν σφυγμῶν ἡ ἀρχὴ τῆς προγνώσεως ἡμῖν ἐστιν. οὐκ ἀεὶ δὲ φαίνεται τοιοῦτος οἷος καὶ ὄντως ἐστί. καὶ λέλεκται μὲν ἤδη καὶ περὶ τούτου κατὰ τὸ δεύτερον τῶν ἐν τοῖς σφυγμοῖς αἰτίων ἐπὶ τελευτῇ τοῦ βιβλίου, κἂν τῷ τρίτῳ δ' ἐπ' ὀλίγον, ἔνθα καὶ περὶ τῶν ἰσχνῶν διαλεγόμεθα· λεχθήσεται δὲ καὶ νῦν ὀλίγον ὕστερον, ἐπειδὰν πρότερον ὑπὲρ τῶν ἀλλοιούντων αὐτοὺς αἰτίων διέλθωμεν. ἐδείχθη καὶ ἐν τῷ πρώτῳ τῶν ἐν τοῖς σφυγμοῖς

nibus. Sane horum in primis eſt proclivis inventio, ſi retinueris quae in lucubratione De pulſuum cauſis docuimus; ubi haec demonſtravimus, cauſarum non eſſe unum genus eos alterantium, ſed unum eſſe continuum, ut ajunt, generationi; quod ſcilicet naturale eſt; alterum contrarium eſſe, ac eſt cauſarum praeter naturam. Poſtea tertium exiſtit aliud, cauſarum non naturalium. Atque haec referuntur ad veram illorum eſſentiam et naturam; aliud quartum ad apparentem in ſpecie; quod quia proprium in primis eſt commentationi praeſagiendi, diligentiſſime eſt explicandum. Nam ex eo quod talis vel talis quisque appareat pulſus, initium nobis datur praeſagiendi. Atqui non apparet perpetuo is qui vere eſt. De hoc etſi verba jam fecimus in libro ſecundo De pulſuum cauſis in fine libri et etiam in tertio breviter attigimus, ubi ageremus de gracilibus, tamen nunc quoque paulo inferius declarabimus, ſi prius de cauſis quae immutant pulſus diſſeruerimus. Non poſſe

αἰτίων ὡς οὐχ οἷόν τέ ἐστιν ἀλλοιωθῆναι σφυγμὸν οὐδένα χωρὶς τοῦ τὴν ἐργαζομένην αὐτὸν δύναμιν, ἢ τὸν χιτῶνα τῆς ἀρτηρίας, ἢ τὴν χρείαν δἰ ἣν γίνεται, μεταβολήν τινα καὶ ἀλλοίωσιν ἔχειν. οὕτως οὖν κἀπὶ τῆς νῦν προκειμένης τροπῆς τῆς εἰς τὸ μέγεθος τῶν σφυγμῶν ἐπισκεψόμεθα τί ποτ᾽ ἐστὶν τῶν εἰρημένων ἢ τίνα τὰ τὴν μεταβολὴν εἰληφότα, πότερον ἡ δύναμις εὐρωστοτέρα γινομένη, μεμαθήκαμεν γὰρ ὡς ὅσον ἐφ᾽ ἑαυτῇ τὸν σφυγμὸν ἐργάζεται μείζονα, ἢ ταύτης ὁμοίας διαμενούσης ὁ χιτὼν τῆς ἀρτηρίας ἐμαλάχθη· καὶ γὰρ καὶ τοῦτ᾽ ἐμάθομεν, ὡς ὁ μαλακώτερος χιτὼν εἰς μέγεθος ἐξαίρει τὸν σφυγμόν· ἢ διὰ τὴν τῆς χρείας αὔξησιν ἡ τοιαύτη γέγονεν ἀλλοίωσις. εἰ μὲν οὖν ἡ δύναμις ἐῤῥώσθη, σφοδρότερος ἂν ἦν πάντως· ὑπόκειται δέ γε μείζων μόνον γεγενημένος. εἰ δὲ ὁ χιτὼν τῆς ἀρτηρίας μόνον ἐμαλάχθη, καὶ γὰρ καὶ τοῦτο ἐμάθομεν, ὡς καὶ ὁ μαλακώτερος χιτὼν τῆς ἀρτηρίας εἰς μέγεθος ἐξαίρει τὸν σφυγμὸν, μαλακώτερος ἂν ἐξ ἀνάγκης ἐγένετο. εἴπερ οὖν μηδέτερον φαίνεται, δῆλον ὡς οὔθ᾽ ἡ δύναμις οὔθ᾽ ὁ χιτὼν τῆς ἀρτηρίας ὑπήλλακται. λοιπὸν οὖν

pulfum mutari ullum in primo libro De caufis pulfuum demonftravimus, nifi etiam effectrix ejus facultas, vel tunica arteriae, vel ufus quamobrem fit, in aliqua fint mutatione et alteratione. Ita etiam in propofita in magnitudinem pulfuum mutatione quodnam de illis aut quaenam immutata funt, advertemus; facultasne robuftior fit, (didicimus enim eam quantum in ipfa fit pulfum majorem reddere) an haec eadem manferit, mollis autem evaferit tunica arteriae, fi quidem hoc quoque accepimus, in magnitudinem molliorem tunicam attollere pulfum, an quod increverit ufus, ea mutatio inciderit. Ergo facultas fi robufta fit, plane fit vehementior; pofuimus autem majorem duntaxat factum effe. Quod fi tunica tantum arteriae emollita fit, etenim hoc quoqud didicimus, ficut et mollior arteriae tunica pulfum in magnitudinem attollit, neceffario mollior erit. Jam fi neutrum appareat, clarum eft nec facultatem nec arteriae tunicam immutatam effe. Reftat igitur mutatum aliquatenus

ἀναγκαῖον ἐξηλλάχθαι κατά τι καὶ μετα[238]βεβλῆσθαι τὴν χρείαν τῆς τῶν σφυγμῶν γενέσεως. ἐδείχθη δὲ αὐτῶν ἡ χρεία διττὴ, πρώτη μὲν καὶ μεγίστη φυλακὴ τῆς ἐμφύτου θερμότητος, δευτέρα δὲ γένεσις πνεύματος ψυχικοῦ. καλῶ δὲ οὕτω νῦν ᾧ χρῆται πρὸς τὰ κατὰ προαίρεσιν ἐνεργείας ἡ ψυχή. τούτων ἄρα τι πάντως ὑπήλλακται παρὰ τὰ πρόσθεν, ὁπότ᾽ εἰς μέγεθος ὁ σφυγμὸς μεταβέβληται. ἀλλὰ μὴν καὶ ὅτι βραχείας μὲν γινομένης τῆς διὰ τὴν χρείαν ἐκ τοῦ κατὰ φύσιν ἀλλοιώσεως τὸ μέγεθος τῶν σφυγμῶν μόνον ἐπιφανὲς ἔσται, τὸ δὲ τάχος οὐδέπω, πλέονος δὲ τὸ μέγεθος ἐπὶ μᾶλλον αὐξηθήσεται καὶ τὸ τάχος ἐναργῶς φανεῖται, παραυξανομένης δ᾽ ἔτι καὶ τὸ μέγεθος μὲν καὶ τὸ τάχος ἐπιταθήσεται, προσέτι δὲ καὶ πυκνότης, ὡς ἐκ τῆς περὶ τῶν ἐν τοῖς σφυγμοῖς αἰτίων πραγματείας εὔδηλόν ἐστιν. εἰ τοίνυν κατὰ τὸ μέγεθος μὲν ὁ σφυγμὸς ἠλλοιῶσθαι φαίνεται, τοῦτο γὰρ ὑπόκειται νῦν, ἀναγκαῖον ἐπὶ βραχὺ τὴν χρείαν ὑπηλλάχθαι. εἰ δὲ μὴ γέγονε μείζων ὁ σφυγμὸς, ἀλλὰ φαίνεται μείζων, ἰσχνότερον ἑαυτοῦ τὸ σῶμα τἀνθρώπου δι᾽ ἥντιναοῦν αἰτίαν ἀπετελέσθη. ταῦτ᾽ οὖν προεπιστάμενός τις ἐπὶ τὰς διαγνώσεις ἡκέτω,

esse et variasse usum pulsuum generandorum. Quorum esse docuimus usum duplicem; primum atque maximum conservationem nativi caloris, alterum animalis spiritus generationem: sic nunc voco quo utitur anima ad functiones voluntarias. Ac horum omnino praeter superiora aliquid est mutatum, ubi in magnitudinem conversus pulsus sit. At vero si parvus fiat a natura recessus ob usum, sola perspicua erit magnitudo, nondum autem celeritas; si major, increscet magis magnitudo et clare celeritas apparebit, si adhuc amplificabitur, magnitudo celeritasque augebuntur, atque accedet crebritas, ut planum est ex opere De causis pulsuum. Quare pulsus si diversus esse magnitudine videatur (nam hoc nunc propositum est) necessarium est usum paululum esse immutatum. Sin autem non sit factus major pulsus, sed videatur major, gracilius solito aliqua de causa evasit hominis corpus. His jam cognitis ad examinandum

πρῶτον ἐπὶ τὰς τῶν ἁπλῶς ὑγιαινόντων σωμάτων, εἶθ' ἑξῆς ἐπὶ τὰς μετά τινος ἐπικτήτου κινήσεως, εἶτα ἤδη καὶ ἐπὶ τὰς νοσούντων ἁπλῶς, καὶ τελευταῖον ἐπὶ τὰς μετά τινος ἔξωθεν ἀλλοιώσεως. ἐν μὲν γὰρ τοῖς ἁπλῶς ὑγιαίνουσι σώμασιν ὁ μέγας σφυγμὸς ἐνδείξεται τήν τε κρᾶσιν τἀνθρώπου καὶ τὴν σχέσιν τοῦ σώματος· ἐν δὲ τοῖς μετ' ἐπικτήτου διαθέσεως ἐκείνην τὴν κίνησιν ἐπικρατεῖν, ἧς οἰκεῖος ὁ μέγας ἐστὶ σφυγμός. εἴρηται δὲ ὑπὲρ τῶν τοιούτων ἁπασῶν κινήσεων ἐν τῇ περὶ τῶν ἐν τοῖς σφυγμοῖς αἰτίων πραγματείᾳ. οὕτω δὲ κἀν τοῖς νοσοῦσι τοῖς μὲν ἁπλῶς ὁ μέγας σφυγμὸς ἐνδείξεται θερμὴν τῆς νόσου τὴν διάθεσιν, τοῖς δὲ μετὰ προσφάτου τινὸς ἔξωθεν ἀλλοιώσεως ἐκείνην τὴν κίνησιν ἐπικρατεῖν, ἧς ἂν οἰκεῖος ὁ μέγας εὑρίσκηται σφυγμός· οἷον αὐτίκα τῶν ὑγιαινόντων ὅσοι τὸν σφυγμὸν ἔχουσι μέγαν, ὡς πρὸς τὸν σύμμετρον δηλονότι παραβαλλόμενοι, ἀναμνησθῆναι χρὴ πρῶτον μὲν αὐτὸ δὴ τοῦτο, τίς ἐστιν ὁ σύμμετρος ἐν τούτῳ τῷ γένει καὶ κατὰ τίνα φύσιν σώματος. ἐπιδέδεικται δ' ἐν τῷ δευτέρῳ τῆς τῶν σφυγμῶν διαγνώσεως ἐν ταῖς ἀρίσταις

accedas primum in corporibus fimpliciter fanis; mox in iis ubi adjunctus eft aliquis ascititius motus; poftea in corporibus quae aegrotant fimpliciter; poftremo in iis ubi alteratio quaepiam adeft externa. In corporibus enim quae funt fanitate inculpata docebit magnus pulfus et temperamentum hominis et corporis habitudinem; in corporibus ubi adjunctus eft adventitius ftatus illum praepollere motum cui peculiaris magnus pulfus eft. De omnibus hisce motibus in opere de caufis pulfuum diximus. Nec aliter in aegrotantibus, fi quidem aegrotant fimpliciter, indicabit magnus pulfus morbi calidum affectum effe; fin recens aliqua adfit alteratio extrinfecus, illum vincere motum cui fit familiaris magnus pulfus; ut exempli gratia in fanis, qui pulfum magnum obtinent, ad moderatum fcilicet relatum, ad memoriam eft revocandum primum hoc quidem, qui fit in hoc genere moderatus pulfus et qua in corporis natura. Oftendimus in fecundo libro De pulfibus dignofcendis in

κατασκευαῖς τοῦ σώματος ὁ σύμμετρος ὑπάρχων σφυγμὸς, οὐδ' ἐπὶ τούτων διαπαντὸς, ἀλλὰ ὅταν ἁπάσης ἐπικτήτου ποιότητος καὶ κινήσεως ἀπηλλαγμένον ᾖ τὸ σῶμα τῶν ἐκ τοῦ γυμνασίου τινὸς, ἢ τροφῆς, ἢ πόματος, ἢ λουτρῶν, ἢ φαρμάκων, ἢ πάθους ψυχικοῦ γινομένων. ἀναμνησθέντα δή σε τοῦ συμμέτρου σφυγμοῦ καὶ τὸν νῦν εὑρόντα μέγαν ὡς πρὸς ἐκεῖνον ἐννοεῖν προσήκει, ὑπὸ τίνος αἰτίας εἰς μέγεθος ἐπέδωκεν· ἤτοι γὰρ διὰ τὴν ἰσχνότητα τοῦ σώματος, ἢ διὰ τὴν θερμότητα τῆς κράσεως, ἢ διὰ τὴν ἐπίκτητον κίνησιν. ἀλλ' αἱ μὲν ἐπίκτητοι κινήσεις αὐτίκα καθίστανται, παραμένουσι δ' ἔτι διὰ τὴν ἰσχνότητα καὶ τὴν κρᾶσιν. αὐτῷ τε οὖν τούτῳ διορίζεσθαι χρὴ καὶ οἷς ὀλίγον ὕστερον ἐρῶ, μικρόν τι προειπὼν ἀναγκαῖον εἰς τὴν ἑξῆς ἅπασαν διδασκαλίαν. ἔστι δ' ὃ προειπεῖν βούλομαι τοιόνδε. ἀκριβεστάτη διάγνωσις ἁπασῶν τῶν κατὰ τὸ σῶμα γινομένων ἀλλοιώσεων ἐκείνων ἡμῖν ἐστι τῶν σωμάτων, ὧν ἐπιστάμεθα τὴν φύσιν. εἰς ὅσον γὰρ ἐξίσταται τῆς φύσεως, ἐπί γε τοῖς παρὰ φύσιν αἰτίαις καὶ προσέτι τοῖς οὐ φύσει λεγομένοις, οὐκ ἔνεστιν

corporibus optime comparatis pulfum effe moderatum; non in his tamen perpetuo, verum cum omni qualitate adventitia corpus liberum fit omnique motu, quae fiunt ex aliqua exercitatione, aut cibo, potu, balneis, medicamentis, animi affectu. Quare revocandus eft ad memoriam moderatus pulfus et quem nunc invenimus, magnus, ut in comparatione illius confiderandus eft, ex qua caufa in magnitudinem increvit. Aut enim ex gracilitate corporis, aut ex calore temperamenti, aut ex ascititio motu. Caeterum motus ascititii mox definunt, permanent vero amplius ob gracilitatem et temperamentum. Hac igitur ipfa re diftinguendus eft aliique quos dicam inferius; tantum praemonebo nonnihil quod neceffarium ad omnem fequentem doctrinam eft. Quod praemonere inftitui hoc eft. Omnium alterationum quae corpori accidunt certiffimam affequimur in illis corporibus cognitionem quorum noscimus naturam. Quantum enim a natura disceflerint ob caufas praeter naturam et illas etiam quae non naturales appellantur, nulla poteris exacte inve-

ἄλλως ἐξευρεῖν ἀκριβῶς. οὐ μὴν ἀεί γε ταύτην γινώσκομεν· οὐκ οὖν οὐδ' ἀκριβῆ διάγνωσιν ἐπὶ πάντων ἕξομεν, ἀλλ' ἀεὶ τοσοῦτον ἀπολειπομένην τῆς ἀκριβείας εἰς ὅσον καὶ τῆς τοῦ κατὰ φύσιν γνώσεως. [239] ὑποκείσθω δὴ πρῶτον ἐν τῷ προκειμένῳ λόγῳ τὴν διάγνωσιν γίνεσθαι τῆς τοῦ ἀνθρώπου φύσεως, καὶ τοῦτ' αὐτῷ μόνον ἐξαίρετον ὑπαρχέτω, μείζων ὁ σφυγμὸς ἔστω τοῦ συμμέτρου χωρὶς ἁπάσης ἀλλοιώσεως ἐπικτήτου. τὸν γὰρ τοιοῦτον ἄνθρωπον ἀναγκαῖόν ἐστι τοῦ τὴν ἀρίστην ἔχοντος κατασκευὴν ἤτοι θερμότερον ἢ ἰσχνότερον ὑπάρχειν, εἴ τι μεμνήμεθα τῶν προγεγραμμένων ἡμῖν δυοῖν πραγματειῶν, τῆς τε περὶ διαγνώσεως σφυγμῶν καὶ τῆς περὶ τῶν ἐν αὐτοῖς αἰτίων. ὑπομεμνήσθω δὲ καὶ τοῦθ' ἡμῖν ἐν ἅπασι τοῖς τοιούτοις λόγοις, ὡς ἐν οἷς παραδιαζευκτικῷ χρώμεθα συνδέσμῳ, ἢ, πάντα ἅμα τὰ κατὰ μέρος ἐγχωρεῖ συνελθεῖν, εἴτε δύο, καθάπερ νῦν, ἥτε θερμότης καὶ ἡ ἰσχνότης, εἴτε καὶ πλείω φαίνοιτο τὰ τὴν ἀλλοίωσιν ἐργαζόμενα. ὁ μὲν δὴ μέγας σφυγμὸς ὁ ἁπλῶς λεγόμενος, ὥσπερ ἐδείκνυτο, πρὸς τὸν ἁπλῶς σύμμετρον παραβαλλόμενος ἤτοι

nire alia ratione. Sed enim non cognoscimus hanc ſemper; quare nec in exactam ubique cognitionem veniemus; verum a cognitione abſoluta tantum aberimus quantum a naturalis ſtatus cognitione. At ſtatuimus primum explorationem in hac disputatione fieri hominis naturae, hocque habeat eximium unum, ut major ſit pulſus moderato citra ullam alterationem ascititiam. Hunc hominem neceſſe eſt homine optime natura comparato eſſe vel calidiorem vel graciliorem, ſi quam habemus priorum duarum lucubrationum memoriam De dignoscendis pulſibus et De pulſuum cauſis. Atque hujus quoque duxi admonendum eſſe in ejuscemodi omnibus orationibus, licet conjunctione disjunctiva utamur *vel*, omnes tamen poſſe partes in unum convenire; ſive duae, ut nunc, calor et gracilitas, ſive plures videantur quae mutationem efficiunt. Ac pulſus quidem qui abſolute dicitur magnus, quem ad eum qui abſolute eſt moderatus oſtendimus conferri, aut temperamentum, aut praes-

Ed. Chart. VIII. [239.] Ed. Bas. III. (118. 119.)

τὴν κρᾶσιν ἢ τὴν παροῦσαν σχέσιν δηλώσει τοῦ σώματος· ὁ δέ γ' ὡς πρὸς τὸν ἑκάστου κατὰ φύσιν μέγας ἐν ἐκείνῳ τῷ σώματι, δηλώσει καὶ αὐτὸς ἤτοι θερμότητα τινὰ προσγινομένην τῷ κατὰ φύσιν ἢ ἰσχνότητα. τὰς δὲ ἀπό τινος ἔξωθεν αἰτίου τροπὰς τῶν σφυγμῶν κατὰ τάδε διορίζειν. ἡ μὲν ἐκ βαλανείων τε καὶ δρόμων καὶ τρίψεων καὶ τῶν ἄλλων κινήσεων γινομένη βραχυχρόνιός τέ ἐστι καὶ οὕτω ταχέως εἰς τὴν ἀρχαίαν ἐπανέρχεται κατάστασιν ὥστ' ἔνεστί σοι τῶν σφυγμῶν ἁψαμένῳ, κἄπει(119)τα βραχὺ διαλιπόντι καὶ πάλιν ἐφαψαμένῳ σαφέστατα διαγνῶναι τὴν μεταβολήν. ἡ δευτέρα γὰρ ἁφὴ τῆς προτέρας διαλλάττουσα φαίνεται, κἂν βραχύτατόν τις χρόνον διαλείπῃ. τὸ δὲ ἀπ' οἴνου καὶ τροφῆς μέγεθος τῶν σφυγμῶν ἄχρι μὲν πλείστου παραμένει, διορίζεται δὲ τῇ συνούσῃ σφοδρότητι, σφοδρὸς γὰρ οὐχ ἧττον ἢ μέγας τούτοις ὁ σφυγμὸς γίνεται, νυνὶ δὲ ὑπόκειται μείζων μόνον γεγενημένος. οὔκουν ἀπὸ τούτων ἠλλοίωται. καὶ μέν γε καὶ ἡ ἀπὸ τοῦ θυμοῦ μετὰ σφοδρότητος γίνεται, καὶ οὐδ' ἂν ἄλλως λάθοι τόν γε συνετὸν εἴς τε τοὺς ὀφθαλμοὺς

autem declarabit corporis statum. Qui vero magnus dicitur comparatus cum naturali uniuscujusque pulsu, etiam hic annunciabit aut calorem aliquem accessisse illius corporis statui naturali, aut gracilitatem. At vero mutationes pulsuum ex causa externa in hunc modum sunt discernendae. Quae ex balneis, cursibus, frictionibus caeterisque motibus fit, non est diuturna, sed mox ad pristinum statum revertitur. Itaque tangendo pulsu iterumque tangendo paulo post poteris in manifestam mutationis cognitionem venire, altera enim tactio, ut brevissimum interponatur spatium, a priore videtur diversa esse. At magnitudo pulsuum ex vino et cibo profecta diuturna est. Haec ex vehementia exploratur, quae illi est conjuncta; neque enim his vehemens minus atque magnus est pulsus. Nunc autem is positus est qui duntaxat sit major; itaque non est ab his immutatus. Jam etiam magnitudo quam ira concitat adjunctam habet vehementiam, quae alioqui prudentem non

καὶ τὸ σύμπαν πρόσωπον ἀποβλέποντα. κατέχειν μέντοι καὶ κρύπτειν βουλομένῳ τὸν θυμὸν ἀνώμαλος ὁ σφυγμὸς γίνεται καὶ μᾶλλον ἀνώμαλός ἐστιν τοῖς ἀγωνιῶσί τε καὶ αἰδουμένοις. ἡ δ' ἀπὸ τῶν ἡμιπέπτων ἐν τῷ σώματι χυμῶν πεττομένων τε καὶ τρεφόντων τὴν φύσιν εἰς μέγεθος ἐπίδοσις ὁμοίως τοῖς εἰληφόσι τροφὴν συναυξάνει καὶ τὴν σφοδρότητα. κατὰ δὲ τὸν αὐτὸν τρόπον εἴ τις ἐν ἡλίῳ τε καὶ παρὰ πυρὶ θαλφθείη, πρὸς τῷ μὴ παραμένειν ἄχρι πολλοῦ τὴν ἀλλοίωσιν ἔτι καὶ ὁ χρὼς αὐχμηρὸς αὐταῖς καὶ οὐχ ὑγρὸς ὡς ἀπὸ βαλανείων ἔσται. οὗτοι μὲν οὖν ἐξ ὑπεναντίου πως διάκεινται τοῖς λελουμένοις ὅσον ἐπὶ μαλακότητι καὶ ὑγρότητι τοῦ δέρματος. μέσοι δ' ἀμφοῖν ἐν τῇ καθ' ὑγρότητά τε καὶ ξηρότητα μεταβολῇ τοῦ δέρματός εἰσιν οἱ τριψάμενοί τε καὶ γεγυμνασμένοι. καὶ μὲν δὴ καὶ ἡ θερμότης αὕτη πλείων μέν ἐστι περὶ τὰ στέρνα τοῖς γεγυμνασμένοις τε καὶ θυμουμένοις, ἐλάττων δὲ τοῖς λελουμένοις καὶ μᾶλλον ἄχρι τῶν ἄκρων ὁμαλῶς ἐκτεταμένη μεθ' ὑγρότητός τε ἅμα καὶ μαλακότητος. ὡσαύτως δὲ καὶ εἰ ὁ ἄνθρωπος ἠλείψατο μεταξύ τινι θερμαίνοντι φαρμάκῳ, δακνώδης τέ τις αἴσθησις ἀπὸ τῆς θερμότη-

lateat, fi oculos refpiciat univerfumque vultum; quod fi quis reprimere iram et tegere velit, fit inaequalis pulfus magisque inaequalis his qui anguntur et verentur. Porro magnitudinis incrementum, quod fit, quum femicocti in corpore humores concoquuntur aluntque naturam, perinde ut his qui cibum fumpferunt una fecum auget vehementiam. Haud aliter, fi quis in fole aut ad ignem calefactus fit, non folum non durat diu alteratio, verum etiam cutis iis eft fqualida nec humida ut erit a balneis. Atque hi quidem quod ad mollitiem et humiditatem cutis attinet contra fe habent ac loti. Medium inter utrosque locum funt fortiti in cutis mutatione humiditatis ac ficcitatis fricti atque exercitati. Jam vero etiam calor hic copiofior fecundum pectus eft exercitatis et iratis, lotis parcior, adeoque ad extremas usque partes aequabiliter cum humiditate et mollitie extenfus. Sic etiam fi inunctus homo interea fuit medicamento calido, inter tangendum mordacem calorem

Ed. Chart. VIII. [239. 240.] Ed. Bas. III. (119.)

τος ἁπτομένῳ σοι γενήσεται καὶ τάχ᾽ ἂν οὐδ᾽ ἄλλως λάθοι ἐμπεπλασμένον αὐτοῦ τῷ δέρματι λίπος ἐκ τοῦ φαρμάκου. αἱ μὲν δὴ τεχνικαὶ διαγνώσεις αὗται τῶν εἰς μέγεθος τρεπόντων αἰτιῶν τοὺς σφυγμοὺς ἐπί τε ὑγιαινόντων καὶ νοσούντων εἰσίν· αἱ δὲ ἔξωθεν αἱ μὲν ἐξ ἀνακρίσεως, ὡς ὅταν γε μὴν ἐν ἐχθροῖς τισιν, ἢ ἐνεδρεύουσι, ἢ κακοήθως ἀποπειρωμένοις ἀνθρώποις ποιεῖτε τὰς ἐπισκέψεις· αἱ δὲ ἀπὸ τοῦ μὴ κεχωρίσθαι τοῦ κάμνοντος αὐτὸν τὸν ἰατρὸν, ὥσπερ δὴ καὶ ἀρίστας φαμὲν τῶν διαγνώσεων· ὡς ὅσαι γε μήτε διαπαντὸς παρόντος τοῖς νοσοῦσι τοῦ θεραπεύοντος γίνονται [240] μήτ᾽ ἀληθῆ βουλομένους ἀπαγγέλλειν, αὗται χαλεπώτεραί τέ εἰσι καὶ συνετοῦ πάνυ δέονται τοῦ ἰατροῦ. ἐμοὶ γοῦν συνέβη τῶν ἄλλων ἁπάντων ἀφωρισμένων αἷς πρόσθεν εἴρηκα διαγνώσεσιν ὑπολείπεσθαι ζητῆσαι, εἴτε φάρμακον θερμαῖνον ὁ κάμνων προσηνέγκατο μεταξὺ μὴ παρόντων ἡμῶν, εἴτε καὶ τῷ τῆς ἐπισημασίας λόγῳ μέγεθος ὁ σφυγμὸς προσέλαβεν. ἐν μὲν δὴ τοῖς τοιούτοις καιροῖς ἀναγκαῖόν ἐστι πανταχόθεν ἐπιτεχνᾶσθαί τε καὶ στοχάζεσθαι τἀληθοῦς. πρῶτος μὲν οὖν σκοπὸς ἐν τοῖς τοιούτοις ὁ παροξυντικός ἐστι χρόνος· ἐφεξῆς

senties; quanquam fortassis nec illita cuti ex medicamento pinguedo te fallat. Hi sunt artificiales modi causarum dignoscendarum quae in magnitudinem pulsum sanis et aegrotis convertunt. Externi sunt partim per investigationem, quum scilicet apud inimicos, aut insidiatores, aut malignos tentatores quaestionem habeatis, partim ex eo quod non discesserit ab aegroto medicus; quos quidem optimos confirmamus esse dignoscendi modos; nam qui fiunt quum non semper aegrotis medicus praesto fuerit, neque verum illi declarare voluerint, hi sunt difficillimi et medicum requirunt egregie prudentem. Etenim mihi usu venit, quum reliqua distinxissem vestigiis illis quae commemoravi ante, ut restaret quaerendum, an aegrotus medicamentum calefaciens absentibus nobis sumpsisset, an ratione accessionis magnitudinem pulsus nactus esset. His vero temporibus undique exploranda est et observanda veritas. Primus in illo genere scopus est tempus accessionis, deinde aegroti con-

δὲ τοῦ κάμνοντος τὸ ἔθος τε καὶ τὸ ἦθος. εἰ μὲν γὰρ ἄλλῳ τινὶ χρόνῳ καὶ μὴ τῷ παροξυντικῷ μέγεθος ὁ σφυγμὸς προσεκτήσατο, πιθανὸν ἀπὸ τοῦ θερμαίνοντος φαρμάκου μᾶλλον, οὐ λόγῳ παροξυσμοῦ γεγενῆσθαι τὴν ἀλλοίωσιν· εἰ δ' ἐν τῷ παροξυντικῷ, πιθανώτερον ἐπισημασίας λόγῳ. διορισθήσεται δὲ ἀκριβῶς, εἰ βραχὺ διαλιπόντες αὖθις ἁψαίμεθα. τὴν μὲν γὰρ ἀπὸ τοῦ φαρμάκου θερμότητα, δι' ἣν ὁ σφυγμὸς ἐπέδωκεν, ἀεὶ καὶ μᾶλλον ἐκλύεσθαι συμβαίνει τοῦ χρόνου προϊόντος, ἐπιτείνεσθαι δὲ τὴν ἐκ τοῦ παροξυσμοῦ. αὕτη μὲν οὖν ἡ διάγνωσις ἐκ τῶν ἰδίων τῆς τέχνης ἐστίν· ἡ δ' ἀπὸ τοῦ ἔθους τε καὶ ἤθους τῶν καμνόντων ἐξ ἐπιμέτρου προσέρχονται. τινὲς μὲν γὰρ ἀήθεις τ' εἰσὶ καὶ φοβεροὶ πρὸς τὰς τῶν φαρμάκων πόσεις, ἔνιοι δὲ συνήθεις τε καὶ χωρὶς φαρμάκων ζῆν οὐχ ὑπομένοντες. καὶ τοίνυν ἡ πρόγνωσις τοῦ προσενηνέχθαι τι φάρμακον θερμαῖνον ἐπὶ μὲν τῶν ὑπόπτων πρὸς αὐτὰ παντάπασιν ἀμυδρὰ καὶ βραχεῖα, μεγάλη δὲ ἐπὶ τῶν εἰθισμένων. ἤδη δὲ καὶ τὸ ἦθος αὐτὸ τοῦ κάμνοντος εἰς τὴν τοιαύτην πρόγνωσιν οὐκ ὀλίγα συντελεῖ. τινὲς μὲν γὰρ ἐνεδρευτικοί τ' εἰσὶ καὶ καταβλητικοὶ τῶν πέλας, ἐξελέγχειν

ſuetudo et mores. Nam ſi alio tempore et non acceſſionis major ſit pulſus, a medicamento calefaciente probabilius eſt quam ratione acceſſionis incidiſſe alterationem; ſin acceſſionis tempore, veriſimilius eſt propter acceſſionem. Exploraveris autem exacte, ſi paulo poſt iterum tetigeris; nam ſi calor a medicamento proceſſit, a quo auctus ſit pulſus, diuturnitate magis ſemper ac magis remittetur; qui vero ab acceſſione, increscet. Verum hic modus dignoscendi pertinet ad artem. Huc notitia quam conſuetudo praebet et mores aegrotorum pro cumulo accedit. Quidam enim ſunt inſueti et abhorrent a medicamentorum potione, alii ſunt adeo aſſueti ut vivere ſine medicamentis non ſuſtineant; itaque praeſagitio ſumptum eſſe medicamentum calefaciens in his qui ab illis abhorreant difficilis eſt, in iis vero qui ſunt aſſueti facilis. At vero mores etiam aegrotantis ad talem praeſagitionem non mediocriter interſunt. Quidam enim natura inſidiantur et familiaribus imponunt

Ed. Chart. VIII. [240.] Ed. Bas. III. (119.)

ἅπαντας ὡς μηδὲν βέβαιον ἐπισταμένους ἔργον πεποιημένοι· τινὲς δὲ ἁπλοῖ τε καὶ χρηστοὶ καὶ πάντα φανερῶς διαπραττόμενοι, καὶ μηδὲν ὑποστελλόμενοι, μηδὲ κρύπτοντες. ἐπὶ μὲν δὴ τούτων οὐδὲν ὑπονοεῖν χρὴ πεπρᾶχθαι λαθραίως, ἐπὶ δὲ τῶν ἐνεδρευόντων ὑποπτεύειν προσήκει πάντα καὶ περισκέπτεσθαι καὶ διορίζεσθαι, τά τε κατὰ τὸν ἴδιον λόγον τῆς τέχνης ὑποπίπτοντα ταῖς διαγνώσεσι καὶ τὰ παρὰ τῶν ἔξωθεν προσερχόμενα· καθάπερ ἐγώ ποτ' ἠναγκάσθην ἐπί τινος ἀνδρὸς πλουσίου ποιῆσαι, φιλοφαρμάκου τε καὶ προσφερομένου συνεχέστατα φάρμακα. ἦν δὲ καὶ τὸ ἦθος οἷος ἥδεσθαι μάλιστα τοῖς τῶν πέλας ἐλέγχοις ὡς μηδὲν ἀκριβὲς ἐπισταμένων. εὑρὼν οὖν αὐτοῦ τοὺς σφυγμοὺς εἰς μέγεθος ἐπιδεδωκότας, εἶτα τῶν ἄλλων ἁπάντων αἰτίων τῶν εἰρημένων ἀφορίσας, ὑπολοίπου δὲ ἔτι μένοντος διορισμοῦ, πότερον ὑπὸ φαρμάκου θερμαίνοντος, ἢ λόγῳ παροξυσμοῦ πυρεκτικοῦ δὲ τοιοῦτον γέγονεν, καὶ γάρ πως καὶ ὁ καιρὸς αὐτὸς ἦν ὁ τῆς εἰσβολῆς τοῦ πυρετοῦ, δεῖξαί μοι τὴν γλῶτταν ἐκέλευσα καὶ κεχρωσμένην ὑπὸ φαρμάκου θεασάμενος αὖθις ἡψάμην αὐτοῦ τῶν σφυγμῶν οὐδεμίαν ὑποψίαν ἐνδούς.

atque laborant ut coarguant nihil quemquam firmi ſcire; quidam ſimplices ſunt modeſtique atque omnia faciunt aperte, nec quicquam diſſimulant vel tegunt. In his nihil factum clam ſuſpicandum eſt; apud inſidiantes omnia habenda ſunt ſuſpecta ac circumſpicienda ſunt et diſtinguenda tum quae propria artis ratione pertineant ad dignoscendum tum quae extrinſecus adveniant. Quod mihi fuit quondam neceſſarium facere in homine divite, qui gaudebat medicamentis, eaque aſſidue ſumebat; qui eo erat ingenio ut libenter argueret familiares nullius certae ſcientiae. Hujus quum offendiſſem in magnitudinem pulſum increviſſe, ab aliisque omnibus quas commemoravimus cauſis diſtinxiſſem, ac una mihi maneret diſtinctio, utrum a calefaciente medicamento, an acceſſionis ratione febrilis id accidiſſet (circa tempus enim erat febrilis acceſſionis) ego juſſi ut linguam mihi oſtenderet; quam quum a medicamento conſpexiſſem infectam, iterum attigi ejus pulſum, nihil ſuſpicans

ἐν τούτῳ δὲ καὶ ὅτι πιεῖν φαρμάκου βουλόμενον αὐτὸν ἐν τῇ προτέρᾳ διεκωλύσαμεν ἀνεμνήσθην. εἶπον οὖν εὐθέως πρὸς τὸν ἄνθρωπον ὅτι πεπωκὼς εἴη φάρμακον. ὁ δὲ συνεὶς ὡς ἀπὸ τοῦ κατὰ τὴν γλῶτταν χρώματος ἐτεκμηράμην, αὖθίς ποτε ποιήσας σφαιρία μικρὰ τοῦ φαρμάκου κατέπιεν, ὡς μὴ χρωσθῆναι τὴν γλῶτταν. ἀλλ' ἐγὼ καὶ τοῦτ' ἐξεῦρον αὐτοῦ τὸ σόφισμα. θεασάμενος γὰρ τὴν γλῶτταν, εἶτ' αὖθις ἁψάμενος τοῦ σφυγμοῦ καὶ τἄλλα διορισάμενος ἃ μικρὸν ἔμπροσθεν εἴρηται, μᾶλλόν πως ἐπὶ τὸ φάρμακον ἐφερόμην τὴν γνώμην, καὶ πάλιν διαλιπὼν καὶ πάλιν ἁψάμενος, ἠπιστάμην δὲ τὸ φιλόνεικον τἀνδρὸς, ἐτόπασά τε τὸ γεγονὸς ἀποτολμήσας τε πρὸς αὐτὸν ἔφην, [241] ἀλλὰ μέντοι σύ μοι δοκεῖς εἰληφέναι φάρμακον. τοῦ δ' ἀρνουμένου κατὰ τὸ καρτερώτατον καὶ μάρτυρας τοὺς παραμένοντας οἰκέτας ἐπικαλουμένου, κατέχων αὐτοῦ τὴν χεῖρα καὶ τῶν σφυγμῶν ἐφαπτόμενος, ἆρ' οὖν, ἔφην, δύναιό μοι καὶ ὀμόσαι τινὰ ὅρκον ὃν ἂν ἐγώ σε κελεύσω; ὁ δ' οὐθ' ἑτοίμως ἀπεκρίνατο πρὸς τοῦτο καὶ τὴν τῶν ἀρτηριῶν κίνησιν ἀνώμαλον ἴσχεν ὡς ἐπ' ἀγωνίᾳ. καὶ μὴν,

etiam. Interea occurrit mihi medicamentum me, quum voluiſſet potare pridie, prohibuiſſe, atque homini dixi ſtatim eum medicamentum bibiſſe. Quod ille quum animadvertiſſet, a linguae me colore conjecturam feciſſe, alias iterum pilulas parvas medicamenti fecit, quas devoravit ut lingua ne tingeretur; at hoc quoque deprehendi ejus commentum. Nam quum linguam inſpexiſſem ac tetigiſſem iterum pulſum atque reliqua quae expoſui paulo ante discuſſiſſem, equidem ſuſpicionem ad medicamentum potiſſimum converti retraxique manum, ac iterum paulo poſt injeci pulſui, (noveram enim hominis proterviam) itaque deprehendi factum, nec dubitavi illi dicere, At tu medicamentum mihi ſumpſiſſe videris; ille conſtantiſſime inficias ibat, ſimulque ſervos qui permanſerant appellabat teſtes. Ego manum ejus tenens et pulſum tangens, Ergo, inquam, ſuſtinebis conceptis verbis jurare mihi ut tibi dictabo? Ad hoc non prompte ille respondebat ac arteriarum habebat ut in angore inaequalem motum. Profecto, inquam, tu

ἔφην, ἀκριβῶς ἔλαβες τοῦ φαρμάκου καὶ μὴ ὄμνυε. πρὸς μὲν δὴ τοὺς οὕτως ἀβελτέρους καὶ αὐτὸν εὐμήχανον εἶναι χρή. τὰ πολλὰ δὲ οὐ μόνον οὐκ ἀντιπράττουσιν οἱ ἰδιῶται τοῖς ἰατροῖς εἰς τὸν ἀπὸ τῶν ἔξωθεν διορισμὸν, ἀλλὰ καὶ συμπράττουσιν, αὐτόματοι διηγού(120)μενοι πάντα. καὶ ἡμῖν περὶ μὲν τῆς εἰς μέγεθος ἐπιδόσεως τῶν σφυγμῶν αὐτάρκως εἴρηται τά γε πρῶτα· μετιέναι δὲ ἤδη καιρὸς ἐπὶ τὰ συνεχῆ τοῦ λόγου. ἐπειδὴ γὰρ οὐ καθ' ἕνα τρόπον ὁ μέγας λέγεται σφυγμὸς, ἀλλ' ὁ μὲν ὡς πρὸς τὸν σύμμετρον, ὁ δ' ὡς πρὸς ὁντιναοῦν τὸν ἐπιτυχόντα, διττὸς δ' ἐστὶν οὗτος ὁ ἐπιτυχὼν, ὁ μὲν ἐλάττων ἢ κατὰ τὸν σύμμετρον, ὁ δὲ μείζων, ἐφεξῆς ἂν εἴη διελθεῖν περὶ τῆς εἰς μέγεθος ἐπιδόσεως ἑκατέρων τῶν σφυγμῶν, λέγω δὲ τοῦ ἐλάττονος ἢ κατὰ τὸν σύμμετρον καὶ τοῦ μείζονος. κοινὸν μὲν οὖν ἁπάσης τῆς εἰς τὸ μέγεθος ἐπιδόσεως ηὐξῆσθαι τὴν θερμότητα μόνην καθ' ὃν δηλονότι χρόνον οὔθ' ἡ δύναμις οὔτε τὰ ὄργανα πέπονθε, ἀκίνητος δ' ἐστὶν ὁ κάμνων. ἴδιον δὲ τῆς μὲν ἐκ τοῦ κατὰ φύσιν ἐκτροπῆς τὸ μόνον τὸ μέγεθος αὐξηθῆναι, τῶν δ' ἄλλων δυοῖν

medicamentum plane fumpfifti, cave jures. Igitur adverfus iftos quidem ineptos ingenio opus eft medico, at idiotae fere non tantum medicis non renituntur in explicandis et explorandis caufis externis, fed et adjuvant ultroque exponunt omnia. Sed de pulfuum nos incremento magnitudinis fatis principia expofuimus; reftat ut orationis feriem perfequamur. Quia non ad unum modum magnus pulfus dicitur, fed nunc ut ad moderatum, nunc ad quemlibet confertur, ac quum duplex fit hic quilibet, aut minor moderato, aut major, deinceps de magnitudinis incremento dicendum eft utriusque pulfus, minoris, inquam, eo qui moderatus eft et majoris. Commune igitur eft omnis incrementi ad magnitudinem folum auctum calorem effe, quo fcilicet tempore nec facultas affecta fit nec inftrumenta ac immotus fit aegrotus. Proprium autem eft receffui ejus a natura unius magnitudinis incrementum; reliquorum duorum etiam hoc et celeritatis, nonnunquam crebritatis quoque. Age vero,

τὸ καὶ τὸ τάχος, ἔστιν ὅτε δὲ καὶ τὴν πυκνότητα. φέρε γὰρ, εἰ οὕτως ἔτυχεν, ὃν ὀλίγον ἔμπροσθεν ἀπελίπομεν ἄνθρωπον εἰς μέγεθος ἐπιδεδωκότα τοὺς σφυγμοὺς εὑρεῖν ἡμᾶς, ἐπὶ πλέον ἔτι τὴν αὔξησιν αὐτῶν ἐσχηκότα, τούτῳ καὶ τὴν θερμασίαν μὲν ἀναγκαῖον ἐπιτετάσθαι. κοινὸν γὰρ τοῦτο ἦν τῶν εἰς μέγεθος ἐπιδόσεων ἁπασῶν, ἴδιον δὲ ἐπὶ τῷ κοινῷ τὸ καὶ τὸ τάχος ἐξηλλάχθαι, καὶ ἔτι πλέον γε, εἰ ἡ εἰς τὸ μέγεθος ἐπίδοσις γίγνοιτο τῶν σφυγμῶν, οὐ τὸ τάχος μόνον, ἀλλ' ἤδη καὶ τὴν πυκνότητα. δέδεικται γὰρ ἐν τῷ πρώτῳ τῶν ἐν τοῖς σφυγμοῖς αἰτίων ἐπὶ βραχὺ μὲν αὐξανομένης τῆς θερμότητος εἰς μέγεθος μὲν ἐναργῶς ἐπιδιδοὺς ὁ σφυγμὸς, εἰς τάχος δ' οὐκ ἐναργῶς, ἐπιπλέον δ' αὐξηθείσης καὶ τῷ μεγέθει μὲν ἔτι προσλαμβάνων, ἀλλὰ καὶ εἰς τὸ τάχος ἐναργῶς ἐπιδιδοὺς, καί τι πυκνότητος προσκτώμενος, ὥσπερ γε καὶ εἰ ἐπὶ πλεῖστον αὐξάνοιτο καὶ ἡ χρεία τῆς τῶν σφυγμῶν γενέσεως ὑπὲρ τὴν μεγίστην εἴη διαστολὴν, εἰς μέγεθος μὲν οὐκ ἐπιδιδοὺς, ὅτ' εἰς ἔσχατον ηὔξητο, τῷ τάχει δ' ὅσον ἐγχωρεῖ προστιθεὶς ἅμα τῇ πυκνότητι, κἀπειδὰν μηδὲ τὸ τάχος ἔτ' ἐπιτείνεσθαι δύνηται, τὴν πυκνότητα κατεπείγων. ὑποκείσθω δὴ πάλιν ἕτερος ἄῤῥωστος

illius hominis pulfus, exempli gratia, quem modo reliquimus, cui facti effent majores, offendamus amplius auctos effe, huic calorem etiam neceffe eft effe auctum; fiquidem incrementis omnibus magnitudinis hoc commune erat; ac proprium praeter commune immutatam celeritatem effe; et fi adhuc magis crescat magnitudo pulfuum, non celeritatem modo, fed jam crebritatem etiam. Oftendimus enim in primo libro de caufis pulfuum, ficubi paulo auctus calor fit, manifeftum magnitudinis incrementum effe, celeritatis non manifeftum. Si amplius crescat ille, non folum magnitudinem accumulabit, fed crescet etiam evidenter celeritas; praeterea nonnihil acquiret crebritatis. Sic fi augeatur plurimum et pulfuum ufus generandorum fuperet maximam diftentionem, magnitudinem non auget, ubi auctus ad fummum fit; fed celeritatem cum crebritate, quantum poteft, accumulat, ac ubi augeri celeritas amplius nequeat, concitat crebritatém. Jam alius fit aegrotus, cujus nec facultas

οὐδὲν μὲν οὔτε τὴν δύναμιν οὔτε τὰ ὄργανα βεβλαμμένος, ἐλάττονα δὲ τοῦ κατὰ φύσιν ἔχων τὸν σφυγμὸν, εἶτα καὶ τῷ τοιούτῳ μείζων γιγνέσθω χωρὶς τῆς ἔξωθεν κινήσεως, ἀληθὲς μὲν εἰπεῖν, ὅτι καὶ τῷδε πλέων ἡ θερμότης ἐγένετο τῆς ἔμπροσθεν, καὶ κατά γε τοῦτο κοινὴν ἀπόφασιν ἕξει τῇ δὶς ἤδη προειρημένῃ. τὸ δ' ἴδιον αὐτῆς ἔσται τὸ μὴ ἐκ μικροτέρου μόνον τοῦ σφυγμοῦ γεγονέναι τὴν εἰς τὸ μέγεθος ἐπίδοσιν, ἀδύνατον γὰρ ἄνευ τοῦ καὶ βραδύτερον καὶ ἀραιότερον γενέσθαι, μικρότερον ἀπεργασθῆναί ποτε τοῦ κατὰ φύσιν αὐτὸν, ἀλλὰ μηδὲ μείζονα μόνον οἷόν τε γενέσθαι χωρὶς τοῦ θάττονά τε καὶ πυκνότερον. ὅτι γὰρ ἡ τοιαύτη διάθεσις, ἐν ᾗ μικρότερος ὁ σφυγμὸς τοῦ κατὰ φύσιν ἐγένετο, σὺν ἀραιότητί τε καὶ βραδύτητι συνίσταται, τῷ μεμνημένῳ τῶν ἐν τῷ πρώτῳ τῶν ἐν τοῖς σφυγμοῖς αἰτίων εὔδηλόν ἐστι.

Κεφ. β'. [242] Μεταβάντες οὖν περὶ τῆς εἰς μικρότητα τροπῆς τῶν σφυγμῶν ἐπισκεψώμεθα· τρεῖς μὲν δὴ καὶ ταύτης εἰσὶν ἅπασαι διαφοραί. ἤτοι γὰρ ἐκ τοῦ κατὰ φύσιν τε καὶ συμμέτρου προσαγορευομένου, ἢ ἐκ τοῦ μείζονος ἢ κατὰ τοῦτον, ἢ ἐκ τοῦ μικροτέρου τὰς εἰς μικρότητα συμβαίνει γίνεσθαι διαφοράς.

nec inſtrumentum laeſa ſint, ſed minorem naturali pulſum habeat; deinde huic quoque remoto externo motu, major fiat; huic etiam liquido dixeris ampliorem nunc calorem quam dudum eſſe. Ac in eo quidem commune habebit cum bis jam commemorato reſponſum; proprium autem habebit non ex parvo tantum pulſum in magnitudinem increviſſe (fieri enim non poſſit, niſi ſimul tardior rariorque fiat, ut minor unquam naturali reddatur) ſed nec majorem tantum fieri potuiſſe, niſi etiam fieret celerior et crebrior. Nam affectum in quo pulſus naturali minor ſit raritatem etiam et tarditatem complecti perſpectum illi eſt qui eorum meminit quae docuimus in libro primo De pulſuum cauſis.

Cap. II. His ergo relictis de pulſuum commutatione in parvitatem conſideremus, cujus item ſunt tres numero omnes differentiae. Aut enim ex naturali et moderato quem vocant, aut ex majore quam hic ſit, aut ex minore mutationes in parvitatem contingit fieri, vocatur autem qui

καλεῖται δὲ ὁ μὲν μείζων τοῦ συμμέτρου μέγας ἁπλῶς, ὁ δ' ἐλάττων μικρός. ἀρξώμεθα οὖν πάλιν κἀνταῦθα ἀπὸ τῶν κοινῶν αὐτοῖς, εἶθ' ἑξῆς ἐπὶ τὰ καθ' ἕκαστον ἴδια μεταβῶμεν. εὐθὺς γὰρ ἐν τῷ τὸ κοινὸν ἐπισκοπεῖσθαι καὶ ἡ τῆς τῶν ἰδίων εὑρέσεως ὁδὸς ἐγκαλύπτεται. ὑποκείσθω δή τις σφυγμὸς ἐπί τινος ἀνθρώπου μικρότερος μὲν τοῦ πρόσθεν, ἑτέραν δὲ μηδεμίαν ἐσχηκὼς μεταβολὴν κατ' ἄλλο γένος μηδέν· καὶ ζητείσθω, τίς γ' ἔμπροσθεν ἦν διάθεσις αὐτῷ, καὶ τίς νῦν ἐστιν. ἡ δὲ τῆς ζητήσεως ὁδὸς ἥδε. μικρότερος ἑαυτοῦ γίνεται σφυγμὸς ἤτοι τῆς δυνάμεως ἀσθενεστέρας ἀποτελεσθείσης, ἢ τῶν ὀργάνων σκληροτέρων, ἢ τῆς χρείας ἐκλυθείσης. ἀλλ' οὔθ' ἡ δύναμις ἀσθενεστέρα γέγονε νῦν, ἢ πάντως ἀμυδρότης συνῆν τῇ μικρότητι, οὔτε τὸ σῶμα τῆς ἀρτηρίας σκληρότερον, οὕτω γὰρ οὐ μόνον μικρότερος, ἀλλὰ καὶ σκληρότερος ἦν ὁ σφυγμός. ὑπολείπεται οὖν ἡ χρεία μόνον ἠλλοιῶσθαι, καὶ εἴπερ ἀκίνητος ὁ ἄνθρωπος ἐν τῷ τέως ἐγένετο, κατὰ τὸ ποσὸν τῆς μεταβολῆς γεγενῆσθαι. καὶ μὲν δὴ καὶ ὡς ἐκ τοῦ μείζονος ἢ κατὰ φύσιν σφυγμοῦ τὴν τοιαύτην γεγονέναι τροπὴν εὔδηλόν

moderato major eſt abſolute magnus, qui minor parvus. Exordiamur igitur hic de integro ab iis quae in his communia ſunt, deinde jam ad propria ſigillatim nos conferamus; ſtatim enim communis commentatio complectitur propriorum inveniendorum viam. Sit pulſus cuipiam homini minor quam dudum, mutatione praeditus praeterea nulla ullius generis, tum quaeratur quomodo nuper affectus eſſet, atque quomodo nunc. Via inquirendi haec eſt. Minor ſolito pulſus fit, aut quum imbecillior facta ſit facultas, aut inſtrumenta duriora, aut uſus remiſſus. Sed enim nec imbecillior facta nunc facultas eſt, alioquin omnino conjuncta ſit cum parvitate remiſſio; nec corpus durius arteriae, neque enim tum minor tantum, ſed et durior pulſus eſſet; ſupereſt ergo ſolum alteratum eſſe uſum; ac ſi id temporis quietus homo fuerit, quantitati refrigerationis quantitatem reſpondere mutationis. Jam vero ex majore quam naturalis ſit pulſus eam mutationem neceſſario accidiſſe norunt

Ed. Chart. VIII. [242.] Ed. Baf. III. (120.)

ἐστιν τοῖς μεμνημένοις ἐν τῷ πρώτῳ τῶν δεδειγμένων περὶ τῶν ἐν σφυγμοῖς αἰτίων. ἥ τε γὰρ ἐκ τοῦ κατὰ φύσιν εἰς μικρότητα τροπὴ διὰ ψύξιν εὐθὺς καὶ ἀραιότερον αὐτὸν ἐργάζεται καὶ βραδύτερον, ἥ τε ἐκ τοῦ μεγάλου ὑπὲρ τὸ σύμμετρον ηὐξημένου καθαίρεσις τοῦ συμμέτρου εὐθὺς καὶ τοῦ τάχους τι καὶ τῆς πυκνότητος προσλαμβάνει, διὰ τὸ τὸν ἐπιπλέον ηὐξημένον ὑπὲρ τὸν κατὰ φύσιν ἐν τοῖς τρισὶ γένεσι μεταβάλλειν. ὁ τοίνυν τοῦ μεγέθους μόνον ἀφῃρηκὼς, τἄλλα δὲ φυλάττων ἄτρεπτα σφυγμὸς, ὁ βραχεῖ μείζων ἐστὶ τοῦ κατὰ φύσιν. οὗτος γὰρ μόνος ἐπὶ βραχείᾳ θερμότητος αὐξήσει συνίσταται. τῶν δ' ἄλλων τῶν εἰς μέγεθος ἀλλοιουμένων οὐδεὶς ἄνευ τοῦ καὶ τάχος προσλαβεῖν ἢ πυκνότητα τοιοῦτος ἀποτελεῖται. ὥστε οὐδὲ καθαιρήσει τις ἄλλος πλὴν τοῦδε μόνον τὸ μέγεθος. ὁ γὰρ εἰς τοῦτο μόνον αὐξηθεὶς ἐπὶ θερμότητι μειώσει τοῦτο μόνον ἐπὶ ψύξει, ὁ δέ γε εἰς τοσοῦτον ἀλλοιωθεὶς ὑπὸ θερμότητος ὡς μὴ τὸ μέγεθος μόνον, ἀλλὰ καὶ τὸ τάχος ὑπαλλάξαι καὶ τὴν πυκνότητα, τὴν εἰς τοὔμπαλιν ὁδὸν ἕξει διὰ τῶν αὐτῶν κατὰ γένος ἀλλοιώσεων, ὥστε οὐ μόνον μικρότερος, ἀλλὰ καὶ βραδύτερος καὶ ἀραιότερος

qui retinent demonftrata in primo libro de caufis pulfuum. Nam de naturali ftatu ob frigiditatem mutatio ad parvitatem, fimul etiam rariorem eum atque tardiorem reddit, et moderati imminutio ex magno fupra modum aucto ftatim adjungit fibi celeritatis aliquid et crebritatis, quod qui multum ultra modum fit auctus tribus in generibus variet. Quamobrem qui magnitudinem tantum imminuit pulfus et reliqua fervat immota, hic eft qui paulo major fit jufto; hic enim folus ex parvo caloris incremento conftat. Reliquorum qui in magnitudinem mutantur, nifi fimul celeritatem affumat, vel crebritatem, talis evadit nullus; quare nec quisquam praeter hunc alius magnitudinem minuet. Qui enim hujus accepit folius incrementum ex calore, unam eam ex refrigeratione minuet; qui vero hactenus eft alteratus a calore ut non magnitudinem modo, verum etiam celeritatem et crebritatem immutet, contrarium iter per easdem genere alterationes tenebit; ita non modo minor, fed et tardior

ἔσται τοῦ πρόσθεν. ὁμοίως δὲ καὶ ἡ ἐκ τοῦ συμμέτρου πρὸς τὸν ἐλάττονα τροπὴ καὶ ἡ ἐκ τούτου πάλιν ἐπὶ τὸν ἔτι μικρότερον ἀλλοίωσις εὐθέως καὶ ἀραιότερον ἑαυτοῦ καὶ βραδύτερον ἐργάζεται τὸν σφυγμόν. συμμετρίαν γάρ τινα διαστολῆς σφυγμὸς κέκτηται κατὰ φύσιν ἐχόντων, ἣν ἀπόλλυσι μὲν ἐξ ἀνάγκης, ἄν τε θερμότερον ἄν τε ψυχρότερον ἑαυτοῦ γένηται τὸ σῶμα. οὐ μὴν ὅ γε τῆς ἀπωλείας τρόπος ὁ αὐτός. ἐν μὲν γὰρ τῷ θερμαίνεσθαι τὸ μέγεθος ἐναργῶς πρῶτον, εἶτα τὸ τάχος, εἶθ' ἡ πυκνότης αὐτῷ προσγίνεται. ψυχομένων δ' ἔμπαλιν ἀραιότης μὲν ἐναργὴς πρώτη, δευτέρα δὲ βραδύτης, μικρότης ἐσχάτη. λέλεκται δ' ὑπὲρ αὐτῶν ἱκανῶς ἐν τῷ πρώτῳ τῶν ἐν σφυγμοῖς αἰτίων. [243] οὔκουν ἔτι χρὴ μηκύνειν περί γε τούτων, ἀλλ' ἐπὶ τὰ συνεχῆ τοῦ λόγου μεταβάντας ἑξῆς τοῖς εἰρημένοις διορίζεσθαι τὰς τὴν ψύξιν ἐργασαμένας αἰτίας, τοσαύτας κατὰ γένος οὔσας ὅσαι περ αἱ θερμαίνουσαι. καὶ γὰρ ἀὴρ ψυχρὸς ἔξωθεν προσπεσὼν, ὥσπερ οὖν καὶ ὕδωρ ψυχρὸν, ἢ λουτρὸν, ἢ φάρμακον ἐπαλειφθὲν τῷ σώματι ψύχει, ἢ καὶ μακρά τις ἡσυχία καὶ οἷον

erit ac prius rariorque. Pari modo mutatio in minorem ex moderato et mutatio quoque ex hoc in eum qui minor etiam fit continuo rariorem folito et tardiorem efficit pulfum, fiquidem mediocritatem habet quandam diftentionis pulfus hominum naturalem ftatum tenentium, quam, fi calidius aut frigidius folito evaferit corpus, neceffario amittit. Non idem tamen amiffionis modus eft; nam quum calefit, magnitudo plane prima, mox celeritas, inde crebritas accedit; contra quum refrigeratur, raritas manifefte prima, altera tarditas, poftrema parvitas. De his abunde in primo libro De caufis pulfuum diximus; quo minus hic jam immorandum eft. Itaque feriem orationis perfequamur, ac fecundum commemorata explicemus caufas quae refrigerant, quae totidem genere funt quot illae quae calefaciunt. Aër etenim frigidus qui foris occurrit, quemadmodum et aqua frigida vel balneum vel medicamentum quo corpus inungitur refrigerat; quin etiam longa quies et veluti late-

Ed. Chart. VIII. [243.] Ed. Baſ. III. (120. 121.)

φωλεία ψυχρότερον ἐργάζεται τὸ σῶμα· καὶ τῶν εἴσω μεταλαμβανομένων, ὅτ' ἂν ἀναπνεόμενος ἀὴρ ψυχρὸς ὢν, καὶ τροφὴ φλεγματώδης καὶ φάρμακόν τι φύσει ψυχρὸν, ὕδατός τε ψυχροῦ χρῆσις ἄμετρος· ἔκ τε τῶν παθῶν τῆς ψυ(121)χῆς ὁ πολυχρόνιος φόβος, ἔκ τε τῶν ἐν τῷ σώματι περιεχομένων χυμῶν ὅσοι ψυχροὶ τὴν κρᾶσιν ἡσυχάζοντες πρότερον ἐκινήθησαν νῦν, ἢ ὅλως ἰσχνότεροί πως ἐγένοντο τῶν θερμῶν. διορίζεσθαι δ' αὐτὰ κατὰ μέρος ἀνάλογον τοῖς εἰρημένοις εἴη ἐπὶ τῶν θερμαινόντων αἰτίων. δὶς γὰρ ὑπὲρ τῶν ὁμοίων λέγειν οὐκ ἀναγκαῖον. ἡ μὲν δὴ κατὰ μέγεθός τε καὶ μικρότητα τροπὴ τῶν σφυγμῶν ὑπὸ τοιούτων τε καὶ τοσούτων αἰτίων ἀποτελεῖται, πρός γοῦν τὴν φύσιν αὐτοῦ τοῦ πράγματος, ἐπεὶ πρός γε τὴν ἡμετέραν διάγνωσιν ἔτ' ἐνδεῖ, πολλάκις γὰρ ἡ μὲν ἀρτηρία διαστέλλεται μέγιστον, ὅσον ὑπ' αὐτῇ, ἀποκρύπτεται δ' ἢ κωλύεται τὸ μέγεθος τῆς διαστολῆς διὰ τὸ πλῆθος, ἢ τὸ τάχος, ἢ τὴν σκληρότητα τῶν περικειμένων, ἢ προκειμένων σωμάτων. αὕτη μὲν γὰρ ἡ οὐσία τῶν μεγάλων τε καὶ μικρῶν σφυγμῶν κατὰ τὸν κύκλον τῆς ἀρτηρίας συνίσταται,

brae frigidius corpus efficiunt; praeterea quae intro recipiuntur, ut aër reſpiratione attractus, qui frigidus ſit, cibus pituitoſus, medicamentum natura frigidum, aquae frigidae immodicus uſus; ex animi affectibus, metus diuturnus; ex contentis in corpore humoribus, qui frigidi temperamento, quum antea quiescerent, nunc commoti ſunt, aut omnino tenuiores quodammodo calidis facti ſunt. Haec ſeparatim ita poſſunt diſtingui ut de calefacientibus cauſis diximus; neque enim ut de ſimilibus bis dicamus neceſſe eſt. Atque pulſuum in magnitudine et parvitate mutatio a talibus et tot cauſis gignitur, quod certe ad naturam pertinet ipſius rei, quando quod ad noſtram attinet cognitionem, adhuc deſideret aliquid. Saepe enim arteria, quod in ſe eſt, maxime diſtenditur, ſed occultatur magnitudo diſtentionis, vel interpellatur a numero vel craſſitie vel duritie circumjacentium corporum, vel objectorum. Haec enim eſſentia magnorum vel parvorum pulſuum in arteriae circulo conſiſtit, ubi lon-

τοῦ μήκους ἴσον φυλαττομένου διὰ παντὸς, οὐ μὴν φαίνεταί γ' ἴσον, ἀλλ' ἀποκρύπτεταί τι μέρος αὐτοῦ. καὶ λέλεκται μὲν οὖν ἤδη περὶ τούτου κἀν τῷ δευτέρῳ τῶν ἐν σφυγμοῖς αἰτίων. εἰρήσεται δὲ καὶ νῦν ὅσον εἰς τὰ παρόντα χρηστὸν ἀναμνήσεως ἕνεκεν.

Κεφ. γ'. Τῆς ἀρτηρίας τὸ μὲν ὕψος ἀναλόγως ἀεὶ τῷ πλάτει διαστέλλεται. κατακρύπτεται δὲ ἢ κωλύεται πολλάκις ὑπὸ τῶν περικειμένων τε καὶ προσκειμένων σωμάτων ἤτοι σύμπασα ἡ κίνησις ἢ μοῖρά γέ τις αὐτῆς, καὶ τοῦτο τὸ κωλυόμενον ἤτοι κατὰ τὸ βάθος μᾶλλον, ἢ κατὰ τὸ πλάτος, ἢ κατὰ τὸ συναμφότερον ὡσαύτως φαίνεται. ὅταν μὲν οὖν ἀδιάγνωστος ὡς πρὸς τὴν ἡμετέραν ἀφὴν ἡ κίνησις ᾖ, καθ' ὅλον μὲν τὸ ζῶον συμβάντος τούτου, ὡς μηδαμόθι μηδεμίαν ἀρτηρίαν φαίνεσθαι κινουμένην, ἀσφυξία τὸ πάθημα προσαγορεύεται, κατὰ μὲν τὴν ἀλήθειαν οὐδέποτε ἐν ζῶντι σώματι γινομένη, κινεῖται γὰρ ἡ καρδία διαπαντὸς ἅμα ταῖς ἀρτηρίαις ἁπάσαις, ὡς μέντοι πρὸς τὴν ἡμετέραν ἀφὴν ἔξωθεν ἐπιβαλλομένην πολλάκις εὑρισκομένη. πρόκεινται γὰρ

gitudo perpetuo par eſt; at non tamen apparet par, ſed delitescit quaedam ejus pars. De quo quidem etſi jam ſecundo in libro De cauſis pulſuum expoſuimus, nihilominus quod ad propoſitum intereſt reminiscentiae gratia exponemus.

Cap. III. Arteriae altitudo ſemper aequalem latitudini diſtentionem habet; ſed fit ut occultetur, aut arceatur ſaepe a corporibus circumjectis et appoſitis vel univerſus motus vel certe ejus quaedam pars, ac pars illa quae arcetur aut in profunditate magis, aut in latitudine, aut ſimul in utraque ſimiliter apparet. Quum ergo non percipiatur noſtro quidem tactui motus, atque hoc per totum animal accidat, ut nulla usquam arteria videatur moveri, vocatur is affectus privatio pulſus; quae quidem, ſi ad veritatem exigas, in corpus nunquam vivum cadit, neque eſt enim unquam quin cor una cum arteriis omnibus agitetur, at ſi referas ad noſtrum tactum foris injectum, in multis repe-

Ed. Chart. VIII. [243. 244.] Ed. Bas. III. (121.)

δὴ τοῦ τῶν ἀρτηριῶν σώματος πάντως μὲν ὑμένες τέ τινες καὶ δέρμα, πολλαχόθι δὲ καὶ πιμελὴ καὶ σὰρξ, ὑφ' ὧν οὐ μόνον ἀποκρύπτεσθαι τὸν σφυγμὸν, ἀλλὰ καὶ κωλύεσθαι συμβαίνει. τελέως μὲν οὖν ἀποκρυπτομένης τῆς κινήσεως, εἰ μὲν ἐν ἅπασι τοῖς μέρεσι τῶν ἀρτηριῶν ἁπασῶν τοῦτο συμβαίνῃ, τὸ πάθος ἀσφυξίαν ὀνομάζουσιν, εἰ δὲ κατὰ μὲν τινὰ μέρη φαίνοιτο κινούμενα, τὰ δὲ μὴ, κατὰ τὸ μῆκος ἐν τούτῳ διαφορὰν ἴσχουσιν οἱ σφυγμοί. καὶ δὴ καὶ καλοῦνται μακροὶ μὲν οἷς ἂν τὸ τῆς αἰσθητῆς κινήσεως μῆκος ὑπὲρ τὸ κατὰ φύσιν, βραχεῖς δὲ οἷς ἂν ἔλαττον τοῦ κατὰ φύσιν, οἷς δ' ἴσον τῷ κατὰ φύσιν σύμμετροι. τοσοῦτον γὰρ ἀεὶ φαίνεται τῆς κινήσεως τῶν ἀρτηριῶν [244] ὅσον ἐπιτρέπει τὰ προβεβλημένα σώματα. καὶ διὰ τοῦτο τοῖς μὲν παχέσι βραχεῖς οἱ σφυγμοὶ, τοῖς δ' ἰσχνοῖς μακροὶ, καθάπερ καὶ τοῖς εὐσάρκοις τε καὶ συμμέτροις σύμμετροι φαίνονται. καὶ αὐτῆς μέντοι τῆς φαινομένης κινήσεως οὐκ ἀεὶ ὁμοίως κωλύεται τῷ βάθει τὸ πλάτος, ἀλλ' ἐπειδὰν μὲν αἱ κατὰ τὰ πλάγια χῶραι τῶν ἀρτηριῶν ἤτοι πιμελῆς, ἢ σαρκὸς, ἢ ἀτμῶν, ἢ ὑγρῶν

riatur sane frequenter, objecta enim arteriarum corpori sunt omnino certae membranae et cutis, multis etiam locis adeps atque caro, a quibus usu venit pulsui, ut non occultetur modo, sed et impediatur. Ac sic quidem, si motus occultetur omnis, atque in omnibus id partibus accidat omnium arteriarum, pulsus privationem appellant affectum, at si quibusdam in partibus videantur moveri, in quibusdam non videantur, hic differentiam in longitudine habent pulsus. Et nimirum vocantur longi quibus sensibilis motus longitudo naturalem excedit, breves quibus infra naturalem statum est, quibus par est naturali statui, moderati. Tantum enim animadvertitur semper de motu arteriarum quantum opposita corpora permittunt; quamobrem fit ut corpulentis pulsus breves, gracilibus vero longi, quemadmodum et quadratis moderatisque esse videntur moderati. Jam etiam apparentis motus his non semper aeque ut profunditas impeditur latitudo, verum ubi arteriam regiones in latera vel adipis vel carnis vel vaporum vel humorum

ὦσι πλήρεις, τὸ δ' ἐπικείμενον ἄνωθεν δέρμα καὶ μηδὲν αὐτὰς βαρύνῃ, τοῦ πλάτους ἡ κίνησις ἀμαυροῦται μόνον, καὶ μᾶλλον, εἰ σφοδρὸς ὁ σφυγμὸς εἴη καὶ μέγας ὅσον ἐφ' ἑαυτῷ. ἐπειδὰν δὲ καθαραὶ μὲν αἱ παρακείμεναι χῶραι, ῥυσσὸν δ' ᾖ τὸ ἐπικείμενον αὐταῖς δέρμα, τοῦ βάθους ἡ κίνησις ἐν τῷ τοιούτῳ σώματι πλέον ἀφανίζεται, καὶ μᾶλλον, εἰ μήτε σφοδρὸς εἴη ὁ σφυγμὸς καὶ μέγας ὅσον ἐφ' ἑαυτῷ. ὅταν οὖν εὕρῃς μακρότερον τοῦ κατὰ φύσιν σφυγμὸν, εἰ μὲν καὶ τὸ πλάτος αὐτοῦ καὶ τὸ βάθος εἴη συνηυξημένον, ἐπισκέπτου πότερον ὁ ἄνθρωπος ἰσχνότερος ἑαυτοῦ γέγονεν, ἢ θερμότερος, ἀφωρισμένης τῆς ἐπικτήτου κινήσεως. εἰ μὲν γὰρ ἰσχνότερος εἴη γεγενημένος, εἰ μὲν ἐπὶ τοσοῦτον ἐφ' ὅσον καὶ ὁ σφυγμὸς μείζων, ἓν τοῦτο μόνον ἠλλοίωσεν αὐτὸν, εἰ δ' ἐπ' ἔλαττον, οὐ μόνον τοῦτ' ἐστὶν αἴτιον, ἀλλὰ καὶ θερμότης, εἰ δ' ἐν αὐτῷ μένοι τὰ τῆς τοῦ σώματος σχέσεως, ἡ θερμότης ηὔξηται μόνον, εἰ δὲ καὶ παχύτερος εἴη γεγονὼς, διπλάσιον ηὐξῆσθαι λογίζου τὴν θερμότητα. τὸ δ' ὑπὸ τίνος αἰτίας ηὔξηται διορίζεσθαι τοῖς ἔμπροσθεν εἰρημένοις. εἰ μέντοι μακρότερος ὁ σφυγμὸς εἴη γεγονὼς καὶ

plenae fint, ac incumbens fuperne cutis nihil eas oneret, latitudinis tantum obscuratur motus; ac magis, fi vehemens pulfus et magnus quantum in ipfo eft fit; quum vero regiones vicinae funt mundae, rugofa autem quae eas tegit cutis, magis profunditatis motus latet in eo corpore, ac magis, fi non vehemens pulfus et magnus quantum in eo eft fit. Si ergo pulfum invenias naturali longiorem, fiquidem una latitudo ejus et profunditas increverit, vide, gracilior homo folito an calidior evaferit, remoto adventitio motu, nam fi factus gracilior fit, idque tanto quanto eft pulfus major, unum hoc tantum eum immutavit; fin autem non tanto, non hoc modo eft caufa, verum etiam calor. Quod fi in eadem confliterit corpus habitudine, folus mutatus eft calor; fin craffior evaferit, duplo auctum aeftima calorem; at quanam de caufa fit auctus, explorandum ex illis eft quae expofuimus. Sin longior factus pulfus fit et

πλατύτερος, μὴ μέντοι κατὰ τὴν αὐτὴν ἀναλογίαν εἰς ὕψος ηὐξημένος, ἀλλὰ διαμένων σύμμετρος, ἐπὶ τοῖς προειρημένοις διορισμοῖς ἔτι καὶ τοῦτ᾽ ἐξαίρετον ὑπάρχειν ἀναγκαῖον αὐτῷ, ῥυσσότερον γεγονέναι τὸ κατὰ τῆς ἀρτηρίας ἄνωθεν ἐπικείμενον δέρμα. καὶ εἰ καταστρέφοις τὸ κῶλον, ὥσθ᾽ ὅπερ ἄνωθεν ἦν αὐτοῦ πρότερον εἶναι νῦν κάτωθεν, οὐδὲν οὕτως ἐκκεκολοῦσθαι φανεῖται τὸ βάθος. οὗτοι μὲν οὖν οἱ δύο σφυγμοὶ πρῶτοι πάντων εἰσὶ γεγραμμένοι κατὰ τὸ διάγραμμα τῶν ἑπτὰ καὶ εἴκοσι σφυγμῶν ἐν τῷ προτέρῳ περὶ τῆς διαφορᾶς αὐτῶν, ὃ περὶ τῶν κατὰ τὸ ποσὸν τῆς διαστολῆς ἐν ταῖς τρισὶν ἅμα διαστάσεσι συνισταμένων ἐποιήσαμεν. ἑξῆς δὲ αὐτῶν γέγραπται τρίτος ὁ κατὰ τὸ μῆκός τε καὶ τὸ πλάτος ὑπερβάλλων τὸν κατὰ φύσιν, ἐν δὲ τῇ κατὰ βάθος διαστάσει ταπεινὸς, ὃς καὶ σπανιάκις εὑρίσκεται. μεγάλως γὰρ ὑπὸ τῶν ὑποκειμένων σωμάτων βαρυνομένης γίνεται τῆς ἀρτηρίας, ὅπερ οὐκ ἄν ποτε συμβαίη χωρὶς τοῦ καὶ τὴν δύναμιν ἀσθενεστέραν γενέσθαι καὶ τὸν χιτῶνα τῆς ἀρτηρίας ἐσχάτως μαλακὸν, ὧν τὸ μὲν ἀτονώτερον τοῦ κατὰ φύσιν, τὸ δὲ μαλακὸν ἱκανῶς ἐργάζεται τὸν σφυγμόν. ὥστε μετὰ μὲν τούτων γίνοιτ᾽ ἄν ποτε

latior, non vero perinde profunditate auctus, fed permaneat moderatus, praeter fuperiores notas hoc illi etiam extra ordinem necesse est adsit, rugosiorem evasisse supernae arteriae incumbentem cutem ac si convertas membrum; ut quae ejus pars modo fuperior erat nunc fit inferior, nulla tum profunditas re videbitur impedita. Atque hi quidem duo pulfus in primo libro de eorum differentiis omnium primi inter viginti feptem pulfus in tabellam funt relati quam de illis fecimus, qui conftant externis fimul dimenfionibus quantitatis diftentionis. Ab his defcriptus tertius eft, qui longitudine et latitudine excedit naturalem ac in profunditatis dimenfione eft humilis; qui fane raro invenitur. Fit enim quum arteria magnopere objectorum corporum mole oneratur; id quod nunquam eveniat, nifi facultas fimul imbecillior fit et fumme mollis tunica arteriae; quorum illud imbecilliorem naturali, hoc molliorem pulfum efficit. Itaque cum his quidem erit aliquando longus fimul

μακρὸς ἅμα καὶ πλατὺς καὶ ταπεινὸς, ἄλλως δ' οὐκ ἂν γένοιτο. καὶ μὲν δὴ καὶ ὁπότε φαίνεται τοιοῦτον, οὐδὲ τότε πολὺ τοῦ κατὰ φύσιν οὔτ' ἐπὶ τὸ ταπεινότερον οὔτε ἐπὶ τὸ πλατύτερον ἐξίσταται, οὐ γὰρ ἐγχωρεῖ κατὰ μὲν τὸ βάθος ἐσχάτως βαρύνεσθαι τὴν ἀρτηρίαν, κατὰ δὲ τὸ πλάτος οὐδ' ὅλως, ὥσπερ γε οὐδ' ἐπὶ πλεῖστον μὲν ὕψος ἀνέρχεσθαι, παντάπασι δ' ἐστενῶσθαι. πλέον μὲν γὰρ ἐπιδίδωσιν ὕψος ὡς τὰ πολλὰ, καὶ μάλισθ' ὅταν ᾖ σφοδρὸς ὁ σφυγμὸς, οὐ μὴν εἰς τοσοῦτόν γε ὡς τὸν αὐτὸν ὑψηλότατόν τε ἅμα καὶ στενώτατον ὑπάρχειν. εἰ μέντοι περιστραφείη κἀπὶ τούτου σφυγμοῦ τὸ κῶλον, ὡς τὰ τέως ὑπερκείμενα μέρη νῦν ὑποκείμενα γενέσθαι, καὶ ἡ κατὰ τὸ βάθος αὐτῶν διάστασις ἐπίδοσιν ἕξει καὶ οὐκ ἔτι φαίνεται ταπεινός. ἀλλ' ὥσπερ μακρὸς καὶ πλατὺς, οὕτω καὶ ὑψηλὸς, ὅπερ ἐστὶ μέγας. ὁ γὰρ κατὰ τὰς τρεῖς διαστάσεις αὐξηθεὶς μέγας λέγεται. [245] διοριστέον οὖν ἐπ' αὐτῷ πρὸς τοῖς εἰρημένοις καὶ τὰ τῶν πρώτων ἁπάντων εἰρημένα. προσεπισκεπτέον δὲ καὶ εἰ τοῦ πλάτους ἀφαιρεῖ τι περιστρεφομένου τοῦ κώλου. γίνεται γὰρ καὶ τοῦτ'

et latus et humilis, alia ratione nunquam fiet; imo vero etiam quum videatur talis, ne tum quidem procul a natura nec ad humilius nec ad latius deflectit; neque enim ad fummam arteria in profunditate gravetur et in latitudine nequaquam; neque item plurimum afcendat altitudo, prorfus vero contrahatur in anguftum, etenim vere fit ut plus altitudo crescat, praefertim fi vehemens fit pulfus, at non hactenus tamen ut idem altiffimus fimul et anguftiffimus fit. Quod fi hic quoque membrum invertas, ut quae modo partes fuperiores effent, fint nunc inferiores, et profunditatis eorum dimenfio incrementum habebit, nec videbitur amplius humilis; fed ut longus et latus, ita etiam erit altus, quod eft magnus; nam qui tribus eft dimenfionibus auctus, magnus vocatur. Proinde diftentiones in hoc funt adhibendae praeter has quas nunc expofuimus etiam illae quae in primis omnium funt adhibitae. Jam illud

Ed. Chart. VIII. [245.] Ed. Baf. III. (121. 122.)

ἐνίοτε, καὶ δηλοῖ πόσον ὑπὲρ τὴν τοῦ βάθους ἀναλογίαν ἔμπροσθεν ἐπλατύνετο τὸ ἀγγεῖον. ὁ δ' ἐπὶ τοῖσδε τέταρτος ὁ μακρὸς ἅμα καὶ ὑψηλὸς καὶ σύμμετρος κατὰ τὸ πλάτος, ὅσον μὲν ἐφ' ἑαυτοῦ πλατύς ἐστιν, ὥσπερ καὶ ὑψηλὸς, ἀλλὰ ὑπὲρ τοῦ στενοχωρεῖσθαι κα(122)τὰ τὰ πλάγια κεκολοῦσθαι τὴν εἰς τοῦτο κίνησιν. ὅλως γὰρ ἐπειδὰν ἤτοι τὸ πλάτος ὑπὲρ τὴν τοῦ βάθους ἀναλογίαν, ἢ τὸ βάθος ὑπὲρ τὴν τοῦ πλάτους ᾖ, παραποδίζεται τὸ ἕτερον αὐτῶν ἤτοι διὰ πλῆθος, ἢ πάχος, ἢ σκληρότητα τῶν προκειμένων σωμάτων, ἃ μεταξὺ τῆς ἀρτηρίας ἐστὶ καὶ τῆς ἐπιβαλλομένης ἁφῆς. καὶ γὰρ καὶ ἡ ῥυσσότης πλέονα τὰ ἐπικείμενα σώματα ποιεῖ, κατὰ τὰς ῥυτίδας ἐνδιπλοῦσα τὸ δέρμα. ὥστε καὶ ὁ τοιοῦτος σφυγμὸς ἢ ὄντως μέγας ὑπάρχων ἐμποδίζεται κατὰ τὸ πλάτος, ἢ φαίνεσθαι μέγας δυνάμενος ἐπὶ λεπτότητος τοῦ σώματος, ὅμως οὐ φαίνεσθαι, διότι κατὰ μίαν τῶν διαστάσεων ἐστενοχώρηται. ὁ δὲ πέμπτος ἐν τῷ διαγράμματι γεγραμμένος ὁ μακρότερος μὲν τοῦ κατὰ φύσιν, ἐν δὲ ταῖς ἄλλαις ταῖς δύο διαστά-

quoque est animadvertendum, ecquid de latitudine simul detrahatur, quum inversum sit membrum, etenim hoc fit nonnunquam demonstratque quanto antea ultra proportionem profunditatis dilataretur vas. Jam quartus, qui longus simul et altus et in latitudine est moderatus, quod ad se attinet latus est, quemadmodum et altus; sed quia in lateribus coarctatur arteria, ideo sic ejus motus impeditus est. Omnino enim ubi latitudo profunditatis proportionem excedat, aut profunditas proportionem latitudinis, altera impeditur earum, aut propter multitudinem, aut crassitiem, aut duritiem corporum objectorum, quae interposita sunt inter arteriam et admotum tactum. Et hercle etiam rugositas numerum impositorum corporum auget, rugis cutem conduplicans. Itaque is pulsus, aut, quum vere magnus sit, secundum latitudinem obstaculum habet; aut quum videri in macilento corpore magnus possit, non videtur tamen, quod secundum unam dimensionem factus sit angustus. Qui quintum in tabella locum habet, longior naturali, in reliquis

σεσι σύμμετρος, ἰσχνότερον μὲν δηλοῖ ἑαυτοῦ τὸν ἄνθρωπον γεγονέναι, τὸν σφυγμὸν δὲ ὅσον ἐφ᾽ ἑαυτῷ μικρότερον τοῦ κατὰ φύσιν. ἐπειδὴ γὰρ ὁ μακρὸς σφυγμὸς ἢ διὰ μέγεθος οἰκεῖον, ἢ διὰ λεπτότητα φαίνεται τοιοῦτος, οὐ μὴν νῦν γε διὰ μέγεθος ἐγένετο μακρὸς, ἦν γὰρ ἂν οὕτω καὶ ὑψηλὸς ἅμα καὶ πλατὺς, ἢ πάντως γε τὸ ἕτερον αὐτῶν ἀπολείπεται διὰ λεπτότητα μακρὸς γεγονέναι. ἀλλ᾽ ἐπεὶ τοῖς ἰσχνοτέροις τοῦ κατὰ φύσιν οἱ σφυγμοὶ μείζους φαίνονται, δῆλον ὡς στενώτερός τε καὶ ταπεινότερος ὁ σφυγμός ἐστι τοῦ κατὰ φύσιν ὅσον ἐφ᾽ ἑαυτῷ· εἰ δὲ ταῦτα, καὶ μικρότερος ὅσον ἐφ᾽ αὐτῷ. ὁ δ᾽ ἐφεξῆς τῷδε γεγραμμένος ἕκτος ὁ μακρὸς καὶ ταπεινὸς καὶ σύμμετρος κατὰ τὸ πλάτος, διὰ τὰς προειρημένας αἰτίας ἥττων τοῦ κατὰ φύσιν ὑπάρχων, ὅσον ἐφ᾽ ἑαυτῷ διὰ λεπτότητα φαίνεται μακρός. ἀλλὰ τοῦτο μὲν αὐτῷ κοινὸν πρὸς τὸν πέμπτον· ἴδιον δ᾽ ἐξαίρετον κεκολοῦσθαι τὸ βάθος δι᾽ ἣν ὀλίγον ἔμπροσθεν εἶπον αἰτίαν. ἕβδομος δ᾽ ἦν ἐν τῷ διαγράμματι σφυγμὸς μακρὸς ἅμα καὶ στενὸς καὶ ὑψηλὸς, ὃς ἐφαίνετ᾽ ἂν ὁμοίως τῷ πάντων πρώτῳ μέγας, μὴ τὸ πλάτος

autem duabus dimenfionibus moderatus, graciliorem annunciat folito hominem elfe factum et pulfum quantum in eo eft naturali minorem. Quando enim longus pulfus aut ob propriam fuam magnitudinem, aut propter tenuitatem videatur ejuscemodi effe, nunc vero non appareat talis ex magnitudine effe, effet enim fimul altus et latus, aut alteruter certe horum, reftat ut per maciem factus fit longus. Caeterum quum graciliores habere videantur pulfus naturali majores, plane pulfus quod ad fe pertinet anguftior aequo eft et humilior, itaque etiam minor quod ad fe attinet. Qui fub hunc fcriptus eft fextus, puta longus et humilis atque latitudine moderatus, quum ob caufas ante expofitas minor fit naturali, quantum in ipfo eft ob gracilitatem apparet longus effe. Sed hoc commune cum quinto habet, proprium autem hoc peculiariter, profunditatem ob caufam paulo ante memoratam effe imminutam. Septimus in tabella pulfus erat longus pariter et anguftus altusque, qui videri perinde ac omnium primus magnus poffet, nifi fit

ἐστενοχωρεῖτο. τὰ δὲ ἄλλα καὶ περὶ τοῦδε παραπλησίως τῷ πρώτῳ πάντων δεῖ διορίζεσθαι. καὶ μὲν δὴ καὶ ὅσα κατὰ τὸν τρίτον εἴρηται, καὶ ταῦτ᾽ ἐνταῦθα προστιθέναι, τὸ μήτε πολλάκις φαίνεσθαι τὸν τοιοῦτον σφυγμὸν μήθ᾽ ὅταν φαίνηται, πλεῖστον ὅσον ὑπερβάλλειν μὲν τοῦ συμμέτρου κατὰ τὸ ὕψος, ἀπολείπεσθαι δὲ κατὰ τὸ πλάτος. ὁ δ᾽ ἐφεξῆς αὐτῷ γεγραμμένος ὄγδοος ὁ μακρὸς ἅμα καὶ στενὸς καὶ σύμμετρος κατὰ τὸ βάθος ὅτι μὲν μικρός ἐστι κατὰ τὴν οἰκείαν οὐσίαν, εὔδηλον ἐκ τῶν ἐπὶ τοῦ πέμπτου προειρημένων· ἰσχνοῦ δὲ τοῦ σώματος γενομένου φαίνεται μακρότερος. τὸ δὲ ἴδιον ἐξαίρετον αὐτῷ παρὰ τὸν πέμπτον, ἡ τοῦ πλάτους στενότης, ἐστενοχωρῆσθαι κατὰ τοῦτο δηλοῦσα τὴν ἀρτηρίαν. ὁ δὲ ἔννατος σφυγμὸς ὁ μακρὸς καὶ στενὸς καὶ ταπεινὸς ἔτι δὴ καὶ μᾶλλον ἐνδείκνυται μικρὸς μὲν ὢν ὅσον ἐφ᾽ ἑαυτῷ, φαινόμενος δὲ μακρὸς δι᾽ ἔκτηξιν τοῦ σώματος. ὡς ἐπὶ τὸ πολὺ δὲ αὐτῷ σύνεστιν ἀμυδρότης καὶ σκληρότης. εἰ δὲ μήτε σκληρὸς ᾖ μήτ᾽ ἄγαν ἀμυδρὸς, ἐπὶ καταψύξει τοιοῦτος ἀποτελεῖται. οὕτως μὲν οὖν ἅπαντες οἱ εἰρημένοι νῦν ἐννέα σφυγμοὶ μακρότερον ἔχουσι τὸ μῆκος τοῦ

restricta latitudo; caetera hic ita ut in primo omnium sunt discernenda. Et etiam quae in tertio explicavimus, ea sunt in hunc locum conferenda, non saepenumero scilicet hunc pulsum esse, neque quum incidat, plurimum moderatum altitudine superare et inferiorem latitudine esse. Ab illo octavum, longum una et angustum et moderata profunditate, natura quidem esse parvum ex iis constat quae in quinto jam retulimus, at quia marcuit corpus, longior videtur; eximium vero hoc praeter quintum habet, quod constrictam hic arteriam latitudinis angustia declarat. Nonus pulsus, longus, angustus, humilis, longe etiam magis ostenditur sua natura esse parvus, verum videri per marcorem corporis longus; fere adjuncta illi remissio est duritiesque, qui si neque durus sit, neque admodum languidus, a refrigeratione gignitur. Itaque novem quos nunc percurrimus pulsus omnes longitudinem habent aequo longiorem, duabus diste-

κατὰ φύσιν, ἐξαλλάττονται δὲ κατὰ τὰς λοιπὰς δύο διαστάσεις. [246] οἱ δ' ἐφεξῆς ἐννέα σύμμετροι κατὰ τὸ μῆκος ὄντες ὑπαλλάττονται κατά τε τὸ βάθος καὶ τὸ πλάτος. ὁ μὲν οὖν δέκατος ὑψηλὰς ἅμα καὶ πλατὺς φαινόμενος ἐφ' ἑνὸς μὲν ἀνθρώπου τῷ συμμέτρῳ παραβαλλόμενος ἀδύνατος συστῆναι, πλὴν εἴ ποτε κατὰ τὸ σπάνιον ἡ θέσις ὅλη τῆς ἀρτηρίας ἐξαλλάττοιτο, πρὸς δὲ τὸν ἁπλῶς σύμμετρον εἰ παραβάλλοιτο, καὶ γενέσθαι δυνατός ἐστι. καὶ αἰτία τῆς γενέσεως αὐτοῦ κατὰ τὴν τῆς διαπλάσεως ἰδιότητα. σύμπτωμα γάρ ἐστιν ἀρτηρίας, ἑκατέρωθεν μὲν ὑπὸ βαθείᾳ σαρκὶ κρυπτομένης, κατὰ δέ τι μέσον ὀλίγον ἐκκειμένης προπετοῦς. ὁ δὲ ἐνδέκατος τοῦ προγεγραμμένου παραλλάττων ἑνὶ μόνῳ, τῷ βάθος ἴσον ἔχειν τῷ κατὰ φύσιν, ἐκ περιττοῦ προσερχομένην ἔχει τὴν τοῦτο ταπεινοῦσαν αἰτίαν. τὰ δ' ἄλλα τῷ δεκάτῳ ταὐτά. ὁ δὲ δωδέκατος ὁ πλατὺς καὶ ταπεινὸς ἐπὶ συμμέτρῳ μήκει, περιστραφέντος τοῦ κώλου γίνεται. ἤτοι γὰρ φανεῖται πάντη σύμμετρος ἢ μέγας. εἰ μὲν οὖν πάντη σύμμετρος φαίνοιτο, δηλώσει τὸ μὲν ὕψος ἔμπροσθεν ἐπ' ὀλίγον τεθλίφθαι, τὸ δὲ πλάτος ἐκτετάσθαι διὰ μαλακότητα τῆς ἀρτηρίας·

rentiis reliquis diverfi funt, novem proximi longitudine moderata funt, profunditatem autem et latitudinem immutant. Ac decimus quidem qui altus fimul et latus videtur, uno in homine, fi cum moderato comparetur, nunquam exiftat; nifi quando, id quod rarum eft, omnino arteria de fede fua migret. Sin autem conferatur ad eum qui eft abfolute moderatus, poteft incidere, ac caufa ejus generandi in proprietatem conformationis confertur; fiquidem fymptoma arteriae eft, quae fub profunda carne utrinque occultetur, fed in media parva parte fublimis extet. Undecimus qui una re differt a fuperiore, quod profunditatem moderato parem habeat, pro cumulo caufam demittendi hujus habet adjunctam; caetera cum decimo conveniunt. Duodecimus latus, humilis cum moderata longitudine inverfo fit membro; aut enim undequaque videbitur moderatus, aut magnus. Ac fi omnino videatur moderatus, altitudinem declarabit prius nonnihil compreffam effe, productamque ob mollitiem ar-

εἰ δὲ μέγας, ἐπὶ πλεῖστον τεθλίφθαι τὸ ὕψος. ὁ δὲ ιγ' ὑψηλὸς ἅμα καὶ σύμμετρος ἐν ταῖς λοιπαῖς δύο διαστάσεσιν ὅμοια μὲν τῷ δεκάτῳ κατά τε τὴν φυσικὴν διάπλασιν ἀποτελεῖται καὶ προσέτι τὴν τῆς κατὰ φύσιν θέσεως ἀλλοίωσιν. ἐκ περιττοῦ δ' αὐτῷ πρόσεστι παρ' ἐκεῖνον ἡ στενοχωρία τοῦ πλάτους. ὁ δὲ ιδ' ὁ κατὰ τὰς τρεῖς διαστάσεις σύμμετρος ὅτι μὲν τῷ κατὰ φύσιν ὁ αὐτὸς φαίνεται πρόδηλον· εἰ δὲ καὶ ὄντως ἐστὶν ἴσος τῷ κατὰ φύσιν ἐκ τῆς τοῦ σώματος σχέσεως διορίζεται. εἰ μὲν γὰρ ἰσχνότερος εἴη τοῦ κατὰ φύσιν, οὗτος ἂν ὅσον ἐφ' ἑαυτῷ μικρότερος ὢν ὁ σφυγμὸς ἴσος φαίνοιτο τῷ συμμέτρῳ· εἰ δὲ παχύτερον εἴη τὸ σῶμα τοῦ κατὰ φύσιν, ὁ σφυγμὸς ὅσον μὲν ἐφ' ἑαυτῷ μέγας ἐστὶ, φαίνεται δὲ σύμμετρος ὑπὸ πολυσαρκίας κολουόμενος· εἰ δὲ μήτ' εἰς ἰσχνότητα μήτ' εἰς παχύτητα παραλλάττοι τὸ σῶμα, σύμμετρον ἐν τῷ τοιῷδε τὸν σφυγμὸν ἀναγκαῖον οὐ φαίνεσθαι μόνον, ἀλλὰ καὶ εἶναι. καὶ δέδεικταί γε ἡμῖν ἐν τῷ δευτέρῳ περὶ σφυγμῶν διαγνώσεως ὅτι πρὸς τοῦτον οἱ ἄλλοι πάντες παραβαλλόμενοι μεγάλοι καὶ μικροὶ καὶ μακροὶ καὶ βραχεῖς καὶ πλατεῖς

teriae latitudinem; ſin magnus, plurimum fuiſſe compreſſam altitudinem. Decimus tertius altus idemque dimenſionibus duabus reliquis moderatus, perinde ut decimus, et ex naturali conformatione conficitur et etiam ex naturalis ſedis mutatione; eximium autem habet praeter illum latitudinis anguſtiam. Decimum quartum, qui omnibus tribus dimenſionibus moderatus eſt, omnibus apertum eſt referre naturalem; an vero ſit par revera naturali, exploratur ex corporis habitudine. Nam macrior ſi naturali ſit, ſic quum ſit pulſus ſua natura minor, par apparet moderato eſſe; ſin craſſius aequo ſit corpus, pulſus tum de ſua quidem natura magnus eſt, ſed quod per corpulentiam coërceatur, eſſe moderatus videtur; quod ſi nec ad gracilitatem corpus nec ad corpulentiam deflectat, moderatum in eo non ſolum repraeſentari pulſum, verum etiam neceſſe eſt eſſe. Sane demonſtravimus in ſecundo libro De pulſibus dignoſcendis caeteros pulſus ad hunc omnes relatos, magnos, parvos, lon-

καὶ στενοὶ καὶ ὑψηλοὶ καὶ ταπεινοὶ λέγονται. ὁ δὲ πεντεκαιδέκατος ὁ ταπεινὸς μὲν κατὰ τὸ βάθος, σύμμετρος δὲ ταῖς λοιπαῖς δύο διαστάσεσιν, ὁ αὐτός ἐστιν τῷ προγεγραμμένῳ τεσσαρεσκαιδεκάτῳ κατὰ πάντα, πλὴν ὅσα τὸ βάθος αὐτοῦ τέθλιπται. ὥσθ᾽ ὅσα ἐπ᾽ ἐκείνου προείρηται, ταῦτα κἀπὶ τούτου χρὴ δοκεῖν εἰρῆσθαι. μεμνῆσθαι δὲ περὶ τῶν τοιούτων ἁπάντων προσήκει, τὸ δὲ καταστρεφομένου τοῦ κώλου μηκέτι φαίνεσθαι ταπεινόν. ὁ δὲ ἑκκαιδέκατος ὁ σύμμετρος μὲν ἐν τῷ μήκει, στενὸς δὲ καὶ ὑψηλὸς, ἤτοι κατὰ τὴν τῆς διαπλάσεως ἰδιότητα γίνεται φύσιν τοιοῦτος, ἢ κατὰ τὸ πλάτος, ἐπὶ τῇ κατὰ τὰ πλάγια θλίψει τῶν ἀρτηριῶν. ὁ δὲ ιζ σύμμετρος μὲν κατὰ τὸ μῆκός τε καὶ τὸ βάθος, ἐν δὲ τῇ λοιπῇ διαστάσει στενὸς, ὅτι μὲν στενοχωρεῖται κατὰ τὰ πλάγια πρόδηλον ἐκ τῆς τοῦ βάθους συμμετρίας, τὰ δ᾽ ἄλλα πάντα κἀπὶ τούτου τοῖς κατὰ τὸν ιδ τε καὶ πεντεκαιδέκατον ὡσαύτως ἔχει. ὁ δὲ ιη ὁ σύμμετρος μὲν κατὰ τὸ μῆκος, στενὸς δὲ καὶ ταπεινὸς, κατὰ μὲν τὴν οἰκείαν οὐσίαν μικρός ἐστι, φαίνεται δὲ τῷ μήκει σύμμετρος ἐπ᾽ ἰσχνότητα. συλλήβδην γὰρ εἰπεῖν ὅταν

gos, breves, latos, angustos, altos, humiles appellari. Quintusdecimus, qui humilis profunditate est, reliquis duabus dimensionibus moderatus, omnino similis superiori est decimo quarto, praeter quod hujus compressa est profunditas; proinde quae illic prius exposuimus, ea duces hic quoque dicta esse. Hoc vero est in hisce omnibus memoria tenendum, non amplius converso membro videri humilem. Sextus decimus, qui moderatus est longitudine, angustus altusque, aut ex conformationis proprietate fit talis natura, aut per affectum aliquem compressis ad latera arteriis. Septimum decimum, qui est moderatus longitudine et profunditate, in reliqua dimensione angustus, in latera contractum esse declarat moderata profunditas; in reliquis omnibus decimoquarto et decimoquinto respondet. Octavus decimus qui longitudine moderata est et angustus humilisque, sua quidem natura parvus est; videtur autem esse ob gracilitatem moderata longitudine. Breviter enim quum praeter profunditatis proportionem et latitudinis extensa longitudo sit,

ὑπὲρ τὴν τοῦ βάθους τε καὶ τοῦ πλάτους ἀναλογίαν ἐκταθῇ τὸ μῆκος, (123) ἰσχνότητα τοῦ σώματος ἐνδείκνυται, οὐ μὴν ὅταν γε μειωθῇ παρὰ τὴν ἀναλογίαν τοῦ βάθους, εὐσαρκίαν σημαίνει, ἀλλ' ἤτοι φυσικήν τινα διάπλασιν ἢ θέσιν τῆς ἀρτηρίας ἀνώμαλον. [247] ὁ δὲ ιθ' βραχὺς καὶ πλατὺς καὶ ὑψηλὸς ἤτοι φύσει φαίνεται τοιοῦτος ἐπὶ διαπλάσεως ἰδιότητα ἢ κατὰ τὸ πάθος ἐν τῇ θέσει διαστρεφομένης τῆς ἀρτηρίας. καὶ εἰκοστὸς δὲ κατὰ μὲν τὰς ἄλλας δύο διαστάσεις ὁ αὐτὸς τῷ ιθ' φαινόμενος, ἐν δὲ τῷ βάθει σύμμετρος. ἐξαίρετον, ὡς ἐπ' ἐκείνου προείρηται, τὸ κεκολοῦσθαι τὸ ὕψος ἔχει. ὁ δὲ κα' ὁ βραχὺς καὶ πλατὺς καὶ ταπεινὸς ἐπὶ τοῖς αὐτοῖς αἰτίαις ἔτι κἀκεῖνα προσλήψεται τὰ πλατὺν ἅμα καὶ ταπεινὸν ἀπεργαζόμενα τὸν σφυγμόν. ὡσαύτως δὲ ὁ κβ' ὁ βραχὺς ἅμα καὶ ὑψηλὸς καὶ σύμμετρος κατὰ τὸ πλάτος ἐπὶ ταῖς αὐταῖς αἰτίαις προσλήψεται τὰ ποιοῦντα σύμμετρον ἐν τῷ πλάτει καὶ ὑψηλὸν σφυγμὸν, ὥσπερ γε καὶ ὁ κγ' ὁ βραχὺς μὲν κατὰ τὸ μῆκος, ἐν δὲ ταῖς λοιπαῖς δύο διαστάσεσι σύμμετρος, εἰς τὰς αὐτὰς αἰτίας ἀναχθήσεται. ὁ δὲ κδ' ἐξαίρετον

significat corporis gracilitatem; non tamen ubi contracta praeter proportionem profunditatis eſt, corpulentiam denotat, ſed vel naturalem quampiam conformationem, vel ſitum arteriae inaequalem. Nonus decimus brevis, latus et altus, aut ob conformationis proprietatem talis natura videtur, aut ex affectu arteriae in ſitu diſtortae. Vigeſimus jam in aliis duabus dimenſionibus ſimilis eſt nono decimo, ſed profunditate eſt moderata. Hic habet hoc praecipuum, reſciſam ſuam altitudinem. Vigeſimus primus brevis, latus et humilis praeter easdem cauſas etiam illas adjunget ſibi, quae latum ſimul et humilem efficiunt pulſum. Ad eundem modum vigeſimus ſecundus brevis ſimul et altus atque latitudine moderata aſſumet ad easdem cauſas eas quae moderatum latitudine creant humilemque pulſum. Sic etiam vigeſimus tertius, brevis ille quidem longitudine, verum dimenſionibus duabus reliquis moderatis, ad easdem cauſas reducetur. Vigeſimus quartus ſortietur praeter eas-

ἐπὶ ταῖς αὐταῖς αἰτίαις προσλήψεται τὴν ταπεινοῦσαν τὸ ὕψος αἰτίαν. οὕτως δὲ καὶ οἱ ἐφεξῆς δύο κατὰ τὸν αὐτὸν τρόπον εἰς τὰς προειρημένας αἰτίας ἀναχθήσονται, μεμνημένων ἡμῶν ὡς ἂν ἐν οἷς σφυγμοῖς ἀπολείπεται τὸ μῆκος τῆς κατὰ τὸ βάθος καὶ κατὰ τὸ πλάτος ἀναλογίας, ἐν τούτοις ἤτοι φυσικῇ διαπλάσει τὴν αἰτίαν ἀνατιθέναι προσῆκεν, ἢ διαστρόφῳ θέσει τῆς ἀρτηρίας. εἴρηται δὲ κἀπειδὰν ὑπερέχῃ τὸ μῆκος τῆς κατὰ τὸ πλάτος, ἢ τὸ βάθος ἀναλογίας, ἤτοι κεκολοῦσθαι τὸ ἕτερον αὐτῶν μόνον ὑπὸ στενοχωρίας ἢ καὶ τὸ ἕτερον ηὐξῆσθαι, καὶ ὡς τὸ μὲν κεκολοῦσθαι πολλάκις συμπίπτει, τὸ δὲ ηὐξῆσθαι σπανιάκις, ἐπὶ μὲν τοῦ πλάτους, ὅταν βαρύνηται τὸ ὕψος ἐπὶ μαλακῷ τῷ χιτῶνι τῆς ἀρτηρίας, εὐθὺς δὲ καὶ ὡς οὐδὲ σφοδρὸς ὁ τοιοῦτός ἐστι σφυγμὸς, ἐπὶ δὲ τοῦ βάθους, ὅταν στενοχωρῆται μὲν τὸ πλάτος, ὁ σφυγμὸς δὲ ᾖ σφοδρός τε ἅμα καί μέγας ὅσον ἐφ᾽ ἑαυτῷ. λοιπὸς δὲ ἐπὶ πᾶσιν ὁ κζ ἐστὶν ὁ βραχὺς καὶ στενὸς καὶ ταπεινὸς, ὅσπερ δὴ καὶ μικρός ἐστιν, ἤτοι φαινόμενος τοιοῦτος ἢ κατὰ τὴν ἑαυτοῦ φύσιν ὑπάρχων. ἃ γὰρ ἐπὶ τοῦ πρώτου πάντων διώρισται τοῦ μεγάλου, ταῦτα κἀπὶ τούτου διορίζεσθαι χρή. κατὰ φύσιν

dem caufas extra ordinem caufam quae altitudinem deprimit. Ad eundem modum proximi duo ad antedictas referentur caufas, ut memoria teneamus, in quibuscunque pulfibus cedat longitudo proportioni latitudinis et profunditatis, in his caufam aut naturali conformationi, aut arteriae perverfo fitui effe attribuendam. Demonftravimus porro, ubi latitudinis, vel profunditatis proportionem longitudo vincat, aut obfiftere alteri earum folam anguftiam, aut auctam etiam alteram effe; atque obftaculum frequenter accidere, incrementum raro, in latitudine quidem, ubi per mollem arteriae tunicam gravetur altitudo, fimulque nec vehementem effe ejuscemodi pulfum; in profunditate vero, ubi coarctetur latitudo et pulfus vehemens fimul et magnus ex fua natura fit. Reliquus eft poft omnes vigefimus feptimus brevis, anguftus humilisque, qui utique parvus vel apparet effe vel fua natura eft, ac quae quidem in omnium primo diftincta funt magno, eadem funt hic quoque diftinguenda. Si

Ed. Chart. VIII. [247.] Ed. Baf. III. (123.)

μὲν γὰρ ἐχούσης τοῦ σώματος τῆς σχέσεως, ὁ τοιοῦτος σφυγμὸς οὐ μόνον φαίνεται μικρὸς, ἀλλὰ καὶ ὄντως ἐστί· παχυτέρας δὲ γενομένης, εἰ μὲν ὅσον περ ἑαυτοῦ παχύτερος ὁ ἄνθρωπος ἐγένετο, τοσούτῳ καὶ ὁ σφυγμὸς μικρότερος, εἴη ἂν οὕτω γε σύμμετρος μὲν ὅσον ἐφ᾽ ἑαυτῷ, διὰ δὲ παχύτητα τοῦ σώματος ἐλάττων τοῦ κατὰ φύσιν φαινόμενος· εἰ δὲ πλέονι παχύτερος ἤπερ ὁ σφυγμὸς μικρότερος, μείζων ἂν εἴη τοῦ κατὰ φύσιν ὁ τοιοῦτος σφυγμὸς ὅσον ἐφ᾽ ἑαυτῷ· εἰ δ᾽ ἔλαττον παχύτερος ἤπερ ὁ σφυγμὸς μικρότερος, ἐλάττων ἂν εἴη τοῦ κατὰ φύσιν ὁ τοιοῦτος ὅσον ἐφ᾽ ἑαυτῷ. λεπτοτέρου μέντοι τοῦ σώματος ὄντος ἤπερ ὁ σφυγμὸς φαίνοιτο μικρὸς, ἔσται μὲν καὶ οὗτος τῇ φύσει μικρὸς, ἀλλ᾽ ἔλαττον φαίνεται μικρὸς ἢ ὄντως ἐστίν. ἡ γὰρ ἰσχνότης τοῦ σώματος εἰς ὅσον ἐξέστη τοῦ κατὰ φύσιν εἰς τοσοῦτον μέγεθος αὐτῷ προσδίδωσι φαντασίαν. ἃ δ᾽ ἐπὶ τοῦ μικροῦ τε καὶ μεγάλου σφυγμοῦ διώρισται, ταῦτα κἀπὶ τῶν ἄλλων ἁπάντων διορίζεσθαι χρὴ, γινώσκοντας ὅς κἀκείνων ἕκαστος ἤτοι μικρὸς, ἢ μέγας, ἢ σύμμετρός ἐστιν ὅσον ἐφ᾽ ἑαυτῷ. καὶ τρεῖς οὗτοι σφυγμοὶ κατὰ τὸ ποσὸν τῆς διαστολῆς εἰσὶν ὡς πρὸς τὴν

naturaliter comparata corporis fit habitudo, hic pulfus non modo videtur parvus, fed etiam eft vere. At quum craffior fit, fi quo homo evafit fe ipfo craffior, hoc fit pulfus minor, erit tum quidem quod ad ipfum attinet moderatus, fed per corporis craffitudinem minor videtur moderato. Si longe fit craffior quam pulfus minor, is pulfus quantum in ipfo eft mediocri erit major. Sin autem minus fit craffus quam parvus pulfus hic, fi ejus naturam fpectes, minor erit naturali. Quod fi gracilius corpus fit quam videatur pulfus parvus, is fane eft natura parvus, fed non perinde videtur parvus ac vere eft; quod corporis gracilitas, quatenus deceffit de natura, hactenus ei magnitudinis addit fpeciem. Quae de parvo et magno pulfu adhibita diftinctio eft, eadem in aliis eft adhibenda omnibus fciendumque illorum quemque vel parvum effe natura, vel magnum, vel moderatum. Ac tres hi pulfus in quantitate diftentionis pofiti funt quod attinet

Ed. Chart. VIII. [247. 248.] Ed. Bas. III. (123.)

φύσιν αὐτοῦ τοῦ πράγματος. φαίνονται δ᾽ ἑπτὰ καὶ κ᾽ διὰ πάχος ἢ λεπτότητα τοῦ σώματος, ἢ ῥυσσοτέρου τοῦ δέρματος, ἢ στενοχωρίαν ἀνώμαλον τῶν περὶ ταῖς ἀρτηρίαις χωρίων, ἢ διαπλάσεως ἰδιότητα. χρὴ τοίνυν ἕκαστον ὅστις μὴ μέχρι λόγου ψιλοῦ μετέρχεται, ἀλλ᾽ ἐπ᾽ αὐτῶν τῶν ἔργων ἀσκεῖν προαιρεῖται, μεμνημένον ἁπάντων ὧν νῦν δὴ πέπαυμαι λόγων, [248] ἐπειδὰν ἐπισκέπτηταί τινα τῶν κατὰ τὸ ποσὸν τῆς διαστολῆς συνισταμένων σφυγμῶν, πρῶτον μὲν ἐπισκοπεῖσθαι τίς ἐστι τῶν ἑπτὰ καὶ εἴκοσιν, εἶθ᾽ ἑξῆς αὐτοῦ χωρίσαντα τὰς διὰ τὰ παρακείμενα σώματα γινομένας ἀλλοιώσεις ἐξευρεῖν εἴτε σύμμετρός ἐστιν, εἴτε μέγας, εἴτε μικρὸς, εἶθ᾽ ἑξῆς τὰς διαθέσεις ὑφ᾽ ὧν τοιοῦτος ἐγένετο. διδάσκουσι γὰρ αὗται τά τε προγεγονότα καὶ τὰ μέλλοντα, οἷον εὐθέως ἐπὶ τοῦ μακροῦ καὶ στενοῦ καὶ ταπεινοῦ, παραδείγματος γὰρ ἕνεκα τὸν λόγον ἐπὶ τούτου διδάξομεν· ὅτι μέν ἐστιν ὅσον ἐφ᾽ ἑαυτῷ μικρὸς εὔδηλον ἐκ τοῦ τὴν μὲν κατὰ κύκλον αὐτοῦ μεμειῶσθαι διάστασιν, ηὐξῆσθαι δὲ τὴν κατὰ μῆκος. εἰ γὰρ ὑπὸ δυοῖν αἰτίων ὁ κύκλος τῆς διαστολῆς ἐλάττων φαίνεται, διά τε πολυσαρκίαν καὶ ὅτι μικρότερος ὄντως

ad ipsius rei naturam. Videntur vero esse viginti septem ob crassitudinem, vel gracilitatem corporis, vel ob cutem rugosiorem, vel regionum arteriarum inaequalem angustiam, vel proprietatem conformationis. Ita unumquemque oportet qui non inania verba ambit, sed ipsa opera studet meditari, omnium memorem quae jam percurri, simul atque aliquem animadvertat pulsum qui in quantitate consistit distentionis, primum qui sit de viginti septem attendere; deinde ubi ab eo quae ex vicinis corporibus oriuntur alterationes secreverit, indagare an moderatus sit, an magnus, an parvus; postea status, qui talem genuere, siquidem docent hi et praeterita et futura, ut in longo et angusto et humili; nam exempli gratia in hoc quod dico docebimus. Hunc quantum in ipso est liquet parvum esse ex eo quod ejus imminuta est circularis dimensio et aucta dimensio longitudinis. Si enim duabus de causis minor circulus distentionis apparet ob corpulentiam et quod minor re vera sit

ὁ σφυγμὸς ἐγένετο, νυνὶ δὲ οὐκ ἔστι πολυσαρκία, πάντως γὰρ ἂν μόνον οὐδὲν ηὔξητο τοῦ μήκους, ἀλλὰ καὶ ἐμεμείωτο, δῆλον ὡς κατὰ τὴν οἰκείαν οὐσίαν ὁ σφυγμὸς μικρὸς ἐγένετο. ὁπότ' οὖν κεχώρισται τὸ παρὰ τὴν τοῦ σώματος σχέσιν ἐγγινόμενον αὐτῷ φάντασμα τοῦ μήκους, ἐκ τῶν μικρῶν ὑπάρχοντι κατὰ τὴν ἰδίαν οὐσίαν, ἑξῆς ἐπισκεψώμεθα διὰ τίνα ποτ' αἰτίαν ἐγένετο μικρός. μέγιστον δ' εἰς τοσοῦτον συντελεῖ τὸ διαγινώσκειν δύνασθαι τὸ ποσὸν τῆς τε μικρότητος καὶ τοῦ μήκους. ἤτοι γὰρ ὀλίγῳ τινὶ τοῦ κατὰ φύσιν ἐγένετο μικρότερος, ἢ πολλῷ, ἢ ὡς ἂν εἴποι τις μετρίῳ, καὶ δὴ καὶ κατὰ τὸ μῆκος ἢ ὀλίγον, ἢ μέτριον, ἢ πολὺ τῶν κατὰ φύσιν ὑπερβάλλει. ἔστω δὴ τὸ ἕτερον ἐπὶ πλεῖστον μὲν εἰς μῆκος ἐκτεταμένος, ἐπὶ πλεῖστον δὲ καὶ μικρότητος ἥκων, τουτέστι στενὸς καὶ ταπεινός· ὁ τοιοῦτος σφυγμός ἐστι μὲν τῇ φύσει πολὺ μικρότερος ἢ φαίνεται, ὑπάρχει δ' αὐτῷ τὸ μὲν φαίνεσθαι τοιοῦτος δι' ὑπερβάλλουσαν ἰσχνότητα, τὸ δὲ εἶναι φύσει μικρότερον διὰ τὰς μικροτέρας γεννώσας αἰτίας, ψύξιν, ἀτονίαν, ἰσχνότητα. τίς οὖν ἐκ τούτων ἐστὶν, ἢ τίνες ποιήσασαι τὸν νῦν φαινόμενον σφυγμὸν μακρὸν καὶ στενὸν καὶ

pulſus, nunc autem abeſt corpulentia, ſane enim non ſolum longitudo non creviſſet, ſed etiam imminuta eſſet, planum eſt pulſum ſua natura eſſe parvum. Quum igitur remota ſit longitudinis ſpecies, quam contraxit ex corporis habitudine, quum ſua natura parvus ſit, videamus jam quanam de cauſa ſit factus parvus. Hic plurimi intereſt noſſe parvitatis quantitatem et longitudinis, aut enim paulo eſt naturali minor, aut multo, aut ut ita dicam modico; ſic etiam in longitudine aut parum, aut modice, aut longe naturales ſuperat. Jam altera ex parte ad maximam longitudinem producatur, etiam ad maximam deveniat parvitatem, id eſt anguſtus et humilis ſit; hic pulſus natura longe eſt quam apparet minor, ſed eam quidem ex nimia gracilitate comparavit ſpeciem, ut vero ſit natura minor, ex cauſis quae efficiunt minorem, frigiditate, imbecillitate, gracilitate. At quae tandem cauſa eſt, vel cauſae inter has, unde pulſus qui nobis nunc cernitur longus, anguſtus humilisque gene-

ταπεινόν; λέλεκται μὲν ἤδη καὶ πρόσθεν ὡς ἀχώριστόν ἐστι σημεῖον τῆς μὲν σκληρότητος τῶν ἀρτηριῶν ὁ σκληρὸς σφυγμὸς, τῆς δὲ ἀῤῥώστου δυνάμεως ὁ ἀμυδρὸς, ὅσπερ δὴ καὶ ἄτονός τε καὶ ἄῤῥωστος ὀνομάζεται, καθάπερ γε καὶ ὁ ἐναντίος αὐτῷ σφοδρὸς καὶ εὔτονος καὶ εὔρωστος. ἀλλ' ἐπὶ τοῦ προκειμένου σφυγμοῦ κἀκεῖνο χρὴ γινώσκειν, ὡς ἐξ ἀνάγκης ἐστὶν ἀμυδρός. οὐδέποτε γὰρ ἐσχάτως μικρὸς γίνεται σφυγμὸς εὐρωστούσης δυνάμεως· ἡ μέντοι σκληρότης οὐκ ἐξ ἀνάγκης σύνεστι. περὶ δὲ τῆς ψύξεως οὐχ ἁπλῶς εἰπεῖν ἐγχωρεῖ, ἀλλὰ χρὴ πρῶτον μὲν γινώσκειν ὡς ἕτερον μέν τί ἐστι τὸ ἐψῦχθαι τὴν καρδίαν ἅμα ταῖς ἀρτηρίαις, ἕτερον δὲ τὸ ψύχεσθαι, καὶ ὡς τὸ μὲν ἐψῦχθαι κεκακῶσθαι τὴν δύναμίν ἐστι, τὸ δὲ ψύχεσθαι τὴν χρείαν ἠλλοιῶσθαι. πάνυ δ' ἀκριβῶς χρὴ προσέχειν τῷ λεγομένῳ τὸν νοῦν, εὖ εἰδότας ὡς οὐ μόνον εἰς τὰς διὰ τῶν σφυγμῶν προγνώσεις, ἀλλὰ καὶ τὰς ἄλλας σχεδὸν ἁπάσας οὐδέν ἐστιν αὐτοῦ χρησιμώτερον. εἴρηται δ' ἅπας ὁ λόγος οὗτος ἐκ τοῦ γινώσκειν τὴν οὐσίαν τῆς δυνάμεως, ὑπὲρ ἧς ἐν μὲν τῇ περὶ τῶν ἐν τοῖς σφυγμοῖς αἰτίων πραγματείᾳ διὰ τὸ μηδεμίαν ἀνάγκην εἶναι παρελίπομεν εἰπεῖν,

retur? Declaravimus quidem ante ſignum eſſe perpetuum arteriarum duritiei pulſum durum, infirmae facultatis languidum, qui etiam remiſſus et imbecillus vocatur; ut qui eſt contrarius, vehemens, contentus, validus. Verum ſciendum et hoc eſt in hoc pulſu, neceſſario eum languidum eſſe, nunquam enim valente facultate parvus ad ſummum pulſus fiat; at duritiem nihil eſt neceſſe conjunctam eſſe. De frigiditate vero non abſolute eſt ſtatuendum; ſed illud primum noſſe oportet, intereſſe, cor una eſſe cum arteriis refrigeratum et refrigerari; ac quod refrigeratum eſſe laeſam eſſe facultatem ſit, refrigerari autem mutari uſum. Hic animo mihi opus eſt plane attento, ſciendumque non modo ad praeſagitiones ex pulſibus, ſed ad alias etiam pene omnes eo nihil eſſe conducibilius. Procedit autem univerſus hic ſermo ex cognitione eſſentiae facultatis, quam in commentariis De cauſis pulſuum, quod nullo modo eſſet neceſſaria,

Ed. Chart. VIII. [248. 249.] Ed. Baf. III. (123. 124.)
ἐνταυθοῖ δὲ, πρὸς (124) γὰρ ἐπιστήμην ἀκριβῆ τῶν λεχθησομένων ἡ γνῶσις αὕτη συντελεῖ, καιρὸς εἶναί μοι δοκεῖ διελθεῖν, οὔτ' ἐνταῦθα μετὰ τῶν οἰκείων ἀποδείξεων, ἑτέρωθι γὰρ εἴρηται μακρότερον, ἀλλ' ὅσον ἐν κεφαλαίῳ ῥηθὲν εἰς τὰ ἐνεστῶτα νῦν χρηστόν.

Κεφ. δ'. [249] Ἡ οὐσία τῆς δυνάμεως ἑκάστου τῶν μορίων ἐν τῇ καθ' ἕκαστον αὐτῶν εὐκρασίᾳ τέτακται. τότε γὰρ ἐπιτελεῖ τὸ ἴδιον ἔργον εὐρώστως, ὅταν εὐκρατότατον ᾖ. καὶ μέντοι καὶ κακῶς ἐργάζεται δύσκρατον γενόμενον, καὶ εἰς τοσοῦτόν γε κακῶς εἰς ὅσον δύσκρατον. οὕτως οὖν καὶ αὐτὸ τὸ τῆς καρδίας σῶμα ψυχθὲν μὲν ἢ θερμανθεν, ἢ ὑγρανθὲν ἢ ξηρανθὲν ἀμέτρως εἰς ὅσον δύσκρατον ἐγένετο, καὶ τοὺς σφυγμοὺς εἰς τοσοῦτον ἀμυδροὺς ἀποτελεῖ. καὶ τοῦτο μέν ἐστιν αὐτῷ βεβλάφθαι τὴν δύναμιν· τὸ δὲ ὁμιλεῖν ἤτοι τῷ περιεχομένῳ κατὰ τὰς κοιλίας ἑαυτῆς αἵματι καὶ πνεύματι θερμοτέρῳ πολὺ τοῦ κατὰ φύσιν, ἢ τῷ κατὰ τὸ περικάρδιον σκέπασμα, ἢ τὸν πνεύμονα, ἢ καὶ αὐτῷ τῷ περικαρδίῳ καὶ τῷ πνεύμονι, τὴν χρείαν ἐστὶ μόνον ὑπηλλάχθαι χωρὶς τοῦ

praeterivimus. Hoc loco, quia ad exacte intelligenda ea quae posthac docebimus hanc refert nosse, visum mihi est illam exponere; neque hic tamen cum suis demonstrationibus, quippe alio eam loco prosecuti latius sumus, sed quantum summatim explicatum ad institutum nostrum conducat.

Cap. IV. Facultatis essentia singularum partium in singularum illarum posita commodo temperamento est; nam tum demum suum quaeque munus obit strenue, ubi sit temperatissima; contra male fungitur, si intemperata sit, atque hactenus male quatenus sit intemperata. Ad eundem modum cordis corpus, quum immodice refrigeratum sit, calefactum, humectatum, exiccatum, pulsus pro suae intemperiei modo facit languidos; id quod illi est offensam facultatem esse. At vero consuetudinem habere cum sanguine contento in illius sinibus, et cum spiritu qui calidior longe ac naturalis status requirit sit, aut cum eo qui in involucro cor ambiente est, vel in pulmone, aut cum ipso etiam involucro cor ambiente et pulmone, usum est tantum variasse

βεβλάφθαι τὴν δύναμιν. ὡσαύτως δὲ κἂν τῷ κατεψῦχθαί τε καὶ ψύχεσθαι κατὰ μὲν αὐτὸ τὸ σῶμα τῆς καρδίας ἐπικρατοῦντος ἐν τῇ κράσει τοῦ ψυχροῦ στοιχείου βλάβη τῆς δυνάμεως, κατὰ δὲ τὸν περικάρδιον χιτῶνα καὶ τὸν πνεύμονα καὶ τὸ κατὰ τὰς κοιλίας αὐτῆς αἷμα καὶ τὸ πνεῦμα τῆς χρείας ἔκλυσις, αἱ δ' ὑγρότητες καὶ ξηρότητες αἱ μὲν κατ' αὐτὸ τῆς καρδίας τὸ σῶμα βλάβαι τῆς δυνάμεώς εἰσιν, αἱ δὲ κατά τι τῶν ὁμιλούντων οὐκ ἐξαλλάττουσι τὴν χρείαν. αἱ μὲν γὰρ εὐκρασίαι κατὰ τὰ τέτταρα γίνονται στοιχεῖα, αἱ δὲ τῆς χρείας ἐπιτάσεις τε καὶ ἀνέσεις ἐν τῷ θερμῷ καὶ ψυχρῷ μόνοις. ὅταν οὖν εἰς ἔσχατον ἐκλύσεως ἥκῃ τὰ τῆς χρείας, ἐψυγμένων ἰσχυρῶς τῶν ὁμιλούντων τῇ καρδίᾳ σωμάτων, ἀνάγκη πᾶσα καὶ αὐτὸ τὸ σῶμα τῆς καρδίας ἴσχειν δυσκράτως, ὅπερ ἐστὶν οὐδὲν ἄλλο τοῦ τὴν δύναμιν ἀῤῥωστοτέραν γίνεσθαι. καὶ διὰ τοῦτ' ἔλεγον ἀδύνατον εἶναι τῆς ψύξεως ἁπλῶς εἰπεῖν. οὐ γὰρ ὥσπερ ἐπὶ μόνῃ καταπτώσει δυνάμεως, ἢ ὀργάνων σκληρότητι μόνῃ, γίνεταί ποτε μικρότερος ὁ σφυγμὸς, οὕτω καὶ διὰ κατάψυξιν μόνην, ὡς

citra offenfionem facultatis. Eandem habet rationem refrigeratum effe et refrigerari; ubi in ipfo cordis corpore temperando praepolleat elementum frigidum, laeditur facultas; fin in tunica cor ambiente, et in pulmone, et fanguine, fpirituque, quos ejus ventriculi continent, ufus eft remiffio. Jam humiditates et ficcitates fi in ipfo corpore cordis confiftant, nocent facultati; fi in quopiam vicino, non immutant ufum, fiquidem proba temperies et intemperies ex quatuor fiunt elementis; ufus vero acceffiones vel remiffiones ex calido et frigido duntaxat. Ubi jam ad ultimam ufus exolutionem deveniat, corporibus vicinis cordi vehementer refrigeratis, non poterit etiam cordis corpus non intemperatum effe; id quod nihil eft aliud quam debiliorem fieri facultatem. Quamobrem dicebam fieri non poffe ut de frigiditate uno verbo pronuntiarem. Neque ut fola proftratione facultatis vel induratione fola inftrumentorum, pulfus interdum minor fit, ita etiam ob folam frigiditatem,

εἴρηται νῦν, οὐ τῆς καταψύξεως ἀκουομένης ἐπὶ τῆς κατὰ τὴν χρείαν ἐκλύσεως· οὐ γὰρ ἐνδέχεταί ποτε τὴν καρδίαν εἰς τὸ καταψύχεσθαι μὲν σφοδρῶς ἀφῖχθαι, μὴ κατεψῦχθαι δὲ καὶ αὐτήν. ἐναργέστατα δ᾽ ἂν ὃ λέγω μάθοις, εἰ πειραθείης ποτὲ τῶν ἐν ὁδοιπορίαις ἀποθνησκόντων ἐπὶ κρύει καρτερῷ. πάντες μὲν γὰρ εὐθέως ἅμα τῷ ψυχρὸν ἐκπνεῖν τὸν ἀέρα καὶ τὸν σφυγμὸν ἴσχουσι μικρότερον, οὐ μὴν μικρότατόν γε οὐδεὶς αὐτῶν ἴσχει, πρὶν εἰς ἔσχατόν γε ἀφικέσθαι καταψύξεως, ἡνίκ᾽ οὐ μόνον ἡ χρεία τέτραπται τῆς τῶν σφυγμῶν γενέσεως, ὅπερ ἐξ ἀρχῆς ὑπῆρχεν αὐτοῖς, ἀλλὰ καὶ ἡ δύναμις ἀῤῥωστεῖ, μηκέτι φυλαττομένης ἐν τῇ καρδίᾳ τῆς φυσικῆς εὐκρασίας. καὶ ἀθρόως γε τοῦτ᾽ αὐτοῖς εἴωθεν ὡς τὸ πολὺ συμβαίνειν, οὐ κατὰ βραχὺ, καθάπερ ἐν ἄλλαις διαθέσεσιν, ὧν ἐστι μία καὶ ἡ νῦν προκειμένη, καθ᾽ ἣν ἅμα τε μικρὸς ὁ σφυγμὸς φαίνεται καὶ στενὸς καὶ ταπεινὸς ἐν νοσήμασι χρονίοις. οἱ γὰρ οὕτω διακείμενοι τὸν μὲν κίνδυνον οὐχ ἧττον ἐφεδρεύοντα τῶν ἐν ὁδοιπορίαις ἔχουσιν, οὐ μὴν ἐξαίφνης γε μικρὸς αὐτοῖς ὁ σφυγμὸς, ἀλλὰ κατὰ βραχὺ γίνεται μαραινομένοις· ἓν γὰρ

quomodo nunc diximus, non accepta refrigeratione pro ufus exolutione; neque enim eo unquam cor, ut refrigeretur vehementer, deveniat, nifi fit ipfum refrigeratum. Quod dico intelligas clariffime, fi eos qui in itinere ex ingenti frigore obeunt confideres, omnes enim fimul ut frigidum exfpirant aerem, pulfum quoque minorem habent; minimum tamen illorum prius nullus quam ad extremam refrigerationem fit perductus obtinet, ubi non tantum ufus eft immutatus generandorum pulfuum, quod aderat ipfis a principio, verum etiam, quia perditur jam naturale cordis temperamentum, debilitatur facultas; id quod folet plerumque iis fubito accidere, non ut in aliis affectibus, paulatim; de quibus eft unus, quem hoc loco habemus in manibus, per quem pariter et longus pulsus apparet et anguftus humilisque in longis morbis. Qui enim ita habent, in periculum hi non minus praefens veniunt quam illi qui in itinere decedunt; non repente his tamen parvus pulfus, fed pedetentim venit marcescentibus; unum enim et hoc genus eft

καὶ τοῦτ᾽ εἶδός ἐστι μαρασμοῦ τὸ πρὸς τοῦ Φιλίππου καλούμενον γῆρας ἐκ νόσου. ὡς ὅ γε περιφρυγὴς μαρασμὸς οὐ διὰ ψύξιν, ἀλλὰ δι᾽ ἀῤῥωστίαν μόνην δυνάμεως ἀσθενεῖς καὶ μικροὺς ἀποτελεῖ τοὺς σφυγμούς. [250] διορίζεται δὲ τοῦ προτέρου τῷ τε τάχει τῆς κινήσεως καὶ τῇ πυκνότητι καὶ τῇ σκληρότητι καὶ τῷ πυρώδει τῆς θερμότητος. ἀλλὰ περὶ μὲν τούτων οὐ τοῦ νῦν ἐνεστῶτος λόγου διελθεῖν· ἐπὶ δὲ τὸ προκείμενον ἐπάνειμι. ὁ μικρὸς καὶ στενὸς καὶ ταπεινὸς σφυγμὸς ὁ ἐπὶ πλέον ἐξεστηκὼς τοῦ κατὰ φύσιν ἐν ταῖς τρισὶ διαστάσεσιν, ἐπειδὰν μὲν ἄνευ σκληρότητος φαίνηται τοιοῦτος, ὑπὸ τίνων γίνεται καὶ πόσων αἰτίων αὐτάρκως διῄρηται· ἐπειδὰν δὲ μετὰ σκληρότητος, εὐθὺς μὲν καὶ ταύτῃ σύνεστιν ἤτοι γ᾽ ὁ ἀμυδρὸς σφυγμὸς ἢ ὁ μέσος ἀμυδροῦ καὶ σφοδροῦ, ὁ μήτ᾽ ἀνατρέπων τὴν ἁφὴν μήτ᾽ ἀνατρεπόμενος ὑπ᾽ αὐτῆς, μεμνημένων γε ἡμῶν ὡς καθ᾽ ἕτερον τρόπον οὐδείς ἐστι μέσος ἀμυδροῦ καὶ σφοδροῦ· δηλοῦται δ᾽ ἐπικρατεῖν ἐν τῷ σώματι διάθεσις ἡ σκληρὰν ἀποτελοῦσα τὴν ἀρτηρίαν. τοῦτο δ᾽ ἐστὶν ἤτοι ξηρότης, ἢ πῆξις ὑπὸ ψύξεως, ἢ τάσις· ξηρότης μὲν ἐν τοῖς καυσωδεστάτοις πυρετοῖς, ὅταν κακοήθως χρονί-

marcoris quod Philippus senium ex morbo appellat. Nam non ex frigiditate torridus marcor, caeterum ex facultatis sola imbecillitate imbecillos pulsus et parvos creat. Separatur a priore motus velocitate et crebritate et duritie calorisque fervore. Verum de his non est hujus disputationis disserere, sed ad institutum revertor. Longus, angustus humilisque pulsus, quum longius a natura trinis dimensionibus discesserit, si talis citra duritiem appareat, a quibusnam procedat et quot causis abunde aperuimus. At ubi cum duritie conjunctus est, una jam hic adest vel languidus pulsus, vel medius inter languidum et vehementem, qui nec evertat tactum nec ab eo evertatur, ut memores simus nullum alioquin inter languidum et vehementem medium esse; declaratur autem in corpore is affectus esse qui reddit arteriam duram. Haec est siccitas, vel constrictio a frigore, vel tensio. Siccitas quidem in ardentissimis febribus, ubi maligne producuntur, et prae-

σωσιν, καὶ μάλιστα τῷ περιφρυγεῖ μαρασμῷ καὶ τισιν εἴδεσι μελαγχολικῶν τε καὶ τεταρταίων πυρετῶν· πῆξις δ' ἐκ ψύξεως ἐπί τε τοῦ ψυχροῦ πόσεσιν ἀκαίροις ἢ ἀμέτροις, ἢ λουτροῖς ὁμοίοις, ἐπί τε ταῖς ψυχούσαις ὀπώραις ἀκαίροις ἢ ἀμέτροις, ἢ ὅλως ὅσα τὸ ψυχρὸν φλέγμα γεννᾷν πέφυκεν ἱκανῶς, ὅν περ ὑαλώδη χυμὸν ὁ Πραξαγόρας ὀνομάζειν εἴωθεν· τάσις δὲ κατά γε τὰς σπασμώδεις διαθέσεις καὶ τὰς μεγάλας φλεγμονάς. ἐν δὲ τοῖς σκίῤῥοις καὶ πῆξις καὶ τάσις γίνεται τῶν ἀρτηριῶν. συμβαίνει δὲ τὸ τοιοῦτον ἐφ' ἥπατι μάλιστα καὶ σπληνί. ἐπὶ τούτοις γὰρ τοῖς σπλάγχνοις οἱ σφυγμοὶ σαφέστατα καὶ συνεχέστατα σκληροὶ φαίνονται, μάλιστα μὲν σκιῤῥουμένοις, ἤδη δὲ κἀν ταῖς μεγάλαις φλεγμοναῖς. ἀλλὰ τὰ μὲν τοιαῦτα πάθη καὶ διὰ τῆς ἁφῆς ἔστι γνωρίσαι καὶ δι' οὔρων καὶ διαχωρημάτων καὶ τοῦ χρώματος, ὅλου τε τοῦ σώματος καὶ τῆς γλώττης, ἤδη δὲ καὶ διὰ τῆς ἰδέας τῶν πυρετῶν· ὅσαι δ' ἄλλαι διαθέσεις τὸν σφυγμὸν σκληρὸν ἀποτελοῦσιν, αἱ μὲν ἐξ ἁμαρτημάτων προσφάτων ἐξαιφνίδιον ἴσχουσι τὴν γένεσιν, αἱ δ' ἄλλαι πᾶσαι κατὰ βραχύ. τὰ δ' ἁμαρτήματα τὰ τὰς τοιαύτας

cipue ex torrido marcore certisque melancholiae et quartanae febris generibus. Constrictio ex frigore fit per frigidae intempestivum potum et immodicum, vel per balneas similes, ex refrigerantibus item pomis intempestive ingestis vel praeter modum; denique ex iis quaecunque multum solent frigidae pituitae gignere, quem Praxagoras vitreum succum solet appellare. Tensio ex convellentibus affectibus et ingentibus inflammationibus. Ex scirrhis vero constrictio arteriarum atque tensio nascitur, quod quidem accidit potissimum ex jecinore et liene; ex his enim visceribus pulsus apertissime videntur et perpetuo duri, scirrho praesertim affectis, et vero etiam in magnis inflammationibus. Sed tactu ejusmodi affectus deprehendentur, et per urinas, et alvi excrementa, per universi corporis denique colorem et linguae; jam etiam per febrium genus. Qui porro alii corporis affectus pulsum creant durum, partim originem ex recentibus offensionibus repentinam trahunt, reliqui omnes pedetentim. Offensiones quae inducunt ejuscemodi

ἐργαζόμενα διαθέσεις οἴνου πόσις ἄκαιρός ἐστι καὶ ψυχροῦ, πολλάκις δὲ καὶ ὀπῶραι ψύχουσαι καὶ ψυχρὸν λουτρόν. διαγνώσῃ δὲ τὴν μὲν ἀπ' οἴνου βλάβην, ὅταν ἐξαιφνίδιον ὁ σφυγμὸς μὴ μόνον ᾖ σκληρὸς, ἀλλὰ καὶ μείζων καὶ θάττων γένηται καὶ σφοδρότερος, τὰς δὲ ἄλλας κοινῇ μὲν ἁπάσας οἴνου διακρινεῖς τῷ μήτε μέγεθος αὐταῖς προσγίνεσθαι μήτε σφοδρότητα μήτε τάχος, ἰδίᾳ δ' ἑκάστην ἔστιν ὅτε μὲν ἐπιφανεστέρως, ἔστιν ὅτε δὲ ἀμαυροτέρως τε καὶ στοχαστικωτέρως· ἐπιφανεστέρως μὲν, ὅταν καὶ σύμπτωμά τι συμπαρέπηται τῶν ὀπώραις ἕπεσθαι πεφυκότων, λέγω δὲ ἐμφύσωσιν γαστρὸς, ἢ δῆξιν διαφθαρέντων, ἢ θλῖψιν τινὰ κατὰ τὸν στόμαχον, ἢ παραφροσύνην, ὡς ἐπὶ ταῖς οἰνώδεσιν ὀπώραις, ἢ ἔμετον, ἢ διαχώρησιν ὑγροτέραν τε καὶ πλείονα. ταῦτα μέν γε οὐδὲ διὰ σημείων, ἀλλ' ἄντικρυς αὐτὴν τὴν οὐσίαν τῶν ἐδηδεσμένων ἐνδείκνυται. ὅταν δὲ μήτε τούτων τι παρῇ μήτε τῶν ἀπ' οἴνου σημείων, ὕδωρ ψυχρόν ἐστι τὸ τὴν βλάβην ἐργασάμενον ἤτοι ποθὲν ἢ οὐ προσηκόντως ἐν αὐτῷ λουσαμένοις. εἰς δὲ τὴν ἀσφαλεστέραν ἐπὶ τούτων ἁπάντων ἀπόφασιν οἱ τῶν φοβουμένων τε καὶ ἀγωνιώντων σφυγμοὶ μέγιστον γνώρισμα.

affectus ſunt vini potio intempeſtiva et frigidae, ſaepe etiam poma refrigerantia et frigidum balneum. Deprehendes noxam a vino illatam, quum ſubito pulſus non durus modo ſit, ſed major etiam et celerior et vehementior. Caeteras a vino in communi diſcernes, quod nec magnitudinem adjunctam nec vehementiam nec celeritatem habeant; ſingulas ſeorſum nunc clarius, nunc obſcurius et per conjecturam. Clarius, ubi ſymptoma aliquod conſequatur, quod pomis ſolet ſuccedere, inflatio ventris inquam, aut mordicatio corruptorum, aut ſtomachi aliqua compreſſio, aut delirium, ut a pomis vinoſis, aut vomitus, aut alvi dejectio humidior et largior. Haec ſcilicet non per ſigna, ſed ipſam aperte demonſtrant ſubſtantiam comeſtorum; quod niſi horum quid adſit, nec a vino ſignorum, aqua frigida eſt quae offendit vel pota vel intempeſtive in ipſa lotos. At vero ut haec ſecurius omnia confirmare poſſis, metuentium et angore correptorum pulſus magno indicio

Ed. Chart. VIII. [250. 251.] Ed. Baf. III. (124. 125.)

καὶ εἰ τοῖς εἰρημένοις ἔμπροσθεν ὕστερον ἐπά(125)γοις ἀεὶ τοῦτο, ὅτι ἠτάκτησεν ἡ νόσος, βεβαιοτέραν τε καὶ θαυμασιωτέραν ἐργάζεται τὴν πρόῤῥησιν, ὥστ' ἐνίοτε τοὺς ἀκούοντας ἀπιστεῖν καὶ νομίζειν οὐκ ἐκ τῶν σφυγμῶν εἰρῆσθαί τι τῶν τοιούτων, ἀλλ' ἐξαγγείλαντός τινος τῶν εἰδότων τὸ πλημμεληθὲν τῷ κάμνοντι. χρὴ δὲ προαψάμενον ἀκριβῶς τῶν σφυγμῶν, [251] εἶτα τὸ φανὲν ὑπὸ τῶν σημείων ἀποφηνάμενον ἅπτεσθαι πάλιν ἐπισκοπούμενον εἰ τετάρακταί πως ὁ κάμνων. εἰ μὲν γὰρ ὅλως μὴ ταραχθείη, σκόπει μή τινα τῶν προειρημένων γνωρισμάτων ἢ παρέλιπες, ἢ ὀρθῶς οὐκ ἐπεσκέψω· εἰ δὲ ταραχθείη καί σοι δόξειεν ἀγωνιᾷν, ἢ φοβεῖσθαι, μὴ παραχρῆμα πίστευε τῷ σημείῳ, πολλάκις γὰρ οὐχ ὑπὸ τοῦ συνειδέναι τοιοῦτόν τι πεποιηκόσιν ἑαυτοῖς οἱ κάμνοντες ἀγωνιῶσιν, ἀλλὰ φύσει πως ὄντες εὐπτόητοι. τούτοις μὲν ὀλίγον ὕστερον ὁ σφυγμὸς καθίσαται, τοῖς δὲ ὄντως ἐργασαμένοις εἰς ὅσον ἂν ἀποφαίνηταί τι περὶ αὐτοῦ, εἰς τοσοῦτον καὶ ὁ τοῦ φόβου σφυγμὸς ἴδιος ὑπάρχει. πάντα δὲ τὰ εἰρημένα νῦν ἁμαρτήματα τῶν καμνόντων ἤτοι τὰς φλεγμονάς,

funt. At fi prius dictis poftea hoc femper addas, aegrotum aliter ac praefcriptum fit feciffe, magis confirmatam praeftabis, et fufpiciendam praedictionem, ut fubinde fidem aftantes non habeant, nec ex pulfibus credant tale quid dictum effe, fed confciorum aliquem detuliffe aegroti peccatum. Tangendi autem accurate funt pulfus, deinde quod indicant figna, proferendum: ac tum denuo funt tangendi, animadvertendumque, ecquid aegrotus commotus fit. Qui fi omni fit perturbatione liber, vide nunquid commemoratorum fignorum aut omiferis, aut parum probe perpenderis. Si vero fit perturbatus atque videatur angi, vel vereri, cave mox figno adhibeas fidem; frequenter enim fit ut non, quo confcii fibi talis admiffi fint, angantur aegroti, fed quod ita fere fint comparati ut ftatim expavefcant; at his mox pulfus confiftit. Qui vero plane in culpa funt, quam tu diu de eo confirmes quicquam, tam diu metus proprius pulfus apparet. Atque peccata quae hactenus expofuimus omnia aut inflammationibus, aut fcirrhis,

ἢ τοὺς σκίῤῥους, ἢ τὰς ξηρότητας, ἢ τὰς διὰ τὴν ψύξιν πήξεις τῶν σπλάγχνων ἐπιτείνοντα τὴν ἀλλοίωσιν οἵαν εἰρήκαμεν ἐργάζεται· κατὰ δὲ τὴν τῶν νεύρων ἀρχὴν εἴ τι τούτων ἀποτελεσθείη, τὴν σπασμώδη διάθεσιν ἐργάζεται. καλῶ δ' ἐκείνας τὰς διαθέσεις ὅσαις ἐξ ἀνάγκης πρὸ τοῦ θανάτου σπασμῶδές τι γίνεται σύμπτωμα. καὶ ἀποθνήσκουσί γε οἱ τοιοῦτοι πάντες ἔτι θερμοὶ, ἔμπαλιν τοῖς συγκοπτομένοις. οὗτοι μὲν γὰρ ἱκανῶς ὄντες ἤδη ψυχροὶ ζῶσιν ἔτι· οἷς δ' ἡ σπασμώδης διάθεσίς ἐστιν ἐν τῇ τῶν νεύρων ἀρχῇ, νεκροὶ κείμενοι παντάπασιν ἐπιπλεῖστον διαμένουσι θερμοί. εἰσὶ μὲν τῶν τοιούτων ἁπάντων οἱ σφυγμοὶ τῷ γεγυμνασμένῳ τὴν ἀφὴν εὐθὺς ἐν τῇ πρώτῃ προσβολῇ τήν τε τάσιν ἐνδεικνύμενοι καὶ τὴν οἷον σπασμώδη κίνησιν ἐμφαίνοντες. εἰ δέ τισι τῶν τὸν προειρημένον ἐχόντων σφυγμὸν αἱ διαχωρήσεις γένωνται πολλαὶ, συμβαίνει δὲ τοῦτο μάλιστα κατὰ τοὺς σκίῤῥους τοῦ ἥπατος, οὐκ ἔτι τούτοις ὁ σφυγμὸς μακρός ἐστιν, ἀλλ' ἤτοι τῷ κατὰ φύσιν ἐν τῷ μήκει παραπλήσιος ἢ καὶ βραχύτερος ἔτι. καὶ μὴν καὶ τοῦτο περὶ ἁπάντων τῶν σκληρῶν τε ἅμα καὶ μικρῶν σφυγμῶν ἐπίστασθαι καλὸν, ὡς κλονώδεις

aut ficcitatibus, aut vifcerum per frigiditatem conftrictionibus augendis, alterationem quam diximus inducunt. Nervorum vero originem fi quid occupet tale, affectum convulfivum creat: fic appello illos affectus, qui ante mortem neceffario convulfionis aliquod habent fymptoma. Qui quidem moriuntur omnes etiam calidi, contra ac illi qui corripiuntur fyncope; hi enim vehementer etiam frigidi vivunt adhuc. Quibus vero nervorum propaginem occupavit convulfivus affectus, quum plane jam expiraverunt, diutiffime permanent calidi. Horum pulfus omnium ftatim primo occurfu exercitatis in tangendo tenfionem produnt, et motum veluti convulfivum detegunt. Quod fi quis, cui commemoratus pulfus eft, ab alvo plura dejiciat, id quod evenit ex jecinoris fcirrhis, non amplius hi habent pulfum longum, fed aut moderato affimilem longitudine, aut etiam breviorem. Jam hoc quoque in omnibus duris pulfibus pariterque parvis operae pretium eft noffe, citiffime vibratos eos

γίνονται τάχιστα, καὶ ὡς ὅσοι γ' οὐκ εἰσὶ κλονώδεις, ἤτοι δι' ἀῤῥωστίαν τῆς ζωτικῆς δυνάμεως, ἢ δι' ἔκλυσιν τῆς χρείας, ἢ δι' ἄμφω συνελθόντα τὴν τοιαύτην κίνησιν οὐ προλαμβάνουσιν. ὡς ὅταν γε καὶ ἡ χρεία δέηται μεγάλης διαστολῆς, καὶ ὁ τόνος ὁ ζωτικὸς ἐργάζεσθαι δύνηται, μόνον δ' ἀντιλέγῃ το σῶμα τῆς ἀρτηρίας, ὑπὸ σκληρότητος ἀδυνατοῦν εἰς μεγάλην ἐξαίρεσθαι διαστολὴν, ὁ κλόνος ἐν τῇ τοιαύτῃ καταστάσει γίνεται· ἄλλως δὲ ἀμήχανον γενέσθαι κλονώδη κίνησιν ἀρτηρίας. ὥστε καὶ ὁ προκείμενος σφυγμὸς ἄκλονος μὲν φαινόμενος ἢ ἀῤῥωστίαν ἐσχάτην τῆς δυνάμεως, ἢ τῆς χρείας μεγίστην ἔκλυσιν ἐνδείκνυται, κλονώδης δὲ γενόμενος εὐθὺς μὲν καὶ τόνου τι προειληφέναι δηλοῖ τὴν δύναμιν, εὐθὺς δὲ καὶ τὴν χρείαν τῆς τῶν σφυγμῶν γενέσεως οὐκ εἰς ἔσχατον ἐκλελύσθαι. καὶ μὲν δὴ καὶ μικρότητος οὐκ ἐπὶ πλεῖστον ἥκει, ὥσπερ ὁ προκείμενος σφυγμὸς ἥκειν ἐλέγετο. κατὰ δὲ τὸν αὐτὸν τρόπον εἰ καὶ χωρὶς κλόνου μακρότερος μὲν εἴη τοῦ κατὰ φύσιν ὁ σφυγμὸς, στενώτερος δὲ καὶ ταπεινότερος, οὐ μὴν ἐπὶ πλεῖστόν γε καθ' ἕκαστον αὐτῶν ἀποκεχωρηκὼς τοῦ κατὰ φύσιν, ἀλλ' ἐπ' ὀλίγον ἐπισκέπτεσθαι προσήκει, πότερα

effici; et qui vibrati non funt, vel ob vitalis facultatis imbecillitatem vel ob remiffionem ufus, vel amborum concurfum non recipere illos eum motum. Nam fiquidem ufus magnam diftentionem poftulet, facultasque vitalis efficere valeat, fed unum refragetur corpus arteriae, quod attolli in magnam diftentionem per duritiem nequeat, vibratio in eum ftatum incidit. Nulla praeterea ratione fiat arteriae vibratus motus. Quocirca hic pulfus, qui videtur vibratione vacare, aut extremam imbecillitatem facultatis, aut exolutionem ufus declarat maximam. At vibratus fi fit, contentionis continuo nonnihil annunciat facultatem obtinere, nec pulfuum ufum generandorum femel effe exolutum; nec vero devenit ad maximam parvitatem, ficuti diximus propofitum pulfum facere. Ad eundem modum, fi pulfus citra vibrationem longior jufto fit anguftiorque et humilior, non longiffime tamen a natura in fingulis his recefferit, fed aliquantum, attendendum eft durusne fit et non vibratus, aut

σκληρὸς ὢν οὐκ ἔτι κλονώδης, ἢ ὅλως οὐ μετέχει σκληρότητος. εἰ μὲν γὰρ σκληρὸς ὢν ἄκλονος εἴη, ψύξιν, ἢ ἀῤῥωστίαν δυνάμεως, ἢ τὸ συναμφότερον ἐνδείκνυται, διορίζεσθαι δ' ἐκ τῶν παρεπομένων· ὅτῳ μὲν γὰρ ἐπὶ καταψύξει μόνη τοιοῦτος ὁ σφυγμός ἐστιν, εὐθὺς καὶ βραδύτης αὐτῷ καὶ ἀραιότης συνυπάρχει· ὅτῳ δ' ἐπ' ἀσθενείᾳ δυνάμεως, ἡ ἀμυδρότης ἀχώριστος. ἀλλ' εἰ μὲν τὰ τῆς χρείας ἄτρεπτα διεφυλάττετο, τοσούτῳ τοῦ κατὰ φύσιν ὁ σφυγμὸς ἔσται θάττων τε καὶ πυκνότερος ὅσον ἡ μικρότης ἐξετράπετο τοῦ συμμέτρου. εἰ δ' ὅσῳ περ ἡ δύναμις ἀῤῥωστοτέρα, τοσούτῳ καὶ ἡ τῆς χρείας ἔκλυσις, ὅμοιος τῷ κατὰ φύσιν ὁ σφυγμὸς φανεῖται κατ' ἀμφοτέρας τὰς διαφορὰς [252] καὶ οὔτε θάττων οὔτε βραδύτερος, οὔτε πυκνότερος οὔτε ἀραιότερος· εἰ δὲ θάτερον ὑπερέχει, κατὰ τὴν τῆς ὑπεροχῆς ἀναλογίαν, ὡς ἔμπροσθεν εἴρηται. εἰ δὲ ἅμα τε σκληρὸς εἴη καὶ κλονώδης, τὰς μὲν αὐτὰς ἐνδείξεται διαθέσεις ἀφ' ὧν ἔμπροσθεν ἐλέγομεν ἀποτελεῖσθαι τὸν σκληρὸν σφυγμόν, οὐ μὴν οὔτε ἄτονον, ὡς ἐπ' ἐκείνων τὴν δύναμιν, οὔτε ἐκλελύσθαι τὴν χρείαν· εἰς ὅσον δὲ ἑκάτερον αὐτῶν βεβλαμμένον, ἐπὶ μὲν τῆς δυνάμεως ἡ κατὰ

plane duritie liber fit; si enim durus sit, sed absque vibratione, frigiditatem, vel facultatis imbecillitatem indicat, vel utramque simul. Haec discernito ex consequentibus; nam cui talis pulsus ex sola refrigeratione fit, statim adjunctam tarditatem habet raritatemque; cui ex imbecillitate facultatis, sociam sibi remissionem habet. Quod si jam usus constet immotus, tanto erit pulsus celerior naturali et crebior quantum a modo deflexerit parvitas. Sin autem quo facultas sit imbecillior, eo exolutior usus sit, pulsus esse similis in utraque differentia moderato videbitur, nec celerior, nec tardior, vel crebrior, vel rarior; at si excedat alterum, pro excessus ratione, sicut ante est dictum, si vero simul et durus et vibratus sit, significabit eosdem affectus a quibus diximus supra durum pulsum constitui, verum non imbecillam facultatem tamen, ut in illis, neque exolutum usum. Quanta vero utriusque sit noxa in facultate, declarabit ve-

σφοδρότητά τε καὶ ἀμυδρότητα δηλώσει διαφορὰ σὺν τῷ ποσῷ τοῦ κλόνου, ἐπὶ δὲ τῆς χρείας ἡ κατὰ τάχος τε καὶ πυκνότητα, κἀνταῦθα σὺν τῷ ποσῷ τοῦ κλόνου, τὰ δ᾽ ἄλλα ἐκ τῶν προειρημένων συντεκμαίρεσθαι· ὡσαύτως δὲ κἂν μήτ᾽ ὀλίγῳ μήτε πολλῷ τοῦ κατὰ φύσιν ἐξίστηται κατὰ τὰς τρεῖς διαφορὰς, ἀλλὰ μετρίως πως καὶ μέσως, ἐκ τῶν εἰρημένων διαιρεῖσθαι. πολλάκις δ᾽ ἐπὶ τῶν τοιούτων σφυγμῶν, λέγω δὲ τῶν ὀλίγῳ τινὶ τοῦ κατὰ φύσιν εἰς μῆκός τε καὶ στενότητα καὶ ταπεινότητα τὴν μεταβολὴν ἐσχηκότων, οὐ μόνον οὐδέν τι φαίνεται σκληρότητος, ἀλλὰ καὶ μαλακότης αὐτοῖς σύνεστιν ἐπιφανής. καὶ γίνεται μὲν καὶ τῇδε διὰ τὰς αὐτὰς κατὰ γένος αἰτίας, ἐξαλλάττεται δὲ τῷ ποσῷ καθ᾽ ἑκάστην. εἴτε γὰρ διὰ τὴν τῆς δυνάμεως ἀσθένειαν ἐλάττων ὁ σφυγμὸς ἀποτελοῖτο τοῦ συμμέτρου, μείζων ἡ βλάβη δηλοῦται τῆς δυνάμεως, εἴτε διὰ τὴν τῆς χρείας ἔκλυσιν, ἐπιπλέον ἥκειν καὶ ταύτην κακώσεως. εἰς ὅσον γὰρ ἡ μαλακότης τοῦ χιτῶνος ἑτοιμοτέρα πρὸς τὸ μέγεθος τῆς διαστολῆς ἐστιν, εἰς τοσοῦτο τὴν μικρὸν ἐργαζομένην τὸν σφυγμὸν αἰτίαν ἐπιτετάσθαι δηλώσει. τῆς μὲν οὖν κατὰ τὴν δύναμιν ἀῤῥωστίας τὸ ποσὸν

hementiae et remiffionis differentia, una cum quantitate vibrationis, in ufu vero differentia celeritatis et crebritatis cum vibrationis item quantitate. Reliqua ex ante dictis etiam conjicito. Haud aliter fi non paulum, nec multum tribus differentiis a natura recedat, fed fic mediocriter et modice ex dictis difcrimina notato. At faepe in eiufcemodi pulfibus, iis dico qui exiguam a natura in longitudinem, anguftiam et humilitatem habent mutationem, non modo nihil animadvertitur duritiei, verum mollitie etiam praediti funt infigni, id quod et huic accidit ob easdem genere caufas: variatur autem quantitate in fingulis. Sive enim propter facultatis imbecillitatem minor moderato pulfus fiat, facultatis oftenditur major offenfio; five propter exolutionem ufus, majus et hujus effe vitium, quo enim tunicae mollities ad diftentionis magnitudinem eft promptior, hoc caufam quae moliatur parvum pulfum declarabit effe majorem. Sane imbecillitas facultatis quam fit magna, fatis

αὐτάρκως ἐδηλοῦτο διὰ τοῦ ποσοῦ τῆς ἀμυδρότητος· ἐξ ἐπιμέτρου δ' ἂν εἴη καὶ τὸ νῦν εἰρημένον. ἡ δὲ τῆς χρείας ἔκλυσις εἰς ὅσον ἥκει κακώσεως ἐκ μόνων τῶν εἰρημένων σημείων εὑρίσκεται, περὶ ὧν εἰρήσεταί τι καὶ διὰ τῶν ἐφεξῆς, ὅταν ἐπιπλέκωμεν ἀλλήλοις τὰ γένη τῶν σφυγμῶν. νυνὶ γὰρ οὐ τοῦθ' ἡμῖν τὸ προκείμενον, ἀλλὰ περὶ τοῦ κατὰ τὸ ποσὸν τῆς διαστολῆς ἐγχειρήσαντες λέγειν ἠναγκάσθημεν ἐφάψασθαι καὶ τῶν ἄλλων. αὖθις οὖν ἐπὶ τὸ προτεθὲν ἐξ ἀρχῆς ἐπανέλθωμεν, ἐπὶ τὰ λοιπὰ γένη μεταβαίνοντες. οὐδὲν γὰρ οἶμαι δεῖν ἔτι τοὺς ἄλλους ὁμοίως ἐπανέρχεσθαι σφυγμοὺς ἐκ τοῦ διαγράμματος, ἀλλὰ κατὰ τὴν αὐτὴν μέθοδον ἣν νῦν ἐπὶ τοῦ μακροῦ καὶ στενοῦ καὶ ταπεινοῦ πεποιήμεθα, καὶ περὶ τῶν ἄλλων ἑκάστου διορίζεσθαι, πρῶτον μὲν ἀποχωρίζοντας ὅσα διὰ τὴν τοῦ σώματος σχέσιν ἐξαλλάττονται κατὰ μῆκος, ἢ πλάτος, ἢ βάθος, ὡς μὴ μεγάλοι μόνον, ἢ μικροὶ φαίνεσθαι· δεύτερον δὲ τὰς αἰτίας ἐπισκεπτομένους δι' ἃς ἤτοι μείζονες τοῦ κατὰ φύσιν ἢ μικρότεροι γίνονται. περὶ μὲν δὴ τοῦ

ex quantitate remiffionis apparebat; huc cumulus acceffit quod nunc diximus. At ufus exolutio in quantum inciderit vitium, ex folis quae diximus fignis invenitur; de quibus dicemus etiam inferius nonnihil, ubi connectemus mutuo pulfuum genera, in praefentia enim hoc non inftituimus, fed quum exponere de genere quantitatis diftentionis coepiffemus, fimul alia attingere fumus coacti. Quare redeamus ad primum inftitutum, ac ad reliqua genera tranfeamus, neque enim quod alios item ex tabella pulfus percurramus, caufam arbitror ullam effe; verum eadem ratione et via quam inftituimus in longo, angufto et humili, reliquos fingulos explorabimus. Ac primum removebimus qui propter corporis habitudinem longitudine, vel latitudine, vel profunditate variant, ut non magni tantum, vel parvi videantur, deinde caufas confiderabimus per quas aut jufto majores fiunt, aut minores. Atque de genere pulfuum

κατ' τὸ ποσὸν τῆς διαστολῆς γένους τῶν σφυγμῶν αὐτάρκως εἴρηται πρός γε τὰ (126) παρόντα.

Κεφ. ε'. Περὶ δὲ τῆς εἰς τάχος τε καὶ βραδύτητα μεταβολῆς αὐτῶν, ὅπερ ἰδιαίτατόν ἐστι γένος αὐτῆς τῆς κινήσεως τῶν ἀρτηριῶν, ἑξῆς ἂν εἴη ῥητέον. ἀρκτέον δὲ κἀνταῦθα πάλιν ἀπὸ τοῦ διαστείλασθαι τὴν ὁμωνυμίαν. λέγεται δὴ ταχὺς σφυγμὸς ὁ μὲν ὡς πρὸς τὸν σύμμετρον, ὁ δὲ ὡς πρὸς ὀντιναοῦν τὸν ἐπιτυχόντα. καὶ μὲν δὴ καὶ αὐτὸς ὁ σύμμετρος ὁ μὲν ἁπλῶς ἐστιν ὁ κατὰ τὴν ἀρίστην δηλονότι φύσιν, ὁ δὲ καθ' ἕκαστον ἄνθρωπον ἀμέμπτως ὑγιαίνοντα. κρίνεται δ' οὗτος ἐν τῇ πρὸς τὸν ἁπλῶς σύμμετρον παραβολῇ, καὶ διδάσκει τὴν κρᾶσιν ὁποία τίς ἐστιν. ὁ μὲν οὖν θάττων θερμοτέραν, ὁ δὲ βραδύτερος ψυχροτέραν ἐνδείκνυται τὴν κρᾶσιν. οὐ μὴν εὑρεῖν γ' ἀκριβῶς ἔστι μόνην εἰς τάχος καὶ βραδύτητα μεταβολὴν οὔτ' ἐν τοῖς κατὰ φύσιν οὔτ' ἐν [253] τοῖς οὐ κατὰ φύσιν ἔχουσι σώμασιν. ὁ γὰρ θερμότερος τῆς ἁπλῶς συμμέτρου κράσεως εἰ θάττονα φαίνοιτο τὸν σφυγμὸν ἔχων, ἐξ ἀνάγκης αὐτὸν ἔχει μείζονα,

quidem quod confiftit in quantitate diftentionis fatis in praefentia.

Cap. V. Pofthac de illorum in celeritatem et tarditatem mutatione, quod ipfius motus elt arteriarum genus in primis proprium, agemus. Porro fumendum hic quoque eft ad diftinguenda homonyma initium. Nam dicitur celer pulfus nunc ut cum moderato comparatur, nunc ut cum quolibet alio. Praeterea ipfe ille moderatus interdum abfolute dicitur, quem in optima confpicimus natura; interdum de unoquoque homine qui inculpata fit fanitate. Hic ex comparatione abfolute moderati exiftimatur, docetque quodnam fit temperamentum; ac celerior quidem calidius, tardior frigidius declarat temperamentum. Verum folam plane non eft invenire mutationem in celeritatem et tarditatem nec in fanis nec in affectis corporibus; nam qui calidiore eft temperamento quam fimpliciter moderatus, fi pulfum habere videatur celeriorem, eum habet ne-

ὅ τε τοῦ κατὰ φύσιν ἑαυτοῦ σφυγμὸν κατά τινα καιρὸν ἔχων θάττονα καὶ μείζονα πάντως ἔχει. οὐ μὴν πυκνότερός γε οὐδέτερος αὐτῶν ἐξ ἀνάγκης. ἐν γὰρ τῷ παραύξεσθαι τὴν θερμασίαν ἐπὶ πλέον ἡ πυκνότης αὐτοῖς προσγίνεται. τῷ τάχει τοίνυν ἐνίοτε μὲν καὶ τὸ μέγεθος, ἔστι δ' ὅτε καὶ ἡ πυκνότης σύνεστι, ὥσπερ αὖ πάλιν ἐνίοτε πυκνότης μόνον, ὅταν ἀπολιπόντες τινὰ τὴν ἐνδεχομένην ἐν ἐκείνῳ τῷ καιρῷ μεγίστην διαστολὴν ἔχοντα, μετὰ ταῦτ' ἐπανελθόντες εὕρωμεν ἴσον μὲν τὸ μέγεθος, ἐπιτεταμένον δὲ τὸ τάχος. ἐξ ἀνάγκης γὰρ τῷ τοιούτῳ καὶ ἡ πυκνότης συνεπιτέταται. εἰ δὲ ἐκλελυμένην τὴν χρείαν τῶν σφυγμῶν ἔχοντά τινα καταλιπόντες ἐπανελθόντες εὕροιμεν εἰς τάχος ἐπιδεδωκότα τὸν σφυγμὸν, οὐδὲ τότε μόνον εἰς τάχος ἐπέδωκεν, ἀλλὰ καὶ εἰς πυκνότητα μὲν πάντως ἐγχωρεῖ καὶ εἰς μέγεθος, ἐπειδή περ ἡ τῆς χρείας ἔκλυσις εἰς ἀραιότητα μὲν ἐναργέστερον, ἐφεξῆς δὲ εἰς βραδύτητα, καὶ τρίτον εἰς μικρότητα τρέπει τὸν σφυγμόν. οὕτω δὲ καὶ αἱ εἰς βραδύτητα μεταβολαὶ τῶν σφυγμῶν αἱ μὲν ἐκ τοῦ κατὰ φύσιν εὐθὺς καὶ εἰς ἀραιότητα τρέπονται, πολλάκις δὲ καὶ εἰς μικρότητα, ὅταν ἐπιπλέον ἡ χρεία μεμείωται·

ceſſario etiam majorem; et cui pulſus eſt aliqua occaſione ſolito celerior, omnino etiam major eſt. Neuter tamen eſt horum neceſſario crebrior, ſiquidem crebritas illis ubi calor cumulatur copioſior accedit. Itaque cum celeritate modo magnitudo, modo etiam crebritas conjuncta eſt, atque etiam interdum ſola crebritas, quum aliquem praetereuntes, qui maximam quae eo tempore contingat diſtentionem obtineat, deinde reverſi parem offendamus magnitudinem, ſed celeritatem majorem, huic enim ſimul crebritatem neceſſe eſt increviſſe. Quod ſi quem relinquamus qui uſum habeat pulſuum exolutum, ac reverſi in celeritatem pulſum inveniamus auctum, tum non auctus tantum celeritate eſt, ſed et crebritate plane et magnitudine, quandoquidem uſus exolutio in raritatem clarius, deinde in tarditatem, poſtea in parvitatem, pulſum convertit. Et item quoque mutationes in parvitatem pulſuum partim ex moderato ſtatim in raritatem ſimul mutantur, ſubinde etiam in parvitatem, ubi

αἱ δ' ἐκ τῶν οὐ κατὰ φύσιν καταστάσεων αἱ μὲν ἐπὶ παρηυξημένῃ τῇ χρείᾳ, πολλάκις μὲν μετα τῆς εἰς μικρότητα τροπῆς, ἔστι δ' ὅτε μετὰ τῆς ἀραιότητος, καί ποτε μετὰ τῆς εἰς ἀμφότερα· αἱ δ' ἐπὶ μεμειωμένῃ τῇ χρείᾳ μεταβολαὶ τῶν σφυγμῶν εἰς βραδύτητα μετὰ ἀραιότητός τε καὶ μικρότητος γίνονται. αὗται μὲν αἱ πρῶταί τε καὶ ἁπλούσταται τροπαὶ τῶν σφυγμῶν εἰς τάχος καὶ βραδύτητα, καὶ τούτων αἰτίαι προηγούμεναί τε καὶ προκατάρχουσαι κατὰ τὸν αὐτὸν τρόπον εὑρισκόμεναι ταῖς ἐπὶ μεγέθους τε καὶ μικρότητος εἰρημέναις. αἱ δ' ἐπίμικτοί τε καὶ σύνθετοι τροπαὶ μετὰ σφοδρότητός τε καὶ ἀμυδρότητος ἢ μαλακότητος συνίστανται. περὶ ὧν καὶ αὐτῶν ἐπισκέπτεσθαί τε καὶ διορίζεσθαι προσήκει κατὰ τὴν αὐτὴν μέθοδον, ἣν ἐν τῷ περὶ τοῦ μακροῦ καὶ στενοῦ καὶ ταπεινοῦ λόγῳ διήλθομεν, ἕνεκα τοῦ γνῶναι διὰ τίνα τὴν αἰτίαν εἰς τάχος ἢ βραδύτητα τὴν ἀλλοίωσιν ὁ σφυγμὸς ἐποιήσατο. δυνατὸν μὲν γάρ ἐστιν, ὡς εἴρηται, διὰ τὴν χρείαν ἐπιταθεῖσαν εἰς τάχος ἐπιδοῦναι τὸν σφυγμὸν, οὐκ ἀδύνατον δὲ καὶ διὰ τὴν μαλακότητα τῆς ἀρτηρίας καὶ τὴν ἰσχὺν τῆς δυνάμεως. ἀλλ' ὅταν

amplius usus fit imminutus; partim ex ftatibus non naturalibus nunc aucto ufu, faepe una cum mutatione in parvitatem, interdum cum raritate, nonnunquam cum mutatione in utramque, nunc diminuto ufu mutationes fiunt pulfuum in tarditatem cum raritate et parvitate. Habes primas et fimpliciffimas pulfuum mutationes in celeritatem et tarditatem, harumque caufae antecedentes et externae eadem inveniuntur ratione atque illae quas de magnitudine et parvitate expofuimus. Mixtae vero mutationes atque compofitae cum vehementia et remiffione, vel duritie, vel mollitie conftant. Quae etiam examinandae funt atque difcernendae eadem via rationeque, quam quum de longo, angufto et humili difputaremus, declaravimus, quo cognofcamus quae caufa fit quamobrem in celeritatem, vel tarditatem pulfus variavit; poteft enim, uti diximus ob ufum auctum pulfus in celeritatem creviffe; poteft etiam ob mollitiem arteriae et facultatis robur. Sed enim quum non

μὲν ἄτρεπτος ᾖ κατὰ μαλακότητα καὶ σκληρότητα καὶ σφοδρότητα καὶ ἀμυδρότητα, διὰ τὴν χρείαν μόνην ᾖ ἀλλοίωσις· ὅταν δὲ καὶ μετὰ τούτων τινὸς, ἐπισκέπτεσθαί τε καὶ διορίζεσθαι προσήκει τὸ ἐπικρατοῦν αἴτιον, ὡς ἔμπροσθεν ἐδείκνυμεν, οἷον εὐθέως εἰ μετὰ τοῦ θάττων εἶναι μαλακώτερος φαίνοιτο, προσήκει σκοπεῖσθαι πότερον τοσούτῳ θάττων ὅσῳ μαλακώτερος, ἢ πλέονι. εἰ μὲν γὰρ ὅσῳ περ μαλακώτερος τοσούτῳ καὶ θάττων, ἐπὶ τῇ μαλακότητι μόνῃ τὴν ἀλλοίωσιν ἔσχεν· εἰ δὲ πλέονι θάττων ἢ μαλακώτερος, οὐκ ἐπὶ τῇ μαλακότητι μόνον, ἀλλὰ καὶ διὰ τὴν χρείαν ἐπιταθεῖσαν. εἰ δ' αὖ πλέονι μαλακώτερος ἤπερ θάττων, ὅσῳ πλέονι μαλακώτερος, τοῦτ' ἐκ τῆς κατὰ μόνην τὴν χρείαν ἐκλύσεως ἀφῃρέθη. κατὰ δὲ τὸν αὐτὸν τρόπον εἰ μετὰ τοῦ θάττων γενέσθαι καὶ σφοδρότερος γένοιτο, σκεπτέον εἰ τοσούτῳ θάττων ὅσῳ σφοδρότερος. οὕτω μὲν γὰρ ἂν ἡ ῥώμη μόνη τῆς δυνάμεως τοῦ τάχους αἰτία εἴη. εἰ δ' ἔλαττον σφοδρότερος ἤπερ θάττων, ὅσῳ θάττων, τοῦτ' ἐκ τῆς χρείας αὐξηθείσης προσῆλθεν. εἰ δὲ πλέονι σφοδρότερος ἤπερ θάττων, οὐχ ἡ ῥώμη τῆς δυνάμεως μόνον, ἀλλὰ καὶ ψύξις τις ἠλλοίωσε τοὺς

diverfus fit mollitie, duritie, vehementia, remiffione, folus mutationem ufus induxerit; at fi cum horum aliquo, caufa inquirenda et exploranda praepollens eft, ficut ante declaravimus. Exempli gratia fi fimul et celerior effe et mollior videatur, animadvertendun eft tantone celerior fit quanto mollior, an magis. Nam fi quanto eft mollior, tanto etiam celerior fit, alterationem a fola mollitie mutuavit; fin multo celerior quam mollior, non a mollitie tantum, fed et ab ufu aucto; contra fi multo mollior quam celerior, quanto mollior eft tantum detraxit folius ufus exolutio. Ad hunc modum fi pariter celerior et vehementior fit, num tanto celerior fit quanto vehementior, confiderandum eft, ita enim celeritatis folum facultatis robur caufa fit; fin celerior quam vehementior, quo celerior eft, hoc de ufu aucto accepit; at fi vehementior multo quam celerior, non robur tantum facultatis, fed etiam frigiditas

σφυγμούς. εἰ δὲ θάττων τε ἅμα καὶ μαλακώτερος καὶ σφοδρότερος [254] φαίνοιτο, ἱκανῶς γεγυμνασμένου δεῖται, γνωσομένου πότερον τοσούτῳ θάττων ἐστὶ τοῦ κατὰ φύσιν ὅσον ἐξ ἀμφοῖν τῶν αἰτίων ἐγένετο, τῆς τε μαλακότητος καὶ τῆς εὐτονίας, ἢ οὐ τοσούτῳ. εἰ μὲν γὰρ τοσούτῳ, δι᾽ ἐκεῖνα μόνα τὴν ἀλλοίωσιν ἔσχεν· εἰ δὲ πλέονι, καὶ διὰ τὴν τῆς χρείας ἐπίτασιν· εἰ δ᾽ ἐλάττονι, καὶ διὰ τὴν τῆς χρείας ἔκλυσιν. οὕτω δὲ κἀπὶ τῆς εἰς βραδύτητα τροπῆς τῶν σφυγμῶν ἐπισκεπτέον εἴτε διὰ τὴν χρείαν μόνην ἐκλυθεῖσαν, εἴτε δι᾽ ἀῤῥωστίαν τῆς δυνάμεως, εἴτε διὰ σκληρότητα τῶν ὀργάνων ἡ ἀλλοίωσις ἐγένετο. διὰ μὲν οὖν τὴν χρείαν μόνην εὔλογον ἠλλοιῶσθαι τὸν σφυγμὸν, ὅταν μήτε σκληρότερος εὑρίσκηται μήτ᾽ ἀτονώτερος· διὰ δὲ τὴν ἀῤῥωστίαν τῆς δυνάμεως, ὅταν ὅσῳ περ ἀμυδρότερος, τοσούτῳ καὶ βραδύτερος. οὕτω δὲ καὶ διὰ τὴν σκληρότητα τῶν ὀργάνων, ἐπειδὰν ὅσῳ σκληρότερος τοσούτῳ καὶ βραδύτερος. εἰ μέντοι φαίνοιτο πλέονι τοῦ συμμέτρου βραδύτερος, ἐλάττονι δ᾽ ἀμυδρότερος, ἐξ ἀτονίας τε καὶ καταψύξεως ἐγένετο τοιοῦτος. καὶ τό γε δυναστεῦον ἐν αὐτῷ τῶν αἰτίων εὑρήσεις ἐκ τῆς πρὸς τὸν

aliqua alteravit pulfus. Si jam celerior fimul et mollior vehementiorque appareat, fingulari experientia opus eft cognituro, utrum tanto celerior fit moderato, quanta ex ambabus caufis facta acceffio eft, ex mollitie et contentione, an non tanto. Nam fi tanto, ob illa fola eft immutatus; fi magis, acceffit incrementum ufus; fin minus, etiam propter ufum exolutum. Eadem ratio in pulfuum mutatione in tarditatem ineunda eft, ex ufune dumtaxat exoluto, an ex imbecillitate facultatis, an ex duritie inftrumentorum orta alteratio fit. Ac ob ufum folum variatum fuiffe probabile eft pulfum, fi quando nec durior nec imbecillior inveniatur, ob facultatis infirmitatem, ubi quanto languidior fit, tanto etiam tardior, atque ob duritiem item inftrumentorum, quum tanto fit tardior quanto durior. Sin autem multo tardior moderato videatur quam languidior, in eum ftatum ex imbecillitate et frigiditate incidit, caufamque in eo exu-

κατὰ φύσιν τε καὶ σύμμετρον παραβολῆς. εἰ μὲν γὰρ ἡ ἀμυδρότης ἀριθμοῖς εἰ τύχοι πέντε τοῦ κατὰ φύσιν ἐξίστασθαι φαίνοιτο, πέντε καὶ δέκα ἀριθμοῖς ἡ βραδύτης, ἐπικρατεῖν ἐν τῇ τοῦ τοιούτου σφυγμοῦ γενέσει τὸ ψυχρὸν αἴτιον, οὐ τὴν ἀτονίαν τῆς δυνάμεως αἰτίαν ὑποληπτέον· εἰ δὲ πεντεκαίδεκα μὲν ἀριθμοῖς ἡ βραδύτης φαίνοιτο, δέκα δ' ἀριθμοῖς ἡ ἀμυδρότης, ἡ ἀτονία πλέον ἐν τῇ τοῦ σφυγμοῦ γενέσει δύναται τῆς ψυχρότητος· εἰ δ' ἐλάττονι μὲν εἴη βραδύτερος, ἀμυδρότερος δὲ πλέονι, διά τε τὴν ἀτονίαν τῆς δυνάμεως καὶ προσέτι θερμότητα τοιοῦτος ἐγένετο. καὶ τό γε μέγεθος ἑκατέρου τῶν αἰτίων ἐκ τῆς κατὰ τὴν ἀναλογίαν ὑπεροχῆς εὑρήσεις, μεμνημένων ἡμῶν ὡς ἅπαντα ταῦτα λέγεται τῆς ἐπικτήτου κινήσεως ἀφωρισμένης. ὡσαύτως δὲ κἀπειδὰν εἰς βραδύτητα τῆς τροπῆς γενομένης εὑρίσκηταί τις σκληρότης, ἐπισκεπτέον εἴθ' ὑπὸ μόνης τῆς σκληρότητος ἡ ἀλλοίωσις, εἴθ' ὑπ' ἀμφοῖν ἐγένετο. εἰ μὲν γὰρ ὅσῳ περ ὁ σφυγμὸς βραδύτερος ἐγένετο τοσούτῳ καὶ σκληρότερος φαίνοιτο, διὰ τὴν σκληρότητα μόνην ἡ ἀλλοίωσις, εἰ δὲ πλέονι βραδύτερος

perantem ex collatione reperies ad naturalem et moderatum. Si enim numeris forte quinque de natura remiffio deflectere videatur et quindecim tarditas, praeftare in eo pulfu conftituendo frigidam caufam, non imbecillitatem facultatis effe caufam dicendum eft. Sin quindecim tarditas numeris appareat, decem autem remiffio, in hujus pulfus conftitutione frigiditatem excedit imbecillitas. Si vero minori exceffu fit tardior, majori vero fit languidior, ex facultatis imbecillitate et calore quoque is natus fit. Ac magnitudinem quidem utriusque caufae ex proportionis exceffu invenies. Atque hoc memoria tenendum eft, haec omnia dici amoto afcititio motu. Pari modo, ubi cum mutatione in tarditatem invenitur aliqua durities, attendendum eft, ex fola duritie mutatio, an ex ambabus, incidat. Si enim quanto tardior fit pulfus tanto etiam videatur durior, alterationis fola durities caufa eft; fi vero multo tar-

ἤπερ σκληρότερος, οὐ διὰ τὴν σκληρότητα μόνην, ἀλλὰ καὶ διὰ τὴν (127) ψύξιν. εὑρήσεις δὲ κἀνταῦθα τὸ ἰσχυρότερον αἴτιον, ὡς ὀλίγον ἔμπροσθεν εἴρηται. εἰ δὲ πλέονι μὲν εἴη σκληρότερος, ἐλάττονι δὲ βραδύτερος, οὐ διὰ τὴν σκληρότητα μόνον, ἀλλὰ καὶ διὰ τὴν θερμότητα τοιοῦτος ἐγένετο. γνώσῃ δὲ κἀνταῦθα τὸ μέγεθος ἑκατέρου τῶν αἰτίων ἐκ τῆς κατὰ τὴν ἀναλογίαν ὑπεροχῆς. εἰ δὲ βραδύτερός τε ἅμα καὶ σκληρότερος καὶ ἀμυδρότερος εἴη, γεγυμνασμένου κἀνταῦθα χρεία τοῦ γνωσομένου, πότερον τοσούτῳ βραδύτερός ἐστι τοῦ κατὰ φύσιν ὅσον ἐξ ἀμφοῖν τῶν αἰτίων ἐγένετο, τῆς ἀτονίας τε καὶ σκληρότητος, ἢ οὐ τοσούτῳ. εἰ μὲν γὰρ τοσούτῳ, δι᾽ ἐκεῖνα μόνα τὴν ἀλλοίωσιν ἔσχεν· εἰ δὲ πλέονι, καὶ διὰ τὴν τῆς χρείας ἔκλυσιν· εἰ δ᾽ ἐλάττονι, καὶ διὰ τὴν τῆς χρείας ἐπίτασιν.

Κεφ. ϛ΄. Ἐπεὶ δὲ καὶ περὶ τούτων αὐτάρκως εἴρηται πρός γε τὰ παρόντα, βραχύ τι τὸν λόγον ἐπιστήσαντες ἐνταῦθα πρὶν ἐπ᾽ ἄλλο τι μεταβῆναι γένος εἴπωμέν τινα πρός τε τὰ προειρημένα καὶ πρὸς τὰ μέλλοντα

dior quam durior, non modo durities, verum etiam frigiditas, atque invenias ad eundem modum hic fortiorem cauſam atque declaratum eſt paulo ante. At ſi magis ſit durior quam tardior, non nomine duritiei tantum, verum caloris etiam, talis evaſit; ac vero hic quoque ex proportionis exceſſu perſpicies cauſae utriusque magnitudinem. Jam vero ſi tardior ſimul et durior ſit atque languidior, exercitatum hic quoque oportet eſſe, qui ſit perſpecturus, an tanto tardior ſit moderato, quantum acceſſit ex utrisque cauſis, imbecillitate et duritie, necne. Etenim ſi tanto, ob illas eſt ſolas mutatus; quod ſi magis, adjuncta jam eſt uſus exolutio, ſi minus, etiam propter uſus incrementum.

Cap. VI. Quum vero jam ſatis de his tractaverimus, quod ad hunc locum attinet, hic diſputationem aliquantisper ſiſtamus, ac prius quam aliud genus in manus ſumamus, quaedam faciamus ut commemoremus et ad ſuperiorem

λεχθήσεσθαι χρήσιμα. τεττάρων γὰρ οὐσῶν γενικῶν διαφορῶν ἐν τῷ διαστέλλεσθαι τὴν ἀρτηρίαν, πρώτης μὲν οἰκειοτάτης τοῖς σφυγμοῖς τῆς κατὰ τὸ ποιὸν τῆς κινήσεως, δευτέρας δὲ τῆς κατὰ τὸ ποσὸν τῆς διαστολῆς, ἡμεῖς καὶ νῦν [255] κἀν τῷ πρώτῳ περὶ τῆς διαφορᾶς τῶν σφυγμῶν οὐ τῆς κυριωτέρας διαφορᾶς ἐμνημονεύσαμεν, ὅτι χαλεπωτέραν ἔχει τὴν διάγνωσιν, ἀλλὰ τῆς τοῖς εἰσαγομένοις διαγνωσθῆναι σαφεστέρας καὶ διὰ τοῦτο καὶ δηλῶσαί τι χρησιμωτέρας. ὑπάρχει δ' αὐτῇ καὶ τοῦτ' ἴδιον ἐξαίρετον, ὅπερ οὐδεμιᾷ τῶν ἄλλων, τὸ φαίνεσθαι μὲν ἑπτὰ καὶ εἴκοσι διαφορὰς σφυγμῶν ἐν αὐτῇ, κατ' ἀλήθειαν δ' εἶναι τρεῖς. ἐν γὰρ τοῖς ἄλλοις ἅπασι γένεσιν ὅσαι πέρ εἰσιν αἱ διαφοραὶ φύσει, τοσαῦται καὶ φαίνονται. λοιπὰ δὲ ἄλλα δύο γένη σφυγμῶν ἐστι κατὰ τὴν διαστολὴν, τὸ μὲν ἕτερον ἐνδεικτικὸν τῆς δυνάμεως, τὸ δὲ ἕτερον τοῦ χιτῶνος τῆς ἀρτηρίας, ἔσχατόν τε καὶ ὡς ἂν φαίη τις οὐκ οἰκεῖον οὐδὲ συγγενὲς, ἀλλ' ἐπίκτητον γένος σφυγμῶν. ὑπάρχει δὲ τοῖς μὲν δύο τούτοις γένεσιν ἀεὶ τὴν αἰτίαν ὑφ' ἧς γίνεται

et ſequentem ſermonem accommoda. Nam quatuor quum ſint in diſtentione arteriae generales differentiae, prima eademque ante caeteras pulſuum propriae, quae in qualitate conſiſtit motus; altera quae in quantitate diſtentionis; neque hic nos neque in primo De pulſuum differentiis libro de priori magis propria verba fecimus, quod cognitu difficilior ſit, ſed de illa quam dignoſcant tirones clarius et quae ideo ſit ad denunciandum aliquid utilior. Haec habet extra ordinem illud quoque praeter alias omnes, ut complecti ſeptem et viginti videatur pulſuum differentias, ſint vero re vera tres; nam in caeteris quidem omnibus generibus quot natura ſunt differentiae, tot apparent. Reliqua ſunt in diſtentione duo genera pulſuum, alterum facultatem, alterum arteriae indicat tunicam, quod quidem eſt poſtremum, imo vero nec proprium, nec affine, ſed genus pulſuum adventitium. Habent autem hoc duo haec genera, ut cauſam ſemper a qua generantur oſtendant

Ed. Chart. VIII. [255.] Ed. Baſ. III. (127.)

σαφῶς ἐνδείκνυσθαι, τοῖς δ' ἄλλοις δύο τοῖς προειρημένοις οὐκ ἀεί. καὶ γὰρ καὶ συμβέβηκε τοῖς μὲν δύο τοῖς ὑστέροις γένεσιν ὑπὸ μιᾶς αἰτίας ἑκάτερον δημιουργεῖσθαι, τοῖς πρώτοις δὲ δύο πρὸς ἁπασῶν τῶν αἰτιῶν, ἃς τρεῖς εἶναι πολλάκις ἐδείξαμεν. ὅθεν καὶ χαλεπώτερος ἐπὶ τῶν πρώτων δύο γενῶν ὁ λόγος ἐστὶν καὶ διορισμῶν χρήζων πλειόνων εἰς τὴν τῆς αἰτίας εὕρεσιν. ἐπὶ δὲ τῶν ὑπολοίπων δυοῖν τό τε γένος τῆς αἰτίας ἓν καθ' ἑκάτερον ἥ τε τοῦ ποσοῦ διάγνωσις ἀφωρισμένη.

Κεφ. ζ'. Σφοδρὸς μὲν ὁ σφυγμὸς ὑπὸ ῥώμης ἀεὶ γίνεται δυνάμεως, καὶ ὅσῳ γε σφοδρότερος τοσούτῳ καὶ τὴν ῥώμην τῆς δυνάμεως ἐπιτετάσθαι δηλοῖ· ἀμυδρὸς δὲ διὰ τὴν ἀσθένειαν τῆς δυνάμεως, καὶ ὅσῳ γ' ἂν ἀμυδρότερος ᾖ τοσούτῳ καὶ τὴν δύναμιν ἀσθενεστέραν ὑπάρχειν ἐνδείκνυται. κατὰ ταὐτὰ δὲ καὶ ὁ μὲν σκληρὸς σφυγμὸς ὑπὸ σκληροῦ χιτῶνος τῆς ἀρτηρίας ἀποτελεῖται, ὁ δὲ μαλακὸς ὑπὸ τοῦ μαλακοῦ. καὶ δὴ τὸ ποσὸν τῆς κατὰ τὸν σφυγμὸν σκληρότητός τε καὶ μαλακότητος ἐνδεικτικόν ἐστι τοῦ ποσοῦ τῆς κατὰ τὴν ἀρτηρίαν σκληρότητος καὶ μαλακότητος.

aperte; duo illa genera ſuperiora non perpetuo. Etenim duobus obvenit generibus poſterioribus, ut ab una utrumque cauſa conſtituatur: primis vero duobus, ut ab omnibus cauſis, quas tres frequentur demonſtravimus eſſe; quo etiam in generibus duobus primis difficilior eſt oratio ac pluribus ad cauſam inveniendam diſtinctionibus indiget. In reliquis duobus quum genus eſt cauſae unum utrobique tum vero quantitatis notitia certa.

Cap. VII. Vehemens pulſus a facultatis ſemper robore fit, ac quo ſit vehementior tanto robur ſignificat majus eſſe facultatis; languidus ex facultatis imbecillitate, ac quo ſit languidior hoc facultatem quoque imbecilliorem eſſe demonſtrat. Haud aliter durus pulſus efficitur ab arteriae tunica dura, mollis a molli. Praeterea quantitas pulſus duritiei et mollitiei arteriae declarat quantitatem duritiei

ἀλλ' ὁ μὲν τοῦ σκληροῦ καὶ μαλακοῦ μέσος, ὅσπερ καὶ σύμμετρος ὀνομάζεται, πρῶτός τ' ἐστὶν αὐτῶν τῇ φύσει καὶ μόνος κατὰ φύσιν. ἀμυδροῦ δὲ καὶ σφοδροῦ κατὰ τοῦτον μὲν τὸν λόγον οὐδείς ἐστι μέσος. ὁ μὲν γὰρ ἀμυδρὸς ἀῤῥωστούσης τε καὶ παρὰ φύσιν ἐχούσης τῆς δυνάμεώς ἐστιν ἔγγονος, ὁ δὲ σφοδρὸς εὐῤῥωστούσης τε καὶ κατὰ φύσιν διακειμένης. καθ' ἕτερον δὲ τρόπον, ὡς κἀν τοῖς ἔμπροσθεν ἐλέγομεν, εἴη ἄν τις μέσος ἀμυδροῦ καὶ σφοδροῦ. ὁ δὲ τρόπος ὁ κατὰ τὴν διάγνωσίν ἐστι τῆς ἐπιβαλλομένης ἁφῆς, ἡνίκα μὲν ἀνατρέπηται πρὸς τοῦ σφυγμοῦ, σφοδρὸν ἡμῶν αὐτὸν ὀνομαζόντων, ἡνίκα δ' ἀνατρέπῃ τὸν σφυγμὸν, ἀμυδρὸν, ἡνίκα δὲ οὐδέτερον, ἐν τῷ μέσῳ τοῦτον εἶναι λεγόντων ἀμυδροῦ τε καὶ σφοδροῦ, παρὰ φύσιν ὄντα καὶ αὐτὸν, ὥσπερ καὶ τὸν ἀμυδρόν. αἱ δ' ἀλλοιώσεις τῶν σφυγμῶν αἱ μὲν εἰς ἀμυδρότητα καὶ σφοδρότητα καὶ μόναι γίνονται πολλάκις καὶ ὑφ' ἑνὸς αἰτίου. ὅταν γὰρ τοῦ χιτῶνος τῆς ἀρτηρίας ἅμα τῇ χρείᾳ κατὰ φύσιν ἔχοντος ἐπὶ βραχύ πως ἀλλοιωθῇ τὰ τοῦ τόνου τῆς δυνάμεως, ἀμυδρό-

et mollitiei. Sed vero qui medius eſt inter durum et mollem, qui etiam vocatur moderatus, primus natura eſt inter eos ſolusque naturalis. At inter languidum et vehementem hac ratione medius eſt nullus, quod languidus ſit oriundus ex facultate imbecilla et a natura deſciſcente, vehemens autem ex firma et recte habente. Verum alio modo, ut ante retulimus, medius ſit aliquis inter languidum et vehementem; modus autem dignoſcendi per tactum adhibitum eſt. Nam quum a pulſu evertitur, vehementem eum vocamus; quum ille evertat pulſum, languidum; ubi neutrum fit, medium dicimus hunc ſortitum locum eſſe inter languidum et vehementem; qui quidem non aliter atque languidus praeter naturam eſt. Alterationes pulſuum quaedam in remiſſionem et vehementiam et ſolae fiunt frequenter et ab una cauſa; quum enim tunica arteriae una cum uſu in naturali conſtent ſtatu et nonnihil faculta-

τερος μὲν ἢ σφοδρότερος ἐν τούτῳ τοῦ πρόσθεν ὁ σφυγμὸς γίνεται, τῶν δὲ ἄλλων γενῶν οὐδὲν αὐτῷ συμμεταβάλλει. οὕτως μὲν δὴ μόναι γίγνονται καὶ ὑφ᾽ ἑνὸς αἰτίου· καθ᾽ ἕτερον δ᾽ αὖ τρόπον ὑπὸ μιᾶς μὲν αἰτίας, οὐ μόναι δέ. τῆς μὲν οὖν δυνάμεως ἐπὶ πλέον ἐκλυθείσης, ἢ ἐπιταθείσης, εἰ καὶ τῶν ἄλλων αἰτίων τῶν συνεκτικῶν μηδέποτε ἀλλοιωθείη, τὴν μὲν τροπὴν τῶν σφυγμῶν ὑφ᾽ ἑνὸς αἰτίου γενέσθαι συμβήσεται, γένος δ᾽ οὐχ ἓν ἀλλοιωθῆναι μόνον. [256] ἥ τε γὰρ ἐπὶ πλέον ἀῤῥωστοτέρα δύναμις οὐ μόνον ἀμυδρὸν, ἀλλὰ καὶ μικρὸν ἐργάζεται τὸν σφυγμὸν, καὶ διότι μικρὸν, διὰ τοῦτο καὶ πυκνὸν, ἥ τ᾽ ἐπὶ πλεῖστον ῥωσθεῖσα σὺν τῷ σφοδρότατον εὐθέως καὶ μείζονα τὸν σφυγμὸν ἀποτελεῖ, καὶ εἰ μηδὲν ὑπαλλάττοιτο ἡ χρεία, καὶ ἀραιότερον. ἡ δ᾽ εἰς σκληρότητά τε καὶ μαλακότητα μεταβολὴ τῶν σφυγμῶν εἰ μὲν ὑφ᾽ ἑνὸς αἰτίου γίνοιτο, πάντως καὶ τῶν ἄλλων τι συμμεταβάλλοι γενῶν. εἰ δὲ μόνη συνίσταται, τῶν πλειόνων αἰτίων συνελθόντων ἀποτελεῖται. ἅμα δὲ μόνη τε καὶ ὑφ᾽ ἑνὸς αἰτίου κατ᾽ οὐδένα τρόπον γίνεται, πλὴν εἰ παντελῶς

tis contentio alterata sit, languidior hic quam vehementior priore pulsus redditur; de aliis vero generibus cum eo nihil mutatur, atque hoc pacto solae fiunt et ab una causa. Alio modo ab una quidem causa, sed non solae, nam ubi dissoluta admodum facultas sit, vel contenta, ut nondum a causis aliis continentibus sit immutatus, mutari pulsus ab una causa accidet, genus vero non unum commutatum esse. Nam si longe facultas imbecillior sit, non languidum modo, verum etiam parvum pulsum creabit; et quia parvum, statim etiam crebrum; at robustissima quum vehementissimum tum etiam majorem excitat pulsum, simulque, si nihil immutatus sit usus, rariorem. Mutatio jam pulsuum in duritiem et mollitiem, siquidem ab una causa procedat, omnino aliquod una de aliis generibus mutabitur; quod si sola constet, ex concursu plurium causarum constituitur. Simul autem et sola et ab una causa nequaquam fiat, nisi mini-

ἐλάχιστον ἐκτραπῇ τοῦ κατὰ φύσιν, ὥστε βραχυτάτῳ μέν τινι γενέσθαι σκληρότερον τὸν σφυγμὸν, ἴσον μέντοι κατὰ τὸ μέγεθος. οὕτω γὰρ οὐδὲ τὸ τάχος οὐδ᾽ ἡ πυκνότης ὑπαλλαχθήσεται. σαφεστέρας δὲ καὶ μείζονος τῆς σκληρότητος γινομένης ἀνάγκη καὶ τὸν σφυγμὸν γενέσθαι μικρότερον, καὶ τοσοῦτόν γε πυκνότερον ὅσον μικρότερον. εἰ δ᾽ ἅμα τε σκληρότερος ὁ χιτὼν τῆς ἀρτηρίας γένοιτο καὶ ἡ θερμότης αὐξηθείη, σκληρότερος μὲν ἂν ὁ σφυγμὸς ἐπὶ τοσοῦτον εἴη τοῦ κατὰ φύσιν ἐφ᾽ ὅσον καὶ ὁ χιτὼν τῆς ἀρτηρίας· ἐν μέντοι τῷ μεγέθει τῷ κατὰ φύσιν ἴσος, εἴπερ ὅσον τὸ θερμὸν ἐγένετο τοῦ συμμέτρου τοσούτῳ καὶ ὁ χιτὼν τῆς ἀρτηρίας σκληρότερος τοῦ κατὰ φύσιν. ἐπεὶ δὲ καὶ περὶ τούτων εἴρηται τὰ μέτρια πρός γε τὴν ἐνεστῶσαν ὑπόθεσιν, ἑξῆς ἂν εἴη τὰς προηγουμένας καὶ προκαταρχούσας αἰτίας τῶν προειρημένων δύο γενῶν διελθεῖν.

Κεφ. η΄. Αἱ μὲν οὖν αὐξάνουσαι τὴν ῥώμην τῆς δυνάμεως αἰτίαι προηγούμεναι αἱ μὲν ἐν αὐτῷ τῷ σώματι χυμοί τέ τινές εἰσιν ἡμίπεπτοί τε καὶ ἄπεπτοι, πεττόμενοι νῦν, ἥ τ᾽ ἐπὶ τὴν κρίσιν ὁρμὴ τῆς φύσεως, εἰ μὴ

mo plane ſpatio a natura receſſerit, ut quam minimo fiat pulſus durior, pari tamen magnitudine; at ſic nec celeritas mutabitur nec crebritas. Verum apertior ſi fiat majorque durities, non poterit pulſus non eſſe minor, tantoque etiam crebrior quanto minor. Si vero ſimul et durior facta ſit tunica arteriae et calor increverit, hoc pulſus moderato durior erit quo arteriae tunica, at magnitudine aequalis moderato; modo quantum calor mediocritatem exceſſerit, tanto tunica arteriae naturali ſit durior. Quando jam de his quoque ſatis dictum eſt, quantum requirit praeſens argumentum, deinceps de antecedentibus et externis duorum generum, quae nunc explicavimus, cauſis agemus.

Cap. VIII. Cauſae antecedentes, quae robur facultatis augent, partim in ipſo ſunt corpore; ac humores quidam ſunt ſemicocti et crudi, qui jam concoquuntur, et na-

Ed. Chart. VIII. [256.] Ed. Baf. III. (127. 128.)

ἄρα καὶ ἤδε κατὰ τὸν αὐτὸν εἴρηται τρόπον, ἔτι δὲ πρὸς τούτοις θυμός· αἱ δ' ἔξωθεν οἶνός τε καὶ τροφαὶ καὶ γυμνάσια μέτρια, καὶ προσέτι τὰ τὴν δυσκρασίαν ἐπανορθούμενα τοῦ σώματος αὐτοῦ τῆς τε καρδίας καὶ τῶν ἀρτηριῶν εἴτουν ἐδέσματα εἴτε πόματα, εἴτε καὶ φάρμακα εἴη. καταλύουσι δὲ τὴν δύναμιν ἀσιτίαι τε καὶ ἀγρυπνίαι (128) καὶ φροντίδες καὶ λῦπαι καὶ κενώσεις ἄμετροι διὰ γαστρὸς, ἢ οὔρων, ἢ ἐμέτων, ἢ μήτρας, ἤ τινος αἱμοῤῥαγίας, καὶ αἱ σφοδραὶ τῶν ὀδυνῶν, ἢ μετά τινος ἰδιότητος γινόμεναι, καθάπερ ἡ καὶ στομαχικὴ καλουμένη διάθεσις, ἐφ' ᾗ συγκόπτονται. ἔτι τε πρὸς τούτοις ἅπανθ' ὅσα δυσκρασίαν ἐργάζεται κατὰ τὴν καρδίαν, ἢ τὰς ἀρτηρίας, εἴτουν ἐν τῷ σώματι περιεχόμενα, τὰ μὲν ἐν ὑγροῖς, τὰ δ' ἐν τοῖς στερεοῖς, εἴτε καὶ τούτων ἔξωθεν προηγούμενα. καὶ ταῦτα σύμπαντα καταλύει τὴν δύναμιν ἀμέτρως ὑγραίνοντα καὶ ξηραίνοντα καὶ θερμαίνοντα καὶ ψύχοντα καὶ διαφοροῦντα. ὅσαι δὲ αἰτίαι προηγούμεναί τε καὶ προκατάρχουσαι τὸν σφυγμὸν ἐργάζονται σκληρότερον, εἴρηνται πρόσθεν ἐν τῷ περὶ τοῦ μακροῦ τε ἅμα καὶ στενοῦ καὶ

turae ad judicationem impetus, nisi hic sit etiam in eodem genere, ad haec ira; partim extrinsecus adveniunt, ut vinum, cibus, exercitationes modicae; et etiam quae intemperiem corrigunt ipsius corporis et cordis et artériarum, sive illi cibi sint, sive potus, sive etiam medicamenta. Dissolvunt vero facultatem inedia, vigiliae, solicitudines, moerores, vacuationes immodicae per alvum, vel per urinas, vel vomitum, vel alterum profluvium sanguinis, vehementes dolores, vel cum quadam proprietate evenientes, ut quem stomachicum affectum vocant qui syncopen inducit. His adjunge omnia quae cordis vel arteriarum creant intemperiem, sive in corpore illa contineantur, ut in succis, vel solidis partibus; sive foris etiam haec antecedant: quippe haec dissolvunt omnia facultatem immodice humectando, siccando, calefaciendo, refrigerando, digerendo. At vero quae causae antecedentes et externae pulsum duriorem efficiunt, supra exposuimus, quum de longo simul et an-

ταπεινοῦ λόγῳ. ὥστ' οὐδὲν ἔτι δεῖ νῦν αὐτὰς ἐπέρχεσθαι, μόνας δὲ τὰς τοῦ μαλακοῦ προσθέντας ἐνταυθοῖ που καταπαύειν ἤδη τὸν λόγον.

Κεφ. θ' Μαλακὴν οὖν ἐργάζονται τὴν ἀρτηρίαν αἵ θ' ὑγραὶ τροφαὶ καὶ τὰ πλείω λουτρὰ καὶ ὕπνοι πολλοὶ καὶ ἡ ἁβροτέρα [257] δίαιτα καὶ ἡ θυμηδία. ταῦτα μὲν ἐν τῷ κατὰ φύσιν ἔχειν· ἐν δὲ τῷ παρὰ φύσιν ἐν κώμασι καὶ ληθάργοις καὶ ὑδέροις, ὅσα τ' ἄλλα τοὺς χιτῶνας τῶν ἀρτηριῶν ὑγρότητι πολλῇ καὶ μάλιστα φλεγματώδει διαβρέχει, περὶ ὧν ἐπὶ πλέον εἰρήσεται διὰ τῶν ἑξῆς, ὁπόταν ὑπὲρ τῶν παθῶν ὁ λόγος ᾖ. νῦν δ' ἤδη καιρός ἐστι καταπαύειν τὸν ἐνεστῶτα λόγον εἰς ἓν ἀθροίσαντα κεφάλαιον ὅσον ἐξ αὐτοῦ χρήσιμον. ἔστι δὲ τόδε. τὴν ἐνεστῶσαν διάθεσιν ἑκάστου τῶν συνεκτικῶν αἰτίων οἱ σφυγμοὶ πρώτην ἐνδείκνυνται. γνωσθείσης δὲ ταύτης αἵ τε προηγησάμεναι καὶ αἱ προκατάρξασαι τῆς πρώτης αὐτῶν αἰτίαι λαμβάνονται, κἀν τούτῳ τῶν προγεγονότων ἡ πρόγνωσις. ἡ δὲ τῶν μελλόντων πρόγνωσις ἐκ τῶν ἑπομένων ταῖς διαθέσεσι λαμβάνεται. καθ'

gusto et humili dissereremus. Nihil est ergo, cur easdem hoc loco recenseamus, sed tantum si mollis causas addiderimus, finem hic faciemus libri.

Cap. IX. Mollem reddunt arteriam humidus cibus ac frequentiores balneae, somni multi, mollior vita et voluptates, atque haec quidem intra septa manent naturae. Praeter naturam, in comate, lethargo, hydrope, et si quae sunt alia quae arteriarum tunicas imbuunt larga humiditate, maxime pituitosa, de quibus infra, quum de morbis dicam, prolixius agam. Nunc jam tempus est ut hunc librum finiamus, si in summam qui in eo sit fructus subduxerimus. Est autem hic. Praesentem dispositionem singularum causarum continentium pulsus primam indicant, qua cognita antecedentes et externae causae deprehenduntur ipsius primae inter illas, atque in hoc constat praeteritorum praesagitio, futurorum vero ex iis quae dispositiones

ὃν δὲ μάλιστα τρόπον ἕκαστον τῶν εἰρημένων γίγνοιτο ἂν, ἐν τοῖς μετὰ ταῦτα λόγοις διαιρήσομαι, πρότερόν γε κατὰ τὸ δεύτερον τῶνδε τῶν ὑπομνημάτων ὅσον ὑπόλοιπόν ἐστι νῦν ἡμῖν προτεθέντων διελθών.

comitantur, petuntur praesagia, quorum quemadmodum unumquodque potissimum fiat in sequentibus libris declarabo, prius in secundo tamen horum commentariorum quod restat adhuc instituimus persequi.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΠΡΟΓΝΩΣΕΩΣ ΣΦΥΓΜΩΝ ΒΙΒΛΙΟΝ Β.

Ed. Chart. VIII. [257.] Ed. Baſ. III. (128.)

Κεφ. α'. Περὶ μὲν δὴ τῶν πρώτων τε καὶ ὡς ἂν εἴποι τις στοιχειωδεστάτων σφυγμῶν, ἂν ἐν τῇ διαστολῇ τῆς ἀρτηρίας ἡ διάγνωσις, ἐν τῷ πρὸ τούτου λόγῳ διῄρηται· περὶ δὲ τῶν ὑπολοίπων ἑξῆς ἂν εἴη ῥητέον ἀπὸ τῆς συστολῆς ἀρξαμένοις. ἔστι μὲν οὖν κἀν ταύτῃ τὰ τέσσαρα γένη τῶν σφυγμῶν, ὅσα περ κἀπὶ τῆς διαστολῆς. καὶ γὰρ ὠκυτέρα καὶ βραδυτέρα καὶ μείζων καὶ μείων καὶ σφοδροτέρα καὶ ἀμυδροτέρα κατά γε τὴν φύσιν αὐτὴν τοῦ πράγματος ἡ ἐν τῇ συστολῇ κίνησις γίνεται, ὥσπερ γε καὶ τὸ σῶμα

GALENI DE PRAESAGITIONE EX PVLSIBVS LIBER II.

Cap. I. De primis quidem et ut dixerit aliquis maxime elementariis pulſibus, quorum in diſtentione arteriae dignotio, ſuperiore libro explicata eſt; de reliquis vero deinceps exorſi a contractione tractabimus. Habet quatuor haec quoque genera pulſuum quot ſcilicet diſtentio; velocior etenim et tardior, major, minor, vehementior, languidior, ſi naturam ipſam ſpectes rei, contractionis motus fit; et hercle

τῆς ἀρτηρίας ἤτοι σκληρὸν ἢ μαλακὸν ἀποτελεῖται, οὐ μὴν διαγνῶναί γε δυνατόν ἐστι τῶν εἰρημένων γενῶν οὐδὲν, ὅτι μὴ βραδύτητα μόνην καὶ τάχος, οὐδὲ ταῦτ᾽ ἐπὶ πάντων, ἀλλ᾽ ἐν ἐκείνοις τοῖς σφυγμοῖς ἐν οἷς αἰσθητὴ διάγνωσίς ἐστι τῆς συστολῆς, ὡς ἐν τῷ πρώτῳ περὶ διαγνώσεως σφυγμῶν ἐπιδέδεικται. καὶ μὲν δὴ κἀν τῷ περὶ χρείας σφυγμῶν [258] ἐδέδεικτο τῆς ἀρτηρίας ἐνέργειά τις εἶναι, καὶ ἡ συστολὴ τῆς διαστολῆς οὐδὲν ἧττον. ἀμφότεραι γὰρ διαφυλάττουσι τὴν συμμετρίαν τῆς κατὰ φύσιν θερμότητος. ἡ μὲν γὰρ διαστολὴ καθάπερ εἰσπνοή τις ἐμψύχουσά τε τὸ ὑπερβάλλον τῆς φλογώσεως καὶ τῷ ῥιπίζειν ἀνάπτουσα τὸ σβεννύμενον, ἡ δὲ συστολὴ τὸ λιγνυῶδες ἀποχέουσα δίκην ἐκπνοῆς. δηλώσει τοιγαροῦν τὸ μὲν τάχος τῆς συστολῆς ἀξιόλογόν τι πλῆθος αἰθαλωδῶν περιττωμάτων ἀθροίζεσθαί τε ἅμα καὶ ἐκκρίνεσθαι κατ᾽ ἐκεῖνον τὸν χρόνον, ἐν ᾧ περ ἂν εὑρίσκηται· ἡ δὲ βραδύτης τοὐναντίον, οὔτε ἀθροίζεσθαι πολὺ τὸ τοιοῦτο περίττωμα, καὶ διὰ τοῦτο μηδὲ κενώσεως δεῖσθαι. πάμπολυ μὲν γὰρ ἀθροίζεται κατὰ τὰς σήψεις τῶν χυμῶν, ἐφ᾽ αἷς

etiam arteriae corpus aut durum efficitur, aut molle, quare et ob id pulsus durus vel mollis efficitur; haud dignoscas tamen horum generum praeter tarditatem unam et celeritatem ullum, imo ne has quidem ubique, sed in illis pulsibus, ubi sensu contractio animadverti possit, ut in primo libro De pulsibus dignoscendis docuimus. Jam etiam in libro de usu pulsuum arteriae functionem demonstravimus contractionem esse non secus ac distentionem, utraque enim naturalis caloris tuetur commoderationem, distentio veluti inspiratio quaedam excessum ardoris refrigerando, et ventilatione quod extinguitur incendendo, contractio in modum expirationis fuliginem expurgando. Ergo celeritas contractionis indicio erit fuliginosorum excrementorum ingentem colligi copiam expurgarique id temporis, quandocunque inveniatur; tarditas contra, nec eius multum excrementi coacervari, eoque nec requirere evacuationem. Magna enim copia per putredines humorum acervatur, quae

ἀνάγκη πυρετοὺς ἀνάπτεσθαι· παντάπασι δ' ὀλίγον, ὅταν εὔχυμον ᾖ τὸ σῶμα· κατὰ δὲ τὰς ἄλλας διαθέσεις ὁπόσαι μεταξὺ τούτων εἰσὶν, ἀνάλογον ἑκάστης τῶν διαθέσεων· ἐπὶ μὲν ταῖς ἐδωδαῖς τε καὶ τοῖς ὕπνοις πλέον, ἐγρηγορούντων δὲ καὶ ἀσιτούντων ἔλαττον. οὕτως δὲ καὶ κατ' αὐτὴν τῶν ἐδεσμάτων τὴν φύσιν ἐπὶ μὲν τοῖς κακοχύμοις πλέον, ἐπὶ δὲ τοῖς εὐχύμοις ἔλαττον. ἀνάλογον δὲ καὶ κατὰ τοὺς πυρετοὺς ἐν μὲν ταῖς ἐπισημασίαις πλέον, ἐν δὲ τοῖς ἄλλοις καιροῖς ἧττον· καὶ πλέον μὲν ἐπὶ τοῖς παχέσι καὶ γλίσχροις χυμοῖς, οἷοί περ οἱ φλεγματώδεις εἰσὶ καὶ οὓς ὀνομάζουσιν ὠμοὺς, ἧττον δὲ ἐπὶ τοῖς πικροχόλοις τε καὶ μελαγχολικοῖς· ἐν δὲ τῷ μεταξὺ τούτων ἐφ' αἵματι. καὶ γὰρ καὶ τοῦτο σήπεται κατὰ τὰς φλεγμονὰς, ἐφ' αἷς πυρέττουσι, τάς τε ἄλλας καὶ ὧν ἡ φλόγωσις εἰς τοσοῦτον ἄμετρος ὡς κατακαίειν τε τὸ δέρμα καὶ πάθος ἐργάζεσθαι τὸ προσαγορευόμενον ἄνθρακα. τῆς αὐτῆς δέ πως εἰσι φύσεως καὶ οἱ μετὰ ἀναβρώσεως ἕρπητες, οὓς ἐσθιομένους Ἱπποκράτης ὠνόμαζεν· ἐν ἅπασι γὰρ τοῖς τοιούτοις οἱ χυμοὶ σήπονται. καθ' ἕτερον δ' αὖ τρόπον οἱ ἐν ταῖς τραχείαις ἀρτηρίαις χυμοὶ σηπόμενοι, μεταδιδόασι γὰρ

febres accendunt neceffario; quum corpus bonos humores habeat, pauca omnino; in aliis ftatibus, qui medii inter hos funt, pro proportione fingulorum ftatuum; inter edendum et dormiendum plus, per vigilias et inedias minus. Eadem plane ratione pro ciborum natura; in illis qui pravos humores gignunt, plus; in his minus, qui probos. In febribus ad eundem modum, in acceffionibus plus, aliis temporibus minus. Adeoque plus ex craffis et lentis humoribus, cujusmodi pituitofi funt et quos appellant crudos; ex biliofis minus et melancholicis, medio modo ex fanguine, qui fcilicet etiam putrefcit in inflammationibus; unde oriuntur febres quum aliis, tum illis quarum adeo eft immodicum incendium ut cutem deurant et affectum generent quem carbunculum vocant. Ejusdem fere naturae funt herpetes depafcentes, quos appellavit Hippocrates edentes, fcilicet in omnibus his affectibus putrefcunt humores. Alio autem jam modo illi, qui putrefcunt in afperis arteriis

του σφετέρου κακοῦ τῷ πνεύμονι, καὶ σήπεται καὶ τοῦτο τὸ σπλάγχνον ἐν τῷ χρόνῳ. ἀθροίζονται μὲν οὖν ἐν ταῖς τραχείαις ἀρτηρίαις ἤτοι διὰ τὸν ἀπὸ τῆς κεφαλῆς κατάῤῥουν, ἢ ἐκ πλευρίτιδος, ἢ περιπνευμονίας, ἢ τοῦ πνευμονώδους πάθους, ἢ συνάγχης, ἢ ἐξ ἐμπυήματος μεταληφθέντος. τὴν δ' ἀρχὴν τοῦ σήπεσθαι λαμβάνουσι διὰ τὸ μὴ καλῶς ἀναπτύεσθαι. δέονται γὰρ ἐν τάχει κενοῦσθαι διά τε τὴν σφετέραν μοχθηρίαν καὶ τὴν ἐν τῷ χωρίῳ θερμότητα, πολλάκις δὲ καὶ ῥῆξις ἀγγείου κατὰ τὸν πνεύμονα γενομένη προχεῖ τι τοῦ αἵματος εἰς τὰς τραχείας ἀρτηρίας, ὃ δὴ σηπόμενον ἐν τῷ χρόνῳ φθόην ἐργάζεται. θᾶττον δ' εἰς τοῦτ' ἔρχεται τὸ κατὰ διάβρωσιν τῶν ἀγγείων ἐκχυθέν. ἐν ἁπάσαις δὴ ταύταις αἷς κατέλεξα διαθέσεσιν, ὅσαι τ' ἄλλαι σηπεδόνα τινα χυμῶν ἔχουσιν, ἡ ἔσω κίνησις αὐξάνεται τῶν ἀρτηριῶν, καὶ κατὰ τὸ ποσὸν μὲν, ὡς ἐπιπλέον αὐτὰς συστέλλεσθαι, ἀλλὰ τοῦτό γε οὐκ ἂν αἰσθήσει διαγνοίης ἀκριβῶς. ἡ γοῦν εἰς τάχος ἐπίδοσις ἐναργής τ' ἐστὶ καὶ διαγνῶναι ῥᾳδία τῷ τετριμμένῳ περὶ τοὔργον, ὃν οὐδ' ἄρξασθαι τριβῆς οἷόν τε πρὶν τὰ περὶ

fucci; pulmoni enim fua vitia impertiunt, ac putrefcit temporis progreffu hoc etiam vifcus. Ac coacervantur in afperis arteriis vel per diftillationem e capite, vel ex pleuritide, vel peripneumonia, vel pulmonis affectu, vel angina, vel ex empyemate tranfumpto. Originem hinc ducunt putredinis, quod minus probe expuantur, nam ut funt vitiofi et locus calidus, maturam defiderant evacuationem. Subinde etiam fit ut, quum pulmonis rumpatur vas aliquod, immittat fanguinis in afperas arterias aliquid, qui quidem putrefcens diuturnitate excitat tabem, quo etiam devenit celerius quem vafa exulcerata emittunt. In omnibus his quos collegi affectibus aliisque qui putredine funt aliqua humorum praediti, arteriarum motus, quo intro feruntur, augetur et in quantitate, ut arctius illae contrahantur, fed hoc quidem fenfu plane non dignofcas. At celeritatis clare animadvertitur incrementum, facileque viro experto in hoc opere, qui nec ingredi quidem ad experiendum prius poffit

διαγνώσεως ὑφ᾽ ἡμῶν γεγραμμένα μά(129)θεῖν, ὧν οὐδὲν οὐδεὶς τῶν ἔμπροσθεν ἰατρῶν ἐδίδαξεν ἡμᾶς. ἀλλ᾽ ἔνιοι μὲν ἄχρι λόγου πιθανοῦ προέρχονται, τεχνολογίας δή τινας Ἡροφιλείας ὑπὲρ τῶν ἐν τοῖς σφυγμοῖς ῥυθμῶν γράφοντες, ἔνιοι δὲ περιλάλησίν τε τὴν τοιαύτην θεωρίαν ἀποκαλοῦσι καὶ τελέως αὐτῆς ἀφίστανται. τὸ δ᾽ ἀληθὲς οὐδέτεροι κατεῖδον, ὡς εἰς τάχος τε καὶ βραδύτητα χρὴ βλέπειν τῆς διαστολῆς καὶ τῆς συστολῆς, ἑκατέρας πολλὰ σημαίνειν δυναμένης, ὥσπερ γε ἤδη νῦν εἴρηται ἡμῖν διὰ κεφαλαίων ἔν τε τοῖς ἑξῆς ἐπιπλέον εἰρήσεται κατὰ τὸν περὶ τῶν νοσημάτων λόγον.

Κεφ. β. [259] Ἐν δὲ τῷ παρόντι μετιτέον ἐστὶν ἐπὶ τὸν περὶ πυκνότητός τε καὶ ἀραιότητος λόγον. διττῆς δ᾽ οὔσης ἑκατέρας, ὅτι καὶ τὰς ἠρεμίας τῆς ἀρτηρίας δύο εἶναι συμβέβηκε, τὴν μὲν ἐπὶ τὸ διασταλῆναι πρὸ τοῦ συστέλλεσθαι, τὴν δὲ ἐπὶ τὸ συσταλῆναι πρὸ τοῦ διαστέλλεσθαι, τὸ μέν τι κοινὸν ἀμφοτέραις ὑπάρχει, τὸ δ᾽ ἴδιον ἑκατέρᾳ· κοινὸν μὲν, ὅτι βραχύνονταί τε κατὰ διττὴν αἰτίαν, ἤτοι τῆς προηγουμένης κινήσεως μηκυνθείσης ἢ τῆς ἑπομένης πρωϊαίτερον ἄρξα-

quam quae de dignoscendo prodidimus didicerit, quorum nos nihil ex priscis medicis docuit ullus, sed progrediuntur quidam usque ad verisimilem orationem, commentationes scilicet Herophilias quasdam de pulsuum rhythmis conscribendo; aliqui inanem loquacitatem vocant eam meditationem penitusque eam repudiant, veritatem autem neutri cognoverunt, quod scilicet in celeritatem et tarditatem distentionis contractionisque respicere oportet, quarum multa valet utraque indicare, ut summatim nunc declaravimus, explicaturi posthac, quum de morbis agemus latius.

Cap. II Nunc quidem ad crebritatem me raritatemque convertam; quarum duplex est utraque, quod etiam quieti contigit arteriae duplici esse, uni a distentione ante contractionem, alteri post contractionem ante distentionem. At quiddam ambabus est commune, aliquid proprium utrique: commune, quod duabus de causis brevientur, vel quod productus sit motus, vel quod sequens anticipet; contra

μένης, μηκύνονταί τε πάλιν ἤτοι τῆς προηγουμένης κινήσεως βραχυνθείσης, ἢ τῆς ἑπομένης ὀψιζούσης· ἴδιον δ' ἑκατέρας ὃ σημαίνειν πεφύκασιν. δῆλον δ' ὡς ἐκεῖνο σημαίνουσιν ὅπερ ἂν ἐκ τοῦ μεμηκύνθαι τὴν ἑτέραν κίνησιν, ἢ πρωϊαίτερον ἄρχεσθαι τὴν ἑτέραν ὑπάρχει δηλούμενον, ἢ πάλιν ἐκ τοῦ βραχεῖαν μὲν γεγονέναι τὴν ἑτέραν, βραδύνειν δὲ τὴν λοιπήν. ἐπειδὴ γὰρ ἡ μὲν καθαρὰ θερμότης καὶ ἥκιστα περιττωματικὴ τὴν διαστολὴν ἐργάζεται μείζονά τε ἅμα καὶ ὠκυτέραν, ἡ δὲ τεθολωμένη σηπεδονώδεσι περιττώμασι τὴν συστολὴν, ὅταν δὲ ἐπὶ τῷ πρωϊαίτερον μὲν ἐπὶ τῷ μεγέθει τῆς διαστολῆς ὁ σφυγμὸς γένηται πυκνότερος, ηὐξῆσθαι δηλώσει θερμότητα πολλὴν ἐν τῷ σώματι καθαρὰν, ὅταν δ' ἐπὶ τῷ πρωϊαίτερον ἄρχεσθαι τὴν συστολὴν, ἀκαθάρτου τε καὶ περιττωματικῆς θερμασίας ἐνδείξεται πλῆθος. ὡσαύτως δὲ κἂν ἀραιότερος ὁ σφυγμὸς γένηται κατὰ τὴν ἐκτὸς ἠρεμίαν, εἰ μὲν ἐπὶ βραχύτητι τῆς διαστολῆς, ἐψῦχθαι τὴν ἐν τῷ ζώῳ θερμότητα δηλώσει, εἰ δὲ διὰ τὸ βραδύνειν τὴν συστολὴν, ἐλάττω γεγονέναι τὰ καπνώδη περιττώματα· κατὰ δὲ τὴν ἐντὸς ἠρεμίαν ἔμπαλιν, εἰ μὲν ἐπὶ τῷ μηκυνθῆναι τὴν συστολὴν

protenduntur, ſi vel brevior fuerit prior motus, vel ſi moretur poſterior: utrique proprium quod denotare ſolent. Illud autem ab iis planum eſt ſignificari quod ex producto altero motu, vel anticipante altero, poteſt prodi; aut contra a breviato altero motu et morante altero. Quando enim ſincerus calor pauciſſimisque inquinatus excrementis diſtentionem concitat majorem ſimulque celeriorem; contra qui confuſus excrementis eſt putribus, contractionem; ubi ex anticipatione et magnitudine diſtentionis pulſus crebrior fiat, calorem purum indicabit multum in corpore increviſſe; ubi vero, quod maturius incipiat contractio, impuri copiam atque excrementis referti caloris arguet. Nec aliter, quum rarior pulſus externa quiete ſit, ſi quidem ob diſtentionis brevitatem, refrigeratum calorem demonſtrabit eſſe; ſin ob moram contractionis, fumoſa imminuta eſſe excrementa; in quiete interna e diverſo, ſi ex productione contractionis

ὁ σφυγμὸς πυκνωθείη, πλῆθος ὑποτρέφεσθαι καπνωδῶν περιττωμάτων, εἰ δὲ διὰ τὸ πρωϊαίτερον ἄρχεσθαι τὴν διαστολὴν, ηὐξῆσθαι τὴν θερμότητα. πάλιν δ' αὖ κατὰ τὴν ἠρεμίαν ταύτην ἀραιούμενος ὁ σφυγμὸς, εἰ μὲν διὰ τὸ μεμειῶσθαι τὴν συστολὴν, ἠλαττῶσθαι τὰ περιττώματα δηλώσει, εἰ δὲ διὰ τὸ βραδύνειν τὴν διαστολὴν, μεμειῶσθαι τὴν θερμότητα. συνελθόντων δὲ ἀμφοῖν ἅμα, τοῦ τε μεμηκύνθαι τὴν προτέραν κίνησιν καὶ τοῦ πρωϊαίτερον ἄρχεσθαι τὴν δευτέραν, εἴτε κατὰ τὴν ἐκτὸς ἠρεμίαν, εἴτε κατὰ τὴν ἐντὸς τοῦτο συμβαίνει, σύνθετον ἐνδείξεται διάθεσιν ἐξ ἐκείνων, ὧν ἑκάτερον ἐδήλου κατὰ μόνας. ὁμοίως δὲ κἂν ἀραιὸς ὁ σφυγμὸς γένηται, καθ' ὁποτερανοῦν τῶν ἠρεμιῶν ἀμφοῖν ἅμα συνελθόντων, τοῦ τε συνῃρῆσθαι τὴν προτέραν κίνησιν καὶ τοῦ μετὰ πλέον ἄρχεσθαι τὴν ἑτέραν, ἡ διάθεσις ἔσται καὶ αὕτω διττή τε καὶ σύνθετος ἐξ ἑκατέρας τῶν ἤδη προδεδηλωμένων, ὑπομεμειωμένης μὲν ὁποτερασοῦν τῶν κινήσεων, ἀναβεβλημένης δὲ καὶ μετὰ πλέον ἀρχομένης τῆς ἑτέρας. οὐ μὴν ἥ γε διάγνωσις εἰς ἴσην ἐνέργειαν ἥκει καθ' ἑκατέρας τὰς ἡσυχίας. ἡ μὲν γὰρ ἐκτὸς ἐναργῶς αἰσθητὴ, τὴν δ' ἐντὸς οὐχ ὅπως ἐναργῶς, ἀλλ'

creber fit pulfus, ali abundantiam fumoforum excrementorum; fi ob maturiorem diftentionis exorfum, auctum calorem effe. At vero quum rarior in hac quiete pulfus eft, fi ob imminutam contractionem, pauciora annunciabit excrementa; imminutum calorem effe, fi ob diftentionis moram. Quod fi conjuncta ambo fint, ut et protendatur motus prior et alter anticipet, five in externa hoc quiete, five accidat in interna, compofitum declaraverit affectum ex illis, quorum figillatim fignificabat utrunque. Itidem fi pulfus fit rarior, in utra haec coierint ambo quiete, contractus prior motus et multum tardans alter, erit ftatus tum quoque duplex atque compofitus ex utroque, quae jam ante declaravimus, quum alteruter diminutus fit motus, tardet autem ac multo poft incipiat alter. Verum enimvero non perinde eft aperta utriusque quietis cognitio, externa enim clare fentitur, internam vero ne obfcura quidem, sedum evidenter

οὐδ' ἀμυδρῶς ἔνεστιν αἰσθήσει διαγνῶναι. στοχασμῷ δ' ἂν μόνῳ τις αὐτὴν ἐξεύροι, συλλογισάμενος ἐκ τῆς καθ' ἑκατέραν τὴν κίνησιν ὁρμῆς, καὶ μᾶλλον ἐπ' ἐκείνων τῶν σφυγμῶν ἐν οἷς ἐναργῶς ἔστιν αἰσθήσει διαγνῶναι τὴν συστολήν. εἴρηταί μοι καὶ περὶ τούτου τοῦ γένους τῶν σφυγμῶν ὅσον ἱκανὸν εἰς τὰ παρόντα.

Κεφ. γ'. [260] Ἑξῆς δ' ἐστὶν ἐπί γε τῇ τάξει τοῦ λόγου περὶ ῥυθμῶν διελθεῖν, ὑπὲρ ὧν Ἡροφίλῳ μὲν ἐπὶ πλέον εἴρηται τήρησίν τινα καὶ ἐμπειρίαν ἱστοροῦντι μᾶλλον ἢ λογικὴν μέθοδον ἐκδιδάσκοντι. τοὺς γὰρ καθ' ἑκάστην ἡλικίαν ὡς τὸ πολὺ φαινομένους ῥυθμοὺς τῶν σφυγμῶν ἔγραψε, πρῶτον μὲν οὐδ' ἐφ' ὧν τινων φύσεων ἐτήρησεν αὐτοὺς οὐδὲν ἡμῖν εἰπών· εἶτ' ἐξ αὐτῶν ὧν διδάσκει δῆλον ὅτι συγκέχυταί τε καὶ ἀδιάρθρωτός ἐστι περὶ τὴν τῆς συστολῆς τε καὶ τῶν ἠρεμιῶν διάγνωσιν. εἴπερ γὰρ ἡγεῖταί ποτε δύνασθαι γενέσθαι συστολὴν ἐπὶ τῶν γεγηρακότων, ἄχρι δὴ τῶν δέκα πρώτων χρόνων ἐκτεταμένην, εὔδηλός ἐστι τῆς ὄντως συστολῆς ἀναισθήτως ἔχων. αὕτη γὰρ ἐνίοτε μὲν ὀλιγοχρονιωτέρα τῆς διαστολῆς ἐστιν, ἐνίοτε δ' ἰσόχρονός ἐστιν, ὅτε δὲ, ὡς

ter, sensu dignoscas; at sola ad hanc aspires conjectura, si colligas ex impetu utriusque motus, praecipue in iis pulsibus in quibus clare sensus valet assequi contractionem. Ac de hoc quoque genere pulsuum quantum refert ad propositum diximus.

Cap. III. Nunc postulat sermonis series ut de rhythmis exponamus, de quibus prolixius Herophilus disputavit, observationem potius et experientiam prodens quam rationalem docens methodum. Nam rhythmos pulsuum per singulas fere animadversos aetates conscribit, nec primum, quibus illos in naturis observaverit, nobis declarat, deinde ex ipsa institutione manifestus est quod confusam habuerit nec distributam contractionis atque quietis notitiam. Nam si contractionem in senibus usque ad decem prima tempora extendi putet posse, planissime veram contractionem sensit nunquam. Haec enim interdum non tam diuturna est quam distentio, interdum aeque diuturna, interdum, ut scri-

ἐκεῖνος γράφει, πολυχρονιωτέρα μὲν, οὐ μὴν, ὡς οἴεται, πενταπλασίων, ἀλλὰ βραχεῖ τινι μείζων. ὅσα δ' ἄλλα μοχθηρὰ καὶ ἀδιάρθρωτα καὶ ἀδύνατα πρὸς τὰς προγνώσεις ἔχει τὰ περὶ ῥυθμῶν ὑφ' Ἡροφίλου λεγόμενα, τὰ μὲν ἐκ τοῦ τρίτου περὶ τῆς διαγνώσεως τῶν σφυγμῶν ἔνεστι μαθεῖν, τὰ δ' ἐξ ὧν ἰδίᾳ γράψομεν ὑπὲρ τῆς Ἡροφίλου περὶ τοὺς σφυγμοὺς τέχνης. νῦν δὲ, οὔτε γὰρ ἱστορικὴν οὔτ' ἀντιλογικὴν ποιοῦμαι πραγματείαν, ἀλλὰ τῶν ἡμῖν ἐγνωσμένων διδασκαλικὴν, ἐπὶ τὸν περὶ τῶν ἀνωμάλων σφυγμῶν ἤδη μεταβήσομαι λόγον.

Κεφ. δ'. Διττὸν δ' αὐτῶν ἐστι τὸ γένος· ἔνιοι μὲν ἐν μιᾷ πληγῇ τὴν ἀνωμαλίαν λαμβάνοντες, ἄλλοι δ' ἐν ἀθροίσματι. καὶ καλεῖν ἔθος ἐστὶ τοῖς νεωτέροις ἰατροῖς συστηματικὴν τὴν τοιαύτην ἀνωμαλίαν, ὅτι, οἶμαι, καὶ τὸ ἄθροισμα σύστημα προσαγορεύουσιν. ἰστέον οὖν ὑπὲρ τῶν ἀνωμάλων σφυγμῶν κοινῇ μὲν τοῦτο παρὰ πάντων, ὅπερ ἐν τῷ δευτέρῳ τῶν ἐν τοῖς σφυγμοῖς αἰτίων ἐπιδέδεικται, δι' ἐμφράξεις αὐτοὺς, ἢ θλίψεις ὀργάνων, ἢ πλῆθος τὸ πρὸς τὴν δύναμιν νοούμενον, ἢ τὴν τῆς καρδίας ἀνώμαλον δυσκρασίαν

bit ille, diuturna quidem est, non quintuplo tamen, ut autumat, sed paulo major. Reliqua errata et confusiones inauditasque absurditates, quibus scripta scatent Herophili de rhythmis dignoscendis, partim ex tertio commentario De dignoscendis pulsibus, partim ex illis quae seorsum in Herophili artem de pulsibus scribam, cognoscas licet. Nunc vero, quia nec historiam hac lucubratione, nec confutationem complector, sed quae perspexi doceo, ad inaequales pulsus convertam orationem.

Cap. IV. Horum duplex est genus; quidam in uno ictu inaequalitatem habent, alii in acervo, quam juniores medici inaequalitatem solent appellare collectivam, quod et, ut opinor, acervum collectionem appellant. Igitur de inaequalibus pulsibus hoc in communi omnibus sciendum est, quod in secundo libro de pulsuum causis ostendimus, ex obstructionibus eos, aut ex compressionibus instrumentorum, aut humorum abundantia ad facultatem quidem collata, aut

συνίστασθαι, χαλεπωτέραν δ' εἶναι τὴν καθ' ἕνα σφυγμὸν ἀνωμαλίαν τῆς ἐν ἀθροίσματι. καὶ μὲν δὴ καὶ τὸ μηδόλως κινεῖσθαι τὴν ἀρτηρίαν, ὅπερ ὀνομάζεται διαλείπειν, ἄν τε καθ' ἕνα σφυγμὸν ἄν τε κατὰ σύστημα γένηται, χαλεπόν ἐστιν ὡς οὐδὲν ἁπάντων τῶν εἰδῶν ἄλλο τῶν ἀνωμάλων γινομένων. ἰδίᾳ δὲ καθ' ἑκάτερον γένος ὑπὲρ ἁπάντων τῶν εἰδῶν ἐπίστασθαι χρὴ, ἀπὸ τῆς ἐν ἀθροίσματι τῶν σφυγμῶν ἀνωμαλίας ἀρξαμένους. γυμνάσωμεν δὲ τὸν λόγον, καὶ πρῶτον ἐν τῇ κατὰ σύστημα, ἐπειδὴ σαφεστέρα τῆς καθ' ἕνα τετύχηκεν οὖσα. τοὺς μὲν δὴ διαλείποντας σφυγμοὺς ἤτοι διὰ τὸ βαρύνεσθαι πρὸς τοῦ πλήθους ἡ δύναμις ἐργάζεται, κωλυομένη κατὰ τὸν προσήκοντα καιρὸν ἐπὶ τὴν κίνησιν ἐξορμᾷν διὰ πάχος, ἢ πλῆθος χυμῶν ἐμφράττον, ἤτοι τὰ στόματα τῶν πλησίων τῆς καρδίας ἀρτηριῶν, δι' ὧν ἕλκει τε καὶ αὖθις ἐκπέμπει τὰς ὕλας, ἢ καὶ μέχρι τινὸς ἀπὸ τῶν στομάτων ὅλην τῶν ἀγγείων τὴν εὐρύτητα. πολλάκις δ' ἔξωθεν αὐταῖς περιχυθὲν τὸ τοιοῦτον πλῆθος οἷον δεσμὸς γίνεται, τὸ μέν πού τε βαρῦνον αὐτὰς οἷον φορτίον, ἔστι δ' ὅτε καὶ τὰς

ex cordis inaequali intemperie constare; difficiliorem porro esse unius pulsus inaequalitatem ea quae in acervo consistit. Quinetiam haudquaquam moveri arteriarum, quod vocatur intermittere, sive in unum pulsum, sive in acervum inciderit, periculosum est, ut nulla omnium specierum alia, quae inaequales sunt. At seorsum de utriusque generis omnibus speciebus dicendum est, incipiendumque a pulsuum collectiva inaequalitate. Meditemur vero orationem, primum in aequalitate collectiva, quod apertior inaequalitate sit unius pulsus. Intermittentes pulsus facultas, vel quod gravetur ab humorem copia, creat impedita quo minus motum debito tempore auspicetur, vel per crassitudinem, vel per copiam humorum, quae obstruat, aut oscilla cordi vicinarum arteriarum, qua attrahit materiam rursusque emittit; aut ex oscillis quodamtenus universam vasorum capacitatem. Saepe etiam foris illis, quasi vinculum sit, copia ejuscemodi offunditur, nonnunquam instar oneris gravat; interdum

χώρας, εἰς ἃς διαστέλλονται κατα(130)λαμβάνον, ἐνίοτε δὲ καὶ φλεγμονή τις, ἢ σκίῤῥος, ἤ τις ἕτερος ὄγκος τοιοῦτος ἐν τοῖς περιέχουσι τὰς ἀρτηρίας σώμασι συνιστάμενος [261] ἐμποδὼν ἵσταται ταῖς διαστολαῖς αὐτῶν. εἰ δὲ καὶ κατὰ τοὺς χιτῶνας αὐτῶν τῶν ἀρτηριῶν τοιοῦτόν τι συσταίη, μείζων ὁ κίνδυνος· εἰ δὲ καὶ κατὰ τὸ τῆς καρδίας αὐτῆς σῶμα, τοῦτο μὲν ἤδη κακὸν ἔσχατον, ἐξαιφνίδιον γὰρ οἱ τοιοῦτοι συγκόπτονται. οὐ μὴν ἥ γε δυσκρασία τῆς καρδίας ὁμοίως ὀλέθριος, ἀλλ' ἐπιεικεστέρα μακρῷ φλεγμονῆς. ἕπεται δ' αὐτῇ δυνάμεως ἀῤῥωστία. καὶ ὅ γε ἀμυδρὸς σφυγμὸς οὐκ ἄλλου τινός ἐστιν ἢ τῆς τοιαύτης διαθέσεως γνώρισμα. συμμέτρως μὲν γὰρ ἔχουσα κράσεως ἡ καρδία τὸν σφοδρὸν σφυγμὸν ἀπεργάζεται, μοχθηρῶς δὲ τὸν ἀμυδρόν. τὸ δ' ἧττόν τε καὶ μᾶλλον ἑκατέρῳ διά τε τὴν τῆς εὐκρασίας ἐπίτασίν τε καὶ ἄνεσιν. ἐδείχθη γὰρ πλάτος ἔχειν, καὶ διὰ τὴν τῆς δυσκρασίας οὐδὲν ἧττον ὑπάρχον τοῖς σφυγμοῖς. ἀλλὰ μόνη μὲν ἡ δυσκρασία μικρὸν καὶ ἀμυδρὸν ἀποτελεῖ τὸν σφυγμὸν, οὐ μὴν ἤδη γέ πω καὶ ἀνώμαλον, εἰ μὴ παραβαλλομένη τοῖς χυμοῖς ἡ δύναμις, ὅσοι τε κατ' αὐτὴν τὴν καρδίαν εἰσὶ

etiam fpatia in quibus diftenduntur occupat; eft quum inflammatio, vel fcirrhus, vel alius id genus tumor, qui cingentia arterias corpora teneat, earum arceat diftentiones; fi vero ipfarum arteriarum tunicis tale quid infederit, majus eft difcrimen; at vero fi ipfius corpus cordis, hoc jam malum eft extremum, etenim hi fubito fyncope corripiuntur. At intemperies cordis non eft perinde exitialis, imo vero inflammatione longe mitior; cujus quidem imbecillitas facultatis comes eft, pulfus languidus, praeterque eum affectum indicat nihil. Nam moderato cor praeditum temperamento pulfum edit vehementem, pravo languidum; ac eft in utroque exceffus et defectus, prout major vel minor fit temperamenti mediocritas, etenim latitudinem demonftravimus habere, quam pulfus habent etiam non minus ex majore, vel minore intemperie. Verum parvum et languidum fola intemperies pulfum reddit, non ftatim inaequalem tamen; nifi cum humoribus facultas comparata contentis in ipfo

καὶ ὅσοι κατὰ τὰς πλησίον αὐτῆς ἀρτηρίας τε καὶ φλέβας, ἐλάττων αὐτῶν φαίνοιτο κατὰ τὴν ἰσχὺν, ὅπερ οὐδὲν ἄλλ' ἐστὶν ἢ τὸ πρὸς τὴν δύναμιν πλῆθος. ἐν γὰρ ταῖς τοιαύταις διαθέσεσιν ἀνωμαλία τις ἐξ ἀνάγκης συνυπάρξει τοῖς μικροῖς καὶ ἀμυδροῖς σφυγμοῖς. ἔνθα δ' ἀῤῥωστεῖ μόνον ἡ τῆς καρδίας δύναμις, οὐ μὴν βαρύνεταί γε πρὸς τῶν χυμῶν, ἐνταῦθα μικροὶ καὶ ἀμυδροὶ πάντως εἰσὶν οἱ σφυγμοὶ διὰ τὴν ἀτονίαν τῆς δυνάμεως, ἀνωμαλία δ' οὐδεμία σύνεστιν αὐτοῖς, εἰ μή ποτε ἄρα καὶ αὐτὸ τῆς καρδίας τὸ σῶμα δυσκρασίαν ἀνώμαλον ἐπιδέξεται, περὶ ἧς ὀλίγον ὕστερον εἰρήσεται. νυνὶ δ' ἐπὶ τοὺς διαλείποντας ἐπάνειμι, παρακειμένους μὲν τοῖς ἀραιοτέροις, διοριζομένους δ' αὐτῶν τῷ ῥυθμὸν ὅλον ἀπολωλεκέναι σφυγμοῦ κατὰ τοὺς διαλείποντας. εἰ δὲ μὴ μόνον ἑνὸς σφυγμοῦ χρόνον ἡσυχάσειεν, ἀλλὰ καὶ πλέονα, σαφέστερόν τι ἂν ὁ τοιοῦτος διαλείπων φαίνοιτο καὶ κινδυνωδέστερος εἰς τοσοῦτον ἔσται τοῦ πρόσθεν εἰς ὅσον ἂν ἐπὶ πλέον ἡσυχάζῃ. ὥστε οὐκ οἶδα εἴ τινα σωθῆναι δυνατόν ἐστι δυοῖν σφυγμῶν χρόνον ἡσυχαζούσης τῆς ἀρτηρίας. ἑνὸς δὲ σφυγμοῦ χρόνον ἢ καὶ βραχεῖ πλέον πολλάκις ἐθεασάμεθα,

corde, et in continentibus cum ipſo arteriis venisque robore iis cedat; quod aliud nihil eſt ac copia humorum facultate major. In ejuscemodi enim affectibus adjuncta neceſſario ad parvos ac languidos pulſus inaequalitas eſt. At quum debilitata duntaxat facultas eſt cordis, non gravatur tamen ab humoribus, hic omnino pulſus parvi ſunt et languidi ex facultatis imbecillitate; nulla vero illis adeſt inaequalitas, niſi quando ipſum etiam corpus cordis inaequali intemperie detineatur, de qua paulo poſt dicemus. Nunc ad intermittentes me refero, qui rarioribus finitimi ſunt, verum ab iis ſecernuntur, quod rhythmum pulſus totum intermittentes perdiderunt. Quod ſi non unius modo tempus quieſcat, ſed diutius etiam, clarius is intermittere videatur, periculoſiorque hoc erit priore quo quieſcat diutius. Itaque quum duorum pulſuum tempus arteria quieſcat, haud ſcio an ſuperſtes eſſe quisquam poſſit. Unius certe tempus pulſus aut paulo amplius ſaepenumero conſpeximus, in-

διαλειπούσης τῆς κινήσεως τῶν ἀρτηριῶν, ἀναῤῥωσθέντα τὸν ἄνθρωπον, καὶ μάλισθ᾽ ὅταν ἄγῃ πρεσβυτικὴν ἡλικίαν, καίτοι τάχ᾽ ἂν δόξειεν ἄλογον εἶναι τὸ τοιοῦτον. εἰ γὰρ καὶ ἄλλως ἀσθενής ἐστιν ὁ γέρων καὶ κάμνουσιν αἱ δυνάμεις αὐτῷ καὶ πρὸ τοῦ νοσεῖν, τί ποτε χρὴ προσδοκᾷν ἀποβήσεσθαι τῷ διὰ τὴν ἡλικίαν καμάτῳ προσγενομένου τοῦ διὰ τὴν νόσον; ἀλλ᾽ ὡς ἔοικεν, οὐ ταύτῃ χαλεπόν ἐστιν, ἀλλ᾽ ἐκείνῃ μᾶλλον ἐπιεικὲς, ὅτι τὰς ἀσθενεῖς δυνάμεις ὑπὸ μικρῶν πολλάκις αἰτίων ἐπηρεάζεσθαι συμβαίνει, τὰς δ᾽ ἰσχυρὰς ὑπὸ τῶν μεγίστων μόνον νικᾶσθαι. ταῦτά τοι καὶ ὅσοι ταῖς ἕξεσιν ἰσχυροὶ καὶ χρόνῳ παμπόλλῳ διετέλεσαν ἄνοσοι κινδυνεύουσι νοσήσαντες, οἱ δ᾽ ἀσθενεῖς καὶ συνεχῶς ὑπὸ παντὸς αἰτίου βλαπτόμενοι ῥᾶστα διασώζονται, ὅτι δηλαδὴ τούτων μὲν οὐδεὶς ἀναμένει μέγεθος αἰτίου, φθάνων ὑπὸ παντὸς ἐπηρεάζεσθαι καὶ τοῦ σμικροτάτου, τῶν δ᾽ ἰσχυρῶν ἡ ῥώμη πρὸς ἅπαν ἀπομάχεται τὸ μικρὸν κακὸν, ὥσθ᾽ ὑπὸ μόνων νικᾶσθαι τῶν μεγάλων. γέροντες μὲν οὖν διὰ τοῦτο τοὺς διαλείποντας σφυγμοὺς ἧττον ὀλεθρίους ἔχουσι τῶν ἀκμαζόντων. οἱ δὲ δὴ παῖδες ἑξῆς, ὅτι τήν τε πεπτικὴν δύναμιν ἰσχυρό-

termittente motu arteriarum superstitem hominem fuisse, praesertim quum aetatem ageret senilem, quanquam hoc videri absurdum possit; etenim si vel sua sponte imbecillus senex est, laborantque ejus etiam ante valetudinis infirmitatem facultates, quem expectemus eventum, si ad aetatis imbecillitatem altera accesserit ex morbo? Nempe hac de re non est periculosum, sed eo potius leve, quod imbecillae facultates a parvis saepe causis fiat ut offendantur, at firmae tantum dejiciuntur a maximis. Itaque qui habitu sunt valente et admodum diu in morbos non inciderunt, periclitantur, si incidant, at vero imbecilli, quique assidue objecti ad omnes causas sunt, facillime servantur; quod scilicet de his nemo, quum a qualibet laedatur vel minima, expectet causam magnam; robur validorum omnem excipit causam parvam, ut a solis magnis vincatur. Quamobrem intermittentes pulsus minus habent senes quam juvenes perniciales: mox pueri ab illis, quod (quia quum concoctri-

τατοι καὶ τὸ σῶμα μαλακώτατοί τε καὶ ῥᾳδίως διαπνεόμενοι, ἐκπέπτουσί τε οὖν καὶ διαφοροῦσι τάς τε ἀνωμάλους δυσκρασίας καὶ τὸ πλῆθος καὶ τὸ πάχος τῶν χυμῶν. συμβαίνει δὴ καὶ τούτους ἧττον κινδυνεύειν τῶν ἀκμαζόντων ἐν τοῖς διαλείπουσι σφυγμοῖς, διὰ διττὴν αἰτίαν, ὅτι τε τὴν σφυγμικὴν δύναμιν ἀσθενεστέραν ἔχουσι τῆς τῶν ἀκμαζόντων, [262] ὥσθ' ὑπὸ βραχυτέρων αἰτίων ἑτοιμότερον νικᾶσθαι, καθάπερ οἱ γέροντες, καὶ ὅτι τὴν πεπτικὴν ἰσχυροτέραν, ὡς ῥᾷον ἐπανορθοῦσθαι τὰ λυποῦντα. πρόσεστι δὲ καὶ τὸ τῆς διαπνοῆς ἕτοιμον, οὐ μικρὸν ἀγαθὸν εἰς ἐπανόρθωσιν νοσημάτων, ὡς καὶ πρὸς Ἱπποκράτους ἐλέγετο. εἰ μὲν οὖν ἀρέσκοιτό τις τοῖς εἰρημένοις λογισμοῖς, ἔνεστιν αὐτοῖς χρῆσθαι, εἰ δ' οὐκ ἀρέσκοιτο, τὸ γοῦν ἐκ τῆς πείρας φαινόμενον ἴστω τοιοῦτον ὑπάρχον οἷον εἴρηται. μάλιστα μὲν οὖν οἱ ἀκμάζοντες, ἧττον δ' αὐτῶν οἱ παῖδες, ἥκιστα δ' οἱ γέροντες ἐν τοῖς διαλείπουσι κινδυνεύουσιν. οὐδὲν δὲ θαυμαστὸν ὀλεθριωτάτην εἶναι τῶν ἀνωμαλιῶν τὴν διαλειπτικήν. αἱ μὲν γὰρ ἄλλαι πλημμελεῖς πώς εἰσι κινήσεις, ἡ δὲ κατὰ

ee facultate sint validissima tum corpore mollissimo atque facile perspirabili) concoquant, digerantque per halitum intemperies inaequales, copiamque humorum et crassitudinem. Quare etiam hi in minus periculum veniunt quam juvenes, quum pulsus intermittunt, duobus nominibus; nam tum quod facultate quae pulsibus praesidet imbecilliore quam juvenes sint, ut a minoribus causis, sicut senes, superentur proclivius, tum quod concoctrice firmiore, ut facile offensae corrigantur. His additur perspiratus facilitas, non mediocre ad tollendos morbos momentum, quod etiam Hippocrates confirmavit. Hae si tibi rationes probantur, utaris licet; sin secus, at ut docet experientia, rem scito ita ut diximus habere. Itaque praeter caeteros in pulsibus intermittentibus juvenes, minus his pueri, minime senes in periculum vocantur. Neque vero quicquam habet admirationis inaequalium perniciosissimum esse intermittentem; nam caeteri quidem vitiosi aliquatenus sunt motus; at

τὸ διαλείπειν ἐν στερήσει κινήσεώς γίνεται. καθ' ὃν γὰρ χρόνον ὁ σφυγμὸς διαλείπει, κατὰ τοῦτον οὐδόλως ἡ ἀρτηρία κινεῖται. καὶ σχεδὸν εἰς ὅσον ἀλλήλων διαφέρουσιν ὑγεία καὶ θάνατος καὶ νόσος, εἰς τοσοῦτον καὶ ἡ κατὰ φύσιν κίνησις ἀκινησίας τε καὶ μοχθηρᾶς κινήσεως. ἡ μὲν γὰρ κατὰ φύσιν κίνησις οἷόν περ ὑγεία, ἡ δὲ μοχθηρὰ κίνησις οἷόν περ ἡ νόσος, ἡ δ' ἀκινησία θανάτῳ προσέοικεν. οἷς μέντοι δοκεῖ κατὰ τὰς ἐνεργείας αὐτὰς γίνεσθαι τό θ' ὑγιαίνειν καὶ τὸ νοσεῖν, οὐ κατὰ τὰς τοῦ σώματος διαθέσεις, ἀφ' ὧν ἐνεργοῦμεν, τούτοις οὐχ οἷόν περ ὑγεία τις ἡ κατὰ φύσιν κίνησις τῶν ἀρτηριῶν, ἀλλ' ἄντικρυς ὑγεία λεχθήσεται. κατὰ ταῦτα γοῦν καὶ ἡ πλημμελὴς κίνησις οὐχ οἷόν περ νόσος, ἀλλ' αὐτὸ δὴ τοῦτο νόσον, ἡ δ' ἀκινησία νέκρωσίς τις, εἰ μὲν ἐπὶ πλέον γένοιτο παντελής, εἰ δ' ἄχρι τοῦ δοκεῖν ἑνὸς σφυγμοῦ χρόνοιν δυοῖν ἡσυχάζειν, οἷόν περ κάρος, ἢ ἀποπληξία τις, ἢ παράλυσις τῶν καθ' ὁρμὴν ἐνεργειῶν. οἷα γὰρ ταῦτα περὶ ἑτέραν ἀρχήν ἐστι τὴν ἐν ἐγκεφάλῳ, τοιοῦτό τι καὶ ἡ τῶν σφυγμῶν ἡσυχία περὶ τὴν ἐν τῇ καρδίᾳ, καὶ ὥσπερ ἐπ' ἐκείνης

intermittens in motus positus est abolitione; siquidem quo tempore intermittit pulsus, tum nihil arteria movetur. Ac fere quantum inter se sanitas, mors et morbus differunt, tantum naturalis motus ab immobilitate et pravo motu; quod naturalis motus sit instar sanitatis, vitiosus motus morbi et immobilitas imaginem referat mortis. Nam qui in ipsis functionibus statuunt sanitatem et morbum, non in corporis dispositionibus, ex quibus functiones obimus, his non instar est sanitatis motus arteriarum naturalis, caeterum aperte dicetur sanitas, itemque vitiosus motus non instar morbi, sed ipse scilicet morbus; ac immobilitas extinctio quaedam atque mors, siquidem integra diutius constet; nam si hactenus procedat, ut unius pulsus vel alterius videatur tempus quiescere, instar veterni est, aut apoplexiae cujuspiam, aut resolutionis actionum voluntariarum. Qualia enim haec in aliud principium sunt, quod sedem habet in cerebro, tale quiddam pulsuum est quies adversus principium quod in corde situm est. Et ut recte de illa est

Ed. Chart. VIII. [262.] Ed. Baf. III. (130.)

ὀρθῶς εἴρηται λύειν ἀποπληξίην, ἰσχυρὴν μὲν ἀδύνατον, ἀσθενέα δὲ οὐ ῥηΐδιον, οὕτω κἀνταῦθα καλῶς εἰρήσεται, λύειν ἀκινησίαν σφυγμῶν μακροχρόνιον μὲν ἀδύνατον, βραχυχρόνιον δὲ οὐ ῥᾴδιον. μακροχρόνιος μὲν οὖν ἐστιν ἡ δυοῖν σφυγμοῖν χρόνον ὑπερβαίνουσα, βραχυχρόνιος δὲ ἡ τοῖν δυοῖν ἐντός. ἡ δὲ περὶ τῶν ἑνὸς σφυγμοῦ χρόνων ἡσυχία μετριωτάτη τῶν διαλήψεών ἐστι καὶ πολλοὶ διεσώθησαν ἐκ ταύτης γέροντές τε καὶ παῖδες, ἀκμάζων δ' οὐδεὶς οὐδὲ ἐκ ταύτης. ἀλλ' ὑπ' ἀγνοίας ἔνιοι τὴν μακρὰν ἀραιότητα διάληψιν εἶναι νομίζοντες ἡγοῦνται σεσῶσθαί τινας ἀκμάζοντας ἐκ τῆς τοιαύτης κακοσφυξίας. ἔστι μὲν οὖν καὶ ἥδε χαλεπὴ, καὶ μάλιστα τοῖς ἀκμάζουσιν, οὐ μὴν ὀλέθριος πάντως· ἐπὶ μέντοι τῶν παίδων τε καὶ τῶν γερόντων ἔτι δὴ καὶ μᾶλλον ἐπιεικής. ὅ γε μὴν θάνατος ἐξαιφνίδιος ἐπὶ τοῖς διαλείπουσι γίνεται σφυγμοῖς ἀνάλογον ἀποπληξίᾳ. σβέννυται γὰρ ἐν ἀμφοτέροις ἡ ἐν τῇ καρδίᾳ θερμότης, ἀναπνοῆς στερηθεῖσα. ἀραιότης μὲν οὖν διαλείποντος σφυγμοῦ διώρισται τῷ μήκει τοῦ χρόνου· προσδιορισθήσεται δ' ἐνίοτε καὶ τῷ τὴν μὲν ἀραιότητα

dictum, *apoplexiam solvere impossibile esse, si ingens sit, sin levis sit, non sine magno negotio*, ita etiam dicetur hic recte, quies pulsuum, si sit diuturna, ut tollatur non fieri posse; sin brevis sit, non citra negotium. Porro diuturna est quae excedit duorum pulsuum tempus; brevis quae intra duorum pulsuum tempus manet. Quies vero temporum unius pulsus inter omnes intermissiones moderatissima est, multique ex ea senes pariter et pueri evaserunt, juvenum autem ne ex hac quidem ullus. Verum longam raritatem quidam imperitia adducti, quod intermissionem existimarent esse, ex hoc pulsus vitio quosdam arbitrati sunt juvenes fuisse superstites. Est quidem haec quoque gravis, praecipue juvenibus, non tamen plane exitialis, pueris et senibus multo etiam levior. Porro autem mors a pulsibus intermittentibus repentina corripit, non aliter ac ab apoplexia, utrobique enim cordis calor extinguitur destitutus respiratione. At raritas quidem ab intermittente pulsu discernitur prolixitate temporis, interdum etiam quod raritas interim

καὶ μεθ' ὁμαλότη(131)τός ποτε συνίστασθαι πάντων τῶν πληγῶν, τὸν διαλείποντα δὲ σφυγμὸν ἐξ ἀνάγκης ἀνώμαλον γίνεσθαι, ἐνίοτε μὲν γὰρ διὰ τριῶν, ἐνίοτε δὲ διὰ τεσσάρων, ἔστι δ' ὅτε διὰ πέντε πληγῶν, ἢ καὶ πλειόνων, εὑρίσκεται διαλείπων τε καὶ ἡσυχάζων ἕνα χρόνον ἢ καὶ πλέονα κινήσεως, συμμεταβάλλεται δ' εὐθὺς αὐτῷ καὶ τῶν ἄλλων τι γενῶν εἰς ἀνωμαλίαν τρεπόμενον. οὐ μὴν ἀλλὰ καὶ τοῦτο ταῖς ἐκτεταμέναις ἐπὶ πλείονα χρόνον ἀραιότησιν ἀχώριστον ὑπάρχει, τὸ βραδυτέραν τοῦ προσήκοντος ἀποτελεῖσθαι τὴν κίνησιν, ἐνίοτε μὲν εἰς τοσοῦτον εἰς ὅσον περ καὶ ἡ ἀραιότης, ἐνίοτε δ' ἐπὶ πλέον, ἢ ἔλαττον, ὡς ἂν ἡ τὴν τοιαύτην κακοσφυξίαν ἐργαζομένη διάθεσις ἔχῃ. [263] κατάψυξις δ' ἐστὶν ἰσχυρὰ τῶν τοιούτων σφυγμῶν αἰτία τῆς γενέσεως, ἤτοι κατὰ τὸ σῶμα τῆς καρδίας, ἢ κατὰ τὸ πνεῦμά τε καὶ αἷμα τὸ ἐν ταῖς κοιλίαις αὐτῆς, ἢ κατά τι τῶν ὁμιλούντων μορίων. ἡ μὲν οὖν κατὰ τὸ σῶμα τῆς καρδίας αὐτὸ κατάψυξις μεγάλη εἰς τοσοῦτο καὶ τοὺς σφυγμοὺς ἀμυδροὺς ἐργάζεται καὶ βραδεῖς καὶ μικροὺς εἰς ὅσον ἂν καὶ αὕτη δυναστεύῃ· ἡ δ' ἀπό τινος τῶν ἄλλων ὁρμωμένη τὴν ἀραιό-

habet aequalitatem conjunctam omnium ictuum: intermittens autem pulfus necellario eft inaequalis; nunc enim in trinis, nunc in quaternis, ac nonnunquam in quinis ictibus, vel etiam in pluribus intermittere invenitur, et quiefcere unum motus tempus, aut etiam plura. Jam fimul cum illo aliquod mutatur aliud genus, convertiturque ad inaequalitatem. Et hoc etiam in raritatibus diuturnioribus eft perpetuum, ut tardior quam par eft reddatur motus, nunc tanto quanto raritas, nunc plus, aut minus, prout qui id pulfus vitium concitat comparatus affectus fit. Eft autem eorum pulfuum ingens frigiditas caufa generandorum, quae occupet vel corpus cordis, vel fpiritum et fanguinem, quem continent ejus finus, vel partem aliquam vicinam. Atque fi corpus ipfum cordis teneat ingens frigiditas, ita languidiffimos reddit pulfus et tardiffimos et minimos, ut maxime haec viget, quae vero proficifcatur ex parte alia,

τητα πλέον ἢ τὰ ἄλλα τὰ εἰρημένα γένη τοῦ κατὰ φύσιν ἐξίστησιν. ὥστ' ἔνιοί τινες ἐξ αὐτῶν οὐ πολὺ τῶν κατὰ φύσιν ἐλάττους τε καὶ βραδυτέρους καὶ ἀμυδροτέρους ἔχοντες τοὺς σφυγμοὺς ὅμως ἀπόλλυνται διὰ ταχέων. ὁ δὲ θάνατος ἀφυκτότερος μέν ἐστιν, ὅταν αὐτὸ τὸ σῶμα τῆς καρδίας δέξηται τὴν κατάψυξιν, ἐξαιφνίδιος δὲ γίνεται καὶ κατὰ τὴν ἑτέραν διαφοράν. καὶ ἀποθνήσκουσιν οἱ μὲν πρότεροι κοιμώμενοι μᾶλλον, ὡς μηκέτ' ἐξαναστῆναι, οἱ δὲ δεύτεροι καὶ οὕτως μὲν, ἀλλὰ καὶ διαλεγόμενοί τινες ἐξ αὐτῶν, ὡς δοκεῖν τοῖς ἰδιώταις μηδὲν ἔχειν ἄτοπον, ἐξαίφνης οἷόν περ λειποθυμήσαντες ἀπέθανον, οἱ μὲν ἐφιδρώσαντες, οἱ δὲ καὶ χωρὶς τούτου. καὶ καταλαμβάνει τὸ σύμπτωμα τοῦτο καὶ ἡ διάθεσις αὕτη καὶ τῶν ἐν νόσοις μέν τινας, ὅταν ἀπύρετοι γένωνται παραλόγως, καὶ τῶν ὑγιαινόντων δέ τινας ἐν πρεσβυτικῇ μάλιστα τῇ ἡλικίᾳ. ἀραιότης μὲν οὖν σφυγμῶν εἰς τοσοῦτον ὀλέθριος. καὶ μὲν δὴ καὶ οἱ διαλείποντες ἔτι καὶ μᾶλλον, εἴ γε καὶ ἡ γένεσις αὐτῶν ἐπιτεινομένης τῆς ἀραιότητος καὶ ἡ λύσις ἐπάνοδος εἰς τὴν ἀρχαίαν συμμετρίαν ἐστὶ

raritatem longius quam caetera quae diximus genera a natura avertit. Itaque quidam in illis funt, qui quum pulfus habeant, non longe minores jufto et tardiores languidioresque tamen e veftigio pereunt. Mors autem tum minus poteft declinari, quum teneat frigiditas corpus ipfum cordis, repentina porro et in altera differentia fit. Ac moriuntur priores illi inter dormiendum potius, ut jam non amplius expergifcantur; alteri hi quum illo modo tum etiam inter loquendum nonnulli eorum, ut imperitis commode videantur habere fubito, ut qui animo deficiunt, expirant; quorum quibusdam fimul prorupit fudor, aliquibus non prorupit. Hoc fymptoma atque hic affectus quosdam aegrotantes, quum febre liberantur praeter rationem, ac etiam nonnullos fanos potiffimum in fenectute arripit. Ac raritas quidem pulfuum tantam habet perniciem, ac intermittentes multo majorem, fiquidem generantur hi producta raritate, ac quum procurantur, revertuntur per raritatem ad priftinam

δι' ἀραιότητος, οὐδεὶς γὰρ τῶν σωθέντων ἐπὶ διαλείπουσι σφυγμοῖς ἑτέρως ἐσώθη, ἀλλὰ καθ' ὃν εἴρηται τρόπον ἅπαντες, ἀραιότητος μὲν πρῶτον ἱκανῶς ἐκτεταμένης διαδεξαμένης τὸν διαλείποντα σφυγμὸν, ἐπ' αὐτῇ δ' ἀεὶ καὶ μᾶλλον ὀλιγοχρονιωτέρας γινομένης τῆς ἡσυχίας ἄχρι τοῦ τὴν κατὰ φύσιν ἀπολαβεῖν συμμετρίαν.

Κεφ. ε'. Ἐναντίοι δ' εἰσὶ τοῖς εἰρημένοις σφυγμοῖς ἕτεροι δύο, τῷ μὲν ἀραιῷ πυκνὸς, τῷ διαλείποντι δ' ὁ παρεμπίπτων, οὓς ὁ Ἀρχιγένης ἔοικεν οἴεσθαι χαλεπωτέρους εἶναι τῶν προειρημένων, ἐξαπατώμενος ὑπὸ τῶν πυκνῶν, ὅτι καὶ προηγοῦνται καὶ συνεδρεύουσι συγκοπαῖς· ἐπὶ δὲ τῶν παρεμπιπτόντων, ὅτι περιπνευμονικοῖς ἐνίοτε προσπίπτουσιν ὀλεθρίως ἔχουσι καὶ πυρετοῖς ἔστιν ὅτε, καθ' οὓς ἔμφραξις ἢ θλίψις ἐστὶν ἀρτηριῶν κυρίων. οὐ μὴν εἴς γε τὴν γένεσιν ἀποβλέψαντι τῶν τοιούτων σφυγμῶν ἀληθὴς ἡ δόξα φαίνεται τοῦ Ἀρχιγένους. ὁ μὲν γὰρ παρεμπίπτων ἐπ' ἀνωμάλῳ γίνεται πυκνότητι, διὰ τὸ πολλάκις ἐνδεέστερον τῆς χρείας ἐνηργηκέναι τὴν καρδίαν. αὐτὸ δὲ τοῦτο πάλιν ἤτοι βαρυνομένης γίνεται τῆς καρδίας ὑπὸ πλήθους, ἢ τῶν ὀργάνων

mediocritatem. Nullus enim fuit qui ab intermittentibus pulfibus alia ratione fuperfies effet, verum quomodo dixi omnes; producta enim primum admodum raritas excipit intermittentem pulfum, ab illa quies fit etiam, atque etiam brevior, dum reditum fit ad naturalem mediocritatem.

Cap. V. Illis pulfibus quos commemoravimus adverfantur alteri duo, raro creber, intermittenti intercurrens, quos illis Archigenes arbitratur perniciofiores effe, a crebris falfus, quod et praecedant et focii fint fyncopes, atque ab intercurrentibus, quod peripneumonicis interim, qui in ftatu periculofo funt, accidant, nonnunquam item febribus, in quibus obftructae vel compreffae funt principes arteriae. Atqui fi originem refpicias horum pulfuum, vanam reperias fententiam Archigenis; nam intercurrens ex crebritate fit inaequali, quod functionem obiit cor minus plenam ac poftularet ufus. Jam id ipfum fit, ubi a copia humorum oneratum cor fit, aut inftrumenta obftructa, aut

ἐμπεφραγμένων, ἢ στενοχωρουμένων, ἅπερ, οἶμαι, καὶ τῶν διαλειπόντων ἦν αἴτια· διαλλάττουσιν οὖν ἀλλήλοις τῷ τοὺς μὲν παρεμπίπτοντας ἀπομαχομένην τε καὶ διαγωνιζομένην τοῖς ἐνοχλοῦσιν αἰτίοις ἔχειν τὴν δύναμιν, τοὺς δὲ διαλείποντας ὀκνοῦσαν τοῦτο πράττειν. ἀμέλει πολλάκις οἱ παρεμπίπτοντες σφυγμοὶ κρίσιν ἤνεγκαν. εἰ γάρ καί ἐστιν ὥσπερ κατ' ἄπειρον τῆς εἰς ἀγῶνα παρασκευαζομένης φύσεως. εἰ δὲ ἐκ τῶν τοιούτων κρίσεων ἀπόλλυνταί τινες, οὐδὲν τοῦτο πρὸς τὸ χαλεπωτέραν εἶναι τὴν τῶν παρεμπιπτόντων διάθεσιν τῆς τῶν διαλειπόντων. πολὺ πλείους γὰρ ἐκ τῶν διαλειπόντων ἀπόλλυνται, κατὰ δὲ τὸν αὐτὸν τρόπον κᾀκ τῶν ἱκανῶς ἀραιῶν ἤπερ ἐκ τῶν πυκνῶν. οἱ γοῦν περικαεῖς ἅπαντες πυρετοὶ πυκνὸν ἔχουσι τὸν σφυγμὸν, [264] ἔνιοί τινες αὐτῶν ὄντες ἀκίνδυνοι. οἱ δ' ἐν ταῖς συγκοπαῖς πυκνοὶ διὰ τὴν ἀμυδρότητα κινδυνώδεις εἰσὶν, ἀχώριστον οὖσαν ἁπασῶν συγκοπῶν, καὶ χρὴ, οἶμαι, τοὺς ἀμυδροτάτους σφυγμοὺς εἴπερ τινὰς καὶ ἄλλους κινδυνώδεις νομίζειν, οἷοί περ οἱ τῶν συγκοπτομένων εἰσὶν, ὅλως δ' ἐπισκέψασθαι καλῶς ἔχει περὶ τῶν ἐν ἅπασι τοῖς τῶν σφυγμῶν γένεσιν ἀκρο-

in arctum coacta, quae quidem caufae erant etiam intermittentium. At diffident haec re inter fefe, quod repugnat in intercurrentibus et decertat cum noxiis caufis facultas in intermittentibus, hoc piget illam facere. Sane judicationem faepe pulfus intercurrentes attulerunt; eft enim et veluti conatus quidam naturae ad pugnandum paratae. Quod fi qui ex ejusmodi judicationibus extincti funt, non hoc arguit majoris periculi effe affectum pulfuum intercurrentium quam intermittentium; multo enim major numerus perit ex intermittentibus et item quoque ex valde raris quam ex crebris. Certe quidem febres omnes valde urentes pulfum habent crebrum, quarum extra periculum quaedam funt. Qui vero in fyncope funt crebri, propter remiffionem funt periculosi, quae perpetuo conjuncta eft cum omnibus fyncopis. Et vero languidiffimi pulfus, fi qui alii, periculofi funt habendi; quales in fyncope funt. Omnino attendere convenit extremitates in omnibus generibus pul-

Ed. Chart. VIII. [264.] Ed. Baſ. III. (131.)

τήτων. ὅτι μὲν γὰρ ὀλέθριοι καὶ πρὸς Ἀρχιγένους ὡμολόγηται. ποία δ' ὀλεθριωτάτη πασῶν ἐστιν οὔτ' ἐκεῖνος οὔτ' ἄλλος τις ἀκριβῶς ἐπεσκέψατο. καίτοι δῆλον ὡς ὅση περ ἂν ἀκρότης σφυγμῶν φαίνηται τῶν ἄλλων ὀλεθριωτάτη, καὶ τὸ κατ' ἐκείνην γένος ὀλεθριώτατον εἰκότως νομισθήσεται τῶν ἄλλων γενῶν. οὕτω δὲ καὶ εἰ παραβάλλοντες ἓν ἑνὶ, τὸ κατὰ θάτερον αὐτῶν ἄκρον εὑρίσκοιμεν ὀλεθριώτερον, οὐκ ἂν ἀλόγως οὐδὲ τὸ γένος ὅλον τοῦ γένους ὀλεθριώτερον εἴποιμεν. ἡ μὲν οὖν ἄκρα πυκνότης οὐδὲν ἧττον τῶν συγκοπτομένων ὑπάρχει τοῖς περικαῶς πυρέττουσιν, οὐκ ἐξ ἅπαντος ὀλεθρίως διακειμένοις, ἡ δ' ἀραιότης οὐκ ἔστιν ὅτε ἀκίνδυνος ὑπάρχει, καθάπερ οὐδ' ἡ ἀμυδρότης, οὐδ' ἡ σμικρότης. αἱ μὲν γὰρ τρεῖς αὗται διαφοραὶ τῶν σφυγμῶν εἰς ἄκρον ἥκουσαι κινδυνώδεις εἰσὶ διαπαντὸς, οὐ μὴν τό γε μέγεθος, ὥσπερ οὐδ' ἡ σφοδρότης, ἀλλ' αὐτὴ μὲν μόνη πασῶν ἀκροτήτων οὐχ ὅπως κινδυνώδης, ἀλλὰ καὶ μέγιστον ἀγαθὸν, ἄν πέρ τις αὐτὴν ἐπίστηται διαγινώσκειν. τὸ δ' ἔσχατον μέγεθος, ἐπειδὰν μὲν ἅμα νοσώδει μαλακότητι συνίστηται, κινδυνῶδες,

ſuum; nam exitioſas eſſe vel Archigenes fatetur. At quae ſit exitioſiſſima nec ille nec alius graviter expendit quisquam; et quidem in confeſſo eſt, quae pulſuum extremitas caeterarum pernicioſiſſima videatur, genus etiam illius exitioſiſſimum merito existimandum reliquorum generum. Ita etiam ſi quum alterum alteri comparamus, extremitatem alterius inveniamus exitioſiorem, non immerito totum genus affirmemus exitioſius eſſe. At crebritas quidem ſumma non ſecus ac ſyncopis adeſt febribus vehementer urentibus, quae non prorſus ſunt pernicioſae. Raritas vero nunquam vacat periculo, ſicut nec remiſſio, nec parvitas; ſiquidem tres hae pulſuum differentiae, quum ad ſummum perveniant, perpetuo periculoſae ſunt; at non magnitudo, nec vero etiam vehementia; ſed haec omnium ſola extremorum non modo libera periculo eſt, verum etiam ſummum commodum eſt, ſi dignoſcere eam queas. Ultima magnitudo, ubi conjuncta ſit cum mollitie morboſa, periculum creat, ſin cum

ἐπειδὰν δὲ μετά τινος ὑγιεινῆς τοῦ χιτῶνος συστάσεως, οὐδὲν ἄτοπον ἔχει. μυριάκις γὰρ ἐν τοῖς πυρετοῖς ἀκινδύνοις μὲν, θερμοῖς δὲ καὶ περικαέσιν ὁ σφυγμὸς γίνεται μέγιστος, ὅταν ἡ δύναμις εὔρωστῇ. οὐκοῦν οὐδ' ἐκ τῆς τῶν ἀκροτήτων παραβολῆς οὔτε τὸ τῶν πυκνῶν σφυγμῶν γένος ὀλεθριώτερον ἂν ἐπιδείξειέ τις τῶν ἀραιῶν οὔτε τὸ τῶν παρεμπιπτόντων τοῦ τῶν διαλειπόντων. ἐπεὶ δὲ ὁ λόγος ἔσπευδε μὲν ἐπὶ τὴν περὶ τούτων ἀπόδειξιν μόνων, ἐν παρέργῳ δὲ καὶ περί τινων ἄλλων ἐσκέψατο γενῶν, οὐδὲν ἂν εἴη χεῖρον ἔργον τὸ πάρεργον ποιησαμένους τῇ μνήμῃ παραθέσθαι τὰ διδαχθέντα περὶ μεγάλου τε καὶ μικροῦ καὶ σφοδροῦ καὶ ἀμυδροῦ σφυγμοῦ. κάλλιον δ', εἰ καὶ τὴν λοιπὴν διαφορὰν αὐταῖς προσθείημεν τὴν κατὰ βραδύτητα καὶ τάχος. φαίνεται γὰρ κἀνταῦθα τὸ τῶν ταχέων γένος ἀκινδυνότερον ὑπάρχον τῶν βραδέων, εἴ γε δὴ καὶ ἡ ἄκρα ταχύτης τῆς ἄκρας βραδύτητος. ἡ μὲν γὰρ ἄκρα βραδύτης, ὥσπερ γε καὶ ἡ ἀραιότης, σβεννυμένης ἀποτελοῦνται τῆς ἐμφύτου θερμασίας· ἡ δ' εἰς τὸ τάχος αὔξησις διά τε τὴν χρείαν ἐπείγουσαν γίνεται καὶ πάντως ὑπὸ δυνά-

falubri aliquo arteriae flatu, tum nihil ei fubeft mali; millies enim in febribus, tutis illis quidem, at calidis et valde urentibus, pulfus fit, quum robufta facultas fit, maximus. Quare nec ex comparatione extremorum pulfuum genus crebrorum perniciofius effe raris, vel genus intercurrentium genere intermittentium. Quum vero huic orationi propofita effet horum demonftratio folorum, nunc autem etiam attigit obiter alia quaedam genera; nihil eft factum damni, quod acceflorium, ut fi inftrumentum fit, perfecuta, ob oculos difciplinam illam propofuit de magno, parvo, vehementi languidoque pulfu. Jam praeftiterit etiam ut reliquam illis differentiam addamus tarditatis celeritatisque. Videtur enim et hic quoque velocium genus tardis effe fecurius, fiquidem extrema celeritas extrema tarditate, etenim fumma tarditas non fecus atque raritas tum incidit, quum calor nativus extinguitur. Celeritatis procedit incrementum ab ufu urgente atque omnino a facultate valida.

μεως ἐῤῥωμένης. Ἀρχιγένης δὲ κἀν τούτῳ σφάλλεται τὸν μυρ(132)μηκίζοντα σφυγμὸν ὑπολαμβάνων ταχὺν ὑπάρχειν. οὔτε γὰρ ταχὺς ὅλως ὁ τοιοῦτός ἐστι σφυγμὸς οὔτ' εἰς ἄκρον ἥκει πυκνότητος. ὅτι δ' ἐπιεικεῖς αἱ κατὰ πυκνότητα καὶ μέγεθος καὶ τάχος ἀκρότητες, ἔνεστί σοι κἀνθάδε καταμαθεῖν. ἐπιλεξάμενος ὑγιαίνοντα νεανίσκον ὀξύτατα κέλευσον δραμεῖν, καὶ τὰς τρεῖς εὐθέως εὑρήσεις γινομένας ἀκρότητας, οὐδὲν οὔτ' ἔχοντος οὔθ' ἕξοντος κακὸν ἀνθρώπου. ὁ δὲ σκληρότατος σφυγμὸς, εὔλογον γὰρ καὶ περὶ ταύτης ἀποφήνασθαί τι τῆς διαφορᾶς, ὅπως μηδὲν ἐλλείπῃ τῷ λόγῳ, παραπλησίως ἐστὶ τῷ μαλακωτάτῳ κινδυνώδης. ὁ μὲν γάρ ἐστιν ἤτοι διὰ σκίῤῥον, ἢ φλεγμονὴν τοῦ σπλάγχνου μεγάλην, ἢ πῆξιν ἐκ ψύξεως, ἢ ξηρότητα τὴν ἐκ καυσωδεστάτου πυρετοῦ γινομένην, ἢ σπασμὸν ἰσχυρόν· ὁ δὲ διά τε κῶμα βαθὺ καὶ τοὺς λευκοφλεγματίας ὑδέρους καὶ συλλήβδην εἰπεῖν ἄμετρον ὑγρότητα τῆς ἕξεως τοιοῦτος ἀποτελεῖται. ἀναλαβόντες οὖν αὖθις ἐν κεφαλαίοις τὰ λεχθέντα, τελευτὴν [265] ἐπιθῶμεν ἤδη τῷ λόγῳ. πάντες οἱ σφυγμοὶ τῆς κατὰ φύσιν ἐπὶ πολὺ συμμετρίας ἀποχωροῦντες οὐκ ἀγαθοὶ, ἀλλ' ὁ μὲν ἀμυδρότατός τε καὶ

Archigenes vero etiam hic labitur, qui formicantem pulſum habeat pro celeri, neque is enim pulſus prorſus celer eſt, neque ſummum attingit crebritatis; nam leves eſſe crebritatis, magnitudinis celeritatisque extremitates hinc perſpicias. Delige juvenem ſanum ac velociſſime jube currere; tres mox extremitates citra ullum incommodum hominis vel praeſens vel imminens depreheuderis. Duriſſimus jam pulſus (neque enim haec praetereunda differentia eſt, quo ſit integer et abſolutus ſermo) perinde eſt ut molliſſimus periculoſus. Nam ex ſcirrho ille, aut inflammatione inſigni viſceris, aut ex conſtrictione per frigus, aut ex ſiccitate ab ardentiſſima febre profecta, aut ex valida convulſione; hic ex alto comate et hydrope, leucophlegmatia, unoque verbo ex immodica humiditate habitus gignitur. Quare oratione ſummatim repetita ſermonis hic finem faciamus. Omnes pulſus, qui longe a naturali mediocritate diſceſſerunt, non ſunt boni; languidiſſimus vero et tardiſſimus

βραδύτατος καὶ ἀραιότατος ἁπάντων χείριστος, ἑξῆς δ᾽ αὐτῶν ὁ μικρότατος καὶ μαλακώτατος καὶ σκληρότατος, εἶθ᾽ ὁ πυκνότατος, οὐ μὴν ὁ τάχιστός γε, οὐδέ γ᾽ ὁ μέγιστος, ἀλλὰ μετρίως οὗτοι κινδυνώδεις. μόνος δ᾽ ἐκ τῶν ἄκρων ἄριστος ἁπάντων ὁ σφοδρότατος. Ἀρχιγένης δὲ περὶ τούτων ἑτέρως ἀπεφήνατο, μήτ᾽ ἀπόδειξίν τινα τῷ λόγῳ προσθεὶς, οὐδὲ γὰρ εἶχε, μήτε τὴν ἐμπειρίαν ὁμολογοῦσαν ἔχων, ἀλλὰ παραλογισθεὶς ὑφ᾽ ὧν ὀλίγον ἔμπροσθεν εἶπον. ὅστις οὖν ἐθέλει τῶν ἔργων τῆς τέχνης ἔχεσθαι φιλοπόνως, ἐξεταζέτω τὰ νῦν ὑφ᾽ ἡμῶν εἰρημένα διὰ τῆς τῶν καμνόντων ἐμπειρίας. ἀλλὰ τοῦτο μὲν οἶδ᾽ ὅτι πράξουσιν οἷς ἀλήθεια σπουδάζεται. ἐπεὶ δὲ καὶ περὶ τούτων αὐτάρκως εἴρηται, καιρὸς ἂν εἴη λέγειν ἤδη τι καὶ περὶ τῆς καθ᾽ ἕνα σφυγμὸν ἀνωμαλίας.

Κεφ. στ΄. Ἔστι δὲ κἀνταυθοῖ χαλεπωτάτη πασῶν ἡ διαλείπουσα. γίνεται δ᾽ αὕτη διακοπτούσης ἡσυχίας τὴν διαστολήν. ἰδέαι δὲ πλείους αὐτῆς, ἅπασαι μὲν χαλεπαὶ, διαφέρουσαι δ᾽ ἀλλήλλων τῷ μᾶλλόν τε καὶ ἧττον. ὅταν μὲν γὰρ ἡ δευτέρα κίνησις σφοδροτέρα γίνηται τῆς προτέρας,

rariffimusque omnium peffimi funt; ab illis minimus, molliffimus, duriffimus; inde creberrimus, at non celerrimus, vel maximus, fed funt hi modice periculofi, unus vero inter omnes extremos optimus eft, vehementiffimus. Verum de his aliter fenfit Archigenes, nec ullam tamen demonftrationem in fermone protulit, quam enim haberet? nec ei affentiebatur experientia; fed impofitum ei eft ab illis, quae paulo ante connumeravi. Cui ergo ftat opera artis gnaviter observare meditando ad aegrotos, quae docuimus expendat, quod quidem, certo fcio, facient qui veritatem colunt. Sed quoniam fatis haec explicavimus, nunc jam de inaequalitate in uno pulfu dicendum eft.

Cap. VI. Est periculofiffima hic quoque omnium intermittens. Haec fit, ubi diftentionem interpellat quies, cujus multae funt fpecies, omnes illae quidem periculofae, fed inter fe fecundum magis aut minus diffidentes. Ubi enim vehementior fecundus motus fit priore, commodius

ἐπιεικέστερον, ὅταν δ' ἀμυδροτέρα, χαλεπώτερον. οὕτω δὲ καὶ ἡ μὲν βραδυτέρα χαλεπώτερον σημεῖον, ἡ δὲ θάττων ἐπιεικέστερον. γίνονται γὰρ οἱ τοιοῦτοι σφυγμοὶ διαγωνιζομένης τε ἅμα καὶ ἐμποδιζομένης τῆς φύσεως ὑπὸ τῶν νοσωδῶν αἰτίων. ὅταν μὲν οὖν ἀποσείσασθαί πως αὐτὰ δυνηθεῖσα καὶ οἷον ἐκ δεσμοῦ τινος ἀπολυθεῖσα τὴν μετὰ τὴν ἡσυχίαν κίνησιν ἀμείνονα ποιήσεται τῆς ἔμπροσθεν, ἐπιεικέστερόν ἐστιν, ὁπόταν δὲ χείρονα, χαλεπώτερον. βελτίων δὲ κίνησις ἡ σφοδρὰ καὶ ταχεῖα τῆς ἀμυδρᾶς καὶ βραδείας. ἡ μέντοι κατὰ μέγεθός τε καὶ σμικρότητα διαφορὰ τῆς προτέρας κινήσεως πρὸς τὴν δευτέραν οὐδεμίαν ἀξιόλογον ὑπεροχὴν ἔχει. ἐνδέχεται γὰρ ὁμοίως καὶ ἴσης οὔσης τῆς διαθέσεως ποτὲ μὲν τὸ πρὸ τῆς ἡσυχίας μέρος τῆς κινήσεως μεῖζον, ποτὲ δὲ τὸ μετὰ τὴν ἡσυχίαν, ἔστιν ὅτε δ' ἄμφω γενέσθαι παραπλήσια. κατὰ μέντοι σκληρότητά τε καὶ μαλακότητα διαφορὰ τῶν δύο προσβολῶν τῆς ἀρτηρίας οὐκ ἄν ποτε γένοιτο, διὰ τὸ χρόνου πλέονος ἀεὶ δεῖσθαι τὴν τοιαύτην μεταβολὴν, ὅπου γε κἂν ταῖς συστηματικαῖς ἀνωμαλίαις σπάνιόν ἐστι κατὰ μίαν ἐπίσκεψιν ἀνωμάλῳ κατὰ σκληρότητά τε καὶ μαλακότητα περιτυχεῖν σφυγμῷ. κλονωδεστέρα μέντοι πολλάκις ἡ δευτέρα

est; ubi languidior, periculosius. Jam tardior item signum est periculosius, celerior commodius. Hi enim pulsus generantur, quum simul et certat natura et impeditur ab insalubribus causis. Ergo quum rejicere illas quodammodo valet atque veluti vinculo aliquo soluta motum a quiete praestat priore potiorem, signum est commodius; quum deteriorem, periculosius. Melior autem motus est vehemens et celer languido et tardo. At vero prior motus alterum nihil excedit pene in magnitudinis et parvitatis differentia, potest enim simili parique affectu nunc praecedens quietem pars motus major esse, nunc sequens, nunc ambae esse pares. Caeterum duritie et mollitie nunquam distent arteriae duo occursus, eo quod majus spatium requirat ea mutatio, quum vel in collectivis inaequalitatibus raro in una consideratione pulsum offendas duritie et mollitie inaequalem. Vibratus tamen magis alter saepe occursus tum

Ed. Chart. VIII. [265. 266.] Ed. Baſ. III. (132.)

προσβολὴ φαίνεται τῆς προτέρας ἔν τε τῇ καθ' ἕνα σφυγμὸν ἀνωμαλίᾳ κᾀν τῇ συστηματικῇ. καὶ διὰ τοῦτ' ἂν ἴσως ἐξαπατήσειεν τοὺς ἀνασκητοτέρους, ὡς σκληροτέρα. σύμπτωμα δ' ἐστὶν ὁ κλόνος ἀρτηρίας σκληρᾶς, ἐπιπλέον ἀναγκαζομένης βιαίως διαστέλλεσθαι. γίνεται δ' οὐ σκληροτέρα τηνικαῦτα κατά γε τὴν ἀλήθειαν, ἀλλ' ἐπιπλέον ἀναγκαζομένη βιαίως διαστέλλεσθαι τὸ τοιοῦτον σύμπτωμα πάσχει. καί ἐστιν ἡ κλονώδης προσβολὴ χείρων τῆς ὁμαλοῦς, ὅταν μὴ διά τινα πρόσφατον αἰτίαν ὁ χιτὼν τῆς ἀρτηρίας ἐσκληρυμμένος ᾖ, χειρίστη δὲ ἧς ὁ τῆς ἡσυχίας χρόνος ἐπιμηκέστερος. ἡ μὲν οὖν διαλείπουσα καθ' ἕνα σφυγμὸν ἀνωμαλία χαλεπωτάτη πασῶν ἐστιν ἀνωμαλιῶν. γίνεται μὲν γὰρ ὑπὸ τῶν αὐτῶν κατὰ γένος αἰτιῶν ὑφ' ὧν περ καὶ ἡ συστηματικὴ, πολὺ δὲ χείρων αὐτῆς ἐστιν. ἐκείνη μὲν γὰρ εἰ καὶ μηδὲν ἄλλο, τὰς γοῦν ἁπλᾶς κινήσεις ἀπαρεμποδίστους ἐᾷ συντελεῖσθαι, [266] αὕτη δὲ οὐ ταύτας ἐᾷ γίγνεσθαι κατὰ φύσιν, ἀλλ' ἐμποδὼν ἵσταται καὶ στερίσκει τῆς κινήσεως τὰς ἀρτηρίας, οὐ διὰ τριῶν, ἢ τεττάρων, ἢ διά τινων ἔτι πλειόνων σφυγμῶν, ἀλλὰ κατὰ τὸν πρῶτον εὐθὺς αὐτόν. ἅπερ οὖν ἐπ' ἐκείνης εἴρηται, ταῦτα πάντα κᾀπὶ ταύτης εἰρῆσθαι χρὴ δοκεῖν

in unius pulſus inaequalitate tum in collectiva apparet priore: quocirca imperitiores fallat fortaſſe, quaſi durior ſit. Symptoma vero eſt vibratio durae arteriae, quum amplius cogitur vi diſtendi; atqui non fit tum re vera durior, ſed violenter impulſa, ut diſtendatur amplius, hoc habet ſymptoma. Atque eſt quidem vibratus occurſus aequali deterior, niſi tunica arteriae ex cauſa repentina induruerit; peſſimus vero cujus tempus quietis ſit prolixius. Intermittens in uno pulſu inaequalitas omnium inaequalitatum eſt incommodiſſima; cauſas enim habet genere easdem ac collectiva, ſed deterior illa eſt multo, nam illa ſi nihil aliud, at ſimplices motus confici praeter ullum obicem permittit, haec ne hos quidem pro lege naturae obiri ſinit, ſed obſtat motuque privat arterias, non in tertio quoque, vel quarto, vel pluribus etiam pulſibus, ſed in ipſo ſtatim primo. Quae igitur diximus de illa, haec ſunt ad hanc omnia transferenda,

ηὐξημένα, κἀν τούτῳ μόνῳ παραλλάττοντα, τῷ τὸν θάνατον ὑπόγυον ἀπειλεῖν. ἐκ τούτου τοῦ γένους τῶν σφυγμῶν ἐστι καὶ ὁ δορκαδίζων. ἐξηγήμεθα δ' αὐτοῦ τὴν ἰδέαν, ὥσπερ οὖν καὶ τῶν ἄλλων ἁπάντων, ἐν τῷ πρώτῳ περὶ τῆς διαφορᾶς αὐτῶν.

Κεφ. ζ΄. Ἕτερον δέ ἐστι γένος σφυγμῶν ἀνωμάλων κατὰ μίαν διαστολὴν, κοινὸν μὲν ἐχόντων τὸ δὶς παίειν, οὐ κοινὴν δὲ τὴν αἰτίαν. ἀλλ' ὡς καὶ ἐν τῷ δευτέρῳ τῶν ἐν σφυγμοῖς αἰτιῶν εἴρηται, τρεῖς εἰσιν αἱ πρῶται τῆς γενέσεως αὐτῶν αἰτίαι. περὶ μὲν δὴ τῶν δυοῖν εἴρηται μὲν καὶ δι' ἐκείνου τοῦ γράμματος, εἰρήσεται δὲ καὶ νῦν ἀναμνήσεως ἕνεκα περὶ τῆς τρίτης αἰτίας. εἴρηται μὲν ἤδη καὶ περὶ ταύτης τό γε τοσοῦτον, ὡς ἀνώμαλός ἐστι δυσκρασία τοῦ σώματος αὐτοῦ τῆς καρδίας, ἀνεβαλλόμεθα δὲ τὸν σύμπαντα λόγον ὑπὲρ αὐτῆς ἐνταῦθα ποιήσασθαι. καὶ τοίνυν ἥκει καιρὸς αὐτῷ καὶ λεγέσθω. διὰ δὲ τὴν κοινωνίαν τοῦ λόγου καὶ τοὺς ἄλλους ἅπαντας ἀνωμάλους σφυγμοὺς, ὅσοι ταῖς τοῦ σώματος αὐτοῦ τῆς καρδίας ἀνωμάλοις ἀκολουθοῦσι δυσκρασίαις, ἐν τῷδε τῷ λόγῳ διέξιμεν, ἀρξάμενοι

fed cum acceffione, unaque hac diverfitate, quod praefentem mortem denunciat. In hoc genere pulfuum caprizans eft, cujus expofuimus naturam, aliorumque omnium in libro primo De eorum differentiis.

Cap. VII. Porro aliud pulfuum genus eft in una distentione inaequalium, qui in communi habent binos ictus, caufam tamen non habent communem. Caeterum horum funt, ut declaravimus in fecundo libro De pulfuum caufis, tres unde generantur caufae. De duabus certe in illo libro diximus; nunc vero etiam commemorandi gratia dicemus de tertia caufa: de qua tantum jam dictum eft, inaequalem eam effe intemperiem ipfius corporis cordis, verum totam ejus explicationem in hunc locum reiecimus. Nunc jam locus eft ejus declarandae, atque etiam reliquos omnes pulfus inaequales, quia oratio cohaeret, qui ipfius corporis cordis fuccedant inaequali intemperiei, hoc fermone per-

κἀνταῦθα πάλιν ἀπὸ τῶν σαφεστέρων ἀνωμαλιῶν, ἃς ὀνομάζουσι συστηματικάς. τὸ σῶμα τῆς καρδίας ἐν ἑαυτῷ τινα δύναμιν ἔχει διασταλτικήν τε καὶ συσταλτικὴν, οὐ μάτην οὐδ᾽ ὡς ἔτυχεν οὔτε δοθεῖσαν ὑπὸ τῆς φύσεως οὔτ᾽ ἐνεργοῦσαν, ἀλλ᾽ ὡς ἐν ἑτέροις ἐπιδέδεικται, τοῦ φυλάττειν ἕνεκα τὴν ἔμφυτον θερμότητα. κατὰ μὲν οὖν τὰς συστολὰς ἀποχεῖ τὸ λιγνυῶδες περίττωμα, κατὰ δὲ τὰς διαστολὰς ἐπισπᾶται τὸ ἀναψῦχον αὐτήν. ὅταν μὲν οὖν ὁμαλῶς θερμὸν, ἢ ψυχρὸν, ἢ καθαρὸν, ἢ τεθολωμένον ᾖ, πάντ᾽ αὐτοῦ τὰ μόρια πρὸς τὴν ἐνέργειαν ὡσαύτως ἐξορμᾷ. ὅταν δ᾽ ἤτοι τὰ μὲν θερμότερα, τὰ δὲ ψυχρότερα τύχοι τῶν μορίων αὐτοῦ, καὶ τὰ μὲν ἀκριβῶς καθαρὰ, τὰ δὲ τεθολωμένα τῷ πλήθει τῶν περιττωμάτων, οὐ τὴν αὐτὴν ὁρμὴν ἴσχει πρὸς τὴν ἐνέργειαν ἅπαντα, ἀλλὰ τὰ μὲν αὐτῶν φθάνει, τὰ δὲ μέλλει. κἀν τούτῳ τοῖς πλείοσί τε καὶ ἰσχυρότερον ἐξορμήσασι πρὸς τοὔργον ἕπεται τά τ᾽ ὀλιγώτερα καὶ ἀσθενέστερα. οὐ γὰρ δὴ διασπασθῆναί τε καὶ χωρισθῆναι δυνατὸν αὐτοῖς ἀπ᾽ ἀλλήλων ἑνὸς ὀργάνου μέρεσιν οὖσιν. (133) ὥσπερ δὲ τὰ πλείω

curram, exordiarque hic rurfus orationem ab apertiffimis inaequalitatibus, quas collectivas appellant. Corpus cordis facultatem quandam obtinet, quae diftendit et contrahit, non temere illam quidem nec fortuito a natura donatam, neque otiofam, fed ficut aliis locis demonftravimus, tuendi gratia innati caloris. Haec in contractionibus fuliginofum excrementum effundit, in diftentionibus allicit refrigerium. Itaque quum ex aequo calidum, vel frigidum, vel purum, vel turbidum fit, omnes ejus partes pari impetu ad functionem contendunt: ubi vero aliae calidiores, aliae frigidiores fint ejus partes, ac hae omnino mundae, illae abundantia excrementorum confufae, non eodem omnes impetu ad munus feruntur, fed hae antevertunt, illae cunctantur. Atque hic majorem numerum et validius ad opus contendentem pauciores imbecillioresque confequuntur, neque enim divelli illae, neque diftrahi a fe mutuo, quae unius inftrumenti fint partes, poffunt. Ut autem plures et majori vi

τε καὶ σφοδρότερον ἐνεργεῖν ἐπειγόμενα σύμπασαν ἐξορμᾷ τὴν καρδίαν, οὕτω πάλιν, ὅταν ἐλάττω μὲν ᾖ τὰ πρὸς τὴν κίνησιν ἐπειγόμενα, πλείω δὲ τὰ μένοντα, σύμπασαν ἐν ἡσυχίᾳ κατέχει πλείονι. καὶ δὴ καὶ τὸ τῆς κινήσεως ποιὸν ἐκ τῶν κρατησάντων ἐν αὐτῇ μερῶν ὅλῳ τῷ σπλάγχνῳ γίνεται. εἰ μὲν γὰρ τὰ θερμότερα τῆς κινήσεως ἐξηγεῖται, πρωϊαίτερόν τε ἅμα καὶ θάττων καὶ μείζων ἡ διαστολὴ γίνεται, τῶν ψυχρῶν δ' ἡγουμένων ὀψιαίτερόν τε καὶ βραδυτέρα καὶ μικροτέρα. πολλάκις μὲν οὖν τῷ πλήθει τῶν μορίων ἡ τῆς κινήσεως ἡγεμονία συνέπεται, πολλάκις δὲ τῷ μεγέθει τῆς χρείας. ὅσα γὰρ ἱκανῶς δεῖταί τινος, ἑτοιμότερόν τε καὶ σφοδρότερον ἐπὶ τοὔργον ἐξορμᾷ μὲν, κἂν ἴσα τῷ πλήθει ὑπάρχῃ τοῖς μὴ δεομένοις. ὅταν μὲν οὖν πολὺ πλείω τὰ ἕτερα τῶν ἑτέρων [267] ᾖ, κατ' ἐκεῖνα διαπαντὸς κινεῖται καὶ ἐνεργεῖ τὸ σπλάγχνον· ὅταν δὲ ἤτοι βραχεῖ τινι τὰ ἕτερα τῶν ἑτέρων, ᾖ πλείω, ἢ ἀκριβῶς ἴσα, διαπαντὸς μὲν οὐκ ἐνδέχεται κρατεῖν τὰ ἕτερα, νικῶντα δὲ ἐν μέρει τε καὶ νικώμενα ποικίλας τε καὶ ἀνωμάλους ἐργάζεται τὰς ὅλου τοῦ σπλάγχνου κινήσεις. ἔστω γὰρ, εἰ τύχοι, πλείω μὲν, οὐ μὴν πολλῷ γέ τινι τὰ ψυχρὰ

ad actionem properantes, univerfum cor excitant; ita contra, ubi pauciores fint, quae ad motum properant, quae confiftunt plures, univerfum in longiori quiete continent. Jam vero etiam motus qualitatem ex praepollentibus in fe partibus comparat totum vifcus; nam calidiores fi motui praefint, maturior fimul et celerior majorque fit diftentio, fin frigidae, ferior, tardior atque minor, ac fubinde motus principatus majori numero partium defertur; faepe etiam magnitudini ufus, quae enim efflictim quippiam defiderant, haec expeditiores ad opus et intentiores funt, etiam fi numerum aequent non requirentium. Quum igitur longe alterae plures fint alteris, pro illarum ratione movetur perpetuo vifcus et agit; at fi paulo alterae alteris vel plures fint vel plane pares, non poffunt perpetuo alterae effe fuperiores, fed viciffim vincunt atque vincuntur; itaque varios efficiunt et inaequales totius vifceris motus. Sint enim exempli gratia plures, at non multo, partes frigidae cali-

μόρια τῶν θερμῶν, ἀνάγκη τὴν πρώτην ἐνέργειαν ἐλάττονά τε καὶ βραδυτέραν γίνεσθαι, καὶ μὲν δὴ καὶ τὴν ἡσυχίαν ἐν τούτοις κρατοῦσι μακροτέραν ἢ εἴπερ ἐκράτει τὰ θερμά. καὶ τοίνυν καὶ ἡ δευτέρα τῆς καρδίας ἐνέργεια τῶν ψυχρῶν κρατούντων γινέσθω, καὶ μετ᾽ αὐτὴν αὖθις ἡσυχία. καὶ τρίτη γε καὶ τετάρτη πρὸς ταύταις ἐνέργειά τε καὶ ἡσυχία κατὰ τὰ ψυχρὰ νικῶντα συντελείσθω, ἆρ᾽ οὐ πρόδηλον ὡς τὰ θερμότερα μόρια τὰ μείζονός τε ἅμα καὶ θάττονος καὶ πυκνοτέρας δεόμενα τῆς κινήσεως ἐνδεῶς ἀπολαύσει τῆς ἑαυτῶν χρείας; ὥστε ἐν τούτῳ θερμότερα γενήσεται καί τι καὶ τοῖς ὁμιλοῦσι μεταδώσει θερμότητος. οὐκοῦν ἔτι φυλαχθήσεται τῆς καρδίας ἡ ἐξ ἀρχῆς διάθεσις, εἴπερ καὶ πλείω γενήσεται τὰ θερμότερα μόρια καὶ μᾶλλον ἢ πρόσθεν θερμά. τούτου τοίνυν ἀεὶ συμβαίνοντος, ἔσται ποτὲ χρόνος ἐν ᾧ καὶ αὐτὰ κρατήσει τῶν ἐναντίων, ὥστε καὶ πρωϊαίτερον ἐπὶ τὴν ἐνέργειαν ἐξορμῆσαι, διὰ τὴν τῆς χρείας ἔπειξιν, αὐτήν τε τὴν κίνησιν ποιήσασθαι θάττονά τε καὶ μείζονα τῶν ἔμπροσθεν ἁπασῶν κινήσεων, ὧν ἡγεῖτο τὰ ψυχρά. συμβήσεται τοιγαροῦν ἐν τούτῳ τὰ μὲν κρατοῦντα συμμέτρως ἀπολαύειν

dis; hic primam actionem necesse est minorem tardioremque esse; nec non quietem in harum victoria longiorem, quam si superarent calidae. Jam etiam altera cordis actio vincentibus frigidis fiat; a qua iterum quies. Quin etiam tertia et quarta praeterea actio, et quies ex frigidarum victoria obeatur, quid partes calidiores, quibus majore pariterque celeriore atque crebriore motu est opus, nonne deficient eo quo indigent? Itaque interea fient calidiores ac nonnihil impartient caloris etiam vicinis; quo minus cordis primus status servabitur, siquidem et plures fient calidiores partes et magis quam antea calidae. Quod quia perpetuo fit, erit aliquando, quum hae etiam victurae contraria sint, ut et maturius se ad opus conferant ob usus stimulum ipsamque reddant actionem celeriorem atque majorem omnibus prioribus motibus, quibus praeerant frigidae. Accidet igitur interea ut quae excellebant justo fruantur

Ed. Chart. VIII. [267.] Ed. Baf. III. (133.)

ἐμψύξεως, ὅσα δ' ἦν ψυχρότερα, πλέον ἤδη καταψύχεσθαι, καὶ οὕτως μεταπεσεῖν αὖθις ἐν τῷ χρόνῳ τὴν διάθεσιν ὅλης τῆς καρδίας, ὡς κρατῆσαι τὰ ψυχρότερα. τῶν μὲν γὰρ θερμοτέρων ἱκανῶς ἀπολαυόντων ἐμψύξεως, τῶν δὲ ψυχροτέρων αὐτῶν τε πλέον ἢ δεῖ ψυχομένων καὶ τὰ πλησιάζοντα συγκαταψυχόντων, ἀναγκαῖον οὕτω γενέσθαι πλέονα τὰ ψυχρότερα· πάλιν δ' αὖ ἐν τούτῳ τῷ χρόνῳ τὴν κίνησιν ὅλης τῆς καρδίας ἀναγκαῖον ἔσται κατὰ τὴν τοιούτων χρείαν τυπωθῆναι καὶ γενέσθαι τὰς διαστολὰς αὐτῆς ἀραιὰς καὶ βραδείας καὶ μικρὰς, οἷαί περ ὑπέκειντο γίνεσθαι κατ' ἀρχάς. ἅπερ οὖν ὀλίγον ἔμπροσθεν εἴρητο περὶ τῆς μεταπτώσεως αὐτῶν, ταῦτα γοῦν λεγέσθω καὶ νῦν· ὡσαύτως καὶ ὅσα περὶ τῆς εἰς τὴν ἐξ ἀρχῆς κατάστασιν ἐπανόδου λέλεκται πρόσθεν, ἀναμνήσθητι νῦν. οὕτω γὰρ οἶμαί σε πεισθήσεσθαι περὶ τῆς τῶν σφυγμῶν συνεχοῦς μεταπτώσεως ἄχρι περ ἂν ἡ εἰρημένη δυσκρασία κατὰ τὴν καρδίαν παραμένῃ. κατὰ δὲ τὸν αὐτὸν λόγον, ἐπειδὰν ἐν τῷ πλήθει τῶν λιγνυωδῶν περιττωμάτων ἀνώμαλος ἡ δυσκρασία κατὰ τὸ σπλάγχνον εἰς τὴν συστηματικὴν ἀνωμαλίαν καὶ ἡ τῶν

refrigerio; quae vero erant frigidiores, largius jam refrigerentur; itaque diuturnitate immutetur iterum totius cordis status, ut vincant frigidiores. Nam quum abunde calidiores fruantur refrigerio, ipsae vero frigidiores praeter modum refrigerentur, unaque finitimis frigiditatem impertiant, non poterunt sic frigidiores non fieri plures; simulque interdum motum totius cordis necesse est denuo ad talium usum fingi, fierique ejus raras, tardas et parvas distentiones, quales posuimus primo fieri. Proinde quae retulimus paulo ante de illarum immutatione, haec nunc commemorentur iterum; simulque de reditu in pristinum statum quae diximus ante ad memoriam revoca; nam ita demum probaturum me puto tibi pulsuum continentem variationem, dum intemperies illa in corde consistat. Eodem modo posteaquam ob fumosorum excrementorum multitudinem intemperie inaequali viscus corripiatur, in collectivam inaequali-

Ed. Chart. VIII. [267. 268.] Ed. Baf. III. (133.)

σφυγμῶν κίνησις ἀχθήσεται. οὐδὲν δὲ δήπου θαυμαστὸν οὐδὲ τὴν καθ᾽ ἕνα σφυγμὸν ἀνωμαλίαν ἐπὶ ταῖς τῆς καρδίας γίνεσθαι. τὰ μὲν γὰρ τοῖς θερμοτέροις αὐτῆς μέρεσι κατευθὺ τῶν ἀρτηριῶν μόρια θερμότερά τε γενήσεται τῶν ἄλλων καὶ διαστήσεται μεῖζον καὶ κινήσεται θᾶττον· τὰ δὲ τοῖς ψυχροτέροις αὐτά τε ἔσται ψυχρότερα καὶ βραδύτερον κινήσεται καὶ διαστήσεται μεῖον. ὅταν δ᾽ ὅλον ἀγγεῖον ποτὲ κατευθὺ γένηται τοῖς θερμοτέροις μέρεσι τῆς καρδίας, θᾶττόν τε κινήσεται καὶ μεῖζον διαστήσεται τοῦτο τῶν τοῖς ψυχροτέροις κατευθὺ τεταγμένων. καὶ χωρὶς δὲ τῆς καρδίας οἰκεῖαί τινες γινόμεναι ταῖς ἀρτηρίαις δυσκρασίαι τάς τε εἰρημένας ἀνωμαλίας ἀποτελοῦσι, τὰς κατὰ μέγεθος καὶ μικρότητα καὶ τάχος καὶ βραδύτητα καὶ ἀραιότητα καὶ πυκνότητα, καὶ εἰ πολὺ τοῦ κατὰ τὴν φύσιν ἐκτρέποιντο, καὶ τὰς κατὰ σφοδρότητά τε καὶ ἀμυδρότητα. καὶ μὲν δὴ καὶ κατὰ αὐτήν γε τὴν καρδίαν, καὶ προσέτι τὰς ἀρτηρίας ἁπάσας, [268] ἐκ τῆς κατὰ τὸ σπλάγχνον ἀνωμάλου δυσκρασίας ἐν μιᾷ διαστολῇ πλείους γενήσονται διαφοραὶ τῶν κινήσεων, τῶν μὲν εἰς τάχος αὐτὴν ἐξορμώντων, ἐνίων

tatem motus pulfuum erumpet. Neque vero mirum eft vel inaequalitatem unius pulfus fieri ob cordis intemperiem; etenim partes arteriarum calidioribus ejus partibus obductae et calidiores fient aliis et dilatabuntur magis celeriusque movebuntur; frigidioribus vero obductae et ipfae erunt frigidiores et movebuntur tardius atque minus dilatabuntur. Quum vero obductum fuerit totum vas calidioribus cordis partibus, tum celerius movebitur tum magis diftendetur hoc quam illa, quae frigidioribrs obducta funt. Et etiam praeter cor intemperies quaedam arteriarum peculiariores inaequalitates illas commemoratas concitant magnitudinis, parvitatis, celeritatis, tarditatis, raritatis, crebritatis; quae fi longe a natura recedant, etiam vehementiae et remiffionis. Jam vero etiam in ipfo corde omnibusque praeterea arteriis ex visceris illius inaequali intemperie plures in una diftentione motuum differentiae prodibunt, partim illam ad celeritatem concitantium, partim fuftinentium et motuum

δ' ἐπεχόντων τε καὶ βραδύνειν ἀναγκαζόντων. ὥστε ποτὲ καὶ στῆναι μεταξὺ κατὰ τὴν ἄνοδον, οἷόν τι συμβαίνει καὶ τοῖς ἐν ὁδοιπορίαις, ἢ καὶ ἄλλως ὁπωσοῦν ἕλκουσιν ἑτέρους βραδύνοντας. ἀντισπώμενοι γὰρ ὑπ' αὐτῶν ἀτάκτως ἐκκόπτονταί τε καὶ διακόπτονται τὴν ὁρμὴν, ὡς μήτε διαπαντὸς ὁμοίαν ποιεῖσθαι τὴν κίνησιν ἴσχεσθαί τε πολλάκις. εἰ δὲ καὶ ἀντιπράττοντάς τε καὶ ἀντισπῶντας ἕλκοιεν, οὐ μόνον ἴσχονται τῆς κινήσεως, ὡς ἤτοι βραδύτερον ἢ μηδόλως ἐνίοτε βαδίζειν, ἀλλὰ καὶ ἀνθειλκύσθησάν ποτε εἰς τοὐπίσω. ταῦτ' οὖν ἅπαντα συμβαίνει τῇ τε καρδίᾳ καὶ ταῖς ἀρτηρίαις ἐν ταῖς ἀνωμάλοις δυσκρασίαις.

Κεφ. η'. Καὶ ὅ γε δορκαδίζων σφυγμὸς ἐκ τοῦ γένους μέν ἐστι τῶν ἐν ἡσυχίᾳ διαλαμβανομένων, ἐπιγίνεται δ' ἐνίοτε τοιούτοις πάθεσι καρδίας, ὥσπερ γε καὶ ὁ δίκροτος ἐκ τοῦ γένους μέν ἐστι τῶν ἀνθελκομένων ἔσω, συνεδρεύει δὲ καὶ αὐτὸς ἔστιν ὅτε ταῖς ἀνωμάλοις τῆς καρδίας δυσκρασίαις, καὶ μᾶλλόν γε, ὅταν ἀξιόλογον ᾖ κατ' αὐτὴν τὸ πλῆθος τῶν αἰθαλωδῶν περιττωμάτων ἐν πολλοῖς τῶν μορίων αὐτῆς.

cogentium adeo ut etiam in medio interdum aſcenſu ſubliſtat. Id quod et illis uſu venit qui in itinere, vel alio quovis modo alteros cunctantes trahunt; retracti enim ab illis inordinate frangunt impetum et interpellant, ut non eodem ſemper modo moveantur, imo reſiſtant frequenter. Qui ſi oblinentes ac retrahentes trahant, non modo eorum impeditur motus, ut vel tardius, vel nequaquam interdum procedant, verum etiam retrahuntur aliquando rurſum. Atque haec quidem cordi et arteriis omnia accidunt per inaequalem intemperiem.

Cap. VIII. Caprizans autem ex genere eſt illorum quidem qui in quiete intercipiuntur; nonnunquam tamen ſit in ejuscemodi cordis affectibus, ut etiam dicrotus, qui ex genere eſt intro retractorum; comitatur tamen nonnunquam et ille cordis inaequalem intemperiem, atque adeo quum collectus ſit in multis ejus partibus ingens excremen-

ἂν γὰρ ἅμα συμβῇ τὰ μὲν ἁπλῶς εἶναι πάνυ θερμὰ, τὰ δὲ καταπνίγεσθαι καπνώδει λιγνύϊ, πρὸς τὰς ἐναντίας ἐξορμήσει κινήσεις, ὡς διαστέλλεσθαι μὲν ἐπιχειρεῖν τὰ ἕτερα, συστέλλεσθαι δὲ θάτερα. καὶ οὕτως ἤτοι διαστελλομένης τῆς ἀρτηρίας ἐνεργησάντων τῶν συστελλόντων διαδέξεταί ποτε τὴν διαστολὴν ἡ συστολὴ καὶ χωρὶς τῆς ἐκτὸς ἠρεμίας, ἢ συστελλομένης ἐνεργησάντων τῶν διαστελλόντων, ἢ διαδέξεται τὴν συστολὴν ἡ διαστολὴ, χωρὶς τῆς ἐντὸς ἡσυχίας. ἑκάτερον δὲ αὐτῶν ἔσται κατὰ πλείονας τρόπους, ἤτοι γὰρ ἐκνικήσει τελείως ἡ δευτέρα κίνησις τὴν προτέραν, ἢ ἐπ᾿ ὀλίγον μὲν ἀντισπάσει, νικήσασα δὲ ἡ προτέρα πληρώσει τὸ προκείμενον ἑαυτῇ μέτρον, ὥστε γίνεσθαι τρεῖς τὰς πάσας διαφορὰς σφυγμῶν ἔν τε τῷ διαστέλλεσθαι κἂν τῷ συστέλλεσθαι· πρώτην μὲν, ἐπειδὰν ἐν τῷ διαστέλλεσθαι πρὶν πληρῶσαι τὸ μέτρον ἡ συστολὴ διαδέξηται, δευτέραν δ᾿, ὅταν ἀκριβῶς πληρωθεῖσαν ἐκδέξηται τῆς ἐκτὸς ἠρεμίας ἀπολλυμένης. τὴν τρί(134)την δ᾿, ὅταν ἔτι γιγνομένην τὴν διαστολὴν ἀντισπάσῃ μὲν ἡ ἐναντία κίνησις, ἀσθενεστέρα δὲ γενομένη συγχωρήσει τὸ λεῖπον ἐκπληρῶσαι. κατὰ ταὐτὰ δὲ καὶ τὴν συστολὴν ἡ διαστολὴ ποτὲ μὲν ἤδη

torum fuliginoforum acervus. Nam fi una contingat, ut quaedam omnino fint praecalidae, aliae fumofa fuligine praefocentur, ad contrarios profilient motus; ut alterae diftentionem moliantur, alterae confidant. Itaque five quia dum diftenditur arteria, partes, quae contrahunt, actione fint functae, fuccedet contractio interdum diftentioni, vel citra externam quietem, five quia, dum contrahitur, partes quae dilatant actione fint functae. Quorum utrumque pluribus modis fiet. Aut enim plane vincet fecundus motus priorem, aut aliquantum retrahet, victor autem prior modum inftitutum complebit, ut tres numero differentiae fiant et in diftentione et contractione; prima, quum diftentionem, priusquam menfuram impleverit, contractio excipiat; altera, quum prorfus completae fuccedat externa quiete perdita; tertia, quum diftentionem motus contrarius nondum abfolutam retrahat, qui debilior redditus reliquum finat compleri. Haud aliter etiam contractionem diftentio.

γεγενημένην ἐκδέχεται, μὴ συγχωρήσασα στῆναι, ποτὲ δὲ καὶ πρὸ τοῦ πληρωθῆναι κολούσασά τε καὶ νικήσασα διεδέξατο, ποτὲ δ' ἀντέσπασε μὲν ὀλίγον, ἐνικήθη δέ. τοιαῦται κινήσεις ἀρτηριῶν γίνονταί ποτε καὶ χωρὶς τοῦ τὴν καρδίαν πεπονθέναι, ἤτοι διὰ δυσκρασίαν ἀνώμαλον ἐν αὐταῖς συστᾶσαν, ἢ δι' ἀῤῥωστίαν τῆς δυνάμεως, ἢ διὰ σκληρότητα τοῦ χιτῶνος, ὑπὲρ ὧν εἴρηται μὲν ἤδη τι κἀν τῷ δευτέρῳ τῶν ἐν τοῖς σφυγμοῖς αἰτίων, εἰρήσεται δὲ καὶ νῦν ἐν κεφαλαίοις, ἐκεῖνο πρότερον ἐπισημηνάμενων ἡμῶν, ὡς τὸν περὶ τῆς κατὰ τὴν καρδίαν ἀνωμάλου δυσκρασίας λόγον, ὃν νῦν διήλθομεν, εἰς τήνδε τὴν πραγματείαν ἀνεβαλλόμεθα διά τε τὸ ζητεῖν ἔτι καὶ βασανίζειν αὐτὸν ἐμπειρίᾳ μακρᾷ, καθάπερ καὶ τὰ ἄλλα ἅπαντα τὰ εἰρημένα τε καὶ λεχθησόμενα, καὶ διότι κατ' ἐκείνην τὴν πραγματείαν οὐδέπω περὶ δυνάμεως οὐσίας οὐδὲν εἰρήκαμεν. οὐδὲ γὰρ οὐδὲ τοῦτο τὸ δόγμα, πρὶν ἐν ἅπασι τοῖς κατὰ μέρος ὁμολογουμένοις ἐξευρεῖν, ἐτολμήσαμεν ἀποφήνασθαι. [269] νῦν δ' ἐπειδὴ πεπείσμεθά τε τὴν οὐσίαν τῶν δυνάμεων οὐδὲν ἄλλο παρὰ τὴν ποιὰν εἶναι κρᾶσιν, ἅπαντά τε τὰ κατὰ

nunc abfolutam confequitur, nec permittit confiftere, nunc etiam, priusquam confecta fit, impeditam et victam excipit; nonnunquam retrahit nonnihil, fuperatur tamen. Hi motus arteriarum fiunt interdum vel extra affectum cordis, aut propter earum inaequalem intemperiem, aut facultatis imbecillitatem, aut propter duritiem tunicae; de quibus etfi fermonem jam ante habuimus in fecundo libro De caufis pulfuum, tamen hic exponam, fed fummatim, fi hujus primum admonuerimus quod de inaequalis cordis intemperie modo explicavimus, in hanc nos commentationem produxiffe, quum ut etiam inveftigaremus eam et expenderemus longa experientia, ficut alia omnia quae dixi et fum dicturus; tum quod nihil dum in illis commentariis attulimus de facultatis effentia. Neque enim prius hoc decretum quam omnibus particularibus reperiffem confentiens pronunciare fui aufus. Nunc quando effentiam facultatum perfuafi fumus nihil effe praeter qualitatem temperamenti, om-

τὰς διαγνώσεις τε καὶ προῤῥήσεις καὶ θεραπείας ἐπὶ τούτῳ τῷ δόγματι συμφωνοῦνθ' εὑρίσκομεν, εὐλόγως, οἶμαι, καὶ τοὺς ἑπομένους ταῖς ἀνωμάλοις δυσκρασίαις τῆς καρδίας σφυγμοὺς ἐνταῦθα διήλθομεν. εἰσὶ δ', ὡς ἐλέγομεν, ἔνιοί τινες ἐξ αὐτῶν καὶ χωρὶς ἐκείνης συνιστάμενοι. δίκροτος οὖν τίς ἐστι σφυγμὸς κλονώδης, ὃν δὴ καὶ μόνον ᾤμην τό γε κατ' ἀρχὰς εἶναι πλήττοντα δὶς, ἐξαπατώμενος ὑφ' ὧν ἔλεγεν Ἀρχιγένης, εἰκάζων αὐτὸν ταῖς τῆς σφυρᾶς διπλαῖς πρὸς τὸν ἄκμονα πληγαῖς. ἀποπάλλεσθαι γάρ τι σκληρὸν ἀφ' ἑτέρου σκληροῦ κατὰ τὰς τοιαύτας πληγὰς ὑποθέμενος, ἐξ ὧν ἐσφάλην περὶ τὴν ἔννοιαν τοῦ πράγματος, ἐκ τούτων καὶ περὶ τὴν διάγνωσιν ἐσφαλόμην. ἐπεὶ δὲ ἐν τῷ χρόνῳ προσεδρεύων ἀεὶ καὶ λιπαρῶς ἐγκείμενος τῇ διαγνώσει τῆς συστολῆς ἐναργῶς ᾐσθόμην ἀρτηρίας ποτὲ μαλακῆς καὶ ἀκλόνου συσταλείσης ἐπὶ βραχὺ, κἄπειτ' αὖθις ἐκπληρωσάσης τὴν διαστολὴν, ἐκ τούτου τάς τε διαθέσεις ἐφ' αἷς οἱ τοιοῦτοι γίνονται σφυγμοὶ παρεφύλαξα, καὶ χρόνῳ ποτὲ μακρῷ σὺν πολλῇ τῇ σκέψει βεβαίως ἠδυνήθην ἀποφήνασθαι ταῦθ' ἅπερ νῦν διεξέρχομαι. φαίνεταί δέ μοι καὶ ὁ Ἀρχιγένης ἐπιμελῶς μὲν

niaque et in dignoscendo et praecognoscendo et curando convenire cum hoc decreto animadvertimus, non abfurde nos arbitramnr feciffe, qui pulfus hic comitantes cordis inaequalem intemperiem explicavimus. In quibus funt nonnulli, uti dicebamus, qui etiam absque illa conftent. Itaque dicrotus quidam eft pulfus vibratus, quem primo quidem unum bis ferire putavi verbis deceptus Archigenis, geminis ipfum mallei ictibus ad incudem affimulans. Quum enim durum quiddam refultare ab altero duro ftatuiffem, a quibus adductus fum circa notionem rei in errorem, ex iisdem in dignoscenda ipfa fum lapfus. At pofteaquam incumbens femper et inftans fedulo ut contractionem dignoscerem, tandem arteriam manifefto fenfi modo mollem et non vibratam confidere aliquantum, moxque diftentionem conficere, pofthac affectus obfervavi qui habent eos pulfus, et tandem aliquando a multa obfervatione haec potui conftanter quae nunc expono affirmare. Sane mihi videtur etiam Archige-

παραπεφυλακέναι τοὺς δὶς παίοντας σφυγμοὺς, οὔτε δ' ἑρμηνεύειν αὐτοὺς ὀρθῶς οὔτε τὰς διαθέσεις αἷς ἕπονται διαγινώσκειν, ἢ οὐκ ἂν ἁπλῶς οὕτως οὔτε ταῖς τῆς σφυρᾶς διπλαῖς πρὸς τὸν ἄκμονα πληγαῖς εἴκασεν αὐτοὺς οὔτε παρέλιπεν εἰπεῖν ὅστις ὁ τρόπος ἐστὶ τῆς γενέσεως αὐτῶν. ἀλλ' ἡμῖν γε καὶ τοῦτο εὑρέθη μετὰ χρόνον πολὺν, ὥσπερ καὶ ἄλλα πάμπολλα τῆς θεωρίας. καὶ σὺ οὕτως ἔχειν τὸ πρᾶγμα μὲν εὑρήσεις, εἰ μόνον ἐθέλησάς τινα φιλοπονίαν τε καὶ σπουδὴν εἰσενέγκασθαι περὶ τοὖργον, οἵαν ἡμεῖς εἰσενεγκάμεθα. χωρὶς γὰρ ταύτης οὔτε γνῶναι δυνήσεται τὴν ἐν αὐτοῖς ἀλήθειαν οὔτ' αὐτὸς ὠφεληθῆναί τι. τρεῖς οὖν εὑρήκαμεν ἄχρι δεῦρο καὶ διαθέσεις καὶ γενέσεις τῶν δὶς παιόντων σφυγμῶν· μίαν μὲν τὴν τῶν κλονωδῶν, κατὰ τοῦτο μόνον αὐτῶν ἀποκεχωρηκυῖαν, ὅτι βραχέος γενομένου κατὰ τὸ μῆκος τοῦ σφυγμοῦ τῶν ἑκατέρωθεν μερῶν τῆς ἀρτηρίας ἀφανὴς ὁ κλόνος ἐστὶ, καὶ διὰ τοῦτο δίκροτος, οὐ κλονώδης φαίνεται· δευτέραν δὲ καθ' ἣν ὁ μὲν σφυγμὸς ἄκλονός ἐστιν, ἡ δ' ἀρτηρία σκληρὰ καὶ ἡ δύναμις ἀσθενὴς εἰς τοσοῦτον ὡς βαρύνεσθαι μὲν ὑπὸ τῶν ἐπικειμένων σωμάτων, ὅμως δὲ κατά τι μέρος ἐν τῷ

nes accurate pulfus bis ferientes obfervaffe, fed parum bene eos declarare et affectus quos comitantur ignorare. Neque enim ita nude eos, neque mallei geminis ictibus ad incudem affimilaret; neque praeteriret, unde procedant, originem. Id quod etiam nos multo poft tempore affecuti fumus, necnon hujus commentationis alia complura. Tumque rem effe ita comperies, fi modo diligentiam aliquam et ftudium in opus conferre volueris, quale nos adhibuimus; nam absque eo nec cognoscere de illis quicquam veri valeas et ipfe operam ludas. Tres ergo affectus hactenus originesque bis ferientium pulfuum invenimus; unam vibratorum, hac fola re ab illis diftinctam, quod quum brevem pulfus longitudinem habeat ex utraque parte arteriae, obscura vibratio fit; quamobrem dicrotus, non vibratus videtur; alteram, in qua non vibratus eft pulfus, fed arteria dura adeoque facultas imbecilla, ut a corporibus incumbentibus gravetur, tamen aliqua parte fita ad cutem attol-

Ed. Chart. VIII. [269.] Ed. Baf. III. (134.)

δέρματι τεταγμένον ἀκωλύτως ἀναφέρεσθαι. τούτου γὰρ μόνου τοῖς ἁπτομένοις εἰς αἴσθησιν ἥκοντος, ἔσται ποτὲ δίκροτος ὁ σφυγμὸς, ὅταν ἐξορμῆσαν αὐτὸ διὰ τὴν τῶν ἐπικειμένων κουφότητα πάλιν ἀντισπάσῃ κατέχοντά τε καὶ μὴ συνεπόμενα τὰ ἑκατέρωθεν μόρια, τὰ πρὸς τῶν ἐπικειμένων σωμάτων βαρυνόμενα, καὶ διὰ τοῦτο καὶ μήτ' αἰσθητὴν ὅλως ποιούμενα τὴν κίνησιν μήθ' ἣν ποιεῖται τὴν αὐτὴν τῷ φαινομένῳ μέρει τῆς ἀρτηρίας, ἀλλὰ μεμελημένην τε καὶ βραδύνουσαν. ἐν τούτῳ γὰρ ἀντισπᾶσθαι συμβαίνει πρὸς αὐτῶν τὸ φθάνον ἐξορμῆσαι, σκληρᾶς οὔσης τῆς ἀρτηρίας. ἄλλως γὰρ οὐκ ἐγχωρεῖ γενέσθαι τὴν ἀντίσπασιν ἐν ταῖς τοιαύταις διαθέσεσιν. οὗτοι μὲν οὖν οἱ δύο σφυγμοὶ δίκροτοί τ' εἰσὶ καὶ σκληροὶ, ὁ δὲ τρίτος ὁ ἐπὶ δυσκρασίᾳ γινόμενος οὔτε δίκροτος, ἀλλὰ δὶς πλήττων μόνον, οὔτ' ἐξ ἀνάγκης σκληρός. εἰ δὲ καὶ τοῦτόν τις ὀνομάζειν ἐθέλει δίκροτον, οὐδὲν διαφέρει. μεμνήσθω δὲ μόνον ὡς οὐκ ἔστιν ὅμοιος τοῖς ἀποπαλλομένοις σώμασιν ἀπὸ σκληρῶν σκληροῖς, ἀλλ' ὡς ὀλίγον ἔμπροσθεν εἴρηται, διαμαχομένων ἀλλήλαις γίγνεται τῶν δύο δυνάμεων, [270] τῆς τε διαστελλομένης καὶ τῆς συστελλούσης τὴν

latur libere; hanc enim quum folam fenfu percipiant tangentes, erit aliquando pulfus dicrotus, ubi prae oneris levitate exilientem illam partes utrinque confidentes, nec confequentes retrahant, a corporibus impofitis gravatae; quae idcirco nec fenfibilem concitant motum, nec quem concitant, hunc concitant fimiliter parti arteriae confpicuae, caeterum cunctantem et morantem. Interea enim fit ut ab illis quae prius exiliit retrahatur, quum dura eft arteria, nam alias in ejuscemodi affectibus non fiat retractio. Atque hi quidem duo pulfus tum dicroti funt tum duri. Tertius, qui ex intemperie nascitur, haud eft dicrotus, fed bis modo pulfans, neque neceffario durus, quem fi velit quis dicrotum appellare, nihil refert, hoc tantum meminerit, non effe fimilem corporibus duris, quae a duris repercutiantur, fed ut paulo ante diximus, concertantibus fit mutuo duobus facultatibus, et quae diftendit et quae contrahit cor. At

καρδίαν. ἐν τίσι δὲ νοσήμασι καὶ κατὰ ποίας αἰτίας τε καὶ διαθέσεις εἰς ἀνώμαλον ἀφικνεῖται δυσκρασίαν ἡ καρδία, νῦν μὲν οὐκ ἐπείγει λέγειν, ἐν δὲ τοῖς ἑξῆς ὑπομνήμασιν εἰρήσεται. κατὰ δὲ τὸ παρὸν ἀρκέσει τό γε τοσοῦτον, ὡς ἐπὶ ταῖς ἀνωμάλοις δυσκρασίαις τῆς καρδίας, καὶ ὅσα γε κατ᾽ αὐτὸ τὸ σῶμα τοῦ σπλάγχνου συνίστανται, γίγνεται μὲν καὶ ὁ δὶς παίων σφυγμὸς, γίγνεται δὲ καὶ ὁ τὴν ἐκτὸς ἠρεμίαν ἀπολλὺς, ἔτι τε πρὸς τούτοις καὶ ὁ κολουόμενος τὴν διαστολήν. ἐδείχθη δ᾽ ὅτι καὶ οἱ διακοπτόμενοι τὴν κίνησιν ἡσυχίᾳ καὶ αὐτοὶ γίγνονται πάντες ἐπὶ ταῖς ἀνωμάλοις τῆς καρδίας δυσκρασίαις. οὐ μὴν ἀλλὰ καὶ ὅσοι χωρὶς τοῦ διακόπτεσθαι τὴν διαστολὴν ἀνώμαλοι φαίνονται κατὰ βραδύτητά τε καὶ τάχος, εὔδηλον ὅτι καὶ οὗτοι πρὸς ταῖς ἄλλαις αἰτίαις ὑφ᾽ ἂν ἐδείχθησαν γίγνεσθαι καὶ αὐτὴν ταύτην ἕξουσιν ὑπὲρ ἧς ὁ λόγος ἐνέστηκε, τὴν ἀνώμαλον τῆς καρδίας δυσκρασίαν, ὅταν ἐπὶ τοσοῦτον ἀλλήλοις διαμάχηται τὰ θερμὰ μόρια τοῖς ψυχροῖς, ὡς ποτὲ μὲν ἀναγκάζεσθαι βραδύνειν τὰ θερμὰ πρὸς τῶν ψυχρῶν κατεχόμενα, ποτὲ δὲ θᾶττον κινεῖσθαι τὰ ψυχρὰ πρὸς τῶν θερμῶν ἐφελκόμενα.

Κεφ. θ'. Ἕτερον ἐπὶ τοῖς εἰρημένοις γένος ἐστὶν

quibus in morbis quibusque de caufis et affectibus ad inaequalem cor intemperiem deveniat, nihil eft quod nunc dicam, fed in proximis commentariis explicabitur. Tantum hoc loco fatis fit, inaequalem intemperiem cordis, quae quidem in ipfo corpore visceris confiftat, comitari pulfum bis ferientem, confequi etiam illum qui perdidit externam quietem, ad haec illum cujus impeditur diftentio. Praeterea demonftravimus illos quorum motus interpellatur quiete, comitari omnes inaequalem cordis intemperiem. Quin etiam citra interpellatam diftentionem, qui inaequali repraefentantur tarditate et crebritate, plane etiam hi praeter alias a quibus gigni eos demonftravimus et hanc caufam obtinebunt de qua fermo habetur, inaequalem cordis intemperiem; fi quando inter fe adeo contendant calidae partes cum frigidis, ut fubfiftere interdum neceffe habeant calidae retentae a frigidis, interdum celerius frigidae moveri a calidis attractae.

Cap. IX. Aliud ad fuperiora genus eft inaequalitatis

ἀνωμαλίας τῆς καθ᾽ ἕνα σφυγμὸν, οὐκ ὀλιγάκις φαινόμενον, οὐδ᾽ ἐπ᾽ ὀλίγων παθῶν, ἀλλ᾽ εἴπερ τι καὶ ἄλλο πολλάκις τε καὶ ἐπὶ πολλῶν. εὑρίσκεται δὲ ἐν αὐτῷ τὸ ἐγγύτερον τῆς ἀρχῆς μέρος τῆς ἀρτηρίας πρότερον κινούμενον. καὶ ὅ γε κυματώδης τε καὶ ὁ σκωληκίζων σφυγμὸς ἐκ τούτου τοῦ γένους εἰσὶν, ἐπὶ μαλακῇ μὲν ἀρτηρίᾳ, δυνάμει δ᾽ οὐκ εὐρώστῳ συνιστάμενοι. ὁ μὲν οὖν σκωληκίζων οὐ μόνον οὐκ εὔρωστον, ἀλλὰ καὶ καταλελυμένην ἐνδείκνυται τὴν δύναμιν, ὁ δὲ κυματώδης ἐστὶν ὅτε μὲν αὐτὸ δὴ τοῦτο μόνον οὐκ εὔρωστον, οὐ μὴν ἤδη γέ πω καταλελυμένην, ἔστι δ᾽ ὅτε καὶ τόνου μετρίου μετέχουσαν, ἡνίκα μάλιστα κρίσιμον ἱδρῶτα προδηλοῖ. εὑρίσκεται (135) μὲν γὰρ ἐν ὑγροῖς τε καὶ σφυγματικοῖς νοσήμασιν, ὅταν αὐτὰ τὰ στερεὰ σώματα μαλακὰ γένηται τῷ πλήθει τῆς ὑγρότητος τεγχθέντα. συμβαίνει δὲ μάλιστα τοῦτο κατὰ τὰ ληθαργικὰ πάθη καὶ τοὺς ἀμφημερινοὺς πυρετοὺς, καὶ προσέτι τοὺς ἑλώδεις τε καὶ τυφώδεις ὀνομαζομένους. καὶ δὴ καὶ βραδύτητα καὶ ἀραιότητα καὶ μέγεθος ἐν τοῖς τοιούτοις ἅπασιν ὁ σφυγμὸς προσλαμβάνει. εἰ δὲ καὶ ὕψος ἢ σφοδρότητά ποτε προσκτήσαιτο, κρίσιμον ἱδρῶτα δηλώσει·

in uno pulſu, quod non raro animadvertitur, nec in paucis affectibus, imo praeter caetera frequenter atque in multis. Invenitur hoc tum, quum arteriae propinquior pars principio prius movetur. In quo genere undoſus atque vermiculans pulſus ſunt, quos mollis arteria et facultas non valida conſtituunt. Ac vermiculans non modo non validam, ſed et infirmam facultatem denunciat. Undoſus interdum hoc ipſum duntaxat ſignificat, non firmam eſſe, non ſtatim tamen infirmam, interdum etiam mediocriter firmam, quum praeſertim decretorium ſudorem promittit, in humidis enim invenitur et pituitoſis morbis, quum ipſa ſolida corpora nimia humiditate imbuta emollita ſint, id quod potiſſimum accidit in morbis lethargicis et febribus quotidianis, illisque etiam quas paluſtres et typhodes appellant. Jam etiam tarditatem et raritatem magnitudinemque in his omnibus acquirit pulſus; qui ſi praeterea altitudinem et vehementiam nactus ſit, decretorium ſudorem ſignificabit. Magis hic

μᾶλλον δ' ἐλπίζειν ἔσεσθαι τοῦτο πλεόνων τῶν σφοδρῶν τε καὶ ὑψηλῶν φαινομένων ἤπερ τῶν ἐναντίων. εἰ δ' ὁμαλῶς τοιοῦτοι φαίνοιντο, χρηστὸν ἅμα καὶ διὰ ταχέων ἔσεσθαι τὸν ἱδρῶτα σημαίνουσι, καὶ μᾶλλον, εἰ καὶ τὰ τῆς πέψεως τοῦ νοσήματος ὑπάρχει γνωρίσματα. πρόδηλον δὲ δήπουθεν ὡς οὔτε φλεγμονή τις οὔτε σκίῤῥος οὔτε πῆξις ἐκ ψύξεως οὔτε ξηρότης ἄμετρος οὔτε σπασμώδης διάθεσίς ὑπάρχει κατὰ τὸ σῶμα τἀνθρώπου κυματώδους ὄντος τοῦ σφυγμοῦ, διότι μήτε σκληρύνεσθαι δυνατόν ἐστι μήτε τετάσθαι τὴν ἀρτηρίαν ἐν τῷ τοιούτῳ σφυγμῷ. χρὴ γὰρ, ὡς ἀρτίως εἴρηται, μαλακὴν ἀκριβῶς ὑπάρχειν αὐτὴν, ἵν' ὅταν ὁ διεγείρων τε καὶ διαστέλλων τόνος ὀκλάσῃ κατά τι, κατ' ἐκεῖνο καὶ αὕτη καταπίπτουσα τὴν οἷον κύματος ἐργάζηται περιγραφήν. ἡ σκληρὰ δὲ καὶ ἡ τεταμένη, κἂν ἐνδῷ κατά τι τῆς διαστελλούσης αὐτὴν δυνάμεως ἀῤῥωστούσης, ἀλλά τοι καὶ αὐτὸ τοῦτο τὸ μόριον συνεξαίρεταί τοῖς ἑκατέρωθεν. [271] ὅθεν οὐδ' εἰ φανείη ποτὲ κατὰ τὴν σκληρὰν ἀρτηρίαν ὁ σφυγμὸς τοιοῦτος, ὡς τὸ πρότερον ἀεὶ μέρος αὐτῆς διαστέλλεσθαι πρότερον, οὐδὲ τότε κυματώδης ἢ σκωληκίζων γενήσεται, ἀλλὰ μᾶλλον ἀνωμαλίαν ἔχων τὴν

fperandus eft, fi plures vehementes et alti appareant quam contrarii. Qui fi aequaliter appareant, falubrem fimul et brevi fudorem promittunt, maxime fi indicia appareant concoctionis morbi, fiquidem liquet utique nec inflammationem ullam, nec fcirrhum, nec conftrictionem ex frigore, nec immodicam ficcitatem, nec affectum convellentem corpus hominis, fi undofus fit pulfus, tenere, quod nec indurescere in eo pulfus, nec tendi arteria poffit; etenim molli omnino, ut modo dictum eft, ea eft opus, quo quum robur, quod excitat et diftendit, claudicet alicubi, illic haec decidat atque velut undae formam efficiat. At dura et contenta etiam ficubi infirma quae ipfam attollit facultate cesfert, ea ipfa tamen pars una cum illis quae ex utroque latere funt attollitur. Proinde in dura arteria, ne fi quando reperias quidem ejuscemodi pulfum, ut prior femper ejus pars prius diftendatur, undofus tum vel vermiculans fiet; verum potius inaequalitatem habebit, quae confiftit in pri-

Ed. Chart. VIII. [271.] Ed. Baf. III. (135.)

κατὰ τὸ πρότερόν γε καὶ ὕστερον μέρος τῆς ἀρτηρίας τοῦ χιτῶνος κινουμένης γινομένην. οἱ κυματώδεις δὲ καὶ οἱ σκωληκίζοντες καὶ τοῦτο μὲν ἔχουσιν, ἀλλὰ καὶ τὴν οἷον κυμάτων περιγραφὴν ἐξ ἐπιμέτρου προσλαμβάνουσιν, εὑρίσκονται δ' ἐν τοῖς ὑγροῖς, ὡς εἴρηται, πάθεσιν, ὅταν μήτε σκίῤῥος ῇ περὶ σπλάγχνον τι μήτε φλεγμονὴ, ἐπεί τοι κἂν τοῖς ὑδέροις, καὶ μάλιστα τοῖς ἀνασάρκα τε καὶ λευκοφλεγματίαις ὀνομαζομένοις τοιοῦτος ἂν ἐφαίνετο διαπαντὸς ὁ σφυγμὸς, εἰ μὴ διὰ τὸ σκιῤῥοῦσθαί τινα σπλάγχνα συνέβαινον οἱ ὕδεροι τὰ πολλά. τοῖς γὰρ ἐξ αἱμοῤῥοΐδος ἐπισχέσεως ἢ καταμηνίων ἐποχῆς ἐθεασάμεθα πολλάκις ἀκριβεῖς κυματώδεις τε καὶ σκωληκίζοντας ἑπομένους σφυγμοὺς, ἐπειδὴ πολλάκις ἐν τοῖς τοιούτοις ὑδέροις οὐδὲν τῶν σπλάγχνων σκιῤῥοῦται. οὐκοῦν, ἀναληπτέον γὰρ αὖθις ἐπὶ κεφαλαίων τὸν λόγον, ὁ κυματώδης σφυγμὸς ὑγρᾶς ἐστι καὶ μαλακῆς ἀρτηρίας ἔγγονος, ἅμα δυνάμει καμνούσῃ μετρίως, ὁ δὲ σκωληκίζων ἀρτηρίας μὲν μαλακῆς, ἀῤῥώστου δ' ἱκανῶς δυνάμεως. διὰ τοῦτο γοῦν καὶ χωρὶς πυρετῶν ὡς τὰ πολλὰ φαίνεται γινόμενος ἐπὶ κενώσεσι

ma et ultima parte arteriae quae movetur tunicae. Undosi et vermiculantes quum hoc habent tum vero cumulum obtinent quasi undarum formam, qui in humidis occurrunt affectibus, quum nulli visceri fcirrhus ineft, aut inflammatio. Verum enimvero et in hydrope, praecipue qui anafarca et leucophlegmatias vocatur, talem perpetuo pulfum reperies, nifi quia induruerint fcirrho quaedam viscera, acciderit, quod frequens eft, hydrops. Nam illum quidem quem fuppreffa haemorrhois, vel menftruorum fuppreffio commifit, attendimus exactos faepe undofos et vermiculantes pulfus comitari; quandoquidem frequenter in ejuscemodi hydrope nullum indurescit fcirrho viscus. Itaque ut de integro fermonem fummatim refumam, undofus pulfus ex humida mollique arteria oritur, fimulque ex facultate modice affecta; vermiculans ex molli quidem, verum ex debilitata infigniter facultate. Quamobrem etiam fine febribus vere folet largis vacuationibus fuccedere fanguinisque

λάβροις αἱμοῤῥαγίαις τε καὶ διαῤῥοίαις καὶ χολέραις καὶ καθάρσεσιν ἰσχυραῖς ἐμέτοις τε σφοδροῖς καὶ οὔροις παμπόλλοις καὶ καταμηνίων ἀμέτροις καταῤῥήξεσιν. οὕτως δὲ καὶ ταῖς δι' αἱμοῤῥοΐδων κενώσεσι καὶ ταῖς ἐκ μήτρας αἱμοῤῥαγίαις, ἔτι τε τῷ καλουμένῳ ῥῷ γυναικείῳ καὶ μοχθηροῖς ἱδρῶσιν ὁ τοιοῦτος ἐπιγίνεται σφυγμὸς, οὐδὲν ἧττον δὲ καὶ τοῖς ὑγρότητι πολλῇ διασαπεῖσι τὴν πνεύμονα, καθ' ὃν ἤδη χρόνον ἂν ἡ δύναμις αὐτῶν κάμνῃ. εἰ μέντοι τι φλεγμονῶδες ἐπιγένηται τῇ τοιαύτῃ διαθέσει, σκληρότητα προσλαμβάνοντες οὐκ ἔτι φαίνονται σκωληκίζοντες. διὰ τοῦτο γοῦν οὐδὲ τοῖς ἑκτικοῖς ὀνομαζομένοις πυρετοῖς, ὧν εἰσι καὶ οἱ μαρασμώδεις ἅπαντες καὶ οἱ ἐπὶ ταῖς φθόαις, οὐ γίνονται σκωληκίζοντες οἱ σφυγμοὶ, γενόμενοι πάντως ἂν, ὅσον ἐπὶ τῷ κάμνειν τὴν δύναμιν, ἀλλ' ἡ συνοῦσα τοῖς πάθεσι ξηρότης σκληρὰς ἀποτελεῖ τὰς ἀρτηρίας. ἡ μέντοι τοῦ γένους τούτου τῶν σφυγμῶν ἀνωμαλία συμπίπτει πάντως αὐτοῖς, ὅταν ἱκανῶς κάμνουσι τὴν δύναμιν ἐφ' ἧς εἴπομεν ἐν προτέρῳ μορίῳ τῆς ἀρτηρίας τὴν κίνησιν φαίνεσθαι πρότερον, ὅπερ

profluviis et alvi fluoribus, choleris, validis purgationibus, vomitibus vehementibus, urinis copiosis, denique mensium immodicis profluviis, ad haec vacuationibus per haemorrhoidas sanguinisque ab utero profluviis. Jam fluorem etiam muliebrem quem vocant sudoresque pravos hic pulsus excipit, et vero etiam hos quibus immodica humiditate computruit pulmo, id scilicet temporis, quum eorum jam laboret facultas. Verum si qua tamen eum affectum inflammatio consequatur, additur illis durities, neque amplius videntur vermiculantes. Proinde nec hecticas quas vocant febres, in quarum numero maroidae sunt omnes et quae tabi sunt adjunctae consequuntur pulsus vermiculantes, consequuturi omnino, quod ad affectam attinet facultatem, nisi conjuncta hisce affectibus siccitas arterias redderet duras. Attamen habent illi prorsus hujus generis pulsuum inaequalitatem, ubi fuerit insiguiter facultas debilitata, ob quam in priore arteriae parte diximus prius appa-

Ἐρασίστρατος μὲν ἀεὶ βούλεται γίνεσθαι, φαίνεται δ' οὐχ ὧδε συμβαῖνον, ἀλλ' ὡς δὴ νῦν λέλεκται.

Κεφ. ί. Ἑξῆς τοῖς εἰρημένοις σφυγμοῖς εἰσιν οἱ προσαγορευόμενοι μύουροι. διττὸν δὲ τὸ γένος αὐτῶν ἐστι, τὸ μὲν ἕτερον ἐν μιᾷ διαστολῇ τῆς ἀρτηρίας, τὸ δὲ ἕτερον ἐν ἀθροίσματι. τὸ μὲν οὖν ἐν μιᾷ διαστολῇ γιγνόμενον ἀσθένειαν ἐνδείκνυται δυνάμεως ἅμα σώματος ἰσχνότητι. χρὴ δ' ἐπιβάλλοντα τοὺς δακτύλους ἅπτεσθαι τῆς ἀρτηρίας, εἶθ' ὅταν ἐν τούτῳ φαίνηται κατὰ μὲν τὰ πρῶτα μέρη τῆς ἀρτηρίας μείζων ὁ σφυγμὸς, ἢ σφοδρότερος, ἢ συναμφότερον, ἐν δὲ τοῖς ὑποκάτω μικρότερος, ἢ ἀμυδρότερος, ἢ ἄμφω, τὸ μὲν πρῶτον τῶν ἐπιβεβλημένων δακτύλων ἐπαίρειν καὶ σκοπεῖσθαι πότερον ὁμοίας τῇ πρὶν ἀρθῆναι τοῦτον αἰσθάνονται κινήσεως οἱ ἐφεξῆς, ἢ σφοδροτέρας τε καὶ μείζονος. ἀμυδροτέρας μὲν γὰρ, ἢ μικροτέρας ἀδύνατον αἰσθάνεσθαι, τοῦ πρώτου δακτύλου [272] μετεωρισθέντος. εἰ μὲν οὖν ὁμοίας ἔτι κινήσεως οἱ μετὰ τὸν ἐπαρθέντα δάκτυλον αἰσθάνονται, κατὰ τὸν ἑαυτῆς λόγον ἡ ἀρτηρία μυούρως διεστέλλετο, καὶ εἴη

rere motum; quod eſſe Eraſiſtratus perpetuum confirmat, verum ſecus ſe res habere cernitur, ut nunc declaravimus.

Cap. X. Poſt praedictos pulſus ſunt illi quos decurtatos appellant. Horum duplex eſt genus, alterum in una diſtentione arteriae, alterum in acervo. Quod in una diſtentione fit, facultatis imbecillitatem una cum corporis gracilitate arguit. Eſt autem admotis digitis arteria tangenda, deinde, ſi animadvertatur interea in arteriae primis partibus major pulſus vel vehementior, vel uterque, in poſtremis minor vel languidior vel ambo, primus digitorum applicatorum eſt attollendus, perſpiciendumque utrum ſimilem illi qui ante erat quam hic ſuſtolleretur ſequentes digiti motum percipiant, an vehementiorem et majorem; nam languidiorem quidem certe vel minorem, ubi elevatus ſit primus digitus, omnino ſentire nequeas. Ergo ſi motum ſimilem digiti ſequentes ſublatum digitum ſentiant, ſua ſponte arteria decurtatam diſtentionem habebat, quod nobis

ἂν τοῦτο σημεῖον ἀτόνου δυνάμεως, ἣν ἀπὸ τῆς καρδίας ἐπιῤῥεῖν αὐταῖς ἐπεδείξαμεν. ἐν μὲν γὰρ τῷ κατὰ φύσιν ἔχειν ἄχρι τοῦ πέρατος ἁπασῶν τῶν ἀρτηριῶν ὁ διαστέλλων αὐτὰς τόνος ὁμοίως ἐξικνεῖται· κατὰ δὲ τοὺς μυουρίζοντας ἐκλύεται κατὰ βραχὺ τοσοῦτον ἑαυτοῦ γινόμενος ἀσθενέστερος ὅσον ἀποχωρεῖ τῆς ἀρχῆς. εἰ δ᾽ ἐπάραντός σου τὸν πρῶτον δάκτυλον, μετ᾽ αὐτὸν ἰσχυροτέρας τε καὶ μείζονος ἢ πρόσθεν αἰσθάνοιο τῆς κινήσεως, ἐνδείκνυται μὲν δήπου καὶ νῦν ἀῤῥωστίαν τῆς κατὰ τὴν ἀρτηρίαν δυνάμεως, ἀλλ᾽ ἐλάττονα τῆς προειρημένης. ἐν ἐκείνῃ μὲν γὰρ ἡ δύναμις ἐξελύετο τῆς ἀρχῆς ἀποχωροῦσα, νυνὶ δὲ διαμένει μὲν ἴση κατά γε τὸν ἑαυτῆς λόγον, ἡ δ᾽ ἀρτηρία βαρυνομένη πρὸς τῆς τῶν δακτύλων ἐπιβολῆς ἀσθενέστερον κινεῖται. ἧττον δ᾽ ἔσται τοῦτο κινδυνῶδες. οὐ γὰρ αὐτῆς καρδίας τοσοῦτον ὅσον τῆς ἀρτηρίας ἧς ἁπτόμεθα τὴν διάθεσιν ἐνδείκνυται. τὸ δ᾽ ἕτερον αὐτὴν μᾶλλον ἀῤῥωστεῖν ἐνδείκνυται τὴν καρδίαν, μὴ δυναμένην ὁμοίως ὡς πρόσθεν ἐκτείνειν ἀφ᾽ ἑαυτῆς ἄχρι τῶν ἐσχάτων τοῦ ζώου μορίων τὴν ἐνέργειαν. πολυειδῶς οὖν ἐπιβάλλειν ἐν τοῖς τοιούτοις σφυγμοῖς χρὴ τοὺς δακτύλους ὑπὲρ

infirmae facultatis erit veſtigium, quam in illas docuimus ex corde influere. Nam illa quando bene comparata eſt, usque ad finem arteriarum omnino contentio, quae attollit eas, ſimiliter permeat, at in pulſibus decurtatis paulatim exolvitur tantoque efficitur ſolito imbecillior, quantum eſt a principio remota. Quod ſi elevato tu primo digito, poſtea motum percipias quam antea validiorem atque majorem, declarat ille quidem etiamnum facultatis arteriae debilitatem, ſed minorem certe quam ille quem prius diximus, quod illic facultas exolveretur discedens a principio, hic maneat quantum in ipſa eſt par, ſed gravata ab injectis digitis imbecillius moveatur arteria; quod quidem minus habet periculi, neque enim ita ipſius cordis, ut arteriae quam tangimus oſtendit affectum, alterum ipſum potius debile eſſe cor ſignificat, quod protendere non perinde ac prius a ſe actionem ad extremas usque partes animantis queat. Quare in hoc genere pulſuum, ut exquirere ad unguem poſſis

τοῦ μαθεῖν ἀκριβῶς ἅπασαν τῶν ἀρτηριῶν τὴν διάθεσιν. ἡ μὲν γὰρ πιέζουσα τὴν ἀρτηρίαν ἐπιβολὴ τῶν δακτύλων ἀσφυξίαν εἶναι δόξει κατὰ τὰς τοιαύτας διαθέσεις, ἡ δ' ἐπιπολῆς ψαύουσα μυούρου φαντασίαν ἕξει τοῦ σφυγμοῦ, καὶ ἤτοι μόνοις δύο δακτύλοις, ἢ τρισὶν, ἢ καὶ τοῖς τέσσαρσιν ὑποπίπτοντος. ἔσται δὲ τοῦτο παρά τε τὴν ἰσχνότητα τοῦ ζώου καὶ τὴν ἀῤῥωστίαν τῆς δυνάμεως. εἰς ὅσον μὲν γὰρ ἰσχνότερόν ἐστιν, εἰς τοσοῦτον πλεῖον ἡ ἀρτηρία σημαίνει· εἰς ὅσον δ' ἧττον ἰσχνὸν, εἰς τοσοῦτον ἔλαττον. οὕτω δὲ καὶ κατὰ τὴν δύναμιν εἰς (136) ὅσον μὲν εὐρωστοτέρα, πλέον, ἔλαττον δ' εἰς ὅσον ἀσθενεστέρα. κατὰ δὲ τὴν τοιαύτην ἐπιβολὴν, ὁπόταν ἀρθέντος τοῦ πρώτου δακτύλου μηκέτι παραπλήσιος ὁ σφυγμὸς διαμένῃ κατὰ τὸν δεύτερον, ἀλλὰ μείζων τε φαίνηται καὶ ἰσχυρότερος, ὁ μὲν ἀπὸ τῆς καρδίας τόνος εὐρωστότερος, ὁμαλῶς γὰρ ἄχρι πέρατος ἐπιῤῥεῖ, βαρυνθεῖσα δ' ἡ ἀρτηρία κατὰ τὴν ἐπιβολὴν τοῦ πρώτου δακτύλου χεῖρον ἐν τῷ μετ' αὐτὸν διαστέλλεται, καὶ διὰ τοῦτο τοῦ βαρύνοντος ἀρθέντος ἄμεινον. εἰ δ' ὅμοιος ὁ σφυγμὸς φαίνοιτο κατὰ τὸν δεύτερον δάκτυλον τῷ φαινομένῳ, πρὶν ἀρθῆναι τὸν

totum arteriarum affectum, varie admotis opus eſt digitis. Nam arteriam digiti applicati ſi premant, abolitus eſſe pulſus in hisce affectibus apparebit, ſin attingas leviter, imaginem praebebit pulſus decurtati et vel duobus duntaxat digitis vel tribus vel etiam quatuor occurrentis. Hoc ex gracilitate animantis accidet et facultatis imbecillitate; quod quo ſit gracilius, hoc plus arteria appareat, quo craſſius, hoc minus. Et ex facultate item, quae quanto eſt firmior, tanto plus, et tanto minus, quanto imbecillior eſt. Atque in ea ratione tangendae arteriae, quum ſublato primo digito non jam ſimilis ad ſecundum pulſus permaneat, ſed appareat major vehementiorque, eſt validior quidem cordis contentio, ut quae aequaliter usque ad finem influat, ſed onerata admoto primo digito arteria deterius, quum ille adſit, diſtenditur, quocirca remoto illo qui gravabat, melius. Quod ſi aſſimilis pulſus ad ſecundum digitum videa-

Ed. Chart. VIII. [272. 273.] Ed. Baf. III. (136.)
πρῶτον, τὸ μύουρον τῆς κινήσεως ἐν αὐταῖς ταῖς ἀρτηρίαις ἐστὶν, οὐκ ἐν τῇ πρὸς τὴν ἁφὴν διαγνώσει. καὶ γίγνεται τοῦτο τῆς ἀπὸ καρδίας αὐταῖς ἐπιῤῥεούσης δυνάμεως ἐκλυομένης κατὰ βραχύ. εἰ δὲ κρείττων μὲν ἡ κίνησις φαίνοιτο τῆς ἀρτηρίας - ἀρθέντος τοῦ πρώτου δακτύλου, μὴ μέντοι γε ἀκριβῶς ἴση τῇ κατὰ τὸν πρῶτον, ἀμφοτέρας ἐνδείκνυται τὰς διαθέσεις ὑπάρχειν ἅμα. καὶ ὡς τὰ πολλά γε οὕτω συμπίπτειν εἴωθεν ἐν ἁπάσαις ταῖς τοιαύταις ἀνωμαλίαις. ἐπιβλέπειν οὖν χρὴ μετὰ τοῦτο πολλοὺς ἐφεξῆς σφυγμοὺς καὶ παραβάλλειν ἀκριβῶς ἀλλήλαις τὰς κινήσεις. ἐνίοτε μὲν γὰρ οἷά περ ἦ κατὰ τὴν πρώτην ἐπιβολὴν, τοιαῦται γίνονται πᾶσαι. πολλάκις δὲ ἐπὶ τὸ μικρότερόν τε καὶ ἀμυδρότερον ἴασιν. ἐφ᾽ ὧν δηλονότι καὶ ἡ δύναμίς ἐστιν ἀσθενεστέρα. εἰ δὲ καὶ τελέως ἐκλείποιεν, ἔτι δὴ καὶ μᾶλλον ἐνδείξονται τὴν ἀῤῥωστίαν τῆς δυνάμεως. ἐν τούτῳ δὲ χρὴ πάντας ἄραντας τοὺς δακτύλους, εἶτ᾽ ὀλίγον τινὰ διαλιπόντας χρόνον αὖθις ἐπιβάλλειν. εὑρεθήσονται γὰρ τὰ πολλὰ κατὰ τὴν δευτέραν ἐπιβολὴν αἱ ἀρτηρίαι σφύζουσαι. ὡς εἴ γέ ποτε παντελὴς ἀσφυξία φαίνοιτο καὶ κατὰ ταύτην τὴν ἐπιβολὴν, [273] ἰστέον ἐν ἐκείνῳ

tur ac videretur prius quam elevaretur primus, decurtatus motus in ipfis arteriis eft et non in exploratione per tactum, id quod fit quum ex corde quae influit facultas remittitur paulatim. Sin moveri arteria fublato primo digito melius videatur, non plane tamen fimiliter ut ad primum digitum, ambos affectus denotat conjunctos effe. Et fane fic fere folet fieri in ejuscemodi inaequalitatibus. Quare multi poftea funt pulfus refpiciendi comparandique inter fe accurate motus; etenim qualis erat in prima applicatione, tales aliquando omnes fiunt. Saepe vero minores redduntur et languidiores, in quibus pariter debilis eft facultas. Sin deficiant prorfus, tum multo fane magis declarabunt facultatis imbecillitatem. Atqui hic funt fummovendi omnes digiti, deinde fpatio parvo interpofito de integro admovendi; etenim invenies plerumque, quum iterum digitos admoveris, arterias pulfantes. Nam fi omnino pulfus abolitus videatur etiam in hac applicatione, fciendum eft ipfo

γ' αὐτῷ τῷ χρόνῳ πεποιῆσθαι τὴν προτέραν ἐπαφὴν, ἐν ᾧ συνέβαινε ταῖς ἀρτηρίαις εἰς ἀσφυξίαν ἀφικνουμέναις ὀλίγον ἔτι τῆς κινήσεως ἀποσώζειν. ἀλλὰ τοῦτο μὲν, ὡς ἔφην, σπάνιον, ὡς τὰ πολλὰ δὲ διαλείποντες, εἶτ' αὖθις ἁπτόμενοι σφυζούσας εὑρίσκομεν, ᾧ καὶ δῆλον ὡς οὐ φέρουσαι τῶν δακτύλων τὴν ἐπιβολὴν εἰς ἐσχάτην ἀμυδρότητα κινήσεως ἀφικνοῦνται. καὶ τοῦτ' ἦν αἴτιον ἄρα τὸ διαλανθάνειν ἡμᾶς τὸν σφυγμὸν, ὡς ἂν καὶ αὐτῆς τῆς ἀσφυξίας κατὰ διττὸν τρόπον γινομένης, ἢ τῷ μὴ σφύζειν ὅλως τὰς ἀρτηρίας, ὅπερ ἂν εἴη κακὸν ἔσχατον, ἢ τῷ σφύζειν μὲν, ἀλλ' οὕτως μὲν ἀμυδρόν τε καὶ μικρὸν, ὡς ἐκφεύγειν τὴν αἴσθησιν. ἔστι μὲν δὴ καὶ ἡ τοιαύτη διάθεσις, εἰ χωρὶς λειποθυμίας τινὸς προσφάτου γίνοιτο, χαλεπωτάτη, πολὺ δὲ ἔτι χείρων ἡ ἑτέρα, καθ' ἣν ὄντως οὐ σφύζουσι, μᾶλλον δ' οὐ πολὺ χείρονα χρὴ λέγειν ἐκείνην, ἀλλ' ὀλεθριωτάτην τε καὶ χειρίστην, ὡς ἂν ἤδη νενεκρωμένων τῶν ἀρτηριῶν. εἰ μέντοι πλέονι χρόνῳ τῶν δακτύλων ἐπικειμένων ἀβιάστως τε καὶ ὡς ψαύειν μόνον ἐπανέρχοιτο πάλιν ἡ κίνησις, ἧττον ὀλέθριος ἡ τοιαύτη διάθεσις. ἐπανέρχεται δὲ ποτὲ μὲν εἰς ἀσφυξίαν ἐσχάτην

illo tempore primam applicationem factam esse, quo arteriis usu venit ad abolitionem pulsus tendentibus parvam adhuc portionem motus retinere. Sed hoc, ut dixi, est rarum; nam fere si paulo post iterum tangamus, offendimus pulsantes. Quare declaratur illas, quum admotos digitos non ferant, ad motus extremam remissionem devenire; atque hoc in causa erat, cur nos pulsus lateret. Etenim bifariam et ipse aboletur pulsus, vel quia prorsus non pulsant arteriae, quod extremum malum denotat, vel quia pulsant quidem, sed ita languide et parum ut sensum fugiant. Sane est hic affectus, si remotus sit ab omni animi defectu repentino, gravissimus; sed vero multo etiam deterior alter, in quo vere non pulsant, deterior autem multo, imo exitiosissimus et pessimus, nimirum demortuis jam arteriis. At vero si diutius applicatis leniter digitis palpent tantum, reciprocetur motus, is minus exitialis affectus est. Reciprocatur modo ad ultimam pulsus abolitionem, modo ad

ἀφικνουμένη, ποτὲ δ' εἰς μικροσφυξίαν τε καὶ ἀμυδρότητα. καὶ τοίνυν καὶ καλοῦνται παλινδρομοῦντες μὲν ἀμφότεροι, διαφέρουσι δὲ τῷ τοὺς μὲν μυούρους εἶναι παλινδρομοῦντας, τοὺς δ' ἐκλείποντας παλινδρομοῦντας. ἄμεινον δ' ἐν ταῖς τοιαύταις ἐπισκέψεσιν οὕτω σχηματίζειν τὸ μόριον, ὅτου περ ἂν ἁπτόμενοι τύχωμεν, ὡς ὑποκάτω τῆς ἀρτηρίας εἶναι τὴν ἡμετέραν ἀφὴν, οὕτω γὰρ ἥκιστα πρός τε τῶν δακτύλων θλίβοιτο καὶ αὐτοῦ τοῦ προβεβλημένου δέρματος. ἔνεστι δ' ἔργῳ μαθεῖν ἑκάστῳ τῶν βουληθέντων, ὁπόσον εἰς διάγνωσιν ἀφανῆ κινήσεως ἡ τοιαύτη τῶν δακτύλων ἐπιβολὴ συντελεῖ. πολλάκις γοῦν ἡμεῖς ἄνωθεν μὲν ἐπιβεβληκότες τοὺς δακτύλους κατὰ τὰς ἀρτηρίας οὐδὲ μιᾶς αἰσθανόμεθα κινήσεως, ἐν δὲ τῷ καταστρέψαι τὸ κῶλον εὐθέως ᾐσθόμεθα. χείριστοι δὲ πάντων εἰσὶν οἳ ἂν εἰς ἀκινησίαν τελευτήσαντες αὖθις μηκέτι ἐπανέρχωνται τοῦ κώλου περιστραφέντος. ἧττον δὲ τούτων οἳ ἂν ἐν τῷ περιστραφῆναι φαίνονται κινούμενοι, τούτων δ' ἔθ' ἧττον οἱ μύουροι μὲν γινόμενοι, μὴ μέντοι γ' εἰς ἀκινησίαν παντελῆ τελευτῶντες, καὶ τούτων ἔθ' ἧττον οἱ ἐπανερχόμενοι μύουροι, καὶ μᾶλλον, ἐπειδὰν ὑποπίπτωσιν ἅμα πλείοσι δακτύλοις· ᾧ καὶ αὐτῷ μάλιστα προσέχειν ἀξιῶ

parvum pulſum et languidum; quamobrem vocantur etiam reciproci utrique, ſed hoc intereſt inter hos, quod illi decurtati ſint reciproci, hi deficientes reciproci. In hujuscemodi aeſtimandis ita debemus partem componere, quamcunque tangamus, ut ſubter arteriam noſter tactus ſit; ita fiet enim ut quam minimum a digitis premantur et ab objecta cute. Poterit autem re ipſa quilibet perſpicere, quam haec digitorum applicatio ad dignoscendum conferat obscurum motum. Equidem non raro, quum admoviſſem ſuperne digitos arteriis, nullum motum animadverti; quem, ut primum converti membrum, percepi ſtatim. Omnium vero ſunt peſſimi qui ab amiſſo motu minime reciprocantur univerſo membro; minus his qui inverſo illo videntur moveri; quibus etiam minus qui ſunt decurtati, non tamen perdunt plane omnem motum; jam etiam his minus reciproci decurtati, adeoque ſi multis ſimul digitis occurrant. Cui equidem maxime

καὶ σκοπεῖσθαι τὸ ποσὸν τῆς ἰσχνότητος τοῦ σώματος ἀκριβῶς. εἰ μὲν γὰρ ἐσχάτως ἰσχνοῦ τοῦ σώματος ὄντος ἡ τῶν ἀρτηριῶν κίνησις ὑποπίπτει πλείοσι δακτύλοις, οὐ διὰ ῥώμην δυνάμεως, ἀλλὰ δι᾽ ἔκτηξιν τοῦ σώματος οὕτω συμβαίνει. μετρίως δ᾽ ὄντος ἰσχνοῦ, τρισὶν ἢ τέσσαρσιν ὑποπίπτειν δακτύλοις τὴν κίνησιν τῆς ἀρτηρίας οὐ μικρὸν ἀγαθὸν, ὡς ἐν τοιούτοις. ἐμφαίνεται γὰρ ἀποσώζειν τι τοῦ τόνου κατὰ τὴν ἐνέργειαν. ὁ δ᾽ ἀριθμὸς τῶν δακτύλων, ὅσοις ὑποπίπτειν ἡ κίνησις μέλλει, καθ᾽ ἑκάστην τῶν ἀρτηριῶν ἴδιός ἐστιν. οὐ γὰρ ἁπασῶν ἴσον ἐξέχει τε καὶ διασυμβαίνει κατὰ τὸ δέρμα. κάλλιον δ᾽ εἰς τοῦτο τῆς φύσεως αὐτοῦ τοῦ κάμνοντος ἔχειν ἐμπείρως. τοῖς μὲν γὰρ φύσει μικρότερος ὁ σφυγμός ἐστι, τοῖς δὲ βραχύτερος. ἑκάστῳ δὲ τοῦ ποσοῦ τὸ μέτρον ὡς πρὸς τὴν ἑαυτοῦ φύσιν ἐστίν· ἀγνοοῦντες οὖν τὸ κατὰ τὴν φύσιν ἴδιον αὐτοῦ τοῦ κάμνοντος, ἀπὸ τῶν κοινοτέρων διαφορῶν στοχαζόμεθα τῶν κατά τε τὴν κρᾶσιν τοῦ σώματος καὶ τὴν ἕξιν, ἐν μὲν τῇ κράσει μάλιστα τὴν κατὰ τὸ θερμόν τε καὶ ψυχρὸν ἐπισκοπούμενοι διαφορὰν, ἐν δὲ ταῖς ἕξεσι τὴν κατὰ λεπτότητά τε καὶ πολυσαρκίαν.

animum advertendum cenfeo et attendendum accurate qua fit corpus gracilitate. Nam fi corpore extreme gracili occurrat motus arteriarum pluribus digitis, non hoc facultatis robur, caeterum corporis efficit colliquatio; fed quum modice eft gracile, fi tribus vel quatuor digitis occurrat motus arteriae, non mediocre ut in talibus bonum eft; videtur enim in agendo aliquid retinere contentionis. Numerus autem digitorum, quibus motus eft occurfurus, fuus cuique arteriae eft; neque enim aeque omnes extant et fecundum cutem pofitae funt. Ad hanc rem magnopere refert naturam tenere ipfius aegroti; quibusdam enim fua fponte pulfus minor eft, aliquibus brevior: unicuique enim modus quantitatis ad fuam naturam referendus elt. Haec fi nos naturae ipfius aegroti proprietas lateat, ex communioribus differentiis conjecturam facimus temperamenti corporis et habitudinis; ac in temperamento praefertim calidi et frigidi differentiam refpicimus; in habitudine gracilitas et corpu-

Ed. Chart. VIII. [273. 274.] Ed. Baf. III. (136.)
ἐνίοτε μὲν οὖν ἅμα καὶ συμπίπτουσιν αἱ δύο ἀνωμαλίαι τῶν σφυγμῶν, ἥ τε κατὰ μίαν κίνησιν ἥ τε ἐν ἀθροίσματι. [274] πολλάκις δὲ ἡ μὲν κατὰ μίαν οὐκ ἔστιν, ἡ δ᾽ ἐν ἀθροίσματι σαφῶς εὑρίσκεται. καὶ τοῦ μὴ φαίνεσθαι τότε τὴν κατὰ μίαν αἴτιον διττὸν, ἤτοι τῆς διαθέσεως ἡ σμικρότης ἢ τῶν σφυγμῶν αὐτῶν ἡ βραχύτης. ἄν τε γὰρ ἡ διάθεσις ἡ τοὺς ἐν ἀθροίσματι μυούρους ἐργαζομένη μὴ πάνυ τις ᾖ χαλεπὴ, κατὰ τὴν μίαν διαστολὴν ὁμαλός ἐστιν, ἐν πλείοσι δὲ τὴν μυουρίζουσαν ἀνωμαλίαν λαμβάνει· ἄν τε μεγάλη μὲν ἡ διάθεσις ὑπάρχῃ, βραχὺς δ᾽ ᾖ κατὰ τὸ μῆκος ὁ σφυγμὸς, ὡς ἑνὶ μόνῳ ὑποπίπτειν δακτύλῳ, κἂν ὅτι μάλιστα κατ᾽ ἀλήθειάν τε καὶ ὄντως ᾖ μύουρος, οὐχ ἕξει τὴν ἀνωμαλίαν αἰσθητήν. πλείοσι γὰρ ὑποπίπτειν χρὴ δακτύλοις τὴν καθ᾽ ἕνα σφυγμὸν ἀνωμαλίαν μυουρίζουσαν. ἐξ οὖν τῶν εἰρημένων εὔδηλον ὡς ἄμφω μὲν τὰ γένη τῶν μυούρων σφυγμῶν ἀσθένειαν ἐνδείκνυται δυνάμεως, ἀλλὰ τὸ μὲν κατὰ μίαν διαστολὴν συνενδείκνυται λεπτότητα τοῦ κάμνοντος σώματος, τὸ δ᾽ ἐν ἀθροίσματι δύναιτ᾽ ἂν ποτε καὶ χωρὶς

lentiae. Ac fit interdum ut ambae inaequalitates pulfuum, tum quae in uno pulfu tum quae in acervo confiftit, concurrant. Saepe quoque illa, quae in uno pulfu confiftit, non adeft: quae autem in acervo, reperitur manifefte. Atque cur lateat inaequalitas unius pulfus caufa duplex eft, aut affectionis parvitas, aut ipforum pulfuum brevitas. Nam fi affectio, quae decurtatos in acervo concitat, non perinde gravis fit, in una diftentione eft aequalis, in pluribus autem decurtatam inaequalitatem acquirit; fin ingens fit affectio, brevi autem pulfus quantitate, ut uni duntaxat digito occurrat, etfi veriffimus fit certiffimusque decurtatus, non perceperis ejus inaequalitatem; pluribus enim digitis occurrat oportet quae in uno pulfu inaequalitas decurtata erit. Ex his igitur liquet utrumque genus decurtatorum pulfuum fignificare facultatis imbecillitatem; verum quod in una diftentione eft aegroti etiam gracilitatem corporis demonftrat, quod autem in acervo eft poffet nonnunquam

ἰσχνότητος γενέσθαι. δέδεικται δὲ καὶ ὡς ἄν τις ἐξευρίσκοι τὸ ποσὸν τῆς βλάβης ἐν ἑκατέρῳ τῷ γένει. περὶ μὲν οὖν τῶν μυουριζόντων σφυγμῶν ἱκανὰ καὶ ταῦτα.

Κεφ. ια'. Γεγράφασι δέ τινες ὡς ἀνεστραμμένον εὑρίσκοντές ποτ' εἶδος σφυγμοῦ τοῖς εἰρημένοις. ἐπὶ γοῦν τῆς κατὰ τὸν καρπὸν ἀρτηρίας, ἧς δὴ καὶ συνηθέστατον ἅπτεσθαι, πεφαγκέναι φασὶν ἑαυτοῖς (137) εὐρύτερον τὸν ἐν τῷ κάτω πέρατι σφυγμὸν, μύουρον μὲν ὄντα δηλονότι καὶ τοῦτον, ἀλλὰ τὸ λεπτότερον αὐτοῦ μέρος οὐ κάτω τετραμμένον ὡς ἐπὶ τοὺς δακτύλους, ἀλλ' ἄνω τε καὶ πρὸς τὰ κατ' ἀγκῶνα χωρία ἔχοντα. ἐγὼ δ' ἡγοῦμαι τοὺς ἀνθρώπους ἐφ' ὧν εὑρηκέναι φασὶ τοὺς τοιούτους σφυγμοὺς οὐ πρόσκαιρόν τινα τὴν αἰτίαν, ἀλλ' ἐπὶ φυσικῇ διαπλάσει τῶν κατὰ τὸν καρπὸν ἐσχηκέναι μορίων. σπανίως μὲν γὰρ, εὑρίσκεται δ' οὖν ποτε τοιαύτη διάπλασις, ὡς τὸ μὲν πρὸς τῷ καρπῷ μέρος τῆς ἀρτηρίας ὑπ' αὐτῷ τῷ δέρματι τετάχθαι, τὸ δ' ἄνω πᾶν αὐτῆς τῷ μὲν ἀνωτέρω κεκαλύφθαι πλέονι σαρκὶ, τῷ δὲ

vel fine gracilitate fieri. Magnitudinis noxae in utroque genere rationem docuimus inveniendae. Ac de decurtatis pulfibus hactenus.

Cap. XI. Sunt qui memoriae prodiderunt reperiffe aliquando fe commemoratis genus pulfus contrarium. Nam in carpi arteria, quae fere folet tangi, apparuiffe fibi ajunt latiorem pulfum ad inferiorem terminum, decurtatum illum quidem etiam, verum partem ejus tenuiorem non deorfum verfam veluti ad digitos effe, fed fuperiorem regionem et fecundum cubitum tenere. Equidem arbitror illos homines, quos cum ejuscemodi pulfibus fe inveniffe ajunt, non ob temporaneam caufam, fed propter nativam conformationem partium fecundum carpum ipfos habuiffe. Siquidem raro quidem talis conformatio, fed reperitur tamen, ut pars arteriae quae ad carpum eft collocata fub ipfam cutem fit, fuperna pars ejus tota, quae fuperior eft, tecta fit majore mole carnis, inferior, quae ad ipfum carpum tendit,

κατωτέρω τε καὶ κατ᾽ αὐτὸν τὸν καρπὸν ἀθρόον εἰς τὸ βάθος ἐνδύεσθαι. τοῖς τοιούτοις οὖν ἀθρώποις οὐ νοσοῦσι μόνον, ἀλλὰ καὶ ὑγιαίνουσιν ὁ σφυγμὸς φαίνεται μύουρος, ἄνω μὲν ὡς πρὸς τὸν πῆχυν ἔχων τὸ στενώτερον, ἐν δὲ τοῖς κάτω τε καὶ πρὸς τὸν καρπὸν ὅσον εὐρύτερον. εὔδηλοι δέ εἰσιν οἱ γράψαντες ὑπὲρ τῶν τοιούτων σφυγμῶν ὡς νοσωδῶν οὐ προσεσχηκότες τῷ πράγματι τὴν διάνοιαν ἀκριβῶς ἔκ τε τῶν ἄλλων ὧν γράφουσι κἀκ τοῦ μηδ᾽ ὅ τι σημαίνουσι προσγράψαι τῷ λόγῳ. πρόδηλον γὰρ ὡς οὐδὲν εὗρον ἐξαίρετον ὑπ᾽ αὐτῶν σημαινόμενον, ἐπὶ φυσικῇ διαπλάσει τοιούτων γινομένων, οὐ νοσώδει διαθέσει. διὸ καὶ πολλάκις εἴρηταί μοι πρὸς τὰς διαγνώσεις τῶν σφυγμῶν οὐδὲν οὕτως εἶναι χρήσιμον ὡς τὸ γινώσκειν ὁποῖός τίς ἐστιν ἑκάστῳ φύσει σφυγμός. καὶ γὰρ οὖν καὶ ἄλλαι τινὲς ἀρτηρίαι ταῖς εἰρημέναις ἔμπαλιν ἔχουσιν, ὡς ἐν μὲν τοῖς ἄνω μέρεσιν ὑπὸ τῷ δέρματι μόνῳ τετάχθαι γυμνῷ, κατωτέρω δ᾽ ἐρχόμεναι πρὸς τὸν καρπὸν εἰς τὸ βάθος καταδύεσθαι. καὶ διὰ τοῦτο καὶ τούτων ὁ σφυγμὸς φαίνεται μύουρος. ἑτέρων δέ γε φύσει περινενευκὼς

affatim demergatur in profunditatem. Hisce hominibus non per morbum folum, verum etiam per fanitatem pulfus decurtatus videtur; fuperne quidem et ad cubitum, quod anguftiam habeat: inferne atque ad carpum, quod latitudinem. At illos, qui de hisce pulfibus ut infalubribus fcripferunt, rem parum diligenter attendiffe apertum fit quum ex aliis quae prodiderunt, tum quod non adfcripferunt quid denotent. Scilicet hoc in aperto eft, nihil eximium quod ab iis pulfibus denotetur comperiffe, quippe qui ex nativa conformatione, non ex infalubri affectione, proficiscantur. Quamobrem faepenumero dixi, nihil perinde facere ad dignoscendos pulfus ut pulfus nativi quem quisque habet notitiam. Etenim aliae etiam arteriae funt quae contra ac illae comparatae funt, ut fola cute in fuperiore regione fint intectae, quum vero descenderint ad carpum, demergantur. Itaque horum etiam videtur decurtatus pulfus. Aliorum item natura circumnutans pulfus eft et nu-

τε καὶ ἐπινενευκὼς ἑκατέρωσε πλέον ἢ κατὰ τὴν κοινὴν φύσιν, οὐ νοσήματος, ἤ τινος ὅλως αἰτίας παρὰ φύσιν, ἀλλὰ φυσικῆς διαπλάσεως ἐργασαμένης αὐτόν. ὅπερ εἰ μὴ γινώσκομεν, ὁπότ' εἴη φύσει, μέγιστα σφαλησόμεθα. γίγνεται μὲν γὰρ, ὡς εἴρηται, μύουρος ὁ σφυγμὸς ἔν τισι παρὰ φύσιν αἰτίοις· εὑρίσκεται μέντοι τισὶ καὶ κατὰ τὴν τῆς δια[275]πλάσεως ἰδιότητα, καθάπερ καὶ ὁ ἐπινενευκώς τε καὶ περινενευκὼς ὀνομαζόμενός ἐστιν, ὅ γε μὲν οὖν οὕτω τῆς ἀρτηρίας κατασκευασθείσης ὡς τὸ μέσον αὐτῆς μόνον ὑπὸ τῷ δέρματι τετάχθαι ψιλῷ, τὰ δ' ἑκατέρωθεν ἀθροώτερον ἐγκαταβαίνειν τῷ βάθει. γίνεται δὲ καὶ δι' ἀῤῥωστίαν δυνάμεως, ἀδυνατούσης ἐπαίρειν τὰ βαρύνοντα· καὶ ὅταν γε τὸ τοιοῦτον πάθος ἰσχυρότερον αὐτῇ γένηται, καμπήν τινα φαίνεται κατὰ τὸ ὕψος ἔχειν ὁ σφυγμὸς, οὐ κύκλου περιφέρειαν, ἥντινα καμπὴν οὐ κακῶς ὁ Ἀρχιγένης ὀνομάζει γωνίωσιν. οὐκέτι γὰρ ὡς κύκλου περιφέρεια τὸ ὕψος τῆς ἀρτηρίας, ἀλλ' ὡς τριγώνου κορυφὴ κινεῖ τὴν ἁφήν. ἔτι δὲ μᾶλλον αὐτῇ γίγνεται τοῦτο φριττούσῃ τε καὶ πηγνυμένῃ διὰ ψύξιν, ἢ ὁπωσοῦν

tans utrinque praeter communem naturam; quem non morbus, aut ulla denique causa praeter naturam, sed creat conformatio nativa. Quae nisi cognoscamus, quando ex natura proficiscuntur, in maximos errores impingemus. Fit enim, uti docuimus, pulsus decurtatus in quibusdam ex causis praeter naturam, in nonnullis tamen invenitur etiam ex propria conformatione, quomodo etiam nutans et circumnutans quem vocant, atque hic quidem, si arteria ita sit conformata ut ejus pars duntaxat media nudae subjecta cuti sit, partes autem utrinque altius demergantur. Fit etiam ob imbecillitatem facultatis, quae attollere onus nequeat; qui affectus quum sit ipsa validior, flexum in alto quendam pulsus repraesentat, non circuli figuram; quem flexum non male Archigenes appellavit angulositatem; nam altitudo arteriae non ut circuli jam figura, sed ut vertex trianguli movet tactum. Et magis jam ei hoc accidit horrescenti et rigenti ex frigore, vel quomodolibet aliter indu-

ἄλλως σκληρυνθείσῃ, καὶ διὰ τοῦθ' εὑρεῖν αὐτόν ἐστι πλειστάκις ἐν ταῖς μετὰ ψύξεως ἐμβαλλούσαις ἰσχυραῖς ἐπισημασίαις· οὐ γὰρ δὴ ἐν ἁπάσαις γε, ἢ μόναις, ὡς ἔνιοι νομίζουσι. ἂν γὰρ ἥ τε σκληρότης τῶν ἀρτηριῶν ἔχῃ τὰ δυσκαμπῆ ἥ τε δύναμις ἀσθενὴς οὖσα βαρύνηται καθ' ἑκάτερα, τὴν μὲν οἷον κύκλου περιφέρειαν ἀπόλλυσιν, ὁμοιοῦται δὲ τριγώνου κορυφῇ, μὴ δυναμένης τῆς ἀρτηρίας διὰ σκληρότητα κατὰ βραχὺ κάμπτεσθαί τε καὶ πρὸς τὸ βάθος ἐπινεύειν ἑκατέρωθεν, ἀλλὰ κλωμένης μᾶλλον ἢ καμπτομένης διὰ τὴν σκληρότητα. ταῦτ' οὖν αὐτῇ τὰ παθήματα πολλάκις μὲν ἐν ταῖς ψυχούσαις ἱκανῶς ἐπισημασίαις γίνεται, συμπίπτει μὴν ἐνίοτε καὶ χωρὶς εἰσβολῆς παροξυσμῶν· ὥσπερ αὖ πάλιν ἐν ταῖς ἀπεριψύκτοις ἐπισημασίαις οὐδ' ὅλως γίνεται τοιοῦτος ὁ σφυγμός· ἄμεινον δ' ἴσως ἐστὶ μηδὲ χρονίζειν ἔτι κατὰ τὸν τόπον, ἐν τοῖς μετὰ ταῦτα μέλλοντας ἐπιπλέον ὑπὲρ αὐτῶν διεξέρχεσθαι.

Κεφ. ιβ'. Ἔστι δὲ ἐκ ταὐτοῦ τοῖς εἰρημένοις γένους καὶ ὁ τρομώδης σφυγμὸς, οὐ πάνυ τι φαινόμενος ἐναργῶς. ἐπειδὴ δὲ, καθάπερ ἐπιδέδεικται διὰ τοῦ δευτέρου τῶν ἐν τοῖς

ratae. Itaque hunc subinde est cernere initio gravium accessionum cum refrigeratione invadentium; non in his tamen omnibus, vel solis, ut quidam putant. Nam si arteriarum durities flecti aegre queat facultasque imbecilla gravetur utrinque, perdit circuli veluti circumferentiam, refert autem verticem trianguli, quod propter duritiem arteria nequeat paulatim flecti et ad profunditatem utrinque inclinari, sed vibretur potius quam flectatur per duritiem. Qui quidem illi affectus frequentes in accessionibus bene refrigerantibus sunt; accidunt tamen interdum sine invasione accessionis, ut contra in accessiones quae non perfrigerant pulsus talis prorsus non cadit. Sed quoniam de his latius posthac statuimus dicere, praestiterit non diutius huic loco immorari.

Cap. XII. Porro ex horum etiam genere est pulsus tremulus, qui non perinde est conspicuus. Quando vero, ut in secundo libro De caulis symptomatum declaravimus

συμπτώμασιν αἰτίων, ἀσθενείᾳ δυνάμεως ἕπεται τρόμος, ἀναγκαῖον οὖν ἐστι διὰ τοῦτο καὶ τὸν τρομώδη σφυγμὸν ἀμυδρόν τε ἅμα καὶ μικρὸν εἶναι, ἐν δὲ τῷ τοιούτῳ λανθάνουσιν αἱ τρομώδεις κινήσεις, ἀξιολόγου διαστολῆς εἰς τὸ γνωσθῆναι δεόμεναι. φαντάζεται δὲ ἐνίοτε τοῖς ἀγυμνάστοις ὁ τρομώδης σφυγμὸς ὡς κλονώδης, καὶ διὰ τοῦτ᾽ οἴονται πολλάκις ἑωρακέναι τοιοῦτον. ἀλλ᾽ οὐ δεῖ μακρότερον ὑπὲρ αὐτῶν διεξέρχεσθαι κατὰ ἐνεστῶτα λόγον. εἴρηται γὰρ ἐν τῷ δευτέρῳ τῶν ἐν τοῖς συμπτώμασιν αἰτίων εἰς ὅσον ἀλλήλων διαφέρουσι τρόμος καὶ κλόνος, ἐξ ὧν ὁρμώμενος ἄν τις ὁποῖός τέ τις ὁ κλονώδης ἐστὶ σφυγμὸς ἀκριβῶς εἴσεται καὶ ὡς ὀλιγάκις ὁ τρομώδης ὁρᾶται κατ᾽ ἐκείνους μόνους τοὺς καιροὺς ἐν οἷς οὔθ᾽ ἡ δύναμις ἐσχάτως ἀσθενής ἐστιν, ὅ τε χιτὼν τῆς ἀρτηρίας μαλακὸς, ἥ τε τοῦ σώματος ἕξις ἰσχνή. συμβήσεται γὰρ οὕτως μήτε πάνυ μικροὺς εἶναι τοὺς σφυγμοὺς, ἀλλ᾽ ἐγγύς τι τῶν κατὰ φύσιν, μήτε ἐσχάτως ἀμυδροὺς, ἀλλ᾽ ὥστε φέρειν ἀλύπως ἐπιβολὴν δακτύλων, ὧν ἐξ ἀνάγκης εἰς διάγνωσιν δεῖται. καὶ εἴποτε ἄρα φανείη τρομώδης σφυγμὸς, ἐνδείξεται τήν τε δύναμιν ἀσθενῆ καὶ τὸν χιτῶνα τῆς

imbecillitatem facultatis conſequitur tremor, neceſſarium eſt ideo tremulum pulſum etiam languidum ſimul et parvum eſſe, atque hac de re ſugiunt tremuli motus, qui ut cognoscantur, inſignem diſtentionem requirunt. At tremulus pulſus imperitis interdum videtur vibratus; unde adducuntur ſaepe eum vidiſſe. Verum hoc loco non requirunt haec prolixiorem orationem, quod ſecundo libro De cauſis ſymptomatum quid inter tremorem et vibrationem interſit explicavi, ex quibus clare qui pulſus vibratus ſit intelliges; et hoc etiam, tremulum infrequentem eſſe et apparere id temporis tantum, quum nec facultas ſemel proſtrata ſit, atque arteriae tunica mollis habitudoque corporis gracilis. Ita enim futurum eſt ut nec pulſus magnopere parvi ſint, ſed parum diſtantes a naturalibus, nec plane languidi, ſed ut innoxie applicationem ferant digitorum, quorum ad hos pulſus dignoscendos neceſſario opus eſt. Quod ſiquando pulſus tremulus incidat, facultatem imbecillam atque tu-

ἀρτηρίας μαλακὸν καὶ τὴν τοῦ σώματος ἕξιν ἰσχνήν. περὶ μὲν οὖν τῆς ἀνωμαλίας τε καὶ τῶν ἐργαζομένων αὐτὴν αἰτίων ἱκανὰ καὶ ταῦτα. καὶ γὰρ εἴ τι παραλέλειπται, ῥᾷστον εὑρίσκεσθαι τῷ ταῦτά τε τὰ νῦν εἰρημένα μὴ κατὰ τὸ πάρεργον ἐκμαθόντι καὶ ὅσα κατὰ τὸ δεύτερον εἴρηται τῶν ἐν τοῖς σφυγμοῖς αἰτίων.

Κεφ. ιγ'. [276] Ὑπόλοιπον δ' ἐστὶ περὶ τάξεως καὶ ἀταξίας διελθεῖν. δοκεῖ μὲν δὴ πᾶσα τάξις ἀταξίας ὁμογενοῦς ἀμείνων εἶναι. πρόσκειται δ' ὁμογενῶς τῷ λόγῳ διὰ τὸ δύνασθαί ποτε τὴν ἐξ ἑτέρου γένους ἀταξίαν αἱρετωτέραν ὑπάρχειν ἑτερογενοῦς τάξεως, οἷον εἰ οὕτως ἔτυχεν ὁ κατὰ μέγεθος ἢ τάχος ἄτακτος ἧττόν ἐστι χαλεπὸς τοῦ διαλείποντος ἐν τάξει τινί. οὕτω δὲ καὶ ὁ μεμηκυσμένος ἀραιὸς, εἰ καὶ φυλάττοι τάξιν τινὰ, χείρων ἐστὶ τοῦ κατὰ σφοδρότητα καὶ μέγεθος καὶ τάχος ἀνωμάλου. ἀλλ' ἥ γε ὁμογενὴς τάξις ἐπιεικεστέρα τῆς ἀταξίας εἶναι δοκεῖ, διὰ τὸ τῆς φύσεως ἡμῶν εἴπερ τι ἄλλο καὶ τὴν τάξιν οἰκείαν ὑπάρχειν. οὐ μὴν ἁπλῶς γε οὕτως ῥητέος ὁ λόγος, ἀλλὰ μετὰ τοιοῦδε διορισμοῦ.

nicam arteriae renunciat mollem, et vero etiam corporis gracilem habitum. Sed de inaequalitate caufisque eam efficientibus haec fufficiunt; etenim fi quid praetermiffum fit, facile affequetur qui haec quae nunc docuimus diligenter didicerit et illa quae in fecundo libro De pulfuum caufis expofuimus.

Cap. XIII. Reftat ut de ordine et ejus perturbatione dicamus. Sane videtur quisque ordo perturbationi ejusdem generis praeftare. Ejusdem generis addidi, quod fieri poffit ut perturbatio ordinis ex altero genere praeftet ordini alterius generis. Exempli gratia, qui magnitudine inordinatus eft vel celeritate minus incommodus eft intermittente in ordine aliquo. Item productus rarus, licet ordinem aliquem fervet, deterior eft inaequali in vehementia et magnitudine et celeritate. At ejusdem generis ordo potior effe perturbatione videtur, propterea quod naturae noftrae ordo fi quid aliud familiaris fit. Non tamen ita abfolute hoc pronunciandum eft, fed hac adhibita diftinctione,

ἡ μὲν τάξις ἐστηριγμένον πως εἶναι δοκεῖ δηλοῦν τὸ αἴτιον, ἡ δ' ἀταξία μεταῤῥέον τε καὶ μὴ μένον ἐφ' ἑνὸς ἢ μεγέθους ἢ εἴδους ἢ χωρίου. τὸ δὲ τοιοῦτον αἴτιον οὐκ ὀλεθριώτερον, ἀλλὰ σφαλερώτερον εἶναι χρὴ νομίζειν. ἐνδέχεται γὰρ αὐτὸ μεταῤῥέον ἔστιν ὅτε μὲν εἰς ἀκυρώτερον, ἔστιν ὅτε δ' εἰς κυριώτερον ἀφικέσθαι χωρίον, ὥστε ἤτοι θάνατον ἐξαπιναῖον, ἢ σωτηρίαν ἐνεγκεῖν. τὸ μέντοι τῆς τάξεως οὐκ ἀδόκητον, ἀλλ' ὡρισμένην ἔχει τὴν ἔκβασιν. ἡ μὲν γὰρ ἐπὶ χαλεπῆς ἀνωμαλίας τάξις, ὥσπερ εἰ οὕτως ἔτυχε τῆς διαλειπτικῆς, ὀλέθριος βεβαίως ἐστίν· (138) ἡ δ' ἐπὶ μετρίας, ὥσπερ ἐπὶ τῆς κατὰ μέγεθος καὶ μικρότητα, βεβαίως ἐπιεικής· ἡ δ' ἀταξία καὶ τὴν ἐπιεικῆ χαλεπὴν ἐργάσασθαι δύναται, μεταῤῥυείσης εἰς κυριώτερον χωρίον τῆς τὴν ἀνωμαλίαν ἐργαζομένης αἰτίας· καὶ μέντοι καὶ τὴν χαλεπὴν ἐπιεικῆ, μετελθούσης καὶ νῦν τῆς αἰτίας ἐκ τῶν κυριωτέρων εἰς ἀκυρώτερα. οὐδὲν οὖν ἀσφαλὲς οὐδὲ βέβαιον ἐπὶ τῆς ἀταξίας ἐστὶν, οὔτε τοιοῦτον οἷον ἐπὶ τῆς ταξεως οὔτε ἀγαθὸν οὔτε κακόν. ἂν μέντοι μετὰ σφοδρότητος σφυγμοῦ γίγνηταί τις ἀταξία, εἴτ' οὖν ὁμα-

ordo fixam quodammodo caufam et perpetuam effe, videtur indicare, perturbatio ordinis variantem nec in una manentem vel magnitudine vel fpecie vel regione. Talis autem caufa non perniciofior, fed incertior cenfenda eft; poteft enim haec commigrando nunc in regionem ignobiliorem, nunc in nobiliorem fe conferre, itaque vel mortem repentinam, vel falutem afferre, ordo vero non inexpectatum habet, fed certum eventum. Ordo enim in incommoda inaequalitate, ut exempli gratia in intermittente, certo cum exitio conjunctus eft; qui vero eft in moderata, ut in aequalitate magnitudinis et parvitatis, conftanter eft lenis. Perturbatio ordinis, fi in nobiliorem partem caufa migret, quae concitat inaequalitatem, lenem poteft periculofam reddere et periculofam contra lenem, fi hic quoque transeat caufa in ignobiliores ex nobilioribus. Nihil igitur certi, nihil firmi perturbatio ordinis habet, neque tale quale ordo vel bonum vel malum. Verumtamen fi cum vehementia pulfus fiat aliqua ordinis perturbatio, five aequalis, five

λου; εἴτε καὶ ἀνωμάλου τῆς σφοδρότητος οὔσης, παρόντων καὶ τῶν τῆς πέψεως σημείων, ἐλπίζειν χρὴ κρίσιν ἔσεσθαί τινα, καὶ μᾶλλον, εἰ καὶ τὰ ἄλλα σημεῖα κρίσεως γένοιτο, ὅτε καὶ κατὰ τοῦτο διαφέρουσιν αἱ ἀταξίαι τῶν τάξεων, καθ᾽ ὅσον ἐπὶ τοῖς ἄλλοις ἅπασι τοῖς αὐτοῖς ἑτοιμότερον ἐπὶ κρίσιν ἡ φύσις ἐξορμᾷ κατὰ τὰς ἀρτηρίας.

inaequalis vehementia, quum ſigna conjuncta ſint concoctionis, expectanda aliqua judicatio eſt, multoque magis, ſi huc alia ſigna judicationis acceſſerint. Itaque hac etiam re perturbationes ordinis antecellunt ordinibus, quatenus, quum caetera omnia paria ſint, ad judicationem proclivior natura ſit in ordinis perturbationibus.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΠΡΟΓΝΩΣΕΩΣ ΣΦΥΓΜΩΝ ΒΙΒΛΙΟΝ Γ.

Ed. Chart. VIII. [277.] Ed. Baf. III. (138.)

Κεφ. α΄. Ἥτις μὲν ἑκάστου σφυγμοῦ δύναμίς ἐστιν ἔμπροσθεν εἴρηται· περὶ δὲ τῶν οἰκείων τοῖς πάθεσιν ἐν τῷδε λεχθήσεται. πάθος μὲν οὖν ὀνομάζω νῦν ἅπαν τὸ παρὰ φύσιν· οἰκείους δ᾽ ἑκάστῳ λέγω σφυγμοὺς ὅσοι τε διαπαντὸς ὑπάρχουσιν αὐτῷ καὶ ὅσοι πλειστάκις. ἐπεὶ δὲ τῶν παρὰ φύσιν ἁπάντων, ὡς ἐν ἑτέροις ἐπιδέδεικται, τὰ μέν εἰσι διαθέσεις τινὲς, ὑφ᾽ ὧν πρώτως ἐνέργεια βλάπτεται, τὰ δὲ τούτων αἴτια, τὰ δὲ συμπτώματα, περὶ πρώτων τῶν διαθέσεων ῥητέον. ἐπεὶ δὲ καὶ τούτων ἐδείχθησαν αἱ μέν τι-

GALENI DE PRAESAGITIONE EX PVLSIBVS LIBER III.

Cap. I. Hactenus quae vis infit unicuique pulfui ante declaravimus; nunc de his agemus qui affectionibus funt peculiares. Affectionem hic voco quicquid praeter naturam eft; ac peculiares cuique pulfus tum qui perpetuo illum comitentur tum qui frequenter. Quoniam autem quaecunque funt praeter naturam, ut alias demonftravimus, aut funt quidam affectus, a quibus primo functio laeditur, aut caufae horum, aut fymptomata, dicam primo de affectibus. Et quando hos etiam partim oftendimus fimilaribus

νες ἴδιαι τῶν ὁμοιομερῶν σωμάτων, αἱ δὲ τῶν ὀργανικῶν, ἀπὸ τῶν ἐν τοῖς ὁμοιομερέσιν ὑπαρχουσῶν ἀρκτέον. εἰσὶ δὲ ὀκτὼ τὸν ἀριθμὸν, ἅπασαι μὲν κατὰ δυσκρασίαν γινόμεναι, διαφέρουσαι δὲ τῷ τὰς μὲν ἁπλᾶς εἶναι, τὰς δὲ συνθέτους. ἁπλαῖ μὲν οὖν εἰσι δυσκρασίαι θερμότης τε καὶ ξηρότης, ὑγρότης καὶ ψυχρότης· σύνθετοι δὲ ψυχρότης ἅμα ξηρότητι καὶ θερμότης ἅμα ὑγρότητι. δέδεικται γὰρ οὖν ἡμῖν καὶ περὶ τῆς δυσκρασίας ἐν τοῖς περὶ τῶν κράσεων ὑπομνήμασι, καὶ διώρισται πῶς μὲν ἐνίοτε τὸν ὑγιαίνοντα θερμὸν καὶ ὑγρὸν εἶναί φαμεν, ὅπως δὲ τὸ νόσημα τὸ δι' ἀμετρίαν ὑγρότητός τε καὶ θερμότητος ἐνέργειάν τινα βλάπτον. ἔτι δὲ πρὸς τούτοις ἀναμνηστέον ἐστὶν ὡς οὐκ ἄν ποτε σφυγμὸς ἀλλοιωθείη διὰ δυσκρασίαν χωρὶς τοῦ τὰς ἀρτηρίας τι παθεῖν " τὴν καρδίαν, καὶ ὡς ἐνδέχεται ποτὲ τὰς μὲν ἀρτηρίας τι πεπονθέναι, τὴν καρδίαν δὲ ὑπάρχειν ἀπαθῆ. τῆς μέντοι καρδίας πασχούσης οὐκ ἐνδέχεται τὰς ἀρτηρίας ἀπαθεῖς διαμένειν, ἀλλ' ἀναγκαῖον ἀπολαύειν τι τῆς δυσκρασίας αὐτὰς ἔλαττον ἢ μεῖζον. ἡ μὲν οὖν κατὰ

corporibus proprios esse, partim instrumentalibus, exordiar a similarium affectibus. Hi sunt octo numero, ex intemperie omnes profecti; sed inter eos hoc interest, quod quidam simplices sunt, compositi alii. Simplices intemperies sunt calor, frigiditas, siccitas, humiditas; compositae frigiditas una cum siccitate, calor conjunctus cum siccitate, frigiditas cum humiditate, calor cum humiditate. Ostensum igitur est de hac intemperie in commentariis De temperamentis, explicavimusque quemadmodum interdum sanum esse, calidum et humidum dicamus, ac quemadmodum morbum, qui functionem aliquam immodica humiditate et calore offendat. Hujus praeterea admonendum est pulsum per intemperiem, nisi affectae arteriae sint, vel cor, nunquam alterari, et posse etiam arterias nihil laeso corde affectas esse; at affecto corde ut innoxiae permaneant arteriae haud fieri posse, sed in partem eas necesse esse venire intemperiei vel majorem vel minorem. Igitur frigida et calida intemperies cor-

ψυχρότητά τε καὶ θερμότητα δυσκρασία τῆς καρδίας ἑτοίμως εἰς ἁπάσας διαδίδοται τὰς ἀρτηρίας, ἡ δὲ καθ᾽ ὑγρότητά τε καὶ ξηρότητα χαλεπώτερον.

Κεφ. β'. [278] Ἀρκτέον οὖν ἀπὸ τῆς κατὰ θερμότητα καὶ διοριστέον ἐν αὐτῇ τόδε πρῶτον, ὡς ἐνδέχεται καθ᾽ ὃν τοῦτο γίνεται καιρὸν ἤτοι κατὰ φύσιν ἔχειν τὰς ἀρτηρίας, ἢ πεπονθέναι τι καὶ αὐτὰς καὶ ἤτοι πάσας ἤ τινας. αἱ μὲν δὴ κατὰ φύσιν ἔχουσαι τὴν ἐν τῇ καρδίᾳ δυσκρασίαν ὁμοίως διαδέξονται, τῶν δὲ παρὰ φύσιν διακειμένων ἡ διάθεσις ἔσται μικτὴ, τὸ μὲν φυλάττουσα τῆς ἰδίας καταστάσεως, τὸ δέ τι παρὰ καρδίας λαμβάνουσα. πρῶτον οὖν ὑποκείσθωσαν ἀπαθεῖς εἶναι τό γε καταρχὰς αἱ ἀρτηρίαι, θερμοτέρας γενομένης τῆς καρδίας. εἶθ᾽ ἑξῆς σκοπούμεθα τίνες ἐξ ἀνάγκης ὑπάρχουσι σφυγμοὶ τῇ τοιαύτῃ διαθέσει καὶ τίνες ὡς τὸ πολύ. πάλιν οὖν ἀναμνησθέντες ὧν ἔν τε τῷ πρὸ τούτου λόγῳ διειλόμεθα κἂν τῇ περὶ τῶν ἐν σφυγμοῖς αἰτίων πραγματείᾳ, τοὺς οἰκείους θερμότητος πλεονεκτούσης σφυγμοὺς ἐπέλθωμεν, ἵν᾽ ἐξ αὐτῶν ἐπισκεψώμεθα τίνες μὲν ἀχώριστοι τῆς προκειμένης διαθέσεώς εἰσι, τίνες δ᾽ ὡς τὸ πολὺ συμπίπτουσι. εἰσὶν

dis prompte permeat in omnes arterias, humida atque ficca aegrius.

Cap. II. Exordiar igitur a calida intemperie, in qua hoc primum diftinguam, poffe quo hoc tempore fiat, vel naturaliter arterias comparatas effe, vel aliquid perpeffas, idque aut omnes, aut quasdam. Quae in naturali funt ftatu, ex aequo cordis intemperiem recipient; quae vero praeter naturam affectae funt, harum mixtus erit affectus, tum ut quae retineant proprii ftatus affectum, tum quae praeterea alium a corde accipiant. Faciamus primum arterias ab initio liberas effe omni injuria, quum cor incaluerit; deinde videamus jam quos hic affectus pulfus habeat neceffario et quos plerumque. Atque hoc rurfus in memoriam revocemus, in proximo nos libro explicaviffe et in opere etiam de pulfuum caufis, praepollenti calori pulfus peculiares, eosque recenfeamus, ut ex iis aeftimemus qui huic affectui fint perpetui et qui fere accidant. Peculiares

οὖν οἰκεῖοι σφυγμοὶ πλήθει θερμότητος ὅ τε μέγας καὶ ὁ ταχὺς καὶ ὁ πυκνός, ἀλλ᾽ ὁ μέγας μὲν οὐ θερμότητος μόνης ἐπικρατούσης, ἀλλὰ καὶ ὀργάνων δεῖται μαλακῶν καὶ δυνάμεως εὐρώστου· ὥστ᾽ οὐκ ἂν ἀχώριστος εἴη τῆς κατὰ θερμότητα δυσκρασίας. οὕτως δὲ καὶ ὁ ταχὺς ἐῤῥωμένης δεῖται δυνάμεως, καὶ ὀργάνων ἑτοίμως διαστελλομένων, ὥστ᾽ οὐδ᾽ οὗτος ἀχώριστος. ὁ δέ γε πυκνὸς, εἰ μὲν αὐτάρκως ὑπὸ τοῦ μεγέθους τε καὶ τάχους ἡ χρεία πληρωθείη, τὴν ἀρχὴν οὐδ᾽ ἂν συσταίη, δέδεικται γὰρ καὶ τοῦτο, μὴ πληρουμένης δὲ γίγνοιτ᾽ ἄν. ὥστ᾽ οὐδ᾽ οὗτος ἀχώριστος, οὐ μὴν οὐδ᾽ ἐκ τῶν οἰκείων εἴη ἄν τις ἀχώριστος. ἐκ δὲ τῶν οἰκείων μὲν, οὐκ ἀχωρίστων δὲ κρατήσει ποτὲ μὲν ὁ μείζων, ποτὲ δὲ ὁ θάττων, ποτὲ δὲ ὁ πυκνότερος. εἰ μὲν γὰρ ἡ θερμότης αὐξηθείη μόνη, κατὰ φύσιν δ᾽ ἔχοιεν ἥ τε δύναμις καὶ τὰ ὄργανα, βραχείας μὲν τῆς ἐκτροπῆς γενομένης, εἰς μέγεθος μόνον ἐπιδώσουσιν οἱ σφυγμοὶ, πλέονος δὲ καὶ εἰς τάχος, ἀξιολόγου δὲ καὶ εἰς πυκνότητα. προσέχειν δ᾽ ἐν τούτῳ δεῖ τὸν νοῦν ἀκριβῶς τῷ μᾶλλόν τε καὶ ἧττον ἐν ἑκάστῳ γένει σφυγμῶν. εἰ μὲν γὰρ εἰς τὸ μέγεθος

copiofo calori funt magnus, celer, creber. At magnus non tantum calorem excellentem, fed inftrumenta requirit mollia atque facultatem validam, itaque non erit calidae intemperiei perpetuus. Et celer item poftulat firmam facultatem ac inftrumenta, quae prompte diftendantur; ita ne hic quidem perpetuus eft. Nam creber quidem, fi large ufui a magnitudine et celeritate fatisfactum fit, nulla fiat ratione, fiquidem hoc etiam oftendimus, fi non impleatur ufus, fiat. Proinde perpetuus ne hic quidem eft, quare nec ex peculiaribus fit perpetuus ullus. At ex illis qui peculiares funt, non perpetui tamen, nunc major vincet, nunc celerior, nunc crebrior. Nam fi calor folus increverit et in naturali ftatu maneat facultas inftrumentaque, quum mutatio eft parva, magnitudo tantum pulfuum augetur, quum major, etiam celeritas, quum infignis, jam etiam crebritas. Hic animadvertendus eft etiam atque etiam in unoquoque genere pulfuum exceffus defectusque. Nam fi ad magnitu-

ἐξαλλάττοιντο πλέον ἤπερ τὸ τάχος καὶ τὴν πυκνότητα, μὴ πάνυ πολλὴν ἡγοῦ τὴν ἐν τῇ καρδίᾳ θερμότητα· εἰ δ᾽ εἰς τὰ τρία παραπλησίως, εὐθὺς μὲν δήπου καὶ μεγάλως ἐξαλλαχθήσονται, εὐθὺς δὲ καὶ πολλὴν ἐνδείξονται τὴν θερμότητα· εἰ δ᾽ ἐπιπλέον αὐξηθείη τὸ τάχος τοῦ μεγέθους, ἔτι δὴ καὶ μᾶλλον. εἰ δὲ καὶ ἡ πυκνότης, ἔτι μᾶλλον. εἰ δ᾽ ἅμα μέγιστός τε καὶ τάχιστος ὁ αὐτὸς εἴη σφυγμὸς καὶ πυκνότατος, εἰς ἄκρον ηὐξῆσθαι δηλώσει τὴν θερμότητα. εἰ δὲ τάχιστος μὲν εἴη καὶ πυκνότατος, μὴ μέντοι καὶ μέγιστος, ἄλλως μὲν οὐκ ἂν δύναιτο συμβῆναι τοῦτο χωρὶς τοῦ τὴν δύναμιν ἀῤῥωστοτέραν, ἢ τὴν ἀρτηρίαν γενέσθαι σκληροτέραν· εὐδιόριστον δὲ τοῖς ἀχωρίστοις ἑκάτερον σφυγμοῖς, ἥ γε μὴν ἔνδειξις κἀνταῦθα τῆς ἐν τῇ καρδίᾳ θερμότητος ἡ αὐτή. καὶ μὴν καὶ ὅταν ἡ πυκνότης ἐπὶ πλεῖστον προήκῃ, μὴ συναυξάνηται δ᾽ εἰς ἴσον αὐτῇ τὸ τάχος καὶ τὸ μέγεθος, ἀνάγκη καὶ τότε θερμότητα μὲν εἶναι πολλὴν, ἤτοι δ᾽ ἀῤῥωστίαν δυνάμεως ἢ ὀργάνων σκληρότητα. σὺν ἀῤῥωστίᾳ μὲν οὖν ἀμυδρὸς ὁ σφυγμὸς ἔσται, σὺν σκληρότητι δὲ σκληρὸς ἅμα καὶ κλονώδης. εἰ δὲ καὶ χωρὶς κλόνου σκληρὸς εἴη πυκνὸς ὢν

dinem declinent plus quam ad celeritatem et crebritatem, non ita copiosum puta esse calorem cordis. Si vero ad tres illas juxta, continuo tum majorem in modum immutabuntur, tum largum prodent calorem. Quod si magnitudinem superaverit celeritas, multo jam magis; si item crebritas, adhuc magis. Si vero maximus pulsus idemque celerrimus sit et creberrimus, summum incrementum significabit caloris. Sin celerrimus atque creberrimus sit, non autem maximus, hoc nisi facultas sit imbecillior, vel arteria durior, nulla alia ratione accidat; at est in pulsibus indiscretis utrunque explicatu facile, nihilominus cordis hic etiam calorem monstrat. Jam quoque ubi ingens sit crebritas, nec simul celeritatis et magnitudinis par incrementum, calorem quidem etiam tunc oportet esse copiosum, sed vel facultatis imbecillitatem, vel instrumentorum duritiem. Imbecillitati autem adjunctus erit languidus; duritiei durus pariter et vibratus. Si durus citra vibrationem sit atque summe cre-

ἐσχάτως, ἀσθενῆ τὴν δύναμιν ἅμα τῷ πλήθει τῆς θερμότητος ἐνδείξεται. πάντως οὖν ὁ τοιοῦτος ἔσται καὶ ἀμυδρὸς καὶ κίν(139)δυνον ἐπάξει συγκοπῆς. ἀναμνησθῆναι δὲ χρὴ κἀνταῦθα τίνα τρόπον ἐγχωρεῖ [279] θερμότητα μὲν ὑπάρχειν ἐν τῇ καρδίᾳ παμπόλλην, ἐῤῥῶσθαι δὲ τὴν δύναμιν. εἰ γὰρ ἡ μὲν ῥώμη ταῖς εὐκρασίαις, ἡ δ' ἀῤῥωστία ταῖς δυσκρασίαις ἕπεται, δυσκρασία καταλήψεται τὴν καρδίαν ἅμα τῇ πλεοναζούσῃ θερμότητι. ὥστ' ἐξ ἀνάγκης καὶ ἡ δύναμις ἀῤῥωστήσει. πῶς οὖν, ὅταν ὁ σφυγμὸς ἅμα μέγιστός τε ᾖ καὶ τάχιστος καὶ πυκνὸς καὶ σφοδρὸς, οὐ μόνον θερμότητα παμπόλλην ὑπάρχειν ἐν τῇ καρδίᾳ φαμὲν, ἀλλὰ καὶ δυνάμεως εὐρωστίαν; ὅτι διώρισται πολλάκις ἐν ἑτέροις ἡμῖν κἀν ταῖς τῶν πυρετῶν διαγνώσεσι τὸ θερμαίνεσθαι τοῦ τεθερμάνθαι διαφέρειν. ὅταν μὲν γὰρ θερμαίνηται τὸ σῶμα τῆς καρδίας ὑπὸ τῆς περιεχομένης ἐν ταῖς κοιλίαις αὐτῆς οὐσίας, ἐγχωρεῖ τὴν δύναμιν ἐῤῥῶσθαι, καὶ δι' αὐτό γε τοῦτο πλεῖστον μὲν καὶ τάχιστον καὶ πυκνότατον εἰσπνέουσιν οἱ τοιοῦτοι, μέγιστον δὲ καὶ τάχιστον καὶ πυκνότατον σφύζουσιν, ἀπομαχομένης ἔτι τῆς καρδίας πρὸς τὴν θερμαίνουσαν οὐσίαν καὶ

ber, imbecillem facultatem conjunctam multo calori nunciabit. Omnino vero hic languidus etiam erit et in syncopes periculum adducet. At commemorandum hic etiam est qui fieri possit ut calor cor teneat permultus et valeat facultas. Nam si robur temperiem, imbecillitas intemperiem consequitur, intemperies in cor una cum immodico calore invadet; proinde debilitari facultatem oportebit. Qui tandem igitur quum pulsus pariter et maximus et celerrimus et creber vehemensque fit, non modo calorem in corde amplum, verum etiam facultatis firmitatem esse diximus? nempe quod quum aliis locis tum in febribus dignoscendis aliud esse demonstravimus incalescere et incaluisse. Nam ubi corpus cordis a substantia calefiat, quam continent ejus ventriculi, potest firma facultas esse; quod etiam est in causa cur plurimum, celerrime et creberrime illi inspirent, ac maxime, celerrime creberrimeque pulsent, repugnante adhuc calefacienti substantiae corde et foris alte-

Ed. Chart. VIII. [279.] Ed. Baf. III. (139.)

ψύχουσαν ἑτέραν ἔξωθεν ἐπισπωμένην ἀντίῤῥοπον τῇ θερμότητι. ὅταν δέ ποτε νικηθεῖσα τύχῃ καὶ συνεκθερμανθεῖσα τῇ κατὰ τὰς κοιλίας οὐσίᾳ, τεθέρμανται μὲν ἤδη τηνικαῦτα καὶ οὐκέτι μόνον θερμαίνεται, τῇ δυσκρασίᾳ δὲ αὐτῆς ἕπεται δυνάμεως ἀσθένεια. καὶ ἢν ἐπιπλέον θερμανθῇ, καὶ δι᾽ ὅλης αὐτῆς τὸ πυρετῶδες δέξηται θερμὸν, τὸν καλούμενον ἑκτικὸν ἐπιφέρει πυρετόν. ἐνίοτε δ᾽ ἔμπαλιν ἢ ὡς νῦν εἴρηται συμβαίνει, ψυχροτέρας μὲν τοῦ κατὰ φύσιν ἐν ταῖς κοιλίαις τῆς καρδίας οὐσίας περιεχομένης, τοῦ σώματος δὲ αὐτῆς ἐπιπλέον τεθερμασμένου. καὶ γίγνεται τοῦτο τοῖς ἠθροικόσι μὲν ὠμοὺς καὶ ψυχροὺς καὶ φλεγματώδεις χυμοὺς, ἤτοι δὲ σφοδρότατα θυμωθεῖσιν, ἢ ἀγρυπνήσασιν ἀμέτρως μετὰ φροντίδος ἰσχυρᾶς, ἢ διὰ λοιμώδη τινὰ εἰσπνοὴν ἁπτομένου τοῦ σώματος αὐτοῦ τῆς καρδίας, ἤ τινος ὅλως δηλητηρίου ποιότητος ἰδιότητα καθ᾽ ὀντιναοῦν τρόπον ἐπὶ τὴν καρδίαν ἀφικομένης. ταυτὶ μὲν οὖν ἀνεμνήσθην πρὸς τὸ μὴ θαυμάζειν τινὰ πῶς ἐγχωρεῖ θερμότητος ἐπικρατούσης ἀκμάζειν τῆς καρδίας τὸν τόνον. ἐπανέλθωμεν οὖν αὖθις ἐφ᾽ ἃ λέγοντες ἀπελίπομεν.

ram, quae refrigeret parem calori alliciente. Quod si quando succubuerit atque in eundem delapsum sit in quo est substantia quam ventriculi continent calorem, jam tum incaluit, nec posthac incalescit tantum, cujus sequitur intemperiem imbecillitas facultatis. Ac si largius incaluerit et per ipsum totum calor febrilis permanaverit, febrem excitat, quam hecticam vocant. Interdum contra fit ac nunc exposuimus, quum substantia justo frigidior sit quam continent sinus, corpus autem ejus largius incaluerit; id quod his usu venit, qui crudos frigidosque humores et pituitosos acervarunt, aut vehementissima ira concitati sunt, aut nimium vigilaverunt cum gravi solicitudine, aut ob aërem pestilentem spiritu attractum offenso cordis corpore, denique ob venenosae cujuspiam proprietatem qualitatis, quae aliquo modo ad cor penetraverit. Haec ego commemoravi, ut nequis in admirationem adducatur qui possit dominante calore vigere cordis robur. Itaque unde digressi sumus,

ἡ γάρτοι θερμότης ἡ ἐν τῇ καρδίᾳ τρέπει μὲν, ὡς εἴρηται, τοὺς σφυγμούς. ἀλλ᾽ ἐπεὶ διττὴ κατ᾽ εἶδός ἐστιν, ἡ μὲν ἑτέρα καὶ σηπεδόνος χυμῶν ἔγγονος, ἧς ἡ ποιότης δριμεῖά τέ ἐστι καὶ καπνώδης, ἡ δὲ ἑτέρα μεθ᾽ ὑγρότητος ἡδείας, αὐτῷ μόνῳ τῷ ποσῷ τοῦ κατὰ φύσιν ἀποκεχωρισμένη, μόνιμος μέν ἐστι καὶ δύσλυτος ἡ πρότερον ῥηθεῖσα, ὀλιγοχρόνιος δὲ ἡ ἑτέρα, λουτροῖς καὶ γυμνασίοις καὶ τροφῇ θερμαινούσῃ καὶ οἴνου πόσει καὶ τῶν τῆς ψυχῆς παθῶν, αἰδοῖ καὶ θυμῷ συνεπομένη. εἰ δ᾽ ἐκ τούτου τοῦ γένους τῆς θερμασίας εἰσί τινες πυρετοὶ, καθάπερ οἱ ἐπὶ κόποις, ἢ ἐγκαύσεσιν, ἢ ψύξεσιν, ἢ ἐπὶ βουβῶσιν, ἢ θυμοῖς, τῶν ἀμφισβητουμένων ἐστί. καὶ λέλεκται μὲν ἐπιπλέον ὑπὲρ αὐτῶν ἐν τῇ περὶ τῶν πυρετῶν πραγματείᾳ· λελέχθω δὲ καὶ νῦν εἰς τοσοῦτον, ὡς ἡ μὲν ἑτερογενὴς τοῦ κατὰ φύσιν θερμότης ὀλιγοχρόνιον μὲν ἔχει τὴν ἐκτὸς ἠρεμίαν, ταχεῖαν δὲ τὴν συστολὴν ἐπιπλέον ἢ κατὰ τὴν ἀναλογίαν τῆς διαστολῆς, ἡ δὲ τῷ ποσῷ μόνῳ διαλλάττουσα μείζονά τε ἅμα καὶ θάττονα τὴν διαστολὴν ἤπερ τὴν συστολήν. ἡ μὲν γὰρ τοιαύτη θερμότης μόνης ἐμψύξεως δεῖται,

revertamur. Cordis calor pulfus, ut diximus, variat. Verum quia fpecie duplex eft, alter quidem a putredine humorum genitus, cujus qualitas acris et fumofa eft; alter cum humiditate fuavi exiftit, quantitate fola a naturali ftatu remotus, ille prior conftans et aegre folubilis eft, hic non diuturnus, ac balneas, exercitationes, cibum calidum, vini potum animique affectus, verecundiam etiam atque iram comitatur. An vero in hoc genere fint ullae febres, ut illae quas laffitudo vel fervor vel frigus vel bubo vel ira committit, in controverfia eft. De quibus etfi in commentariis de febribus longum fermonem habuimus, tamen hic tantum dicam; calor qui alterius generis eft a nativo, brevem habet externam quietem, celeriorem autem quam pro diftentionis proportione contractionem; qui autem quantitate fola variat, majorem fimul et celeriorem diftentionem quam contractionem, fiquidem ejuscemodi calor quaerit folum refrigerium, quod ex diftentione docuimus

Ed. Chart. VIII. [279. 280.] Ed. Baf. III. (139.)

ἣν ἐδείξαμεν ἐν τῷ διαστέλλεσθαι γινομένην, ἡ καπνώδης δὲ καὶ ταύτης μὲν ἐπὶ πλέον, ἀλλὰ ἐπὶ πλεῖστον τῆς ἀποχύσεως τοῦ περιττοῦ, ὅπερ ἔργον ἦν τῆς συστολῆς. ὥσθ' ἡ μὲν τοιαύτη καὶ τὴν διαστολὴν ὠκυτέραν ἐπὶ πλέον ἐργάσεται καὶ τὴν συστολὴν ἐπὶ πλεῖστον· ἡ δ' οὐ τοιαύτη τὴν συστολὴν μὲν οὐδ' ὅλως ἀλλοιώσει, τὴν διαστολὴν δ' εἰς τοσοῦτον εἰς ὅσον ἂν ἐκβῇ τὰ μέτρα τῆς κατὰ φύσιν εὐκρασίας. ἀλλὰ περὶ μὲν τούτων ἐπιπλέον ἑξῆς ἐροῦμεν ἐν τοῖς περὶ τῶν πυρετῶν λογισμοῖς.

Κεφ. γ'. [280] Ἐν δὲ τῷ παρόντι τὸν περὶ τῶν ἀρτηριῶν λόγον διέλθωμεν, ὅταν ἐναντίως ἔχωσι τῇ καρδίᾳ, λέγω δὲ ὅταν ἐκείνη μὲν ᾖ θερμοτέρα τοῦ κατὰ φύσιν, αἱ δὲ ἀρτηρίαι ψυχρότεραι, ἤτοι χυμῶν τινων ψυχρῶν ἐν αὐταῖς περιεχομένων οὐδέπω διασηπομένων, ἢ καί τινος ἑτέρας ψύξεως ἐπικρατούσης. ἀνάγκη δὲ ταύτας τηνικαῦτα τὸ μὲν ἐψῦχθαι κατὰ τὴν οἰκείαν ἔχειν διάθεσιν, ἐπικτᾶσθαι δ' ἔτι παρὰ τῆς καρδίας τὸ θερμαίνεσθαι. ἀλλ' ἐπεὶ καὶ τὴν κινοῦσαν αὐτὰς δύναμιν ἐξ ἐκείνης ἐπίῤῥυτον ἔχουσιν, καὶ τόνος εἷς ἐστιν ὁ διαστέλλων τε καὶ συστέλλων ἅμα τῇ καρδίᾳ τὰς ἀρτηρίας, ἀναγκαῖόν ἐστι τὸ μέν τι ταὐτὸν ὑπάρχειν τῇ τε τῆς

ſuppeditari; at fumoſus, quum hoc majus requirit, tum vero multo maxime excrementorum expulſionem, quod munus erat contractionis; itaque diſtentionem quoque hic longe citatiorem reddet et contractionem minime commutabit; diſtentionem autem hactenus, quatenus ſepta tranſiliit moderati temperamenti. Caeterum inferius haec amplius declarabimus, ubi de febribus tractatio fiet.

Cap. III. Nunc de arteriis disputemus, quum contra ac cor affecta ſint, quum illud, inquam, calidius juſto ſit, arteriae autem frigidiores, quod aut humores contineant frigidos, nondum tamen putrescentes; aut ſi qua polleat alia frigiditas, his tum neceſſe eſt ex ſuo proprio affectu refrigeratis eſſe ac caleſieri a corde. Quia vero et facultatem, quae ipſas moveat, ab illo influentem habent, unaque eſt contentio, quae una cum corde diſtendat arterias atque contrahat, quiddam neceſſe eſt motui cordis conve-

καρδίας κινήσει καὶ τῇ τῶν κατὰ μέρος ἀρτηριῶν ἁπασῶν, τὸ δέ τι διαλλάττον. αἱ μὲν δὴ πρῶται τῶν κινήσεων ἀρχαὶ κατὰ τὸν αὐτὸν ἔσονται χρόνον, ὅταν γε δέχωνται τὴν παρ' αὐτῆς δύναμιν ἀμέμπτως. οὔτε δὲ τὸ μέγεθος οὔτε τὸ τάχος οὔθ' ἡ σφοδρότης ὁμοίως ἀμφοτέραις ὑπάρξει, ἀλλ' ἡ καρδία τηνικαῦτα καὶ μείζονα καὶ θάττονα καὶ σφοδρότερον ἕξει τὸν σφυγμὸν ἁπασῶν τῶν κατὰ μέρος ἀρτηριῶν. ἡ μὲν γὰρ ἀρχὴ τῆς κινήσεως αὐταῖς ἐκ τῆς καρδίας ἐστὶν, ὁ δὲ τρόπος ἑκάστῃ τῆς οἰκείας κινήσεως, ὡς ἂν καὶ τύχῃ τῇ καρδίᾳ συνδιατεθεῖσα. συνδιατίθεται γὰρ ἡ μὲν ὡσαύτως ἔχουσα τῇ κράσει καθ' ὃν ἂν ἡ καρδία τρόπον ἐνεργῇ, ἡ δ' ἐναντίως εἰς ὅσον ἂν καὶ τύχῃ δεξαμένη τὴν ἐξ αὐτῆς ἀλλοίωσιν. ἐνδέχεται τοιγαροῦν ἐνίοτε τὴν ψυχρὰν ἀρτηρίαν ὑπὸ τῆς καρδίας θερμαινομένην οὔτε μικρὸν ἐργάσασθαι τὸν σφυγμὸν, οἷός περ ὁ τῆς ψυχρᾶς ἐστι, οὔτε μέγαν, οἷός περ ὁ τῆς θερμῆς, ἀλλὰ τὸν ἀμφοῖν μέσον, ὅσπερ δὴ καὶ σύμμετρος καὶ κατὰ φύσιν ἐστίν. οὕτω δὲ καὶ τῷ τάχει σύμμετρος ἐν ταῖς τοιαύταις διαθέσεσιν ὁ σφυγμὸς ἔσται· καὶ τῇ σφοδρότητι μέτριος. ἐναργῶς δὲ διαγνώσῃ τὸ λεγόμενον, εἰ κατὰ τὸν αὐτὸν χρόνον

niat cum motu fingularum arteriarum, et aliquid inter eos interfit. Nam motuum prima principia in idem incident tempus, fiquidem ab illo facultatem citra omnem offenfionem recipiant; at magnitudinem et celeritatem et vehementiam non ex aequo utraque obtinebunt, fed cor tunc fingulis arteriis majorem, celeriorem vehementioremque pulfum habebit. Etenim illae motus principium a corde habent, rationem vero fui fingulae motus, prout cordi confentiant. Confentiunt autem quae fimili funt temperamento, quocunque modo cor agat, quae contrario, quatenus ex illo immutatae fuerint. Quocirca contingit aliquando ut arteria, quae frigida eft, fed a corde calefit, nec parvum pulfum, qui frigidae eft, edat, nec magnum, qui calidae, sed inter utrumque medium, qui moderatus eft et naturalis. Et celeritate etiam moderata pulfus erit horum affectuum, itemque vehementia moderata. Quod dico clare intelliges,

ἅπτοιο τῇ μὲν ἑτέρᾳ χειρὶ τῆς καρδίας, τῇ δὲ ἑτέρᾳ τῶν ἀρτηριῶν τινος. αἱ μὲν γὰρ ἀρχαὶ τῶν κινήσεων ἅμα σοι φανοῦνται γίνεσθαι. διαλλάξουσι δὲ μεγέθει καὶ τάχει καὶ σφοδρότητι τηνικαῦτα. ἐνίοτε δὲ συμβαίνει καὶ τὸ μὴ δέχεσθαι καθ' ἕνα χρόνον ἁπάσας τὰς ἀρτηρίας τὴν ἐκ τῆς καρδίας ἐπιῤῥέουσαν δύναμιν τοῦ σπλάγχνου, ἀλλὰ τὰς μὲν ἐγγυτέρω τοῦ σπλάγχνου προτέρας, ὑστέρας δὲ τὰς ποῤῥωτέρω. γίνεται δὲ μάλιστα τὸ τοιοῦτον, ἐπειδὰν εἰς ἕνα χρόνον συνέλθοι τάς τε ἀρτηρίας εἶναι ψυχροτέρας ἄτονόν τε τὴν καρδίαν. ἐὰν δὲ καὶ αὐτῶν τῶν ἀρτηριῶν τὰ ποῤῥωτέρω τῆς ἀρχῆς μέρη μᾶλλον ᾖ ψυχρὰ, καθάπερ ἐν ἐπισημασίαις τέ τισι καὶ τοῖς λιπυρίαις συμβαίνει πυρετοῖς, οὐ μόνον ὑπάρξεται πρωϊαίτερον, ἀλλὰ καὶ τὴν κίνησιν αὐτὴν θάττονά τε καὶ μείζονα ποιήσεται τὰ τῆς καρδίας ἐγγυτέρω. καὶ μὲν δὴ ὁ τόνος ἐν ταῖς τοιαύταις περιστάσεσιν ἀσθενὴς μὲν ἐν ἁπάσαις φαίνεται, μᾶλλον δ' ἐν ταῖς ποῤῥωτέραις, ὥστ' ἐναργῶς εἶναι τὸν σφυγμὸν ἐν αὐταῖς ἀμυδρότερον τοῦ κατὰ φύσιν τῶν ὑπερκειμένων. συμβαίνει δέ ποτε καὶ κατὰ τὴν καρδίαν ἡ τοιαύτη τῶν κράσεων ὑπεναντίωσις. ἐνίοτε μὲν γὰρ αὐτὸ τὸ σῶμα τοῦ

ſi altera manu eodem tempore cor, altera aliquam arteriam tangas; principia enim motuum animadvertes una fieri; ſed diſſidebunt magnitudine, celeritate et vehementia. Nonnunquam accidet ut arteriae eodem tempore non accipiant ex corde influentem facultatem; verum quae cordi propiores ſunt, primae; poſteriores, quae remotiores; quod potiſſimum accidit, ubi incidant in idem tempus arteriae frigidiores et cor imbecillius. Quod ſi etiam ipſarum arteriarum frigidiores ſint partes, quae longius a principio diſtant; quod in acceſſionibus,quibusdam et in febribus accidit lipyriis, non ſolum incipient maturius, verum etiam ipſum motum reddent celeriorem et majorem partes cordi propinquiores. Ad haec contentio per ejusmodi ſtatus in omnibus imbecilla videtur, ſed in remotioribus magis, ita ut in iis pulſus languidior ſit quam pro natura ſuperiorum. Nonnunquam percipitur in corde hujuscemodi pugnantia temperamentorum; nam modo frigidius viſceris corpus ae-

σπλάγχνου ψυχρότερόν ἐστι τοῦ κατὰ φύσιν, ἡ περιεχομένη δὲ ἐν ταῖς κοιλίαις οὐσία θερμοτέρα, ἐνίοτε δ' ἔμπαλιν ἡ μὲν οὐσία ψυχροτέρα, θερμοτέρα δ' ἡ καρδία. καὶ γίνονται καὶ τότε τῆς (140) καρδίας οἱ σφυγμοὶ τοῖς κατὰ φύσιν ὅμοιοι, μέση γάρ πως ἐν αὐτῇ κατάστασις ἀποτελεῖται ἐκ δυοῖν ἐναντιοτήτων συγκειμένη, καὶ σφάλλουσί γε καὶ τοὺς ἀρίστους ἰατροὺς αἱ τοιαῦται διαθέσεις, ὥσπερ καὶ νῦν ἐπὶ τοῦ μεγάλου λοιμοῦ συνέπεσεν. [281] ἔνιοι μὲν γὰρ ἀπὸ τῆς ἀρχῆς ἕως πλείστου, τινὲς δὲ καὶ δι' ὅλου τοῦ νοσήματος ἦσαν εὔσφυκτοι βραχύ τι τοῦ κατὰ φύσιν ἐξηλλαγμένους ἔχοντες τοὺς σφυγμούς. ἀλλ' οὗτοι μᾶλλον τῶν ἄλλων ἀπώλοντο, καὶ διαγινώσκομεν αὐτοὺς εὐθέως ἐν ταῖς πρώταις ἡμέραις ὅτι τε λοιμώττουσι καὶ ὅτι χείριστα διάκεινται τῷ τε τῆς θερμασίας δριμεῖ καὶ αὐτῷ τῷ τῆς θερμασίας εἴδει, καὶ αὐτῷ βραχύ τι τοῦ κατὰ φύσιν ἐξηλλαγμένους ὄντας αὐτοῖς τοὺς σφυγμοὺς ἀεὶ διαμένειν τοιούτους. ἐν εἴδει γὰρ μάλιστα τῶν ἑκτικῶν ὀνομαζομένων πυρετῶν οἱ τοιοῦτοι σφυγμοὶ συνίστανται. καὶ ὅσοι γε τῶν καμνόντων οὐκ ἔφασκον πυρέττειν, ἐν ἕξει τούτοις ἀκριβῶς ἦν ὁ πυρετὸς, αὐτὸ τῆς καρδίας

quo eft, et in ventriculis contenta fubftantia calidior, modo e diverfo fubftantia frigidior, cor autem calidius; ubi etiam pulfus fiunt moderatis fimiles, nam medius quodammodo ftatus hic efficitur ex duobus contrariis conflatus. Qui fane affectus vel optimos medicos fallunt; quod nunc quoque in maxima peftilentia accidit. Quidam inde ab initio ad finem usque, alii per totum morbum, probum pulfum habebant, qui perparum deflexiffet a natura; qui quidem praeter caeteros perierunt: animadvertimusque eos primis ftatim diebus et peftilentia laborare et peffime affectos effe ex acrimonia caloris, atque ipfa caloris fpecie, denique quod pulfus parum praeter naturam immutati, iis in eo ftatu perpetuo maneant; nam in fpeciem praecipue hecticarum, quas vocant, febrium incidunt hujuscemodi pulfus. Si qui effent inter aegrotos, qui fe negarent febricitare, his febris, occupato ipfo cordis corpore, plane erat in habitu.

κατειληφὼς τὸ σῶμα. δύο γὰρ δὴ ταῦτα γνωρίσματα τῶν ἑκτικῶν πυρετῶν ἐστιν ἴδια, τό τε διαπαντὸς ὁμοίους ἑαυτοῖς ὑπάρχειν αὐτοὺς, οὔτε εἰσβολὴν παροξυσμοῦ τινος οὔτ᾽ ἀνάβασιν οὔτ᾽ ἀκμὴν οὔτε παρακμὴν οὐδεμίαν ἔχοντας, τό τε μὴ γινώσκειν ὅτι πυρέττει τὸν κάμνοντα. γίνονται δ᾽ οἱ τοιοῦτοι τῶν σφυγμῶν οὐκ ἐξ ἀνάγκης μὲν μείζονες τῶν κατὰ φύσιν, ἐνίοτε δ᾽ οὐδὲ πυκνότεροι, θάττονες μέντοι πάντως. καὶ ὀρθῶς ἄρα τοῦτο τοῖς πλείστοις τε καὶ ἀρίστοις τῶν ἰατρῶν ἐπιστεύθη, τῶν πυρεττόντων τοὺς σφυγμοὺς ἀχώριστον ἔχειν τὸ τάχος. ἀλλὰ περὶ μὲν τούτων καὶ αὖθις. ὅπερ δὲ λέγοντες ἀπελίπομεν, ἐπειδὰν ὑπὸ σηπεδονώδους ποιότητος ὁ εἰσπνεόμενος ἀὴρ μιανθῇ, καὶ ἅψηται τοῦ σώματος τῆς καρδίας ἡ σηπεδὼν, οἱ τοιοῦτοι γίνονται σφυγμοί. καὶ οὐδὲν ἔτι θαυμαστὸν οὔθ᾽ ὅτι τοὺς σφυγμοὺς ἔχουσιν ὁποίους εἰρήκαμεν οἱ οὕτω λοιμώττοντες οὔθ᾽ ὅτι λοιμώδη τὴν ἀναπνοὴν οὔθ᾽ ὅτι τεθνήξονται πάντως. τί γὰρ ἄκος εὑρεθείη τῆς ἐν τῇ καρδίᾳ σηπεδόνος; ὡς ὅσοις γε τὸ σηπεδονῶδες τοῦτο θερμὸν εἰς τοὺς ἐν ταῖς κοιλίαις ἐτράπετο χυμοὺς μᾶλλον ἤπερ

Etenim febrium hecticarum duo haec ſunt propria ſigna, ſi perpetuo ſibi illae ſimiles ſint, nec invaſionem ullam acceſſionis, nec incrementum, nec vigorem, nec remiſſionem habeant, ſique febricitare se non percipiat aegrotus. Hos pulſus nihil eſt neceſſe majores juſto, atque interdum ne crebriores quidem eſſe, at omnino celeres tamen. Itaque iure ſane cenſuerunt plurimi medici atque praeſtantiſſimi celeritatem febricitantium pulſibus perpetuam eſſe, ſed de his adhuc dicetur. Quod vero in ſermone praetermiſimus, ubi aër, quem ſpirando attrahimus, infectus putredine ſit, ac putredo corpus cordis attigerit, illi pulſus fiunt. Nec jam quicquam habet admirationis, ſi eos pulſus, quos memoravimus, tali affecti peſte habeant, nec ſi peſtilentem reſpirationem; nec ſi omnino morituri ſint; quam enim excogites medicinam ad putredinem, quae in corde ſit? Nam quibus calor hic putredinoſus ad humores, quos continent cordis ſinus, magis deflexit quam ad corpus ipſum viſce-

Ed. Chart. VIII. [281.] Ed. Baf. III. (140.)

εἰς αὐτὸ τὸ σῶμα τοῦ σπλάγχνου, πολλοὶ τούτων ἐσώθησαν. ἡ διάγνωσις δ᾽ αὐτῶν τῶν λοιμωττόντων, εἰ πρῶτον μὲν αἰσθάνονται πυρέττοντες· ἔπειτα δὲ, εἰ μὴ διαπαντὸς ὡσαύτως πυρέττοιεν· ἔτι δὲ πρὸς τούτοις, εἰ μὴ διάτονον ἔχοιεν τὸν σφυγμόν. οἱ γὰρ ἐπὶ δυσκρασίᾳ τοῦ σώματος αὐτοῦ τῆς καρδίας ἅπαντες ἄτονοι. αἱ μὲν δὴ κατὰ θερμότητα δυσκρασίαι τῆς καρδίας ὁποίους τινὰς ἐργάζονται τοὺς σφυγμοὺς αὐτάρκως λέλεκται.

Κεφ. δ΄. Αἱ δὲ κατὰ ψυχρότητα πάντως μὲν δήπου τοὺς ἐναντίους ἀποτελοῦσι, τοὺς μικροὺς καὶ βραδεῖς καὶ ἀραιοὺς, ἤτοι δ᾽ ἀνάλογον εἰς τὰς τρεῖς διαφορὰς ἀλλοιοῦσιν, ἢ τὰς μέν τινας ἐξ αὐτῶν, ἤ τινα μᾶλλον, ἢ ἧττον. ἑτέρας δέ τινας, ἢ ἑτέραν ἧττον, ἢ μᾶλλον. ἀλλὰ χρὴ κἀνταῦθα κατὰ τὸν αὐτὸν τρόπον ἐπίστασθαι τὴν ἐλλείπουσαν, ἢ καὶ πλεονάζουσαν, ὡς καὶ πρόσθεν εἴρηται. πρῶτον μὲν γὰρ ὑπαλλάξει τὴν πυκνότητα; δεύτερον δὲ τὸ τάχος, ἑξῆς δὲ τὸ μέγεθος, ἀπαθοῦς γε τῆς δυνάμεως οὔσης. ὡς εἴ γε καὶ ἥδε τι πάθοι, γνωρισθήσεται μὲν ὑπὸ τῆς ἰδίας τε καὶ ἀχωρίστου ποιότητος τῶν σφυγμῶν, ἣν ἀμυδρότητα καλοῦμεν, ἣ εἰς μικρότητά τε καὶ βραδύτητα μᾶλλον ἤπερ εἰς ἀραιό-

ria, multi horum fuerunt superstites. Deprehenduntur affecti hac peste, si febrem primum percipiant, deinde si non aequaliter perpetuo febricitent, ad haec si pulsum non habeant praevalidum, siquidem qui intemperiei comites sunt corporis ipsius cordis, imbecilli sunt omnes. Habes pulsus, quos cor intemperatum calore creat.

Cap. IV. Intemperies frigidae plane efficiunt contrarios, parvos, tardos et raros; hos vel in tres proportione differentias commutant, vel aliquas earum, aut aliquam, plus, vel minus; alias aut aliam minus, vel plus. At hic eodem modo, ut prius declaravimus, attendenda est quae deficiat, vel exuperet. Primum crebritatem immutabit, deinde celeritatem, postea magnitudinem, siquidem illaesa sit facultas, nam si quid ad haec quoque offensa sit, perspicies illud ex propria pulsuum et perpetua qualitate, quam remissionem appellamus, quae ad parvitatem et tar-

τητα τὴν ἀλλοίωσιν ἐργάζεται τῶν σφυγμῶν. ὡς ὅταν γε ἐπὶ πλεῖστον ἡ δύναμις κάμνῃ, κἂν ψύξις συνῇ, μικροὶ μὲν ἐσχάτως οἱ σφυγμοὶ γίνονται, βραδεῖς δ' οὐκ ἐσχάτως, ἀλλ' ἔστιν ὅτε τοῖς κατὰ φύσιν ὅμοιοι, πυκνότητα δ' οὐ μόνον ἀποτίθενται τὴν πρόσθεν, ἀλλὰ καὶ προσαυξάνουσι. ἐπειδὰν μέντοι τὰ τῆς δυνάμεως ἐπ' ὀλίγον ἀῤῥωστῇ, τὰ δὲ τῆς ψύξεως ἐπὶ πλεῖστον κρατῇ, μακροτάτη μὲν ἡ εἰς ἀραιότητα τροπὴ γίνεται τῶν σφυγμῶν, βραχυτάτη δ' ἡ εἰς μικρότητα, μέση δ' ἀμφοῖν ἡ εἰς βραδύτητα. τὴν αὐτὴν δὲ δηλονότι καὶ αἱ ἀρτηρίαι πᾶσαι κινηθήσονται κίνησιν, ἂν τῇ κράσει φύσιν ἔχωσιν· [282] ἂν δὲ τῆς καρδίας ψυχροτέρας γεγενημένης αὗται θερμότεραι τοῦ κατὰ φύσιν ὦσιν, ἀλλοιώσουσι τὸν τῆς καρδίας σφυγμὸν εἰς τοσοῦτον εἰς ὅσον ἂν ἐκστῶσι τοῦ κατὰ φύσιν. ὥστε ποτὲ καὶ ἀκριβῶς ὅμοιος ἔσται τῷ κατὰ φύσιν ὁ κατὰ τὰς ἀρτηρίας, ὅσον γε ἐπὶ μεγέθει καὶ τάχει, τοῦ κατὰ τὴν καρδίαν ἐλάττονός τε καὶ βραδυτέρου γιγνομένου. εὔδηλον δ' ὡς αἱ τοιαῦται διαθέσεις ἄνευ πυρετῶν εἰσιν αὐτῆς τῆς καρδίας μόνης ψυχθείσης ὑπὸ χυμῶν ψυχρῶν τε ἅμα καὶ γλίσχρων καὶ παχέων. σπανίως μὲν οὖν ἐστιν ἡ τοιαύτη

ditatem potius quam ad raritatem pulſus immutat. Nam quum facultas plurimum laborat, etſi conjuncta ſit frigiditas, pulſus extreme quidem parvi fiunt, ſed non tardi extreme, imo nonnunquam moderatis ſimiles: crebritatem tamen non abjiciunt priſtinam, ſed etiam adaugent. At ubi paululum facultas debilitata ſit et frigiditas vigeat plurimum, longiſſime ad raritatem pulſus deflectunt, minimum ad parvitatem, medio modo ad tarditatem. Eodem etiam arteriae modo, ſi in nativo temperamento conſtent, movebuntur; nam ſi quum cor ſit frigidius, hae calidiores aequo ſint, cordis pulſum tantum alterabunt quantum de natura deſciverint. Itaque interdum etiam ſimilis erit moderato pulſus arteriarum, quod ad magnitudinem et celeritatem attinet, quum cordis pulſus minor et tardior ſit. Jam hoc clarum eſt, vacare hoſce affectus febre, refrigerato duntaxat ipſo corde a ſuccis frigidis, iisdemque lentis et craſſis. Sane in-

διάθεσις, ἀλλὰ γιγνομένη ποτὲ, καὶ μάλισθ᾽ ὅταν ἐν πνεύμονι τοιοῦτοι περιέχωνται χυμοί. συμβαίνει δ᾽ ὡς τὰ πολλὰ τοῖς ἐπὶ τῇ τοιαύτῃ διαθέσει σφυγμοῖς εὐθὺς καὶ ἀνωμάλοις εἶναι διὰ τὰς ἐμφράξεις, ἃς οἱ προειρημένοι χυμοὶ κατὰ τὰ στόματα τῶν ἐκφυομένων τῆς καρδίας ἀγγείων ποιοῦσιν. εἰ μέντοι συμβαίη ποτὲ καὶ τὰς ἀρτηρίας ὁμοίως τῇ καρδίᾳ ψυχροτέρας γενέσθαι τοῦ κατὰ φύσιν, αὐξήσουσι τὴν ἀτονίαν τῶν κινήσεων αὐτῆς, ἐν ταὐτῷ φυλάττουσαι γένει, ὥστε τῆς καρδίας βραδύτερόν τε καὶ μικρότερον καὶ ἀραιότερον τοῦ κατὰ φύσιν σφυζούσης αὐτὰς ἔτι δὴ καὶ μᾶλλον ἐκείνης καὶ βραδύτερον καὶ μικρότερον σφύζειν, εὐθὺς δὲ δήπου καὶ ἀμυδρότερον. συμβαίνει δέ ποτε ψυχροτέραν τε ἅμα τοῦ κατὰ φύσιν εἶναι τὴν καρδίαν καὶ πλήρη περιττωμάτων καπνωδῶν, ἐν ᾧ καιρῷ τὴν μὲν διαστολὴν μικροτέραν τε ἅμα καὶ βραδυτέραν γίγνεσθαι συμβαίνει, τὴν δὲ συστολὴν ὠκυτέραν. ἐφαίνετο δ᾽ ἂν καὶ μέχρι πλείονος ἔσω χωρεῖν ἡ ἀρτηρία, εἰ μέχρι παντὸς αἰσθητὴν εἶχε τὴν κίνησιν, νυνὶ δὲ τοῦτο μὲν ἀδιάγνωστον αἰσθήσει. τὸ δὲ τὸν τῆς ἐντὸς ἡσυχίας χρόνον ἐπιμηκέστερον τοῦ κατὰ φύσιν γίγνεσθαι πρόδηλον καὶ ἁπτομέ-

frequens eft hic affectus, tamen incidit interdum; praefertim quum contineantur in pulmone ejuscemodi humores. Atque in ejuscemodi affectu contingit fere pulfibus fimul effe inaequalibus per obftructiones, quas illi fucci fecundum ofcilla moliuntur vaforum ex corde enatorum. Verum arteriae, fi quando fiat ut perinde atque cor frigidiores justo fint, augebunt remiffionem ejus motuum, in eodem retinentes genere, ut quum tardius cor, minusque et rarius, quam naturae lex poftulat, pulfet, illae etiam hoc pulfent tardius, minus rariusque, tum etiam languidius. Accidit vero aliquando jam frigidius jufto cor effe fimul et fumoforum plenum excrementorum, quo tempore pariter et minor et rarior fit diftentio, contractio celerior. Videretur etiam diutius fe arteria intro recipere, fi in perpetuum ejus motus percipi poffet. Nunc fenfum id fugit, at produci internae quietis tempus ultra quam par eft patet vel tangentibus.

Ed. Chart. VIII. [282.] Ed. Baf. III. (140.)

νοις ἐστί. σύνθετος δ' ὁ χρόνος οὗτος ἅπας ἐκ τριῶν ἐδείκνυτο χρόνων, πρώτου μὲν τῶν ἐσχάτων τῆς συστολῆς, δευτέρου δὲ τῆς ἐντὸς ἠρεμίας, καὶ τρίτου τῶν πρώτων τῆς διαστολῆς. οὗτος μὲν ὁ χρόνος ἱκανῶς ἐκταθήσεται κατὰ τὴν εἰρημένην διάθεσιν, ὁ δὲ τῆς ἐκτὸς ἡσυχίας ἤτοι βραχύτερος ἔσται τοῦ κατὰ φύσιν ἢ παραπλήσιος. ἐπειγομένης γὰρ ἀεὶ τῆς τοὺς σφυγμοὺς ἐργαζομένης δυνάμεως ἀποκρίνειν τὰ περιττώματα, καὶ σπευδούσης ἐπὶ τὴν ἐνέργειαν ἐκείνην δι' ἧς ὑπάρχει τοῦτο πράττειν αὐτῇ, τὴν πρὸ τῆς ἐνεργείας ἡσυχίαν ὀλιγοχρονιωτέραν γίνεσθαι συμβαίνει, καθάπερ καὶ τὴν πρὸ τῆς ἑτέρας ἐνεργείας, λέγω δὲ τῆς διαστολῆς, μακροτέραν, τῷ ψυχροτέραν οὖσαν τὴν καρδίαν ἐκλελυμένως ἐπὶ τὴν ἐνέργειαν ἰέναι, διὰ μίαν ἔτι μόνην χρείαν τὴν τῆς ῥιπίσεως ἀπολωλεκυῖαν ἤδη τὴν ἑτέραν τὴν μείζονα, τὴν τῆς ἐμψύξεως. ἡ μὲν γὰρ ὑπόλοιπος ἡ τρίτη κατ' ἐκείνας μόνας τὰς διαθέσεις ἐπεγείρει τὴν καρδίαν εἰς τὴν ἐνέργειαν, ὅταν ἤτοι κίνησίν τινα κινῆται τὸ ζῶον ἀξιόλογον ἢ κένωσις πολλὴ ἐμπίπτῃ, τῶν ἀρτηριῶν ἐπὶ πλέον ἀνεστομωμένων μὲν εἰς τὰ ἐκτὸς, ἔν γε

Hoc tempus conflatum docuimus ex tribus esse temporibus, primo extremitatis contractionis, altero internae quietis, tertio principii distentionis. Ergo prolixe hoc tempus per illum affectum producetur; tempus vero externae quietis aut brevius quam conveniat erit, aut moderato simile. Nam quum studeat semper pulsuum effectrix facultas excrementa excernere, properetque ad illam actionem, cujus haec nomine illi data facultas est, fit ut quies, quae actionem praecedit, minus sit diuturna; quemadmodum etiam fit ut illa, quae alteram actionem praecedit, dilatationem inquam, fit longior, quia cor, quod frigidius jam est, remisse ad actionem progreditur, unius adhuc tantum gratia usus ventilandi, altero jam, qui major erat, refrigerandi amisso. Reliquus enim tertius cor in his solum affectibus excitat ad actionem, ubi moveatur magnopere animal, aut vacuatio accidat larga, arteriarum quidem admodum referatis externis osciliis, ut in balneis, denique si quo modo lar-

τοῖς βαλανείοις, καὶ εἰ δή τινες ἄλλοι καθ' ἡντιναοῦν αἰτίαν ἱδρῶτες ἐκχέονται πολλοί· εἰ δὲ παντὸς, ἔν τε ταῖς καθάρσεσι καὶ τῶν παθῶν ἐν χολέραις καὶ δυσεντερίαις καὶ ἰσχυραῖς δήξεσι τῶν ἐντέρων. ἐπειδὰν μέντοι συμβῇ καὶ αὐτὸ τὸ σῶμα τῆς καρδίας ἐν ἑαυτῷ τινα δυσκρασίαν ἀνώμαλον (141) ἔχειν, ἀναγκαῖον ἔσται καὶ τοὺς σφυγμοὺς αὐτῆς τε τῆς καρδίας καὶ τῶν ἐν τῷ ζώῳ πασῶν ἀρτηριῶν εἰς ἀνωμαλίαν ἐκτραπῆναι πολυειδῆ. καὶ γὰρ καὶ ἡ συστηματικὴ καλουμένη καὶ ἡ καθ' ἕνα σφυγμὸν ἁπάντων ἔσται τῶν γενῶν, εἰς μέγεθος καὶ μικρότητα καὶ τάχος καὶ βραδύτητα καὶ ἀμυδρότητα καὶ πυκνότητα καὶ ἀραιότητα συνεχοῦς τῆς μεταπτώσεως γινομένης. εἰς μέντοι σκληρότητα καὶ μαλακότητα μεταβολὴ συνεχὴς οὐκ ἄν ποτε γένοιτο. δέδεικται γὰρ ὑπὲρ τούτου πολλάκις. ἄκλονος μέντοι ποτὲ καὶ κλονώδης ἐν ταῖς τοιαύταις διαθέσεσι συνεχῶς ἀλλήλους διαδέχονται, συνελθούσης τῇ δυσκρασίᾳ τῆς καρδίας τῆς σκληρότητος, [283] ἢ τάσεως ἀρτηριῶν. ἐδείκνυτο γὰρ, εἴ τι μεμνήμεθα, κατὰ τὰς τοιαύτας διαθέσεις, ὅταν ἐπιπλέον ὁρμήσῃ διαστεῖλαι τὰς ἀρτηρίας ἡ καρδία, κλόνος ἐμπίπτων τῇ κινήσει.

giter fit fudatum; internis vero in purgationibus, praeterea in affectibus, ut cholexis, inteftinorum difficultatibus, ac quum vehementer vellicanter inteftina. At vero ubi ipfum corpus cordis inciderit in intemperiem aliquam inaequalem, non poterunt pulfus quum ipfius cordis tum omnium animantis arteriarum in variam non degenerare inaequalitatem. Quin etiam collectiva quam vocant, illaque unius pulfus omnium erit generum; quod perpetua fiat in magnitudinem, parvitatem, celeritatem, tarditatem, remiffionem, vehementiam, crebritatem, raritatem mutatio. At in duritiem et mollitiem haud fiat continens unquam mutatio; id quod faepenumero declaravimus. Non vibratus autem interdum et vibratus perpetua fefe viciffitudine in hifce affectibus excipiunt, adjuncta ad cordis intemperiem duritie, vel tentione arteriarum. Oftendimus enim, fi recte memini, in hujuscemodi affectibus, ubi magnopere cor contendat arterias diftendere, vibrationem in motum incurrere; quo tem-

τούτου δὲ συμβαίνοντος ἕτοιμον δικρότῳ γενέσθαι τῷ σφυγμῷ. καὶ γίνεται δύσκολον ἐν ταύτῃ τῇ διαστάσει τὴν διάθεσιν ἀκριβῶς ἐξευρεῖν, ὡς ἂν τῆς εἰρημένης ἀνωμαλίας οὐκ ἐπὶ δυσκρασίᾳ μόνῃ καρδίας, ἀλλὰ καὶ κακώσει τῶν ὀργάνων καὶ πλήθει συνισταμένης. ἐπειδὴ γὰρ αἱ τοιαῦται τῶν ἀνωμαλιῶν ἐπ' ἐμφράξεσι γίνονται τῶν κατὰ τὴν καρδίαν στομάτων, ἕπονται δὲ καὶ ταῖς ἀνωμάλοις αὐτῆς δυσκρασίαις, οὐκ ἔστι διαγνῶναι ῥᾳδίως τὴν διάθεσιν. ὁ μὲν οὖν δὶς πλήττων σφυγμὸς ἴδιόν ἐστι σύμπτωμα τῆς κατὰ τὸ σῶμα τοῦ σπλάγχνου δυσκρασίας, ὡς ἐν τῷ πρὸ τούτου δέδεικται λόγῳ, διαφέρων τοῦ δικρότου μαλακότητι. σκληρότητος δὲ προσγενομένης ἀπόλλυται καὶ ἡ παρὰ τοῦδε διάγνωσις, εἰς γὰρ τὸν δίκροτον μεταπίπτει κοινὸν ὄντα πλειόνων διαθέσεων. ὁ μέντοι κλονώδης δίκροτος ἐδείκνυτο τὴν γένεσιν ἴσχων, ἐπειδὰν ὁ κλονώδης ἁπλῶς σφυγμὸς βραχὺς τῷ μήκει γενήσεται, ὁ δὲ ἄκλονος δίκροτος ὁμοίως μὲν τῷ κλονώδει σκληρὸς ὤν, ἀλλὰ διὰ τὴν αὐτοῦ βραδύτητα καὶ τὸ βάρος τῶν ἐπικειμένων σωμάτων ἀποτελούμενος τοιοῦτος. ὥσθ' ἑκάτερος μὲν αἰτῶν ἀκολουθήσει πλείοσιν αἰτίοις, διοί-

pore facile dicrotus pulfus exoriatur. In qua diftentione multi fane laboris eft affectum plane explorare, quod non intemperiem tantum cordis illa inaequalitas, fed et inftrumentorum laefionem et copiam humorum comitatur. Nam hae inaequalitates, pofteaquam obftructionem fequuntur cordis ofcillorum, comitantur porro etiam ejus intemperiem inaequalem, non eft proclive deprehendere affectum. Ergo pulfus, qui bis feriat, corporis vifceris proprium eft fymptoma intemperiei, ficut probavimus in proximo libro, ac a dicroto diftat mollitie. Verum fi durities accefferit, jam etiam ex hoc dignotio labefactatur; etenim in dicrotum convertitur communem plurium affectuum. Vibratum vero dicrotum generari docuimus, ubi pulfus, qui abfolute eft vibratus, diminuta eft longitudo. Dicrotus vero non vibratus neque eft ac vibratus durus: fed talis per fuam tarditatem efficitur et corporum unus incumbentium. Quocirca permultas uterque hic caufas confequetur, numero tamen inter

σουσι δ᾽ ἀλλήλων τῷ πλήθει τῶν ἐργαζομένων αὐτοὺς δυνάμεων καὶ προφάσεων. πομπόλλοις μὲν γὰρ ὁ κλονώδης δίκροτος, ἐλάττοσι δὲ ὁ ἄκλονος ἕπεται. χρὴ δ᾽ ἀναμνησθῆναι πρῶτον μὲν ὅσοις αἰτίοις ὁ κλονώδης ἁπλῶς ἀκολουθεῖ· πᾶσαι γὰρ εἴρηνται πρόσθεν· ἑξῆς δὲ τὴν οἷον συνεκτικὴν αἰτίαν αὐτοῦ. γίγνεται γὰρ ἐπειδὰν ἐπιπλέον ἀναγκάζηται διαστέλλεσθαι σκληρὸν, ἢ τεταμένον ἀρτηρίας σῶμα. τρίτον ἐπὶ τούτοις, ὅτι προσελθούσης τῷδε δυνάμεως ἀῤῥωστίας, ἢ φυσικῆς διαπλάσεως, ὁ κλονώδης δίκροτος ἐδείκνυτο γίγνεσθαι. καὶ πρὸς τούτοις ὁ δίκροτος ἄκλονος ἐγένετο διὰ σκληρότητα μὲν ἀρτηρίας, βραδύτητα δὲ τοῦ σφυγμοῦ, βάρος δὲ τῶν ἐπικειμένων ἄνωθεν ἑκατέρωθεν τῆς αἰσθητῆς κινήσεως. ἐν γὰρ ταῖς τοιαύταις καταστάσεσιν, ὅταν ὑπὸ τῶν ἑκατέρωθεν μερῶν ἀντισπασθῇ τὸ μέσον ἀναφερόμενον ἔτι, κἄπειτ᾽ αὖθις αὐτοῖς συνέρχηται, δίκροτος ὁ σφυγμὸς γίγνεται. αὗται μὲν οὖν αὐτῶν εἰσιν οἷον συνεκτικαί τινες αἰτίαι, προηγούμεναι δ᾽ ἑκάστου πολλαί. καὶ χρὴ κἀκείνας προχείρους ἔχειν τῇ μνήμῃ τὸν μέλλοντά τι τῶν προηγησαμένων ἐξευρήσειν. ὁ μὲν

fe facultatum, a quibus creantur, et occafionum differunt; permultos enim vibratus dicrotus, paucos non vibratus comitabitur. At commemorandum quidem primum eft, quot caufis abfolute vibratus fuccedat, quas ante omnes recenfuimus; mox caufam ejus quafi continentem; fit enim ubi amplius cogitur diftendi durum corpus arteriae, vel tenfum; ad haec tertium, quod quum facultatis imbecillitas huc acceffit, aut conformatio nativa, vibratum dicrotum pulfum demonftravimus oriri. Jam dicrotus non vibratus fiebat ob duritiem arteriae, tarditatem pulfus, et pondus corporum incumbentium ex utraque parte fenfibilis motus; etenim in hujuscemodi affectibus, ubi ab utraque parte medium, dum attollitur, retrahatur, rurfusque copuletur cum illis, generatur pulfus dicrotus. Hae funt illorum quafi continentes quaedam caufae. Antecedentes autem multae funt cujusque, quae etiam expeditae et ad manum funt habendae illi, qui quicquam fit praeteritorum exploraturus. Pulfus qui bis

οὖν δὶς παίων σφυγμὸς ἀνωμάλοις τε ἕπεται δυσκρασίαις αὐτοῦ τοῦ σώματος τῆς καρδίας, ἠσκημένης δ' ἀκριβῶς ἁφῆς δεῖται διαγινώσκειν τὴν συστολὴν, ὡς εἴ τις κἀνάσκητός ἐστι τῆς τοιαύτης διαγνώσεως, οὐδὲν ὁ τοιοῦτος σφυγμὸς αὐτῷ διαφέρειν δόξει τοῦ κατὰ τὴν ἄνοδον ἱσταμένου τε καὶ ἡσυχάζοντος ὀλίγον. διαγνωσθήσεται δὲ βραχύ τι μετασχὼν εὐτονίας. ὡς ὅ γε παντάπασιν ἄτονος ἀδιάγνωστον ἔχει τὴν συστολήν. ὑπάρχει δ' ὡς τὰ πολλὰ τόνος ἅπασι τοῖς δὶς παίουσι σφυγμοῖς. οὐ γὰρ ἂν ἐπὶ τοσοῦτον ὕψος ἀνήεσαν, εἰ μὴ μετεῖχον εὐτονίας τινὸς, ἢ πολὺ μαλακωτέρους ἀναγκαῖον αὐτοὺς γενέσθαι τοῦ κατὰ φύσιν, ἵν' ἀμυδροί τε ἅμα καὶ μικροὶ φαίνωνται. γίγνονται μὲν καὶ οὗτοι κατὰ τὰς ληθαργώδεις διαθέσεις, ἀλλ' οὐκ ἔστι διακρῖναι τηνικαῦτα τὸν ἡσυχάζοντα βραχὺ τοῦ δὶς παίοντος, ὥστε οὐδὲ τὰς διαθέσεις οἷόν τε διακρῖναι κατά γε τοῦτο. δι' ἄλλου μέντοι γνωρίσματος ἐγχωρεῖ. ἴδιον δ' ἐστὶ τοῦτο τὸ γνώρισμα τοῦ κεκρᾶσθαι κακῶς τὸ τῆς καρδίας σῶμα. καὶ οὐδέν γε χεῖρόν ἐστιν ὡς πυρετόν τινα καὶ σφυγμὸν ἑκτικὸν, οὕτω καὶ ἀνωμαλίαν

ferit, ex inaequali proficifcitur ipfius corporis cordis intemperie. Tactu vero ad dignofcendam contractionem plane eſt opus exercitato, cujus fi rudis fis dignofcendae, nihil inter hunc pulfum tibi et illum intererit, qui in afcenfu fubfiftit, et quiefcit paulifper. Dignofcetur fi quid habeat roboris: nam qui undequaque eſt remiffus, hujus latet contractio. Sed fit plerumque ut omnibus pulfibus, qui bis feriant, adfit contentio, neque enim ad eam altitudinem perveniant, fi omnino deficiantur contentione, aut multo molliores fint quam conveniat neceffe eſt, ut languidi fimul et non parvi appareant, qui quidem etiam in lethargicis affectibus animadvertuntur, at tum quiefcentem paulifper nequeas diftinguere a bis feriente, proinde nec ipfos quidem affectus, ex hoc quidem difcernere poteris. Aliud tamen eſt indicium, quo poteris, atque hoc proprium eſt fignum vitiofae temperiei ipfius corporis cordis. Nec caufa eſt quin brevitatis gratia ut pulfum aliquem, vel febrem

ἡμᾶς ὀνομάζειν ἑκτικὴν, ἕνεκα συντόμου διδασκαλίας. ὅστις δ᾽ οὐ χαίρει τῷ ὀνόματι, μόνιμον, αὐτὴν καλείτω. μόνιμος δ᾽ ἐστὶν, ὅταν ἑξῆς ἴση διαφυλάττηται. ἂν δὲ δὴ καὶ τἄλλα σύμπαντα [284] γνωρίσματα τὸν πυρετὸν ἑκτικὸν εἶναι σημαίνει, πολὺ μᾶλλον, οἶμαι, βεβαίως διαγνώσῃ κατὰ τὸ τοῦ σπλάγχνου σῶμα τὴν ἀνώμαλον εἶναι δυσκρασίαν. εἴρηται δ᾽ ὑπὲρ αὐτῶν ἐν ταῖς διαφοραῖς τῶν πυρετῶν. ἐπιβλέπειν δὲ δήπου σε χρὴ καὶ τἄλλα σύμπαντα, τά τε παρόντα καὶ τὰ προηγησάμενα καὶ τὰ προκατάρξαντα. περιπνευμονίας μὲν γὰρ, ἢ ἐμπυήματος, ἢ πλευρίτιδος, ἢ φθόης, ἤ τινος ὅλως ἀποστήματος αὐτόθι γεγονότος, ἢ ἄσθματος, ἢ καταῤῥοικοῦ νοσήματος, ἢ αἵματος πτύσεως, ἢ πνευμονώδους τινὸς, ἢ συλλήβδην εἰπεῖν, ἐφ᾽ οὗ πλῆθος, ἢ πάχος, ἢ γλισχρότης χυμῶν ἐν τῷ πνεύμονι περιέχεται, προσέχειν ἀκριβῶς χρὴ, μή τι δι᾽ ἔμφραξιν ἀρτηριῶν ὁ σφυγμὸς ἀνώμαλος γίνεται· μηδενὸς δὲ τούτων παρόντος τὰ κατὰ τὸ σπλάγχνον αὐτὸ διασκέπτεσθαι, καὶ πολὺ δὲ μᾶλλον, ὅταν ὁ πρόσθεν βίος ὃν ὁ κάμνων ἐβίου, μήτε παχεῖς ἠθροῖσθαι κατὰ τὸ σῶμα μήτε γλίσχρους ἐμφαίνῃ χυμοὺς, ὑφ᾽ ὧν ἤτοι περιχυθέντων ἔξωθεν

hecticam, ita inaequalitatem nos hecticam appellemus; fi cui minus nomen probetur, ftabilem illam vocet; ftabilis eft, fi deinceps permaneat par. At vero fi caetera fimul omnia indicia febrem hecticam effe declarent, multo hercle dignofces certius inaequalem intemperiem tenere vifceris corpus. Sed haec explicavimus in differentiis febrium. Omnia denique funt reliqua animadvertenda, praefentia, praecedentia et externa. Nam quum peripneumonia, fuppuratio, pleuritis, phthifis, denique aliquis illic abfceffus exortus fit, vel afthma, vel morbus quifpiam ex deftillatione, vel cruentum fputum; aut rejectio partis alicujus pulmonis, aut breviter quodvis, unde redundantia, vel craffitudo, vel lentor humorum obfideat pulmonem, accurate confiderandum eft, ecquid ex arteriarum obftructione pulfus inaequalis fiat. Sin horum nihil fit, ipfum eft vifcus explorandum, praefertim fi anteacta aegroti vita nec craffis fuccis, nec lentis videatur corpus impleviffe, a quibus aut

ἢ φραξάντων τὰ στόματα τῶν ἀρτηριῶν ἡ ἀνωμαλία συνίσταται. δέδεικται γὰρ ὡς ἤτοι τούτων τινὸς, ἢ φλεγμονῆς, ἢ ἁπλῶς ὄγκου παρὰ φύσιν αὐτόθι συνιστάντος, ἢ πλήθους βαρύνοντος τὴν δύναμιν, ἀνωμαλίαι συμπίπτουσι τοῖς σφυγμοῖς. ἐὰν τοίνυν μήτε δι᾽ ὧν τὰ τοιαῦτα πάθη γνωρίζεται παρῇ, μηδὲ ἑκτική τε καὶ μόνιμος ἀνωμαλία διαμένῃ, δυσκρασίαν ἡγητέον ἀνώμαλον ἐν τῷ σώματι τῆς καρδίας εἶναι. οὔσης δὲ καὶ αὐτῆς ταύτης διττῆς, ἑτέρας μὲν ἐν τοῖς ὑγροῖς οἰκείοις αὐτῆς, ἑτέρας δὲ ἐν τοῖς στερεοῖς, ἡ μὲν ἐκ τῶν ὑγρῶν ὁρμωμένη μετὰ παλμοῦ γίνεται τῆς ὅλης καρδίας, ἡ δὲ ἐκ τῶν στερεῶν ἄνευ παλμοῦ. ὅστις δ᾽ ἐπιστημονικῶς ἐκμαθεῖν βούλεται τὰ νῦν λεγόμενα, τὸν περὶ τῶν ἑκτικῶν πυρετῶν ἀναλεξάσθω λόγον ἀκριβῶς ἔκ τε τῆς περὶ τῶν πυρετῶν πραγματείας κἀκ τοῦ περὶ τοῦ μαρασμοῦ γράμματος. ἡ μὲν δὴ τῆς καρδίας ἀνώμαλος δυσκρασία διαγινώσκεταί τε καὶ χωρίζεται τῶν παρακειμένων διαθέσεων ἐξ ὧν εἴρηκα σημείων· ἡ δ᾽ ἄλλη πᾶσα δυσκρασία κατὰ τὸ σπλάγχνον, ὅταν ἑτέρως μὲν ἔχῃ τὸ σῶμα αὐτὸ κράσεως, ἑτέρως δὲ τὸ κατὰ τὰς κοιλίας αὐτῆς αἷμα καὶ πνεῦμα τοὺς ἀνωμάλους

foris offufis, aut obftruentibus arteriarum ofcilla, inaequalitas concitetur. Nam fi quid horum, uti docuimus, vel inflammatio, vel omnino tumor praeter naturam illic exurgat, aut affluentia humorum gravet facultatem, incidunt in pulfus inaequalitatem. Quare fi nec adfint indicia, quibus nofcuntur hi affectus, nec hectica inaequalitas et ftabilis duret, intemperies exiftimanda inaequalis in cordis corpore effe; quae quum etiam fit duplex, altera in fuccis ejus propriis, altera in partibus folidis, illa ex fuccis profecta una cum totius cordis palpitatione fit, haec ex folidis partibus absque palpitatione. Quare fi quis haec quae retulimus edifcere cum arte cupiat, quae de hecticis febribus fcripfimus colligat diligenter ex commentariis De febribus et libro De marcore. Atque his fignis cordis inaequalis intemperies dignofcitur, et diftinguitur a fimilibus affectibus. Si qua fit alia intemperies vifceris, ut aliam ipfum corpus temperiem habeat, aliam fanguis et fpiritus, qui funt in

σφυγμοὺς οὐδέποτε ἐργάζεται, ἀλλ᾽, ὡς εἴρηται πρόσθεν, ἐκ τῆς τῶν διαθέσεων ἐπιμιξίαν εἰς μέσην τινὰ κατάστασιν οἱ σφυγμοὶ παραγίνονται. εἰσὶ δ᾽ αἱ μίξεις τῶν διαθέσεων ἔστιν ὅτε μὲν ἀκριβῶς ἀλλήλαις ἐναντίαι, ἔστιν ὅτε δ᾽ οὐκ ἀκριβῶς. λέγω δ᾽ ἀκριβῶς μὲν ἐναντίας ἀλλήλαις διαθέσεις κατὰ τὴν κρᾶσιν, ὅταν ὅσῳ θερμοτέρα τοῦ κατὰ φύσιν ἡ ἑτέρα τοσούτῳ συμβῇ τὴν ἑτέραν εἶναι ψυχροτέραν· οὐκ ἀκριβῶς δὲ, ὅταν ἡ ἑτέρα τῆς ἑτέρας ἐξίστηται πλέον. ἐγχωρεῖ δέ ποτε ὁμογενῶν οὐσῶν ἀμφοτέρων ἐν τῷ ποσῷ γίγνεσθαι τὴν διαφορὰν, ἤτοι τῆς καρδίας (142) αὐτῆς ἐπιπλέον οὔσης θερμοτέρας τῶν κατὰ τὰς κοιλίας ὑλῶν, ἢ τούτων μὲν ἐπιπλέον ἐξεστηκυιῶν τοῦ κατὰ φύσιν, ἔλαττον δὲ τῆς καρδίας. οὕτω δὲ καὶ ψυχρότερον ἤτοι τὸ σῶμα τῆς καρδίας, ἢ τὰς ὕλας ἐγχωρεῖ γενέσθαι. διάγνωσις δὲ τῶν εἰρημένων ἐπιπλοκῶν οὐχ ὁμοίως ἁπασῶν ἐναργὴς, ἀλλ᾽ ἐνίοτε καὶ τὰς οὐκ ἐναργεῖς ἐξ ἄλλων ἐστὶ ποιήσασθαι συλλογιστικῶς. ἡ μὲν οὖν πρώτη ῥηθεῖσα μίξις, ἐν ᾗ τὸ μὲν σῶμα τῆς καρδίας θερμότερόν ἐστι τοῦ κατὰ φύσιν, αἱ δ᾽ ὕλαι ψυχρότεραι, τρεῖς ἔχει τὰς διαφοράς. ἤτοι γὰρ τοσούτῳ θερμότερόν ἐστιν ὅσῳ

ejus finibus, inaequales pulfus nunquam efficit, fed ex affectuum confufione medium quendam ftatum fortiuntur. Confufiones affectuum modo prorfus inter fe contrariae funt, modo non prorfus. Prorfus dico affectus contrarios inter fe temperamento; ubi quo calidior moderato alter fit, hoc fit frigidior alter, non prorfus, ubi alter plus altero deflexerit. Poteft etiam, fi ejusdem ambo generis fint, in quantitate effe differentia, quum vel calidius cor ipfum fit materia in finibus contenta, vel quum materia multum, cor autem parvum a naturali ftatu recefferit, et frigidius item corpus cordis poteft effe, vel materia. Hi concurfus non periude omnes dignofcuntur confpicue; licet tamen interdum obfcuros aliunde colligere. Prima commemorata mixtio, in qua cordis corpus praeter modum calidum eft, materiae autem frigidiores, differentiis tribus conftat. Aut enim tanto illud calidius eft quanto hae frigidiores; aut

περ ἐκεῖναι ψυχρότεραι, ἢ πλέονι τοῦτο θερμότερον ἤπερ ἐκεῖναι ψυχρότεραι, ἢ ἔλαττον θερμότερον ἤπερ ἐκεῖναι ψυχρότεραι. κατὰ μὲν οὖν τὴν πρώτην διαφορὰν ὁ σφυγμὸς ὅμοιος ἀκριβῶς φαίνεται τοῦ κατὰ φύσιν, ἔν τε μεγέθει καὶ τάχει καὶ πυκνότητι. παραλλάττει δὲ τοσοῦτον εἰς ἀτονίαν ὅσον ἐξέστη τὸ σπλάγχνον ἐκ τῆς κατὰ φύσιν εὐκρασίας. ἐμοὶ δ' ἐφάνη πολλάκις ἐν ταῖς τοιαύταις διαθέσεσι καὶ τῷ τάχει προσεληλυθέναι τι σαφὲς, οὐ μὴν [285] ἀεί γε φαίνεται τοῦτ' ἐναργῶς, καί μοι δοκεῖ κἀκ τούτου τις ἂν ἑτέρου μείζονος εὐπορῆσαι γνωρίσματος. εἰς ὅσον γὰρ ἐξέστηκε τὸ σῶμα τῆς καρδίας αὐτὸ τῆς κατὰ φύσιν εὐκρασίας, ἐκ τοῦ τάχους ἔνεστι τεκμήρασθαι. πρὸς γὰρ τὴν κίνησιν ἑτοιμότερόν ἐστιν ἀεὶ τὸ θερμότερον σῶμα τῶν ἄλλων ἴσων ὑπαρχόντων. ἐπειδὰν μὲν οὖν αὐτὸ τῆς καρδίας τὸ σῶμα κατὰ φύσιν ἔχον ἤτοι πρὸς τῶν ἐν ταῖς κοιλίαις ὑλῶν, ἢ καὶ τῇ τοῦ πνεύμονος ὁμιλίᾳ φλεγμαίνοντος, ἢ καὶ ἔκ τινος ἄλλου τῶν πλησιαζόντων μορίων θερμαινόμενον, ἀναψύξεως ἕνεκεν εἰς μέγεθος καὶ τάχος καὶ πυκνότητα τοὺς σφυγμοὺς ἀλλοιώσῃ, τηνικαῦτα πρώτη μὲν ἡ εἰς τὸ μέγεθος ἐκτροπὴ, δευτέρα δ' ἡ εἰς τὸ

multo illud calidius quam hae frigidiores, aut minus illud calidius quam hae frigidiores. Prima differentia pulfum repraefentat ad unguem moderatum tum magnitudine tum celeritate atque crebritate; ad remiffionem autem tantum permutatur quanto fpatio naturalem temperiem vifcus reliquit. Equidem animadverti in hifce fubinde affectibus infigne etiam incrementum celeritati acceffiffe; non tamen hoc conſpicuum perpetuo eft. Atque hoc alterum indicium majus tibi videtur fuppeditaturum, quantum enim corpus ipfum arteriae defciverit a moderato temperamento, conjicere eft ex celeritate: nam proclivius ad motum eft calidius corpus, fi reliqua fint paria. Quare fi quod corpus ipfum cordis in naturali ftatu conftans, vel a materia, quam continent ventriculi ejus, aut confuetudine pulmonis inflammati, vel alia quapiam parte vicina calefiat, pulfus refrigerii gratia in magnitudinem, celeritatem, crebritatem commutentur, prima tum erit in magnitudinem mutatio, altera

τάχος, ἐφεξῆς δὲ ἡ εἰς πυκνότητα γίνεται· ἐπειδὰν δὲ θερμότερον γένηται τῶν ψαυόντων αὐτοῦ κατὰ φύσιν ἐχόντων, εἰς τὸ τάχος μὲν πρῶτον ἡ κίνησις ἐπιδίδωσιν, εἰς μέγεθος δὲ δεύτερον. ὥσθ' ὅταν εὕρωμεν εἰς τὸ τάχος μὲν ἐναργῶς ἐπιδεδωκότα τὸν σφυγμὸν, εἰς μέγεθος δὲ καὶ πυκνότητα μηδεμίαν ἀλλοίωσιν ἐσχηκότα, πολλὴν ἐν τῷ τοιούτῳ σώματι λογιούμεθα τήν τ' εἰς θερμότητα τῇ καρδίᾳ γεγονέναι μεταβολὴν καὶ τὴν εἰς ψυχρότητα τῶν ψαυόντων αὐτῆς. εὐθὺς δὲ δή που καὶ ἡ ἀμυδρότης τῶν σφυγμῶν ἐναργὴς καὶ ἀξιόλογος ἐν τοῖς τοιούτοις φαίνεται σώμασι. εἰ δὲ μὴ τὸ τάχος ἐναργὲς εἴη μήθ' ἡ ἀμυδρότης, ὀλίγην ἔλπιζε προσγεγενῆσθαι τῷ σώματι τοῦ σπλάγχνου θερμασίαν. οἱ τοιοῦτοι πυρετοὶ τοὺς πολλοὺς τῶν ἰατρῶν ἐξαπατῶσιν, ἅτε καὶ τῶν καμνόντων αὐτῶν ἀπυρέτους εἶναι λεγόντων· οὐ γὰρ αἰσθάνονται τοῦ πυρετοῦ διά τε τὴν μικρότητα καὶ τὴν τοῦ σπλάγχνου θερμασίαν, καὶ ὅτι τοῦ σπλάγχνου τὸ σῶμα κατείληφεν. εἴρηται γὰρ ὑπὲρ τούτου πολλάκις. ὅλως μὲν οὖν οὐδὲ γίγνεται μέγας πυρετὸς οὐδεὶς τῶν ἑκτικῶν· ἔτι δὲ καὶ μᾶλλον, ὅταν ὀλίγη τις εἴη κατὰ τὸ σπλάγχνον ἡ θερμότης. ὅσον οὖν ἀπὸ

in celeritatem, tertia in crebritatem. Sin calidius ſit partibus ſe contingentibus, quae in naturali ſtatu ſint, celeritas motus primum increſcit, deinde magnitudo. Unde quum pulſus manifeſtum incrementum celeritatis percipiamus, magnitudinis vero atque crebritatis nullam mutationem, magnopere in hoc corpore deſciviſſe ad calorem cor cenſemus, vicinaque ei ad frigiditatem. Jam ſimul pulſuum inſignis remiſſio et conſpicua in ejuscemodi corporibus animadvertitur. Quod ſi nec celeritas clara, nec remiſſio ſit, exiguo calore corpus viſceris puta auctum. Hae febres compluribus medicis imponunt, nimirum quod febre ipſi ſe liberos eſſe aegroti affirment; neque febrem, quia parva eſt, et quia viſcus incaluit, corpusque viſceris calor invaſit, advertunt. Sed de hoc frequenter diximus. Breviter non eſt magna febris ulla hectica, maxime ſi paucum calorem viſcus habeat. Qui igitur calor in univerſum corpus derivatur ex corde, hic ſenſum ſolus inducit ipſis inaequalitatis

τῆς καρδίας ἐπιῤῥεῖ τῷ παντὶ σώματι θερμασίας, τοῦτο μόνον αἴσθησιν αὐτῆς ἀνωμαλίας ἀσώδους φέρει, δι' ἣν καὶ λουτρῶν ἐπιθυμοῦσιν, ὥσπερ καὶ οἱ ἄλλοι ἀσώδεις τε καὶ ἀνώμαλοι, διὰ κόπον, ἢ ἔγκαυσιν, ἢ ἀλουσίαν, ἢ ἀγυμνασίαν. καὶ χαίρουσί γε οἱ πλεῖστοι τῷ λουτρῷ καὶ βελτίους γίγνεσθαί φασιν. ἅτε γὰρ ἀποθέμενοι μὲν ἀπὸ παντὸς τοῦ σώματος τὴν ἀνωμαλίαν, οὐδὲν δὲ ἀξιόλογον εἴς τε τὸ παραυτίκα βλαπτόμενοι, χάριν τοῦ λουτροῦ γινώσκουσιν. ἴσως δὲ οὐδὲ βλάπτονταί τινες αὐτῶν ὅλως. ἀλλ' οὐ τοῦ νῦν ἐνεστῶτος καιροῦ τὰ τοιαῦτα σκοπεῖσθαι. διοριούμεθα γὰρ ὑπὲρ ἁπάντων τούτων ἐν ταῖς τῶν πυρετῶν θεραπείαις, εἴτε ἰδίᾳ δόξειε γράφειν αὐτὰς, εἴτ' ἐν τοῖς τῆς θεραπευτικῆς μεθόδου γράμμασιν. εἰς δὲ τὴν ἐνεστῶσαν ὑπόθεσιν ἡ διάγνωσις μόνη προχειριζέσθω. καὶ γὰρ καὶ δόξει τισὶν ἴσως ἄπορός τε καὶ ἄγνωστος ὑπάρχειν, ὅταν γε μήτε διαφορά τις σφυγμῶν ἐξαλλάττηται τοῦ κατὰ φύσιν, ὅ τε κάμνων αὐτὸς ἀναίσθητος μὲν εἶναι λέγῃ τοῦ πυρετοῦ, τὴν ἀνωμαλίαν δ' ἣν ἐμέμφετο μόνην ἐκ τῶν βαλανείων ἐκθεραπεύηται. ἵνα δ' ἀπορώτερον ἔτι ποιήσω τὸν λόγον, οὐδ' ἐκ τῶν οὔρων ἔνεστιν ἀκριβῆ διάγνωσιν ἐν ταῖς τοιαύταις διαθέσεσιν ἀεὶ λαμβάνειν, ἀλλ' ἐστὶν ἀμφίβολα καὶ

fastidiosae; quamobrem balnea desiderant, ut alii fastidiosi omnes et inaequales ex lassitudine, vel adustione, lotione intermissa, vel exercitatione, et plerique scilicet laetantur balneo, recrearique se dicunt; depulsam enim inaequalitatem esse totius corporis, nec magnopere quicquam se offendi balneo referunt acceptum; et sane non laeduntur forsitan horum quidam. Verum hujus loci non est ista meditatio; in febrium enim curationibus de omnibus his disputabimus, sive separatim visum fuerit eas, sive in methodo medendi tractare; nam ad praesens institutum solam dignoscendi viam tractabimus. Sane videatur quibusdam perplexa et incognita, si quando nec differentia ulla pulsuum a naturali statu deficiat, et se ipse aegrotus febrem non dicat percipere, at inaequalitatem, quae una molesta erat, balneis percuraverit. Et ut rem difficiliorem faciam, ne ex urina quidem petere in ejuscemodi affectibus firmam notitiam semper licet; sed

ταῦτα τοῖς πλείστοις αὐτῶν, καὶ χροιᾷ καὶ συστάσει τοῖς κατὰ φύσιν ἐοικότα. μύριοι τοιοῦτοι κατὰ τὸν πολυχρόνιον λοιμὸν ὤφθησαν ἡμῖν, ἐφ' ὧν ἦν θεάσασθαι τοὺς ἰατροὺς ἰδιώταις ὁμοίους, ἐνίους δὲ καὶ πολὺ χείρους ἰδιώτου συνετοῦ. καὶ πολλούς γ' οὖν τῶν ἰδιωτῶν εἰ καὶ μηδὲν ἄλλο, τὴν γοῦν ἐκπνοὴν τῶν καμνόντων ἐστὶν ἰδεῖν ἐπισκοπουμένους, καὶ εἰ δυσώδης φαίνοιτο τὰ χείρω προσδοκῶντας. ἐκείνοις μὲν οὖν ἐκ πείρας εὕρηται κατὰ τοὺς λοιμώδεις πυρετοὺς τὸ τοιοῦτον γνώρισμα· σοὶ δ' οὐκ ἐκ τῆς πείρας μόνον, ἀλλὰ κἀκ τοῦ λόγου φαινέσθω. συνεπισκοποῦνται δὲ δή που καὶ τὰ κατὰ τὸ στόμα μόρια, καὶ εἰ βραχύ τι τῆς λοιμώδους ἐμφαίνοιτο χρόας [286] αὐτοῖς, ἀποφαίνονται λοιμώττειν τοὺς οὕτως ἔχοντας. ἰατρῷ δέ γ' οἶμαι μᾶλλον ἰδιώτου φαίνεσθαι καὶ ταῦτα, τοῖς μὲν γὰρ ἐρυσιπελατώδης, τοῖς δ' ὁμοία τοῖς ἐσθιομένοις ἕρπησιν ἡ χρόα φανεῖται, διεσπαρμένη κατὰ πλείονα μόρια τῆς κατ' ἀρχὰς, ὡς οἶμαι. καὶ εἰ ἐπιβάλοι τῷ θώρακι τὴν χεῖρα πεπειραμένος ἰατρὸς ἐν διαγνώσει πυρετώδους θερμασίας, οὐδὲ αὐτὸν λαθεῖν ἐάσει τὴν διάθεσιν. ἐπισκεπτέον δ' οὐχ ἥκιστα καὶ τὰ οὖρα.

eft etiam fere anceps, calore et fedimento fimilis naturali. Sexcentos tales in peftilentia diuturna confpeximus, ubi medicos cerneres nihilo plebe praeftantiores, imo vero imperitiores multo nonnullos experiente plebejo. Vulgus enim fere, fi nihil aliud, at expirationem aegrotorum videas obfervare; quae fi foeteat, pejorem caufam expectant. At illi quidem ufu tale fignum in peftilentibus febribus invenerunt; tu non ufu modo, fed et ratione aeftima. Jam os etiam attendunt, quod fi illic aliquid coloris peftilentis cernant, eos pefte confirmant laborare. Equidem medico haec puto clariora effe quam vulgo; partim enim illi colorem eryfipelatofum, partim colorem habent depafcentibus herpetibus affimilem, diffufum per plures partes fcilicet quam a primo. Et fi manum thoraci exercitatus medicus admoveat in explorando febrili calore, ne tum quidem praeterea eum affectus. Infpicienda porro prae caeteris urina eft.

καὶ γὰρ ἀνατεταραγμένα τισὶν αὐτῶν φαίνεται καὶ ὑδατωδέστερα καὶ λεπτότερα πολὺ τοῦ κατὰ φύσιν ἐνίοις. ταῦτα μὲν οὖν ἀναμφισβήτητα, καθάπερ καὶ ὅσα τοῖς κατὰ φύσιν ἐοίκασιν ἀκριβῶς, κατά τε χρόαν καὶ κατὰ πάχος, ἀναμφισβήτητα καὶ ταῦτα πρὸς τὴν δευτέραν ἐλπίδα, καὶ εἰ ἐναιώρημά γε ποιήσαιτο χρηστὸν, ἔτι καὶ μᾶλλον ἀναμφισβήτητα, τήν γε ὑπόστασιν ἔχοντα λευκὴν καὶ λείαν καὶ ὁμαλήν. τοῖς δ' ἐναιωρήμασι μάλιστα προσεκτέον τὸν νοῦν. ἔνια γὰρ αὐτῶν ὑποπέλιδνά πως ὄντα λανθάνει, καθάπερ ἄλλα πλατείαις ἀράχναις ἐοικότα, δίκην ἐρίων ἐπιβεβλημένων ἀλλήλαις. εἰ μὲν οὖν τι τοιοῦτον εὑρίσκοις, ἢ ὅλως μηδὲν ἐμφερόμενον ἐναιώρημα τοῖς οὔροις, ἐν τῇ χείρονι μερίδι ταῦτα πάντα τίθεσο. τῶν δ' ἐναντίων φανέντων ὁποῖα διῆλθον ἀρτίως, ἀδύνατόν ἐστιν ἐν κακῇ διαθέσει τὸν ἄνθρωπον εἶναι. ἔκ τε οὖν τούτων διορίζεσθαι, πότερον ἀνωμαλία τίς ἐστι περὶ αὐτὸν, ἢ λοιμώδης εἰσβολὴ νοσήματος ὀλεθρίου πυρετὸν ἑκτικὸν ἔχοντος, ἐπί τε τοῖς μετὰ τὸ λουτρὸν, ἀπόσιτοί τε γάρ εἰσι καὶ διψῶσι πλέον ἢ προσῆκεν, ἐπιθυμοῦσί τε ψυχροῦ.

Etenim conturbata quorundam eorum videtur eſſe et aquoſior, ac nonnullorum multo quam pro natura tenuior, atque haec quidem certiſſima eſt, necnon quae naturalibus undequaque ſimilis eſt colore et craſſitudine; haec etiam ad ſecundam ſpem certiſſima eſt; quae ſi enaeoremate probo ſit praedita, multo etiam eſt certior, ſi quidem ſedimentum ſit candidum, laeve et aequabile. Praecipue vero enaeorematis animus eſt adhibendus; nam quaedam quae ſublivida quodammodo ſunt latent, et item alia quae aranearum latas telas referunt in modum lanae congeſtae. At ſi quid tale animadvertas, aut nullum plane ſuſpenſum innatare urinis, in pejorem partem haec interpretare, ſi contraria videas, quae retuli modo, non poteſt fieri ut male affectus homo ſit. Ex his igitur diſcernas, utrum inaequalitate quapiam affectus ſit, an peſtilens morbus et exitialis, qui hecticam febrem habeat, eum prehendat; praeterea ex iis, quae balneum conſequuntur, etenim cibum reſpuunt et ſitiunt praeter

προσεπιθεωρεῖν δὲ ἀκριβῶς αὐτῶν προσήκει καὶ τοὺς ὀφθαλμούς. ἐν γὰρ τῷ λούεσθαι μάλιστα γίνονται κατάδηλοι, θερμοὶ καὶ φλογώδεις ἀποτελούμενοι, ἔνιοι δ' ἐντεῦθεν ἀρξάμενοι διαμένουσιν, οὓς δὴ σαφῶς γνωριοῦμεν ὅτι λοιμώττουσι. ἀλλὰ λοιμοῦ μεν ὁποῖος ἡμῖν ἐγένετο καί ἐστιν ἔτι μηδέποτ' εἴη πειραθῆναι τοῖς ἀνθρώποις. εἰδέναι μέντοι χρὴ καὶ ἄλλως γινομένους ἄνευ λοιμῶν τοὺς αὐτοὺς τούτους πυρετούς, ὥσπερ καὶ γέγρα(143)πται περὶ αὐτῶν ἅπασι τοῖς ἀξιολόγοις ἰατροῖς, καὶ καλοῦσί γε λοιμώδεις αὐτούς, ὑπὲρ ὧν τῆς ἰδέας ἁπάσης ἐν ταῖς τῶν πυρετῶν διαφοραῖς ἐπὶ πλέον εἴρηται. νυνὶ μὲν γὰρ οὐχ ὡς ἄν τις κάλλιστα διαγινώσκοι πυρετοὺς ὁ λόγος, ἀλλ' ὡς ἂν ἐκ σφυγμοῦ κάλλιστα. καὶ ἴσως καὶ πλείω τοῦ δέοντος εἴρηται περὶ τῶν ἀπὸ τοῦ σώματος αὐτοῦ τῆς καρδίας ἀναπτομένων πυρετῶν, αὖθις οὖν ἀνάγωμεν ἐπὶ τοὺς σφυγμοὺς τὸν λόγον, ὅσον ὑπόλοιπόν ἐστι τῶν ἑκτικῶν πυρετῶν ἐξηγούμενοι. γίνονται μὲν γάρ, ὡς εἴρηται, καὶ τῶν λοιμωδῶν οὐκ ὀλίγοι καταρχὰς εὐθέως ἑκτικοί, διαφέροντες ἁπάντων τῶν ἄλλων πυρετῶν, οἳ ἐν ἰσχυρᾷ σηπεδόνι. γίνονται δὲ καὶ διὰ λύπην ἐνίοτε καὶ

modum ac frigidam poftulant. Etiam oculi illorum funt accurate infpiciendi; nam inter lavandum manifefte redduntur calidi, et flammei quidam poftea tales permanent, quos plane fciemus teneri pefte. At in peftilentia, qualis noftra memoria fuit et viget etiamnum, nunquam experiri quisquam homo poffit. Sciendum tamen nonnunquam incidere fine pefte has ipfas febres, ut de illis prodiderunt omnes infigniores medici, vocantque peftilentes, de quarum tota natura difputavi latius in differentiis febrium; nam hoc quidem loco, non quemadmodum quis optime febres dignofcat tractamus, fed quemadmodum ex pulfu optime. Quinetiam dixi fortaffe plus aequo de febribus ex ipfo cordis corpore excitatis, quare ad pulfus nos referamus, et quod refiduum eft de febribus hecticis perfequamur. Etenim funt, ut docuimus, peftilentes non paucae inde usque ab initio hecticae, diftantque ab omnibus aliis febribus, quae ex magna putredine oriuntur. Praeterea etiam moerorem inter-

θυμὸν ἐξ ἀρχῆς ἔνιοι τῶν ἑκτικῶν. ἄλλως δ' οὐκ εἶδον γιγνόμενον οὐδένα πυρετὸν ἑκτικὸν εὐθέως ἀπὸ τῆς ἀρχῆς, ἀλλ' ἐπὶ προήκοντι τῷ χρόνῳ πολλοῖς τῶν ἄλλων ἐπιγίγνονται. καὶ διορίζει σαφῶς αὐτοὺς ἥ τε μόνιμος ἰσότης, εἰ καί τινι τῶν ἄλλων ἐπιπλέκοιντο, καθάπερ ἐδείξαμεν, ὅσα τ' ἄλλα κατὰ τὴν περὶ τῆς διαφορᾶς τῶν πυρετῶν εἴρηται πραγματείαν. ἡ δ' ἀπὸ τῶν σφυγμῶν διάγνωσις, ὡς ὀλίγον πρόσθεν εἶπον, ἐν ἀρχῇ μὲν ἔτι καὶ περὶ τὰς πρώτας ἡμέρας δύσγνωστός ἐστιν, ὁπόταν κοινὴν ἔχωσιν ἔτι τοῖς ἐφημέροις τὴν ἰδέαν, μετὰ δὲ τὴν τρίτην ἤδη σαφέστεροί γίνονται καὶ τῇ διὰ τῶν σφυγμῶν διαγνώσει. καὶ γὰρ θάττους οὗτοί γε σαφῶς ἔχουσι τοὺς σφυγμοὺς τῶν κατὰ φύσιν, εἰ καὶ τἄλλα μηδὲν διαφέροιεν, ἥ τε θερμασία κατὰ τὸν θώρακα καὶ σαφῶς ἐστι πυρετώδης αὐτοῖς, ἀμυδρότεροί τε τοσοῦτον οἱ σφυγμοὶ τῶν κατὰ φύσιν εἰσὶν εἰς ὅσον ἡ θερμασία παραύξηται. ταῦτα μὲν οὖν ἱκανὰ περὶ τῶν πυρετῶν, ὅσοις ἡ καρδία γέγονε θερμοτέρα τοσοῦτον τοῦ κατὰ φύσιν ὅσον αἱ κατ' αὐτὴν [287] ὗλαι ψυχρότεραι. προσκείσθω δ' ἀσφαλείας ἕνεκα ταῖς ὕλαις ἐκεῖνα τὰ σώματα σύμπαντα τὰ ψαύοντα τῆς καρδίας,

dum ſequuntur et iram a primo quaedam hecticae. Aliter neſcio, an ulla febris inde usque ab initio fiat hectica. At temporis diuturnitate multis aliis ſuccedunt, quas dilucide diſtinguit, etiamſi cum aliis connectantur, ſicut declaravimus, perpetua aequalitas, et alia quae in libris De differentiis febrium docuimus. Notitia autem ex pulſibus, quomodo nuper diximus, initio adhuc atque primis diebus non facile paratur, quum ſpeciem adhuc communem habeant cum diariis febribus; verum elapſo triduo jam clariores fiunt etiam pulſuum indicio. Siquidem aperte hae celeriores quam deceat pulſus habent, atque ut inter eas nihil interſit aliud, febrili quidem certe calore manifeſte ſecundum thoracem praeditae ſunt, pulſusque tanto ſunt languidiores juſto quantum calor creverit. Hactenus de febribus, in quibus cor tanto quam natura poſtulat calidior eſt quanto quam continet materia frigidior. Materiae addamus ſecuritatis gratia corpora illa omnia quae cor at-

εἴη δ' ἂν ταῦτα τῶν μὲν σπλάγχνων ὁ πνεύμων, ὑμένων δὲ ὅ τε περικάρδιος ὀνομαζόμενος, ὅσον τε τῶν διαφραττόντων τὸν θώρακα τῆς καρδίας ἐγγύς. ὁμιλεῖ δὲ δή που τῷ σπλάγχνῳ τούτῳ καὶ ὁ περιεχόμενος ἀὴρ ὑπὸ τοῦ περικαρδίου σκεπάσματος, ὥσπερ γε καὶ ἀρτηρίαι καὶ αἱ φλέβες, ὧν ἐν ταῖς κοιλίαις αὐτῆς φαίνεται μέγιστα στόματα. ταυτὶ γὰρ ἅπαντα ταῖς ὕλαις ἀνάλογον ἀλλοιοῖ τῆς καρδίας τὸν σφυγμὸν, καὶ καλείσθω συντόμου διδασκαλίας ἕνεκεν ἅπαντα τὰ κατειλεγμένα ψαύοντα τῆς καρδίας.

Κεφ. ε'. Ἑξῆς οὖν λέγωμεν ὑπὲρ ἐκείνων πυρετῶν ἐν οἷς ἡ μὲν καρδία θερμοτέρα πλείονι μέτρῳ, τὰ ψαύοντα δ' αὐτῆς ἐλάττονι μέτρῳ ψυχρότερα. γενήσονται γὰρ ἐν ταῖς τοιαύταις διαθέσεσιν οἱ σφυγμοὶ θάττους τε ἅμα καὶ μείζους καὶ πυκνότεροι καὶ ἀμυδρότεροι τῶν κατὰ φύσιν, ἀλλὰ πλείονι μὲν εἰς ἀμυδρότητα καὶ τάχος, ἐλάττονι δὲ εἰς πυκνότητά τε καὶ μέγεθος τοῦ κατὰ φύσιν ἐξιστάμενοι. μόνιμος δὲ καὶ ἡ τούτων γένεσις, ὥσπερ καὶ ἡ τῶν ἄλλων ἑκτικῶν. εἰ δὲ τὸ μὲν σπλάγχνον ἔλαττον ἐξίσταιτο τοῦ κατὰ φύσιν εἰς θερμότητα, τὰ δὲ ψαύοντα αὐτοῦ πλέον εἰς ψυχρότητα, μικρό-

tingunt; puta ex visceribus pulmonem, ex membranis quum illam quae pericardium appellatur tum quicquid thoracem prope cor intersepit. Etiam consuetudo huic visceri intercedit cum aëre, quem continet membrana pericardium, necnon cum arteriis et venis, quarum penetrare maxima ostia cernis ad sinus ejus. Haec omnia non aliter atque materia pulsum cordis immutant, vocenturque brevitatis gratia omnia quae recensuimus vicina cordi.

Cap. V. Deinceps de illis febribus dicamus in quibus cor calidius est quam vicina ei frigidiora; nam in hujuscemodi affectibus pulsus celeriores simul et majores et crebriores languidioresque justo erunt; longius tamen ad remissionem et celeritatem, minus ad crebritatem et magnitudinem recedent a natura. Stabilis et constans harum generatio est, ut caeterarum hecticarum. Quod si non ita longe viscus a natura desciscat ad calorem, vicina ei longius

τεροι μὲν ἐπὶ τῶν τοιούτων οἱ σφυγμοὶ καὶ ἀραιότεροι γενήσονται, τῷ τάχει δ' ἤτοι παραπλήσιοι τοῖς κατὰ φύσιν ἢ βραδύτεροι, παραπλήσιοι μὲν, ὅταν μὴ πολὺ πλέον ἐπὶ τὸ ψυχρότερον ἐξίστηται τὰ ψαύοντα, βραδύτεροι δὲ, ὅταν πολὺ πλέον ἀποκεχωρήκῃ ταῦτα τοῦ κατὰ φύσιν ἐπὶ τὸ ψυχρὸν ἤπερ ἡ καρδία πρὸς τὸ θερμόν. ἡ δ' ἀμυδρότης κἀνταῦθα κατὰ τὸ ποσὸν τῆς θερμότητος. εἰ δὲ τὸ μὲν σῶμα τῆς καρδίας αὐτὸ ψυχρότερον εἴη τοῦ κατὰ φύσιν, αἱ δ' ὗλαι καὶ ἄλλα τὰ ψαύοντα αὐτῆς θερμότερα, γενήσονται μὲν δή που κἀνταῦθα τρεῖς αἱ πᾶσαι διαφοραί. τραπήσονται δ' οἱ σφυγμοὶ καθ' ἑκάστην ἀνάλογον ταῖς προειρημέναις. ἔστω γὰρ πρῶτον ἐπὶ τοσοῦτον ἐψῦχθαι τὴν καρδίαν ἐφ' ὅσον τεθέρμανται τα ψαύοντα, βραδύτερος ὁ τοιοῦτος ἔσται σφυγμὸς τοῦ κατὰ φύσιν, ὅταν ἀξιόλογος ἡ ἀλλοίωσις ᾖ. ἀνάλογον δ' αὐτῷ καὶ τὸ τῆς ἀμυδρότητος ὑπάρχει. τῷ μεγέθει δὲ οὐδὲ ἓν ἐξαλλαχθήσεται τοῦ κατὰ φύσιν, ὥσπερ οὐδὲ τῇ πυκνότητι σαφὲς, οὐδὲ ἀξιόλογον οὐδέν. ἐν μέντοι ταῖς τοῦ κατὰ φύσιν βραχείαις ἐκτροπαῖς ἐφ' ἑκάτερα δυσφωρατοτέρα ἡ διάκρισις, ὡς πρόσθεν καὶ εἴρηται, καὶ μάλιστα γίνεται δύσγνωστος ἐν

ad frigiditatem, minores pulfus in his et rariores erunt; celeritate vel fimiles erunt naturalibus, vel tardiores; fimiles, fi non multo frigidiora vicina fint; tardiores, ubi multo longiore intervallo haec ad frigiditatem a natura deflexerint quam ad calorem cor. Remiffio hic etiam quantitati caloris refpondebit. At vero fi frigidius jufto fit ipfum cordis corpus, materia porro reliquaque vicina illo calidiora, erunt et hic tres numero differentiae, et variabunt pulfus in unaquaque, ficut fuperiores. Primum aeque refrigeratum fit cor ut incaluerunt vicina, tardior aequo erit is pulfus, fi infignis fuerit alteratio. Huic refpondet remiffio, nam magnitudine nihil de natura decedet, nec vero etiam crebritate, quod animadverti poffit, aut infigniter. At quum non multum de natura eft difceffum in utramque partem, difficillime, ut ante dixi, exploratur difcrimen, atque in his praefertim corporibus obfcurum eft, quorum

οἷς σώμασι τὸ κατὰ φύσιν οὐ προεπιστάμεθα. γινωσκομένου δὲ τούτου δυνατόν ἐστι καὶ τὴν βραχεῖαν ἐπιγνῶναι μεταβολὴν, ὅταν ἠσκημένος ᾖ τις ἐν διαγνώσει σφυγμῶν. ὥσπερ δ' ὀλίγον ἔμπροσθεν, ἡνίκα τοῦ σπλάγχνου θερμοτέρου γενομένου, τῶν ψαυόντων δ' αὐτοῦ ψυχροτέρων, ἐσκοπούμεθα τοὺς σφυγμοὺς, ἑκτικὸν ἐλέγομεν εἶναι τὸν πυρετὸν, οὕτως νῦν εἰ μὲν τὸ σπλάγχνον εἴη ψυχρότερον ἅπαντος τοῦ κατὰ φύσιν ὅρου, τὰ δὲ ψαύοντα θερμότερα, πυρέξει μὲν ὁ ἄνθρωπος, ἀλλ' οὐ τὸν ἑκτικὸν ὀνομαζόμενον πυρετὸν, ἀλλ' ἤτοι τὸν ἐφήμερον ἢ τὸν ἐπὶ σήψει χυμῶν. ἴδια δ' ἑκάτερα τὰ γνωρίσματα, τοῦ μὲν ἐφημέρου πυρετοῦ μιχθέντος ψυχροτέρῳ σώματι καρδίας, ὅταν ἴσως ἑκάτερος ἐξεστήκῃ τοῦ κατὰ φύσιν ὁ σφυγμὸς, οὐδὲν μὲν τῷ μεγέθει παραλλάττει τοῦ κατὰ φύσιν, ὥσπερ οὐδὲ πυκνότητι σαφὲς οὐδὲν, οὐδὲ τάχει, πρὶν ἀξιόλογον ἑκατέρου γενέσθαι τὴν ἐκτροπὴν, ἀμυδρότερον δ' εἰς [288] τοσοῦτον εἰς ὅσον καὶ τὸ σπλάγχνον ψυχρότερον ἔσται. τοῦ δ' ἐπὶ σήψει χυμῶν, ἴσον μὲν ἀεὶ καὶ τούτου τὸ μέγεθος, οὐκ ἴσον δὲ τῶν κατὰ φύσιν, οὐδὲ τῶν ἄλλων γενῶν, ἀλλ' ἐπειδὰν μὲν ὀλίγον ἐξεστήκῃ τοῦ κατὰ φύσιν, οὐδὲν ὅ τι

ignoramus naturalem ftatum; nam hunc fi prius noverimus, poterit etiam animadverti brevis mutatio, fi quis verfatus fit in explorandis pulfibus. Ut autem paulo ante, quum vifceris calidioris et vicinorum ei frigidiorum confideraremus pulfum, febrem diximus effe hecticam, ita nunc, fi vifcus fit frigidius omnino quam naturalis modus permittat, et vicina calidiora, febricitabit quidem homo, non hectica tamen quam vocant febre, fed vel diaria, vel ea quae putredinem humorum confequitur. Signa vero funt propria utriusque. Diariae quidem febris conjunctae cum frigidiore corpore cordis, ubi ex aequo de natura utrumque deflexerit, pulfus nihil magnitudine a naturali differt; nec etiam crebritate pene quicquam, quod perfpici poffit, nec item celeritate, nifi utriusque infignis fiat mutatio; languidior vero tanto erit quanto vifcus frigidius. Ejus autem febris quae ex putredine humorum fit par quidem perpetuo eft naturali et ipfa pulfus magnitudo, non par autem perpetuo ullum

Ed. Chart. VIII. [288.] Ed. Baf. III. (143.)

καὶ ἀξιόλογον· πλέον δ' ἐκστάντων ἐναργῶς θάττων ὁ σφυγμὸς γίνεται κατὰ τὴν συστολὴν, ὥσπερ ὁ πρότερος ἐν τῇ διαστολῇ. καὶ μὲν δὴ καὶ πυκνότερος ἐναργῶς κατὰ τὴν ἐκτὸς ἠρεμίαν, ἀμυδρότερος δὲ φαίνεται τοσοῦτον ὅσον ἡ καρδία κατέψυκται. ἔστω δὴ πάλιν ἐπιπλέον ἐψῦχθαι τὴν καρδίαν ἢ τεθερμάνθαι τὰ ψαύοντα, καὶ εἶναι τὸν πυρετὸν ἐφήμερον, ἐπιπλέον οἱ σφυγμοὶ μὲν τούτων σαφῶς ἀμυδροὶ γενήσονται καὶ μικρότεροι, βραδεῖς δ' οὐχ ὁμοίως σαφῶς, ἀλλ' ὅσον ἐπιπλέον ἐψύχθη τὸ σῶμα τῆς καρδίας τῶν ψαυόντων ἑαυτοῦ. καὶ μὲν δὴ καὶ ἀραιοὶ καὶ μικροὶ κατὰ τὴν ἀναλογίαν ἔσονται. ἔστω δὲ πάλιν ἐπὶ σήψει χυμῶν ὁ πυρετὸς, ὁ σφυγμὸς τούτων ἀμυδρὸς ἔσται ὡσαύτως τῷ προειρημένῳ, μικρότερος δ' ἔτι κἀκείνου κατά γε τὴν διαστολὴν καὶ βραδύτερος. ἡ μέντοι συστολὴ θάττων αὐτοῦ γενήσεται τοῦ κατὰ φύσιν. ἔτι δὲ μᾶλλον ἐν ἐκείνοις ἔσται τοῖς καιροῖς τοῦ παροξυσμοῦ τὸ τοιοῦτον, ἐν οἷς τέ ἐστιν ἀρχὴ καὶ ἐπίδοσις, ἐπεὶ κατά γε τὰς ἀκμὰς ἧττον, ἔτι δ' ἧττον ἐν ταῖς παρακμαῖς. ὑποκείσθω δὴ τὸ τρίτον εἶδος τῆς ἐπαλλάξεως, ὅπερ ἐστὶν ἔλαττον

ex aliis generibus, fed ubi parum quidem a natura receſſerint, nihil quod eſſatu dignum ſit, a naturali pulſus evariat; ubi vero plus receſſerint, aperte in contractione pulſus celerior fit, ſicut ſuperior in diſtentione; jam etiam clare in externa quiete crebrior et languidior apparet tanto quantum refrigeratum eſt cor. Contra jam magis refrigeratum cor ſit quam vicina incaluerunt, ac febris ſit diaria, horum pulſus manifeſte languidiores erunt et minores, tardi non perinde aperte, ſed quanto vicinis ſibi frigidius ſit corpus cordis; jam etiam rari ac parvi pro proportione erunt. At vero febris ſit ex humorum putredine; horum pulſus languidus erit perinde ut ſuperior, ſed illo etiam minor in diſtentione tardiorque, at contractio naturali celerior erit, ac magis etiam incidet id in illa tempora acceſſionis, in quibus eſt initium et incrementum; nam in vigoribus quidem minus, ac minus etiam in remiſſionibus. Porro autem tertium genus commutationis ponatur, hoc eſt

εἰς ψυχρότητα μεθεστηκέναι τὴν καρδίαν ἤπερ εἰς θερμότητα τὰ ψαύοντα αὐτῆς, καὶ εἶναι τὸν πυρετὸν ἐφήμερον, οἱ σφυγμοὶ τῷ τοιούτῳ σώματι τοσούτῳ μὲν ἀμυδρότεροι τοῦ κατὰ φύσιν ὅσῳ περ καὶ τὸ σῶμα τῆς καρδίας δυσκρατότερον ἔσονται μείζονές τε καὶ θάττονες τοῦ κατὰ φύσιν, καὶ πλέον γε μείζονες ὅσῳ περ ἢ θάττονες. ἔσονται δὲ καὶ πυκνότεροι. ταῦτα σύμπαντα λέλεκται μήτ᾽ εἰς σκληρότητα μήτ᾽ εἰς μαλακότητα τῶν σφυγμῶν (144) ἐπιδήλως ἠλλοιωμένων, ὡς εἴ γε καὶ κατὰ τοῦθ᾽ ὑπαλλαχθεῖεν, ἡ μὲν ἐπὶ τὸ μαλακὸν αὐτῶν ἐκτροπὴ, τὸ μέγεθος μὲν πάντως αὐξήσει καὶ τὴν ἀραιότητα, προσθήσει δ᾽ ἐνίοτε καὶ βραδύτητα· εἰ δ᾽ ἐπὶ τὸ σκληρὸν, τἀναντία, μικρότητά τε καὶ πυκνότητα, καίτοι καὶ τάχος ἐνίοτε προσθήσει. ἐγὼ μὲν δή μοι πάσας ἤδη δοκῶ τῶν πυρετῶν εἰρηκέναι τὰς ἐκ σφυγμῶν διαφορὰς, εἴ γε δὴ τὴν οὐσίαν αὐτῶν ἐπὶ πλεονεξίᾳ τῆς ἐν τῇ καρδίᾳ θερμασίας ὀρθῶς ἐθέμεθα. καὶ σὺν τοῖς πυρετοῖς γε καὶ ἄλλων οὐκ ὀλίγων ἐμνημόνευσα διαθέσεων ἐναντίων τοῖς πυρετοῖς, ἐφ᾽ ὧν ἡ τῆς καρδίας διάθεσις ψύξις ἐστίν. ἀλλὰ καὶ περὶ τῶν μικτῶν διαθέσεων εἶπον, ὧν ἡ μίξις ἐξ ἐναντίων

minus ad frigiditatem cor declinaviſſe, quam ei vicina ad calorem, ac febrem eſſe diariam: pulſus habebit hoc corpus tanto quam par eſt imbecilliores quanto corpus cordis ſit intemperantius, atque majores et celeriores naturali, ſed majores quam celeriores, ad haec crebriores erunt. Haec omnia ſunt accipienda pulſibus nec in duritiem nec in mollitiem aperte mutatis, nam ſi hic ſint etiam mutati, diſceſſus eorum ad mollitiem omnino magnitudinem et raritatem augebit, addet etiam et tarditatem, diſceſſus autem ad duritiem contraria, nimirum parvitatem et crebritatem, addet interdum et celeritatem. Equidem jam omnes mihi videor ſebrium quas ex pulſibus ſumas differentias percurriſſe; ſiquidem ſane earum eſſentiam recte in cordis nimio calore poſuimus. Jam inter febres affectus non paucos alios attigimus contrarios febribus, in quibus cordis affectus frigiditas eſt. Praeterea de mixtis affectibus diximus, quo-

Ed. Chart. VIII. [288.] Ed. Baf. III. (144.)

ἐπιπλεκομένων ἀλλήλοις γίγνεται. καὶ ἦν ἤδη μοι καιρὸς ἐφ' ἕτερόν τινα προϊέναι λόγον· ἐπεὶ δὲ οὐκ οἶδ' ὅπως εἰς παμπόλλην διαφωνίαν ἐμπεπτώκασιν οἱ περὶ πυρετῶν πραγματευσάμενοι, δι' ἐκείνους ἀναλαβεῖν ἐπὶ κεφαλαίων ἔγνωκα τὰ προειρημένα κατὰ τόδε τὸ γράμμα, ἐν ᾧ περὶ τῆς τῶν πυρετῶν ἐκ σφυγμῶν διαγνώσεως, καὶ εἴ γε χρὴ τἀληθὲς εἰπεῖν, δι' Ἀρχιγένην μάλιστα τοῦτο ποιεῖν διέγνωκα. πάντων γὰρ ἐπιμελέστατος ἐν τῇ περὶ τῶν πυρετῶν πραγματείᾳ δόξας γεγονέναι κινδυνεύει μηδὲν ἡμᾶς διδάσκειν ὁμοίως Ἐρασιστράτῳ. διττὸς γάρ ἐστι τῶν μηδὲν διδασκόντων ὁ τρόπος, ἐνίων μὲν εἰς ἰδιότητα καταφευγόντων ἄῤῥητον, ἐνίων δὲ λεγόντων μὲν ὀνόματα, μήτε δ' ἃ σημαίνει φυλαττόντων μήθ' ἃ βούλονται σημαίνειν ἑρμηνευόντων. ὁ γάρ τοι σκληρὸς σφυγμὸς, ὃν ἀχώριστον εἶναι βούλεται τῶν πυρεττόντων ὁ Ἀρχιγένης, ὄνομα μόνον ἐστὶν, οὐδὲν πρᾶγμα σημαίνων ἐπιστημονικῶς τε καὶ βεβαίως νοηθῆναι δυνάμενον. εἴρηται δ' ἐπιπλέον ὑπὲρ τοῦ τοιούτου σφυγμοῦ κατά τε τὴν περὶ διαφορᾶς σφυγμῶν πραγματείαν, ἔτι τε καὶ τὴν

rum ex contrariis inter ſe complicatis mixtio constat. Jamque tranſeundum alio mihi erat, ſed quando in magnam diſſenſionem neſcio quo pacto qui de pulſibus commentati ſunt inciderunt, propter eos viſum mihi eſt quae hoc in libro jam tradidimus, in quo de febribus ex pulſibus dignoſcendis tractavi, ſummatim repetere. Imo ſi verum fatendum eſt, potiſſimum hoc propter Archigenem ſtatui facere, nam quum habitus ſit diligentiſſimus in commentatione de febribus nihil nos prope non aliter ac Eraſiſtratus docet. Nempe eorum, qui nihil docent, duplex eſt inſtitututum, quidam ad proprietates quae exprimi nequeant confugiunt; alii proferunt quidem nomina, tamen nec quae ſignificant obſervant nec quam illis ſignificationem attribuant interpretantur. Namque durus pulſus, quem perpetuum Archigenes febricitantibus confirmat eſſe, nomen duntaxat eſt, nec rem denotat ullam, nec plane, nec liquido intelligi poteſt. De quo pulſu in libris De differentiis pulſuum la-

διαγνωστικὴν, οὐχ ἥκιστα δὲ καὶ δι᾽ ὧν ἐξηγούμεθά τε ἅμα καὶ κρίνομεν, ὅσα κατά γε τὸ περὶ τῶν σφυγμῶν βιβλίον ὁ Ἀρχιγένης ἔγραψεν. ἀναγκαῖον δ᾽ ἐστὶν, ὡς ἔοικεν, εἰπεῖν τι καὶ νῦν ἐπὶ κεφαλαίων ὑπὲρ αὐτῶν.

Κεφ. στʹ. [289] Ὥσπερ τῶν ἄλλων ὀνομάτων ἕκαστον ἴδιον δηλοῖ πρᾶγμα παρὰ τοῖς Ἕλλησι πᾶσιν, οὕτω καὶ κατὰ τῶν ὑποπιπτόντων ταῖς αἰσθήσεσιν ἔθεντο προσηγορίας τινὰς, ἰδίᾳ μὲν ὅσαι δηλοῦσι τὰς ἀκουστὰς διαφορὰς, ἰδίᾳ δ᾽ ὅσαι τὰς ὁρατὰς, ἢ ὀσφρητὰς, ἢ γευστὰς, ἢ ἁπτάς. οὔτ᾽ οὖν ἐπ᾽ ἄλλην φέρουσιν αἴσθησιν τό τε λευκὸν καὶ μέλαν καὶ ξανθὸν καὶ πυῤῥὸν, ὠχρόν τε καὶ φαιὸν καὶ κυανοῦν, ὅσα τ᾽ ἄλλα χρωμάτων ἐστὶν ὀνόματα πλὴν τῶν ὁρατῶν, οὔτ᾽ αὖ πάλιν ἐπ᾽ ἄλλα τὸ αὐστηρὸν καὶ γλυκὺ καὶ πικρὸν καὶ στρυφνὸν καὶ στῦφον, ἁλυκόν τε καὶ ἁλμυρὸν, ὅτι μὴ τῶν γευστῶν· οὐ μὴν δ᾽ ἐπ᾽ ἄλλων τινῶν θερμὸν καὶ ψυχρὸν, ξηρὸν καὶ ὑγρὸν, καὶ μαλακὸν καὶ σκληρὸν, ἀλλ᾽ ἐπὶ τῶν ἁπτῶν ἅπαντες. εἰ δέ τις ἐπ᾽ ἄλλο μεταφέρει τῶν εἰρημένων ὁτιοῦν, ὁ μὲν τρόπος τῆς τοιαύτης χρήσεως ὀνομάζεται

tius difputavimus, et etiam in libris De dignofcendis iis, maxime autem in iis commentariis quibus interpretamur fimul et examinamus quae in libro De pulfibus Archigenes fcripfit. Sed hic tamen etiam operae pretium eft nonnihil de iis fummatim exponere.

Cap. VI. Ut fingula alia nomina apud omnes Graecos fingulas res indicant, ita etiam quae occurrunt fenfibus, his nomina quaedam pofuerunt; feparatim quae differentias auditus fignificant, feparatim quae differentias odoratus, vel guftus, vel tactus. Neque igitur aliis tribuunt album, nigrum, flavum, rufum, pallidum, fufcum, caeruleum, reliquaque colorum nomina praeterquam fenfui vifus objectis; neque etiam aliis aufterum, dulce, amarum, acerbum, aftringens, falfum, falfuginofum praeterquam iis quae guftantur, nec jam ullis aliis calidum, frigidum, ficcum, humidum, molle, durum, verum iis quae tanguntur omnes attribuunt. Nam fi alio traducas haec nomina, illa

μεταφορά. γίνεται δὲ δή που ταῖς ἄλλαις ὡσαύτως μεταφοραῖς καθ' ὁμοιότητά τινα καὶ ἀναλογίαν, καθ' οἵαν ὁμοιότητα καὶ πόδες εἴρηνται καὶ κορυφαὶ καὶ λαγόνες ὄρους. ὡς γὰρ ἐπὶ τῶν ζώων τὰ κατωτάτω μὲν οἱ πόδες, ἡ κορυφὴ δὲ τὰ ἀνωτάτω πάντων ἐστὶν, οὕτως ἐπὶ τῶν ὀρῶν συγχωροῦμεν τοῖς ποιηταῖς τὰ μὲν ἀνωτάτω κορυφὰς ὀνομάζειν, τὰ κατωτάτω δὲ πόδας. ἐὰν οὖν τις ἐπὶ ζώου ποιούμενος τὸν λόγον, εἶτα πόδας εἰπὰν ἢ λαγόνας ἀξιώσει μήτε τῶν ποδῶν ἀκούειν, ὡς ἅπαντες ἀκούουσιν, μήτε τῶν λαγόνων, ὡς σύνηθες, ἀλλ' οὕτως δεῖν φάσκῃ λαγόνων ἀκο΄ειν, ὡς ἐπὶ τοῦ ὄρους τοῦ Βριλλησοῦ Καλλίμαχος εἴρηκε·

Βριλλησοῦ λαγόνες εἰσὶ νόμου, ὃν ἐκτήσαντο,

γελοιότατος ἂν εἴη, διττῇ τε καὶ παλινδρομούσῃ χρώμενος ἀπὸ τῶν οὐ κυρίων ἐπὶ τὰ κύρια τῇ μεταφορᾷ. κατὰ δὲ τὸν αὐτὸν τρόπον καὶ ὅστις ἐπὶ ἤθους, ἢ οἴνου λεγομένου τοῦ σκληροῦ κατὰ μεταφορὰν, ὑπὲρ τῶν ἁπτῶν σωμάτων ποιούμενος τὸν λόγον οὐχ ὡς σύνηθες ἅπασιν, οὕτως ἀξιῶν τῆς προσηγορίας ἀκούειν, ἀλλ' ὡς οἶνος λέγεται σκληρὸς,

usurpatio vocatur metaphora. Habent vero et alia item metaphoras ex similitudine aliqua et convenientia; ex qua similitudine pedes, vertices lateraque montis dicuntur. Nam ut animalium infimae partes pedes sunt, vertex omnium suprema, sic in montibus permissum est poëtis supremas partes vertices vocare, et infimas pedes. Si quis igitur, quum de animali loquatur, et pedes dicat, vel latera, noluerit pedes more omnium accipere, neque latera ut institutum est, sed ita dicat latera accipienda esse, quomodo de monte Brilleso dixit Callimachus,

Brillesi latera sunt orae, quem tenuere,

sane quam ridiculus sit, duplici utens et reciproca metaphora ab impropriis ad propria. Haud aliter si quum de moribus, aut vino durum dicitur per metaphoram, de corporibus quae tanguntur disputans, nolueris ut solent omnes nomen interpretari, verum sicut vinum dicitur du-

ἢ ἄνθρωπος, τὸ ἦθος σκληρόν. ὅμοιον γὰρ ἐκείνῳ τοῦτο τὸ περὶ πραγμάτων ὁρατῶν διαλεγόμενον, εἶτα λευκὸν μὲν εἰπόντα μὴ συγχωρεῖν ἀκούειν οὕτως ὡς εἴθισται πᾶσιν, ἀλλ' ἐπειδὴ πυρετούς τινας λευκοὺς αὐτὸς ὁ Ἀρχιγένης εἴρηκεν, οὕτως ἀκούειν χρῆναι καὶ τὸ χρῶμα τὸ λευκόν. ὥσπερ οὖν ὁ τοιοῦτος οὐκ ἂν δόξειε σωφρονεῖν, εἰ τὸ κυρίως ἐπὶ χρώματος λεγόμενον ὄνομα μετάγειν ἐπ' αὐτὸ κατὰ διττὴν μεταφορὰν ἀπὸ τῶν οὐ κυρίως ἀξιώσειεν, οὕτως, οἶμαι, καὶ ὅστις ἐπὶ σώματος ἁπτοῦ τὸν λόγον ποιούμενος, ἐκ μεταφορᾶς κελεύσει τὸ σκληρὸν ὄνομα ἀκούειν. συμβαίνει γὰρ ἐν τοῖς τοιούτοις ἅπασι λόγοις μηδὲν μανθάνειν τοὺς ἀκούοντας, ὅταν εἴργωνταί τε τοῦ κυρίως λεγομένου, μηδέν τ' ἄλλο νοῆσαι δύνωνται. τί γὰρ ἄλλο τις νοήσειε χρῶμα τὸ λευκὸν ἀκούσας ὄνομα τοῦ τε συνήθους εἰργόμενος ἀκούειν τε κελευόμενος ἐκ τῆς τῶν λευκῶν πυρετῶν μεταφορᾶς; οὕτως οὖν καὶ ὁ σκληρὸς σφυγμὸς ὑπὸ τοῦ Ἀρχιγένους εἰσαγόμενος ἐφ' ἁπτοῦ πράγματος, εἰ μὴ τὸ κύριον σημαίνει, τοῦτο δὴ τὸ συνήθως ἅπασι λεγόμενον, ἀλλ' ὡς ἐκεῖνος ἐκ μεταφορᾶς τῆς τῶν οἴνων βούλεται, παντάπασιν ἀσαφής τε καὶ

rum, aut homo, aut mores. Huic fimile eft, fi quum fermonem habeas de rebus vifibilibus, atque album dicas, prohibeas ex omnium inftituto accipi, fed quando febres aliquas Archigenes albas appellavit, ita effe etiam intelligendum colorem album. At quemadmodum quidem non videbitur is fanus effe, fi quod proprie nomen colori tribuit, transferre duplici differentia ad eum ab impropriis ftudeat, fic fane qui de tangibili corpore fermonem inftituit, et per metaphoram vult nomen durum accipi. Etenim in iis omnibus fit orationibus ut nihil auditores proficiant, quum et prohibeantur proprie dicto, nec quicquam intelligere aliud poffint. Quem enim alium accipias colorem prolato albo, confueto prohibitus, et accipere ex metaphora albarum febrium juffus? Sic item durus pulfus, quem Archigenes in re tangibili induxit, nifi propriam fignificationem habeat, nimirum hanc vulgarem, fed ut ille ex metaphora vinorum vult,

Ed. Chart. VIII. [289. 290.] Ed. Baf. III. (144.)
ἄγνωστος γίγνεται καὶ τοιοῦτος οἷος εἰ καὶ σκινδαψὸς ἐλέγετο, πρὸς τῷ καὶ δύνασθαι πᾶν ὁτιοῦν ἄλλο κατὰ τοῦ τῶν πυρετῶν ἰδίου σφυγμοῦ φέρειν ὄνομα, καὶ δοκεῖν τι λέγειν, ὡς πρὸς ἀνθρώπους μὲν ἀγυμνάστους ἐν διαιρέσεσι σημαινομένων, εὐγνώμονας δὲ καὶ πεπιστευκότας, ὅτι γέρων ἄνθρωπος, ἐν τοσαύτῃ γεγονὼς δόξῃ καὶ πολλὰ τὴν τέχνην ὠφεληκὼς, οὐκ ἂν ἑκὼν εἶναί ποτε τοιαύτην ἀσάφειαν ἐμηχανήσατο κατὰ τὸν λόγον, ὡς ὀνόματα προσφέρεσθαι [290] μηδὲν σημαίνοντα. φέρε γὰρ εἴ τις εἴπῃ τὸν τοῦ πυρέττοντος σφυγμὸν εἶναι πικρὸν, ἀξιώσει οὕτως ἀκούειν τοῦ πικροῦ ὀνόματος ὡς ἐπὶ γευσιῶν ἐνίοτε λέγομεν, ἆρ' ἕξομέν τι νοῆσαι σαφές; οὐ μᾶλλον ἢ εἰ στρυφνὸν, ἢ αὐστηρὸν, ἢ ὀξὺν ἀκούσαιμεν εἶναι τὸν σφυγμόν. ἐν ἅπασι μὲν γὰρ αὐτοῖς ἀηδές τι καὶ παρὰ φύσιν ἐμφαίνεται. τί δὲ τοῦτ' ἔστιν οὐ δηλοῦται, καίτοι κατὰ μὲν τὰς τοιαύτας μεταφορὰς ἀπὸ τῶν κυρίων ἐφ' ἕτερον οὐ κύριον ἡ μετάθεσις γίνεται, συγκεχωρημένον ἅπασι καὶ εἰθισμένον πρᾶγμα. κατὰ δὲ τὸ τοῦ σκληροῦ σφυγμοῦ σημαινόμενον, ὅπερ ὁ Ἀρχιγένης ἐνομοθέτησεν,

prorſus obſcurus eſt atque incognitus, talisque ut ſi ſcindapſus dicatur. Etiam poſſet quodvis aliud nomen proprio febrium pulſui tribuere, et aliquid videretur dicere, apud homines ſcilicet in diſtinguendis ſignificationibus imperitos, ſimplices autem, et qui facile ſibi perſuaderent virum ſcilicet ſenem, qui tam clarus eſſet, artemque multum illuſtraſſet, non facturum unquam ut talem obſcuritatem temere ſermoni induceret, ut nomina proferret nullius ſignificationis. Jam vero ſi quis pulſum febricitantis amarum dicat eſſe, ac nomen amarum, ut ad guſtum referimus interim velit accipi; nihil ſane quod clarius intelligamus habebimus quam ſi acerbum, vel auſterum, acidum audiremus pulſum eſſe, quod ex omnibus his res moleſta et praeter naturam repraeſentetur, quae autem ſit illa non declaretur. Quanquam in ejuscemodi metaphoris a propriis ad aliud non proprium traductio ſit, res et permiſſa omnibus et vulgaris, at in ſignificatione duri pulſus, cujus auctor Archi-

οὔτε συγκεχωρημένον, οὔτε εἰθισμένον, οὔτε ὅλως γεγονὸς, ἢ γενέσθαι δυνάμενον, ἀκοῦσαι χρὴ σημαινόμενον, ἀπὸ τῶν μεταφορικῶν ἐπὶ τὸ κύριον ἐπανερχομένους. διόπερ ὀνόματος μὲν ἔστιν ἀκοῦσαι, πρᾶγμα δὲ οὐδ᾽ ἐννοῆσαι. ἀλλ᾽ οὐκ ἔτι δεῖ περί γε τούτου μηκύνειν, ἐν ἄλλοις ἐπιπλέον ὑπὲρ αὐτοῦ διειλεγμένους, ἀναλαβόντας δὲ τὰ προειρημένα διὰ κεφαλαίων ὑπὲρ ἁπάντων τῶν πυρετῶν ἐπελθεῖν.

Κεφ. ζ. Ὅτι μὲν δὴ τρία ἐστὶ τὰ πάντα αὐτῶν γένη δέδεικται δι᾽ ἑτέρων. ὁποία δέ τις ἑκάστου διάγνωσις ἐκ σφυγμῶν, ἐν τῷδε ῥητέον. οἱ μὲν ἐφήμεροι πάντες εἰς μέγεθος καὶ τάχος καὶ πυκνότητα τρέπουσι τοὺς σφυγμοὺς ὅσον (145) ἐφ᾽ ἑαυτοῖς. εἰ γὰρ ἐπιμιγνύοιτό τις ἄλλη διάθεσις, ἀνάγκη μικτὴν γενέσθαι τὴν τροπὴν, ἐξ ἐκείνης τε καὶ τῆς κατὰ τὸν λόγον τοῦ πυρετοῦ συνισταμένης. ὡσαύτως δὲ καὶ οἱ ἑκτικοὶ τῶν πυρετῶν εἰς τὰς αὐτὰς διαφορὰς ἀλλοιοῦσι τοὺς σφυγμοὺς ὅσον γ᾽ ἐφ᾽ ἑαυτοῖς, καὶ πλέον γ᾽ ἐπὶ τούτοις ἐξαλλάττεται τὸ τάχος. οἱ δὲ ἐπὶ σήψει χυμῶν ἐν μὲν ταῖς ἀκμαῖς ἀμφοτέρας ἔχουσι τὰς κινήσεις ταχείας, τήν τε τῆς

genes est, quae nec concessa est, nec usitata, nec omnino fuit, aut poterit esse, intelligere oportet nos significationem, ad illam quae propria est ex metaphoricis reversos; quando ita nomen quidem audias, artem intelligas nullam. Verum quid sermonem de his producam, quum alias diffusius de his disputaverim? At superiora summatim repetamus, ac de omnibus febribus dicamus.

Cap. VII. Tria esse in summa genera illarum alio loco docuimus; quemadmodum vero quodque ex pulsibus dignoscatur, declarabo hoc loco. Omnes diariae in magnitudinem, celeritatem crebritatemque pulsus, quantum in ipsis est, mutant; nam si concurrat alius affectus, mixtam oportebit esse mutationem ex illo et hoc qui comitatur febrem. Pari modo febres hecticae pulsus in easdem differentias convertunt, quantum in iis est, ampliusque in his mutatur celeritas. At quae ortae sunt ex putredine humorum, in vigoribus utrumque habent motum celerem,

διαστολῆς καὶ τὴν τῆς συστολῆς. ὡσαύτως δὲ καὶ τὰς πυκνότητας ἀμφοτέρας ὁμοίως ἀλλοιοῦσι, τήν τε κατὰ τὴν ἐκτὸς ἡσυχίαν γινομένην καὶ τὴν κατὰ τὴν ἐντὸς, ἐν δὲ ταῖς εἰσβολαῖς οὐχ ὁμοίως, ἀλλὰ μᾶλλον ἐπιτείνουσι τῆς συστολῆς τὸ τάχος. ἐν δὲ ταῖς ἀναβάσεσι καὶ τοῦτο μὲν καὶ τὴν ἐκτὸς ἡσυχίαν ἐπιπλεῖστον συνεργοῦσιν, ὡς πυκνότατον φαίνεσθαι κατ᾽ αὐτὴν τὸν σφυγμόν. οὗτοι μόνοι πυρετῶν εἰσιν ἴδιοι σφυγμοὶ κατὰ τὸν ἑαυτῶν λόγον· οἱ δ᾽ ἄλλοι πάντες οἱ τοῖς πυρέσσουσι συμπίπτοντες ἄλλῃ τινὶ διαθέσει μᾶλλον ἢ τῇ τῶν πυρετῶν ἕπονται. δύο δ᾽ ἐστι γένη κἀκείνων τῶν διαθέσεων, ἤτοι τῆς δυνάμεως ἢ τῶν ὀργάνων ἡ κάκωσις. ἐδείχθη γὰρ ὡς εἰς τρία χρὴ βλέποντας ταῦτα ἐξευρίσκειν τὰς ἀλλαττούσας αἰτίας τὸν σφυγμὸν, ὄργανόν τε καὶ χρείαν καὶ δύναμιν. ἐπιδέδεικται γὰρ καὶ ὅσα καθ᾽ ἕκαστον αὐτῶν γένος, ἐξιστάμενον τοῦ κατὰ φύσιν, ἀναγκαῖόν ἐστι συμπίπτειν τοῖς σφυγμοῖς. οὔκουν ἔτι θαυμαστὸν εἰ διαφέρονταί τε πρὸς ἀλλήλους οἱ σοφοὶ ἰατροὶ περὶ τῶν ἰδίων τοῦ πυρετοῦ σφυγμῶν, ἁμαρτάνουσί τε πάντες, ἅτε μήτε τὰ γένη τῶν πυρετῶν διελόμενοι, τάς τε διὰ τὴν δύναμιν,

et diſtentionis et contractionis, praeterea utramque crebritatem ex aequo mutant, quum externae quietis tum internae; in initio acceſſionis non perinde, ſed magis augent contractionis celeritatem; in incrementis quum hanc tum etiam externam quietem plurimum concitant, ut pulſus in illa creberrimus videatur. Habes pulſus, qui ſoli febrium per ſe proprii ſunt; reliqui omnes, qui febricitantibus accidunt, alium potius affectum quam febres ſequuntur. Quorum etiam affectuum ſunt duo genera, aut facultatis, aut inſtrumentorum vitium; quippe ad cauſas inveniendas, quae mutant pulſum, tria haec ſunt animadvertenda, inſtrumentum, uſus et facultas; demonſtravimus enim, quae ex ſingulis horum generibus a natura recedentibus accidere pulſibus oporteat. Quo minus eſt mirum, ſi inter ſeſe praeclari iſti medici diſſideant de febribus propriis pulſibus, errentque omnes, ut qui nec genera partiverint pulſuum, et

ἢ τὴν τῶν ὀργάνων κάκωσιν ἀλλοιώσεις τῶν σφυγμῶν αὐτῶν τῶν πυρετῶν ἰδίας εἶναι νομίζοντες. οἷον αὐτίκα παροξυσμῶν εἰσβαλόντων οἱ μὲν τοὺς πυκνούς τε καὶ μικροὺς, οἱ δὲ πρὸς τούτοις καὶ τοὺς ἀμυδροὺς, ἔνιοι δὲ καὶ τοὺς ἀνωμάλους, εἰσὶ δ' οἳ καὶ τοὺς βραδεῖς, ὥσπερ ἄλλοι τοὺς ταχεῖς, ἔθεντο γνωρίσματα. καίτοι γ' ἔνιοι τῶν πυρετῶν ἀθλίπτους, ὡς αὐτοὶ καλοῦσι, ποιοῦνται τὰς εἰσβολὰς, ἐφ' ὧν εἰς μέγεθός τε καὶ τάχος ἡ πρώτη τροπὴ γίνεται τῶν σφυγμῶν, εἶτ' ὀλίγον ὕστερον αὐξανομένοις τοῖσδε καὶ ἡ πυκνότης ἐπιγίνεται, τῶν δ' ἄλλων σφυγμῶν τῶν εἰρημένων οὐδεὶς αὐτοῖς οὔτ' ἀρχομένων τῶν παροξυσμῶν οὔτε αὐξανομένων οὔτε ἀκμα-[291]ζόντων ἐπιφαίνεται. ἀλλὰ τούτοις μὲν οὔτε ῥῖγος οὔτε φρίκη τις οὔτ' ἀνωμαλία σαφὴς, ἀλλ' οὐδὲ ψύξις ἄκρων, ἢ τῆς ἐκτὸς ἐπιφανείας, οὐδὲ δῆξις, ἢ βάρος, ἢ θλίψις στομάχου συνεισβάλλει. τοῖς πλείστοις δ' ἤτοι ἕν τι τῶν εἰρημένων ἢ καὶ πλείω συνεδρεύει· καί τισιν αὐτῶν ὀλίγον ὕστερον ἔμετος ἐναργῶς ἐνδεικνύμενος, ὡς ἐκ τοῦ συῤῥεῖν εἰς τὴν γαστέρα μοχθηροὺς χυμοὺς, οἱ μὲν ἐδήχθησαν αὐτῶν, οἱ δὲ

profectas ex facultatis, vel instrumentorum vitio alterationes pulsuum arbitrentur proprias ipsis febribus esse; ut invadentis accessionis quidam crebros et parvos, alii ad haec languidos, jam nonnulli etiam inaequales, sunt qui tardos etiam, contra alii celeres, posuerunt indicia. Tametsi quaedam febres incompressas, ut isti vocant, invasiones faciunt, in quibus pulsuum prima mutatio in magnitudinem et celeritatem fit, mox his succedit augescentibus crebritas; reliquorum pulsuum quos memoravi in illis nullus apparet, nec initio accessionum, nec in incremento, nec vigore. Verum hos nec rigor, nec horror, nec fere ulla inaequalitas, quin ne frigus quidem partium extremarum, vel superficiei externae, nec vellicatio, aut gravitas, aut compressio stomachi una incessit; plerosque vero vel unum de his, vel plura comitantur; nonnullos paulo post vomitus, qui aperte declarat, ex eo quod in ventriculum vitiosi fucci confluxerunt, quosdam illorum vellicatos esse, alios

Ed. Chart. VIII. [291.] Ed. Baſ. III. (145.)

ἐθλίφθησαν, οἱ δ' ἀσώδεις ἐγένοντο. προφανέστατα γὰρ ἐπὶ τῶν πλείστων ἀρχῶν ἀποχωρεῖ μὲν ἁπάσης τῆς ἐκτὸς ἐπιφανείας τὸ αἷμα, συῤῥεῖ δ' εἰς τὰ σπλάγχνα, κἀκ τούτου θλίψεις τε καὶ σφηνώσεις, ἐμφράξεις τε καὶ διατάσεις ἀρτηριῶν γίνονται κυρίων, ἐφ' αἷς οἱ ἀνώμαλοι σφυγμοὶ ταῖς εἰσβολαῖς τῶν τοιούτων παροξυσμῶν συνεδρεύουσιν, ὥσπερ αὖ πάλιν οἱ ἀμυδροὶ διὰ τὴν τοῦ στομάχου τε καὶ τῆς δυνάμεως κάκωσιν. οὕτως δὲ καὶ οἱ μικροὶ διά τε τὴν ἀῤῥωστίαν γίνονται τῆς δυνάμεως καὶ διὰ τὴν ψύξιν, ὥσπερ γε καὶ οἱ βραδεῖς ἐπὶ ταῖς ἰσχυραῖς ψύξεσιν. ἀλλὰ τούτων γε οὐδεὶς ὁμοίως τῇ διαστολῇ τὴν συστολὴν ἐποιήσατο βραδεῖαν, ἀλλ' ἔστιν ἀχώριστόν τε καὶ ἰδιώτατον εἰσβολαῖς πυρετοῦ ἐπὶ σήψει χυμῶν ἡ συστολὴ τῆς ἀρτηρίας ὠκυτέρα γινομένη. καὶ ὅστις ἤσκηται γινώσκειν συστολὴν ἀχώριστον ἀρχῆς παροξυσμοῦ ταῦθ' ἕξει τὸ σημεῖον, ὅταν, ὡς εἴρηται πολλάκις, ὁ σφυγμὸς ἔχῃ τινὰ τόνον. ἐδείχθη γὰρ ἐπὶ τῶν ἀμυδρῶν ἀδιάγνωστος ἡ συστολή. τοῦτ' οὖν ἀσκητέον ἐν τοῖς μάλιστα τὸν ἀκριβῶς βουλόμενον ἀρχὴν γνωρίζειν παροξυσμοῦ. ὅπως δ' ἄν τις

compreſſos, aliquos nauſeaſſe. Clariſſime enim recedit in plerisque initiis de tota ſuperficie externa ſanguis, conſluitque in viſcera, unde compreſſiones et obſtructiones fiunt, diſtentionesque arteriarum praecipuarum, propter quas initiis talium acceſſionum conjuncti ſunt pulſus inaequales; quemadmodum etiam languidi ob ſtomachum et facultatem affectam. Ad hunc modum fiunt et parvi ob imbecillitatem facultatis, et ob frigiditatem, et jam tardi quoque ex ingenti frigiditate. Verum contractionem perinde ac diſtentionem nullus horum tardam fecit; ſed hoc perpetuum eſt et prae caeteris proprium invaſioni febris ex putredine humorum ortae, ut arteriae contractio efficiatur celerior. Et ſi quis in cognoſcenda contractione eſt exercitatus, perpetuum hoc et conſtans initii acceſſionis ſignum habebit, ubi contentione aliqua, ut frequenter admonuimus, pulſus praeditus ſit, nam in languidis contractionem docuimus dignoſci non poſſe. Hoc igitur etiam atque etiam exercitandum tibi eſt, ſiquidem cognoſcere ad unguem velis initium

ὑπάρξοιτο τῆς ἀσκήσεως, ἐν τῷ πρώτῳ περὶ διαγνώσεως σφυγμῶν ἐπὶ πλεῖστον εἴρηται· τοῦτο τὸ σημεῖον ἀψευδέστατόν ἐστι, καὶ χρὴ θαῤῥεῖν αὐτῷ μάλιστα κατὰ τὰς διαγνώσεις ἐναργῶς φανέντι. ἐγωγ' οὖν ἐπὶ πολλῶν πολλάκις, ὧν οὐδεπώποτε πρόσθεν ἡψάμην τῶν σφυγμῶν, οὔθ' ὑγιαινόντων οὔτε νοσούντων, τούτῳ τῷ σημείῳ μόνῳ πιστεύσας ἥμαρτον οὐδέποτε. ταῖς μὲν γὰρ ἄλλαις ἁπάσαις, εἴτ' οὖν ψύξις εἴη ὅλου τοῦ σώματος, εἴτε καὶ τοῦ στόματος τῆς γαστρὸς, ὃ καταχρώμενοι στόμαχον ὀνομάζομεν, εἴτ' εἰς τὸ βάθος ῥοπαὶ τοῦ αἵματος, ἤτοι διὰ λύπην, ἢ φόβον, ἢ δι' ἄλλην τινὰ αἰτίαν γιγνόμεναι, παραπλήσιός ἐστιν ἡ βραδύτης τοῦ σφυγμοῦ διαστελλομένης τε καὶ συστελλομένης τῆς ἀρτηρίας, εὐθὺς δ' αὐτῇ σύνεστι καὶ ἡ ἀραιότης κατ' ἄμφω τὰς ἡσυχίας. μόναις δὲ ταῖς πυρεκτικαῖς εἰσβολαῖς, κἂν ἡ διαστολή ποτε γένηται βραδυτέρα τῆς ἔμπροσθεν, ἀλλ' ἥ γε συστολὴ τάχος προσκτᾶται. συναιρεῖται δέ τι καὶ τῆς ἐκτὸς ἡσυχίας, ὡς πυκνότερον ἐνταῦθα γίνεσθαι τὸν σφυγμὸν, οὐ μὴν κατά γε τὴν ἐντὸς, ἀλλ' ἤτοι τῷ πρόσθεν ὡσαύτως, ἢ βραχεῖ τινι κατὰ τὸν καιρὸν τοῦτον ἀραιότερος φαίνεται.

accessionis. Quemadmodum autem ingredienda ea sit exercitatio, copiosissime in libris De dignoscendis pulsibus declaravimus. Certissimum est hoc signum, illique maxime est fidendum aperte ad dignotiones conspicuo. Equidem in multis, quorum antea pulsum nunquam tetigeram, nec per sanitatem nec per morbum, hoc fretus uno signo nunquam sum lapsus. Nam caeteris quidem omnibus, sive frigescat totum corpus, sive os ventriculi, quem per abusum vocamus stomachum, sive deferatur sanguis in profundum, vel ex moerore, vel metu, vel alia de causa, similis tarditas est pulsus et in arteriae distentione et contractione. Jam ei etiam conjuncta est in utraque quiete raritas; in solis vero invasionibus febrium ut distentio interim tardior fiat priore, certe contractio celeritatem nanciscitur. Ad haec restringit externas quietes, ut hic pulsus crebrior evadat; at non in internas; sed vel perinde ut in priore, vel paulo rarior id

παραβάλλειν δὲ δηλονότι χρὴ τὴν ἔμπροσθεν ἡσυχίαν ὡς πρὸς τὴν ἁφὴν τῇ νῦν φαινομένῃ, μεμνημένον μὲν ὅτι σύνθετός ἐστιν ἔκ τε τοῦ πέρατος τῆς συστολῆς καὶ τῆς ἀρχῆς τῆς διαστολῆς καὶ τῆς μεταξὺ τούτων ἠρεμίας, ἐκλογιζόμενον δ' ὅσον ἑκατέρωθεν αὐτῇ προσῆλθεν, ἐκ τοῦ μὴ φαινομένου μορίου τῶν κινήσεων, αὐτὸ δὲ δὴ τοῦτο πάλιν ἐκλογίζεσθαι τῷ τόνῳ παραμετροῦντα. εἰ μὲν γὰρ ὡσαύτως ἔχει τόνου νῦν τε καὶ πρόσθεν ὁ σφυγμὸς, εἰς ὅσον ἂν ὁ χρόνος τῆς αἰσθητῆς ἡσυχίας γένηται μακρότερος εἰς τοσοῦτο καὶ καὶ τὴν ὄντως ἡσυχίαν ἡγεῖσθαι μεμηκύνθαι. εἰ δ' ἀμυδρότερος ἢ πρόσθεν γένοιτο, λογίζεσθαί τι καὶ διὰ τοῦτ' ἀποκεκρύφθαι τῶν κινήσεων, ὅπερ ὑφαιρεῖν χρὴ τῆς αἰσθητῆς ἡσυχίας εἰς τὴν τῆς ὄντως εὕρεσιν. εἰ γὰρ ὀλίγῳ μέν τινι τοῦ πρόσθεν ὁ σφυγμὸς ἀτονώτερος γένηται, πολλῷ δὲ ἀραιότερος, ἡγητέον ἐκτετάσθαι τὴν ὄντως ἡσυχίαν. εἰ δ' ἀτονώτερος μὲν πολλῷ, βραχεῖ δ' ἀραιότερος ὡς πρὸς τὴν αἰσθητὴν διάγνωσιν, οὐκέτι καὶ τὴν ὄντως ἡσυχίαν τὴν ἔνδον ἡγητέον ἐκτετάσθαι. [292] κατὰ δὲ τὸν αὐτὸν τρόπον εἰ τοῦ σφυγμοῦ βραχεῖαν ἀτονίαν προσλαβόντος, ἀξιολόγως τινὶ

temporis videtur. Comparanda vero eft prior quies quantum ad tactum praefenti; hocque memoria tenendum, conflatam effe eam ex fine contractionis et initio diftentionis, atque ex interpofita inter has quiete; tum expendendum, quantum utrinque ei ex parte motuum delitefcente acceffit, id quod exponendum eft comparando cum contentione. Nam fi aeque pulfus contentus nunc fit ac ante fuit, quanto tempus fenfibilis quietis longius fiat, tantum etiam eft putandum effe revera protractam quietem, fi languidior quam prius effectus eft, arbitrandum eft et ob hoc partem abfconditam effe motuum, quae quieti, quam fentimus, ad veram inveniendam detrahenda eft. Nam fi paulo pulfus quam ante languidior appareat, multo autem rarior, veram quietem puta effe productam, fin multo remiffior et rarior paulo, ut fenfus judicat, minime cenfebis protenfam effe veram quietem. Eodem modo, fi quum parvam remiffionem affequutus pulfus eft, infigniter tibi crebritas videatur

φαίνοιτο τὰ τῆς πυκνότητος ἐπιτετάσθαι, συναιρεῖσθαι λογιστέον τὴν ὄντως ἡσυχίαν. ἐφ᾽ ὧν μὲν οὖν ἀμυδρότερος ὁ σφυγμὸς ἐγένετο κατὰ τὸν τῆς διαγνώσεως καιρὸν, ὡς εἴρηται, λογιστέον. ἐφ᾽ ὧν δ᾽ ὡσαύτως ἔχει τόνου, σαφεστάτη διάγνωσις ἐπὶ τούτων ἐστὶ καὶ τῆς ἐντὸς ἡσυχίας, ὡς λέλεκται, σκοπουμένοις. ὅταν οὖν ποθ᾽ ὁ σφυγμὸς ἄτρεπτος μὲν ὢν τἄλλα θάττων γένηται κατὰ τὴν συστολὴν, ἀρχῆς παροξυσμοῦ σημεῖον ἀχώριστον τίθεσο. γίγνεται δ᾽ εὐθὺς τοιοῦτος σφυγμὸς καὶ πυκνότερος κατὰ τὴν ἐκτὸς ἡσυχίαν, ἐπειγομένης τῆς φύσεως ὑποτρίψασθαι τὸ καπνῶδες περίττωμα, διὸ θᾶττον συνεστέλλετο. κατὰ μὲν (146) οὖν τὴν πρώτην ἀρχὴν τῆς γενέσεως αὐτοῦ τῷ τάχει τῆς συστολῆς μόνον ὁ σφυγμὸς παραλλάττων φαίνεται τοῦ πρόσθεν, ὀλίγῳ δ᾽ ὕστερον καὶ πυκνοῦσθαι κατὰ τὴν ἐκτὸς ἠρεμίαν, πρωϊαίτερον ἀρχομένης συστέλλεσθαι τῆς ἀρτηρίας. τοῖς δ᾽ ἐφημέροις πυρετοῖς οὐχ ὑπάρχει τοῦτο, διὰ τὸ χωρὶς σήψεως γίγνεσθαι χυμῶν. οὐ μὴν οὐδὲ τοῖς ἑκτικοῖς, ὅτι μηδὲ ἄρχονταί ποτε, πλὴν εἰ συνέλθοι κατὰ τύχην ἑτέρα τις διάθεσις αὐτοῖς, ὥστ᾽ ἐφ᾽ ὧν ζητεῖται μάλιστα πυρετῶν ἡ ἀρχὴ τῶν παροξυσμῶν,

aucta, contractam arbitrare veram quietem. Itaque in quibus languidior pulfus eft factus, tempore, quo exploramus, animadvertendum eft; in quibus vero pari eft contentione, in his facile, uti diximus, fi animum advertas, interna quies dignofcitur. Proinde quum nihil pulfus variet nifi in contractione fit celerior, id habe initii acceffionis fignum perpetuum, fimulque fit hic pulfus in externa quiete crebrior, natura incumbente ad excrementum fumofum propulfandum, quamobrem celerius contrahebatur. Ac fic quidem celeritate tantum contractionis, quum primum id generatur, variare a priore pulfus videtur; paulo poft etiam fieri creber in externa quiete, quod citius arteria confidere incipiat. At diariae febres non habent hoc, quod fine humorum putredine fiant, nec jam etiam hecticae, quod nifi alter cum iis affectus cafu coëat, ne incipiant quidem unquam. Ita in quibus praefertim febribus quaeritur acceffionum initium,

Ed. Chart. VIII. [292.] Ed. Baf. III. (146.)

ἔχειν ἡμᾶς δεῖ διαρκὲς τὸ σημεῖον. εἰ δὲ κατὰ τὴν πρώτην ἡμέραν ἄρτι μεταπίπτοντος ἐξ ὑγείας εἰς νόσον ἀνθρώπου τινὸς ἁπτοίμεθα τῶν σφυγμῶν, εὐθὺς καὶ τὸ γένος ἡμῖν ἐνδείξεται τοῦ πυρετοῦ τὸ σημεῖον τοῦτο, συνεισβάλλων γὰρ τῷ παροξυσμῷ τῶν ἐπὶ σήψει τινὶ χυμῶν τὸν πυρετὸν εἶναί φησιν. ἐδείχθησαν δ' ἐν ταῖς τῶν πυρετῶν διαφοραῖς ἐκ ταὐτοῦ γένους ὄντες τῷδε καὶ οἱ ἐπὶ ταῖς φλεγμοναῖς. ἀλλὰ διοριστέον αὐτοὺς τῶν ἐπὶ σήψει χυμῶν μόνῃ τῇ σκληρότητι. σκληρὰ γὰρ ἡ προσβολὴ τῶν ἐπὶ φλεγμοναῖς. εἰ μὲν οὖν διαγινώσκειν δύναιο τὴν ἐπὶ τάσει τῆς ἀρτηρίας σκληρὰν προσβολὴν τῆς ἐπὶ ψύξει τε καὶ σκληρότητι, τρεῖς ἕξεις ἐκ τούτου προγνώσεις αἰτίων προγεγονότων, ποτὸν ψυχρὸν, οἶνον ἀκρατέστερον, φλεγμονὴν, ἣν οὐ μόνον ἔμπροσθεν τοῦ παροξυσμοῦ γεγονὸς αἴτιον, ἀλλὰ καὶ παραμένον ἐροῦμεν. τὴν δὲ τοῦ ψυχροῦ τε καὶ τοῦ πλέονος ἀκράτου πόσιν, αὐτὴν μὲν προγεγονέναι, τὴν δ' ἀπ' αὐτῆς διάθεσιν ἔτι φυλάττεσθαι. σκληρύνονται μὲν οὖν ἐπὶ ταῖς βλαψάσαις ψυχροποσίαις οἱ χιτῶνες τῶν ἀρτηριῶν, ἐξήρανται δὲ ἐπὶ ταῖς τοῦ πλείονος

tenere nos hoc infeparabile fignum debemus. Quod fi primo die quum recens de fanitate homo in morbum incidit, pulfum tangamus, ftatim nobis genus etiam febris hoc fignum ante oculos proponet, una enim invadere cum febrium acceffione, quae putredinis alicujus humorum comites fint perhibent. Jam in differentiis febrium docuimus in eodem genere, quo hunc, pulfus effe, qui ab inflammatione excitantur, fed a pulfibus ab humorum putredine concitatis hi fola duritie difcernentur, fiquidem pulfuum ortorum ex inflammationibus durus eft occurfus. Quare fi durum occurfum, quem efficit contentio arteriae, difcernere ab eo vales, quem generat frigiditas et durities, tres praedicere hinc caufas praeteritas poteris, potum frigidae, meracius vinum, inflammationem; quam non folum ante caufam fuiffe acceffionis, fed permanere etiam dicimus; frigidae atque largioris meri potum anteceffiffe eum quidem, fed quem concitavit, affectum adhuc durare. Ac indurefcunt quidem ex nocuis frigidae potionibus arteriarum tunicae, et

οἶνον πόσισιν. εἰ δὲ καὶ τῆς τῶν νεύρων ἀρχῆς ὁ οἶνος ἅψαιτο, καὶ τείνονται παραπλήσιον τοῖς προδηλοῦσι τὸν σπασμόν. ἐπὶ δὲ ταῖς φλεγμοναῖς ἄνευ τῆς τοῦ χιτῶνος οἰκείας σκληρότητος τείνονται, καὶ καλεῖται μὲν καὶ τότε σκληρὸς ὁ σφυγμὸς διὰ τὸ τῆς πληγῆς βίαιον, οὐ μὴν ἐσκλήρυνταί γε κατὰ τὸν ἑαυτῆς λόγον ἡ ἀρτηρία, καθάπερ ὅταν ἤτοι ξηρανθῇ πως, ἢ ψυχθῇ βίαιον, ἢ οἷον σκιῤῥώδη τινὰ δέξηται διάθεσιν. ταυτὶ μὲν οὕτω διωρίσθω. τοὺς δ' ἐν τῇ πρώτῃ τῶν ἡμερῶν μηδόλως ἔχοντας τὸ λελεγμένον γνώρισμα, τῶν μὲν ἐπὶ σήψει χυμῶν ἀφοριστέον ἐστὶν, ἤτοι δ' ἐφημέρους νομιστέον ἢ ἑκτικούς. σπανιώτατα μὲν οὖν εὐθὺς ἐξ ἀρχῆς συνίσταται πυρετὸς ἑκτικὸς, οὐ μὴν ἀδύνατός γε οὐδ' ἡ τοιαύτη γένεσις αὐτοῦ, ἀλλ' ὤφθησάν που ἡμῖν καὶ οἱ τοιοῦτοι. τὰ μὲν οὖν ἄλλα πάντ' αὐτῶν γνωρίσματα δι' ἑτέρας εἴρηται πραγματείας, ἐν ᾗ περὶ τῆς τῶν πυρετῶν διαφορᾶς ἐσκοπούμεθα· τὰ δὲ ἀπὸ τῶν σφυγμῶν εἰρήσεται νῦν, οὔθ' ὁ μέγας οὔθ' ὁ σφοδρὸς [μὴ σκληρὸς] σφυγμὸς ἅμα τοῖς ἑκτικοῖς ποτε συνεισβάλλουσι πυρετοῖς, ἀλλ' ὅτι περ ἂν ὑπάρχῃ

a vino immodice poto deficcantur, nam fi nervorum fimul principium laedat vinum, etiam intenduntur non aliter atque illae, quae convulfionem praenunciant. In inflammationibus vero absque propria tunicae duritie tenduntur, vocaturque pulfus tum etiam durus ob vim ictus; non induruit tamen per fe arteria, quomodo quum vel deficcata fit aliqua ratione, vel magnopere perfrigerata, vel affectum comparaverit fcirrhofum. Atque haec quidem fic diftinguo. Quae primo die nequaquam obtinent iftud fignum, a febribus putridis feparabis, ac vel diarias cenfebis, vel hecticas. At febris hectica rariffima a primo exiftit, quin tamen id temporis poffit nafci, nihil caufae eft, fed vidimus etiam nonnunquam tales. Reliqua harum omnia figna alio in opere explicata funt, ubi de differentiis febrium tractavimus. Quae vero pulfus fuppeditant, nunc perfequemur. Nec magnus pulfus, nec vehemens cum hecticis febribus unquam concurrunt, fed fi alterutrum habeant horum, non funt

Ed. Chart. VIII. [292. 293.] Ed. Baf. III. (146.)

τούτων αὐτοῖς, οὐκ εἰσὶν ἑκτικοί. εἰ δὲ καὶ πάνθ' ἅμα παρείη, προφανῶς εἰσιν ἐφήμεροι, τῆς γε συστολῆς αὐτῶν, ὡς εἴρηται, μὴ ταχυνούσης, ἴδιον γὰρ ἐκείνης τὸ τάχος ἐστὶν ἐπὶ σήψει χυμῶν, ὧν τὰς κατὰ μέρος ἁπάσας διαφορὰς ἐν τῇ προειρημένῃ πραγματείᾳ διῆλθον. εἰσὶ δ' ὡς ἐπὶ κεφαλαίων φάναι πάντες μὲν οἱ κατὰ περιόδους παρο[293]ξυνόμενοι, πάντες δ' οἱ συνεχεῖς, ὅταν ὑπὲρ τὴν τρίτην ἡμέραν ἐκταθῶσιν. ἐκ ταὐτοῦ δὲ αὐτοῖς εἰσι γένους καὶ οἱ ταῖς φλεγμοναῖς ἐπιγινόμενοι. κατὰ μὲν οὖν τὰς παρακμὰς ἐκλύεται τὸ τάχος τῆς συστολῆς, καὶ μάλισθ' ὅταν εἰς ἀπυρεξίαν, ἢ ἐγγὺς αὐτῆς ἀφίκωνται, κατὰ δὲ τὰς ἀρχὰς τῶν παροξυσμῶν γεννᾶται, τυφομένων τρόπον τινὰ τῶν χυμῶν, ἐπιτείνεται δὲ κατὰ τὰς ἀναβάσεις. ἐγγὺς δ' ἤδη τῆς ἀκμῆς ἐξημμένων τε τῶν χυμῶν καὶ ζεόντων ἀθρόαν μὲν αὔξην τὸ τάχος τῆς διαστολῆς λαμβάνει, διαμένει δὲ ἴσον ἑαυτῷ τὸ τάχος τῆς συστολῆς. ὅταν δ' ἀκμάσῃ τελέως ὁ πυρετὸς, εἰς ἄκρον μὲν ἥκει τοῦ κατ' ἐκεῖνον τὸν παροξυσμὸν τάχους ἡ διαστολὴ, μειοῦται δὲ τὸ τάχος τῆς συστολῆς. οἱ μὲν οὖν

hecticae; fi fimul utrumque habeant, plane funt diariae, fi quidem eorum contractio, quemadmodum diximus, non properet. Propria enim eft ejus, quae confequitur putredinem humorum, celeritas; cujus fingulas differentias in commentariis, quorum memini, fum perfecutus. Hae funt, ut fummatim commemorem, omnes quae per circuitus incandefcunt, atque omnes continuae, ubi tertium diem fuperent. Ejusdem generis funt quae inflammationes comitantur. Ac in declinationibus celeritas contractionis diffolvitur, praefertim quum ad integritatem, aut prope eam pervenerint; initio acceffionum generatur, quum aliqua ratione humores intendantur; ac per incrementum augetur, ubi prope jam attigerint vigorem, fuccenfis humoribus; fervefcentibusque ingens incrementum fufcipit diftentionis celeritas, contractionis permanet par celeritas; ubi jam viget plane febris, in illa acceffione ad fummam celeritatem distentio pervenit, et minuitur celeritas contractionis. Verum

πλεῖστοι τῶν ἰατρῶν, καὶ μάλισθ' ὅσοι τὴν συστολὴν ἀδιάγνωστον αἰσθήσει φασὶν ὑπάρχειν, οὐδ' ἐγγὺς ἥκουσι τοῦ λελεγμένου σημείου, τῶν τε ἐπὶ σήψει χυμῶν ἁπάντων πυρετῶν τῆς τε καθ' ἕκαστον αὐτῶν παροξυσμὸν ἀρχῆς. ὀλίγιστοι δέ τινες ἀμυδρὰν εἰκόνα τοῦ πράγματος ἐοίκασιν ἑωρακέναι. γράφουσι γοῦν ἀδιορίστως τε καὶ ἀσαφῶς εἰς τοσοῦτον ὡς μηδ' εἰκάσαι μηδένα τί ποτε βούλονται δηλοῦν. ἐξ αὐτῶν ἐστι καὶ ὁ Ἀρχιγένης, ὡς ἔνεστι γνῶναι τῷ βουληθέντι τό τε περὶ σφυγμῶν αὐτοῦ βιβλίον ἀναγνῶναι καὶ τὰ περὶ τῆς τῶν πυρετῶν σημειώσεως, ἢ τὴν γ' ἐπιτομὴν αὐτῶν. ἐπεσκέμμεθα δὲ καὶ ἡμεῖς ἅμα ταῖς τῶν ἀσαφῶν ἐξηγήσεσιν ἐν ὑπομνήμασιν ὀκτὼ τὴν περὶ τῶν σφυγμῶν αὐτοῦ πραγματείαν. ἄριστα δέ μοι δοκοῦσιν ἀποφήνασθαί τινες, εἰ προσθείημεν αὐτῷ τῷ λόγῳ διορισμόν τινα, τὴν ἐφ' ἑκάτερα μεταβολὴν τῶν σφυγμῶν, ἀρχῆς παροξυσμοῦ σημεῖον ὑπάρχειν. ὃν δέ φημι χρῆναι προσθεῖναι διορισμὸν, ἔστιν εἰ χωρὶς ἑτέρας προφάσεως ἡ ἀλλοίωσις γένοιτο. προφάσεις δ' ἔνιαι μὲν ἔξωθέν εἰσιν, οὐ μόνοις τοῖς ἰατροῖς, ἀλλὰ καὶ τοῖς

plerique medici, praecipue qui fenfu negant contractionem percipi poffe, longe abfunt a figno, quod expofuimus, omnium febrium ex putredine ortarum, initiique in illis fingularum acceffionum. Nonnulli, fed fane pauci, obfcuram imaginem rei videntur confpexiffe; quamobrem adeo confufe atque obfcure fcribunt, ut qui conjicere valeat quid dicant fit nemo. In his Archigenes eft, quod videbis, fi librum ejus de pulfibus legere velis, et commentarios de fignis febrium, aut certe horum compendium; et vero nos etiam libros ejus de pulfibus una cum interpretatione obfcurorum locorum expendimus atque examinavimus octo commentariis. At vero mihi quidam videntur optime dixiffe, fi adjecerimus fermoni quandam diftinctionem, pulfuum ex utraque parte mutationem, initii acceffionis effe nunciam. Quam adjunctam diftinctionem volo, ea haec eft, fi mutatio citra aliam occafionem acciderit. Caufae autem partim externae funt non medicis modo, fed plebi etiam perfpectae,

ἰδιώταις γνώριμοι, τροφῶν καὶ ποτῶν προσφορὰ, καὶ κίνησις ἡτισοῦν καὶ πάθος ψυχικὸν ὀργισθέντων, ἢ φοβηθέντων, ἢ ἀγωνισάντων, ἡ ὁπωσοῦν ἑτέρως ταραχθέντων. ἔνιαι δ' ἐξ αὐτοῦ τοῦ σώματος ὁρμώμεναι, περὶ ὧν ὀλίγον ἔμπροσθεν εἶπον, ἡνίκα φρίκης τε καὶ ῥίγους καὶ καταψύξεως, ἔτι τε τῶν εἰς τὴν γαστέρα συῤῥεόντων ἐμνημόνευσα. μηδενὸς γὰρ τοιούτου περὶ τὸν κάμνοντα συμβαίνοντος, ἡ ἐξαιφνίδιος ἐφ' ὁτιοῦν μεταβολὴ παροξυσμὸν ἀγγέλλει, θάττονος μὲν καὶ μείζονος γινομένου τοῦ σφυγμοῦ, θερμασίας ὑποτρεφομένης τῇ τῶν ἀρτηριῶν ἀρχῇ, βραδυτέρου δὲ ἢ μικροτέρου, ψύξεως. οὕτω δὲ καὶ ἡ μὲν πυκνότης ὁμολογήσει τῇ πλεονεξίᾳ τῆς θερμασίας, ἡ δ' ἀραιότης τῇ ψύξει. καὶ ἡ ἀμυδρότης δὲ καίτοι δι' ἄλλο τι σύμπτωμα γινομένη ταῖς τῶν παροξυσμῶν εἰσβολαῖς ἐστιν οἰκεία, συῤῥεόντων ὑγρῶν μοχθηρῶν εἰς τὴν γαστέρα τηνικαῦτα, καὶ τῇ τοῦ στόματος αὐτῶν βλάβῃ κακούντων τὴν δύναμιν. ἡ δὲ ἀνωμαλία τῶν σφυγμῶν, ἡ πολλοῖς τῶν παροξυσμῶν συνεισβάλλουσα θλιβομένων, ἢ ἐμφραττομένων ὑπόγυον ἀρτηριῶν, ἢ πλήθους τοῦ πρὸς τὴν δύναμίν ἐστι γνώρισμα, λόγῳ καὶ τούτων τοῦ παροξυσμοῦ γίγνεσθαι

cibus et potus fumptus, quivis motus, et animi affectus iratorum, aut metu percitorum, aut angore, aut quomodolibet aliter commotorum; partim ex ipfo corpore originem ducunt, de quibus paulo ante verba feci, ubi horroris, rigoris, refrigerationis atque confluentium in ventrem mentionem facerem. Nam fi laboranti tale nihil acciderit, repentina, in quamcunque rem fit, mutatio acceffionem praemonet; fi celerior majorque pulfus fiat, calorem in arteriarum fonte fubali; fi tardior vel minor, frigiditatem. Itemque confentiet crebritas cum caloris abundantia, contra cum frigiditate raritas. Et remiffio etiam, quamvis alio ex fymptomate oriatur, peculiaris eft acceffionum initiis, quod in ventrem tum confluant humores vitiofi, atque laefo ejus ore facultatem afficiant. At pulfuum inaequalitas, quae fere invadit una cum acceffionibus, compreffarum, vel obftructarum non arteriarum, aut copiae humorum ad facultatem relatae, eft fignum, quae etiam ratione acceffionis

δυναμένων. ὅσαι μὲν οὖν μεταβολαὶ σφυγμῶν ἤτοι τῆς ἐν τῇ καρδίᾳ θερμασίας αὐξανομένης ἢ συῤῥεόντων ἔσω τῶν χυμῶν ἀποτελοῦνται, φανερῶς ἂν αὗται δόξαιεν ἐνδείκνυσθαι παροξυσμὸν ἀρχόμενον, ὅταν γ', ὡς εἴρηται, τῶν ἄλλων ἀφορισθῶσι προφάσεων. ὅσαι δὲ ψύξεως, οὐκ ἔτ' ἐξ ἀνάγκης αὗται δείξουσι πυρετὸν εἰσβάλλοντα σημαίνειν· ἀλλ' ἐὰν κἀνταῦθα τὰς ἄλλας προφάσεις ἀφορισώμεθα ἁπάσας, ἕξομεν καὶ τὴν ψύξιν ἀγγέλλουσαν, ὅσον οὐδέπω πυρετὸν ἀναφθήσεσθαι. πνίγεται γὰρ κατ' αὐτὴν τῆς συῤῥεούσης ὕλης εἰς τὸ βάθος, ἱκανῶς ψυχρᾶς ὑπαρχούσης, ὡς κινδυνεύειν σβεσθῆναι τὴν ἀρχὴν, οἷόν τι (147) κἀκτὸς συμβαίνει πολλάκις, ὅταν ὕλην ἅμα τε πολλὴν καὶ δύσκαυστον ἐπιβάλλωμεν ἀθρόως ὀλίγῳ πυρὶ, κινδυνεύει μὲν γὰρ αὐτίκα σβεσθῆναι, μὴ σβεσθὲν δ', ἀλλ' [294] ἀντισχὸν, ὑποτύφειν τε τὴν ὕλην ὀλίγον ὕστερον ἄρξεται, καί τινα θερμασίαν γεννᾷν, τὰ μὲν πρῶτα καπνώδη, προϊόντος δὲ τοῦ χρόνου καὶ φλογώδη, μέχρι περ ἀκριβῶς κρατῆσαν τῆς ὕλης, καθαρὰν ἐργάζηται τὴν φλόγα. τῆς γὰρ τοιαύτης φλογὸς οὐ καπνός ἐστι τὸ ἀποῤῥέον, ἀλλ'

possunt accidere. Quae igitur pulsuum mutationes fiunt, quum cordis calor augetur, vel confluunt intro humores, aperte hae videbuntur accessionis initium annuntiare, siquidem, ut diximus, ab aliis causis sint remotae: quae vero, quum crescit frigiditas, hae non etiam necessario videbuntur febris accessionem nunciare, sed si hic quoque alias omnes causas secludamus, declarabit frigiditas nobis jam jamque febrem iri accensum, suffocatur enim tunc, quod materia, quae in profundum confluit, mire sit frigidior, ut periculum sit ne semel principium extinguatur. Qualia exempla extra corpus multa conspiciuntur, si quando materiam simul et multam et quae non facile succendatur, affatim in modicum ignem conjiciamus, nam statim periculum est ne extinguatur, si non extinctus sit, sed restiterit; paulo post succendere totam materiam incipiet, caloremque generabit primo fumosum, tandem etiam flammeum, dum prorsus devicta materia puram excitet flammam. Nam ab ea flamma quod defluit, non fumus, sed fuligo et fumosum ignis ex-

Ed. Chart. VIII. [294.] Ed. Bas. III. (147.)

αἰθάλη τε καὶ λιγνύς ἐστιν, ἄμφω γὰρ ὀνομάζεται τὸ κατοπτηθὲν τῆς ὕλης ἀνωφερὲς περίττωμα, καθάπερ γε τὸ κατωφερὲς τέφρα τε καὶ σποδιὰ καλεῖται. ἀνάλογον δή μοι νόει κἀπὶ τῶν πυρετῶν, ὅταν ἐν ἀρχῇ παροξυσμοῦ πλῆθος ὕλης ψυχρᾶς ἐπὶ τὴν καρδίαν ἀφίκηται, τὰ μὲν πρῶτα κίνδυνον γίνεσθαι θανάτου, καὶ προδηλώσει τὸν κίνδυνον τοῦτον ἡ ἐπὶ πλεῖστον εἰς ἀραιότητά τε καὶ βραδύτητα καὶ μικρότητα τροπὴ τῶν σφυγμῶν. ἂν γὰρ ἐπιγένηται τούτοις ἀμυδρότης ἀξιόλογος, αὐτίκα τεθνήξονται· μὴ γενομένης μέντοι τῆς ἀμυδρότητος, ἀναμάχεται τὴν ἧτταν ταύτης ἡ φύσις, ἐπεγείρει τε τὴν κίνησιν τῶν ἀρτηριῶν ἐπὶ τὸ μεῖζόν τε καὶ θᾶττον καὶ πυκνότερον, ὥστε τὰς κινήσεις ἀμφοτέρας μὲν γενέσθαι θάττονας, ἀλλ' ἐπιφανέστερον τὴν τῆς συστολῆς, καὶ παραυξάνεσθαί γε διὰ ταχέων αὐτὴν αἰσθητῶς, ἄχρις ἂν ὁ παροξυσμὸς αὐξάνηται, τῷ χρόνῳ δ' ὅταν ἐγκρατὲς τῆς ὕλης γένηται τὸ θερμὸν, ἡ οἷον φλὸξ ἀνάπτεται. καὶ τοῦτ' ἔστιν ἡ ἀκμὴ τῶν παροξυσμῶν, τὸ μὲν αἰθαλῶδες περίττωμα διά τε τῆς ἐκπνοῆς καὶ τῆς τῶν ἀρτηριῶν συστολῆς ἀποχεούσης τῆς φύσεως, τὸ δ' οἷον τεφρῶδες διὰ πάχους μὲν οὐ δυναμένης ἐκκρίνειν ὁμοίως, αἰσθητοῖς δέ τισιν ἐξοχετευούσης

crementum est; utrumque enim materiae adustum excrementum, quod in sublime fertur, significat; quod vero decidit, cinis et favilla. Ita finge in febribus, ubi acervus materiae humidae initio accessionis ad cor pervenerit, primum mortis periculum esse; quod periculum maxima mutatio pulsuum in raritatem, tarditatem parvitatemque praenunciet. Nam si his insignis remissio successerit, extemplo peribunt; sin autem absit remissio, contendit natura hanc superare, atque arteriarum motum majorem, celeriorem crebrioremque excitat, ut uterque motus celerior quidem fiat, sed clarior contractionis, increscatque hic brevi manifeste, dum augescat accessio; tandem ubi materiam superaverit, calor quasi flamma incenditur. Atque hic est vigor accessionum, ubi fuliginosum excrementum expiratione et contractione arteriarum natura expellit; quod vero est veluti cineritium, non perinde, quia crassum est, potest excernere, sed per

πόροις. ἔστι δὲ τοῦτο κατὰ μὲν τὰ φλεγμαίνοντα μόρια τὸ πῦον, ἐν δὲ τοῖς ἀγγείοις αὐτοῖς ὅπερ ἐν τοῖς οὔροις ὑφίσταται. περὶ μὲν δὴ τούτων ἐν ταῖς περὶ τῶν πυρετῶν πραγματείαις ἐπὶ πλεῖστον εἴρηται· τοὺς σφυγμοὺς δ', ὡς ἔφαμεν, ἀναγκαῖόν ἐστι τὰς εἰρημένας τροπὰς ἐν ἑκάστῳ τε καιρῷ τοῦ σύμπαντος ἔχειν παροξυσμοῦ, καὶ δὴ καὶ κατὰ τὴν ἀρχὴν, ὡς ἐλέγομεν, οὐ κακῶς ἀποφήνασθαί τινας ἅπασαν μεταβολὴν αὐτῶν ἐφ' ἑκάτερα. πρὸς δὲ τὸ φυλάττειν ἀκριβῶς τὰς εἰρημένας διαγνώσεις ἀσκητέον ἐστὶ διακρίνειν ἁπάσας τὰς ἀπὸ τῶν ἄλλων προφάσεων ἀλλοιώσεις τῶν σφυγμῶν, εἰς ἃς καίτοι φυλαττόμενος ὁ Ἀρχιγένης ἐμπίπτει πολλάκις, ὥστε μακρολογεῖν τε ἅμα καὶ ταράττειν τὴν διδασκαλίαν τοῖς ἰδίοις καὶ ἀχωρίστοις ἑκάστου τῶν καιρῶν γνωρίσμασι τὰ συνακολουθοῦντα, πολλάκις ὁμοτίμως γράφων, καίτοι γ' ἐν ἐλαχίστῳ κεῖται μεθόδῳ ληφθέντα. τὴν μὲν γὰρ καθαρὰν θερμότητα τῆς διαστολῆς ἡ κίνησις ἐνδείκνυται, τὴν δὲ οἷον καπνώδη τῆς συστολῆς. αἱ δ' ἄλλαι τῶν σφυγμῶν ἀλλοιώσεις ἤτοι διὰ τὴν τῆς δυνάμεως ἢ τὴν τῶν ὀργάνων γίνον-

insignes quosdam meatus educit; hoc in partibus inflammatis pus est, in ipsis vasis sedimentum urinae. At de his in commentariis De differentiis febrium latius diximus. Pulsus autem illas mutationes singulis temporibus accessionis necesse est habeant. Jam etiam in initio, ut diximus, non male quidam mutationem eorum in utramque partem statuerunt. Sed ad universam illorum signorum certitudinem danda opera est ut scias discernere pulsuum omnes alterationes ex aliis causis; in quas, quanquam vitet, frequenter incurrit Archigenes. Itaque in loquacitatem et institutionis confusionem incidit, quum propriis et perpetuis singulorum temporum signis commisceat ea quae frequenter consequuntur; quamvis in minimo sita sint, si methodo percipiantur; nam purum calorem motus distentionis declarat, atque eum, qui est veluti fumosus, contractionis. Caeterae pulsuum alterationes, aut ob facultatis, aut ob instrumentorum fiunt

ται μεταβολήν. ἑκάτερον δὲ τούτων ἐπί τισιν ἑτέροις αἰτίοις προηγουμένοις, ὧν τὰ πλεῖστα πάλιν ἐφ᾽ ἑτέροις προκατάρξασιν. ὀνομαζέσθω γὰρ ἕνεκα σαφοῦς διδασκαλίας ὅσα μὲν ἐκ τοῦ σώματος ὁρμᾶται τῶν ἀλλοιούντων αἰτίων ἤτοι τὴν δύναμιν ἢ τὰ ὄργανα προηγούμενα· τούτων δ᾽ αὐτῶν ἔστιν ἃ πάλιν ἔξωθεν ὄντα τοῦ σώματος αἴτια τῆς ἀλλοιώσεως ἐγένετο προκατάρχοντα. λέλεκται δ᾽ ἡμῖν ἡ περὶ ταῦτα μεθόδος ἅπασα δι᾽ ἑτέρας πραγματείας, ἣν περὶ τῶν ἐν τοῖς σφυγμοῖς αἰτίων ἐπιγράφομεν. οὐδὲν οὖν θαυμαστόν ἐστιν, εἰ ταῦτά τις ἅπαντα μνήμῃ πρόχειρα ποιησάμενος ἀσκήσας τε διαγινώσκειν ἑτοίμως ἅπαντας τοὺς σφυγμοὺς ἐπιστημονικῶς, ἐνίοτε τὰ προγεγονότα τῶν αἰτίων ἐπὶ τῶν καμνόντων ἐξευρήσει. οὗτος μὲν οὖν ὁ λόγος ἐνταυθοῖ τελευτάτω.

Κεφ. η΄. Περὶ δὲ τῆς κάθ᾽ ὑγρότητά τε καὶ ξηρότητα δυσκρασίας αὐτῆς τε τῆς καρδίας καὶ προσέτι τῶν ἀρτηριῶν, ἑκάστης τε [295] καταμόνας ἁπασῶν τε κοινῶς, ἐφεξῆς δίειμι. εἴρηται μὲν οὖν τινα καὶ περὶ τούτων ἐμ-

mutationem; harum autem utraque ex caufis quibusdam antecedentibus, quae fere alias etiam externas comitantur. Ac quo fit fermo clarior, appellabimus quae ex corpore procedunt caufas unde vel facultas, vel inftrumenta alterantur, antecedentes, harum ipfarum quae pofitae extra corpus induxerunt alterationem, caufae funt externae. Harum nos methodum omnem in aliis commentariis, quos infcribimus de caufis pulfuum, expofuimus. Itaque nihil miri eft, fi expedita haec quis memoria complexus meditatusque, via fcientiam pariente ad prompte dignofcendos quosvis pulfus, caufas interim quae praeceflerunt in aegrotis inveniat. Atque hic quidem finem fermonis faciamus.

Cap. VIII. De intemperie humida et ficca quae cor teneat, ipfasque etiam arterias, et fingulas feparatim et omnes in communi, deinceps agam; de quibus etfi ante

πρόσθεν, ἀλλ' ἡ τοῦ λόγου τάξις ἰδίαν αὐτῶν ἀπαιτοῦσα διδασκαλίαν ὡς οὐδενὸς εἰρημένου περανθήσεται. ποτὲ μὲν οὖν ἡ καρδία ξηροτέρα γενομένη τοῦ κατὰ φύσιν ἁπάσας ἑαυτῇ συναλλοιώσει τὰς ἀρτηρίας, ἐνίοτε δὲ καθ' ἕν τι τοῦ ζώου μόριον, ἢ καὶ πλείω συμβήσεται τοῦτο ταῖς ἀρτηρίαις. ἔστι δὲ ὅτε τὴν ἐναντίαν μὲν ἕξουσι διάθεσιν, ὅσον ἐφ' ἑαυταῖς αἱ ἀρτηρίαι τῇ καρδίᾳ, δέξονται δὲ καὶ τὴν παρ' ἐκείνης, ὥστε συστῆναι μέσην τινὰ διάθεσιν αὐταῖς ἐν ὑγρότητί τε καὶ ξηρότητι, ὥσπερ ἔμπροσθεν ἐπὶ τῆς κατὰ θερμότητα καὶ ψυχρότητα δυσκρασίας ἐλέγομεν, αἴτια δὲ προηγούμενα τὰ μὲν τὰς ἀρτηρίας ἀποφαίνοντα ξηροτέρας, ὕδατα θειώδη καὶ στυπτηριώδη καὶ ἁπλῶς εἰπεῖν ὅσα ξηραίνειν πέφυκεν, οὐχ ὕδατα μόνον, ἀλλὰ καὶ φάρμακα πολυχρονίως ὁμιλήσαντα μορίῳ τινὶ τοῦ σώματος, ἐν ᾧπερ ἂν ἡ τοιαύτη δυσκρασία κατὰ τὰς ἀρτηρίας γενομένη τὸν σφυγμὸν αὐτὸν ἐργάσεται σκληρότερον. οὐχ ἥκιστα δὲ κἂν ταῖς πλείσταις τῶν ἀτροφιῶν αἵ τ' ἀρτηρίαι τῶν ἀτροφούντων μορίων γίνονται ξηρότεραι καὶ

ego nonnihil attigi, tamen orationis seriem, quae tractari hic separatim postulat, ac si dixissemus nihil, ita absolvemus. Nam cor quandoque, si siccius evaserit quam naturalis status fert, una omnes secum arterias alterabit; quandoque vero in una hoc parte animalis arteriis, vel in pluribus accidet; est quum sint contra quidem ac cor affectae, quod ad se ipsas pertinet, arteriae, sed tamen etiam recipiant ejus affectionem, ut confletur illis medius quidam affectus in humiditate et siccitate, sicut ante in caloris et frigiditatis intemperie explicavimus. Causae sunt antecedentes, quae arterias indurent, aqua sulfurea et aluminosa et, ne multis, quaecunque vim habent exiccandi, non aquae modo, sed et medicamenta, diu parti cuipiam corporis applicata, cujuscunque arterias haec intemperies tenuerit, ipsum pulsum reddit duriorem. Maxime vero in plerisque atrophiis, quum arteriae partium nutritione de-

Ed. Chart. VIII. [295.] Ed. Baf. III. (147.)

τὸν σφυγμὸν ἀποφαίνουσι σκληρότερον. ἐν αὐτῇ δὲ τῇ καρδίᾳ τὴν κατὰ ξηρότητα δυσκρασίαν ἀποτελεῖ. καὶ ἡ δίαιτα μὲν εἰ πολυχρόνιος ἐπὶ τὸ ξηρότερον ἀχθείη, καὶ μέντοι καὶ τῶν φαρμάκων τῶν ξηραινόντων ἐδωδαί τε καὶ πόσεις, ἐν οἷς ἐστι καὶ ὁ ἄκρατος οἶνος, ἔνδειά τε τροφῆς, ἢ κατὰ ἄλλην τινὰ αἰτίαν, ἢ διὰ πάνδημον λιμὸν, ἐνίοτε δὲ καὶ ποτὸν, ὡς ἐν ἀπλοΐαις μακραῖς, ἔτι δὲ πόνων ἀμετρία καὶ γῆρας καὶ φροντὶς καὶ λύπη καὶ ἀγρυπνία πολυχρόνιος, οἵ θ' ἑκτικοὶ πυρετοὶ, καὶ μάλισθ' ὁ μαρασμώδης. ταῦτ' οὖν πάντα τὰ εἰρημένα καὶ κατὰ μόνας γενόμενα καὶ σύνδυο καὶ τρία καὶ πλείονα συνιόντα ξηροτέραν μὲν ἐργάζεται τὴν καρδίαν, σκληρότερον δὲ τοῦ κατὰ φύσιν εἰς τοσοῦτον τὸν σφυγμὸν εἰς ὅσον ἂν ἡ ξηρότης αὐξηθῇ. ὑγρᾶς δὲ δυσκρασίας αἴτια τά τε τοῖς μορίοις ἐγγινόμενα πολυχρόνια τῶν οἰδημάτων καὶ οἱ λευκοφλεγματίαι τῶν ὑδέρων, οἳ καὶ τὴν καρδίαν ἀλλοιοῦσι, καὶ μέντοι καὶ τὰ τῶν κυρίων σπλάγχνων οἰδήματα, πάντα ταῦτα τὰς μὲν ἀρτηρίας ὑγρὰς, ὥσπερ καὶ τὴν καρδίαν, τοὺς σφυγμοὺς δὲ ἐργάζεται μαλακούς. αἴτια δὲ μαλακότητος σφυγμῶν

fectarum fiunt duriores, tum pulfum creant duriorem. In ipfo vero corde intemperiem creat victus, fi diutius ficco utaris; praeterea medicamentorum exiccantium efus et potio, in quibus eft vinum merum, defectus cibi, vel alia quapiam de caufa, vel ob famem publicam; interim etiam ob potum, ut in longis navigationibus; ad haec immodicus labor, fenium, folicitudo, triftitia, diutinae vigiliae, febris hectica, prae caeteris marcida. Haec igitur quae memoravimus omnia, nunc fingula, nunc bina, nunc terna, nunc plura conjuncta, cor ficcius efficiunt, tantoque quam par eft duriorem pulfum quanto fit ficcitas major. Caufae humidae intemperiei funt oedemata, quae partes diutius tenuerunt, hydrops leucophlegmatia, qui item cor alterat; denique omnia principum vifcerum oedemata, quum arterias humectant et cor, tum pulfus efficiunt molles. Pulfuum caufae mollitiei mediocris, nec

ἐστι μετρίας τε καὶ οὐχ ἱκανῶς ἐκδήλου καὶ τὰ τοιαῦτα, ἐδωδαὶ πλείους ὑγραινόντων ἐδεσμάτων, ἀργία τε πολλὴ, καὶ ὕπνοι μακροὶ, καὶ τὰ μετὰ τροφὴν λουτρά. τοῖς μὲν οὖν σκληροῖς σφυγμοῖς ἐδείκνυτο πρόσθεν ἑπομένη ἡ μικρότης, ὥσπερ τοῖς μαλακοῖς τὸ μέγεθος. αὐτοῖς δὲ τούτοις πάλιν ἑπόμενα τάχος τε καὶ βραδύτης, ἔτι τε πυκνότης καὶ ἀραιότης. ἐδείχθησαν δὲ καὶ τῶν ἄλλων αἰτίων αἱ συζυγίαι. λέγω δ' αἴτια νῦν τὰ πρῶτά τε καὶ οἷον συνεκτικὰ τῆς τῶν σφυγμῶν γενέσεως, τὴν χρείαν τε (148) καὶ τὴν δύναμιν. ὥστε οὐδὲν ἔτι λείπει τῶν τῇ καρδίᾳ συμβαινόντων ἐπὶ δυσκρασίᾳ. οὐ μὴν οὐδ' ὄγκοι τινὲς ἐν αὐτοῖς γίνονται τοὺς σφυγμοὺς ἀλλοιοῦντες εἰς σκληρότητα, καθάπερ ἐφ' ἑτέρων σπλάγχνων αἱ φλεγμοναί τε καὶ οἱ σκίῤῥοι. φθάνει γὰρ ἀπολέσθαι τὸ ζῶον, συγκοπὲν ἐπὶ τῇ τῶν τοιούτων ὄγκων γενέσει. πάντ' οὖν εἴρηται τὰ κατὰ τὴν καρδίαν, ὅσα τοὺς σφυγμοὺς ἀλλοιοῖ. ὥστε κἀμοὶ καιρὸς ἥκει καταπαύειν μὲν ἤδη τὸν ἐνεστῶτα λόγον ἐν τῷδε, μεταβάντι δ' ἐπὶ τὸν τέταρτον ἁπάντων τῶν ἄλλων μορίων τῶν τοῦ σώματος ἐξηγήσασθαι

infignis hae funt: ciborum copia humidiorum, multum otium, fomnus longus, balneae a cibo. Durorum pulfuum ante demonftravimus effe parvitatem, mollium magnitudinem, jam etiam has confequi celeritatem et tarditatem, ad haec crebritatem et raritatem. Declaravimus praeterea aliarum caufarum conjugationes; caufas nunc dico primas et quafi continentes generationis pulfuum, ufum et facultatem. Itaque accidentium cordis ex intemperie nihil jam reliquum eft. At non tamen tumores in illo excitantur, qui pulfus alterent in duritiem, quemadmodum in caeteris vifceribus inflammationes et fcirrhi, prius enim pereat homo fyncope correptus in illorum tumorum ortu. Omnia igitur quae cordi accidunt, quae pulfus mutent, retuli; quamobrem hic finire hunc librum tempeftivum vifum eft mihi, ac progreffo ad quartum omnium aliarum corporis par-

τὰς διαθέσεις, ὅσαι τε κατὰ δυσκρασίαν τινὰ γίνονται καὶ ὅσαι δι᾽ ὄγκους παρὰ φύσιν, ὁποῖός τέ τις ἑκάστῃ σφυγμὸς ἕπεται.

tium exponere affectus, quicunque intemperiem et tumorem praeter naturam comitantur, ac qui pulſus ſingulos conſequitur.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΠΡΟΓΝΩΣΕΩΣ ΣΦΥΓΜΩΝ ΒΙΒΛΙΟΝ Δ.

Ed. Chart. VIII. [296.] Ed. Baf. III. (148.)

Κεφ. α'. Τέταρτος ἡμῖν οὗτος ὁ λόγος ἐστὶ τῆς διὰ σφυγμῶν προγνώσεως, ἐν μὲν τοῖς πρώτοις δύο καθ' ἕκαστον σφυγμὸν προβληθέντα τὰς γεννώσας αὐτὸν ἐπισκεψαμένοις διαθέσεις, ἐν δὲ τῷ τρίτῳ καθ' ἑκάστην διάθεσιν τοὺς οἰκείους σφυγμοὺς ἐξευροῦσιν. ἠρξάμεθα δ' ἀπὸ τῶν τῇ καρδίᾳ συμβαινόντων, ἐν οἷς εἰσι καὶ πυρετοὶ πάντες, ὡς ἐν τοῖς ὑπὲρ αὐτῶν ἐπιδέδεικται λόγοις. ὅπερ οὖν ὑπόλοιπον ἔτι, τὰς ἐν τοῖς ἄλλοις ἅπασι μορίοις τοῦ ζώου διαθέσεις, αἷς ἡ καρδία συμπάσχουσα τοὺς σφυγμοὺς ἀλλοιοῖ, διέλθωμεν ἁπάσας

GALENI DE PRAESAGITIONE EX PVLSIBVS LIBER IV.

Cap. I. Quartus hic liber nobis eft de praefagitione ex pulfibus. In primis duobus fingulorum pulfuum pofitorum expendimus auctores affectus, in tertio fingulorum affectuum proprios pulfus inveftigavimus; coepimus autem ab iis quae cordi accidunt, in quibus funt omnes febres, ut in libris, quos de iis fcripfimus, probavimus. Quod reliquum eft adhuc, aliarum omnium partium affectus, quibus cor confentiens commutat pulfus, omnes ordine ex-

ἑξῆς, ὥσπερ καὶ τἆλλα πρόσθεν εἰς μέθοδον ἄγοντες. ἓν μὲν δὴ τοῦτο μόνον ἁπασῶν αὐτῶν κοινὸν ἐπίστασθαι χρὴ, τὸ μηδέποτε δύνασθαι τοὺς ἐν ὅλῳ τῷ ζώῳ σφυγμοὺς εἰς κοινὴν ἀλλοίωσιν ἀχθῆναι, πρὶν τὴν καρδίαν συμπαθεῖν τῷ προτέρῳ πεπονθότι μορίῳ, κατὰ μέρη δέ τινα τοῦ σώματος, ἀλλοιωθῆναί τινας ἀρτηριῶν κινήσεις δύνασθαι, καὶ χωρὶς τοῦ πρὸς τὴν καρδίαν ἐξικέσθαι τὴν βλάβην. ἐπὶ δὲ τούτῳ μνημονευομένῳ πρώτας μὲν ἐπέλθωμεν ὅσαι τοῖς ἀναπνευστικοῖς ὀργάνοις ἐγγίνονται διαθέσεις, εἶθ᾽ ἑξῆς ὅσαι τοῖς τροφικοῖς ὀνομαζομένοις, εἶτ᾽ αὖθις ὅσαι τοῖς κατὰ κεφαλὴν, καὶ τελευταίας ὅσαι τοῖς κατὰ κῶλα καὶ τὰ προφανῆ τοῦ ζώου μέρη, κᾄπειθ᾽ ὅσαι τοῖς γεννητικοῖς.

Κεφ. β'. [297] Τὰ μὲν οὖν ἀναπνευστικὰ μόρια τοῦ ζώου δύο ἐστὶ μόνα, πνεύμων καὶ θώραξ· τὰ δὲ τῆς τροφῆς ὄργανα πολὺ πλείω δυοῖν, ἧπαρ καὶ γαστὴρ, ἔντερά τε καὶ σπλὴν, οἱ νεφροὶ, καὶ αἱ κύστεις ἀμφότεραι, ταχίστην θ᾽ ἅμα καὶ μεγίστην ἁπάντων ἐπιφέρει τῇ καρδίᾳ τὴν βλάβην ὁ πνεύμων. καὶ γὰρ τῇ θέσει πάντων ἔγγιστα καὶ τοῖς ἀγγείοις αὐτῇ συγγενέστατος ὑπάρχει, καὶ σύῤῥους μεγίστοις στόμασιν

plicemus, contrahamusque in methodum eos, quomodo ante fecimus alios. Atque hoc primum de omnibus in communi eſt ſciendum, totius corporis pulſus prius quam conſentiat cor parti prius affectae, in omnem alterationem fieri non poſſe ut trahantur; in parte aliqua, licet offenſionem cor non ſentiat, arteriarum motus variare poſſe. Poſteaquam jam hujus admonuimus, primo loco inſtrumentorum reſpirationi ſervientium affectus exponamus, deinde nutritiorum, mox capitis, poſtea artuum et propatularum animantis partium, poſtremo genitalium.

Cap. II. Ac partes animalis reſpirationi ſervientes duae duntaxat ſunt, pulmo et thorax; nutritionis multo plura quam duo inſtrumenta, jecur, ventriculus, inteſtina, lien, renes, utraque veſica. Celerrimam cordi et omnium maximam noxam dat pulmo; ſedem enim habet omnium ei conjunctiſſimam, eique vaſis quam maxime affinis eſt, et confluxum habet per maxima oſtia in utrumque

Ed. Chart. VIII. [297.] Ed. Bas. III. (148.)

εἰς ἀμφοτέρας τὰς κοιλίας ἐστίν. εἰ γοῦν ἑαυτοῦ γένοιτό ποτε θερμότερος, αὐτίκα καὶ τὴν καρδίαν θερμαίνει, κἂν ᾖ ψυχρότερος, οὐδὲ τοῦτ᾽ ἀναβάλλεται. τάς τε καθ᾽ ὑγρότητά τε καὶ ξηρότητα δυσκρασίας οὐχ ὁμοίως μὲν ταῖς εἰρημέναις, θᾶττον δ᾽ οὖν καὶ ταύτας ἁπάντων τῶν ἄλλων ὀργάνων ἐπιπέμπει τῇ καρδίᾳ. καὶ τὰ πληθωρικὰ δ᾽ ἐν αὐτῷ νοσήματα, καὶ μάλιστα ὅταν ἐρυσίπελας, ἢ φλεγμονὴ καταλάβῃ τὸ σπλάγχνον, αὐτίκα τῆς καρδίας ἀλλοιοῖ τὰς ἐνεργείας. ὡσαύτως δὲ καὶ ὅσα διὰ φλεγματικὸν ῥεῦμα συνίσταται παθήματα κατ᾽ αὐτὸν, εἰς συμπάθειαν ἐπισπᾶται τὴν καρδίαν. ἀλλ᾽ ἀπὸ τῶν δυσκρασιῶν ἀρκτέον, ὅσαι ἄνευ ῥεύματος γίνονται, καὶ πρώτην γ᾽ ἐξ αὐτῶν προχειριστέον ἐστὶ τὴν κατὰ θερμότητα. τῷ τοίνυν πνεύμονι θερμανθέντι νοσωδῶς ἡ καρδία συνθερμανθεῖσα τοὺς ἐπὶ τῇ χρείᾳ τῶν σφυγμῶν αὐξηθείσῃ γιγνομένους ἐργάζεται σφυγμούς. εἰ δ᾽ ἐν πλέονι χρόνῳ τοῦτο συμβαίνει, κίνδυνος αὐτῇ τὸν ἑκτικὸν ἀναδέξασθαι πυρετὸν, οὗ τὰ γνωρίσματα πρόσθεν εἴρηται. ἡ μὲν δὴ τῶν σφυγμῶν ἀλλοίωσις ἡ αὐτὴ γενήσεται τῆς καρδίας μόνης αὐτῆς καθ᾽ ἑαυτὴν δυσκράτως ἐχούσης, ἐπί τε τῇ πρὸς τὸν

sinum. Quamobrem si quando evaserit solito calidior, continuo et cor calefacit, si frigidior sit, nec hoc prorogatur; humiditatis autem et siccitatis intemperiem non perinde ac illas, sed citius etiam has tamen quam caetera instrumenta cordi impertit. Tum plethorici in ipso morbi, maxime quum erysipelas vel inflammatio invaserit viscus, cordis statim functiones alterant. Et affectus quoque, quos in ipso committit fluxio pituitosa, in consensionem secum cor trahunt. Sed ab intemperie initium exordiendum est, quae absit a fluxione; ac primum in manibus sumam eam quae ob calorem fit. Ergo si a pulmone excalefacto cor parvum calorem contraxerit, pulsus efficit, qui comites esse usus pulsuum amplificati solent; qui affectus si diuturnior sit, in periculum vocabitur illud, ne in febrem hecticam incidat, cujus nos ante indicia declaravimus, atque perinde pulsus alterabuntur, sive solum per se cor intemperatum sit,

πνεύμονα συμπαθείᾳ. καὶ μέντοι καὶ ἡ τῆς ἀναπνοῆς ἰδέα τὴν αὐτὴν ἕξει κατάστασιν, εἴθ᾽ ἡ καρδία μόνη τὴν πυρετώδη πάθοι δυσκρασίαν, εἴτε τῷ πνεύμονι συμπάσχοι. πλέονος δ᾽ αἰσθήσεται καύματος ἐν ἅπαντι τῷ κύτει τοῦ θώρακος ὁ διὰ τὸν πνεύμονα πάσχων, ἐκπνεύσει τε θερμὸν ἱκανῶς, ὡς καὶ διψήσει θατέρου μᾶλλον καὶ θερμοτέραν ἕξει τήν τε φάρυγγα καὶ τὴν γλῶτταν, ὡς τὰ πολλὰ δὲ καὶ ξηροτέραν. εἰ δ᾽ ἐπὶ πλέον ἥκοι τὸ κακὸν, χρωσθήσεται χρώματι μέλανι τὴν γλῶτταν καὶ τραχεῖαν ἐσχάτως ἕξει. ψυχθέντος δὲ τοῦ πνεύμονος, ἡ καρδία συμπάσχουσα κατ᾽ ἀρχὰς μὲν εἰς ἐκείνην ἄξει τοὺς σφυγμοὺς τὴν ἀλλοίωσιν, ἣν ἔμπροσθεν ἐδείξαμεν ἐκλυομένης τῆς χρείας συνίστασθαι, προϊόντος δὲ τοῦ χρόνου ψύξιν ἑκτικὴν ἀναδεξαμένη, τοὺς ἐπὶ ταύτῃ κρατούσῃ λελεγμένους γίγνεσθαι σφυγμοὺς ἀπεργάσεται. τὰ μὲν οὖν ἄλλα κοινὰ τοῖς τε τὴν καρδίαν μόνην ἐψυγμένοις ἐστὶ καὶ τοῖς τὸν πνεύμονα, συμπάσχει γὰρ ἐξ ἀνάγκης τὸ ἕτερον τῷ ἑτέρῳ. πρόσεστι δ᾽ ἐξαίρετον οἷς ὁ πνεύμων ἔψυκται πρῶτος αἴσθησις ψυχρᾶς τῆς ἀναπνοῆς. εἰ δὲ καὶ κατὰ ξηρότητα δύσκρατος ὁ πνεύμων γένοιτο, κατ᾽ ἀρχὰς μὲν οὐδέν τι σαφὲς ἀλλοιώσει

five confentiat pulmoni. Jam etiam refpirationis forma in eodem erit ftatu, five febrili intemperie cor folum affectum fit, five pulmoni confentiat. Majorem tamen in toto finu thoracis aeftum percipiet qui ex pulmone laborat, atque calidum plane expirabit, fitietque etiam altero magis, et calidioribus erit faucibus atque lingua, eaque fere ficciore; quod fi malum ingravefcat, inficietur lingua atro colore, quam omnino afperam habebit. At fi pulmo fit refrigeratus, cor, quod ei confentit, pulfus primo in eam adducet alterationem, quam ante confequi oftendimus ufum, qui exolvitur, temporis longitudine, quum frigiditatem hecticam contraxit, pulfus excitabit, quos huic, fi polleat, attribuimus. Ac nimirum caetera conveniunt his quibus folum cor eft refrigeratum cum illis quibus pulmo; alterum enim neceffario alteri confentit; quibus vero refrigeratus eft primus pulmo, hoc habent extra ordinem, ut fentiant frigidam refpirationem. Jam fi ficcitate intemperatus pulmo fuerit, a primo

τοὺς σφυγμοὺς, ἐν τῷ χρόνῳ δ᾽ ἄν ποτε σκληροτέρους ἐργάσεται, τῆς καρδίας συμπαθούσης αὐτῷ. τούτοις ἡ φάρυγξ ἑτοίμως ξηραίνεται, καίτοι γ᾽ οὐ διψῶσιν. ἡ δὲ καθ᾽ ὑγρότητα δυσκρασία πλαδαρὰν μὲν καὶ ἄδιψον ἐργάζεται τὴν φάρυγγα, τῷ χρόνῳ δ᾽ ἀλλοιοῖ τοὺς σφυγμοὺς εἰς μαλακότητα. τοιαῦται μὲν αἱ ἁπλαῖ δυσκρασίαι τοῦ πνεύμονος. αἱ σύνθετοι δ᾽ ἐκ τούτων γνωριζέσθωσαν, ἐμοὶ γὰρ ἤδη καιρὸς ἐπὶ θάτερον ἰέναι γένος, ὃ ῥευμάτων ἔγγονον ἔφην ὑπάρχειν. ἔστι δ᾽ ἐν αὐτῷ κοινὸν μὲν ἁπάντων ἀνωμαλία τῶν σφυγμῶν, ἔμφραξίς τε γὰρ ἑτοίμως καὶ σφήνωσις καὶ θλίψις τῶν κυριωτάτων ἀρτηριῶν, ἐπὶ τοῖς τοιούτοις γίνεται ῥεύμασιν. οὐχ ἧττον δὲ τούτων καὶ τὸ πρὸς τὴν δύναμιν πλῆθος, ὡς ἂν ἐγγὺς οὕτω κειμένης τῆς καρδίας τῷ πνεύμονι, καὶ διὰ μεγάλων στομάτων ἐχούσης τὴν σύῤῥοιαν. ἡ μὲν οὖν ἀνωμαλία κοινὴ πάντων ῥευμάτων ὅσα κατασκήπτει τῷ πνεύμονι, τοῦ μᾶλλόν τε καὶ ἧττον ἐν αὐτῇ παρά τε τὴν σύστασιν καὶ τὸ ποσὸν τοῦ χυμοῦ γιγνομένου. ἐλάττων μὲν γὰρ ἐπί τε τοῖς λεπτοῖς καὶ ὀλίγοις, ἀξιολογωτέρα δὲ ἐπί τε τοῖς παχέσι καὶ γλίσχροις καὶ πολλοῖς ἀποτελεῖται ῥεύμασι,

pulfus pene nihil alterabit, tandem confentiente illi corde, duriores efficiet. His fauces, tametfi nihil fitiant, prompte arefcunt. Humida intemperies uvidas reddit fauces, fitim extinguit, et tempore ad mollitiem pulfus traducit. Hae funt pulmonis fimplices intemperies: ex his cognofce compofitas, nam ad aliud propero genus, quod ex fluxione dixi oriri. Communem habet hoc omnium inaequalitatem pulfuum; obftruuntur enim facile et conftringuntur, atque comprimuntur per eas fluxiones principes arteriae; nec minus ob eam humorum copiam, quae ad facultatem refertur, quod fcilicet tam conjunctum pulmoni cor fit, et confluxum habeat per magna oftia. Ac inaequalitas quidem communis eft omnium fluxionum, quae impingunt in pulmonem, eaque nunc major, nunc minor eft pro craffitie humoris et abundantia: minor ex fubtilibus et paucis: infignior ex craffis et vifcidis copiofisque fluxionibus effi-

καὶ γὰρ ἐμφράττει ταῦτα καὶ θλίβει καὶ βαρύνει μᾶλ(149)λον. αἱ δ' εἰς τὰς ἄλλας διαφορὰς τῶν σφυγμῶν ἀλλοιώσεις ἐπὶ μὲν τοῖς θερμοτέροις ῥεύμασιν οἵας ἐπὶ πλήθει θερμασίας, ἐπὶ δὲ τοῖς ψυχροτέροις οἵας ἐπ' ἐνδείᾳ πρόσθεν ἔφαμεν συνίστασθαι. σκληρότεροι δὲ γίνονται τῶν κατὰ φύσιν ἐπί τε ταῖς ξηραῖς δυσκρασίαις καὶ τοῖς φλεγμονώδεσιν ὄγκοις ἢ σκιῤῥώδεσι τοῦ πνεύμονος, ὥσπερ γε καὶ μαλακώτεροι διὰ τὰς οἰδηματώδεις διαθέσεις. οὐ μὴν οὐδὲ τὸ τῆς ἀναπνοῆς εἶδος ὅμοιον ἐπί τε ταῖς δυσκρασίαις ἐστὶ καὶ τοῖς ῥεύμασιν· αἱ μὲν γὰρ ψυχραὶ δυσκρασίαι μικρὰν καὶ βραδεῖαν καὶ ἀραιὰν ἐργάζονται τὴν ἀναπνοὴν, ὥσπερ καὶ τοὺς σφυγμούς. τὰ μὲν δὴ ῥεύματα τὰ ψυχρὰ τοὺς μὲν σφυγμοὺς ὁμοίως ἀλλοιοῖ, τὴν δ' ἀναπνοὴν οὔτε μικρὰν οὔτε βραδεῖαν οὔτ' ἀραιὰν ἐργάζεται. διὰ γὰρ τὴν στενοχωρίαν ὀλίγου πνεύματος ἐμπίπτοντος τῷ πνεύμονι, καὶ διὰ τοῦτο τῆς φύσεως ἐλλιπῶς ἀπολαβούσης αὐτοῦ, συμβαίνει τὴν δευτέραν ἐνέργειαν αὐτίκα τε καὶ ταχεῖαν ἅμα καὶ μεγάλην ἀποτελεῖσθαι, καὶ μόναις ταύταις τῶν δυσπνοιῶν, ὡς κἀν τῇ περὶ αὐτῶν ἐδείχθη πραγματείᾳ, συμβέβηκεν ὑπεναντίως ἔχειν τῇ διαστολῇ τοῦ θώρακος τὸ ποσὸν τῆς εἰσπνοῆς. μέγιστον μὲν

citur, quod hae obſtruant comprimantque ac gravent magis. At alterationes pulſuum in caeteras differentias, ex calidioribus fluxionibus quales a copioſo calore, ex frigidioribus quales excitari ante a defectu docuimus; duriores quam oportuit fiunt per ſiccam intemperiem et inflammatorios atque ſcirrhoſos pulmonis tumores; contra molliores ob oedematoſas affectiones. Jam nec reſpirationis unum genus eſt per intemperiem et fluxiones. Frigida intemperies parvam, tardam raramque reſpirationem creat non aliter atque pulſus; at fluxiones frigidae pulſus ſimiliter mutant, reſpirationem nec parvam nec tardam nec raram reddunt. Quia enim coarctatus pulmo eſt, paucus ſpiritus recipitur, qui quod naturae non ſatis efficit, fit ut altera actio ſtatim celeris efficiatur et magna. Quae ſolae dyſpnoeae habent, quod declaravimus in libris, quos de iis conſcripſimus, ut thoracis diſtentioni quantitas attracti ſpi-

γὰρ ὁ θώραξ διαστέλλεται, πλεῖστον δ᾽ οὐκ εἰσπνεῖται, καθάπερ ὅτ᾽ ἄφρακτος ὁ πνεύμων ὑπῆρχεν. ἡ μὲν οὖν ἰδέα τῆς ἀναπνοῆς ὁμοία τοῖς ῥεύμασιν ἅπασιν ὑπάρχει. τὸ πνίγεσθαι δ᾽ οὐχ ὁμοίως ἅπασιν, ἀλλὰ τοῖς θερμοῖς ἅπασι μᾶλλον ἕπεται, ἐπειδὴ πλείονος τῆς εἰσπνοῆς ἡ φύσις δεῖται τηνικαῦτα. διὰ δὲ τὰς δυσκρασίας μόνας οὐδεὶς ἕπεται κίνδυνος πνίξεως. καὶ τοῖς σφυγμοῖς δ᾽ αὐτοῖς ἐγγίνεταί τις ἑτέρα διαφορὰ παρὰ τὰς ἔμπροσθεν εἰρημένας ἐν τῷ τὸ ῥεῦμα ποτὲ μὲν εἰς αὐτὰς μόνας ἐμπίπτειν τὰς τραχείας ἀρτηρίας, ποτὲ δ᾽ εἰς τὰς λείας τε καὶ τὰς φλέβας, ἢ καὶ τὰς μεταξὺ χώρας αὐτῶν ἁπάσας μεταλαμβάνειν. ἐπὶ μὲν γὰρ ταῖς τραχείαις ἀρτηρίαις μόναις πληρωθείσαις οὐδεμία κατὰ σκληρότητα γίνεται μεταβολὴ τοῖς σφυγμοῖς· ἐπὶ δὲ ταῖς λείαις αἱ καθ᾽ ὅλον τὸ ζῶον ἀρτηρίαι τεινόμεναι σκληρότερον ἐργάζονται τὸν σφυγμόν. τὰ δ᾽ οἰδήματα τοσοῦτον ἐνδεῖ τοῦ σκληρύνειν αὐτὸν ὥστε καὶ μαλακώτερον ἀποτελεῖν, διαβρέχοντα μὲν ἐν τῷ χρόνῳ τοὺς χιτῶνας τῶν ἀρτηριῶν, τάσιν δ᾽ οὐδεμίαν ἐργαζόμενα, καθάπερ ἐπὶ τῶν φλεγμονωδῶν τε καὶ σκιῤῥωδῶν ὄγκων ἔχει. μὴ τοίνυν ὀνόματα ζήτει ἀκούειν ἔτι

ritus adverſetur, maxime enim thorax dilatatur, ſed non attrahitur ſpiritus plurimum, uti quum apertus pulmo neo obſtructus eſſet. Genus igitur reſpirandi omnes fluxiones idem habent; at non eadem omnibus ſuffocatio, ſed calidiores comitatur potius, quandoquidem largiorem attrahi ſpiritum natura tum poſtulat, nam ſolam intemperiem nullum ſuffocationis periculum excipit. Ac ipſis etiam pulſibus praeter ſuperiores dictas alia quaedam ineſt differentia, ex eo quod fluxio nunc in ipſas impingat ſolas aſperas arterias, nunc in laeves et venas; vel inter eas occupet cunctas intercapedines. Si arteriae tantum aſperae ſint oppletae, nihil pulſus duritie variant; ſin laeves, quia totius animantis arteriae intenduntur, pulſum efficiunt duriorem. Oedemata tantum abeſt ut indurent eum, ut etiam molliant diuturnitate arteriarum tunicas humectando, nec quicquam intendendo; id quod in tumoribus inflammatoriis et ſcirrhoſis uſu venit. Quare noli jam nomina expectare peripneumo-

Ed. Chart. VIII. [298. 299.] Ed. Baf. III. (149.)
περιπνευμονιῶν, ἢ ἀσθμάτων, ἢ πνευμονωδῶν παθῶν, μεμαθηκὼς τὰς διαθέσεις τοῦ πνεύμονος. ὅτι γὰρ ἡ διὰ τῶν ὀνομάτων διδασκαλία πρώτην μὲν ἔχει τὴν περὶ τὸ σημαινόμενον ἀμφισβήτησιν, δευτέραν δὲ τὴν τοῦ ἀριθμοῦ τῶν νοσημάτων ἔννοιαν, ἐν πολλαῖς πολλάκις ἐπιδέδεικται πραγματείαις.

Κεφ. γ'. Ἀλλ' ἐπὶ τὰ τοῦ θώρακος ἰέναι καιρὸς ἤδη νοσήματα κατὰ τὴν αὐτὴν μέθοδον. αἱ μὲν δὴ δυσκρασίαι τὰς αὐτὰς [299] ἀλλοιώσεις ἐργάζονται ταῖς ὀλίγον ἔμπροσθεν ἐπὶ τοῦ πνεύμονος εἰρημέναις. οἱ δ' ὄγκοι κατά τε τὴν ποσότητα καὶ τὴν ἰδέαν ἑκάστου τῶν ἐργασαμένων αὐτοὺς χυμῶν. διαλλάξουσι δὲ τῷ θᾶττον μὲν καὶ μᾶλλον τῷ πνεύμονι συμπάσχειν τὴν καρδίαν, ἧττον δὲ καὶ βραδύτερον τῷ θώρακι. διαλλάξουσι δὲ κἂν τῷ ποτὲ μὲν νῦν εἶναι τὸ πάσχον μέρος τοῦ θώρακος, ποτὲ δὲ τὸν ὑπεζωκότα τὰς πλευρὰς χιτῶνα. πλείων γὰρ ἡ τάσις ἐπὶ τοῖς σκληροῖς καὶ πυκνοῖς μέρεσιν εἰς ὄγκον ἀρθεῖσιν, καὶ διὰ τοῦτο καὶ οἱ πλευριτικοὶ τῶν περιπνευμονικῶν ἀεὶ σκληρότερον ἔχουσι τὸν σφυγμόν. ὁμαλὸς δὲ τοὐπίπαν ἐπὶ τοῖς κατὰ τὰς πλευρὰς ὄγκοις ὁ σφυγμὸς, οὐχ

niarum vel afthmatum vel aliorum pulmonis morborum, quum affectus teneas pulmonis. Nam inftitutionem per nomina primam habere fignificationis controverfiam, alteram numeri morborum notitiam, multis faepe locis declaravimus.

Cap. III. Sed ad thoracis morbos eadem via et ratione progrediendum nobis eft. Intemperies easdem alterationes inducunt ac paulo ante illae pulmonis; tumores pro multitudine et genere fingulorum humorum, qui efficiant eos. Variant autem quod citius cor et magis pulmoni confentiat, minus atque tardius thoraci. Alia praeterea erit varietas, quod interdum affecta pars thoracis fit musculus, interdum fuccingens coftas tunica; major fiquidem tenfio eft, ubi durae partes et fpiffae intumescant; unde etiam pleuritici femper duriorem pulfum quam peripneumonici habent. At aequalis eft maxima ex parte pulfus in

ὥσπερ ἐπὶ τοῖς κατὰ τὸν πνεύμονα παντοίως ἀνώμαλος. οὔτε γὰρ διὰ μεγάλων ἀγγείων οὔτ' ἐγγὺς τῆς καρδίας ἡ κοινωνία τῷ θώρακι πρὸς αὐτήν ἐστι. περὶ δὲ τῆς κατὰ τὴν δύσπνοιαν ἰδέας οὐδὲν ἐν τῷδε τῷ λόγῳ δέομαι λέγειν, ὥσπερ ἐπὶ πνεύμονος ἐδεήθην διακρῖναι. ποτὲ μὲν ἡ καρδία πρώτη πάσχει, ποτὲ δὲ ὁ πνεύμων. ἑτοίμη γὰρ ἡ διάγνωσις ἐπὶ τῷ θώρακι πάσχοντι.

Κεφ. δ'. Ἥπατος δὲ νοσοῦντος ἀλλοιοῦνται σφυγμοὶ κατὰ μὲν τὰς δυσκρασίας ὡς ἔμπροσθεν εἴρηται, κατὰ δὲ τοὺς παρὰ φύσιν ὄγκους, ἀνάλογον μέν πως κἀν τούτοις, ἀλλ' ἧττον ἐπὶ ταῖς φλεγμοναῖς γίνονται σκληροὶ τῶν ἐπὶ θώρακι τοσοῦτον ὅσον τῶν ἐπὶ πνεύμονι μᾶλλον. οὐδέποτε δ' οὔτ' ἐπὶ θώρακος οὔτ' ἐφ' ἥπατος ὄγκῳ μαλακὸς ὁ σφυγμὸς γίνεται, διότι μηδ' ἐπιγίνεταί ποτε τοῖς ὀργάνοις τούτοις οἴδημα φλεγματικόν. ὁ μὲν γὰρ θώραξ πυκνότερος ἢ ὥστε δέξασθαι τοιοῦτον ῥεῦμα, τὸ δ' ἧπαρ οὐ πυκνότερον μόνον, ἀλλὰ καὶ τῇ συμφύτῳ δυνάμει ῥᾳδίως ἀλλοιοῖ τὸ φλέγμα, συμπάσχει δ' ἑτοιμότερον ἡ καρδία τῷ ἥπατι,

tumoribus, qui confiftunt ad coftas, non ut pulmonis tumoribus, omnifariam inaequalis; neque enim magnis vafis, neque vicinitate propinqua cum corde conjunctus eft thorax. De genere dyspnoeae hoc loco nihil neceffe habeo dicere, ut in pulmone oportebat diftinguere; nam modo cor offenditur primum, modo pulmo. Expofita eft enim et facilis ejus affecto thorace cognitio.

Cap. IV. Jecinore affecto pulfus ex intemperie variant; ut fuperius docuimus. Si excitati fint tumores praeter naturam, conveniunt fere etiam in his, fed minus ex inflammationibus indurescunt quam ex thoracis inflammationibus; et tanto quidem quanto quam ex pulmonis magis. Nunquam etiam ex thoracis, vel jecinoris tumore fit mollis pulfus, eo quod nec innascitur his inftrumentis oedema pituitofum. Compactior enim thorax eft, quam qui eam fluxionem admittat; jecur non compactius modo, fed et innata facultate alterat pituitam; at jecinori proclivius

Ed. Chart. VIII. [299.] Ed. Baf. III. (149)
καίτοι ποῤῥώτερον τοῦ θώρακος κειμένῳ, διὰ τὴν τῆς κοίλης φλεβὸς κοινωνίαν.

Κεφ. ε΄. Συμπάσχει δὲ καὶ τῷ διαφράγματι μᾶλλον τῶν ἄλλων ἁπάντων τοῦ θώρακος μερῶν, ὅτι παρ᾽ αὐτῆς τῆς κοίλης αἱ φλέβες τούτῳ. τάσιν δ᾽ οὐδὲν οὕτω μόριον ἄλλα ταῖς ἀρτηρίαις ἐργάζεται, καὶ μάλιστα ὅταν αὐτὸ τὸ νευρῶδες αὐτοῦ πάθοι. εἰ μὲν οὖν ὑπὸ τῶν ἐν αὐτῷ περιττωμάτων διατείνοιτο, χωρὶς πυρετῶν, ὀδύνη τε καὶ δύσπνοια τό γε κατ᾽ ἀρχὰς ἐπιγίνεται. προϊόντος δὲ τοῦ χρόνου πυρέττουσι σηπομένων τῶν περιττωμάτων. εἰ δὲ ἐκ ῥεύματος εἰς αὐτὸ κατασκήψαντος, εἶναι μὲν χρὴ τοῦτο πάντως ἤτοι χολῆς ξανθῆς ἢ αἵματος θερμοῦ καὶ λεπτοῦ, παχὺ γὰρ αἷμα καὶ φλέγμα γλίσχρον οὐκ ἄν ποτε δέξαιτο διὰ πυκνότητα. παραφρονήσουσι δ᾽ ἐξ ἀνάγκης, ἕξουσί τε τὸν σφυγμὸν ἱκανῶς σκληρὸν, καὶ διὰ τοῦτο καὶ μικρόν. ὅτι δ᾽ ἄμφω γε ταῦτα καὶ ἡ θερμασία πολλὴ, διὰ τοῦτο καὶ πυκνότατος. ὁ δ᾽ ἄνευ πυρετοῦ σφυγμὸς ἐπὶ διαφράγματι δυσπραγοῦντι σκληρὸς μὲν γίνεται καὶ μικρὸς, οὐ μὴν πυκνός γε ἐπιπλέον ἀλλ᾽ ἤτοι βραχύ τι παντάπασιν ἢ οὐδ᾽ ὅλως εἰς τοιαύτην

cor, etfi remotius quam thorax fit, vinculo cavae venae confentit.

Cap. V. Confentit porro et fepto transverfo prae omnibus aliis thoracis partibus, quod ex ipfa cava vena inferuntur; tenfionem vero nulla perinde alia pars infert arteriis, praecipue fi nervofa ejus pars affecta fit. Ac fi a folis excrementis in ipfo exiftentibus citra febres intendatur, dolor et dyspnoea a primo confequitur: poftea putrescentibus excrementis febricitant. Si ex fluxione, quae incumbit in ipfum, omnino haec fit vel flavae bilis, vel calidi fanguinis et tenuis oportet; nam craffum fanguinem et pituitam lentam propter denfitatem nunquam recipiat. Hi delirabunt neceffario pulfumque habebunt infigniter durum, itaque etiam parvum, quia vero ambo haec, et calor eft copiofus, proinde creberrimum quoque. Pulfus jam affecto fepto transverfo citra febrem durus eft et parvus; non multo tamen crebrior, fed vel admodum parum, vel nulla

ἀφικνεῖται μεταβολήν. ἀνάλογον δὲ τοῖς ἐπὶ τῷ νευρώδει τοῦ διαφράγματος ἕπεται πάντα ταῖς μεγάλαις πλευρίτισιν, ὅτι καὶ ὁ ὑπεζωκὼς τὰς πλευρὰς χιτὼν πλείστων τε νεύρων μετέχει καὶ συνῆπται ταῖς φρεσὶ καὶ τοῖς τὸν θώρακα διαφράττουσιν ὑμέσι, δι᾽ ὧν κατὰ συνέχειαν ἐγγὺς τῆς καρδίας ἀφικνεῖται. καὶ μέγιστον δὴ τοῦτ᾽ ἔστι γνώρισμα πλευρίτιδος ὀλεθρίας, εἰ σκληρὸς ἱκανῶς ὁ σφυγμὸς γένοιτο, [300] καὶ διὰ τοῦτο καὶ μικρὸς καὶ δι᾽ ἄμφω τε ταῦτα καὶ τὴν θερμότητα πυκνότατος. οὐδεὶς ἐσώθη πλευριτικὸς ἐπὶ τοιούτῳ σφυγμῷ. παραπαίουσι δ᾽ ἧττον οὗτοι τῶν τὸ διάφραγμα φλεγμαινόντων. ἐγγυτέρα γάρ ἐστι τῆς ἀρχῆς ἡ τῶν τοῦ διαφράγματος νεύρων ἔκφυσις. ἀλλ᾽ οὐ χρὴ μηκύνειν ἐν ταῖς ἄλλαις διαγνώσεσι περὶ σφυγμῶν προθεμένους λέγειν. ἐν γὰρ τοῖς τῶν πεπονθότων τόπων ὑπομνήμασιν ἐπιπλέον ὑπὲρ τῶν τοιούτων διῄρηται.

Κεφ. στ΄. Γαστὴρ δὲ κακοπραγοῦσα κατὰ δυσκρασίαν μὲν ἀνάλογον τοῖς προειρημένοις ἀλλοιώσει (150) σφυγμοὺς, δι᾽ ὄγκον δέ τινα κατὰ μὲν τὸν πυθμένα συμβάντα τοῖς ἄλλοις ἀνάλογον· εἰ δ᾽ ἐν τῷ στόματι γένοιτο,

ex parte in eam incidit mutationem. At vero omnia quae magnis pleuritidibus accidunt, respondent symptomatibus partis nervosae septi transversi, tum quod succingens costas tunica multis nervis praedita sit, tum quod adhaereat septo transverso membranisque thoracem intersepientibus, per quas ad cor continuatur. Ac maximum sane indicium exitialis pleuritidis est, si pulsus sit magnopere durus, itaque parvus etiam et ob ambo haec caloremque creberrimus; pleuriticus cum tali pulsu nemo est servatus ullus. Hi minus quam quibus inflammatum est septum transversum delirant; propius enim principium emittuntur nervi septi transversi. Verum quandoquidem de pulsibus dicere institui, non est mihi in caeteris signis immorandum; in commentariis enim de locis affectis latius de his diximus.

Cap. VI. Ventriculus affectus intemperie pulsus ita ut superiora immutabit; ob tumorem vero quempiam si is sane in fundo constiterit, more aliorum; sin ad ejus os

σκληρότερος ὁ σφυγμὸς ἔσται διὰ τὸ πλῆθος τῶν νεύρων, οὐ μὴν οὕτω γε σκληρὸς ὡς ἐπὶ διαφράγματι. παμπόλλῳ γὰρ ἀπολείπεται τοῦδε, καίτοι γ' οὐκ ἀπολειπομένου τοῦ μορίου τῷ μεγέθει τῶν νεύρων. ἀλλὰ διὰ μὲν ταῦτα τὰ νεῦρα τὸ περιττὸν τῆς αἰσθήσεως ἔχει· μαλακὰ γάρ ἐστι καὶ μεγάλα καὶ ἀπ' αὐτῆς ἐκπέφυκε τῆς ἀρχῆς· διὰ δὲ τὸ τῆς τοῦ σώματος οὐσίας σαρκοειδὲς ἀπολείπεται σκληρότητι τοῦ θ' ὑπεζωκότος καὶ τῶν φρενῶν. σύντονα γὰρ ἐκεῖνα τὰ μόρια καὶ σκληρὰ καὶ πυκνὰ, διὸ καὶ τείνεται μᾶλλον εἰς ὄγκον αἰρόμενα. καὶ τὰ νεῦρα δ' αὐτῶν ὁμοίως αὐτοῖς τοῖς ὀργάνοις σκληρὰ καὶ σύντονα, τὰ δὲ τῆς γαστρὸς, ὡς εἴρηται, μαλακά. ταῦτά τοι σκληρότατοι μὲν ἐπὶ διαφράγματι καὶ ὑπεζωκότι, καὶ διὰ τοῦτο καὶ μικροὶ γίνονται σφυγμοὶ, καὶ εἰ θερμασία τις αὐτοῖς συνείη, καθάπερ ἐν φλεγμοναῖς τε καὶ πυρετοῖς, εὐθὺς καὶ πυκνότατοι. κατὰ δὲ τὸ τῆς γαστρὸς στόμα σκληρὸς μὲν οὐδέποθ' οὕτως ὁ σφυγμὸς, ὅτι μήτ' αὐτὰ τὰ νεῦρα μήτε τὸ μόριον σύντονον, μικροὶ μέντοι καὶ πυκνοὶ πολλάκις ἐπὶ τῷ περιττῷ τῆς αἰσθήσεως, ὅτι τάχιστα καμνούσης

is conftiterit, pulfus ob nervorum multitudinem erit durior, non ita durus tamen ut ex fepto transverfo: multum enim concedit huic, tametfi non cedat nervorum magnitudine; fed quia hi nervi infigni fenfu funt praediti; molles funt enim et magni atque ex ipfo principio funt enati. Verum quia carnofa eft corporis fubftantia, duritie inferior eft et fuccingente et fepto transverfo; quae corpora contenta funt et dura fpiffaque, unde quum intumescunt, vehementius tenduntur. Praeterea illorum nervi non fecus atque ipfa inftrumenta duri contentique funt, ventriculi, ut diximus, molles. Quare ex fepto transverfo et fuccingente tunica duriffimi, itaque etiam parvi fiunt pulfus, quod fi calor quispiam cum iisdem, ut in inflammationibus et febribus fit conjunctus, fimul creberrimi. Ex ore ventriculi nunquam ita durus pulfus fit, quod nec ipfi nervi nec pars fit contenta; verum parvi et fubinde crebri, quia propter eximium fenfum defatigatur quam primum et dejicitur

τε καὶ καταλυομένης τὴν δυνάμεως. ἐμάθομεν γὰρ ὁποίους ἄλγημα, καὶ μάλιστα τὸ τῆς δυνάμεως ἁπτόμενον ἐργάζεται τοὺς σφυγμούς. ὥσπερ δ' ἐπὶ τοῖς ἀλγήμασι τοῖς κατὰ τὸ στόμα τῆς γαστρὸς ἡ δύναμις τάχιστα κάμνει, κατὰ τὸν αὐτὸν λόγον οὐκ ἀνέχεται πλήθους οὐδ' ἐπ' ὀλίγον, ἀλλὰ βαρύνεταί τε καὶ κάμνει, καὶ τοὺς σφυγμοὺς ἀνωμάλους ἐργάζεται. λέλεκται δ' ἐν τοῖς ἔμπροσθεν ὁποῖοι σφυγμοὶ γίνονται βαρυνομένης δυνάμεως ὑπὸ πλήθους ὕλης, ὥσπερ γε καὶ οἷοί τινες ἀῤῥωστούσης. ἀμφοτέρας οὖν τὰς βλάβας τῆς δυνάμεως ἑπομένας ἔχον τὸ στόμα τῆς γαστρὸς εὐλόγως ἐργάζεταί τοὺς σφυγμοὺς ἐνίοτε μὲν ἀμυδροὺς καὶ μικροὺς καὶ πυκνούς, ἐνίοτε δὲ ἀνωμάλους, ἔν τε τοῖς εἰρημένοις τρισὶ γένεσι καὶ προσέτι τῷ κατὰ τάχος τε καὶ βραδύτητα.

Κεφ. ζ. Καὶ τοίνυν οὐδὲν ἔτι χαλεπὸν οὐδὲ ἐπὶ τῶν ὑπολοίπων ὀργάνων τῆς τροφῆς ἐξευρίσκειν τὰς τροπὰς τῶν σφυγμῶν εἰς τὰ προειρημένα σύμπαντα καθάπερ εἰς στοιχεῖα βλέποντας, ὡς μηδὲν αὐτῶν ἄσκοπον παραλιπεῖν. ὅσα μὲν γὰρ ἐγγυτέρω τε τῆς καρδίας ἐστὶ καὶ διὰ μεγάλων ἀγγείων κοινωνεῖ, θᾶττόν τε καὶ μᾶλλον αὐτὴν εἰς συμπά-

facultas. Exposuimus enim quos pulsus dolor, praesertim si facultatem laedat, efficiat. Ac quemadmodum ob dolores qui afficiunt ventriculos, statim debilitatur facultas, ita nec copiam humorum sustinet ne paulisper quidem, sed gravatur et fatiscit pulsusque efficit inaequales. Diximus in superioribus libris facultatem copia materiae gravatam, qui pulsus comitentur, atque etiam qui debilitatam, quae offensiones facultatis quum ventriculi os ambae comitentur, jure pulsus reddit interdum languidos, parvos crebrosque, interdum inaequales cum in illis tribus quae memoravi generibus, tum vero in celeritate et tarditate.

Cap. VII. Porro in nutritionis caeteris instrumentis nihil jam laboris est mutationes pulsuum invenire, si priora omnia quae exposuimus quasi elementa respiciamus, ut nihil obiter praetereamus. Quae enim propiora cordi sunt et magnis vasis ei copulata, celerius et magis in consensionem

θειαν ἄξει· ὅσα δ' ἀπωτέρω τε καὶ διὰ μικρῶν, ἧττόν τε καὶ βραδύτερον. οὕτως δὲ καὶ ὅσα μέν ἐστι [301] σκληρὰ καὶ σύντονα καὶ νεύρων πλείστων μετέχει σκληρῶν, ἑτοίμως ταῦτα τοὺς σφυγμοὺς ἐργάζεται σκληροὺς, ὅσα δὲ ἐναντία, μαλακούς. ὅσα δ' αἰσθητικὰ, βλάψει τὴν δύναμιν ἑκατέραν τὴν βλάβην. ὥστε οὐδὲν χαλεπὸν ἐξευρεῖν αὐτόν τινα καθ' αὐτὸν ἕκαστον τῶν μορίων, ὁποῖόν τινα τὸν σφυγμὸν ἐργάζεται καθ' ἕκαστον πάθος, οἷον αὐτίκα κύστις καὶ μήτρα τῇ θέσει μὲν οὐδὲν ἀλλήλων διαφέρουσι, σκληροτέρα δ' ἐστὶ καὶ νευρωδεστέρα ἡ κύστις· ὥστε καὶ τοὺς σφυγμοὺς φλεγμαίνουσα μᾶλλον τῆς μήτρας ἐργάζεται σκληροὺς, ἀλλοιώσει δὲ θᾶττόν τε καὶ μᾶλλον αὐτοὺς εἰς μέγεθός τε καὶ μικρότητα καὶ τὰς ἄλλας διαφορὰς ἡ μήτρα. μείζους τε γὰρ ἀρτηρίας ἔχει καὶ φλέβας καὶ πολὺ πρότερον ἀποφυομένας τῶν κατὰ ῥάχιν ἀγγείων τῶν μεγάλων ἤπερ αἱ εἰς τὴν κύστιν ἥκουσαι. τὰ δὲ τῆς ὀδύνης ἀμφοτέροις τοῖς ὀργάνοις, ὅσον μὲν ἐπὶ τῷ νευρῷ ἐξ ἴσου μετέχειν, ὡσαύτως, ὅσον δ' ἐπὶ τῷ πυκνότερον καὶ σκληρότερον εἶναι τὸ τῆς κυστέως σῶμα, μείζους ἐν τούτῳ. τὰ γὰρ ἐν πυκνοτέροις σώμασιν

trahent; quae remotiora funt et parvis vafis affixa, minus et tardius. Eodem modo quae dura et contenta nervisque praedita funt plurimis duris, facile pulfus haec efficiunt duros; quae contra, molles; quae fenfu vigent utroque incommodo facultatem afficiunt. Quare nulla difficultate ipfe invenias tua fponte quem quaeque pars quibus in affectibus pulfum creat; ut exempli caufa, vefica et uterus loco inter fe nihil differunt, fed durior vefica et nervofior eft, unde pulfus inflammata duriores facit quam uterus; uterus celerius eos et magis convertet in magnitudinem parvitatemque atque reliquas differentias, majores enim arterias habet venasque et multo prius ex magnis dorfi vafis expullulant quam quae inferuntur veficae. Dolores utrique inftrumento, quatenus nervo ex aequo praedita funt, pares funt; quatenus fpiffius eft et durius veficae corpus, majores funt hujus. Etenim qui obfepti in fpiffioribus

ἐμφραττόμενά τε καὶ σφηνούμενα τῶν ὑγρῶν ὀδυνηρότερα τῶν ἐν ἀραιοτέροις τέ ἐστι καὶ μαλακοῖς, ὡς ἂν βιαιοτέραν ποιούμενα τὴν τάσιν, ᾗ τὸ τῆς ὀδύνης εἵπετο μέγεθος. οὕτως μὲν οὖν χρὴ μεθόδῳ ζητεῖν ἁπάσας τῶν μορίων τὰς διαφοράς.

Κεφ. ή. Ἀλλ' ἐγὼ γυμνασίας ἕνεκα καὶ τὰς τῶν ἄλλων ἔπειμι τῶν ἐκτὸς βουβώνων τε καὶ μασχαλῶν, ἐπειδὴ καὶ τούτοις ἔστι μέν τι παρὰ τὰ πρόσθεν εἰρημένα σύμπαντα διάφορον, ὥσπερ καὶ πρὸς ἄλληλα κατὰ μέρος, ἔστι δέ τι καὶ κοινὸν, ἀλλήλοις τε καὶ τοῖς προειρημένοις. τὸ μὲν δὴ πόῤῥω τῆς καρδίας εἶναι κοινὸν ἀμφοῖν ἐστι καὶ μᾶλλον τοῖς κάτω· διαφέρει δ' ἀλλήλων ταῖς οὐσίαις τε καὶ ταῖς ἐνεργείαις, ὥσπερ γε κοινόν τι πρὸς ἄλληλα καὶ τὰ πρόσθεν εἰρημένα σύμπαντα κέκτηται κατὰ τὰς προειρημένας ἁπάσας διαφοράς. ἔστι γάρ τοι καὶ τούτων αὐτῶν τὰ μὲν σκληρότερά τε καὶ πυκνότερα, τὰ δ' ἀραιότερά τε καὶ μαλακώτερα, καὶ τὰ μὲν πλειόνων τε καὶ μειζόνων, τὰ δ' ἐλαττόνων τε καὶ μικροτέρων ἀγγείων τε καὶ νεύρων μετέσχηκε, καὶ τὰ μὲν

corporibus et conftipati funt humores, hi majorem dolorem quam qui in rarioribus funt et mollibus concitant; nimirum qui tendant violentius, cujus comes erat doloris magnitudo. Hac ratione et via omnium partium inveftigandae funt differentiae.

Cap. VIII. Sed exercitandi gratia differentias ego explicabo aliarum partium quae funt extra inguina et alas; quoniam et his aliquid quidem a praedictis omnibus differens eft, quemadmodum et inter fefe mutuo particulatim, aliquid vero tum fibi mutuo tum cum praedictis commune eft. Nam quod diftant multum a corde, ambobus eft commune magisque inferioribus; fed inter fe fubftantiis et officiis differunt, ficut quiddam habent inter fe et cum fuperioribus omnibus commune, in omnibus differentiis, quas commemoravimus. Etenim funt in his ipfis quoque quaedam duriores et denfiores, aliquae rariores et molliores; atque hae pluribus et majoribus, illae paucioribus minoribusque vafis et nervis praeditae funt, ac pars earum acu-

αἰσθητικώτερα τετύχηκεν ὄντα, τὰ δ' ἀναισθητικώτερα. τὴν δ' ἐν ταῖς ἐνεργείαις αὐτῶν διαφορὰν οὐδεὶς ἀγνοεῖ, καὶ μάλιστα τῶν ἄνω μασχαλῶν. σκέλη μὲν γὰρ καὶ χεῖρες ἐνεργειῶν ἕνεκα προαιρετικῶν ἐγένοντο, παραπλησίων ἀλλήλαις κατὰ γένος. ὀφθαλμοὶ δὲ καὶ ὦτα καὶ γλῶττα μήνιγγές τε καὶ αὐτὸς ὁ ἐγκέφαλος, ὅσα τε κατὰ τὸν τράχηλόν ἐστι μόρια, πολὺ δή τι ταῖς ἐνεργείαις διαφέρει τῶν κατὰ τὰ κῶλα μορίων. ἕπεσθαι τοίνυν εἰκὸς ἑκάστῳ συμπτωμάτων οἰκείαν ἰδέαν, οὐχ ὁμοίως ἀλλοιοῦσαν τοὺς σφυγμούς· οἷον αὐτίκα, καίτοι γ' ἐν τούτῳ κειμένων ἐγκεφάλου τε μηνίγγων ἅπασι τοῖς κατὰ τὴν κεφαλὴν, ἐπὶ μὲν ταῖς τούτων φλεγμοναῖς ἐξ ἀνάγκης πυρέττουσί τε καὶ παραφρονοῦσιν, ἐπὶ δὲ ταῖς τῶν ἄλλων οὐκ ἐξ ἀνάγκης. αἱ γοῦν τῶν κροταφιτῶν μυῶν φλεγμοναὶ καὶ πυρετοὺς καὶ παραφροσύνας καὶ σπασμοὺς καὶ κάρους ἐπιφέρουσι πολλάκις, ὁπόταν μεγάλαι γενηθῶσιν, οὔτ' ἐξ ἅπαντος οὔθ' ὅταν μικραὶ τύχωσιν οὖσαι, τὰ τοιαῦτα συμπτώματα φέρουσιν. ὁ δ' ἐγκέφαλος αὐτὸς, ὁπόταν εἰς δυσκρασίαν ἐμπέσῃ νοσώδη, τὸ τῆς δυσκρασίας οἰκεῖον ἐξ ἀνάγκης ἐπιφέρει σύμπτωμα, κατὰ μὲν τὰς ἀμέτρους θερμα-

tiorem fenfum habent, pars fecus. Diverfitatem vero in functionibus harum partium, ac praecipue earum quae fupra alas funt, ignorat nemo. Crura enim et manus actionum voluntariarum gratia condita funt genere inter fe fimilium; oculi, aures, lingua, meninges, ipfum cerebrum omnesque colli partes, longe fane diffident functionibus ab artuum partibus. Quocirca adjunctam effe par eft fuam cuique fpeciem fymptomatum, quae non ex aequo pulfus alteret; ut fint licet eodem loci cerebrum meningesque ac caeterae capitis partes, fi inflammatae illae fint, febricitent neceffe eft et delirent; fi aliae, non neceffario; nam musculorum temporalium inflammationes, febres, deliria, fpasmos, fopores frequenter inducunt, fi magnae fint, non femper; neque quum parvae fint, illa fymptomata concitant. Cerebrum ipfum, ubi incurrerit in morbofam intemperiem, fymptoma neceffario quod intemperiei familiare eft in-

σίας, εἰ μὲν αὐταὶ μόναι καθ' αὑτὰς ποτε γένοιτο, παραφροσύνη· εἰ δὲ μετὰ ξηρότητος, ἅμα ταῖς ἀγρυπνίαις. οἰκεῖον γὰρ ξηρότητι τὸ σύμπτωμα τοῦτο, καθάπερ γε καὶ ὑγρότητι, βαθὺς ὕπνος, ἢ κῶμα. [302] τῆς ψύξεως δ' αὐτοῦ σύμπτωμά ἐστιν ἀχώριστον ἡ καλουμένη μώρωσις. εἰ δὲ σὺν ὑγρότητι γένοιτο, βαθεῖα τοῖς τοιούτοις ἕπεται καταφορά. πολλῷ δὲ τοῦ κατὰ φύσιν ὑγρότερός τε καὶ θερμότερος ἀποτελεσθεὶς τὴν σὺν ἀγρυπνίᾳ τε καὶ παραφροσύνῃ φέρει καταφοράν. εἴρηται δὲ αὐτῆς ἡ ἰδέα πᾶσα καθ' ἕτερον γράμμα τὸ περὶ τοῦ παρ' Ἱπποκράτους κώματος. ἰσχυρὰ δὲ ψύξις ἐγκεφάλου μετὰ ξηρότητος γινομένη ἀκινησίαν μὲν ἐπάγει τοῦ σώματος σύμπαντος, οὐ μὴν κωματώδεις εἰσὶν, ἀλλ' ἀνεῳγόσι τοῖς ὀφθαλμοῖς ἀσκαρδαμυκτὶ βλέπουσιν. οἱ σφυγμοὶ δ', ὧν ἕνεκεν εἴρηται ταῦτα, θερμοῦ μεν ἱκανῶς ἐγκεφάλου χωρὶς ξηρότητος, ἐν μὲν τῇ συστάσει τῆς ἀρτηρίας σύμμετροί τε καὶ τοῖς κατὰ φύσιν ὅμοιοι, μεγέθει δ' ὑπερβάλλοντες καὶ τάχει καὶ πυκνότητι τοσοῦτον ὅσον ἂν (151) ἡ νοσώδης θερμότης ὑπὲρ τὴν κατὰ φύσιν ᾖ. εἰ δὲ μὴ

ducit; in caloribus immodicis, fi quando foli hi per fe fteterint, delirium; fi conjuncti fint ficcitati, una cum vigiliis: quod fcilicet eft proprium ficcitatis fymptoma, ut humiditatis altus fomnus vel coma. Refrigerationis ejus fymptoma eft perpetuum fatuitas quam vocant; fi concurrat humiditas, iis comes eft cataphora; quod fi multo quam modus naturae fert humidius evaferit et calidius, cataphoram inducit conjunctam cum vigiliis et delirio. Cujus omnem fpeciem declaravimus alio in libro, qui eft de comate quod defcripfit Hippocrates. Vehemens autem frigiditas cerebri, fi accedat ficcitas, motu privat univerfum corpus; non tantum hi comatofi funt, fed apertis oculis intuentur et haud nictantibus. Jam pulfus propter quos haec retulimus, fi abunde fit calidum cerebrum citra ficcitatem, in confiftentia arteriae funt moderati et fimiles nativis; magnitudine vero hactenus fuperant et celeritate et crebritate, quatenus morbofus calor nativum excefferit.

μόνον εἴη θερμότερος, ἀλλὰ καὶ ξηρότερος νοσωδῶς, εὐθὺς μὲν δήπου καὶ ἡ διεζωκυῖα μῆνιγξ αὐτὴν, ἡ λεπτὴ, παραπλησίως διακείσεται. σὺν αὐτῇ δὲ καὶ τὰ νεῦρα σύμπαντα, καὶ ἐκεῖνα καὶ αἱ ἀρτηρίαι, σκληρότερον ἔχουσι τὸν σφυγμὸν, ὅτι τε τείνονται τὸν χιτῶνα καὶ ξηραίνονται. δέδεικται γὰρ ἑτέρωθι περὶ τῆς τῶν ἀρχῶν συμπαθείας. εἰ δ' ἐκ χολώδους χυμοῦ πλεονεξίας εἰς θερμὴν καὶ ξηρὰν ἀχθείη διάθεσιν ὁ ἐγκέφαλος, ἔτι δὴ καὶ μᾶλλον ἡ τάσις ἐγγίνεται ταῖς ἀρτηρίαις. οὕτω δὲ καὶ ἡ ἐξ αἵματος θερμοῦ καὶ οἷον ζέοντος ἡ μὲν ξηρότης ἥττων, μείζων δ' ἡ τάσις αὐταῖς τε ταῖς μήνιγξιν ὑπάρχει καὶ τοῖς νεύροις καὶ ταῖς ἀρτηρίαις. ὁ μὲν χολώδης χυμὸς, ὁ γοῦν ὠχρὸς, οὗ νῦν μεμνήμεθα, λεπτομερὴς ὑπάρχων οὐχ ὁμοίως σφηνοῦται κατὰ τὰ μαλακὰ σώματα, ὥστε οὐδ' εἰς ὄγκον αἴρειν αὐτὰ δύναται. τὸ δ' αἷμα τὸ θερμὸν ἐμφράττεταί τε καὶ σφηνοῦται μᾶλλον, ὥστε καὶ τὸν ὄγκον ἐργάζεται μείζω καὶ τὴν τάσιν ἰσχυροτέραν. καὶ τοίνυν προσέχειν ἀκριβῶς χρὴ τῇ τῆς ἀρτηρίας συστάσει, πότερον ὑπὸ ξηρότητος, ἢ τάσεως ὁ χιτὼν φαίνεται σκληρός·

Si vero non modo fit calidius, fed et ficcius praeter naturam, ftatim utique etiam meninx ipfa tenuis, quae tegit cerebrum, in eandem venit affectionem; unaque cum illa cuncti nervi et cor atque arteriae pulfum duriorem nanciscuntur, quod eorum tunica contendatur atque deficcetur; nam de confenfu principiorum disputavimus alias. Quod fi ex biliofi humoris affluentia in calidum et ficcum affectum cerebrum devenerit, etiam magis tenduntur arteriae. Ita quem inducit calidus fanguis et quafi fervidus, ficcitas minor et major tenfio, quum ipfas memingas corripit, tum nervos atque arterias. Biliofus vero fuccus, fi pallidus fit, cujus hic mentionem facimus, quia tenuis eft et fubtilis, non proinde in mollibus corporibus inhaerescit; ita nec in tumorem attollit ea. Sanguis calidus fepitur arctius et obftruitur; quo excitat tumorem majorem et tenfionem validiorem. Proinde etiam atque etiam obfervanda eft arteriae confiftentia per ficcitatemne, an per tenfionem videatur

εἶτ' εἰ μὲν ἐπὶ ξηρότητι φαίνοιτο, δυοῖν θάτερον ἡγεῖσθαι κατὰ τὸν ἐγκέφαλον ὑπάρχειν, ἢ δυσκρασίαν θερμὴν καὶ ξηρὰν, ἢ χολῆς πλεονεξίαν· εἰ δ' ἐπὶ τάσει, φλεγμονώδη διάθεσιν· εἰ δ' ἐπ' ἀμφοῖν, ἡγεῖσθαι χρὴ καὶ αὐτὴν τὴν διάθεσιν εἶναι σύνθετον ἐξ αἱματώδους τε καὶ πικροχόλου χυμοῦ. παραφρονοῦσι μὲν οὖν ἅπαντες οἱ τοιοῦτοι διηνεκῆ παραφροσύνην, διαλλάττουσι δ' ἀλλήλων τῷ τοὺς μὲν ἐπὶ δυσκρασίᾳ μόνῃ, μετρίως τε πάσχειν τοῦτο, καὶ ἀῤῥωστεῖν ἁπάσαις ταῖς προαιρετικαῖς ἐνεργείαις, τοὺς δ' ἐπὶ χολώδει χυμῷ μήτ' ἀῤῥωστεῖν, ἐξίστασθαί τε κατὰ τὰς παραφροσύνας ἰσχυρῶς. ὅσοι δ' ἐπὶ μελαίνῃ χολῇ ζεσάσῃ διὰ σηπεδόνα τοιοῦτόν τι πάσχουσι, ῥᾳδίως ἐξίστανται, σκληροὶ δὲ καὶ τούτων εἰσὶν οἱ σφυγμοὶ δι' ἀμφοτέρας τὰς αἰτίας, ξηρότητά τε καὶ τάσιν, εὐθὺς δὲ δήπου καὶ μικροὶ διὰ τὴν σκληρότητα καὶ θάττους τῶν κατὰ φύσιν, ὅτι πυρέττουσι, καὶ πυκνοὶ, διὰ τὸ μὴ πληροῦσθαι τὴν χρείαν. αἱ δ' ὑγραὶ δυσκρασίαι αἱ κατὰ τὸν ἐγκέφαλον μαλακοὺς ἐν τῷ χρόνῳ τοὺς σφυγμοὺς ἀποτελοῦσι, καὶ κωματώδη τὸν ἄνθρωπον. εἰ δὲ πυρετώδης αὐταῖς συνείη θερμότης, λήθαργος μὲν ὀνομάζεται τὸ νόσημα, γίνεται δ' ὁ σφυγμὸς οὐ μαλακὸς μόνον, ἀλλὰ καὶ μέγας. εἰ δ' ἐπὶ

durior: fi ob ficcitatem videatur, alterutrum eft exiftimandum obfidere cerebrum, vel intemperiem calidam et ficcam, vel copiam bilis; fi ob tenfionem, inflammationem; fi propter ambo, ipfum etiam affectum puta conflatum effe ex fanguineo et biliofo humore, qui perpetuo omnes delirant. Differunt inter fe, quod qui intemperie fola affecti funt, modice hoc habeant et infirmas omnes voluntarias actiones; qui biliofo humore, non eas habeant infirmas et mirum in modum delirent. Qui ex atra bile fervente ob putredinem hoc patiuntur, mente facile moventur; quorum etiam funt duri pulfus utraque de caufa, ficcitate et tenfione; fimulque parvi ob duritiem, et jufto celeriores, quia febricitant; etiam crebri, quod non fatisfiat ufu. Humidae intemperies cerebri molles pulfus diuturnitate efficiunt ac hominem comatofum; fi ad illas accefferit febrilis calor, morbus appellatur lethargus et pulfus eft non modo mollis, fed et magnus. Si

σηπομένῳ φλέγματι κατὰ τὸν ἐγκέφαλον ἡ τοιαύτη γίνεται διάθεσις, εἴη μὲν ἂν καὶ οὕτως τὸ νόσημα λήθαργος, ἕξει δ' ὁ σφυγμὸς ἔμφασίν τινα τεινομένης τῆς ἀρτηρίας καίτοι μαλακῆς ὑπαρχούσης. μεγάλοι δ' εἰς τοσοῦτον ἐν τοῖς τοιούτοις νοσήμασι πᾶσίν εἰσιν εἰς ὅσον ἂν ἡ θερμότης αὐξηθῇ. τὸ δὲ τάχος ἤτοι παντάπασιν ἐλάχιστον, ἢ οὐδόλως ἐπιτείνεται τούτοις, ὡσαύτως δὲ καὶ πυκνότης. ἅπαντα δὲ συναύξεται ταῦτα τῷ πλήθει τῆς θερμασίας. ἐπιμίκτου μέν τοι τῆς διαθέσεως ἐκ χολῆς καὶ φλέγματος γενομένης [303] οὔτ' ἄγρυπνοι τὸ σύμπαν ὑπάρχουσιν οὔτ' ἐν βαθεῖ κώματι· καταφερόμενοι δὲ παραπαίουσιν, ἐπαίρειν ἀδυνατοῦντες τὰ βλέφαρα. καὶ τὸ σύμπαν εἰπεῖν οἱ τοιοῦτοι κωματώδεις εἰσὶ καὶ ἄγρυπνοι. καὶ τοίνυν καὶ οἱ σφυγμοὶ τούτοις ἐν μέσῳ τὴν ἰδέαν ὑπάρχουσι τῶν ἐπιπεπλεγμένων ἀλλήλαις διαθέσεων. ψύξεως δὲ νοσώδους ἐν ἐγκεφάλῳ γινομένης, ὅταν εἰς συμπάθειαν ἀφίκηται ἡ καρδία, μικρότεροι καὶ βραδύτεροι καὶ ἀραιότεροι τῶν κατὰ φύσιν οἱ σφυγμοὶ γενήσονται. καὶ εἰ μὲν ὕλης ἄνευ, μόνῃ τῇ δυσκρασίᾳ τοῦ ἐγκεφάλου, χωρὶς ἁπάσης τάσεως· εἰ δὲ σὺν ὕλῃ, μελαγχολικῆς μὲν αὐτῆς ὑπαρχούσης,

vero putrescens pituita ita cerebrum afficiat, erit tum etiam morbus lethargus, pulfusque arteriae contentae fpeciem quandam praebebit, tametfi fit mollis. At magni in morbis hisce omnibus hactenus erunt, quatenus auctus fit calor; celeritas aut omnino minima eft, aut his nihil prorfus crescit: eodemque crebritas modo. Haec autem una cum caloris copia omnia increscent. Si vero commisceatur ex bile et pituita affectus, nec prorfus vigilant, nec in profundo funt comate, fed in foporem deferuntur defipiuntque, nec palpebras valent attollere; ac breviter comatofi hi funt et vigilantes, itaque et pulfum habent ambigentem inter complicatos mutuo affectus. Sin frigiditas morbofa cerebrum afficiat, quum illi cor confentiat, minores, tardiores atque rariores aequo pulfus erunt; ac fi absque materia fola intemperies cerebri fit, citra omnem tenfionem; fin autem una cum materia, eaque melancholica, fiet ut arte-

τείνεσθαί τε συμβήσεται τὰς ἀρτηρίας, καὶ διὰ τοῦτο σκληρότερον φαίνεσθαι τὸν σφυγμόν· φλεγματικῆς δὲ, οὐχ ἁπλᾶς, ἀλλ' εἰ μὲν παχὺ καὶ γλίσχρον εἴη τὸ φλέγμα, ταθήσονται· σκιῤῥώδεις γὰρ ὄγκους ὁ τοιοῦτος ἐργάζεται χυμός· εἰ δ' ὑγρὸν καὶ πνευματῶδες, ὑφ' οὗ μάλιστα τὸ καλούμενον οἴδημα γίνεται, χωρὶς τοῦ τείνεσθαι μαλακὸς ὁ σφυγμὸς ἔσται· εἰ δ' ἐπίμικτον εἴη τὸ φλέγμα τῶν προειρημένων ἀμφοτέρων μετέχον εἰδῶν, ἅμα τε μαλακὸς καὶ σὺν τάσει τινί. πρόδηλον δ' ὡς, ὁπότε μαλακὸς ὁ σφυγμὸς γίνεται, καὶ μείζων ἀποτελεσθήσεται τοῦ πρόσθεν. ὁποία δέ τις ἡ τῶν ἄλλων συμπτωμάτων αὐτοῖς ἰδέα γενήσεται, στοχάζεσθαί τινι καὶ αὐτῷ δυνατὸν ἐκ τῶν προειρημένων ὁρμωμένῳ. ἐμοὶ δ' ἐπὶ πλέον ἐνθάδε μηκύνειν οὐκ ἀναγκαῖον ἐν τῇ τῶν πεπονθότων τόπων πραγματείᾳ τὰ τοιαῦτα πάντ' ἐπὶ πλεῖστον ἐξειργασμένῳ. νυνὶ γὰρ οὐχ ἅπασαν, ἀλλὰ τὴν ἐκ σφυγμοῦ μόνου διάγνωσιν ἐπισκέψασθαι προὐθέμην. ὥστε ἐκ περιουσίας τε καὶ κατὰ τὸ πάρεργον εἴρηταί τινι τῶν ἄλλων συμπτωμάτων, οὐκ ἐν ἔργῳ. καταπαύσας οὖν ἤδη τὸν ἐνεστῶτα λόγον ἐφ' ἕτερόν τι τῶν εἰς τὰ παρόντα χρηστῶν μέτειμι, μακροτέρας μὲν τῆς ἐπι-

riae tendantur, itaque pulſus durior videatur; ſi cum pituitoſa, non ſimpliciter, ſed ſi craſſa atque glutinoſa pituita ſit, intendentur: ſcirrhoſos enim tumores excitat hic humor: ſi humida et flatuoſa, a qua generatur potiſſimum oedema quod vocant, ſine tenſione mollis pulſus erit; ſi confuſa pituita et mixta ex utroque illarum genere fuerit, ſimul mollis erit et nonnihil intentus. Neque hoc obſcurum eſt, quin, ſi pulſus ſit mollior, erit etiam major quam antea. Jam vero quod genus illis aliorum ſymptomatum accidet, poteris per te ipſe ex antedictis colligere. Mihi quidem non eſt conſilium diutius hic immorari, quum illa in commentariis de locis affectis prolixe explicaverim, nam nunc quidem non omnia indicia attendere, ſed quae ex pulſibus duntaxat comparantur propoſui; itaque pro cumulo et obiter alia quaedam ſymptomata adjicimus aliena. Quare ſinem hic faciens de his dicendi ad aliud me convertam quod referat ad inſtitutum; de quo tametſi longius egi in

Ed. Chart. VIII. [303.] Ed. Baf. III. (151.)
σκέψεως ἐν τῇ τῶν πεπονθότων τόπων πραγματείᾳ τετυχηκὸς, ἀναγκαῖον δὲ καὶ νῦν δειχθῆναι.

Κεφ. θ'. Ἡ λεπτὴ μῆνιγξ ἡ διεζωκυῖα τὸν ἐγκέφαλον οὔ μοι δοκεῖ δύνασθαι μόνη ποτὲ παθεῖν τῶν εἰρημένων νοσημάτων οὐδὲν ἐγκεφάλου χωρὶς, ὥσπερ οὐδ' ἐγκέφαλος ἄνευ τῆς μήνιγγος. ἀλλ' εἴτε δυσκρασία χωρὶς ῥεύματος, εἴτε καὶ ῥεῦμα κατασκήψειεν εἰς ὁπότερον αὐτῶν, εὐθὺς ἀναγκαῖον εἶναι νομίζω μεταδίδοσθαι τοῦ πάθους εἰς τὸ λοιπόν. ἡ μέντοι σκληρὰ μῆνιγξ οἵα τ' ἐστὶ καὶ μόνη πάσχειν ἐπὶ πλεῖστον ἀφεστῶσα τοῦ ἐγκεφάλου. καὶ εἴπερ ἡ ἐξ αὐτῆς διάθεσις ἀξιόλογος γενομένη τήν τε καρδίαν εἰς συμπάθειαν ἐπισπάσοιτο καὶ τὰς ἀρτηρίας, ἀνάλογον ταῖς κατὰ τὸν ἐγκέφαλον διαθέσεσιν ὁ σφυγμὸς ἀλλοιωθήσεται, τῶν μὲν θερμῶν ἐν αὐτῇ διαθέσεων τὴν χρείαν αὐξανουσῶν, τῶν δὲ ψυχρῶν ἐκλυουσῶν τε ἅμα ταύτην καὶ σκληροτέρας ἀτρέμα τὰς ἀρτηρίας ἐργαζομένων, καὶ μάλισθ' ὅσαι τῆς καρδίας εἰσὶν ἀνωτέρω, καὶ τῶν μὲν ξηρῶν σύντονόν τε καὶ σκληρὸν ἐργαζομένων τὸν σφυγμὸν, τῶν δ' ὑγρῶν μαλακὸν, οὐ μὴν εἰς τοσοῦτόν γε μαλακὸν καὶ σκληρὸν εἰς ὅσον ὁ ἐγκέφαλος, ἀλλ'

commentariis de locis affectis, tamen ut hic quoque declarem res postulat.

Cap. IX. Tenuis meninx quae cerebrum amplectitur sola mihi nullum unquam istorum affectuum subire videtur posse nisi una cum cerebro; nec etiam cerebrum citra meningem; sed sive citra fluxionem intemperies, sive etiam incubuerit fluxio in alterutrum horum, statim impertiri mea quidem sententia affectum oportet alteri. At dura meninx, quoniam longissime a cerebro dissita est, affecta esse sola potest. Cujus affectus si insignis sit, ut cor ad consensum trahat et arterias, pulsus in modum cerebri affectuum alterabuntur; calidi enim affectus usum augent; frigidi quum hunc remittunt tum arterias pedetentim indurant, praecipue eas quae corde sunt altiores; sicci intentum et durum pulsum reddunt; humidi mollem, attamen non ita mollem et durum ut cerebrum, sed magis quidem

ἐπὶ πλεῖον μὲν σκληρὸν, ἐπ' ἔλαττον δὲ μαλακόν. ὅσα μὲν γὰρ φύσει σκληρὰ σώματα σκληρυνούσας ἐδέξατο διαθέσεις, εἰς μεγίστην ἀφικνεῖται σκληρότητα, καθάπερ γε καὶ τὰ φύσει μαλακὰ τὰς ὑγραινούσας τε καὶ χεούσας δεξάμενα τελείως ἔκλυτά τε γίνεται καὶ μαλακά. ὅσα δ' ἤτοι σκληρὰ τὰς ὑγραινούσας ἐδέξατο διαθέσεις ἢ μαλακὰ τὰς σκληρυνούσας, οὐκέτ' εἰς ἄκραν ἀφικνεῖται τὴν ἐναντίαν αὐτοῖς κατάστασιν. οὕτως οὖν οὔτ' ἐπὶ μηνίγγων οἰδήματι γένοιτ' ἄν ποτε ὁ σφυγμὸς εἰς τοσοῦτον μαλακὸς εἰς ὅσον ἐπὶ ἐγκεφάλου τε καὶ πνεύμονος οὔτ' ἐπ' ἐγκεφάλῳ τε καὶ πνεύμονι φλεγμήνασιν οὕτω σκληρὸς ὡς ἐπὶ μήνιγξιν, [304] ἀλλὰ τοῖς μὲν ἐπὶ μήνιγξι σκληροῖς ὅμοιος ὁ ἐπὶ διαφράγματι καὶ ὑπεζωκότι, τοῖς δὲ ἐπὶ ἐγκεφάλῳ τε καὶ πνεύμονι μαλακὸς. μὲν ὁμοίως οὐδεὶς, ἐγγυτέρω δὲ τῶν ἄλλων ὁ ἐφ' ἥπατι καὶ σπληνὶ κατὰ τὰς οἰδηματώδεις διαθέσεις, ὡς σκιῤῥωθέντα γε καὶ ταῦτα τὰ σπλάγχνα σκληροὺς ἱκανῶς ἀποτελεῖ τοὺς σφυγ-(152)μοὺς, ἧττον δὲ τῶν σκίῤῥων ἐν ταῖς φλεγμοναῖς. ἐγκέφαλος δὲ καὶ πνεύμων ἴσως ἂν οὐδ' ἐδέξαντό ποτε διάθεσιν

durum, minus vero mollem, ſiquidem corpora ſua ſponte dura, quae in affectus indurantes inciderunt, maximam contrahunt duritiem; ſic quae natura mollia ſunt, ſi in humectantes et liquefacientes incurrant, ſemel exolvuntur mollescuntque; ſin dura arripiantur humectantibus affectibus, aut mollia indurantibus, nequaquam aſſequuntur extremum contrarii ſibi ſtatus. Hac ratione nunquam ob meningum oedema pulſus fiet ita mollis ut ob cerebri et pulmonis, neque ex cerebro et pulmone inflammatis perinde durus ac ex meningibus. Verum his qui duri per meninges ſunt, ſimilis ille eſt qui ob ſeptum transverſum et tunicam ſuccingentem; qui cerebri et pulmonis gratia molles ſunt, ita ſunt molles ut nullus alius. His prae caeteris vicinior eſt ille qui ex jecinore et liene oritur, oedemate affectis; nam ſcirrho etiam haec viscera obſeſſa pulſus ſatis duros efficiunt; minus, ſi inflammata ſint, quam ſi laborent ſcirrho. Cerebrum et pulmo fortaſſis ne admit-

Ed. Chart. VIII. [801.] Ed. Baf. III. (152.)

σκιῤῥώδη· σκληροῖς γὰρ καὶ πυκνοῖς σώμασιν, οὐκ ἀραιοῖς καὶ μαλακοῖς ἡ τοιαύτη διάθεσις οἰκεία. κοινὰ δ' ἐπὶ πᾶσι τοῖς εἰρημένοις ἐπίστασθαι, κἂν εἰ μὴ λελεγμένα καθ' ἕκαστον τύχοι, τό τε τὰς ψυχρὰς διαθέσεις, ὅταν ὑπερβαλλόντως γενηθῶσι τοιαῦται, σκληροὺς ἐργάζεσθαι τοὺς σφυγμοὺς, ἄλλως δ' οὐχὶ, καὶ τὸ τὰς ἀρτηρίας ὅσαι πλησίον ἀλλοιοῦσθαι μᾶλλον εἰς μαλακότητά τε καὶ σκληρότητα, τὰς δ' ἤτοι πόῤῥω τῶν πεπονθότων. ἢ διὰ μέσης τῆς καρδίας ἧττον. τοῦτ' οὖν ἐπιστάμενός τις οὐδὲ περὶ τῶν ἄλλων ὅσα κατὰ πρόσωπον, ἢ τὸν τράχηλον, ἢ τὰ κῶλα, νοσήματα γίνεται, διδασκαλίας ἑτέρας δεήσεται. εἰ μὲν γὰρ πυκνὸν καὶ σκληρὸν εἴη τὸ πεπονθὸς μόριον, σκληροὺς ἐργάσεται τοὺς σφυγμοὺς, εἴτε φλεγμαῖνον, εἴτε σκιῤῥούμενον, εἴθ' ὑπερβαλλόντως ψυχόμενον, εἰς συμπάθειαν ἄγει τὰς ἀρτηρίας· εἰ δὲ σαρκῶδες, εἰ μὲν ἤτοι φλεγμήνειεν, ἢ σκιῤῥωθείη, σκληροὺς, ἀλλ' ἧττον τῶν προειρημένων· εἰ δ' οἰδήσειε, μαλακούς. συμπαθήσουσί τε τοῖς μὲν ἀρτηριώδεσι θᾶττον αἵ τ' ἐγγὺς ἀρτηρίαι πᾶσαι καὶ ἡ καρδία, τοῖς δὲ φλεβώδεσιν ἐφεξῆς τούτων, ἥκιστα δὲ τοῖς νευρώδεσιν. ἐν χρόνῳ τε γὰρ ταῦτα καὶ μεγά-

tunt quidem fcirrhum; duris enim corporibus et craffis hic affectus, non raris et mollibus familiaris eft. In communi autem de omnibus quae commemoravimus, licet non referamus figillatim, fciendum eft, affectus fi nimium frigidi fint et fupra omnem modum, duros pulfus facere, alioquin non; praeterea arterias viciniores in mollitiem et duritiem tranaire magis, quae longe disjunctae funt a locis affectis, aut fi interpofitum fit cor, minus. Quod fi teneas, nihil eft de caeteris morbis faciei, colli, artuum, quod alia praecepta requiras. Nam pars affecta fi craffa et dura fit, pulfus efficiet duros, five inflammata, five fcirrho affecta, five fupra modum refrigerata in confenfum trahat arterias; fi carnofior fit, eaque vel inflammata fit, vel fcirrho induruerit, duros quidem, fed minus fuperioribus, fin oedema habuerit, molles. Ac confentient arteriofis celerius vicinae omnes arteriae et cor; venofis fecundum has; tardiffime autem nervofis; tempore enim hae et infigniter laefae mo-

λως πάσχοντα τὴν κίνησιν τῶν ἀρτηριῶν ἀλλοιοῖ. οὐδὲν οὖν θαυμαστὸν οὐδὲ διότι τοῖς κατὰ ἐπιγάστριόν τε καὶ θώρακα μυσὶ φλεγμήνασι πυρετοὶ μὲν ἑτοίμως ἕπονται καὶ διὰ τοῦτο καὶ οἱ σφυγμοὶ μεγάλοι γίγνονται καὶ ταχεῖς καὶ πυκνοὶ, σκληρὸς δ' ἐπ' αὐτῶν ἱκανῶς ὁ σφυγμὸς ἢ σπασμώδης οὐδέποτε γίγνεται. τῶν δ' ἐν πήχει καὶ κνήμῃ μυῶν φλεγμηνάντων, καὶ μάλιστα καθ' ὃ μέρος αὐτῶν ἐκπεφύκασιν οἱ τένοντες, ἕτοιμον μὲν ἁλῶναι καὶ σπασμῷ, ῥᾷστα δ' οἱ σφυγμοὶ τείνονταί τε καὶ σκληρύνονται. σαρκώδεις μὲν γὰρ οἱ περὶ τὸν θώρακά τε καὶ γαστέρα, νευρώδεις δ' ἱκανῶς οἵ τ' ἐν χερσὶ καὶ ποσί· ἔτι δὲ μᾶλλον εἰ τένων φλεγμήνειε τῶν κατὰ χεῖρας ἄκρας ἢ πόδας, ἑτοίμως μὲν ὁ σφυγμὸς αὐτοῖς γίνεται σκληρὸς, ἑτοίμως δὲ σπῶνται. γίνονται δ' ἱκανῶς σκληροὶ σφυγμοὶ καὶ δι' ἥπατος ἢ σπληνὸς σκίῤῥον. ἀλλ' ἐπὶ τοῖς οὕτω σκληροῖς ἀδεὲς σπασθῆναι. σπληνὶ μὲν οὖν μεγάλως σκιῤῥωθέντι πολλάκις ἐθεασάμεθα μηδόλως ἐπιγενόμενον ὕδερον· ἥπατι δ' ἐξ ἀνάγκης ἕπεται καὶ γίνεται τηνικαῦθ' ὁ σφυγμὸς θαυμαστὸν ὅπως ἀμφοτέρων τῶν διαθέσεων ἔχων τὰ σημεῖα, τὸν μὲν χιτῶνα τῶν ἀρτηριῶν αὐτὸν ὑγρό-

tum arteriarum immutant. Nil mirum ergo eſt abdominis et thoracis inflammatis musculis facile comitari febres; quamobrem et pulſus fiunt magni, celeres et crebri, ſed durus illis pulſus vel convulſivus nunquam fit. Si ulnae vel tibiae musculi inflammati ſint, maxime qua parte tendines exoriuntur, facile convulſione corripiuntur, facillime etiam pulſus tenduntur ac indurescunt; thoracis etenim et ventris carnoſi musculi ſunt, nervoſiores manuum et pedum. Adeoque ſi tendo aliquis in ſummis manibus vel pedibus inflammatus ſit, prompte illis pulſus durus fit, prompte item convelluntur. Jam vero admodum duri fiunt pulſus ex ſcirrho jecinoris vel lienis; ſed iis quibus ad eum modum ſunt duri, nullum convulſionis periculum eſt. Ac quum inſigni lien ſcirrho affectus eſſet, frequenter conſpeximus non conſecutum hydropem; jecinori vero ſuccedit neceſſario; fitque tum pulſus mirum praeditus ſignis utriusque affectus, tum tunica ipſa arteriarum humidiore

τερόν τε καὶ μαλακώτερον, ἐνδεικνύμενον δὲ σαφῶς τὴν ἐπὶ τῷ σκίῤῥῳ τάσιν, καὶ διὰ τοῦτο καὶ σκληρότερον. αὐτὸς δὲ καθ' ἑαυτὸν ὕδερος ἄνευ σπλάγχνων φλεγμονῆς οὐδεμίαν ἐργάζεται περὶ τὸν σφυγμὸν τάσιν. συνίστανται δ' οἱ τοιοῦτοι δι' αἱμοῤῥοΐδος ἄμετρον κένωσιν, ἢ ἐπίσχεσιν ἀήθη. κατὰ δὲ τὸν αὐτὸν τρόπον αἱ τῶν καταμηνίων ἐπισχέσεις τε καὶ ἄμετροι κενώσεις ὑδέρους ἐπιφέρουσιν. ὅσα δὲ κατὰ μήτραν πάσχουσι γυναῖκες εἴρηται πρόσθεν ὅπως ἀλλοιοῖ τοὺς σφυγμοὺς, ἡνίκα παρεβάλλομεν αὐτὴν κύστει.

Κεφ. ί. Λοιπὸν οὖν ἔτι περὶ τῶν κατὰ τοὺς ὄρχεις μνημονεῦσαι προσήκει. ταυτὶ γὰρ τὰ μόρια καίτοι γ' οὖν ἐκτὸς ὄντα βουβώνων [305] αὐτίκα πυρετοὺς ἐπιφέρει φλεγμήναντα διὰ τὴν τῶν ἀγγείων γειτνίασιν. ἄνωθεν γὰρ ἀπὸ τῶν κατὰ τοὺς νεφροὺς χωρίων καταφέρεται φλὲψ καὶ ἀρτηρία διὰ τῶν τοῦ περιτοναίου τρημάτων ἐπὶ τοὺς ὄρχεις, ἀξιόλογα τὸ μέγεθος ἀγγεῖα. καὶ ὁ ἐλυτροειδὴς δὲ χιτὼν ἀπ' αὐτοῦ τοῦ περιτοναίου πέφυκεν, ὥστ' εὐλόγως ἐπὶ τούτῳ μὲν φλεγμήναντι σκληρὸς ὁ σφυγμὸς γίγνεται, καὶ διὰ τοῦτο καὶ μικρότερος, ἐπ' ὄρχεσι δ' οὐθ' ὁμοίως σκληρὸς καὶ μέγας

mollioreque, tum indicante aperte tenfionem ex fcirrho, atque ita duriore. Ipfe fua fponte hydrops citra viscerum inflammationem pulfum non intendit; ille exoritur propter haemorrhoidum immodicam vacuationem, aut infolitam fuppreffionem, itemque menftruorum fuppreffiones et immodicae vacuationes aquam inter cutem gignunt. Uteri affectus mulierum declaravimus ante quemadmodum varient pulfus, quum veficae eum compararemus.

Cap. X. Unum etiam reliquum eft de teftibus ut dicamus; nam hae partes etfi extra inguina funt, ftatim ubi inflammata funt, febres propter vaforum vicinitatem accendunt. Etenim fuperne a renum regionibus vena et arteria descendunt per peritonaei foramina ad teftes, vafa fane magnitudine infigni; etiam ipfa tunica elytroides adnata peritonaeo eft. Quare merito fi haec fit inflammata, pulfus durus fit, ac proinde minor; ex teftibus non ita

διὰ τὸν πυρετόν. ὅσα μὲν γὰρ ἀρτηριώδη τέ ἐστι καὶ φλεβώδη μόρια, πυρετοὺς ἐγείρει μᾶλλον· ὅσα δὲ νευρώδη, ἢ οὐδόλως ἢ μικροὺς, τετάνων δ᾽ ἐστὶ καὶ σπασμῶν γεννητικά. τὰ μὲν οὖν προτεθέντα πάντα ἤδη τέλος ἔχει, τὰς γὰρ ἐν ἑκάστῳ μορίῳ διαθέσεις ἁπάσας ὑπελθόντες ἐδηλώσαμεν ὁποῖόν τινα ἑκάστη τροπὴ ἐργάζεται σφυγμόν.

Κεφ. ια΄. Ὅπερ δ᾽ ἀναγκαιότατόν ἐστιν, εἰς ὀλίγα κεφάλαια τὴν σύνοψιν αὐτῶν ἀναγαγεῖν πειραθῶμεν. ἡ μὲν δὴ τῶν ἐνεστώτων διάγνωσις οὐδὲν ἄλλο ἐστὶν ἢ διαθέσεων εὕρεσις· ἡ δὲ τῶν προγεγονότων οὐδὲν αὖ πάλιν ἄλλο τῶν τὰς διαθέσεις ἐργαζομένων αἰτίων. εἰ τοίνυν ἅπασαι μὲν αἱ διαθέσεις ἐν τῇδε τῇ πραγματείᾳ διῄρηνται, ἅπαντα δ᾽ εἴρηται τὰ ποιητικὰ μὲν ἐν ἑτέραις πραγματείαις, τὰ δ᾽ ἐν τῇ προηγουμένῃ τῇσδε τῇ περὶ τῶν ἐν τοῖς σφυγμοῖς αἰτίων, λείποιτ᾽ ἂν οὐδὲν ἔτι τῶν εἰς πρόγνωσιν ἀναγκαίων ἤτοι τῶν προγεγονότων ἢ τῶν παρόντων. ὅτι δὲ καὶ ἡ τῶν μελλόντων πρόγνωσις ἐκ τῶν ἐνεστώτων γίνεται, πολλάκις μὲν ἤδη καὶ διὰ τῶν ἔμπροσθεν εἰρημένων ἐνεδειξάμεθα, καὶ νῦν δ᾽ ἀναγκαῖον ἅπαντα διελθεῖν ἐπὶ κεφαλαίων τὸν λόγον,

durus et magnus, caufa febris. Quae enim partes arteriofae et venofae funt, febres excitant magis, quae nervofae, aut nullas omnino aut parvas, at tetanos generant et convulfiones. Omnia jam quae inftitueramus abfolvimus; nam fingularum partium omnibus affectibus recenfitis declaravimus quem quaeque mutatio pulfum creat.

Cap. XI. Nunc ergo quod in primis operae pretium eft, compendiofe haec in pauca capita reducamus; nam praefentium cognitio nihil aliud eft ac affectuum inventio; cognitio praeteritorum nihil etiam aliud atque inventio caufarum quae affectus inducunt. Quare fi in his commentariis omnes affectus explicati funt, omnes autem caufas effectrices partim in aliis commentariis expofuimus, partim in fuperioribus de caufis pulfuum, nihil jam defideretur ad praefentienda praeterita vel praefentia. Nam futurorum fumi praefagia ex praefentibus etfi faepe jam ante monftravimus, tamen omnia nunc etiam fummatim

ἀρχὴν αὐτῶν τήνδε ποιησαμένους τῆς περὶ τὸ μέλλον ἀποβήσεσθαι διαγνώσεως. ἓν μὲν καὶ πρῶτόν ἐστιν εἰς ὅ τι τελευτήσει τὸ νόσημα, πότερον εἰς ὄλεθρον, ἢ εἰς σωτηρίαν· ἕτερον δ' ἐπ' αὐτῷ δεύτερον, ἐν τίνι μάλιστα τοῦτ' ἔσται χρόνῳ. καὶ τρίτον δ' ἐπὶ τούτοις τίς ὁ τρόπος ἔσοιτο τοῦ τε θανάτου καὶ τῆς σωτηρίας. ἁπάντων δὲ τούτων ἡ πρόγνωσις ἐκ τῶν διαθέσεών ἐστιν. ἐξ αὐτῶν γὰρ, ὡς ἐδείξαμεν, ἥ τε τοῦ νοσήματος ἰδέα καὶ τῆς δυνάμεως ἀῤῥωστία τε καὶ ῥώμη διαγιγνώσκεται. τούτων δ' ἀλλήλοις παραβαλλομένων τὰ μέλλοντα γενήσεσθαι προγινώσκεται. τοῦ μὲν γὰρ νοσήματος ἡ γνῶσις ἐκ τόπου τοῦ πεπονθότος ἐστὶ καὶ τῆς ἐν αὐτῷ διαθέσεως· τῆς δὲ δυνάμεως ἐκ τῆς εὐκρασίας τε καὶ δυσκρασίας τῶν στερεῶν σωμάτων. εἰ γὰρ ἀσθένειαι γίνονταί τινες, διὰ τὸ πνεῦμα τὸ ψυχικὸν ὀλιγοχρόνιοί τ' εἰσὶ καὶ συμπτωματικαί. ἀλλήλοις δὲ τούτων παραβαλλομένων, εἰ μὲν οἵα τέ ἐστι τὴν ἀκμὴν τοῦ νοσήματος ἐνεγκεῖν ἡ δύναμις, ἀνάγκη σωθῆναι τὸν ἄνθρωπον, ἔξωθέν γε μηδενὸς ἁμαρτηθέντος· εἰ δ' οὐχ οἵα τε, πάντως τεθνήξεσθαι. τοῦ χρόνου δ' ἡ πρόγνωσις, ἐν ᾧ τῶν εἰρημένων ἑκάτερον

necesse est percurramus, hinc inducto exordio de eventis quae expectantur dignoscendis. Unum est ac primum quidem, quo erumpet morbus, ad exitiumne an ad salutem; alterum ab hoc, quo potissimum hoc tempore accidet; tertium jam quinam modus erit mortis et salutis. Haec omnia ex affectibus praesagiuntur; ex ipsis enim, ut ostendimus, morbi genus et facultatis imbecillitas vel robur dignoscitur; haec si inter se conferantur, futura praesentiuntur. Morbus enim cognoscitur ex loco affecto ejusque affectu; facultas ex proba temperie, vel intemperie corporum solidorum; nam si imbecillitates quaedam ob spiritum animalem accidant, breves sunt illae et symptomatum ratione consequuntur. Haec si inter se conferantur, si facultas morbi vigorem possit sustinere, servari hominem necesse est, siquidem nihil erratum sit extrinsecus, sin autem sit impar, moriatur necesse est. Tempus quo utrunque

ἔσοιτο, διὰ τῶνδε γινώσκεται. σωθήσονται μὲν οἱ μέλλοντες σώζεσθαι κατ' ἐκεῖνον τὸν χρόνον ἐν ᾧπερ ἂν ἡ φύσις ἐπικρατήσῃ τελεώτατα τῆς νοσώδους διαθέσεως· τεθνήξεται δὲ κατ' ἐκεῖνον τὸν χρόνον ἐν ᾧπερ τὸ νόσημα τῆς δυνάμεως εἰς τοσοῦτον ἔσται κρεῖττον ὡς ἐνέργειάν τινα τῶν πρὸς τὸ ζῆν ἀναγκαίων ἀπολέσθαι. καὶ μὲν δὴ καὶ ὁ τρόπος ὅ τε τοῦ θανάτου καὶ ὁ τῆς σωτηρίας ἐκ τῶν αὐτῶν προγνωσθήσεται. τῶν γὰρ ἀπολλυμένων ἐνεργειῶν ἀναγκαίων εἰς τὸ ζῆν ἔνιαι μὲν πνίξιν ἐπιφέρουσιν, ἔνιαι δὲ τῆς ζωτικῆς δυνάμεως κατάπτωσιν, ἔνιαι δ' ἀνάλογον τῆς ζωτικῆς κατάπτωσίν τε καὶ οἷον πνίξιν. αἱ μὲν οὖν τῆς ζωτικῆς δυνάμεως ἐπιφέρουσαι πνίξιν ἐκ τῶν τοῦ θώρακός τε καὶ πνεύμονος, ἔτι τε τραχείας ἀρτηρίας καὶ λάρυγγος καὶ φάρυγγος ὁρμῶνται διαθέσεις· ἔνιαι δὲ καὶ κατ' αὐτὴν εὐθέως συνίστανται τὴν καρδίαν· αἱ δὲ τὴν κατάπτωσιν ἔκ τε τῶν στομαχικῶν ὀνομαζομένων διαθέσεων, ἐφ' αἷς [306] συγκόπτονται, καὶ προσέτι τῶν καθ' ἧπαρ χρονίων, ἐφ' αἷς ἀτροφοῦσι, καὶ ἀλγημάτων χρονίων, ἢ σφοδρῶν, ἔτι τε τῶν ἑκτικῶν ἁπάντων πυ(153)ρετῶν. συνελόντι δὲ φάναι, τοῦ τῆς καρδίας

horum accidet ex his praefcietur. Evadunt qui erunt fuperftites illo tempore quo morbofam affectionem femel fuperatura eft natura; morientur tunc temporis quo facultatem morbus adeo profternet ut functio aliqua ad vitam neceffaria pereat. Et vero etiam modus tum mortis tum falutis indidem praefcietur. Functiones enim quae ad vitam requiruntur abolitae partim fuffocant, partim vitalem facultatem profternunt, partim proportione et vitalem profternunt et fuffocant. Vitalem facultatem fuffocant affectus qui ex thorace, pulmone, afpera arteria, guttere faucibusque procedunt, nonnulli etiam ipfum ftatim cor occupant. Qui profternunt facultatem, ex ftomachicis, quos vocant affectibus, unde fyncope corripiuntur; ex jecinoris etiam diuturnis, propter quos cibum non fentiunt; praeterea ex longis doloribus, vel vehementibus; ad haec ex omnibus hecticis febribus; breviter corporis cordis in-

Ed. Chart. VIII. [306.] Ed. Bas. III. (153.)

σώματος αἱ μεγάλαι δυσκρασίαι, καθ' ὃν ἄν τινα τρόπον ἢ αὐταὶ καθ' ἑαυτὰς εὐθὺς ἐξ ἀρχῆς, ἢ δι' ἕτερα σπλάγχνα πάθωσι, καταπτῶσιν ἐπάγουσι τῆς ζωτικῆς δυνάμεως. οὕτω δὲ καὶ τῆς ψυχικῆς δυνάμεως αἱ μὲν ἀῤῥωστίαι ταῖς ἐγκεφάλου μεγάλαις ἕπονται δυσκρασίαις, αἱ δ' οἷον πνίξεις ταῖς τε πληρώσεσι τῶν κοιλιῶν αὐτοῦ καὶ ταῖς ἐμφράξεσι τῶν εἰς αὐτὰς ἡκόντων πόρων. ὥσθ' ὅστις ἀκριβῶς διαγινώσκει μέτρον τε δυνάμεως καὶ τόπον πεπονθότα καὶ τὴν ἐν αὐτῷ διάθεσιν, οὗτός ἐστιν ὁ προγνωστικώτατος τῶν ἐσομένων. ὅπως μὲν οὖν χρὴ διαγινώσκειν τὰ πεπονθότα μόρια δι' ἑτέρας δεδήλωται πραγματείας· ὅπως δὲ καὶ τὰς διαθέσεις αὐτῶν ἐν ἐκείνῃ τε συνεπιδέδεικται κᾀν τοῖς περὶ κρίσεων οὐχ ἥκιστα, καὶ μέντοι κᾀν τῇδε τῇ πραγματείᾳ. λέλεκται δὲ καὶ περὶ τῶν δυνάμεων ἐν πολλοῖς πολλάκις ὡς ἔκ τε τῶν ἐνεργειῶν αὐτῶν ἡ διάγνωσις ἔκ τε τῆς τῶν ἐνεργούντων δυσκρασίας. περὶ μὲν δὴ τῶν ἄλλων δυνάμεως ἐν ἑτέρῳ διώρισται, περὶ δὲ τῆς τοὺς σφυγμοὺς ἐργαζομένης, ἣν δὴ καὶ ζωτικὴν ὀνομάζομεν, εἴρηται μὲν καὶ ἐν τούτοις οὐκ ὀλίγα, λεχθήσεται δὲ καὶ νῦν.

gens intemperies quoquo modo, five per fe haec inde ab initio, five propter alia viscera conftituatur, dejicit vitalem facultatem. Jam vero etiam animalis facultatis imbecillitates cerebri magnam intemperiem comitantur; ejusdem quafi fuffocationes impletionibus ejus ventriculorum et obftructionibus meatuum qui in eos penetrant. Proinde cui menfura facultatis perfpecta ad unguem fit locusque affectus et ejus affectus, hic ad futura praefentienda eft peritiffimus. Quemadmodum vero dignoscendae fint partes affectae, in aliis commentariis explicavimus. Ac quomodo etiam illarum affectus cum illis tum maxime in libris de judicationibus et etiam in hac lucubratione; de facultatibus etiam faepe diximus multisque locis; atque ex actionibus cognoscuntur et ex agentium intemperie. De caeteris facultatibus egimus alio loco: at de illa quae pulfus efficit, quam fcilicet appellamus vitalem, et in his commentariis verba fecimus non pauca et faciemus etiam nunc.

Κεφ. ιβ'. Ἐπειδὰν μὲν ἅπαντες ἀμυδροὶ τυγχάνωσιν ὄντες οἱ σφυγμοὶ, κατὰ τὸν ἑαυτῆς λόγον ἡ δύναμις ἀῤῥωστεῖ, καθ' ὅλον μὲν τὸ σῶμα τούτου γινομένου, τοῦ τῆς καρδίας σώματος ἔχοντος δυσκράτως, καθ' ἓν δὲ μόριον, ἐκείνου μόνου τοῦ μορίου. ἐπειδὰν δὲ κατὰ τὰς αὐτὰς ἀρτηρίας ἐνίοτε μὲν ἀμυδρὸς ὁ σφυγμὸς, ἐνίοτε δ' ᾖ σφοδρὸς, οὐ κατὰ τὸν ἑαυτῆς λόγον ἡ δύναμις ἀσθενής ἐστιν, ἀλλ' ὑπὸ πλήθους βαρύνεται. μόνην δὲ οὔποθ' εὗρον οὔτ' ἐν ὅλῳ τῷ σώματι τὴν τοιαύτην ἀνωμαλίαν οὔτε καθ' ἕν τι μόριον, ἀλλὰ καὶ τἄλλα τρία γένη συμμεταβάλλοντά τε καὶ ἀνώμαλα γινόμενα. λέγω δὲ τρία γένη τό τε κατὰ μέγεθος καὶ μικρότητα καὶ τὸ κατὰ τάχος καὶ βραδύτητα καὶ τὸ κατὰ πυκνότητα καὶ ἀραιότητα. καὶ γὰρ μεγάλοι καὶ μικροὶ καὶ μέσοι, καὶ ταχεῖς καὶ βραδεῖς καὶ μέσοι, καὶ πυκνοὶ καὶ ἀραιοὶ καὶ μέσοι, καθάπερ γε καὶ ἀμυδροὶ καὶ σφοδροὶ καὶ μέσοι ταῖς ὑπὸ πλήθους χυμῶν βαρυνομέναις γίνονται δυνάμεσιν. εἰ μὲν οὖν οἱ σφυγμοὶ οἱ σφοδροὶ καὶ μεγάλοι πλείους τῶν ἐναντίων ὑπάρχοιεν, ἧττον ἡ δύναμις ὑπὸ τοῦ πλήθους κέκμηκεν· εἰ δ' οἱ μικροὶ καὶ ἀμυδροὶ, μᾶλλον. οὕτω δὲ καὶ τῶν κατὰ

Cap. XII. Quum omnes pulsus per se languidi sunt, infirma facultas est; quod per totum corpus fiet, quum ipsum cordis corpus intemperatum sit; in una parte, quum sola illa pars. Ubi earundem arteriarum nunc languidus pulsus sit, nunc vehemens facultas, non est per se quidem imbecilla, sed abundantia humorum gravatur. Solam autem nec in toto corpore hanc inaequalitatem nec una in parte inveni unquam, sed alia simul tria genera immutari fierique inaequalia; tria genera inquam, magnitudinis et parvitatis, celeritatis et tarditatis, crebritatis et raritatis; etenim magni, parvi, medii, celeres, tardi, medii, crebri, rari, medii, non aliter ac languidi, vehementes, medii facultatibus accidunt, quae a copia humorum gravantur. Ac si pulsus vehementes et magni numero contrarios vincant, minus facultas offenditur a copia; sin parvi et languidi, magis. Et inaequales item in uno ictu, tum quos

μίαν πληγὴν ἀνωμάλων, ὅσοι τε διακοπτομένης ἡσυχίᾳ τῆς κινήσεως, ὅσοι τε συνεχοῦς μενούσης ἐλέχθησαν γίνεσθαι, πάντες οὗτοι τὰ τέλη τῶν κινήσεων εὐτονώτερά τε καὶ θάττονα ποιούμενοι ῥωμαλεωτέραν ἐνδείκνυνται τὴν δύναμιν ὑπάρχειν ἁπάντων τῶν ἀμυδροτέραν τε καὶ βραδυτέραν ποιουμένων. ἐλέχθη δ' αὐτάρκως καὶ περὶ τῆς ἐν τοῖς μυούροις διαφορᾶς. ὅταν οὖν ποτε ἐπὶ τῇ τοιαύτῃ καταστάσει σφυγμῶν ὑψηλὸς ὁ σφυγμὸς φανῇ, δῆλον μὲν ὅτι μέγας ἱκανῶς ὁ τοιοῦτός ἐστιν, ὡς ἔμπροσθεν εἴρηται, δηλώσει δὲ τὴν φύσιν ἐπικρατεῖν ἤδη τοῦ πλήθους. ἀμυδρὸς μὲν οὖν σφυγμὸς ὑψηλὸς οὐδέποτε γίνεται, μᾶλλον μέντοι καὶ ἧττον σφοδρὸς, ὅσωπερ ἂν ὑψηλότερός τε ἅμα καὶ σφοδρότερος ἀποτελεσθῇ, τήν τε ῥώμην ἐνδείκνυται τῆς δυνάμεως ἀκώλυτόν τε τὴν κίνησιν. εὐθὺς δὲ τῇ τοιαύτῃ μεταπτώσει συμμεταβάλλειν ἀναγκαῖόν ἐστι τὴν ἔμπροσθεν ἀνωμαλίαν, καὶ πρῶτον μὲν τοὺς μεγάλους καὶ ὑψηλοὺς σφυγμοὺς πολὺ πλείους γενέσθαι τῶν ἐναντίων, ἔπειτα δὲ καὶ πάντας ἑξῆς ὁμαλοὺς, ἐξ ἀνάγκης οὗτοι δι' ἐκκρίσεων κριθήσονται. καὶ οὐ μόνον τοῖς ὑψηλοῖς τε καὶ σφοδροῖς σφυγ[307]μοῖς,

interpellato quiete motu tum quos perpetuo manente diximus fieri, hi omnes, fi fines motuum validiores et celeriores efficiant, nunciant facultatem effe robuftiorem omnibus qui languidiorem et tardiorem efficiant. De differentia decurtatorum fatis etiam eft dictum. Quum ergo in tali ftatu pulfuum altus pulfus videatur, apertum eft illum permagnum effe, ut ante diximus; declarabit etiam fuperiorem jam naturam copia effe. Languidus igitur pulfus nunquam altus eft; caeterum magis et minus vehemens, quo altior fimul et vehementior evaferit, robur facultatis nunciabit liberumque motum. Simul autem cum ea mutatione mutari prius neceffe eft inaequalitatem, ac primum magnos et altos pulfus contrariis multo plures; deinde omnes ordine aequales; hi excretionibus neceffe eft indicentur. Nec altos tantum et vehementes pulfus hoc comitatur, fed

ἀλλὰ καὶ τοῖς μεγάλοις ὁμοῦ καὶ σφοδροῖς ἕπεται τοῦτο· βεβαιότερον δὲ καὶ ἀδιαψευστότερον, ὅταν ὑψηλοὶ γενηθῶσιν. ἐπισκέπτεσθαι δὲ τηνικαῦτα τὴν κίνησιν τῆς συστολῆς· ἀεὶ μὲν γὰρ ἀποτιθεμένην εὑρήσεις αὐτὴν τὸ πρόσθεν τάχος, ἧττον δὲ καὶ μᾶλλον πάσχουσαν τοῦτο. διορισμὸς οὖν ἐντεῦθέν σοι τοῦ τῆς κρίσεως ἤθους ὑπάρξει. βελτίων γὰρ ἡ κρίσις ἀκολουθεῖν εἴωθε τοῦ κατὰ τὴν συστολὴν τάχους ἐπιπλέον ἐκλυθέντος. εἰ δὲ καὶ τἄλλα τῆς πέψεως ὑπάρχοι γνωρίσματα, γέγραπται δ' ἐν τοῖς περὶ κρίσεων ἅπαντα, τὴν ἀρίστην κρίσιν ἡ τοιαύτη προδηλοῖ κατάστασις. εἰ δὲ τὸ τάχος τῆς συστολῆς ἐπ' ὀλίγον ἐκλυθῇ, ἢ καὶ μήπω φαίνοιτο πεπέφθαι τὸ νόσημα, γενήσεται μὲν ἡ μετ' ἐκκρίσεως κρίσις, οὐ μὴν ἀγαθή γε πάντως, ἀλλ' ἔχουσά τι τῶν κακῶν κρίσεων, ἢ ἓν, ἢ δύο, ἢ καὶ πάνθ' ἅμα συνόντα. χωρὶς μέντοι τοῦ προηγεῖσθαι τὴν προειρημένην ἀνωμαλίαν ὁ σφυγμὸς μέγας τε καὶ σφοδρὸς γινόμενος οὐκ ἀεὶ σημαίνει τὴν ἔκκρισιν· ὁ δ' ὑψηλὸς ἀεὶ μὲν, ἀλλὰ χωρὶς τοῦ προγεγονέναι τὴν ἀνωμαλίαν, εἰ συσταίη, μετρίας ἐκκρίσεις ἔσεσθαι σημαίνει· παμπόλλας δ', ὅταν ἐπὶ ταῖς πολλαῖς τὸ πρὸς

etiam magnos pariter et vehementes; at certius et firmius, fi alti fint. Hic contractionis motus eft attendendus: femper enim abjicere invenies eam priorem celeritatem et minus hoc et magis eam facere. Itaque discretio tibi hinc modi judicationis fuppetit; melior enim judicatio folet expectari contractionis celeritate plus remiffa; et fi huc alia figna accedant concoctionis, quae fum omnia complexus in commentariis De judicationibus, optimam judicationem promittit hic ftatus. Quod fi contractionis celeritas parum fit remiffa, aut morbus haud dum videatur concoctus effe, expectanda quidem eft judicatio per excretionem, non tamen undequaque probata, fed aliquid habebit malarum judicationum, aut unum, aut duo, aut etiam fimul omnia. At fi pulfus fit magnus et vehemens, nec praecedat illa inaequalitas, non femper portendit excretionem. Altus femper quidem, fed fi non praecefferit inaequalitas, modicas excretiones fpondet; copiofas, quum multas fequatur inae-

τὴν δυνάμιν πλῆθος ἐνδεικνυμέναις ἀνωμαλίαις γενηθῇ. θαυμαστὸν οὖν ἴσως δόξει τὸ τῶν ἀρίστων ἐκκρίσεων ὑψηλόν τε ἅμα καὶ σύμμετρον τῷ τάχει κατὰ τὴν συστολὴν προηγεῖσθαι σφυγμὸν, ἑπομένων γε τῶν ἐκκρίσεων οὐκ ἐν ταῖς διαστολαῖς τῶν ἀρτηριῶν, ἡνίκα ἕλκουσιν εἰς ἑαυτὰς, ἀλλ' ἐν ταῖς συστολαῖς, ἡνίκ' ἐκκρίνουσι. καί μοι δοκεῖ τοῦτο μάλιστα καὶ τοὺς περὶ τὸν Ἀρχιγένη πεῖσαι κατὰ μὲν τὰς συστολὰς ἕλκειν τι τὰς ἀρτηρίας εἰς ἑαυτὰς, κατὰ δὲ τὰς διαστολὰς ἐκκρίνειν. ἀλλ' ὅτι μὲν ἀδύνατον τοῦτο, δέδεικται διὰ τὸ περὶ χρείας σφυγμῶν· ἥτις δ' ἐστὶν ἡ αἰτία, δι' ἣν ὁ ὑψηλός τε ἅμα καὶ ὁ ταχὺς ἐν τῇ συστολῇ σφυγμὸς ἀγγέλλει κριτικὰς ἐκκρίσεις, ἐν τῷδε λεχθήσεται· οὐχ ἡ αὐτὴ δύναμίς ἐστιν ἥ τε ζωτικὴ προσαγορευομένη καὶ ἡ θρεπτική τε καὶ ἡ φυσική. τῆς μὲν γὰρ ἔργον ἐστὶν ἓν τοῦτο μόνον, ἡ τοῦ σφυγμοῦ γένεσις· ἡ φυσικὴ δὲ τό τ' οἰκεῖον εἰς τὴν θρέψιν ἕλκειν καὶ τὸ μὴ τοιοῦτον ἀποκρίνειν σὺν τῷ καὶ κατέχειν δηλονότι καὶ ἀλλοιοῦν τὸ οἰκεῖον. εἰς γὰρ τὸ τρέφεσθαι τὰ σώματα τούτων ἁπάντων δεῖται, καθάπερ γε καὶ εἰς τὸ φυλάτ-

qualitates, quae declarant facultatem copia onerari. Miraberis optimis judicationibus altum una et moderatum celeritate in contractione pulfum, praefertim confequentibus excretionibus antecedere, ei non in diftentionibus arteriarum, quum in fe attrahant, fed in contractionibus quando excernunt. Quod mihi videtur praecipue Archigenem adduxiffe ut putaret arterias in contractionibus attrahere aliquid in fe ipfas, in diftentionibus excernere; at fieri hoc non poffe in libro De ufu pulfuum docuimus. Quae vero fit caufa quamobrem altus fimul et celer in contractione pulfus promittat decretorias excretiones, hoc loco explanabimus. Non eadem eft facultas vitalis quam vocant et nutrix naturalisque; illius enim hoc unum opus eft, generatio pulfus; naturalis id quod familiare eft ad nutritionem allicere et quod eft alienum excernere, praeterea retinere alterareque familiare alimentum; ad nutrien-

τεσθαι τὴν συμμετρίαν τῆς ἐμφύτου θερμασίας τοῦ διαστέλλεσθαί τε καὶ συστέλλεσθαι τὰς ἀρτηρίας καὶ τὴν καρδίαν. ἥντινα δύναμιν οὔτ᾽ ἐν τοῖς φυτοῖς ἔστιν εὑρεῖν οὔτ᾽ ἐν τοῖς ζώοις ὅσα ψυχρὰ, καθάπερ τά τ᾽ ὄστρεα καὶ ὅσα προσπέφυκε πέτραις, ἤ τισιν ἄλλοις στερεοῖς σώμασιν. ὅσα δὲ θερμὰ τῶν ζώων ἐστὶ, καὶ μάλιστα τὰ ἔναιμα, φανερωτάτην τε καὶ σφοδροτάτην ἔχει τὴν τοιαύτην δύναμιν. αὕτη μὲν οὖν ἐν ταῖς συστολαῖς τῶν σφυγμῶν ἀποχεῖ τὸ λιγνυῶδες περίττωμα μόνον, ὅσον ἂν ἐμποδὼν ἵστηται τῇ συμμετρίᾳ τῆς ἐμφύτου θερμασίας, ὥσπέρ γε καὶ κατὰ τὰς διαστολὰς ἐπισπᾶται τὸ ἀναψῦχον αὐτήν. ἡ δὲ ἑτέρα δύναμις ἡ θρεπτικὴ τό τ᾽ οἰκεῖον εἰς τὴν θρέψιν ἕλκει καὶ τὸ ἄχρηστον ἐκκρίνει. διάφοροι μὲν οὖν αἱ ἀρχαὶ τῶν δυνάμεών εἰσιν, ὡς καὶ τοῦτ᾽ ἐν τοῖς περὶ τῶν Ἱπποκράτους τε καὶ Πλάτωνος ἐπιδέδεικται δογμάτων· ἐπιμίγνυνται δ᾽ ἀλλήλαις ἐν τοῖς κατὰ μέρος ὀργάνοις. αἱ γοῦν ἀρτηρίαι καθόσον τρέφονται τῇ θρεπτικῇ διοικοῦνται δυνάμει, καὶ ταύτης ἔργον ἐστὶν ἔκκρισις τῶν περιττωμάτων

da enim corpora poſtulat haec omnia, ſicut ad nativi caloris tuendam mediocritatem, diſtentionem et contractionem arteriarum atque cordis. Quam facultatem nec in ſtirpibus invenias nec in animalibus frigidis, cujus generis ſunt oſtrea et quae petris vel aliis duris corporibus adnaſcuntur; animalia calida, potiſſimum ſanguine praedita, apertiſſimam hanc facultatem et vehementiſſimam obtinent. Haec ergo in contractionibus pulſuum ejicit ſolum fuliginoſum excrementum, quod obſtiterit naturalis caloris mediocritati; ſicut in diſtentionibus, quod ſe refrigeret, allicit. Altera facultas nutrix conveniens attrahit alimentum et inutile excernit. Diſtincta igitur facultatum principia ſunt, ut in commentariis De Hippocratis et Platonis placitis oſtendi, caeterum in ſingulis inſtrumentis inter ſe confunduntur. Nam arteriae quatenus nutriuntur, facultate nutrice gubernantur, cujus excernere alimenti excrementa munus eſt, ſicuti alte-

τῆς τροφῆς, ὥσπερ τῆς ἑτέρας τῆς ζωτικῆς ἡ τῶν καπνωδῶν περιττωμάτων ἔκκρισις. ὅταν μὲν οὖν ταῦτα πλεονάζῃ, μεγίστην τε ἅμα καὶ ταχεῖαν αἱ ἀρτηρίαι ποιοῦνται τὴν συστολὴν, καὶ εἴπερ ἦν ἐς αὐτὰς ἔσω καθέντα τὸν δάκτυλον ἐπὶ τὴν τῶν σφυγμῶν διάγνωσιν ἥκειν, ᾐσθόμεθα ἂν (154) αὐτῶν ἀκριβῶς ἐπὶ πλεῖστον εἴσω φερομένων· ἐπεὶ δ' ἀδύνατον τοῦτο, τῷ τάχει μὲν πρώτως καὶ μάλιστα προσέχειν τὸν νοῦν χρή· ἑξῆς δὲ καὶ τῷ ποσῷ τῆς συστολῆς, εἴ τις ἱκανῶς εἴη διαγινώσκειν αὐτὴν γεγυμνασμένος. ἐπειδὰν δὲ ταῦτα μὲν τὰ περιττώματα μηκέτι ᾖ, πεφθῶσι δ' οἱ πρότερον σηπόμενοι χυμοὶ, ἑτέρᾳ δυνάμει τῇ φυσικῇ τὰ περιττώματα τῶν πεφθέντων ἐκκρίνεται. [308] διαπεφοίτηκε δ' αὕτη διὰ παντὸς μορίου τοῦ ζώου, καὶ διὰ τῶν σαρκῶν καὶ διὰ τῶν νεύρων καὶ διὰ τῶν συνδέσμων καὶ διὰ τῶν ὀστῶν, οὐ διὰ μόνων τῶν ἀρτηριῶν τε καὶ φλεβῶν διατέταται. αὕτη τοίνυν ἐστὶν ἡ δύναμις ἡ καὶ τὰς κρίσεις ἐργαζομένη, καὶ καθόσον ταύτης μετέχουσιν αἱ ἀρτηρίαι, τὸ περιττὸν ἀποτρίβονται. διὰ δὲ τὴν ἑτέραν δύναμιν τὴν σφυγμικὴν, ἧς μόναι μετέχουσιν, ἀποκρίνουσιν

rius vitalis fumosa excrementa expellere. Quando igitur haec abundant, arteriae maximam simul et celerem contractionem moliuntur. Quod si fieri posset ut digito intro in eas immisso pulsus exploraremus, perciperemus eas penitissime intro ferri; sed quoniam hoc non potest, celeritas primum potissimumque attendenda est; deinde contractionis quantitas, si probe ad eam dignoscendam sis exercitatus. Quum vero haec excrementa nulla amplius sint concoctique sint humores qui antea putrescebant, altera facultate naturali concoctorum excrementa excernit. Haec per omnia membra permanavit animantis, perque carnem et nervos et ligamenta ossaque, non per solas arterias et venas est distensa. Atque haec est illa facultas quae etiam judicationes efficit; cujus quatenus participes arteriae sunt, excrementum expellunt. Altera facultate pulsatrice, quam solae hae obtinent, in contractionibus fu-

ἐν ταῖς συστολαῖς τὸ καπνῶδες περίττωμα, καθάπερ ἐν ταῖς διαστολαῖς ἕλκουσι τὸ ἀναψῦχον αὐτάς. ἡ χρεία δ' οὐκ ἴση διὰ παντὸς ἑκατέρων ἐστὶν, ἀλλ' ἡ τοῦ πλεονάζοντος ἔστιν ὅτε κρατεῖ. καὶ τοίνυν καὶ τυποῖ καθ' ἑαυτὴν τὸν σφυγμὸν, εἰ καὶ τὰ τῆς δυνάμεως ὡσαύτως ἔχοι. τοῦ μέντοι καπνώδους περιττώματος κρατοῦντος ἐπὶ πλεῖστον μὲν συστέλλεται, διαστέλλεται δ' οὐκ ἐπὶ πλεῖστον ἡ καρδία μετὰ τῶν ἀρτηριῶν, ἀλλὰ τοσοῦτον μόνον ὅσον αὔταρκες εἰς ἀνάψυξιν ἀπὸ τῆς ἐσχάτης συστολῆς αὐταῖς ὑπάρχει. εἰ δὲ τὸ μὲν καπνῶδες θερμὸν ὀλίγον εἴη, πλεῖστον δὲ τὸ ἀπέριττόν τε καὶ καθαρὸν καὶ οἷον φλογῶδες, ἐπιπλεῖστον μὲν ἐξαίρονται διαστελλόμενα, συστέλλονται δὲ τοσοῦτον μόνον ὅσον ἱκανὸν εἰς τὴν τῆς ἑτέρας χρείας ἐκπλήρωσιν. ὥστε ἀεὶ μὲν ἴση κατὰ τὸ μέγεθός ἐστιν ἡ διαστολὴ τῇ συστολῇ, πλὴν εἰ κατά τινα τύχην ἐπιβαλλόντων ἡμῶν τοὺς δακτύλους ἐξαίφνης ἡ μεταβολὴ γίνοιτο· διαφέρει δὲ ἐν τῷ ποτὲ μὲν τὴν ἔξω κίνησιν ἐπικρατεῖν, ποτὲ δὲ τὴν ἔσω, καὶ σημαίνει, καθάπερ εἴρηται, καπνώδη μέν τινα κατὰ τὰς ἀρτηρίας

mosum excrementum excernunt, sicuti in distentionibus attrahunt refrigerium. Usus non perpetuo par utriusque est, sed praepollentis usus excellit nonnunquam; itaque etiam ex se pulsum figurat, siquidem ei facultas respondeat. At vero si fumosum excrementum praepolleat, plurimum contrahitur, distenditur autem non plurimum cor cum arteriis, sed hactenus duntaxat ut satis refrigerii ab extrema contractione suppetat iis. Sin autem paucus admodum fuerit fumosus calor, copiosissimus vero mundus et purus et quasi flammeus, in distentione plurimum attolluntur et contrahuntur eatenus tantum quatenus satisfiat alteri usui. Quare semper aequa magnitudine distentio est atque contractio, nisi quum digitos casu admoverimus, repentina fiat mutatio. Interest autem hoc, quod nunc foras motus magis feratur, nunc intro; declaratque, quemadmodum diximus, si ille qui intro fertur praepolleat, esse in

εἶναι θερμασίαν ἡ εἴσω κίνησις κρατοῦσα, πυρώδη δὲ καὶ καθαρὰν ἡ ἔξω. διὰ ταύτην μὲν δὴ τὴν αἰτίαν ὁ ὑψηλὸς σφυγμὸς ἐκκρίσεώς ἐστι δηλωτικὸς, ἐπὶ πεπεμμένοις ἤδη τοῖς τὸν πυρετὸν ἐργαζομένοις γινόμενος χυμοῖς· ἀεὶ δ' ἔκκρισις ἅπασα κατὰ λόγον φύσεως ἀποτελουμένη πέψεσιν ἕπεται. καὶ γὰρ κατὰ τὴν γαστέρα τότε ἀποκρίνουσα φαίνεται τὸ περιττὸν ἡ φύσις, ὅταν πέψῃ. τὰς δὲ ἄλλας ἁπάσας ἐκκρίσεις, ὅσαι πρὶν πεφθῆναι τὴν τροφὴν γίνονται, ποτὲ μὲν τῷ δάκνεσθαι πρὸς τῶν ἐν αὐτῇ περιεχομένων, ποτὲ δὲ τῷ βαρύνεσθαι πρὸ τοῦ καιροῦ τῆς πέψεως ἀναγκάζεται ποιεῖσθαι. κατὰ δὲ τὸν αὐτὸν λόγον καὶ ἡ καθ' ὅλον τὸ σῶμα δύναμις, ἐπειδὰν ἱκανῶς πέψῃ τὸν οἰκεῖον ἑκάστου μορίου χυμὸν, ἀποκρίνει τηνικαῦτα τὸ περιττὸν, ὅταν γε, ὡς εἴρηται, μηδὲν αὐτὴν ἐρεθίζῃ πρὸ τοῦ καιροῦ. τὸ πλῆθος δὲ τῆς ἐκκρίσεως ἔκ τε τοῦ τὰ πληθωρικὰ προγεγονέναι σημεῖα καὶ ἐκ τῆς παρούσης φλογώδους θερμασίας προγινώσκεται. διὰ δὲ τὴν αὐτὴν ταύτην θερμασίαν οἱ σφυγμοὶ μεγάλοι φαίνονται καὶ ὑψηλοί. χείρισται τοιγαροῦν τῶν ἐκκρίσεών

arteriis fumosum quendam calorem; igneum et purum, si ille qui foras. Ob hanc sane causam altus pulsus excretionem significat, concoctis jam humoribus, qui inducebant febrem, comitans. Semper porro omnis excretio naturae lege perfecta sequitur concoctionem; etenim in ventre conspicitur natura excrementum a concoctione excernere. Caeteras omnes excretiones, quae ante quam cibus coctus fuerit fiunt, nunc quod vellicetur ab illis quae continent, nunc quia gravetur, ante tempus concoctionis cogitur moliri. Haud aliter totius corporis facultas, posteaquam satis familiarem succum concoxerit singularum partium, tum demum excrementum excernit, nisi quid eam, ut diximus, irritet ante tempus. Copia excrementorum tum ex plethoricis signis quae praecesserunt tum ex praesente flammeo calore praesentitur; ob quem ipsum calorem pulsus magni videntur et alti. Quare sunt pessimae excre-

εἰσιν ἐφ' ὧν ὁ σφυγμὸς οὔτε μέγας ἐστὶ καὶ ταχὺς ἐν τῇ συστολῇ φαίνεται. εἰ δὲ δὴ καὶ μέχρι πλείονος εἴσω χωροίη τὸ καπνῶδες, οὗτος μάλιστα σημαίνει περίττωμα κρατεῖν, καὶ διὰ τοῦτ' ἄπεπτον ὑπάρχειν τὴν νόσον. εἰ δ' ἐν τούτῳ καὶ ἄτονος ὁ σφυγμὸς εἴη, κίνδυνος συγκοπῆναι. φλεγματωδεστέρου δὲ τοῦ νοσήματος ὑπάρχοντος, ὅταν ἐπὶ τοῖς ἀνωμάλοις σφυγμοῖς ἡ μετάπτωσις εἰς πλείους τοὺς σφοδροὺς καὶ μεγάλους ἀποτελεσθῇ, δι' ἀποστάσεως ἡ κρίσις, καὶ μᾶλλον, ὅταν ἤδη χρονίζῃ· καὶ μᾶλλον, ὅταν ἔτι κατὰ χειμῶνα καὶ ψυχρὰν ἡλικίαν καὶ φύσιν καὶ χώραν. εἰς ὅ τι δὲ μάλιστα τοῦ σώματος ὁρμήσει μόριον ἡ ἀπόστασις ἐκ τῶν σφυγμῶν οὐκ ἔνεστι προγινώσκειν, ἀλλ' ὡς κἀν τοῖς περὶ κρίσεων εἴρηται, σκέπτεσθαι χρὴ τὰς ῥοπὰς τῆς φύσεως, ἃς κἀν τοῖς περὶ κρίσεων λογισμοῖς τὸν τρόπον τῆς κινήσεως ἔφαμεν ἐνδείκνυσθαι. ὅταν γὰρ ὁ σφυγμὸς ἐκκριτικὸς ἀκριβῶς ᾖ, συνόντων μὲν αὐτῷ τῶν αἱμοῤῥαγικῶν καλουμένων σημείων, ἐκ ῥινῶν αἱμοῤῥαγήσουσιν· απόντων

tiones quae pulſum nec magnum obtinent et celeriorem in contractione oſtendunt. Porro autem ſi etiam ſe plus intro recipiat, fumoſi hic excrementi affluentis in primis eſt nuncius, atque ob id crudi morbi. Si praeterea ſit pulſus languidus, periculum eſt ſyncopes. Si vero pituitoſior morbus ſit, quum ab inaequalibus pulſibus mutatio fiat in plures vehementes et magnos, judicatio erit per abſceſſum; maxime ſi diuturnus ſit, magisque etiam quum adhuc hieme et in frigida aetate, natura et regione. At in quam potiſſimum corporis partem erupturus ſit abſceſſus, non eſt praeſagire ex pulſibus. Sed quod in commentariis De judicationibus diximus, ſpectandae ſunt inclinationes naturae, quas etiam in libris De judicationibus a modo motus diximus declarari. Quum enim pulſus omnino ad excretionem ſpectat, ſi adjuncta habeat profluvii ſanguinis ſigna, de naribus ſanguis profluet; his

δὲ αὐτῶν ἐξ ἄλλου τινὸς χωρίου διασκέπτεσθαι τὴν ἔκκρισιν. εἴρηται δὲ περὶ τοιούτων ἁπάντων αὐτάρκως ἐν τοῖς τῶν κρίσεων ὑπομνήμασιν.

si careat, ex alia quapiam parte dispicienda est excretio. Sed de his omnibus satis in commentariis De judicationibus disseruimus.

ΓΑΛΗΝΟΥ ΣΥΝΟΨΙΣ ΠΕΡΙ ΣΦΥΓΜΩΝ ΙΔΙΑΣ ΠΡΑΓΜΑΤΕΙΑΣ.

(Ex cod. mſto Havnienſi primum graece edita.)

Ed. Chart. VIII. [309.]

Κεφ. α'. Οἱ πολλοὶ τῶν ἀνθρώπων ὀρέγονται μὲν ἐπιστήμης ἀκριβοῦς ὧν ἑκάστοτε μανθάνουσι, τὴν δὲ ἐπ' αὐτὴν ἄγουσαν ὁδὸν ὀκνοῦσιν ἰέναι, καὶ διὰ τοῦτο τοὺς κατὰ διέξοδον ἑρμηνευομένους λόγους ἀποδιδράσκοντες ὡς μακροὺς ἔνιοι μὲν εἰς ἀγωγὰς ἢ ὑπογραφὰς ἢ ὑποτυπώσεις ἀναγινώσκουσιν, ἔνιοι δὲ ἐπιτομὰς ἢ συνόψεις ἢ ἐπιδρομάς· εἶθ' ὕστερόν ποτε προσπίπτοντες ἀντιλογικοῖς ἀνθρώποις, οὐ δυνάμενοί τε

GALENI SYNOPSIS LIBRORVM SVORVM DE PVLSIBVS.

Cap. I. Plerique hominum appetunt quidem ſcientiam exquiſitam eorum quae quotidie discunt, viam tamen quae ad ipſam ducit adire gravantur. Et ob id, quum ſermones per fuſam enarrationem expoſitos, tanquam prolixos effugiant, nonnulli quidem introductiones, vel ſubſcriptiones, vel ſubfigurationes legunt; nonnulli vero breviaria vel compendia vel transcurſus. Poſtea deinceps quum aliquando in homines artis contradicendi peritos in-

Ed. Chart. VIII. [309.]

διαλύεσθαι τὰ πρὸς αὐτῶν λεγόμενα, διὰ τὸ μηδὲ θελῆσαι μαθεῖν αὐτῶν τὰς λύσεις, ἀφίστανται τῶν ἀληθῶν. χρὴ τοίνυν γινώσκοντας αὐτοὺς τοῦτο μάλιστα τὴν διεξοδικὴν διδασκαλίαν τῶν ἄλλων πλεονεκτοῦσαν, ὅτι μὴ μόνα τἀληθῆ διδάσκει, προστίθησι δ' αὐτοῖς τὰς ἀποδείξεις καὶ τὰς ἀντιλογίας καὶ τὰς λύσεις αὐτῶν, ὅταν ἀποστῶσι τῆς τοιαύτης μαθήσεως, ἀφίστασθαι καὶ τοῦ διαλέγεσθαι τοῖς πέλας ὑπὲρ τῆς ἀληθείας ὧν ἔμαθον. οὐ μὴν ποιοῦσιν οὕτως· καὶ διὰ τοῦτο συμβαίνει δι' ὅλου τοῦ βίου σαλεύειν αὐτῶν τὰς γνώμας ὥσπερ ἐν κλύδωνι ναῦν ὁρμοῦσαν· ὡς γὰρ ἄγκυραι τοῦ βεβαίως ὁρμεῖν καὶ μὴ μετακινεῖσθαι τὰς ἐπιστήμας αἱ ἀποδείξεις εἰσίν. ἐγὼ τοίνυν προτρέπω μανθάνειν μὲν ἅπαντα τελέως, ἤτοι γε εὐθὺς ἐξαρχῆς, ἢ δι' ὑποτυπώσεως τινὸς ἢ συνόψεως προσεισαχθέντας· ἐὰν δ' ἀκριβῶς μάθωσι, τηνικαῦτα καὶ τὰς ἐπιτομὰς ἀναγινώσκειν, ἐπειδὰν βουληθῶσιν ἀναμνησθῆναι δι' ὀλίγων ῥημάτων ἃ πρόσθεν ἔμαθον μακρῶς. ὅλως μὲν γὰρ οὐδὲ προῃρούμην ἐμῆς πραγματείας ἐπιτομὴν ποιεῖσθαι, βέλτιον ἡγούμενος εἶναι τοὺς τὰς διεξόδους

cidunt, nec quae ab illis dicuntur ſolvere queunt, propterea quod nec eorum ſolutiones discere voluerint, deſiſtunt a veris. Oportet igitur, ut ipſi, hoc praecipue cognoscentes, fuſiorem doctrinam caeteris praeſtare, quod non ſola vera docet, ſed et ipſis demonſtrationes adjungit et contradictiones et earum ſolutiones, quum ab hujusmodi doctrina deſtiterint, deſiſtant etiam disputare cum aliis de veritate eorum quae didicerunt. Non tamen ita faciunt; et ob id evenit ut per totam vitam eorum ſententiae agitentur veluti navis fluctibus jactata. Demonſtrationes enim tanquam anchorae ſunt, ut ſcientiae firmiter appellantur nec dimoveantur. Ego igitur adhortor ut discant quidem omnia perfecte, vel ſtatim ab initio, vel per hypotypoſin, aut ſynopſin prius introducti; quum autem exquiſite didicerint, tunc et epitomas legant, quando paucis verbis eorum reminisci voluerint quae antea prolixe didicerant. Omnino ſane decreveram nullius meae tractationis epitomen facere, ſatius eſſe exiſtimans ut qui diexodos accu-

Ed. Chart. VIII. [309.]

ἀκριβῶς ἀναλεξαμένους ἑαυτοῖς ἐπιτέμνεσθαι· χρήσιμοι γὰρ οὕτως αἵ τ᾽ ἐπιτομαὶ καὶ αἱ συνόψεις γίνονται, κατὰ τὴν ἰδίαν ἕξιν ἑκάστῳ γραφόμεναι. ἐπειδὴ ἄλλους ἔγνων ἐπιτομὰς ποιουμένους τῶν ἐμῶν πραγματειῶν οὐκ ὀρθῶς, αἷς ἐντυγχάνοντες οἱ τὰς διεξόδους ἀναγινώσκειν ὀκνοῦντες βλάπτονται, διὰ τοῦτ᾽ αὐτὸς ἠναγκάσθην ἐπὶ τήνδε τὴν πρᾶξιν ἀφικέσθαι παρὰ τὴν ἐξαρχῆς γνώμην, καὶ πρώτην γε πασῶν τὴν περὶ σφυγμῶν πραγματείαν εἰς σύνοψιν ἤγαγον. ἦν δ᾽ αὐτῆς ἡ πᾶσα διέξοδος εἰς τέτταρα μέρη διῃρημένη, πρῶτον μὲν τὸ τῆς διαφορᾶς αὐτῶν, δεύτερον δὲ τὸ τῆς διαγνώσεως, καὶ τρίτον τὸ τῶν αἰτίων, καὶ τέταρτον τὸ τῆς προγνώσεως. ἐν μὲν οὖν τῷ περὶ διαφορᾶς τῶν σφυγμῶν μέρει, πῶς ἂν εὕροι μεθόδῳ τὸν ἀριθμὸν τῶν σφυγμῶν πάντων, διδάσκεται· κατὰ δὲ τὸ δεύτερον μέρος, ὅπως ἄν τις ἕκαστον αὐτῶν διαγνοίη· τινὲς μὲν γὰρ τούτων δυσδιάγνωστοι, τινὲς δὲ ἀδιάγνωστοι πρός γε τὴν ἀφήν εἰσι· τὸ δὲ τρίτον μέρος, ὑπὸ τίνων αἰτίων ἕκαστος σφυγμὸς γίνεται, διδάσκει· τὸ δὲ τέταρτον, οὗ χάριν ἅπαντα ταῦτα ἀσκεῖται, περὶ τῆς δι᾽ αὐτῶν προγνώσεώς ἐστι.

rate perlegissent, sibi ipsis epitomas facerent; utiles enim hoc modo tum epitomae tum synopses fiunt, juxta proprium captum unicuique scriptae. Quoniam autem animadverti alios mearum tractationum epitomas non recte facere, in quas dum incidunt qui diexodos legere gravantur, non parum laeduntur, ob id coactus ipse sum ad hoc negotium pervenire praeter eam quam ab initio habui sententiam. Ac primum quidem omnium tractationem de pulsibus in compendium redegi. Erat autem tota ipsius diexodus in quatuor partes divisa; quarum prima differentiam ipsorum, secunda dignotionem, tertia causas, quarta praecognitionem tradit. In prima igitur parte, quae est de pulsuum differentiis, quo modo quis methodo inveniat pulsuum omnium numerum docetur; in secunda vero, quomodo unumquemque ipsorum dignoscat, nam quidam ipsorum difficulter dignosci queunt, quidam dignosci ad tactum nequeunt. Tertia pars, a quibus causis unusquisque pulsus fiat docet. Quarta autem, cujus gratia omnia haec tractantur, de praecognitione quae per ipsos fit, est.

Ed. Chart. VIII. [309.]

Κεφ. β΄. Γεγονότων οὖν ἡμῖν καθ' ἕκαστον μέρος τεττάρων βιβλίων, ὡς εἶναι τὰ σύμπαντα ἑκκαίδεκα, νῦν, ὡς ἔφην, ἐν τῷδε σύνοψιν αὐτῶν ποιήσομαι, ἀρξάμενος ἀπὸ τοῦ πρώτου περὶ τῆς διαφορᾶς· ἐν ᾧ προτέτακται τὸ προοίμιον, ἐπιδεικνῦον ἄμεινον εἶναι τοῖς πράγμασιν αὐτοῖς προσέχειν τὸν νοῦν, καταφρονοῦντας τῶν ὀνομάτων. ὅπερ οὐκ ἐν ταύτῃ τῇ πραγματείᾳ μόνον, ἀλλὰ καὶ ἐν ταῖς ἄλλαις ἁπάσαις ἀξιῶ πράττειν. ὁ μὲν γὰρ ἀπὸ τῆς τοῦ πράγματος οὐσίας εὑρίσκων μεθόδῳ τὰς ἐν αὐτῷ διαφορὰς ἐπιστήμην ἴσχει βεβαίαν τοῦ μήτε παραλελεῖφθαί τι τῶν πραγμάτων μήτε περιττῶς εἰρῆσθαι· τοῖς δ' ἀπὸ τῶν ὀνομάτων ἀρχομένοις ἄδηλον, εἴτε παραλέλειπταί τι, εἴτε ἐκ περιττοῦ πρόσκειται. πολλάκις μὲν γὰρ ἓν ὄνομα πλείω σημαίνει πράγματα, πολλάκις δὲ ἓν πρᾶγμα πλείονας ἔχει προσηγορίας· ἔνια δ' οὐδ' ὅλως ὠνόμασται τὴν ἀρχὴν, ἢ διὰ τὸ μὴ γνωσθῆναι τοῖς ἔμπροσθεν, ἢ διὰ τὸ παντάπασιν ὀλίγοις. κίνδυνος οὖν ἐστι τῶν ὁμωνύμως λεγομένων παραλειφθῆναί τι πρᾶγμα, κατὰ

Cap. II. Quum igitur in unaquaque parte quatuor a nobis conscripti sint libri, ita ut universi sint sedecim; nunc, ut dicebam, in hoc synopsin ipsorum faciam, initio sumto a prima parte, quae est de differentia. In qua praepositum est prooemium, quod ostendit melius esse rebus ipsis mentem adhibere, neglectis nominibus; id quod non in hac tantum tractatione, sed etiam in aliis omnibus faciendum censeo. Qui enim rei substantia differentias, quae in ipsa sunt, methodo invenit, scientiam hic habet firmam rem quampiam nec praetermissam esse, nec superflue dictam. Iis autem qui a nominibus initium capiunt incertum est utrum aliqua praetermissa sit, an superflue addita. Saepe enim unum nomen plures res significat; saepe vero una res plures habet appellationes; nonnullae autem nullo prorsus modo nominatae sunt a principio, quod vel non cognitae fuerint superioribus, vel paucis omnino cognitae. Periculum ergo est in iis quae aequivoce dicuntur, ne aliqua res sit praetermissa, in multivocis vero, ne nominum multitudini rerum numerus aequalis esse videa-

Ed. Chart. VIII. [309. 310.]

δὲ τὰ πολυώνυμα τῷ πλήθει τῶν ὀνομάτων ἴσον εἶναι τὸ πρᾶγμα. καὶ διὰ τοῦτο τὴν ἀπὸ τῶν ὀνομάτων ἀρχὴν ἐάσαντας ἄμεινόν ἐστιν ἀπ᾽ αὐτοῦ τοῦ πράγματος ἀρξαμένους ἐπὶ τὴν ζήτησιν ἔρχεσθαι τοῦ πλήθους τῶν ἐν αὐτῷ διαφορῶν.

Κεφ. γ΄. Ἔστι δὴ τοῦ προκειμένου πράγματος οὐσία κοίλου καὶ προμήκους σώματος αἰσθητὴ διαστολή τε καὶ συστολή. τὸ μὲν οὖν κοῖλον σῶμα τοῦτο καλεῖται πρὸς τῶν ἰατρῶν ἀρτηρία, τὴν δ᾽ εἰρημένην αὐτοῦ κίνησιν ὀνομάζουσι σφυγμὸν οὐκ ἰατροὶ μόνον, ἀλλὰ καὶ πάντες ἄνθρωποι. καὶ εἰ μὴ τοῦτο καλεῖν ἐθέλοι τις σφυγμὸν, οὐδὲν ἂν εἴη πρὸς ἡμᾶς· οὐ γὰρ ὑπὲρ ὀνομάτων ἀμφισβητήσοντες ἥκομεν, ἀλλ᾽ ὅπως ἄν τις ἐκ τῆς τῶν ἀρτηριῶν αἰσθητῆς κινήσεως προγινώσκοι τὰ μέλλοντα. εἴτ᾽ οὖν σφυγμὸν εἴτε παλμὸν εἴθ᾽ ὁτιοῦν ἄλλο καλεῖν ἐθέλει τις τὴν κίνησιν αὐτῶν, οὐ διοίσει, τῆς προγνώσεως ἐξ αὐτῆς γινομένης ὀρθῶς, ἐφ᾽ ἣν ἐσπεύδομεν ἐξ ἀρχῆς. τίνα τοίνυν ἐστὶ τὰ τῇ κινήσει τῶν ἀρτηριῶν ἐξ ἀνάγκης ὑπάρχοντα, πρῶτον ἐπισκέψασθαι δεήσει·

tur; in quibus autem nomen est, ne res quidem ipsa non sit. Et ob id praetermisso eo, quod a nominibus capitur, principio melius est ut ab ipsa re auspicati ad inquisitionem accedamus multitudinis differentiam, quae in ipsa sunt.

Cap. III. [310] Est sane propositae rei substantia, cavi et prolixi corporis, sensibilis tum diastole tum systole. Ac cavum quidem hoc corpus vocatur a medicis arteria. Praedictam autem ipsius motionem vocant pulsum non medici solum, sed etiam universi homines, et nisi hoc quis pulsum vocare voluerit, nihil utique ad nos pertineat Non enim de nominibus altercaturi venimus: sed quo modo quis ex sensibili arteriarum motione futura praecognoscat. Sive ergo pulsum, sive palpitationem, sive quodcunque aliud vocare quis motionem ipsarum voluerit, nihil refert, dummodo praecognitio recte ex ipsa fiat; ad quam a principio properamus. Quaenam igitur sunt, quae motioni arteriarum ex necessitate insunt, primum conside-

Ed. Chart. VIII. [310.]

κἄπειθ' ἑξῆς εἴ τι τῶν ἄλλων προσέρχεται τῶν οὐκ ἐξ ἀνάγκης. ὑπάρχει δὴ τῇ κινήσει τῶν ἀρτηριῶν κατὰ τὸν ἴδιον αὐτῆς λόγον δύο τὰ πρῶτα, διάστημά τε καθ' ὃ φέρεται τὸ κινούμενον καὶ χρόνος ἐν ᾧ κινεῖται. τὸ μὲν οὖν διάστημα τῆς κινήσεως ἐπειδὴ κατά τε τὸ μῆκος καὶ πλάτος καὶ βάθος τῆς ἀρτηρίας γίνεται, τρεῖς ποιήσει τὰς ἁπλᾶς τε καὶ πρώτας διαφοράς· μίαν μὲν κατὰ τὸ μῆκος, ἑτέραν δὲ κατὰ τὸ πλάτος, καὶ τρίτην κατὰ τὸ βάθος ἢ ὕψος· ἑκατέρως γὰρ ὀνομάζεται. ἐὰν μὲν οὖν τοῦ κατὰ φύσιν ὁ νῦν φαινόμενος σφυγμὸς εἰς ὕψος ἀνίῃ πλεῖον, ὑψηλὸς κληθήσεται· καθάπερ γε κἂν εἰς πλάτος ἐκτείνηται μᾶλλον τοῦ κατὰ φύσιν, πλατύς· οὕτω δὲ καὶ ἐὰν κατὰ μῆκος πλεῖον τοῦ κατὰ φύσιν ὑποπίπτῃ τοῖς ἁπτομένοις, μακρός. εὔδηλοι δὲ καὶ οἱ ἐναντίοι τούτοις ὁ ταπεινὸς καὶ στενὸς καὶ βραχύς. ὁ δὲ καθ' ἑκάστην τῶν τριῶν καταστάσεων κατὰ φύσιν ἔχων σφυγμὸς σύμμετρος ὀνομασθήσεται καὶ κατ' ἐκείνην τὴν διάστασιν. ἀνάγκη τοίνυν

rare oportebit; postea si quid ex aliis, quae non ex necessitate insunt, accedit. Insunt sane motioni arteriarum secundum propriam ipsius rationem duo haec prima, spatium dico per quod fertur id quod movetur et tempus in quo movetur. Ac spatium quidem motionis, quoniam secundum longitudinem et latitudinem et profunditatem fit, tres faciet simplices ac primas differentias, unam secundum longitudinem, alteram secundum latitudinem et tertiam secundum profunditatem seu altitudinem; utroque enim modo nominatur. Si ergo pulsus, qui nunc apparet, in altitudinem adscendat majorem quam sit secundum naturam, altus vocabitur; quemadmodum sane quum in latitudinem majorem extenditur quam sit secundum naturam, latus: ita vero in longitudinem majorem quam sit secundum naturam, tangentibus subjiciatur longus. Manifesti etiam sunt et qui his contrarii, humilis et angustus et brevis. Qui vero secundum unamquamque trium dimensionum secundum naturam se habet pulsus, moderatus vocabitur secundum illam dimensionem. Necesse ergo est uni-

Ed. Chart. VIII. [310.]
εἶναι τὰς πάσας διαφορὰς τῶν σφυγμῶν ἑπτὰ καὶ εἴκοσι τὰς ὑπογεγραμμένας.

	μῆκος	πλάτος	βάθος	
α΄	μακρὸς	πλατὺς	ὑψηλὸς	μέγας
β΄	μακρὸς	πλατὺς	σύμμετρος	
γ΄	μακρὸς	πλατὺς	ταπεινὸς	
δ΄	μακρὸς	σύμμετρος	ὑψηλὸς	
ε΄	μακρὸς	σύμμετρος	σύμμετρος	
ς΄	μακρὸς	σύμμετρος	ταπεινὸς	
ζ΄	μακρὸς	στενὸς	ὑψηλὸς	
η΄	μακρὸς	στενὸς	σύμμετρος	
θ΄	μακρὸς	στενὸς	ταπεινὸς	
ι΄	σύμμετρος	πλατὺς	ὑψηλὸς	
ια΄	σύμμετρος	πλατὺς	σύμμετρος	
ιβ΄	σύμμετρος	πλατὺς	ταπεινὸς	

verfas pulfuum differentias feptem et viginti effe, quae fcilicet fubfcriptae funt.

	Longitudo.	*Latitudo.*	*Profunditas.*	
1.	Longus	Latus	Altus	Magnus
2.	Longus	Latus	Moderatus	
3.	Longus	Latus	Humilis	
4.	Longus	Moderatus	Altus	
5.	Longus	Moderatus	Moderatus	
6.	Longus	Moderatus	Humilis	
7.	Longus	Anguftus	Altus	
8.	Longus	Anguftus	Moderatus	
9.	Longus	Anguftus	Humilis	
10.	Moderatus	Latus	Altus	
11.	Moderatus	Latus	Moderatus	
12.	Moderatus	Latus	Humilis	

Ed. Chart. VIII. [310.]

	μῆκος	πλάτος	βάθος	
ιγ′	σύμμετρος	σύμμετρος	ὑψηλὸς	
ιδ′	σύμμετρος	σύμμετρος	σύμμετρος	
ιε′	σύμμετρος	σύμμετρος	ταπεινὸς	
ις′	σύμμετρὸς	στενὸς	ὑψηλὸς	
ιζ′	σύμμετρος	στενὸς	σύμμετρος	
ιη′	σύμμετρος	στενὸς	ταπεινὸς	
ιθ′	βραχὺς	πλατὺς	ὑψηλὸς	
κ′	βραχὺς	πλατὺς	σύμμετρος	
κα′	βραχὺς	πλατὺς	ταπεινὸς	
κβ′	βραχὺς	σύμμετρος	ὑψηλὸς	
κγ′	βραχὺς	σύμμετρος	σύμμετρος	
κδ′	βραχὺς	σύμμετρος	ταπεινὸς	
κε′	βραχὺς	στενὸς	ὑψηλὸς	
κς′	βραχὺς	στενὸς	σύμμετρος	
κζ′	βραχὺς	στενος	ταπεινὸς	μικρός.

	Longitudo.	*Latitudo.*	*Profunditas.*	
13.	Moderatus	Moderatus	Altus	
14.	Moderatus	Moderatus	Moderatus	
15.	Moderatus	Moderatus	Humilis	
16.	Moderatus	Angustus	Altus	
17.	Moderatus	Angustus	Moderatus	
18.	Moderatus	Angustus	Humilis	
19.	Brevis	Latus	Altus	
20.	Brevis	Latus	Moderatus	
21.	Brevis	Latus	Humilis	
22.	Brevis	Moderatus	Altus	
23.	Brevis	Moderatus	Moderatus	
24.	Brevis	Moderatus	Humilis	
25.	Brevis	Angustus	Altus	
26.	Brevis	Angustus	Moderatus	
27.	Brevis	Angustus	Humilis	Parvus.

οὕτω δὴ τούτων ἑπτὰ καὶ εἴκοσι σφυγμῶν ὄντων κατά τι ποσὸν ἐν ταῖς τρισὶν ἅμα διαστάσεσι συνισταμένων, δύο μὲν ἐξ αὐτῶν ἔχουσιν ὀνόματα πρὸς ἁπάντων ὁμολογούμενα τῶν ἰατρῶν, ὅ τε πρῶτος ἐν αὐτοῖς γεγραμμένος καὶ ὁ ἔσχατος· ὁ μὲν γὰρ μέγας, ὁ δὲ μικρὸς καλεῖται· τὸ δὲ ἄλλο πᾶν πλῆθος οὐκ ἔχει. οὐδὲ γὰρ οἱ ἰσχνοὶ καὶ ἀδροὶ λεγόμενοι σφυγμοὶ ἕνα τινὰ τῶν ἐκ τοῦ διαγράμματος δηλοῦσιν, ἀλλὰ κατὰ πολλῶν ἅμα γενικῶς κατηγοροῦνται. ἐφ' ὧν γὰρ ἂν ἡ κατὰ τὸ μῆκος διάστασις πλεονεκτῇ τῶν λοιπῶν δυοῖν, τούτους πάντας ἰσχνοὺς καλοῦσιν· ἐφ' ὧν δ' ἂν αἱ λοιπαὶ δύο, τούτους ἅπαντας ἔμπαλιν ἐκείνοις ἀδρούς. ὥστε καὶ τὸν ε' ἐν τῷ διαγράμματι καὶ τὸν στ', ἔτι τε πρὸς αὐτοῖς τὸν η' καὶ τὸν θ' καὶ τὸν ιη' ἰσχνοὺς καλεῖσθαι· ἔμπαλιν δὲ τούτοις ἀδροὺς τόν τε δέκατον ἐν τῷ διαγράμματι καὶ τὸν ιθ' καὶ τὸν κ', καὶ προσέτι τὸν κβ' καὶ κγ'· ὥστε γενικώτερα ταῦτα τὰ ὀνόματα καὶ πλειόνων κοινά. καλοῦσι δὲ τοὺς αὐτοὺς τούτους σφυγμοὺς καὶ ἑτέρως, λεπτὸν μὲν τὸν ἰσχνὸν, παχὺν δὲ τὸν ἀδρόν· ἀλλ' οὐδὲ τοῦ συμμέτρου κατὰ τὰς

Ita sane, quum hi septem et viginti pulsus sint, qui secundum quantitatem in tribus simul dimensionibus consistunt, duo quidem ex illis habent nomina ab omnibus recepta medicis, primus in ipsis scriptus et ultimus; nam alter magnus, alter parvus vocatur: reliqua vero tota multitudo non habet. Neque enim qui graciles et qui pleni dicuntur, unum aliquem ex tabella ostendunt, sed de multis generice praedicantur. In quibus enim dimensio secundum longitudinem reliquas duas excellit, hos omnes graciles vocant; in quibus reliquae duae, hos omnes ex diverso illis plenos, ita ut et quintus in tabella et sextus, adhuc vero praeter hos octavus et nonus et decimus octavus graciliores vocentur. Ex adverso autem his solidi decimus in tabella et undevigesimus et vigesimus et praeterea vigesimus secundus et vigesimus tertius, ita ut generaliora sint haec nomina et pluribus communia. Vocant autem et hos ipsos pulsus etiam alio modo; tenuem quidem eum qui gracilis est, crassum vero eum qui plenus est. Sed neque ejus

Ed. Chart. VIII. [310.]

τρεῖς διαστάσεις, ὅσπερ μόνος ἐστὶ τῶν κατὰ φύσιν ἐν τοῖς ἑπτὰ καὶ εἴκοσιν, ἔχομεν ἴδιον ὄνομα, λόγῳ δὲ καὶ τοῦτον δηλοῦμεν, ἤτοι σύμμετρον εἶναι λέγοντες ἐν ταῖς τρισὶ διαστάσεσιν, ἢ μέσον μεγάλου τε καὶ μικροῦ, ἢ κατὰ φύσιν ἐν τῷ ποσῷ τῆς διαστολῆς, ἢ σύμμετρον ἐν τῷ ποσῷ τῆς διαστολῆς, ἢ ὅπως οὖν ἄλλως μάλιστα σαφὲς ἐλπίσωμεν ἔσεσθαι τὸ λεγόμενον. τὰς δὲ κατὰ τὸν χρόνον τῆς διαστολῆς οὐχὶ ἑπτὰ καὶ εἴκοσιν, οὐδ' ὅλως πολλὰς, ἀλλ' ὅσαι παρ' ἑκάστης τῶν κατὰ μίαν διάστασιν γενικῶς τε νοουμένων εἰσὶ διαφοραὶ, τοσαύτας εὑρήσεις. ὥσπερ γὰρ ἐπ' ἐκείνων κατὰ μῆκος μὲν ὅ τε σύμμετρος ἦν καὶ ὁ μακρὸς καὶ ὁ βραχὺς, κατὰ πλάτος δ' ὅ τε σύμμετρος καὶ ὁ πλατὺς καὶ ὁ στενὸς, κατὰ βάθος δ' ὅ τε σύμμετρος καὶ ὁ ὑψηλὸς καὶ ὁ ταπεινὸς, οὕτως ἐπὶ τοῦ χρόνου τῆς διαστολῆς ὅ τε σύμμετρος ἐν τούτῳ τῷ γένει καὶ ὁ ταχὺς καὶ ὁ βραχύς. ἄλλο δ' ἐπὶ τοῖς γενομένοις ἐστὶ γένος διαφορᾶς σφυγμῶν τὸ κατὰ τὸν τόνον, ἐν ᾧ πάλιν εὔτονοί

qui ſecundum tres dimenſiones moderatus eſt, qui ſane ſolus ex viginti ſeptem ſecundum naturam eſt, proprium habemus nomen; verum oratione et hunc declaramus, ſive moderatum eſſe dicentes in tribus dimenſionibus, ſive medium inter magnum et parvum, ſive ſecundum naturam in quantitate diaſtoles, vel moderatum in quantitate diaſtoles, vel quomodocunque aliter maxime apertam ſperemus eſſe orationem. Qui vero ſecundum tempus diaſtoles conſiſtunt, non amplius viginti et ſeptem, nec omnino multi ſunt; ſed quot ſunt differentiae, quae ab unaquaque trium dimenſionum generice concipiuntur, tot etiam invenies. Quemadmodum enim in illis ſecundum longitudinem quidem et moderatus erat et longus et brevis, ſecundum latitudinem vero et moderatus et latus et anguſtus, ſecundum profunditatem autem et moderatus et altus et humilis, eodem ſane modo in tempore diaſtoles et moderatus in hoc genere eſt et celer et tardus. Aliud autem poſt praedicta eſt genus differentiae pulſuum, quod ſecundum efficaciam (τόνος) eſt, in quo rurſus validi (εὔτονοι) et

Ed. Chart. VIII. [310. 311.]

τε καὶ ἄτονοι γίνονται σφυγμοὶ, καί τις ἀμφοῖν τρίτος ὁ μέσος, οὐκ ἔθ' ὅμοιος τοῖς ἔμπροσθεν εἰρημένοις κατὰ φύσιν τε καὶ σύμμετρος. ὁ γὰρ εὔτονος ἐν τούτῳ τῷ γένει κατὰ φύσιν ἐστὶν, αὐξανόμενος δὲ ἐπὶ τροφῇ καὶ οἴνου πόσει καὶ θυμῷ τοῦ κατὰ φύσιν ἐξίσταται. αὐτὸν δὲ τοῦτον τὸν σφυγμὸν καὶ σφοδρὸν ὀνομάζομεν, ἑπόμενοι τῇ συνηθείᾳ τῶν ἰατρῶν· ἐπεί τοι συνηθέστερον ἴσμεν ἅπασι τοῖς Ἕλλησι λεγόμενον ἐπὶ τοῦ ταχέος καὶ εὐτόνου τὸν σφοδρόν. τέταρτον γένος διαφορᾶς σφυγμῶν ἐν τῇ διαστολῇ τῆς ἀρτηρίας γίνεται κατ' αὐτὸ τὸ σῶμα τοῦ ἀγγείου, σκληρότερον ἢ μαλακώτερον φαινόμενον τοῦ κατὰ φύσιν. ἔσονται τοίνυν κἀνταῦθα τρεῖς διαφοραὶ σφυγμῶν, σύμμετρός τε καὶ σκληρὸς καὶ μαλακός.

Κεφ. δ. Ἄλλο δ' οὐδὲν οὔτ' ἐπινοῆσαι δυνατὸν οὔτε τῇ πείρᾳ γνῶναι γινόμενον ἡμῖν αἰσθητὸν πάθος ἐκ τῶν κινουμένων σωμάτων· ὥστ' ἐν τοῖς εἰρημένοις τέτταρσι γένεσι περιγράφεσθαι τὰς κατὰ τὴν διαστολὴν τῆς ἀρτηρίας ἁπάσας διαφορὰς τῶν σφυγμῶν. τὸ γὰρ ἐγκεχυμένον αὐταῖς οὔθ'

debiles (ἄτονοι) fiunt pulsus, et tertius quidam, amborum medius, non aeque ac superius dicti, secundum naturam et moderatus. Nam validus in hoc genere secundum naturam est, increscens autem ex nutrimento et vini potu et ira ab eo quod secundum naturam est recedit. Hunc ipsum etiam vehementem nominamus, [311] medicorum sequentes consuetudinem, quandoquidem scimus ab omnibus Graecis vehementem (σφοδρὸν) de eo qui celer simul et validus sit usitatius dici. Quartum genus differentiae in diastole arteriae fit secundum ipsum corpus vasis, quod vel durius vel mollius quam secundum naturam sit appareat. Erant ergo et hic tres pulsuum differentiae, moderatus, durus et mollis.

Cap. IV. Alia vero nulla aut excogitari, aut experimento cognosci potest eveniens sensibilis passio ex corporibus quae moventur; ita ut in praedictis quatuor generibus universae pulsuum differentiae, quae secundum diastolen arteriae considerentur, circumscribantur. Quod

Ed. Chart. VIII. [311.]
ὁπόσον ἐστὶν οὔθ' ὁποῖον αἰσθήσει διαγνῶναι δυνατὸν, ἢ πάντως ἂν ἐπέπαυτο περὶ τοῦ κενὰς αἵματος εἶναι τὰς ἀρτηρίας ἡ ζήτησις, εἴ γε ἦν οἷόν τε μὴ μόνον ὅτι μετὰ πνεύματος αἷμα περιέχουσιν εἰπεῖν, ἀλλὰ καὶ ὁποῖόν τι, πότερον ὀῤῥῶδες καὶ λεπτὸν, ἢ παχὺ καὶ γλίσχρον, ἢ μέσον τούτων, ὅπερ ἐστὶ τὸ κατὰ φύσιν αἷμα. καί τοι τινὲς ἐπηγγείλαντο καὶ τὴν τούτου διάγνωσιν αἰσθητὴν εἶναι, καθάπερ γε καὶ τὴν τοῦ πνεύματος, ὁποῖόν τε κατὰ τὴν δύναμίν ἐστι περιεχόμενον ἐν ταῖς ἀρτηρίαις. ἔνιοι δ' ἔτι τούτων ἀλλοκώτερα γράφουσιν, ἐπεισάγοντές τινα τοῖς εἰρημένοις σφυγμοῖς, ὃν αὐτοὶ προσαγορεύουσι πλήρη, καὶ τούτου τοῦ γένους τρεῖς ποιοῦσι διαφορὰς, ὀνομάζουσι δὲ τὸν μέν τινα πλήρη, τὸν δὲ κενόν· ὁ γὰρ μέσος ἀμφοῖν οὐδὲν ἴδιον ὄνομα κέκτηται. τούτοις οὖν εἴπερ ἐλέγχειν βούλοιο, διχῆ διαιρήσεις τὸν πρὸς αὐτοὺς λόγον· εἰς πρῶτον μὲν τὸ σημαινόμενον ἐκ τῆς πληρότητος, ἐφεξῆς δ' αὐτῷ τὸ τῆς διαγνώσεως. ἐν ἑκατέρῳ γὰρ ἐδείχθησαν οὐ μικρὰ σφαλλόμενοι· περὶ μὲν τὸ σημαινόμενον

enim est in ipsis infusum nec quantum nec quale sit, sensu dignosci potest. Alioquin certe cessaret illa quaestio, an vacuae sanguinis sint arteriae, si sane dici posset, non solum sanguinem cum spiritu eas continere, sed qualem etiam sanguinem ipsae contineant, utrum serosum ac tenuem, an crassum et viscidum, an horum medium, qui certe est sanguis secundum naturam. Quamquam sane aliqui affirmarunt, hujus quoque dignotionem sensibilem esse; quemadmodum etiam de ipso spiritu, qualisnam facultate sit is qui in arteriis continetur. Nonnulli vero his etiam absurdiora scribunt, quendam alium ultra praedictos pulsus introducendo, quem ipsi planum vocant. Atque hujus generis tres faciunt differentias; nominant autem hunc quidem plenum, hunc vero vacuum, medius autem utrorumque nullum peculiare nomen sortitus est. Hos ergo si redarguere velis, bifariam adversus ipsos sermonem divides; primo circa significatum plenitudinis, postea circa ipsius dignotionem. In utroque enim ostendimus eos non parum errare; circa significatum quidem non in hoc tantum

Ed. Chart. VIII. [311.]

οὐκ ἐν τούτῳ τῷ γένει μόνον τῶν σφυγμῶν, ἀλλὰ κἀν τοῖς ἄλλοις κατὰ τὸ δεύτερον καὶ τρίτον περὶ τῆς διαφορᾶς τῶν σφυγμῶν· περὶ δὲ τὴν διάγνωσιν ὅσα μὲν ἐν τῇ πληρότητι σφάλλονται, κατὰ τὸ δʹ εἴρηται γράμμα τῆς τῶν σφυγμῶν διαγνώσεως, τὰ δὲ ἄλλα πάντα διὰ τῶν ἔμπροσθεν. νυνὶ δʼ ἐπειδὴ τὸ χρήσιμον εἰς τὴν τέχνην διδάσκω μόνον, ἄνευ τοῦ πρὸς τοὺς ἐσφαλμένους τι κατʼ αὐτὴν ἐλέγχου· τούτου γὰρ, ὡς ἔφην, ἐν ταῖς ἐπιτομαῖς καὶ συνόψεσι στοχαζόμεθα· μεταβῆναι καιρὸς ἐπὶ τὰς ἄλλας τῶν σφυγμῶν διαφορὰς, ὅσαι χρήσιμοι.

Κεφ. εʹ. Διαδέχεται δʼ ἡμᾶς μεγίστη διαφωνία τῶν ἰατρῶν, ἐνίων μὲν ἡγουμένων αἰσθητὴν εἶναι τὴν συστολὴν τῆς ἀρτηρίας, ἐνίων δὲ ἀναίσθητον. ὅσοι μὲν οὖν ἂν αἰσθητὴν εἶναι νομίζουσιν αὐτὴν, ἐν τῷ μεταξὺ τοῦ πέρατος τῆς διαστολῆς καὶ τῆς ἀρχῆς τῆς συστολῆς ἡσυχάζειν χρόνῳ βραχεῖ φασὶ τὴν ἀρτηρίαν, ἀνάλογον τῇ μετὰ τὴν εἰσπνοὴν ἡσυχίᾳ τῶν ἀναπνευστικῶν ὀργάνων πρὸ τῆς ἐκπνοῆς· ὡσαύτως δὲ καὶ μετὰ τὴν συστολὴν πρὸ τῆς διαστολῆς ἡσυχάζειν αὖθις,

genere pulſuum, ſed etiam in aliis, in ſecundo et tertio de differentia pulſuum libro; circa dignotionem vero, quaecunque quidem in plenitudine errant, in quarto diximus libro de pulſuum dignotione, quaecunque autem in aliis omnibus, in libris ſuperioribus. Nunc autem quoniam id duntaxat quod utile ad artem eſt doceo, praetermiſſa adverſus eos qui aliquo modo in ipſa errarunt, reprehenſione, hoc enim, ut dixi, in epitomis et ſynopſibus ſpectamus, tempus eſt ad alias pulſuum differentias, quaecunque utiles ſunt, tranſire.

Cap. V. Excipit autem nos maxima diſſenſio medicorum, quum nonnulli quidem arbitrentur ſenſilem eſſe ſyſtolen arteriae, nonnulli vero inſenſilem. Ac illi quidem qui ſenſilem putant ipſam eſſe, inter finem diaſtoles et principium ſyſtoles quiescere brevi tempore ajunt arteriam, proportione habita quieti illi ſpirabilium inſtrumentorum, quae poſt inſpirationem fit ante exſpirationem; eodem modo et poſt ſyſtolen ante diaſtolen quiescere rur-

Ed. Chart. VIII. [311.]

ὡς κἀπὸ τῆς ἀναπνοῆς ἠρεμία τις γίνεται τῶν ἀναπνευστικῶν ὀργάνων ἐν ταῖς ἐκπνοαῖς πρὸ τῶν εἰσπνοῶν. εἰ μὲν οὖν μείζους εἶεν οἱ τῶν ἡσυχιῶν χρόνοι τοῦ κατὰ φύσιν, ἀραιὸν ὀνομάζουσι τὸν σφυγμόν· εἰ δ' ἐλάττους, πυκνόν. ὡς εἶναι δύο ἀραιότητας καὶ πυκνότητας, τὴν μὲν ἑτέραν ἐκτὸς ἐπὶ τῇ διαστολῇ πρὸ τῆς συστολῆς, τὴν δ' ἑτέραν ἔνδον ἐπὶ τῇ συστολῇ πρὸ τῆς διαστολῆς. ὅσοι δ' ἂν ἑαυτοῖς ἀναίσθητον εἶναι λέγουσι τὴν συστολὴν ἅπαντα τὸν χρόνον τοῦτον, οἷος ἂν ᾖ μεταξὺ τῶν αἰσθητῶν κινήσεων, παραβάλλοντες τῷ κατὰ φύσιν, εἰ μὲν ἐλάττων εἴη, πυκνὸν, εἰ δὲ μείζων, ἀραιὸν ὀνομάζουσι τὸν σφυγμὸν, εἰ δ' ἴσος τῷ κατὰ φύσιν, σύμμετρον. εἴρηται δέ μοι κατὰ τὸ πρῶτον τῆς διαγνώσεως αὐτῶν ἱκανῶς περὶ τῆς διαφωνίας ταύτης, ὅτι τε πάντων τῶν σφυγμῶν οὐκ ἐστὶν αἰσθητή. δέδεικται δὲ καὶ ὧν τινων ἐστὶν αἰσθητὴ καὶ ὧν τινων οὔ· καὶ πρὸς τούτοις, ὅπως ἄν τις ἑαυτὸν ἀσκήσειεν εἰς τὴν τῆς συστολῆς διάγνωσιν. ἀλλὰ ταῦτα μὲν ὀλίγον ὕστερον εἰρήσεται.

sus, quemadmodum etiam in respiratione quies aliqua fit spirabilium instrumentorum, in exspirantibus ante inspirationes. Si ergo tempora quietum sint majora quam sit id quod secundum naturam est, rarum nominant pulsum; si minora, frequentem; ut duae sint raritates et frequentiae, altera externa post diastolen ante systolen, altera interna post systolen ante diastolen. Quicunque vero sibi ipsis insensilem esse ajunt systolen, totum hoc tempus quod utique sit inter sensiles motiones ei quod secundum naturam est comparantes, si minus sit, frequentem, si majus, rarum nominant pulsum, si aequale ei quod est secundum naturam, moderatum. Dictum autem est mihi in primo de dignotione ipsorum abunde de hac dissensione, quodque omnium pulsuum non est sensilis; ostensum quoque est, quorumnam est sensilis et quorum non, ac praeterea quomodo utique quis se ipsum exercere debeat in systole dignoscenda. Sed haec quidem paulo post dicentur.

Ed. Chart. VIII. [311.]

Κεφ. στ΄. Νυνὶ δὲ τὰς ὑπολοίπους διαφορὰς τῶν σφυγμῶν ἔπεξειμι· πρώτην μὲν τὴν τοῦ ῥυθμοῦ, κοινωνοῦσαν κατά τι τῇ τῶν μουσικῶν θεωρίᾳ· δευτέραν δὲ τὴν τῆς ὁμαλότητός τε καὶ ἀνωμαλίας· καὶ τρίτην τὴν τῆς ἀταξίας τε καὶ τάξεως. ἡ μὲν οὖν τοῦ ῥυθμοῦ θεωρία παραβαλλομένων ἀλλήλοις τῶν χρόνων γίνεται τοῦ τε τῆς διαστολῆς καὶ συστολῆς· ἡ δὲ τῆς ἀνωμαλίας, διαφθειρομένης κατά τι τῆς ἐφεξῆς ἰσότητος ἄλλοτε κατ᾽ ἄλλο γένος τῶν σφυγμῶν ἢ καὶ δύο ἢ καὶ πλείω. ἐπεὶ δ᾽ ἐνίοτε διαφθείρεται μὲν ἡ ἐφεξῆς ἰσότης, καὶ διὰ τοῦτ᾽ ἀνώμαλος ἡ κίνησις φαίνεται, καθάπερ ἐπὶ τῶν πλανήτων ἀστέρων, εὑρίσκεται μέντοι τις ἐν περιόδοις ἰσότης, ὥσπερ ἐπ᾽ αὐτῶν ἐκείνων, καὶ διὰ τοῦτο τετάχθαι μὲν ὥσπερ τὴν τῶν πλανήτων κίνησιν, οὕτω καὶ (τὴν) τῶν κατὰ περιόδους ἴσων σφυγμῶν ἐροῦμεν, ἄτακτον δὲ ὑπάρχειν, ὁπόταν μηδὲ τὴν κατὰ περίοδον ἰσότητα τηρῇ δι᾽ ἴσου πλήθους σφυγμῶν γινομένην. οἷον εἰ μετὰ τρεῖς μεγάλους σφυγμοὺς ὁ τέταρτος φαίνοιτο μικρὸς, καὶ τοῦτο ἐφεξῆς·

Cap. VI. Nunc vero reliquas differentias pulsuum percurro; primam quidem eam quae est rhythmi, musicorum speculationi secundum quid communicantem; secundam vero eam quae est aequalitatis et inaequalitatis; et tertiam eam quae est ordinis et inordinationis. Ac rhythmi quidem speculatio fit, ubi inter se conferuntur tempus diastoles et tempus systoles; inaequalitatis autem, ubi corrumpitur secundum quid continuata paritas alias secundum aliud genus pulsuum vel etiam duo vel etiam plura. Quoniam autem aliquando corrumpitur quidem continuata ipsa paritas et ob id inaequalis ipsa motio apparet, quemadmodum in planetis, seu errantibus astris, invenitur tamen aliqua in circuitibus paritas, quemadmodum in illis ipsis planetis, propter hoc ordinatam quidem esse dicimus, sicuti planetarum motionem, ita etiam pulsuum, qui per circuitus pares sunt; inordinatam vero esse, quando nec paritatem in circuitibus servet, pari pulsuum multitudine factam. Veluti, si post tres magnos pulsus quartus videatur parvus et hoc continua semper serie, ordinatum quidem

Ed. Chart. VIII. [311.]

ἀεὶ, τεταγμένον μὲν ἐρεῖς εἶναι τὸν τοιοῦτον σφυγμὸν, ἀνώμαλον μέντοι· διεφθαρμένης γὰρ τῆς ἰσότητος τάξις τις σώζεται, ἐν οἷς δ' ἂν σφυγμοῖς μηδ' αὐτὴ διασώζηται, τούτους οὐ μόνον ἀνωμάλους, ἀλλὰ καὶ ἀτάκτους ὀνομάζομεν. ὅτι μὲν οὖν ἡμεῖς ὀρθῶς κεχρήμεθα τοῖς τῶν σφυγμῶν ὀνόμασι, διασώζοντες ὥσπερ ἐν τοῖς ἄλλοις, οὕτω κἀν τούτοις τὸ τῶν Ἑλλήνων ἔθος, ἐν τῷ β' καὶ γ' περὶ τῆς διαφορᾶς αὐτῶν ἐπιδέδεικται· συγχωροῦμέν γε μὴν ὡς ἂν ἐθέλοι τις ὀνομάζειν, φυλαττομένης τῶν πραγμάτων τῆς διαφορᾶς ἑρμηνευομένης τε λόγῳ χάριν τοῦ διηρθρωμένην τε καὶ σαφῆ γίνεσθαι τὴν διδασκαλίαν. εἴρηνται δὲ ἐν τῷ πρώτῳ περὶ τῆς διαφορᾶς τῶν σφυγμῶν καὶ αἱ κατὰ μίαν κίνησιν ἀνωμαλίαι, τινὲς μὲν συνεχοῦς μενούσης αὐτῆς γιγνόμεναι, τινὲς δὲ ἡσυχίᾳ διακοπτομένης, ὑπὲρ ὧν καὶ μετὰ ταῦτα ῥηθήσεται. νυνὶ δ' ἐπὶ τὸν τῆς συστολῆς ἀφίξομαι λόγον, τῶν ἀναγκαιοτάτων ὄντα πρὸς τὰς προγνώσεις· ἐπειδὴ καὶ ἡ περὶ τοῦ πυκνοῦ καὶ ἀραιοῦ σφυγμοῦ διδασκαλία μετὰ τῆς περὶ τῶν ῥυθμῶν ὑπαλλάττεται καὶ συμμεταβάλλεται. τούτων πολλῶν οὖν εἰρημένων

asseres esse talem pulsum, inaequalem tamen; corrupta enim paritate, ordo quidam servatur, in quibus autem pulsibus nec ipse servatur, hos non solum inaequales, sed etiam inordinatos nominamus. Ac quod nos quidem recte usi sumus pulsuum nominibus, conservantes, quemadmodum in aliis, ita et in his Graecorum consuetudinem, in secundo et tertio de differentia ipsorum ostensum est, concedimus tamen, quomodocunque quis velit nominet, dummodo rerum differentia servetur, ac ratione declaretur; quo distincta ac clara fiat doctrina. Traditae etiam sunt in primo de differentia pulsuum inaequalitates secundum unam motionem, aliquae quidem continua ipsa permanente evenientes, aliquae vero quiete intercedente, de quibus post haec dicetur. Nunc autem ad systoles sermonem perveniam, qui maxime necessarius est ad praecognitiones, quandoquidem doctrina etiam de frequenti et raro pulsu cum doctrina de rhythmis variatur, ac una commutatur. Quum ergo plura de ipsis

Ed. Chart. VIII. [311. 312.]
ἐν τῷ πρώτῳ περὶ διαγνώσεως σφυγμῶν, ἐξ αὐτῶν ἐνταῦθα λεχθήσεται τὰ χρησιμώτατα· δι᾽ ὧν ἀσκηθείς τις ἔργῳ μαθήσεται τὴν δύναμιν τῆς διδασκαλίας, ὅταν αὐτὸς μὲν προγινώσκῃ τὰ κατὰ τοὺς κάμνοντας ἐσόμενα, τῶν δ᾽ ἄλλων ἰατρῶν ἕκαστος ἐκ μαντικῆς τινος, οὐκ ἰατρικῆς θεωρίας ἡγεῖται γίγνεσθαι τὴν πρόγνωσιν αὐτῶν.

Κεφ. ζ. Ἄρξαι δὴ πρῶτον ἀπὸ τοῦ διαγινώσκειν τὴν ποσότητα τῆς διαστολῆς. ὑπάρξει δέ σοι τοῦτο τὴν ἐπιβολὴν τῶν δακτύλων ἐπιπολῆς ποιουμένῳ, καὶ μᾶλλον ἐκ τῶν κατὰ μερῶν τῆς ἀρτηρίας. ἄνωθεν μὲν γὰρ ἐπιβάλλων τὴν ἁφὴν, ἴσως που βαρυνεῖς ἐνίοτε καὶ θλίψεις αὐτὴν, εἰ μὴ πάνυ σφόδρα προσέχεις τὸν νοῦν, ὡς ἀκριβῶς θεωρεῖν τοὺς δακτύλους ἄνευ θλίψεως πάσης. ἡ δ᾽ ἐκ τῶν κάτω μερῶν ἐπιβολὴ μᾶλλον δύναται στοχάσασθαι, τῷ μηδ᾽ ὅλως θλίβεσθαι τὴν ἀρτηρίαν. εἰς ὅσον δ᾽ ἂν αὐτὴν θλίψῃς, εἰς τοσοῦτον κωλύσεις τὸν ὄγκον τῆς διαστολῆς· καὶ μάλισθ᾽ ὅταν ἄτονος ὁ σφυγμὸς ᾖ, καθάπερ ἐπὶ τῶν ληθαργικῶν·

dicta sint in primo de differentia pulsuum, ex ipsis hunc in locum quae maxime utilia sunt transferentur; in quibus exercitatus quis vim doctrinae opere praecipiet, quando ipse [312] quidem ea quae in aegrotantibus eventura sunt praecognoscet; singuli vero alii medici ex divinatione quadam, non ex medica speculatione eorum praecognitionem fieri arbitrabuntur.

Cap. VII. Sane incipies a quantitate diastoles dignoscenda; hoc autem tibi inerit, si superficietenus digitorum injectionem feceris; et magis, si ex infernis partibus arteriae, superius enim tactum injiciens, fortassis alicubi gravabis quandoque ac premes ipsam, nisi valde admodum mentem adhibeas, ut exquisite digitos applices, omni compressione evitata. Injectio autem, quae ex infernis fit partibus, magis potest conjectare, propterea quod nullo modo comprimatur arteria. Quantum autem ipsas compresseris, tantum etiam diastoles tumorem impedies, ac praesertim quando tenoris vacuus fuerit pulsus, quemadmodum lethar-

Ed. Chart. VIII. [312.]

ὧν ἂν ἐπιθλίψῃς τὴν ἀρτηρίαν τοῖς δακτύλοις, ἀντὶ μεγίστου μικρότατος φανεῖται. ἐὰν δὲ, ὡς εἴρηται, τελέως ἀσθενὴς ἡ ζωτικὴ δύναμις ᾖ, τὸ δ᾽ ἐναντίον ἐπὶ τῶν εὐτόνων γίνεται σφυγμῶν, οὓς καὶ σφοδροὺς ὀνομάζομεν· ἀντιβαίνει γὰρ ἡ ἀρτηρία θλιβόντων μᾶλλον ἢ μετρίως ἐπιβαλλόντων τοὺς δακτύλους, ἐνδεικνυμένη τῆς κινούσης τὴν ῥώμην αὐτὴν δυνάμεως. ὥσθ᾽ ὅταν τό τε δέρμα τοῦ κάμνοντος ᾖ σκληρὸν ὅ τε τῆς ἀρτηρίας χιτὼν ὁμοίως διακείμενος, οἱ εὔτονοι σφυγμοὶ τὴν τῶν ἐπιβαλλομένων δακτύλων ἀνατρέπουσι σάρκα μετὰ τοῦ δέρματος, ὥσπερ εἰ καὶ τῶν ἐκτός τι προσενέγκαις σκληρὸν σῶμα μαλακῷ χρωτί· κατ᾽ αὐτὸ γάρ τοι τοῦτο διακρίνεται τοῦ μαλακοῦ τὸ σκληρὸν, ἐγκαταβαίνοντος τῷ μαλακωτέρῳ τοῦ σκληροτέρου. τὸ δ᾽ εὔτονον ἁπλῶς ἄνευ τοῦ σκληρὸν εἶναι τὸ μὲν ἀνατρέπειν ἔχει, τὸ δ᾽ οἷον πιλεῖν καὶ θλᾷν οὐκ ἔχει. νοήσεις δ᾽ ὀλίγῳ σαφέστερον ἐπ᾽ ἀνέμου τε βιαίας προσβολῆς καὶ λιθιδίου μετρίας ἐπιθέσεως. ὁ μὲν γὰρ ἄνεμος ἀνατρέπει ἡμᾶς καὶ δένδρα πολλάκις οὐ σμικρά· λιθίδιον δὲ

gicis; quorum si arteriam digitis compresseris, pro maximo minimus apparabit. Si vero, ut dictum est, penitus imbecilla fuerit vitalis facultas, quum arteriam compresseris, sine pulsu laborans videbitur. Contrarium autem in eutonis, id est tenore praeditis pulsibus fit; quos et vehementes nominamus, renititur enim arteria comprimendo magis quam moderate injiciendo digitos, indicans robur moventis ipsam facultatis. Quare ubi tum cutis laborantis fuerit dura, tum arteriae tunica eodem modo fuerit affecta, pulsus, qui tenore praediti sunt, carnem injectorum digitorum una cum cute evertunt; quemadmodum si etiam externum aliquod durum corpus molli cuti apponas. In hoc enim ipso durum a molli discernitur, quod durius in mollius ingrediatur. Quod autem tenore praeditum simpliciter est sine duritie habet quidem ut evertat; ut vero veluti constringat ac contundat non habet. Intelliges autem quod dico apertius et in violento venti impetu et in moderata lapilli impositione; ventus etenim nos et arbores saepe-

Ed. Chart. VIII. [312.]

ἐπιτεθὲν τῷ δέρματι πιλεῖν μὲν αὐτὸ καὶ θλίβειν πέφυκεν, ἀνατρέπειν δὲ τὸ κῶλον ὅλον οὐ δύναται. τὸ μὲν ἀνατρεπόμενον ἄνευ τοῦ θλίβεσθαι τὴν χώραν ἐν ᾗ πρόσθεν ἦν καταλείπει, τὸ δ᾽ ὑπὸ σκληροτέρου πιλούμενον εἶκον εἰς ἑαυτὸ δέχεται τὸ σκληρὸν ἄνευ τοῦ, καταλείπειν ἣν εἶχεν ἔμπροσθεν ἕδραν. οὕτως οὖν κἀπὶ τῆς ἀρτηρίας διάκρινε τὸν σκληρὸν σφυγμὸν τοῦ σφοδροῦ. τὸν μὲν γὰρ σκληρὸν ὡς λίθον ἢ ξύλον αἰσθήσῃ προσπίπτοντα, νικώμενον ὑπὸ τῆς ἐπερείσεως, ἐὰν μὴ καὶ σφοδρὸς ᾖ· τὸν σφοδρὸν δ᾽ ἔμπαλιν ἐπερείσεως, ἐὰν μὴ καὶ σφοδρὸς ᾖ· τὸν σφοδρὸν δ᾽ ἔμπαλιν εὐτονώτερον, ἐὰν ἐπερείσῃς, φαινόμενον. ὅταν οὖν τούτους διακρῖναι ἀσκηθῇς, ἐπὶ τὴν τῆς συστολῆς διάγνωσιν ἧκε, προασκήσας ἑαυτὸν πρῶτον ἐπὶ σφυγμῶν ὅσοι μεγάλοι τέ εἰσι καὶ σφοδροὶ καὶ σκληροί. τούτους γάρ ἔξεστί σοι μετρίως θλίβοντι τὴν αἴσθησιν ἴσχειν τὸ πρῶτον τῆς συστολῆς. ὅσον οὖν εἴκοντος τοῦ σοῦ δέρματος ἀνετρέπετο, καὶ οἷον ἐκοιλαίνετο προσπιπτούσης τῆς ἀρτηρίας, τοῦτ᾽ ἀποχωρούσης ἕπεται μέχρι τῆς κατὰ φύσιν ἕδρας τε καὶ καταστάσεως. ὥστε αἰσθήσῃ

numero haud exiguas evertit, lapillus autem cuti impositus constringere et comprimere ipsam potest, evertere autem membrum totum non potest. Quod enim sine compressione evertitur, regionem in qua prius erat deserit; quod autem a duriori constringitur, cedens in se ipsum id quod durum est excipit, nequaquam sedem quam prius habebat deserens. Ita ergo in arteria durum pulsum a vehementi distingue. Durum namque veluti lapidem vel lignum senties occurrere, qui ab innixu vincitur, nisi vehemens etiam sit: vehementem vero contra, tenore magis praeditum, si innitaris, conspicies. Cum ergo prius in his distinguendis te exercueris, ad systoles dignotionem accede, prius te ipsum exercens in pulsibus, qui et magni sint et vehementes et duri. Si enim hos moderate premas, licebit tibi primas systoles partes sentire. Quicquid igitur cedentis cutis evertebatur, ac veluti cavabatur occurrente arteria, illud ea recedente insequitur, usque eam quae secundum naturam est tum sedem tum constitutionem; quare tanto tempore

Ed. Chart. VIII. [312.]

τοσούτῳ χρόνῳ τῆς συστολῆς ἐν ὅσῳ τοῦτο γίνεται· τὸ δ' ἄλλο πᾶν ἀδιάγνωστον αὐτῆς ἔσται σοι. μετὰ δὲ τὸ προγυμνάσασθαι κατὰ τοὺς τοιούτους σφυγμοὺς ἐπὶ τοὺς μεγάλους ἅμα καὶ σφοδροὺς μετάβαινε, κἂν ὦσι μὴ σκληροί· κἄπειτα ἐπὶ τοὺς σφοδροὺς, κἂν ὦσι μὴ μεγάλοι. μαλακὴν δ' ἔχειν σε χρὴ τὴν ἁφὴν εὐαίσθητόν τε φύσει. καὶ γὰρ ἀνατρέπεται θᾶττον ὑπὸ τῆς ἀρτηρίας ἐμπιπτούσης βιαίως ἡ τοιαύτη, καὶ τῶν ἐν αὐτῇ παθημάτων αἰσθάνεται μᾶλλον. εἴρηται δ' ἐπὶ πλεῖστον ἐν τῷ πρώτῳ περὶ τῆς τῶν σφυγμῶν διαγνώσεως, ὅπως ἂν μάλιστα περὶ τὴν τῆς συστολῆς διάγνωσιν ἀσκηθείης. ἐὰν δὲ μηδέποτε πείσῃς σεαυτὸν ἀκριβῶς αἰσθέσθαι τῶν πρώτων τῆς συστολῆς, ἀλλ' ἀδιάγνωστος τελείως σοι φαίνηται, σκληρὸν ἢ δυσαισθήτων ἔχοντι τὸ δέρμα, γίγνωσκε μὲν ὡς εἰς πολλὰς προγνώσεις ἐκ τούτου βλαβησόμενος, ἃς ἀκούσῃ τοῦ λόγου προϊόντος. ὅμως οὖν ἐγώ σοί τινα ποριοῦμαι παραμυθίαν εἰς τὴν ἐπὶ τῶν ἔργων χρείαν. ὅλον γάρ σε δεήσει τὸν χρόνον ἐκεῖνον, ἐν ᾧ μηδεμιᾶς αἰσθάνῃ κινήσεως, ἐπὶ τῇ μνήμῃ παραθέσθαι, πηλίκος τίς ἐστι καθ' ἑκάστην ἡλικίαν.

ſyſtolen ſenties in quanto hoc ipſum fit; reliquum autem ipſius totum dignoscere non poteris. Poſtquam autem te in ejusmodi pulſibus exercueris, ad magnos ſimul et vehementes tranſi, quamvis ſint non duri; poſtea ad vehementes, quamvis ſint non magni. Mollem vero te habere oportet tactum, naturaque bene ſentientem, etenim citius ab arteria violenter occurrente ejusmodi tactus evertitur, et quae in ipſa ſunt paſſiones magis ſentit. Dictum autem eſt fuſiſſime in primo de pulſuum dignotione, quonam modo potiſſimum circa ſyſtoles dignotionem te exercere debeas. Si vero nequaquam tibi ipſi perſuaſeris exquiſite primas ſyſtoles partes ſentire, verum non dignosci poſſe omnino tibi ipſa videatur, ut qui cutem duram vel difficulter ſentientem habeas, ſcias certe ad multas praecognitiones ex hoc te laeſum iri, quas procedente ſermone audies Verum tamen ego tibi aliquid ſolatii ad operum uſum porrigam. Oportebit enim te totum illud tempus in quo nullam ſentis motionem in memoriam reponere, quantum ſit in una-

Ed. Chart. VIII. [312.]

οὔσης δ' οὐ σμικρᾶς διαφορᾶς τοῖς ἀνθρώποις πρὸς ἀλλήλους ἐν τῇ ποσότητι τοῦ χρόνου τῆς ἡσυχίας, ἀξιῶ σε τῶν συνήθων, οὓς προσδοκᾷς ποτε νοσοῦντας ἐπισκέπτεσθαι, πολλάκις ὑγιαινόντων ἅπτεσθαι κατ' ἐκεῖνον τὸν χρόνον ἐν ᾧ μηδεμίαν ἔξωθεν ἔχει τὸ σῶμα κίνησιν ἐκ περιπάτων ἢ δρόμων ἢ λουτροῦ ἢ πάλης ἢ ἐδωδῆς ἢ πόσεως ἢ ἀγωνίας ἢ θυμοῦ τινος ἢ φόβου, παραθέμενόν τε τῇ μνήμῃ τὴν ποσότητα τοῦ τῆς ἠρεμίας χρόνου, παραβάλλειν αὐτῷ τὸν ἑκάστοτε φαινόμενον· εἶτ' εἰ μὲν πλείων εἴη, καλεῖν ἀραιὸν τὸν σφυγμόν· εἰ δ' ἐλάττων, πυκνόν· εἰ δ' ἴσος τῷ κατὰ φύσιν, σύμμετρον. ὥσπερ δὲ τοῦ χρόνου τῆς συστολῆς οὐκ ἐνὸν αἰσθέσθαι παντὸς, οὕτως οὐδὲ τῆς διαστολῆς· ἐπιδέδεικται δὲ καὶ τοῦτο κατὰ τὸ πρῶτον τῆς διαγνώσεως τῶν σφυγμῶν. ἀλλὰ τόν γε ταχὺν καὶ βραδὺν σφυγμὸν ἔνεστι διαγνῶναι κἀκ τοῦ φαινομένου τῆς διαστολῆς. εἴρηται δὲ καὶ περὶ τοῦδε καὶ διὰ τοῦ δευτέρου μὲν ἐν ἀρχῇ τῆς διαγνώσεως τῶν σφυγμῶν, καὶ διὰ τοῦ τρίτου δ' ἐπιπλεῖστον, ἐν ᾧ καὶ τὴν τῶν ῥυθμῶν διδασκαλίαν ἐδείκνυον ἄχρηστον· ἀρκεῖν γὰρ ἡμῖν εἰς τὰς

quaque aetate. Quum autem non exigua sit differentia hominibus inter se in quantitate temporis quietis, hortor te ut familiares illos quos opinaris aliquando aegrotantes te esse inspecturum saepius dum sani sunt tangas eo sane tempore in quo corpus nullam extrinsecus ortam motionem habet ex ambulationibus vel cursibus vel lavacro vel lucta vel pastu vel potu vel agonia vel ira aliqua vel timore memoriaque repetens quantitatem temporis quietis, illi compares id quod assidue conspicitur; deinde si majus fuerit, eum pulsum voces rarum, si minus, frequentem; si ei quod secundum naturam est aequale, moderatum. Quemadmodum autem non potest totum tempus systoles sentiri, ita nec diastoles; ostensum autem et hoc est in primo de dignotione pulsuum. Verum celerem et tardum pulsum licet dignoscere ex eo quod de diastole apparet. Dictum autem et de hoc est tum in secundo de dignotione pulsuum in principio tum in tertio diffusissime, in quo etiam rhythmorum doctrinam inutilem ostendi. Satis enim

Ed. Chart. VIII. [312.]

προγνώσεις τὸ τάχος μόνον ἢ τὴν βραδυτῆτα διαγνῶναι τῶν κινήσεων τῆς ἀρτηρίας· ὥσπερ γε καὶ τῶν ἡσυχιῶν τὸν χρόνον ὁπηλίκος τίς ἐστι καθ' ὃν ἀραιὸς καὶ πυκνὸς ὁ σφυγμὸς γίνεται· μαθήσῃ δὲ τοῦτον διὰ τῶν ἑξῆς, ἔνθα περὶ τῆς τῶν σφυγμῶν προγνώσεως ὁ λόγος ἔσται μοι.

Κεφ. η'. Νυνὶ δὲ περὶ τοῦ μεγάλου καὶ μικροῦ σφυγμοῦ καὶ τῶν ἄλλων ὅσοι κατὰ τὸ ποσὸν τῆς διαστολῆς νοοῦνταί τε καὶ διαγνώσκονται προσθεὶς ὅσον χρήσιμον, ἐπὶ τὰς αἰτίας αὐτῶν μεταβήσομαι. καὶ γὰρ ἐπὶ τούτων τῶν σφυγμῶν τὸ μέν τι κοινόν ἐστι μέτρον ἐν πλάτει συχνῷ λαμβανόμενον, τὸ δέ τι καθ' ἕκαστον ἄνθρωπον ἴδιον. ἐν μὲν τῷ κοινῷ σύμμετρος καθ' ἡντιναοῦν διάστασιν ὁ σφυγμὸς ἔσται, καὶ διαγνωσθήσεται ἐν τῷ τῆς ἀρτηρίας ὄγκῳ παραμετρούμενος· ὀνομάζω δὲ νῦν ὄγκον αὐτὴν τὴν κατὰ κύκλον περιγραφήν. ὁμοίως δὲ τούτῳ καὶ οἱ τῶν συμμέτρων καθ' ἑκάστην διάστασιν ὑπερέχοντες ἢ ἐλλείποντες· ἰδίᾳ δὲ καθ' ἕκαστον ἄνθρωπον ἐκ τῆς κατ' ἐκεῖνον ἁφῆς προεγνωσμένης τε καὶ μνημονευομένης. εἴρηται δὲ καὶ περὶ τῶν τοιούτων σφυγμῶν

nobis esse ad praecognitionem celeritatem solam, vel tarditatem dignoscere motuum arteriae, quemadmodum etiam et ipsarum quietum tempus quantum ipsum sit, per quod rarus et frequens pulsus sit. Disces autem hoc in sequentibus, ubi de praenotione ex pulsibus sermo mihi erit.

Cap. VIII. Nunc de magno et parvo pulsu ac de caeteris quicunque secundum quantitatem diastoles intelliguntur ubi quicquid utile est adjecero, ad causas ipsorum transibo. Etenim in his pulsibus alia quidem communis est mensura, quae in frequenti latitudine sumitur, alia vero in unoquoque homine peculiaris. In communi quidem moderatus secundum quamlibet dimensionem ipse pulsus erit, et dignoscetur, si eum ad arteriae tumorem metiaris; nomino autem nunc tumorem ipsam quae in orbem est circumscriptionem. Aeque vero ac hic et qui supra vel infra moderatos secundum unamquamque dimensionem sunt; peculiariter autem in unoquoque homine ex tactu quem in illo et praenoveris et memoria teneas. Dictum autem

Ed. Chart. VIII. [312. 313.]

ἐν τῷ δευτέρῳ τῆς διαγνώσεως αὐτῶν, ἥντινα πραγματείαν οὐδεὶς ἔγραψε πρὸ ἐμοῦ, αὐτὴν καθ' αὑτὴν ἀποτεμνόμενος ἰδίᾳ καὶ μόνην, ἀλλ' ὀλίγα που πράγματα κατὰ τὸ πάρεργον αὐτῆς ἄλλος ἄλλο προχειρισάμενος διεφώνησαν ἐν αὐτοῖς. τὸν γοῦν τοῦ παιδὸς σφυγμὸν ὁ μὲν Ἡρόφιλος ἱκανὸν τῷ μεγέθει φησὶν ὑπάρχειν, ὁ δ' Ἀρχιγένης μικρόν. οὕτω δὴ καὶ τὸν μυρμηκίζοντα ταχὺν εἶναι φησὶν ὁ Ἀρχιγένης, Ἡρόφιλος δὲ οὐ ταχύν. ἐῤῥήθησαν δὲ καὶ αἱ τῶν σφαλμάτων αἰτίαι κατὰ τὴν πραγματείαν ἐκείνην· ὥστε σοι παντὸς μᾶλλόν ἐστι προσεκτέον αὐτῇ τὸν νοῦν, εἰ διαγινώσκειν τε καὶ προγινώσκειν ἐθέλοις διαφορὰς σφυγμῶν ὅρα περὶ ἡμᾶς εἶδες. οὐδὲν γὰρ οὕτως ὃ οὔτε πλείονος εἰς ἄσκησιν δεῖται χρόνου τῶν κατὰ τὴν τέχνην, οὐδὲ μείζονα δύναμιν ἔχει τῆς τῶν σφυγμῶν διαγνώσεως. ὅπου γὰρ Ἀρχιγένης ἐδείχθη σφαλλόμενος οὐ μόνον ἐν τῇ τοῦ τάχους, ἀλλὰ καὶ ἐν τῇ τοῦ μεγέθους διαγνώσει, τίνα δυνήσῃ σχεῖν ἐλπίδα σὺ τῆς ἐπιστήμης αὐτῶν ἄνευ τοῦ λόγῳ μὲν πρῶτον ἐν τοῖς τέτταρσι περὶ διαγνώσεως βιβλίοις, ὕστερον δὲ καὶ τριβῇ τὴν ἐν αὐτοῖς

de his pulſibus eſt in ſecundo de dignotione ipſorum, quam ſane tractationem nemo ante me ſcripſit ipſam per ſe ſeparatim ac ſolam diſtinguendo, ſed paucas alicubi res extra ipſius inſtitutum alius aliam aggreſſus discordes in ipſis fuerunt. Pueri igitur pulſum Herophilus quidem ſatis magnum eſſe ait, Archigenes vero parvum. Sic ſane et formicantem celerem eſſe ait Archigenes, Herophilus autem non celerem. Errorum autem cauſas in ea tractatione diximus. Quare tibi in primis in [313] eam eſt accurate incumbendum, ſi tum dignoscere tum praecognoſcere velis differentias pulſuum, ſicuti nos facere vidiſti. Nihil enim in arte quod diuturniore exercitatione indigeat majoremque vim habeat quam pulſuum dignotio. Ubi enim Archigenem errare oſtendimus, non in celeritatis ſolum, ſed etiam magnitudinis dignotione, quam poteris tu ſpem habere ſcientiae ipſorum, niſi ratione quidem primo in quatuor libris de dignotione, poſtea vero uſu ac exer-

Ed. Chart. VIII. [313.]

ἀλήθειαν ἐκμαθεῖν; ὡς οὖν οὕτως πράξαντός σου τὰ κεφάλαια τῶν ἐν ἐκείνοις εἰρημένων ὥσπερ ἐπὶ τῶν προειρημένων διαφορῶν, οὕτως καὶ τῶν ἄλλων ἐρῶ. τῆς γάρ τοι διαστολῆς αἰσθητὴν ἐχούσης ἅπασι τὴν κίνησιν, ὅταν μὲν ἐπιπολῆς ψαύσης περιλαβὼν ἀβιάστως τὴν ἀρτηρίαν, καὶ μᾶλλον ὅταν ἐκ τῶν κάτω μερῶν, ἡ τοῦ μεγέθους διάγνωσις ἀκριβὴς γίνεται. πότερα δὲ σφοδρῶς ἢ ἀμυδρῶς καὶ ὁμαλῶς ἢ ἀνωμάλως ἐκινήθη, γνῶναι βεβαίως τε καὶ ἀκριβῶς ἀδύνατόν ἐστι κατὰ τὴν εἰρημένην ἐπιβολὴν τῆς ἁφῆς. ἀλλὰ χρὴ θλίβειν ἠρέμα τὴν ἀρτηρίαν· οὕτως γὰρ αἰσθήσῃ πλείονι χρόνῳ τῆς διαστολῆς ἤπερ ὅτε ἀβιάστως ἐπέβαλες αὐτῇ τοὺς δακτύλους. οὐ μὴν οὐδὲ τοῦ τάχους οὐδὲ τῆς βραδυτῆτος ἡ διάγνωσις ἐναργῶς φαίνεται χωρὶς τοῦ κἂν ἐπιβραχὺ θλῖψαι τὸ κατὰ τὰς ἀρτηρίας ἐπικείμενον δέρμα. πράξαντι δὲ οὕτως ἐνίοτε μὲν ἰσοταχῶς, ἐνίοτε δὲ ἀνωμάλως σοι φανεῖται κινουμένη, καὶ ποτὲ μὲν τὰ πρῶτα τῆς κινήσεως ἢ τὰ μέσα βραδύτερα ποιουμένη, ποτὲ δ' ἔμπαλιν. οὕτως δὲ καὶ ὠκυτέρως ποτὲ μὲν τὰ

citatione veritatem quae in ipsis est ediscas? Tanquam igitur tu ita facias, capita eorum quae in ipsis dicta sunt quemadmodum in praedictis differentiis, ita et in aliis dicam. Quum enim diastole sensilem habeat omnibus motionem, ubi superficietenus palpaveris, arteriam sine vi comprehendens, et magis, ubi ex infernis partibus, exquisita sit ipsa magnitudinis dignotio. Utrum autem vehementer, vel obscure, et aequaliter vel inaequaliter mota sit, firmiter ac exquisite cognoscere impossibile est per praedictam tactus injectionem, verum oportet sensim arteriam premere; ita enim diuturniore tempore diastolen senties quam dum sine vi digitos ipsi injiciebas. Non tamen aut celeritatis, aut tarditatis dignotio manifeste apparet, nisi presseris, licet etiam parumper, cutim, quae super arteriam incumbit. Si autem ita feceris, nonnunquam quidem aequali celeritate, nonnunquam vero inaequali tibi videbitur moveri, ac nonnunquam quidem primas partes motionis vel medias tardiores facere, nonnunquam autem e contrario: ita sane etiam celeriores, nonnunquam quidem

Ed. Chart. VIII. [313.]

τελευταῖα, ποτὲ δὲ τὰ πρὸ αὐτῶν, ἢ τὰ πάντων πρῶτα· καὶ δὴ καὶ σφοδρότερα καὶ ἀμυδρότερα κατὰ τὸν αὐτὸν λόγον. καὶ τοίνυν καὶ διακοπτομένην ἡσυχίᾳ τὴν ἄνοδον αἰσθήσῃ τῆς ἀρτηρίας, ὡς δοκεῖν ἵστασθαι, καὶ τὴν δευτέραν δὲ προσβολὴν ἐπὶ τῇ στάσει ποτὲ μὲν ἰσχυροτέραν ἢ θάττω, ποτὲ δὲ ἀσθενεστέραν ἢ βραδυτέραν τῆς προτέρας. πολλῶν δὲ οὐσῶν κἀν τούτῳ τῷ γένει τῶν κατὰ μέρος διαφορῶν, ἁπάσας ἔχεις ἐν τῷ πρώτῳ τῆς περὶ σφυγμῶν πραγματείας γεγραμμένας. ἀλλὰ κἀνταῦθά σοι τὸ χρήσιμον ἅμα τοῖς ἐξ αὐτῶν δηλουμένοις εἰπεῖν πειράσομαι διὰ βραχυτάτων ἐν τοῖς ἑξῆς λόγοις. ὁμοίως δὲ καὶ περὶ τῶν ἄλλων ὅσα νῦν παραλέλειπται περιεργότερον ἐζητημένα τοῖς ἰατροῖς, ἐν τῷ προγνωστικῷ μέρει τῆς πραγματείας ἀκούσῃ. νυνὶ δ' ἀρκεῖ τό γε τοσοῦτον εἰπεῖν, ὡς ὅστις ἀναγινώσκει τὸ βιβλίον τοῦτο πρὸ τῆς μεγάλης πραγματείας, ἐγχωρεῖ μὲν αὐτῷ πρὸς τὰ τῆς τέχνης ἔργα μήτε τοῦ πρώτου μέρους αὐτῆς τοῦ περὶ τῆς διαφορᾶς τῶν σφυγμῶν δεηθῆναι μήτε τούτου περὶ τῶν αἰτιῶν·

postremas partes, nonnunquam vero quae ante has sunt, vel quae sunt omnium primae; et sane etiam vehementiores et languidiores secundum eandem rationem. Ideoque et arteriae ascensionem quiete interceptam senties, ita ut consistere videatur, et secundam appulsionem, postquam constiterit, nonnunquam quidem validiorem vel celeriorem, nonnunquam autem imbecilliorem vel tardiorem priore. Quum autem multae etiam sint in hoc genere particulares differentiae, universas habes in primo libro tractationis de pulsibus scriptas. Sed hic quoque tibi quod utile est una cum iis quae ex ipsis judicantur dicere quam brevissime conabor in sequentibus sermonibus. Similiter etiam de aliis quae nunc praetermissa sunt, curiosius a medicis inquisita, in parte prognostica hujus tractationis audies. Nunc autem tantum dixisse satis est, quicunque hunc librum ante magnam tractationem legit, posse quidem illum ad artis opera neque prima ipsius parte, quae de differentia pulsuum est, neque ea quae de caussis est egere;

Ed. Chart. VIII. [313.]

ἕξει γὰρ αὐτῶν κἀνταῦθα περιεχομένην τὴν δύναμιν. ἡ μέντοι διαγνωστικὴ καὶ ἡ προγνωστικὴ πραγματεία χρησιμώταται πρὸς τὰ τῆς τέχνης ἔργα εἰσὶ κατὰ διέξοδον, οὐκ ἐπιτομὴν, ἀναγινωσκόμενα. καλῶς οὖν ποιήσεις μὴ θαῤῥήσας μόνῃ ταύτῃ τῇ διδασκαλίᾳ, πρὸς ἀνάμνησιν πρόχειρον οὔσῃ χρησίμῃ τοῖς ἐπιμελῶς μεμαθηκόσι τὰ κατὰ διέξοδον ἐν ἐκείναις γεγραμμένα. περὶ δὲ τῆς τοῦ τάχους διαγνώσεως τοῦ σφυγμοῦ, ἐν ᾗ τὸν Ἀρχιγένην σφαλλόμενον ἐδείξαμεν, οὐχ οἷόν τε βεβαίαν διάγνωσιν λαβεῖν ἄνευ τοῦ περὶ τῆς διαγνώσεως τῶν σφυγμῶν ἀναγνῶναι μὴ κατὰ τὸ πάρεργον, ἐν οἷς δείκνυται μὴ ψιλῷ καὶ μόνῳ χρῆναι τῷ χρόνῳ τῆς κινήσεως διακρῖναι τὸ τάχος ἀπὸ τῆς βραδυτῆτος, ἀλλὰ καὶ τὸ τῆς ἀνόδου ποσὸν ἐπισκοπεῖν. ὡς ἐάν γε μόνῳ τῷ χρόνῳ προσέχῃς τὸν νοῦν, τὸν μυρμηκίζοντα καλούμενον σφυγμὸν ταχὺν εἶναι δόξεις, οὐκ ὄντα ταχὺν, ἀλλ' ὀλιγοχρόνιον, ὡς ἅτε μικροτάτην ἔχοντα διαστολήν. οὐ γὰρ ἐνδέχεται πολλῷ χρόνῳ διεξέρχεσθαι βραχὺ διάστημα, κἂν βραδὺ τὸ κινούμενον ᾖ. χελώνη γοῦν ἐν ἐλάττονι χρόνῳ διεξέρχεται πῆχυν ἢ παρασάγγην ἵππος,

habet enim earum vim et hoc in loco comprehenſam. Et certe diagnoſtica et prognoſtica tractatio utiliſſimae ad artis opera ſunt, ſi per diexodum, non per epitomen ſcripta legantur. Recte igitur feceris ſi haec ſoli doctrinae non confidas; quae certe ad expeditam memoriam utilis eſt iis, qui accurate ea quae per diexodum in illis ſcripta ſunt didicerint. De dignotione vero celeritatis pulſus, in qua Archigenem erraſſe monſtravimus, non poteſt firma dignotio ſumi, niſi tractatio de pulſuum dignotione non obiter legatur; in qua oſtenditur non modo ac ſolo motionis tempore diſtinguendam eſſe celeritatem a tarditate, ſed et aſcenſionis quantitatem conſiderandam eſſe. Nam ſi ſoli tempori mentem adhibueris, formicantem quem vocant pulſum celerem eſſe opinaberis, qui non celer, ſed exigui temporis eſt; ut qui minimam habeat diaſtolen, neque enim contingit multo tempore breve ſpatium pertranſire, quamvis tardum ſit id quod movetur. Teſtudo enim minori tempore cubitum peragit quam paraſangam equus, ſed latio-

Ed. Chart. VIII. [313.]
ἀλλʼ ὁ τῆς φορᾶς ῥοῖζος οὐκ ἴσος τῶν ζώων ἀμφοτέρων. ἐθισθῆναι δʼ οὖν σε χρὴ ταύτῃ διαγινώσκειν καὶ βραδυτῆτα χρόνου. περὶ μὲν οὖν τούτου, καθάπερ ἔφην, ἔν τε τῷ τρίτῳ περὶ διαγνώσεως ἐπιπλεῖστον εἴρηται καὶ κατὰ τὰ πρῶτα τοῦ δευτέρου· περὶ δὲ τῆς συστολῆς ἐν τῷ πρώτῳ τελεώτατα γέγραπται, δεικνύντος μου κατὰ τοὺς ἀμυδροὺς σφυγμοὺς ἀδιάγνωστον αὐτὴν εἶναι, καὶ μάλισθʼ ὅταν ὁ χιτὼν τῆς ἀρτηρίας ᾖ μαλακός· ἐπὶ δὲ τῶν σφοδρῶν σφυγμῶν διαγινώσκεσθαι κἀπὶ τῶν μέσων κατὰ σφοδρότητα καὶ μέγεθος. περὶ δὲ μαλακότητος τῆς ἀρτηρίας οὐδὲν χρὴ προσδιορίζεσθαι κατὰ τοὺς σφοδροὺς σφυγμούς. οὐδέποτε γὰρ ὁ αὐτὸς σφυγμὸς ἅμα σφοδρός τέ ἐστι καὶ μαλακὸς, ἀλλʼ ἤτοι σκληρὸς ἢ σύμμετρός τε καὶ κατὰ φύσιν ἐν τούτῳ τῷ γένει. κατὰ τοὺς σφοδροὺς οὖν σφυγμοὺς θλίβων ἀτρέμα τὴν ἀρτηρίαν αἰσθήσῃ, πότερον εὐθέως ἀποχωρεῖ πρὸς τὴν συστολὴν βραχυχρόνιον ποιοῦσα τὴν ἐκτὸς ἠρεμίαν, ἢ πλέονι χρόνῳ τῆς κατὰ φύσιν ἡσυχάζει· καὶ πότερον ἡ κίνησις αὐτῆς συστελλομένη ὠκυτέρα τῆς κατὰ φύσιν κινήσεως ἐστὶν ἢ βραδυτέρα.

nis impetus non eſt aequalis amborum animalium. Aſſueſcere igitur te oportet ut celeritatem et tarditatem temporis dignoscas. Ac de hoc quidem, ſicuti dicebam, in tertio de dignotione libro copioſiſſime dictum eſt et in prima parte ſecundi: e ſyſtole autem in primo abſolutiſſime ſcriptum eſt; ubi oſtendi in languidis pulſibus ipſam dignosci minime poſſe, ac praecipue quando tunica arteriae mollis eſt, in vehementibus autem pulſibus poſſe et in iis qui medii ſunt vehementia et magnitudine. De mollitie autem arteriae nihil oportet deſinire in vehementibus, nunquam enim idem pulſus vehemens ſimul eſt et mollis, ſed vel durus, vel moderatus, ac ſecundum naturam in hoc genere. In vehementibus igitur pulſibus, ſi leniter arteriam premas, ſenties utrum ſtatim redeat ad ſyſtolen, externam quietem brevis temporis faciens, an longiori tempore quam ſecundum naturam ſit quiescat, et utrum motio ipſius dum contrahitur, motione quae ſecundum naturam eſt cele-

Ed. Chart. VIII. [313.]
μέγιστα γὰρ ἐκ τῆς τοιαύτης διαγνώσεως εἰς τὸ προγινώσκειν ὠφεληθήσῃ, ὃ ἔχεις ἐν τέτταρσι βιβλίοις.

Κεφ. θ'. Τὰς δὲ ποιούσας καὶ τὰς ἀλλοιούσας τοὺς σφυγμοὺς αἰτίας ἑτέρωθι διῆλθον· ἐπιδείκνυμι δ' ἐν αὐτοῖς πρώτας μὲν τὰς οἷον συνεκτικὰς αὐτῶν αἰτίας, δευτέρας δὲ τὰς προηγουμένας, καὶ τρίτας τὰς προκαταρχούσας, ἃς δὴ καὶ προκαταρκτικὰς ὀνομάζουσιν. εὔδηλον δ' ὅτι διαφέρει μηδὲν ἢ θηλυκῶς εἰπεῖν αἰτίας, ἢ οὐδετέρως αἴτια. μεμνῆσθαι μέντοι χρὴ πρὸ πάντων ὅπως ἔφαμεν ὀνομάζειν ἐνίοτε συνεκτικὸν αἴτιον, ὅτι μὴ κυρίως, ἀλλὰ καταχρώμενοι τῇ προσηγορίᾳ. τὸ μὲν γὰρ κυρίως λεγόμενον αἴτιον συνεκτικὸν οὔτ' ὠνόμασέ τις ἄλλος πρὸ τῶν Στωϊκῶν οὔτ' εἶναι συνεχώρησε· τὰ δὲ καὶ πρὸ ἡμῶν οἷον συνεκτικὰ λεγόμενα γενέσεώς τινος, οὐχ ὑπάρξεως αἴτια. δέδεικται γὰρ οὔτ' ἄλλου τινὸς αἴτιον πρότερον οὐδὲν, ὅτι μὴ γενέσεως· ἀλλ' οὐ πᾶν τὸ γενέσεως αἴτιον ὀνομάζομεν, ὡς ἔφην, καταχρώμενοι, συνεκτικὸν,

rior ſit, an tardior, plurimum enim ex hac dignotione ad praecognoscendum juvaberis, quod in quatuor libris habes.

Cap. IX. Cauſas autem tum quae pulſus faciunt, tum quae alterant alibi percurrimus, illic autem oſtendo, primas quidem, quae veluti continentes ipſorum ſunt cauſae; ſecundas autem quae antecedentes et tertias, quae praeincipientes, quas ſane προκαταρκτικὰς nominant. Conſtat autem differre nihil, ſive foeminino genere dicas αἰτίας, ſive neutro αἴτια. Meminiſſe ſane prae omnibus oportet, quemadmodum diximus, nominare nos quandoque continentem cauſam, non proprie certe, ſed appellatione abutentes. Cauſam enim quae proprie continens dicitur neque nominavit quispiam alius ante Stoicos, neque eſſe conceſſit. Quae vero a nobis veluti continentes dicuntur, generationis cujusdam, non ſubſiſtentiae cauſae ſunt; oſtenſum eſt enim neque alterius cujusdam rei cauſam priorem ullam eſſe, niſi generationis; ſed non omnem generationis cauſam nominamus, etiam nomine, ut dixi, abutentes,

Ed. Chart. VIII. [313.]

ἐκεῖνο δὲ μόνον ὃ ποιητικόν ἐστι τῶν ἐν τῷ γίνεσθαι τὸ εἶναι κεκτημένων, οἷον ὀρχήσεως, πυγμῆς, πάλης, δρόμου, πασῶν τῶν ἐνεργειῶν· κινήσεις γάρ εἰσι δραστικαί, διὰ ταύτας δὲ καὶ παθητικαὶ κινήσεις ἐν τῷ γίνεσθαι τὴν ὕπαρξιν ἔχουσι. τοιαύτης μὲν οὔσης καὶ τῆς κατὰ τοὺς σφυγμοὺς ὑπάρξεως, αἰτίαι ποιητικαὶ τρεῖς ἐδείχθησαν, ἥ τε δύναμις ἡ κινοῦσα τὰς ἀρτηρίας καὶ αὐτὸ τὸ σῶμα τοῦ ἀγγείου καὶ ἡ χρεία δι' ἣν κινεῖται, δέδεικται δ' ἐν τῷ περὶ χρείας σφυγμῶν γράμματι, τὸ σύμπαν εἰπεῖν ἐν κεφαλαίῳ περιλαβόντα, φυλακὴν τῆς ἐμφύτου θερμασίας τὴν χρείαν τῶν σφυγμῶν ὑπάρχειν. ὄντων γὰρ δυοῖν μερῶν τοῦ σφυγμοῦ, διαστολῆς τε καὶ συστολῆς, τὴν μὲν διαστολὴν ἐμψύξεως ἕνεκεν ἐδείξαμεν γίγνεσθαι τὰ πολλά, σπανίως δέ ποτε καὶ ῥιπίσεώς τε καὶ ἀναψύξεως, ὥσπερ γε καὶ μορίου τινὸς αὐτῆς βραχέος ἕνεκα τοῦ κατὰ τὸν ἐγκέφαλον πνεύματος· τὴν συστολὴν δὲ ἀποχύσεως οἷον αἰθαλωδῶν καὶ καπνωδῶν περιττωμάτων. τὰ μὲν γὰρ ἐκ τῶν ψυχροτέρων τε χυμῶν καὶ ὑγροτέρων, κατεργαζομένων ὑπὸ τῆς ἐμφύτου θερμασίας ἢ σηπομένων ὑπὸ

continentem, ſed illam duntaxat quae effectiva eſt eorum quae ſint dum fiunt, ut ſaltationis, pugnae, luctae, curſus, omnium denique actionum, motiones enim ſunt activae: ob has vero et paſſivae motiones dum fiunt, ſubſiſtentiam habent. Quum igitur talis quoque ſit et in pulſibus ſubſiſtentia, cauſae effectivae tres oſtenſae ſunt, facultas quae movet arterias, corpus ipſum vaſis et uſus propter quem movetur. Oſtenſum eſt autem in libro de uſu pulſuum, ut totum brevi ſumma complectamur, uſum ipſum pulſuum innatae caliditatis eſſe cuſtodiam. Quum enim duae ſint pulſus partes, diaſtole et ſyſtole; diaſtolen quidem refrigerandi cauſa ut plurimum fieri oſtendimus, raro tamen quandoque ventilandi et accendendi; quemadmodum et portionem aliquam ipſius exiguam gratia nutriendi ſpiritum qui in cerebro eſt; ſyſtolen vero effundendi gratia ea excrementa quae veluti fuliginoſa ſunt ac fumoſa. Nam quae ex frigidioribus ac humidioribus humoribus, qui vel a caliditate innata conficiuntur, vel ab ea quae praeter

Ed. Chart. VIII. [313. 314.]
τῆς παρὰ φύσιν, εἰς τὸ περιέχον ἀποῤῥέοντα κατὰ τὴν ἄδηλον αἰσθήσει διαπνοὴν ἔοικε καπνῷ, τὰ δὲ ἐκ τῶν θερμῶν ἢ ξηρῶν αἰθάλῃ τε καὶ λιγνύι. ψυχρὸς μὲν οὖν χυμὸς ὁ ἰδίως καλούμενος ὠμὸς, ὑγρὸς δὲ καὶ ψυχρὸς τὸ φλέγμα. συλλαμβάνοντες δὲ ὡς τὰ πολλὰ μιᾷ προσηγορίᾳ τοὺς χυμοὺς ἀμφοτέρους ὀνομάζομεν φλεγμώδεις καὶ φλεγματικούς. ξηρὸς δὲ χυμός ἐστιν ὁ τῆς μελαίνης χολῆς, ὁ δὲ τῆς ὠχρᾶς τε καὶ ξανθῆς χολῆς οὐ ξηρὸς μόνον, ἀλλὰ καὶ θερμός· ἡ δὲ ἰώδης χολὴ μεταξὺ τούτων ἐστίν. οὔσης δὲ καὶ τῆς μελαίνης διττῆς, κατά τε τὴν γένεσιν καὶ τὴν δύναμιν, ἐπειδὴ καὶ τῆς ξανθῆς ὑπεροπτηθείσης γίνεται καὶ τοῦ παχέος τε καὶ ἰλυώδους αἵματος, ὅπερ ἀνάλογόν ἐστι τῇ κατὰ τοὺς οἴνους τρυγὶ, τῆς δὲ ἰώδους χολῆς ἡ γένεσις ἐν τῇ τῆς ὠχρᾶς μεταβολῇ γίνεται.

Κεφ. ι. Ὅταν μὲν οὖν ἡ θερμασία πλείων αὐξηθῇ κατὰ τὸ σῶμα τοῦ ζώου, τῆς διαστολῆς τῶν ἀρτηριῶν ἡ χρεία γίνεται μείζων· ὅταν δὲ τὸ καπνῶδες ἢ λιγνυῶδες περίττωμα, τῆς συστολῆς. ἔνθα δὲ ἡ χρεία τὴν αὔξησιν ἴσχει, τὸ τάχος

naturam eſt [314] putreſiunt, in ambientem aërem per tranſpirationem ſenſui occultam eſſluunt, fumo aſſimilantur; quae vero a calidis vel ſiccis, ſavillae ac ſuligini. Ac frigidus quidem eſt humor, qui proprie crudus nominatur, humidus autem et frigidus ipſa pituita. Plerumque tamen una appellatione utrosque humores comprehendimus et pituitoſos nominamus. Atrae vero bilis humor ſiccus eſt; pallidae autem et flavae non ſiccus ſolum, ſed et calidus. Aeruginoſa autem bilis media inter hos eſt. Quum autem et bilis atra tum generatione tum facultate duplex ſit, quandoquidem et ex flava bile ſuperaſſata ſit et craſſo ac veluti limoſo ſanguine, qui proportione reſpondet faeci quae in vicinis eſt, aeruginoſae ſane bilis generatio in pallidae mutatione ſit.

Cap. X. Cum ergo caliditas copioſior in animalis corpore aucta ſuerit, major evadit uſus diaſtoles arteriarum; quum autem fumoſum vel ſuliginoſum excrementum, ſyſtoles. Ubi vero ipſe uſus incrementum obtinet, cele-

Ed. Chart. VIII. [314.]
ἐνταῦθα καὶ τὸ μέγεθος αὐξάνεται τοῦ διαστήματος, ὃ διεξέρχεται τὸ σῶμα τῆς ἀρτηρίας ἢ διαστελλόμενον ἢ συστελλόμενον. ὥστε μείζων μὲν ὁ σφυγμὸς ἔσται διαστελλομένης αὐτῆς, αὐξηθείσης ἁπλῶς τῆς θερμασίας· ἐπὶπλεῖστον δὲ ἀποχωρήσει κατὰ τὰς συστολὰς, ἔνθα καπνῶδες ἢ λιγνυῶδες ἀποχεῖται περίττωμα. τὸ μὲν οὖν τῆς διαστολῆς μέγεθος αἰσθήσει διαγνῶναι ῥᾷστόν ἐστι, τὸ δὲ τῆς συστολῆς ἀδύνατον. ἐδείχθη γὰρ ἐν τοῖς περὶ διαγνώσεως σφυγμῶν ἐκφεῦγον αὐτὴν τὸ πλεῖστον τῆς συστολῆς. τὸ τάχος οὖν μόνον τῆς ἀποχωρήσεως ἅμα τῇ βραχύτητι τῆς ἐντὸς ἠρεμίας ἐνδείξεταί σοι τὸ πλῆθος τῶν ἐν ταῖς ἀρτηρίαις περιττωμάτων. ἐδείχθη γὰρ περὶ τῶν ἐν τοῖς σφυγμοῖς αἰτίων ἐπειγομένη πρὸς τὴν τῆς συστολῆς ἐνέργειαν ἡ φύσις, ἐπειδὰν καταπνίγηται τοῖς περιττώμασιν· ἡ δὲ ἔπειξις καὶ τὴν ἐκτὸς ἡσυχίαν αὐτῆς συντέμνει, καὶ τὸ τάχος τῆς συστολῆς αὐξάνει. δέδεικται δὲ καὶ ὅτι μετρίως ἔχουσα τῆς τοῦ σώματος συστάσεως ἡ ἀρτηρία πρῶτον μὲν τὸ μέγεθος αὐξάνει τῆς θερμασίας ἐπιτεινομένης, δεύτερον δὲ τὸ τάχος. ὅταν δ' ἱκανῶς ἐκπυρωθῇ, μεγάλους ἅμα καὶ

ritas illic et magnitudo augetur ſpatii quod percurrit corpus arteriae, dum ipſum vel dilatatur vel contrahitur; quare major quidem pulſus erit, dum ipſa dilatatur, aucta ſimpliciter ipſa caliditate; plurimum autem recedet per ſyſtolas, ubi fumoſum vel fuliginoſum effundit excrementum. Ac diaſtoles quidem magnitudo ut ſenſu dignoscatur facillimum eſt; ſyſtoles autem impoſſibile. Oſtenſum enim eſt in libris de pulſuum dignotione plurimam ſyſtoles partem ſenſum effugere. Celeritas igitur ſola receſſionis una cum brevitate internae quietis indicabit tibi multitudinem excrementorum quae in arteriis ſunt. Oſtenſum enim eſt in libris de cauſis pulſuum, naturam ad ſyſtoles actionem feſtinare, ubi ab excrementis ſuffocatur; feſtinatio autem tum externam quietem minuit tum ſyſtoles celeritatem auget. Oſtenſum eſt etiam arteriam quae mediocriter in corporis conſtitutione ſe habeat, primo quidem magnitudinem augere, ubi nimirum caliditas intendatur; ſecundo vero, celeritatem; quando autem ſatis ignita

Ed. Chart. VIII. [314.]

ταχεῖς ἐργάζεται τοὺς σφυγμούς· εἰ δ' ἐπιπλεῖστον, καὶ πυκνούς. ἔνθα δὲ τὸ μὲν πλῆθος οὐδέπω τῆς θερμασίας ηὔξηται, τὰ δὲ καπνώδη τε καὶ λιγνυώδη περιττώματα πλεονάζει, τάχος, μὲν οὐ δὲ μέγεθος προσέρχεται, συναιρεῖται δὲ ἡ πυκνότης, καὶ σαφῶς ὠκυτέρα φαίνεται κατὰ τὴν εἰς ἑαυτὴν σύνοδον ἡ κίνησις τῆς ἀρτηρίας. καὶ τοῦτ' ἐστὶν ἀψευδέστατον σημεῖον ἀρχομένης εἰσβολῆς παροξυσμοῦ τοῦ πρόσθεν ὄντος ἐν τῷ κάμνοντι. σαφεστάτη μὲν οὖν ἐφ' ὧν προεπιστάμεθα τοὺς σφυγμοὺς γίνεται, δυσκολωτέρα δ' ἐπ' ἄλλων, καὶ πολλῶν δεομένη πρὸς τὴν μνήμην τῶν κοινῶν μέτρων ἐκείνων τῶν σωμάτων, ὧν ἡψάμεθα τῶν σφυγμῶν. ἅτε γὰρ ἐν ποσότητι κειμένης τῆς γνώσεως, οὐχ ἡ αὐτὴ πᾶσίν ἐστι.

Κεφ. ια'. Προσέχειν οὖν χρὴ τὸν νοῦν μέτροις κοινοῖς τῶν ὑγιαινόντων, ὥσθ' ὅταν ὑπὲρ ταῦτα φαίνηταί τι γένος σφυγμοῦ, παρὰ φύσιν τε νομίζειν αὐτὸ καὶ σημεῖον ἡγεῖσθαι τῆσδέ τινος εἶναι διαθέσεως. ἐπεὶ δὲ πλάτος ἔχει τὸ κοινὸν τῶν ἀνθρώπων μέτρον, ἄμεινον οὐχ ἁπλῶς ἐπὶ πάν-

fuerit, magnos ſimul et celeres efficere pulſus; ſi autem plurimum, etiam frequentes; ubi autem copia quidem caliditatis nondum aucta ſit, fumoſa autem et fuliginoſa excrementa redundent, celeritatem quidem, non magnitudinem accedere, conſtringi autem frequentiam celerioremque manifeſte apparere arteriae motionem, dum in ſe ipſam coit. Et hoc eſt minime omnium fallax ſignum incipientis invaſionis paroxysmi, ubi nulla prius occaſio in laborante exſtiterit. Ac apertiſſima quidem eſt in iis quorum pulſus prius noveramus, difficilior autem in aliis multasque, ut memoriae mandetur, requirit communes menſuras eorum corporum quorum pulſus tetigeramus. Quum enim praecipue in quantitate cognitio ponatur, haec non eadem eſt omnibus.

Cap. XI. Mentem ergo adhibere oportet menſuris communibus bene valentium, ut cum ſupra hos aliquod genus pulſuum appareat, praeter naturam illud judices, ac alicujus affectionis ſignum eſſe cenſeas. Quoniam autem latitudinem habet communis hominum menſura, ſatius eſt

Ed. Chart. VIII. [314.]

των, ἀλλὰ κατ' εἴδη τε καὶ διαφορὰς ἐπεσκέφθαι τὰ κοινὰ μέτρα πλειόνων ἀνθρώπων ἐφ' ἑκάστου γένους σφυγμῶν. ἔστι δὲ καθ' ὅλου μὲν εἰς θερμότητα καὶ ψυχρότητα καὶ ἰσχνότητα καὶ τάχος ἡ τῶν κοινῶν μέτρων ἀναγωγὴ, τούτων δὲ αὐτῶν ἐν μέρει καθ' ἡλικίας καὶ φύσεις καὶ τὴν τοῦ περιέχοντος ἀέρος ἀποκατάστασιν ἐν ὥραις καὶ χώραις. ἔμαθες δὲ περὶ τούτων ἐν τῷ γεγραμμένῳ βιβλίῳ τοῖς εἰσαγομένοις περὶ σφυγμῶν, ὃ καὶ αὐτὸ βέλτιόν ἐστι προανεγνῶσθαι τοῦδε. λεχθήσεται δὲ καὶ νῦν τὰ κατ' αὐτὸ χάριν τοῦ μηδὲν ἐλλείπειν τῶν ἀναγκαίων τῇ νῦν ἐνεστώσῃ πραγματείᾳ, ἀλλ' ἔχειν τοὺς φιλοπονεῖν βουλομένους ἐν ἐλαχίστῳ μὲν τὰ πρῶτα καὶ ἀναγκαιότατα κατὰ τὴν εἰσαγωγὴν, ἐν διεξόδῳ δὲ τελεωτάτῃ τὰ κατὰ τὴν μεγάλην πραγματείαν, ἐν τῷ μέσῳ δ' ἀμφοῖν τὰ νῦν λεγόμενα.

Κεφ. ιβ'. Γέγραπται μὲν οὖν καὶ Ἡροφίλῳ τὰ κατὰ τοὺς χρόνους μετὰ τῆς διαστολῆς τε καὶ συστολῆς, ἕνεκα τῶν ἡλικιῶν εἰς ῥυθμοὺς ἀνάγοντι τὸν λόγον.

non ſimpliciter in omnibus, ſed per ſpecies et differentias conſiderare communes plurium hominum menſuras in unoquoque genere pulſuum. Communes autem hae menſurae univerſim quidem in caliditatem et frigiditatem, gracilitatem et craſſitudinem reducuntur, particulatim vero eae ipſae ſecundum aetates et naturas et ambientis aëris conſtitutiones, in anni temporibus et regionibus. De his autem didiciſti in eo libro qui de pulſibus ad tirones ſcriptus eſt; quem ſane librum melius eſt ut ante hunc legas. Dicentur tamen et nunc quae in eo ſcripta ſunt, quo nihil deſit ex neceſſariis in hac quae prae manibus eſt tractatione, habeantque qui laboris ſtudioſi eſſe volunt, breviſſimo quidem ſermone contenta quae prima ac maxime neceſſaria ſunt in iſagoge; abſolutiſſima autem diexodo, quae in magna tradita ſunt tractatione; medio autem inter utrosque quae nunc dicuntur.

Cap. XII. Ac ſcriptae quidem ſunt etiam ab Herophilo menſurae quae ſunt ſecundum tempora diaſtoles et ſyſtoles, aetatum cauſa rationem in rhythmos redigente.

Ed. Chart. VIII. [314.]

ὥσπερ γὰρ ἐκείνους οἱ μουσικοὶ κατά τινας ὡρισμένας χρόνων τάξεις συνιστῶσι παραβάλλοντες ἀλλήλαις ἄρσιν καὶ θέσιν, οὕτως καὶ Ἡρόφιλος ἀνάλογον μὲν ἄρσει τὴν διαστολὴν ὑποθέμενος, ἀνάλογον δὲ θέσει τὴν συστολὴν τῆς ἀρτηρίας, ἀρξάμενος ἀπὸ τοῦ νεογενοῦς παιδίου τὴν τήρησιν ἐποιήσατο, πρῶτον χρόνον αἰσθητὸν ὑποθέμενος ἐν ᾧ διαστελλομένην εὕρισκε τὴν ἀρτηρίαν, ἴσον δ' αὐτῇ καὶ τὸν τῆς συστολῆς εἶναι φησὶν, οὐ πάνυ τι διοριζόμενος ὑπὲρ ἑκατέρας τῶν ἡσυχιῶν. οἷς γὰρ ἀναίσθητός ἐστιν ἡ τῆς ἀρτηρίας συστολὴ, τούτοις εἰς δύο χρόνους τοὺς πάντας ὁ ῥυθμὸς τοῦ σφυγμοῦ μερίζεται, τόν τε τῆς αἰσθητῆς κινήσεως, ἡνίκα πλήττει τὴν ἁφὴν ἡμῶν ἡ ἀρτηρία διαστελλομένη, καὶ τὸ λοιπὸν ἅπαντα συγκείμενον ἔκ τε τῆς ἐκτὸς ἠρεμίας καὶ τῆς μετ' αὐτὴν συστολῆς, καὶ τῆς ἐπ' ἐκείνῃ πάλιν ἠρεμίας καὶ τῶν πρώτων τῆς διαστολῆς, ἅπερ ἐστὶν ἀναίσθητα καὶ αὐτά. καὶ διὰ τοῦτο εἰς πληγὴν καὶ διάλειμμα μερίζουσι τὸν σφυγμὸν, ἐν τῷ τοῦ διαλείμματος ποσῷ πυκνότητα καὶ ἀραιότητα τιθέμενοι, καθάπερ ἐν τῷ τῆς πληγῆς τάχος καὶ βραδύτητα.

Quemadmodum enim illos musici secundum quosdam determinatos temporum ordines constituunt, comparantes inter se arsim et thesim, ita quoque Herophilus arsi quidem diastolen proportione respondere supponens, thesi vero systolem, auspicatus a nuper nato puerulo, observationem fecit, primum tempus sensile supponens, in quo dilatari arteriam comperit, aequale autem ipsi et systoles tempus esse ait, haud magnopere de utraque quiete determinans. Quibus enim insensilis est arteriae systole, iis in duo tempora universa rhythmus ipsius pulsus dividitur, hoc est in tempus sensilis motionis, quando arteria dum dilatatur, nostrum tactum percutit et in reliquum totum tempus quod componitur tum ex externa quiete et systole, quae post ipsam est, tum ex quiete rursus, quae post illam est, et ex primis diastoles partibus, quae sane et ipsae sunt insensiles. Et ob id pulsum in percussionem et intervallum partiuntur, in intervalli quantitate frequentiam et raritatem ponentes, quemadmodum in percussionis quantitate celeritatem et

Ed. Chart. VIII. [314. 315.]

καθ᾽ ὅσον μὲν οὖν δι᾽ ἴσου τὸν τοῦ ῥυθμοῦ σφυγμὸν εἶναί φησιν ἐπὶ τῶν ἀρτιγενῶν ὁ Ἡρόφιλος, κατὰ τοσοῦτο διαγινώσκειν ἔδοξέ μοι τὴν ἀρχὴν τῆς συστολῆς· καθ᾽ ὅσον δὲ πάλιν ἄχρι δέκα χρόνων τῶν πρώτων ἐκτείνει τὴν συστολὴν τῆς τῶν γερόντων ἀρτηρίας, κατὰ τοσοῦτο μηκέτι διαγινώσκειν, ἀλλὰ τὴν διαστολὴν ταῖς αἰσθηταῖς κινήσεσι γνωρίζειν, ἃς ἐκ τοῦ πλήττεσθαι τοὺς δακτύλους ἡμῶν διαγινώσκομεν, τὴν συστολὴν δὲ πᾶν τὸ λοιπὸν τίθεσθαι καθ᾽ ὃ κινήσεως οὐκ ᾐσθάνετο. ἀλλὰ περὶ μὲν τῆς Ἡροφίλου περὶ τοὺς σφυγμοὺς τέχνης ἐατέον.

Κεφ. ιγ'. Νυνὶ δ᾽ ὅσον εἰς τὰ τῆς τέχνης ἔργα χρήσιμον ἐκ μακρᾶς πείρας μνήμης ἕνεκα λαβεῖν, εἰρήσεται. παιδίων γὰρ ἁψάμενος πάνυ ἀρτιγενῶν, ἐπ᾽ ὀλίγων ἠδυνήθην ἐναργῶς διαγνῶναι τὴν ἀρχὴν τῆς συστολῆς, ὅπερ ἀποχώρησίν τε καὶ ἀπόστασιν τῆς ἀρτηρίας ὀνομάζω. τηνικαῦτα γὰρ ἀφισταμένη τῆς ἡμετέρας ἁφῆς, εἰς τὸ βάθος ἀποχωρεῖ τοῦ σώματος. ἐφ᾽ ὧν δ᾽ οὐκ ἠδυνήθην ἐναργῶς διαγνῶναι τὴν ἀποχώρησιν, ἐπὶ τούτων ὁ χρόνος τῆς αἰσθητῆς κινήσεως, ἣν ἐν τῷ

tarditatem. Quatenus igitur aequalis rhythmi esse pulsum in nuper natis ait Herophilus, eatenus etiam dignoscere mihi visus est principium systoles, quatenus vero rursus usque ad decem tempora prima extendit systolen arteriae senum, eatenus non amplius dignoscere visus est, sed diastolen sensilibus motionibus agnoscere, quas, quia nostros percutiunt digitos, dignoscimus, systolen vero totum id quod reliquum est ponere in quo motionem non sentiebat. Sed de Herophili quidem circa pulsus arte praetereundum est.

Cap. XIII. Nunc autem quicquid ad artis opera ex longo experimento memoriae gratia sumere utile est dicetur. Quum enim puerulos tangerem nuperrime natos, in paucis potui aperte dignoscere principium [315] systoles, quod sane arteriae recessionem et abscessionem nomino, tunc enim abscedens a nostro tactu in profundum corporis recedit. In quibus autem non poteram aperte dignoscere recessionem, in iis tempus sensilis motionis, quam dum

Ed. Chart. VIII. [315.]

προσπίπτειν ἡμῖν ἡ ἀρτηρία ποιεῖται προστιθεμένου καὶ τοῦ τῆς ἐκτὸς ἡσυχίας, ποτὲ μὲν ἴσος ὑπάρχειν ἔδοξέ μοι τῷ λοιπῷ παντὶ, ποτὲ δὲ ἐλάττων. ἐφ' ὧν δὲ οὐδ' ὅλως ἦν ἡ συστολὴ διαγνωστὴ, σαφέστατα μείζων ἦν τοῦ κατὰ τὴν αἰσθητὴν διαστολὴν χρόνου (μόνου) σύμπας ὁ λοιπὸς, ὃν ὀνομάζουσι διάλειμμα. ἐφεξῆς δ' ἀεὶ κατὰ τὸν μεταξὺ χρόνον ἅπαντα τῆς τε πρώτης ἡμέρας, ἐν ᾗ τὸ παιδίον ἐγεννήθη, καὶ τῆς ἐσχάτης, ἐν ᾗ διεξελθὸν ἁπάσας τὰς ἡλικίας ἀπέθανεν, οἱ χρόνοι πάντες ηὐξάνοντο, τέτταρες μὲν ὄντες, οὐ μὴν οἱ αὐτοί γε καθ' ὕπαρξίν τε καὶ πρὸς τὴν ἡμετέραν αἴσθησιν. οἱ μὲν οὖν κατ' αὐτὴν τῶν πραγμάτων τὴν φύσιν ὑπάρχοντες χρόνοι τέτταρες ἐκ δυοῖν κινήσεων καὶ δυοῖν ἠρεμιῶν σύγκεινται· κινήσεων μὲν διαστολῆς τε καὶ συστολῆς καὶ τῆς ἐντὸς ἐπὶ τῇ συστολῇ πρὸ τῆς διαστολῆς. οἱ κατ' αἴσθησιν δὲ τέτταρες καὶ οἵδε εἰσὶ, πρῶτος μὲν ὁ τοῦ πλείστου τῆς διαστολῆς, ἐπειδὴ τῆς ἀρχῆς αὐτῆς ἔδειξα κατὰ τὰ περὶ τῶν διαγνώσεων ὑπομνή-

nobis occurrit arteria, facit addito etiam tempore externae quietis, aliquando quidem aequale visum est mihi reliquo toti, aliquando autem minus. In quibus autem nullo modo dignosci potest systole, in iis totum illud reliquum tempus, quod intervallum nominant, apertissime quidem majus erat quam id solum quod in sensili diastole positum est. Deinceps vero semper per totum illud tempus quod est inter primam diem, in qua infantulus genitus est, et extremam, in qua transactis omnibus aetatibus obiit; tempora omnia aucta sunt, quae sane quatuor quidem sunt, non sunt eadem tamen secundum subsistentiam et ad nostrum sensum. Ac illa quidem tempora quae secundum ipsam rerum naturam sunt quatuor ex duabus motionibus et duabus quietibus constant; motionibus quidem diastole et systole, quietibus autem tum externa, quae fit post diastolen ante systolen, tum interna, quae fit post systolen ante diastolen. Illa vero quae ad sensum sunt, quatuor et ipsa sunt. Primum quidem quo plurimum de diastole persentitur, quandoquidem ostendi in libris de dignotione pul-

Ed. Chart. VIII. [315.]

ματα μὴ δυναμένην αἰσθέσθαι τὴν ἀφήν· ἐφεξῆς δ' ὁ τῆς ἐκτὸς ἡσυχίας ὅλος αἰσθητὸς, ἐάν γέ τις αἰσθάνηται ἀποχωρήσεως· εἶτ' ἐπ' αὐτῶν τρίτος ὁ τοῦ τῆς συστολῆς αἰσθητός· τὰ γὰρ μετὰ τὴν ἀποχώρησιν αὐτῆς ἐδείχθη πάντα ἀναίσθητα· τέταρτος δ' ἐστὶν ἐπὶ τούτοις χρόνος συγκείμενος ἔκ τε τῶν ὑστέρων τῆς συστολῆς καὶ τῆς ἐντὸς ἡσυχίας καὶ τῶν πρώτων τῆς διαστολῆς. πάντες οὖν, ὡς ἔφην, οἱ χρόνοι μηκύνονται προβαινούσης τῆς ἡλικίας· οὓς διὰ μακρᾶς μὲν τριβῆς ἔνεστι τῇ μνήμῃ παραθέσθαι, λόγῳ δ' ἑρμηνεύειν ἀδύνατον. οὐ γὰρ ὁπηλίκος ἐστὶν ὁ πρῶτος χρόνος, ὃν ἐπὶ τῶν ἀρτιγενῶν ἔφην εὑρεῖν ἡμᾶς, οὐθ' ὁπόσον αὐξάνεται προϊούσης γε τῆς ἡλικίας, οἷόν τε λόγῳ διδάσκειν· ἀλλὰ τῆς ἑκάστου φιλοπονίας ἐστὶ τοῦτ' ἔργον, ἵνα πολλῶν μὲν παίδων ἅψηται, πολλῶν δὲ μειρακίων, πολλῶν δὲ ἀκμαζόντων, καὶ παρακμαζόντων, καὶ δὴ καὶ γερόντων. οὕτω γὰρ μόνος δυνήσεται τὸ κοινὸν πλάτος τῶν μέτρων τῇ μνήμῃ παραθέσθαι· μεθ' ὃ μέτρον, εἰ καὶ μήπω πρότερον ἡμμένος εἴη τοῦ

ſuum ejus principium a ſenſu percipi non poſſe. Deinceps autem tempus externae quietis totum ſenſibile, ſi ſane quis receſſionem perſentiat. Ab his tertium tempus ſyſtoles ſenſibile, nam quae poſt receſſionem ipſius ſunt, inſenſibilia omnia eſſe oſtenſum eſt. Quartum autem eſt ab his tempus compoſitum tum ex ultimis ſyſtoles partibus, tum ex interna quiete, tum ex primis diaſtoles partibus. Omnia igitur, ut dixi, tempora producuntur progrediente aetate; quae longo quidem uſu memoriae mandari poſſunt, oratione autem explicari non poſſunt. Neque enim quantum ſit primum tempus, quod in nuper natis dixi nos invenire, neque quantum procedente aetate augeatur, oratione doceri poteſt; ſed hoc quisque ſua diligentia indagare debet, ita ut multos quidem pueros tangat, multos etiam adoleſcentes, multos item aetate vigentes et declinantes et ſane etiam ſenes. Hoc enim duntaxat modo poterit communem latitudinem menſurarum memoria mandare. Poſt quam menſuram, licet nondum prius laborantem tetigerit,

Ed. Chart. VIII. [315.]
κάμνοντος, εἰπεῖν δυνήσεται παρὰ φύσιν ἔχειν αὐτόν. συναιρεῖται γάρ ἥ τ' ἐκτὸς ἡσυχία καὶ τὰ τῆς ἐπισημασίας ὅ τε τῆς ἀποχωρήσεως χρόνος. ἥ γε μὴν διαστολὴ κατὰ ταύτας εἰσβολὰς τῷ χρόνῳ φαίνεται βραδεῖα . . . . . καὶ ὅταν ταῦθ' εὕρῃς, πλῆθος νόει μοι θερμασίας κατὰ τὴν καρδίαν εἶναι, τὰ δ' οἷον καπνώδη περιττώματα πολλὰ, δι' ἃ βραχύνει τὴν ἐκτὸς ἡσυχίαν ἡ φύσις, ἐπειγομένη πρὸς τὴν ἀπόκρισιν αὐτῶν αὐτήν τε τὴν συστολὴν, καθ' ἣν ἡ ἀπόστασις. τῶν δὲ πικροχόλων πυρετῶν, ὁποῖός ἐστι καὶ ὁ ἀκριβὴς τριταῖος, εἰς μέγεθός τε καὶ τάχος ἡ διαστολὴ πολὺ τοῦ κατὰ φύσιν ἐξίσταται· τὴν δ' ἐκτὸς ἠρεμίαν καὶ τὸ τάχος τῆς ἀποχωρήσεως οὐκ ἀνάλογον ἴσχει τῷ μεγέθει καὶ τάχει τῆς διαστολῆς, ἀλλ' ἀπολείπεται πάμπολυ. ὥστε σοὶ τὴν ἀρχὴν τῆς συστολῆς ἐθισθέντι διαγινώσκειν οὐ μόνον ὑπάρξει γνωρίζειν εἰσβολὰς παροξυσμῶν πυρετικῶν, ἀλλὰ καὶ τὸ τῶν σηπομένων χυμῶν εἶδος, ἐφ' οἷς τοὐπίπαν αἱ πυρετώδεις νόσοι συνίστανται. σπάνιοι γὰρ οἱ ἑκτικοὶ, μεταξὺ δ' ἀμφοτέρων κατὰ τὸν ἀριθμόν εἰσιν οἱ ἐφήμεροι καλούμενοι ὑφ' Ἱπποκράτους· ἐφ' ὧν,

dicere tamen poterit eum praeter naturam ſe habere. Contrahitur enim tum externa quies in invaſionibus tum receſſionis tempus. Diaſtole sane per has ipſas invaſiones tempore videtur brevis. Atque ubi haec inveneris, copiam mihi cogita adeſſe caliditatis in corde, et excrementa veluti fumoſa multa, ob quae natura externam quietem breviat, ad eorum excretionem, et ad ſyſtolen, per quam excretio fit, feſtinans. In bilioſis autem febribus, cujusmodi eſt et exquiſita tertiana, diaſtole multam a naturali ſtatu in magnitudinem et celeritatem excedit, externam autem quietem et celeritatem receſſionis haud proportione obtinet magnitudinis et celeritatis diaſtoles, ſed plurimum deficit. Quare ſi principium ſyſtoles aſſuetus es dignoſcere, non ſolum invaſiones paroxysmorum febrilium agnoſcere poteris, ſed et ſpeciem putreſcentium humorum, ex quibus ut plurimum febriles morbi conſiſtunt. Rarae enim ſunt hecticae; in medio autem ambarum ſecundum numerum ſunt quae ephemerae, id eſt diariae ab Hippocrate vocantur; in quibus, ut

Ed. Chart. VIII. [315.]
ὡς ἔφην, μάλιστα τὴν ἀρχὴν τῆς συστολῆς γνωρίζων, ἐπὶ λουτρὸν ἄξεις αὐτίκα τὸν κάμνοντα.

Κεφ. ιδ'. Περιττὸν οὖν ἐστι παραβάλλειν τὸν χρόνον τῆς διαστολῆς τῷ χρόνῳ τῆς συστολῆς, ἐάν τε αἰσθάνηταί τις ἐάν τε μὴ τῶν πρώτων τῆς συστολῆς. ἐπιστάμενος γὰρ ἑτέραν μὲν εἶναι τῷ ζώῳ τῆς διαστολῆς χρείαν, ὥσπερ γε καὶ τῆς εἰσπνοῆς, ἑτέραν δὲ τῆς συστολῆς, ὥσπερ γε καὶ τῆς ἐκπνοῆς, ἐκ τῶν ἑκατέρας ἀλλοιώσεων εὑρήσεις τὴν διάθεσιν τοῦ σώματος. οὕτω γοῦν καὶ ἐπὶ τῶν γυμναζομένων, ἢ ὁπωσοῦν ἄλλως κινηθέντων σφοδρῶς, ἡ διαστολὴ μείζων τε γίνεται καὶ θᾶττον. ἐμάθομεν γὰρ αὐξάνεσθαι τὴν χρείαν τῆς διαστολῆς τῶν ἀρτηριῶν ἐν τοῖς σφυγμοῖς, ὥσπερ γε καὶ τὴν τοῦ θώρακος ἐν ταῖς εἰσπνοαῖς, ὅταν ἤτοι δαπάνη γίνηται πλείων τοῦ πνεύματος, ἢ θερμασία δαψιλὴς ἀθροισθῇ καθ' ὅλον τὸ ζῶον, ἢ κυριώτατα καὶ πλεῖστα μέρη, καὶ μάλιστα δηλονότι κατὰ τὴν καρδίαν. οὕτω δὲ καὶ τῆς συστολῆς ἐν τοῖς σφυγμοῖς ἐπιτείνεσθαι τὴν χρείαν ἔμαθες, ὥσπερ καὶ τοῦ θώρακος ἐν ταῖς ἐκπνοαῖς. ἀποχέαι γὰρ ἡ φύσις ἐν ἀμφοτέραις

dixi, cognito fyftoles principio, in lavacrum ftatim laborantes perduces.

Cap. XIV. Supervacaneum igitur eft tempus diaftoles tempori fyftoles comparare, five fentiat quifpiam five non fentiat primas fyftoles partes. Quum enim fciveris alterum quidem effe animali diaftoles ufum, ficuti fane et infpirationis, alterum vero fyftoles, ficuti et exfpirationis, ex utriusque alterationibus affectionem corporis invenies. Pari modo et in iis qui fe exercent, vel alio quovis modo, fe vehementer movent, diaftole et major fit et celerior. Didicimus enim augeri ufum diaftoles arteriarum in pulfibus, ficuti fane et thoracis in infpirationibus, quum vel confumtio fit multa fpiritus, vel caliditas larga collecta fuerit in toto animali, vel principaliffimis, vel plurimis partibus, ac praecipue fane in corde. Ita vero et intendi ufum fyftoles arteriarum in pulfibus didicifti, ficuti et thoracis in expirationibus; natura enim in ambabus motionibus feftinat,

Ed. Chart. VIII. [307.]

ταῖς κινήσεσιν ἐπείγεται τὸ τεθολωμένον πνεῦμα, ποτὲ μὲν οἷον καπνώδεσι, ποτὲ δὲ οἷον λιγνυώδεσι περιττώμασι προσεοικός. λιγνυῶδες μὲν οὖν περίττωμα τὸ ἀπὸ τῶν λύχνων ἀναφερόμενον, καπνῶδες δὲ τὸ ἀπὸ τῶν χλωρῶν ξύλων. καὶ γίγνεται μὲν λιγνυῶδες ἐκ τοῦ κεκαῦσθαι τὴν εἰς φλόγα δαπανωμένην ὕλην, ὥσπερ γε καὶ τὸ ἀτμῶδες ἐξ ὑγρᾶς οὐσίας χρηστῆς λεπτυνομένης· τὸ δὲ καπνῶδες ἐξ ἀμφοῖν μιχθεισῶν, ὕλην μὲν ἔχον ἐκ γεώδους τε καὶ ὑδατώδους οὐσίας συμμιγῆ, τὴν μεταβολὴν δ' οὐκ ἀκριβῆ, καθάπερ ἡ λιγνὺς, ἀλλ' ἔτι ἀρχομένην. ὅτι δ' οὐδὲν διήνεγκεν αἰθάλην ἢ λιγνὺν ὀνομάζειν, ἢ αἰθαλῶδες ἢ λιγνυῶδες, οἶμαί σε γινώσκειν, εἴπερ ἐν Ἑλλάδι φωνῇ τέθραψαι. ἐν δὲ τῷ παραβάλλειν τὸν χρόνον τῆς διαστολῆς τῷ χρόνῳ τῆς συστολῆς, ὡς Ἡρόφιλος ἠξίου, τὸ μὲν ὅτι παρὰ φύσιν ὁ κάμνων ἔχει δυνατόν ἐστι γνωσθῆναι, καὶ πρὸς τούτῳ γε ὅτι μεγάλως παρὰ φύσιν ἢ μικρῶς. αἱ μὲν γὰρ μεγάλαι τῶν κατὰ φύσιν ῥυθμῶν εἰς τὸ παρὰ φύσιν ἐκτροπαὶ μεγάλην σημαίνουσι τὴν βλάβην, αἱ δ' ἥττους μι-

ut turbatum effundat ſpiritum, aliquando quidem veluti fumoſis, aliquando autem veluti fuliginoſis excrementis aſſimilatum. Ac fuliginoſum quidem excrementum eſt quod a lacernis, fumoſum vero quod a viridibus lignis attollitur. Et gignitur quidem fuliginoſum, quod quae in flammam conſumitur materia perfecte combuſta ſit; ſicuti ſane et vaporoſum ex humida ſubſtantia utili quae attenuetur; fumoſum vero ex ambabus mixtis, materiam quidem habens ex terreſtri et aquoſa ſubſtantia commixtam, mutationem vero non exquiſitam quemadmodum fuligo, ſed adhuc incipientem. Quod autem nihil differat ſive favillam ſive fuliginem nomines, itemque ſive favillaceum ſive fuliginoſum, arbitror te non ignorare, ſi modo in Graecorum vocibus ſiteris enutritus. Dum vero comparatur tempus diaſtoles tempori ſyſtoles, ſicuti Herophilus cenſebat, cognoſci poteſt, tum quod praeter naturam ſe habeat laborans, tum praeterea quod multum, vel parum praeter naturam ſe habeat. Magnae enim rhythmorum qui ſunt ſecundum naturam in eos qui praeter naturam ſunt everſiones magnam ſigni-

Ed. Chart. VIII. [315. 316.]

προτέραν. βραχεῖαν μὲν οὖν ἐκτροπὴν οἱ παράρυθμοι δηλοῦσι σφυγμοὶ, μείζονα δὲ οἱ ἑτερόῤῥυθμοι, μεγίστην δὲ οἱ ἔκρυθμοι. μέμνησθε γὰρ ἐν τῷ πρώτῳ περὶ τῆς διαφορᾶς τῶν σφυγμῶν εἰρημένων, ἐκρύθμους μὲν ὀνομάζεσθαι σφυγμοὺς τοὺς μηδεμιᾶς ἡλικίας ἔχοντας ῥυθμὸν, παραρύθμους τοὺς πλησίον, ἑτεροῤῥύθμους δὲ τοὺς ἑτέρας τινὸς, οὐ πλησίον. ἐκ τούτων μὲν οὖν τέως ἔστι διαγνῶναι τὸ μέγεθος τῆς βλάβης, οὐ μὴν τίς γ' ἐστιν ἡ διάθεσις ἐφ' ἧς ἡ τροπὴ γέγονε τῶν σφυγμῶν, ἐκ ταύτης οὖν τῆς θεωρίας ἔνεστι γνωρίσαι, μετὰ καὶ τοῦ χαλεπὴν εἶναι τὴν ἐξαρίθμησιν τῶν κατὰ τὸν ῥυθμὸν χρόνων. ἣν δ' ἐγὼ νῦν ὁδὸν ὑφήγημαι, καὶ ῥᾳδία γνωσθῆναι καὶ διδάσκει τὴν φύσιν τῆς διαθέσεως τίς ἐστιν, οὐ μόνον τὸ μέγεθας τῆς βλάβης, ἀλλὰ καὶ εὕρεσις γίνεται τῶν βοηθημάτων, ἐν τῇ τῆς θεραπευτικῆς μεθόδου πραγματείᾳ δέδεικται.

Κεφ. ιε'. Τούτων οὖν ἡμῖν προδιωρισμένων, εἴπωμεν ἤδη τὰ κατὰ τὴν εἰσαγωγὴν γεγραμμένα περὶ τῆς κατὰ φύσιν ἐν τοῖς σφυγμοῖς διαφορᾶς. ἔστι δὲ τάδε. ἄνδρες μὲν

ficant laefionem, minores vero minorem. Ac exiguam quidem everfionem indicant pulfus pararrhythmi, majorem heterorrhythmi, maximam ecrhythmi. Meministis enim in libro primo de differentiis pulfuum ecrhythmos nominari pulfus qui nullius aetatis rhythmum habent, pararrhythmos qui proximae aetatis, heterorrhythmos autem qui alterius cujusdam, non proximae. Ex his ergo jam dignofci poteft laefionis magnitudo, non tamen quaenam fit affectio a qua mutatio pulfuum facta fuerit, ex hac certe contemplatione cognofci poteft, quum praeterea difficilis fit temporum quae in rhythmo funt enumeratio. At via cui nunc infifto et cognitu facilis eft et naturam affectionis quaenam fit, non magnitudinem laefionis folam docet; quin et hac ipfa via remedia inveniuntur, ut in methodi curandi tractatione oftenfum eft.

Cap. XV. [316] His igitur a nobis prius definitis, dicamus jam ea quae in ifagoge fcripta funt de ea quae fecundum naturam eft in pulfibus differentia; funt autem

Ed. Chart. VIII. [316.]
ρὺν γυναικῶν ὡς ἐπίπαν μείζονα πολλῷ καὶ σφοδρότερον ὡσαύτως πολλῷ τὸν σφυγμὸν ἔχουσι, καὶ βραδύτερον ὀλίγῳ καὶ ἀραιότερον ἱκανῶς. οἱ δὲ φύσει θερμότεροι μείζονα καὶ ὠκύτερον καὶ πυκνότερον πολλῷ, σφοδρότερον δὲ οὐ πολλῷ. οἱ δὲ ἰσχνότεροι μείζονα μὲν καὶ ἀραιότερον ἱκανῶς. οἱ δὲ φύσει θερμότεροι μείζονα καὶ ὠκύτερον καὶ ἀραιότερον πολλῷ, βραδύτερον δὲ καὶ σφοδρότερον ὀλίγῳ. φύσει μὲν οὖν οὕτως διαφέρουσι. τρέπονται δὲ κατὰ μὲν τὰς ἡλικίας ὧδέ πως. ὁ μὲν τοῦ νεογνοῦ παιδίου πυκνότατος, ὁ δὲ τοῦ γέροντος ἀραιότατος, οἱ δ᾽ ἐν τῷ μεταξὺ πάντες ἀνάλογον, ἐφ᾽ ὅσον ἂν ἢ παιδίου ἢ γέροντος ἐγγύτεροι τυγχάνωσιν ὄντες. ὡσαύτως δὲ ταχύτατος μὲν ὁ τοῦ παιδίου, βραδύτατος δὲ ὁ τοῦ γέροντος, οἱ δὲ τῶν ἄλλων ἡλικιῶν μεταξύ. πολλῷ δὲ μείζων ἡ κατὰ τὴν ἀραιότητα διαφορὰ γέροντος πρὸς παιδίον τῆς κατὰ τὸ τάχος. ἐν δὲ τῇ κατὰ μέγεθος καὶ σφοδρότητα διαφορᾷ μέγιστος μὲν ὡς ἐν ἡλικίαις ὁ τῶν ἀκμαζόντων, μικρότατος δὲ ὁ τῶν γερόντων, μέσος δὲ, βραχεῖ μείζων, ὁ τῶν παιδίων· καὶ σφοδρότατος μὲν ὁ τῶν ἀκμαζόντων, ἀμυδρότατος δὲ ὁ τῶν γερόντων, μέσος δὲ αὐτῶν

haec. Ac viri quidem mulieribus ut plurimum multo tum majorem tum vehementiorem habent pulſum, tardiorem autem paulo ſatisque rariorem. Qui vero natura ſunt calidiores, majorem et celeriorem et frequentiorem multo, vehementiorem autem non multo. Qui autem ſunt graciliores, majorem quidem et rariorem multo, tardiorem autem et vehementiorem paulo. Ac natura quidem ita variantur. Porro per aetates etiam mutantur hoc modo. Infantuli quidem nuper nati pulſus frequentiſſimus, ſenis autem rariſſimus, qui vero intercedunt, proportionem habent omnes, prout infantulo, vel ſeni propinquiores ſunt. Eodem modo celerrimus quidem infantuli, tardiſſimus autem ſenis; aliarum vero aetatum pulſus inter hos ſunt medii. Multo autem major eſt quae in raritate eſt differentia ſenis ad infantulum quam quae in tarditate. In ea vero differentia quae in magnitudine et vehementia eſt maximus quidem, quantum ad aetates pertinet, eſt vigentium, minimus ſenum, medius

Ed. Chart. VIII. [316.]

ὁ τῶν παιδίων. οὕτως μὲν οὖν ἐν ταῖς ἡλικίαις οἱ σφυγμοὶ τρέπονται. κατὰ δὲ τὰς ὥρας, ἦρος μὲν τὰ μέσα μεγίστους δὴ καὶ σφοδροτάτους ὡς ἐν ὥραις, τάχει δὲ καὶ πυκνότητι συμμέτρους. ὡσαύτως δὲ καὶ φθινοπώρου τὰ μέσα. προϊὸν δὲ τὸ μὲν ἔαρ ἀφαιρεῖται τοῦ μεγέθους καὶ τῆς σφοδρότητος, προστίθησι δὲ τῷ τάχει καὶ τῇ πυκνότητι· καὶ τέλος ἡνίκα ἂν ἐπιλάβῃ τὸ θέρος, ἀμυδροὶ καὶ μικροὶ καὶ ταχεῖς καὶ πυκνοὶ γίνονται. τὸ δὲ φθινόπωρον προϊὸν ἁπάντων ἀφαιρεῖ, μεγέθους, τάχους, σφοδρότητος καὶ πυκνότητος· ὥστε τοῦ χειμῶνος ἐπελθόντος, εἰς μικρότητα καὶ ἀμυδρότητα καὶ βραδυτῆτα καὶ ἀραιότητα τετράφθαι. ἔοικε δὲ τὰ μὲν πρῶτα τοῦ ἦρος τοῖς ὑστάτοις τοῦ φθινοπώρου, τὰ δὲ ὕστατα τοῦ ἦρος τοῖς πρώτοις τοῦ φθινοπώρου, καὶ τὰ μὲν πρῶτα τοῦ θέρους τοῖς ὑστάτοις τοῦ θέρους, τὰ δὲ πρῶτα τοῦ χειμῶνος τοῖς ὑστάτοις τοῦ χειμῶνος· ὥστε ὅσα μέσου θέρους καὶ μέσου χειμῶνος ἴσον ἀφ᾽ ἑκατέρων ἀφέστηκεν, ὁμοίως τρέπειν· μέσου δὲ θέρους πῇ μὲν ὡσαύτως ἐστὶ, πῇ δὲ ἐναντίως ἔχει

autem ipſorum paulo major eſt pulſus infantulorum. Et vehementiſſimus quidem pulſus vigentium, languidiſſimus ſenum, medius autem ipſorum pulſus infantulorum. Ac ita quidem in aetatibus pulſus mutantur. Per anni autem tempora quidem media maximos ſane et vehementiſſimos faciunt, quantum ad anni tempora attinet, celeritate autem et frequentia moderatos; eodem modo et autumni media. Progrediens autem ver aliquid de magnitudine et vehementia detrahit, celeritati autem et frequentiae addit, et tandem ubi jam ſupervenerit aeſtas, languidi et parvi et celeres et frequentes fiunt. Autumnus autem progrediens de omnibus detrahit, magnitudine, inquam, celeritate, vehementia et frequentia; ita ut hieme ſuperveniente in parvitatem et tarditatem et languorem et raritatem mutati ſint. Aſſimulantur autem prima quidem veris poſtremis autumni, poſtrema autem aeſtatis primis autumni, et prima quidem aeſtatis poſtremis aeſtatis, prima autem hiemis poſtremis hiemis, quare quae a media aeſtate et media hieme aeque in utramque partem diſtant, ſimili modo mutantur, medium

Ed. Chart. VIII. [316.]
μέσῳ χειμῶνος. μικροὶ μὲν γὰρ καὶ ἀμυδροὶ καθ᾽ ἑκάτερον, ὠκεῖς δὲ καὶ πυκνοὶ θέρους καὶ βραδεῖς καὶ ἀραιοὶ χειμῶνος, οὐ μὴν οὕτω μικροὶ θέρους ὡς χειμῶνος, ἀλλ᾽ ἧττον θέρους, οὐδ᾽ οὕτως ἀμυδροὶ χειμῶνος ὡς θέρους, ἀλλ᾽ ἧττον χειμῶνος. αὗται μὲν οὖν αἱ μετὰ ὥρας τῶν σφυγμῶν τροπαί. κατὰ δὲ τὰς χώρας ὡσαύτως ταῖς ὥραις· ἐν μὲν ταῖς ἄγαν ψυχραῖς οἱ μέσου χειμῶνος, ἐν δὲ ταῖς ἄγαν θερμαῖς οἱ μέσου τοῦ θέρους, ἐν δὲ ταῖς εὐκράτοις οἱ μέσου τοῦ ἦρος, ἀνάλογον δὲ κἀν ταῖς μεταξύ· καὶ τῶν ἄλλων δὲ καταστάσεων τοῦ περιέχοντος ἡμᾶς ἀέρος αἱ μὲν θερμαὶ ταῖς θερμαῖς, αἱ δὲ ψυχραὶ ταῖς ψυχραῖς, αἱ δὲ μέσαι τοῖς μέσοις τοῦ ἦρος ἐοίκασιν.

Κεφ. ιστ'. Ὅταν οὖν ἐπ᾽ ἄῤῥωστον ὃν οὐ πρόσθεν ἐθεάσω μετακληθεὶς εἰσέλθῃς, ἐπισκόπει πρῶτον μὲν εἰ ἄῤῥην ἢ θήλεια· δεύτερον δ᾽ ἐπὶ τούτοις τὴν ἡλικίαν· εἶτα τὸ περιέχον ὁποῖον· εἰς γὰρ τοῦτ᾽ ἀνάγεται τὸ καθ᾽ ὥραν καὶ χώραν καὶ κατάστασιν· ἐφεξῆς δὲ τὴν οἰκείαν φύσιν αὐτοῦ· καὶ συνθεὶς ἅπαντα καὶ στοχασάμενος ὁποῖόν τινα

autem aeſtatis partim quidem ſimili modo, partim vero contrario ſe habet cum medio hiemis, parvi enim et languidi in utrisque, celeres vero et frequentes aeſtate, tardi et rari hieme, ut aeſtate, ſed minus hieme. Atque hae quidem ſunt pulſuum ſecundum anni tempora mutationes. Secundum autem regiones eodem modo quo ſecundum anni tempora; in valde quidem calidis sicuti media aeſtate, in valde autem frigidis ſicuti media hieme, in temperatis ſicuti medio vere; ad harum vero proportionem in iis quae interjacent. Porro ex aliis quoque ambientis nos aëris conſtitutionibus, quae calidae ſunt, calidis anni temporibus, quae frigidae, frigidis, quae mediae, mediis ipſius veris aſſimilantur.

Cap. XVI. Cum igitur ad aegrotantem quem non prius videris accerſitus ingrederis, conſidera primum quidem an mas vel foemina ſit, ſecundum aetatem, deinde ambientem, qualisnam ſit; ad hunc enim reducitur et tempus anni et regio et conſtitutio; poſtea propriam ipſius naturam. Atque ubi omnia compoſueris conjectaverisque qua-

Ed. Chart. VIII. [316.]

σφυγμὸν εἰκὸς ἦν ἔχειν αὐτὸν, ὁπόθ' ὑγίαινε, γνώσῃ τὸ μέγεθος τῆς εἰς τὸ παρὰ φύσιν ἐκτροπῆς· ἐὰν δὲ καὶ τἄλλα ὅσα κατὰ τὰ περὶ κρίσεων ὑπομνήματα λέλεκται προστιθῇς τῇ ἰδίᾳ τῶν σφυγμῶν ὁμοιώσει, πλησίον ἀφίξῃ τῆς ἀκριβεστάτης γνώσεως ὅλης τῆς κατὰ τὸν κάμνοντα διαθέσεως· οἷον εὐθέως ἐν ταῖς ἐπισημασίαις· ὅταν οὖν πρῶτον ἐπισκέψῃ τινὰ, τὴν ἀμφιβολίαν ἐπιδιόριζε τοῖς ἄλλοις σημείοις· ὧν ἓν μὲν ἐστὶ καὶ πρῶτον τὴν χεῖρα κατὰ τοῦ θώρακος ἐπιτιθέντα, συμμέτρως οὖσαν θερμὴν, ἐπισκέψασθαι τῆς θερμασίας τὴν ποιότητα. δακνώδη γὰρ εὑρών τινα, πυρέττειν φήσεις τὸν κάμνοντα, καὶ μήπω διὰ τοῦ σφυγμοῦ τοῦτο βεβαίως γνωρίσῃς. εἰ δὲ κατεψυγμένος πως ὁ θώραξ φαίνοιτο· συγκαταψύχεται γὰρ ἐνίοτε τῷ πάντι σώματι κατά τινας ἐπισημασίας· οὐ χρὴ παραχρῆμα, βαστάσαντα τὴν χεῖρα, κατὰ φύσιν ἔχειν ἀποφήνασθαι τὸν ἄνθρωπον, ἀλλ' ἐπὶ πλέον ἐᾶσαι κατὰ τοῦ θώρακος ἐπικειμένην, ἐν τούτῳ τε προσέχειν, εἴ τις ἐκ τοῦ βάθους ἀνέρχεται δριμεῖα θερμασία· μόνον γοῦν ἤρκει

lemnam pulſum, dum ſanus erat, ipſum habere veriſimile erat, magnitudinem everſionis in ſtatum praeter naturam cognoſces. Si vero et alia quaecunque in commentariis de criſibus dicta ſunt, propriae pulſuum tractationi adjeceris, prope accedes ad exquiſitiſſimam cognitionem totius affectionis quae in aegrotante eſt, ut verbi gratia in ſignificationibus. Quum ergo quempiam inſpicis, ambiguitatem aliis ſignis diſtingue. Quorum unum quidem eſt et primum, ut manum, quae mediocriter calida ſit, ſuper thoracem imponas, ac caliditatis qualitatem conſideres. Nam ubi eam mordacem inveneris, febrire dices laborantem, licet nondum ex pulſu hoc firmiter cognoveris. Si vero perfrigeratus quodam modo thorax appareat, perfrigeratur autem quandoque una cum univerſo corpore quibusdam ſignificationibus, non oportet ut ſtatim manum leves ac affirmes hominem secundum naturam ſe habere, ſed permittere debes ut manus ſuper thoracem diutius inhaereat, in hocque animadvertere an aliqua acris caliditas ex profundo aſſurgat. Hoc enim

Ed. Chart. VIII. [316.]
Θεμίσωνι τεκμήριον, εἶναι τοῦ πυρέττειν τὸν ἄνθρωπον ἡ ἐκ τοῦ βάθους ἀναφερομένη θερμασία· καὶ βηχίον δέ τι σμικρὰ ὑπότραχυ συνεισβάλλον τῇ καταψύξει καὶ χάσμα καὶ σκορδινισμὸς ἄλγημά τέ τι καὶ καταφορὰ πρὸς ὕπνον οὐχ ἁπλῶς εἰσβολὴν ἐπισημασίας εἶναι δηλώσει· ταῦτα μὲν οὖν ἔξωθεν. τοῖς δὲ σφυγμοῖς οὐ μόνον τὰ προειρημένα σημεῖα γνωρίσματά εἰσι πυρετῶν εἰσβολῆς, ἀλλὰ καὶ τὸ διαλείπειν ἢ ἄλλην ἀνωμαλίαν ἔχειν ἢ ἀταξίαν.

Κεφ. ιζ. Δυοῖν δ' οὐσῶν κατὰ γένος ἀνωμαλιῶν, τῆς μὲν ἑτέρας κατὰ μίαν διαστολὴν σφυγμοῦ, τῆς δ' ἑτέρας ἐν ἀθροίσματι, πολλῶν ἐφεξῆς σφυγμῶν ἀλλήλοις παραβαλλομένων, περὶ τῆς προτέρας ἐρῶ τῆς ἐν ἀθροίσματι, καλουμένης δὲ ὑπὸ τῶν πλείστων ἰατρῶν συστηματικῆς· σαφεστέρα γάρ ἐστι διαγινώσκεσθαι καὶ κατὰ τὰ πλεῖστα τῶν ἐπισημασιῶν φαίνεται· τεττάρων δ' οὐσῶν ἐν τῇ διαστολῇ τῆς ἀρτηρίας διαφορῶν τοῦ σφυγμοῦ, μιᾶς μὲν τῆς κατὰ μέγεθος καὶ μικρότητα, δευτέρας δὲ τῆς κατὰ τάχος καὶ βραδυτῆτα, τρίτης τῆς κατὰ σφοδρότητα καὶ ἀμυδρότητα, καὶ τετάρτης κατὰ

solum satis fuit Themisoni, ut certum signum esset hominem febricitare, ipsa scilicet quae ex profundo attollitur caliditas. At tussicula etiam quaedam exigua, subaspera, una cum perfrigeratione invadens, et oscitatio, et pandiculatio, et dolor quidam, et cataphora in somnum, non simpliciter febrem, sed invasionem significationis esse indicabit. Atque haec quidem extrinsecus. In pulsibus autem non solum praedicta signa notae sunt invasionis febrium, sed si et ipsi intermittant, vel aliam inaequalitatem aut inordinationem habeant.

Cap. XVII. Duae enim cum sint genere inaequalitates, altera in una diastole pulsus, altera in collectione, multis deinceps pulsibus invicem collatis, de priore dicam, quae in collectione est, quaeque a plurimis medicis systematica, id est collectiva vocatur. Facilius enim dignoscitur, et in pluribus significationibus apparet. Quatuor autem quum sint differentiae pulsuum in diastole arteriae, una in magnitudine et parvitate, secunda in celeritate et tarditate, tertia in vehementia et languore, et quarta in duritie et mollitie,

Ed. Chart. VIII. [316. 317.]
σκληρότητα καὶ μαλακότητα, κατὰ μὲν τὴν ὑστάτην εἰρημένην διαφορὰν οὐδέποτ᾽ ὤφθη σφυγμὸς ἀνώμαλος, ἐν δὲ ταῖς ἄλλαις τρισὶν αἱ πλεῖσται τῶν ἐπὶ χυμοῖς σηπομένοις πυρεττόντων ἀνωμαλίαι συνίστανται. καὶ ἡ κατὰ πυκνότητα δὲ καὶ ἀραιότητα διαφορὰ σφυγμῶν καὶ αὕτη πάνυ πολλάκις ἐπὶ τῶν ἀῤῥώστων ὁρᾶται. καὶ μία γ᾽ αὐτῶν ἰδέα μεταπίπτει ῥᾳδίως εἰς τὸν διαλείποντα σφυγμὸν, ἐπ᾽ ἀμφοτέρων οὐδὲν ἧττον τῶν ἀνωμαλιῶν, ἀτάκτων τε καὶ τεταγμένων. ἔστω γάρ τις ἀνωμαλία τοῦ κατὰ πυκνότητα καὶ ἀραιότητα γένους, ἐπὶ τέτταρσι πυκνοῖς ἢ συμμέτροις τὸν πέμπτον ἀραιὸν ἔχουσα· καὶ τοῦτ᾽ ἐφεξῆς γιγνέσθω, φυλαττομένης ἀεὶ τῆς τάξεως, αὐξανομένου δὲ τοῦ χρόνου τῆς ἀραιότητος. ὁ τοιοῦτος σφυγμὸς ἄτακτος μὲν ἢ τεταγμένος ὢν, οὐ μετὰ πολλὰς περιόδους ἐστὶ διαλείπων, οὐ πολλῷ δέ τινι διαφέρει τὸ τετάχθαι τὴν ἀνωμαλίαν ἢ ἄτακτον εἶναι πρὸς τὸ σωθῆναι τὸν ἄνθρωπον ἢ ἀπολέσθαι. πολλάκις γοῦν ἐθεασάμεθα μετὰ τέσσαρας σφυγμοὺς ἤτοι πυκνοὺς ἢ μέσους ἀραιοῦ καὶ πυκνοῦ τὸν πέμπτον ἀραιὸν γιγνόμενον, εἶτ᾽ ἐφεξῆς κατὰ τὴν αὐτὴν

in hac ſane poſtremo dicta differentia nunquam viſus eſt pulſus inaequalis; in aliis autem tribus plurimae in iis qui ex putrescentibus humoribus febricitant, inaequalitates conſiſtunt. Et quae in frequentia et raritate eſt differentia pulſuum, et ipſa admodum frequenter in aegrotantibus conſpicitur, et una ſane ipſorum ideo facile tranſit in intermittentem pulſum, in ambabus nihilominus inaequalitatibus, tum inordinatis tum ordinatis. Eſto enim quaedam inaequalitas in genere frequentiae et raritatis, quae poſt quatuor frequentes vel moderatos quintum rarum habeat; et hoc deinceps conſequenter fiat, ſervato ſemper ordine, temporeque raritatis aucto; talis pulſus, ſive inordinatus, ſive ordinatus [317] ſit, non poſt multos periodos erit intermittens. Non multum autem intereſt, ordinatam eſſe inaequalitatem, vel inordinatam, ad hoc ut homo ſervetur, vel pereat. Saepenumero enim vidimus poſt quatuor pulſus, ſive frequentes, ſive medios inter rarum et frequentem, quintum rarum fieri;

Ed. Chart. VIII. [317.]

περίοδον τὸν δέκατόν τε καὶ ιέ καὶ κ'. ἔτι δὲ μᾶλλον τοῦ ε' γεννηθέντος ἀραιοῦ, τὸν θ' εἴδομεν ἀραιὸν ἢ τὸν ιδ' ἤ τινα ἄλλον, οὐ διασωζομένης τῆς κατὰ τὴν περίοδον ἰσότητος, ἀλλ' ἀτάκτως παρεμπίπτοντος τοῦ ἀραιοῦ· τοῖς οὖν τοιούτοις οὔθ' ἡ πεῖρα σαφῆ διαφορὰν εἰς σωτηρίαν ἢ θάνατον ἢ νόσου μῆκος ἢ βραχύτητα κατὰ τὰς ἀτάκτους τε καὶ τεταγμένας ἀνωμαλίας ἐδιδαξεν, οὔθ' ὁ λόγος. ἐπὶ μέντοι τῶν ὁμαλῶν οὐ σμικρὰ διαφορὰ πρὸς τοὺς ἀνωμάλους ἐστὶ σωτηρίας ἕνεκα. μᾶλλον δ' οὐ παραβάλλειν χρὴ τὰς τηλικαύτας διαφοράς· ὁ μὲν γὰρ ὁμαλὸς κατὰ φύσιν ἐστὶν, ὁ δὲ ἀνώμαλος οὐ μόνον παρὰ φύσιν, ἀλλ' ἤδη καὶ χαλεπός. ἐν μὲν οὖν ταῖς ἐπιδόσεσι μᾶλλον· ἔτι δὲ μᾶλλον ἐν ταῖς ἀκμαῖς τῶν παραξυσμῶν, ἐν δὲ ταῖς παρακμαῖς χείριστος. ἀλλὰ τόν γε πλεῖστον χρόνον ἡσυχάζοντα σφυγμὸν ὁ διαλείπων δέχεται, τῆς ἀραιότητος αὐξανομένης, εἴτ' οὖν ἀτάκτως εἴτε καὶ τεταγμένως· οὐδεμίαν γὰρ ἐνθάδε ἔφην μεγάλην εἶναι διαφορὰν οὔτε τῇ πείρᾳ κατοφθεῖσαν οὔτε τῷ λόγῳ. λέγω δὲ λόγῳ νῦν τῷ

poſtea conſequenter ſecundum eandem periodum, decimum, et decimum quintum, et vigeſimum. Adhuc vero magis, quum quintus factus fuiſſet rarus, nonum videmus rarum, vel quartumdecimum, vel quempiam alium, non ſervata periodorum paritate; ſed raro pulſu inordinate intercurrente. In hujusmodi igitur pulſibus neque experientia manifeſtam differentiam ad ſalutem, vel mortem, vel morbi longitudinem, aut brevitatem, per inordinatas et ordinatas inaequalitates, docuit, neque ratio. In aequalibus certe non parva est ab inaequalibus differentia, ſalutis gratia. Potius autem tantas differentias comparare non oportet; nam qui aequalis eſt ſecundum naturam eſt, qui autem eſt inaequalis, non ſolum praeter naturam eſt, ſed etiam gravis. Ac in ſignificationibus jam minus erit parvus, in incrementis autem magis; adhuc vero magis in vigoribus paroxysmorum; at in declinationibus deterrimus. Sed enim pulſum plurimo tempore quiescentem deficiens excipit raritate ſive inordinate ſive ordinate aucta, nullam enim in hoc dixi magnam eſſe differentiam vel experientia vel ratione compertam. Ra-

Ed. Chart. VIII. [317.]

δογματικῷ, καθ' ὃν ἐκ τῆς τῶν πραγμάτων φύσεως ὁρμώμενοι τὰς προγνώσεις ποιούμεθα. προείρηται δὲ ὅτι τοῖς τοιούτοις λόγοις οὐ πάνυ τι χρὴ κατὰ τὰς ἐπιτοματικὰς πραγματείας ἀπαιτεῖν· ὡς εἰ σὺν τοῖς εἰς τὸ προκείμενον χρησίμοις καὶ τὰς αἰτίας τῶν γινομένων ἀκούειν ἐθέλοι τις, οὐδὲν ἀφαιρεθήσεται τῆς μεγάλης πραγματείας· ἐν ᾗ τέτταρα μὲν ἐστὶ βιβλία τῶν τοὺς σφυγμοὺς ἀλλοιούντων αἰτίων, τέτταρα δὲ τῆς ἐξ αὐτῶν προγνώσεως. οὐκ ἀγαθὸν μὲν οὖν ἡ ἀραιότης ἐστὶ τῶν σφυγμῶν, εἴθ' ὁμαλὴ εἴτ' ἀνώμαλος εἴη· πολὺ δὲ χείρων, ὅταν διαλείπῃ. γίγνεται γὰρ, ὡς ἐδείχθη, βαρυνομένης τῆς δυνάμεως τῆς ζωτικῆς ὑπὸ πλήθους χυμῶν, ἤ τινων ἀρτηριῶν ἐμπεφραγμένων ὑπὸ πάχους ἢ γλισχρότητος χυμῶν· γίνεται δὲ καὶ διὰ φλεγμονὴν μεγάλην, στενουμένων τῶν ἐν αὐταῖς κοιλοτήτων, ἢ θλίβοντος τινὸς ἔξωθεν ἢ βαρύνοντος ἢ στενοχωροῦντος ὁπωσοῦν. καὶ διὰ τοῦτο κατὰ τὰς ἐπισημασίας μάλιστα γίγνονται πολλοῖς ἀεὶ κατὰ τοὺς σφυγμοὺς ἀνωμαλίαι, πρὸς τὸ βάθος ὑποχωροῦντος τοῦ αἵματος. οὗτοι μὲν

tionem nunc intelligo eam quae dogmatica est, per quam ex rerum natura excitati praecognitiones facimus. Dictum autem et prius est ejusmodi rationes non admodum reposci oportere in compendiosis tractationibus. Nam si cum iis quae ad rem propositam utilia sunt causas quoque eorum quae fiunt audire quis voluerit, nihil de magna tractatione detrahetur; in qua quatuor quidem sunt libri causarum quae pulsus variant, quatuor autem praecognitionis quae ex ipsis habetur Minime igitur bona est ipsa pulsuum raritas, sive aequalis sive inaequalis sit; multo autem deterior est, quando intermittit, fit enim, ut ostensum est, virtute vitali ab humorum multitudine gravata, vel quibusdam arteriis a crassitie, vel viscositate obstructis; fit etiam et ob phlegmonem magnam, constipatis earum cavitatibus, vel aliqua re extrinsecus comprimente, vel gravante, vel quomodocunque angustante. Ideoque in significationibus potissimum fiunt in multis ipsae pulsuum inaequalitates, recedente ad profundum sanguine. Hi ergo pulsus affectiones

Ed. Chart. VIII. [317.]
οὖν οἱ σφυγμοὶ τὰς ἄρτι εἰρημένας διαθέσεις ἐνδείκνυνται, κατάψυξιν δὲ ἰσχυρὰν ὁ ἀραιός· ὥστ᾽ ἄλλως μὲν γενόμενος οὐκ ἔστιν ὀλέθριος· ὑπό τε γὰρ τοῦ περιέχοντος ἐν χειμῶνι τοιοῦτοι γίνονται σφυγμοὶ καὶ διὰ τροφὴν ἐν κοιλίᾳ φλεγματωθεῖσαν ἐν ἅπασι τοῖς βουλιμιῶσι· τὸ δ᾽ ἐπὶ πυρετοῖς οὐκ ἀκινδύνοις ἀραιότητα γενέσθαι σφυγμοῦ σβεννυμένης τῆς ἐμφύτου θερμασίας ἐστὶ σημεῖον. ἔνιοι δὲ τῶν οὕτως διακειμένων ὀρέγονται τροφῆς, καὶ εἰ προσενέγκῃς, ἐσθίουσι προθύμως, ὡς δόξαι τοὺς ὁρῶντας ὑγιεινῶς ἔχειν αὐτούς· ἀπόλλυνταί γε μὴν εὐθέως, ἔνιοι μὲν κατὰ τὸν καιρὸν τῆς ἐπισημασίας ἐν καταφορᾷ γενόμενοι, τινὲς δ᾽ ἄνευ καταφορᾶς ψυχθέντες σφοδρῶς, οὐκέτι ἐξεθερμάνθησαν. οὐ μόνον δὲ, ὡς ἔφην, τὸ γένος τοῦτο ἀνωμαλίας συμπίπτει κατὰ τὰς εἰσβολὰς τῶν πυρεκτικῶν παροξυσμῶν, ἀλλὰ καὶ τὸ κατὰ μέγεθος καὶ μικρότητα καὶ τάχος καὶ βραδυτῆτα σφοδρότητά τε καὶ ἀμυδρότητα. προσέχειν δ᾽ ἀκριβῶς ἐν ἅπασιν αὐτοῖς, ὁπότεροι πλείους εἰσίν. εὔδηλον γὰρ ὅτι χαλεπώτερον ἔχουσιν οἱ πλείους τὸν κίνδυνον, οἷον ὅταν ἀμυδροῖς τέτταρσιν ὁ πέμπτος

nuper dictas indicant, refrigerationem autem validam rarus, nam qui alia de causa evenit, non est perniciosus. Ab ambiente enim per hiemem tales pulsus fiunt et ob alimentum in ventriculo in pituitam versum, in omnibus qui bulimo laborant. At si in febribus periculo non vacantibus raritas pulsus fiat, intermorientis innatae caliditatis est signum. Nonnulli vero qui ita affecti sunt cibum appetunt, sique obtuleris, prompte comedunt, ita ut qui vident existiment eos se salubriter habere. Intereunt sane statim nonnulli quidem in tempore significationis, cataphora detenti; aliqui vero sine cataphora vehementer refrigerati non amplius recaluerunt. Non solum autem, ut dixi, genus hoc inaequalitatis invasionibus febrilium paroxysmorum contingit, sed etiam genus inaequalitatis in magnitudine et parvitate, in celeritate et tarditate, in vehementia et languore. Animadvertere autem diligenter oportet in omnibus ipsis, quinam plures sint; constat enim quod qui plures sunt gravius habent periculum; ut quando quatuor langui-

Ed. Chart. VIII. [317.]
ἕπηται σφοδρὸς ἢ μετρίως εὔτονος. ἄμεινον γὰρ πολλῷ τέτταρσι σφοδροῖς τὸν πέμπτον παρεμπίπτειν ἀμυδρόν. ὅταν γε μὴν ἐφεξῆς ἀμυδροὶ φαίνωνται πάντες, ἐὰν μὲν ἔν τινι τῶν ἄλλων γενῶν ἢ τισὶν εὑρίσκῃς ἀνωμαλίαν, ἄχρι πολλοῦ ψαῦε τῆς ἀρτηρίας, ἐπιτηρῶν, εἴ που κἂν εἷς φανείη σφοδρός. ὅταν δὲ ὁμαλῶς μοχθηρὸς ὁ σφυγμὸς ἐν ἅπασι τοῖς γένεσιν ᾖ, οὐ πόῤῥω θανάτου γίνωσκε τοὺς τοιούτους ἥκοντας· ὁμαλῶς δὲ μοχθηρός ἐστι σφυγμὸς ὅ τ' ἀμυδρότατος καὶ ὁ πυκνότατος. ὁ μὲν γὰρ τάχιστος οὐδὲ γίγνεταί ποτε μετ' ἀμυδροτάτου, βραδύτατος δ' ἅμα καὶ ἀμυδρὸς εἰ γένοιτο, θαυμάζοιμ' ἄν, εἰ μὴ ψυχροῖς ἤδη τοῖς ἄκροις διακείμενος ὁ ἄῤῥωστός ἐστιν. ὅ γε μὴν ἀμυδρὸς ἅμα καὶ μέγας ἐξ ἀνάγκης μέν ἐστι καὶ μαλακὸς, εἴωθε δὲ ληθάργοις τε καὶ ταῖς ἄλλαις καταφοραῖς συνεῖναι, δι' ὑγρότητα πολλὴν ἤτοι τῆς γαστρὸς καὶ μάλιστα τοῦ στόματος αὐτῆς ἢ ἐγκεφάλου τοιοῦτος ἀποτελούμενος, ἤ τινος ἄλλου κυρίου μορίου, ἢ καὶ παντὸς τοῦ σώματος. εὐίατος μὲν οὖν ἐστιν ὁ ἐπὶ γαστρὶ καὶ στομάχῳ, χαλεπώτατος δὲ ὁ

dos quintus fequitur vehemens, vel mediocri tenore praeditus; melius enim longe eft quatuor vehementibus quintum intercurrere languidum. Quum autem omnes deinceps languidi apparent, fi fane in aliquo aliorum generum, vel aliquibus inaequalitatem invenias, arteriam diutius tange, obfervans ficubi vel unus appareat vehemens. Quando vero aequaliter pravus in omnibus generibus eft, fcias non procul a morte ejusmodi aegrotantes abeffe. Aequaliter autem pravus eft pulfus, qui languidiffimus et frequentiffimus eft; nam celerrimus nunquam fit cum languidiffimo; tardiffimus autem una et languidus fi fiat, mirarer utique, fi non frigiditate jam extremorum aegrotus laboraret. Sane, qui languidus una eft et magnus, neceffario etiam mollis eft, foletque una cum lethargis et aliis cataphoris adeffe; ob humiditatem multam vel ventriculi, et praecipue oris ipfius, vel cerebri, vel alterius cujusdam principis partis, vel etiam totius corporis, talis redditus. Ac facile quidem curari poteft qui ex ventriculo et ftomacho fit; difficillime autem

Ed. Chart. VIII. [317.]
διὰ τὸν ἐγκέφαλον ἀμυδρὸς ἅμα καὶ μαλακὸς γιγνόμενος, ἔτι δὲ μᾶλλον ὁ δι' ὅλην τὴν ἕξιν τοῦ σώματος εἰς οἰδηματώδη διάθεσιν ἀφικνουμένην ἤ τι τῶν κυρίων σπλάγχνων. ἐνίοτε δὲ πολλοῖς ἐφεξῆς ἀραιοῖς εἷς ἕπεται πυκνὸς, ἢ τεταγμένος ἢ ἄτακτος. καὶ γίνεται πολλάκις ὁ τοιοῦτος σφυγμὸς, ὃν ἰδίως ὀνομάζομεν παρεμπίπτοντα, κατὰ τὸν ἐναντίον τρόπον τῷ διαλείποντι συνιστάμενος. ἐκεῖνος μὲν γὰρ ἐκτεινομένης τῆς ἀραιότητος, οὗτος δὲ συστελλομένης γίγνεται τῆς πυκνότητος· καὶ ὅταν γε μετὰ σφοδρότητος τοιοῦτος γένηται, κρίσιμόν ἐστι σημεῖον. ἄκουε δέ μου κρίσιν ἐν ἅπασι τοῖς τοιούτοις λόγοις ὀξύῤῥοπον ἐν νόσῳ μεταβολὴν, οὐκ ἐξάπαντος εἰς ἀγαθὸν τελευτῶσαν, γίγνεται δὲ ἡ τοιαύτη κρίσις ἤτοι δι' ἐκκρίσεως ἢ ἀποσκήματος. ἥντινα κρίσιν ἐξ ἄλλων σημείων διαγνώσῃ τῶν ἐν τοῖς περὶ κρίσεων εἰρημένοις, εἴτε τῶν ἀγαθῶν ἐστὶ, εἴτε τῶν μοχθηρῶν. οὗτοί τε οὖν ἅπαντες οἱ σφυγμοὶ κατὰ τὰς ἐπισημασίας γίγνονται καὶ τῶν κατὰ μίαν διαστολὴν τῆς ἀρτηρίας ἔνιοι. περὶ ὧν ἤδη λεγέσθω.

qui ob cerebrum languidus una et mollis fit; adhuc vero magis qui ob totum corporis habitum, qui in oedematofam affectionem pervenerit, vel ob aliquod ex principibus visceribus. Nonnunquam vero multos deinceps raros unus insequitur frequens, vel ordinatus, vel inordinatus; fit saepenumero talis pulsus, quem peculiariter intercurrentem nominamus; qui contrario modo ac intermittens construitur; ille enim extensa raritate, hic autem fit contracta crebritate. Et ubi cum vehementia talis fiat, criticum est signum. Intellige autem ex me crisim in omnibus ejusmodi sermonibus, subitam in morbo mutationem, non perpetuo in bonum desinentem. Fit autem talis crisis vel per excretionem, vel per decubitum, quam sane crisim ex aliis signis dignosces, quae in libris de crisibus dicta sunt, sive bona sit, sive prava. Hi igitur omnes pulsus in significationibus fiunt; et nonnulli ex iis, qui in una arteriae diastole inaequales sunt; de quibus jam dicatur.

Ed. Chart. VIII. [317.]

Κεφ. ιη'. Τῶν ἀνωμάλων διαστολῶν τῆς ἀρτηρίας ἔνιαι μὲν ἡσυχίᾳ διακοπτομένην ἔχουσι τὴν κίνησιν, ἔνιαι δὲ συνεχῆ μὲν, οὐχ ὁμοιομερῆ δέ. περὶ πρώτης οὖν ἐρῶ τῆς ἡσυχίᾳ διακοπτομένης. καὶ γὰρ καὶ σαφὴς ἡ διάγνωσις αὐτῆς ἐστι, παντὸς οὑτινοσοῦν, εἴ γε μὴ παντάπασιν ὀνώδης εἴη, δυναμένου γνωρίζειν, ὅταν ἐν τῷ διαστέλλεσθαι στῆναι βραχὺ συμβῇ τὴν ἀρτηρίαν, εἶθ' οὕτως προσθεῖναι τὸ λοιπὸν τῆς διαστολῆς· ὅπερ ἐν μικροῖς ἢ ταπεινοῖς σφυγμοῖς οὐ δύναται γενέσθαι. δῆλον οὖν ἐστιν ἐξ αὐτοῦ τοῦδε μήτε τὸν χρόνον τῆς διαστολῆς ἐκλελύσθαι μήτε τὴν δύναμιν ἀῤῥωστεῖν, ἐν αὐτῷ γε τούτῳ μόνῳ τῷ νῦν εἰρημένῳ τῆς εἰς τὸ παρὰ φύσιν ἐκτροπῆς γενομένης. ὅπερ οὐχ ἥκιστα κἀπὶ τῶν ἄλλων ἁπάντων μεμνῆσθαί σε χρή. κατὰ γὰρ τὸ διδασκόμενον ἑκάστοτε μόνον ἡ διάγνωσίς τε καὶ πρόγνωσις γίνεται, τῶν ἄλλων ἁπάντων ἐχόντων κατὰ φύσιν ἢ μικρὰν πάνυ μεταβολὴν ἐσχηκότων· αὐτίκα γέ τοι τὸ νῦν ἡμῖν εἰρημένον ἀληθές ἐστιν, ὅταν ὁ χιτὼν τῆς ἀρτηρίας κατὰ φύσιν ἔχῃ. μαλακοῦ γὰρ ἀμέτρως αὐτοῦ γενηθέντος, ὁποῖος ἐν ληθάρ-

Cap. XVIII. Ex inaequalibus arteriae diastolis nonnullae quiete intersectam habent motionem; nonnullae continuam quidem, at non similarem. De prima igitur dicam, quae quiete intersecatur; nam et manifesta est ipsius dignotio, quum quilibet, nisi omnino asininus sit, cognoscere possit, quando contigerit ut arteria, dum dilatatur, parumper stet; tum ita reliquum diastoles addat, quod sane in parvis vel humilibus pulsibus fieri non potest. Manifestum igitur ex hoc ipso est neque usum diastoles esse exolutum neque facultatem esse infirmam, scilicet in hoc ipso solo, quod nunc dictum est, eversione in statum praeter naturam facta. Quod sane non minime et in aliis omnibus meminisse te oportet. Par id enim solum, quod subinde docetur, tum dignotio tum praecognitio fit, aliis omnibus secundum naturam se habentibus, vel parvam omnino mutationem adeptis. Porro, quod nunc diximus, verum est, quando arteriae tunica secundum naturam se habet; nam ubi ipsa immodice mollis reddita fuerit, qualis lethargis,

Ed. Chart. VIII. [317. 318.]
γοις καί τισιν ἄλλαις φαίνεται καταφοραῖς, οὐκ ἔστιν ἀληθὲς ὑπὸ ῥώμης τε καὶ δυνάμεως ἀποτελεῖσθαι τὸν μέγιστον σφυγμὸν, καὶ τῆς χρείας ἤτοι αὐξανομένης ἢ μειουμένης γε πάντως. εἰ μὲν γὰρ ὑπὸ δυοῖν τοῦτ᾽ ἐγένετο μέγας σφυγμὸς, αὐξήσεως χρείας καὶ ῥώμης δυνάμεως, οὐδεμιᾶς ἂν ἔδει προσθεῖναι τῷ λόγῳ· νυνὶ δὲ, ἐπειδὴ προσεπισκέπτεσθαι χρὴ τὸν χιτῶνα τῆς ἀρτηρίας, οὐκ ἀληθὴς ὁ λόγος ἔσται λεγόμενος ἁπλῶς. μεμνῆσθαι γάρ σε χρὴ τῶν εἰρημένων ἐν τῷ πρώτῳ τῶν ἐν σφυγμοῖς αἰτίων, ὃ πολλάκις ἀναγινώσκειν προσήκει, τὰ θεμέλια τῆς περὶ σφυγμῶν ἁπάσης θεωρίας ἐχόντων· ὧν χωρὶς οὐδὲν τῶν ἄλλων δύναται συστῆναί τε καὶ γνωσθῆναι. τὰς γὰρ ὡς ἂν εἴποι τις αἰτίας συνεκτικὰς ἢ προσεχεῖς τῶν σφυγμῶν τῆς γενέσεως, ἐν τρισὶ τούτοις γένεσιν οὔσας ἔδειξα, τῇ χρείᾳ δι᾽ ἣν αἱ ἀρτηρίαι κινοῦνται, τῇ κινούσῃ δυνάμει, τῷ χιτῶνι. τὰ γὰρ ἄλλα πάντα, ὅσα τοὺς σφυγμοὺς ἀλλοιοῖ, διὰ τούτων μέσων ἐργάζονται τὴν μεταβολήν. ὅταν μὲν οὖν ὁ χιτὼν τῆς ἀρτηρίας κατὰ φύσιν ἔχῃ, κατὰ δὲ τὴν διαστολὴν ἡσυχία τις γενομένη τὴν ἀνωμαλίαν ἐργάζηται, ῥώμη τε δυνά-

et quibusdam aliis cataphoris conſpicitur, non eſt verum a robore facul[318]tatis maximum pulſum effici, et ab uſu vel aucto vel omnino non imminuto. Si enim a duobus his ſolis fieret magnus pulſus, augmento inquam uſus et robore facultatis, nihil amplius addere ſermoni oporteret. Nunc autem, quia conſiderare etiam oportet arteriae tunicam, non verus erit ſermo ſimpliciter prolatus. Meminiſſe enim te oportet eorum, quae dicta ſunt in primo de cauſis pulſuum, qui liber ſaepius legi debet, ut qui fundamenta totius ſpeculationis pulſuum contineat, ſine quibus nec conſtitui nec cognoſci quicquam aliud poteſt. Cauſas enim, ut quiſpiam dicat, continentes vel proximas generationis pulſuum in tribus his generibus eſſe oſtendi; uſu, propter quem arteriae moventur, facultate, quae movet, et tunica. Alia enim omnia quae pulſus variant per haec media mutationem faciunt. Ubi igitur arteriae tunica ſecundum naturam ſe habet, in diaſtole vero quies aliqua facta inaequalitatem efficit, tunc et robur facultatis eſt et uſus diaſto-

Ed. Chart. VIII. [318.]
μεως ἐστὶ καὶ χρεία διαστολῆς μεγάλης. ἐδείχθη δὴ χρεία τῆς τῶν σφυγμῶν γενέσεως αὐξανομένη διὰ πλῆθος θερμασίας, ἢ κένωσιν πνεύματος ψυχικοῦ. κενοῦται δὲ τοῦτο τοῖς γυμναζομένοις εἰς ὑπηρεσίαν τῶν κατὰ τοὺς μῦς κινήσεων. ὅταν οὖν, ὡς ἔφην, ἥ τε χρεία τῆς τῶν σφυγμῶν γενέσεως αὐξηθῇ δι' ἥντινα αἰτίαν, ἥ τε κατὰ τὴν καρδίαν δύναμις ἡ τὰς ἀρτηρίας κινοῦσα κατὰ τὸν ἑαυτῆς λόγον ἐῤῥωμένη (διαμένῃ e margine), βαρύνηται δ' ὑπὸ πλήθους χυμῶν ἢ πάχους ἐμφράττοντος ἢ θλίβοντος τὰς ἀρτηρίας μεγάλως, αἱ καθ' ἕνα σφυγμὸν ἀνωμαλίαι γίνονται, διακοπτούσης ἡσυχίας τὸ συνεχὲς τῆς διαστολῆς. ἔνθα δή σε προσέχειν ἀκριβῶς ἀξιῶ τοῖς δύο μέρεσι τῆς κινήσεως, ἐπισκοπούμενον ἑαυτῷ ἀμυδρότητά τε καὶ σφοδρότητα καὶ τάχος καὶ βραδυτῆτα. γίνονται μὲν γὰρ θ' διαφοραὶ καθ' ἑκάτερον τούτων, ὡς κἀν τῷ πρώτῳ τῆς περὶ τῶν σφυγμῶν διαφορᾶς ἔμαθες. ἐνδείκνυται δὲ πρὸς τοῖς κατὰ τὰς διαθέσεις εἰρημένοις, ὅπως ἡ ζωτικὴ δύναμις ἔχει. ἀῤῥώστων μὲν γὰρ ἀμφοτέρων τῶν κινήσεων οὐσῶν ἐν τοῖς σφυγμοῖς, ἔσχατος κίνδυνος· εὐῤῥώστων δὲ, σωτηρίας ἐλπίς.

les magnae. Oſtenſum ſane eſt uſum generationis pulſuum augeri ob caliditatis multitudinem, vel ſpiritus animalis inanitionem; inanitur autem ſpiritus, iis qui ſe exercent in miniſterium motionum quae per muſculos fiunt. Ubi igitur, ut dixi, tum uſus generationis pulſuum auctus fuerit ob quamlibet cauſam, tum facultas, quae in corde eſt, a qua arteriae moventur, ex ſui ipſius ratione valens permaneat, at gravetur a multitudine humorum, vel craſſitie arterias magnopere obſtruente, vel premente; inaequalitates in uno pulſu fiunt, quiete continnitatem diaſtoles interſecante. Quo ſane loco hortor te ut duabus motionis partibus mentem diligenter adhibeas; per te ipſe conſiderans tum languorem et vehementiam, tum celeritatem et tarditatem, fiunt enim in his utrisque novem differentiae, ut in primo de differentia pulſuum didiciſti. Indicant autem praeter ea quae de affectionibus dicta ſunt, quomodo vitalis facultas ſe habeat. Ubi enim ambae motiones infirmae ſunt in pulſibus, extremum eſt periculum, ubi robuſtae, ſalutis eſt ſpes.

Ed. Chart. VIII. [318.]

εἰ δ' ἀμφότεραι μέσως πως ἔχοιεν εὐῤῥωστίας τε καὶ ἀῤῥωστίας, ἐν τῷ μέσῳ δηλοῦσι καθεστάναι τὸν ἄνθρωπον ὀλέθρου τε καὶ σωτηρίας· ἐὰν δὲ, τῆς προτέρας κινήσεως ἀμυδρᾶς οὔσης, ἡ μετὰ τὴν ἡσυχίαν εὔῤῥωστος φαίνηται, χεῖρον μὲν τοῦτο τοῦ τὰς δύο κινήσεις ἰσχυρὰς ὑπάρχειν, ἧττον δὲ χεῖρον ἀμυδρῶν οὐσῶν. εἰ δ' ἔμπαλιν τοὔδε φαίνοιτο, τῆς προτέρας οὔσης ἰσχυρᾶς, ἡ μετὰ ταύτην ἄτονος, οὐκ ἀγαθόν· βέλτιον γάρ ἐστι τὴν δευτέραν κίνησιν ἀμείνονα φαίνεσθαι τῆς προτέρας.

Κεφ. ιθ'. Ἐφεξῆς οὖν ἐρῶ τὴν τάξιν τῶν θ' τούτων ἀνωμαλιῶν, ἀπὸ τῆς ἐπιεικεστάτης αὐτῶν ἀρξάμενος· εἶτα κατὰ βραχὺ διὰ τῶν μέσων ἐπὶ τὴν χειρίστην ἀφικόμενος. ἐπιεικεστάτη μὲν οὖν ἁπασῶν ἐστιν ἡ τὰς κινήσεις ἀμφοτέρας εὐτόνους ἔχουσα. δευτέρα δὲ ἡ τὴν προτέραν μέσην, εὔῤῥωστον δὲ τὴν δευτέραν. τρίτη δὲ ἡ τὴν μὲν προτέραν εὔτονον, μέσην δὲ τὴν ὑστέραν. τετάρτη δὲ ἡ ἀμφοτέρας ἔχουσα μέσας. πέμπτη δὲ ἡ τὴν μὲν προτέραν ἀσθενῆ, τὴν δὲ ὑστέραν ἰσχυράν. ἕκτη δὲ ἡ τὴν μὲν προτέραν ἀσθενῆ,

Si vero ambae in medio quodammodo ſint infirmitatis et roboris, in medio indicant conſiſtere hominem exitii et ſalutis. Si autem priori motione languida exiſtente, ea quae poſt quietem eſt robuſta appareat, deterius quidem hoc eſt quam ſi duae motiones fortes exiſterent, minus vero malum quam ſi languidae eſſent. Si vero e contrario appareat ut prior ſit valida, quae poſt ipſam eſt, infirma, non bonum eſt, melius enim eſt ut poſterior motio priore ſit praeſtantior.

Cap. XIX. Deinceps igitur ordinem narrabo novem harum inaequalitatum, a mitiſſima ipſarum auſpicatus; poſtea paulatim per medias ad peſſimam perveniens. Ac mitiſſima quidem omnium eſt quae motiones ambas tenore praeditas habet. Secunda, quae priorem quidem mediam, robuſtam vero poſteriorem. Tertia, quae priorem tenore praeditam, mediam vero poſteriorem. Quarta, quae ambas habet medias. Quinta, quae priorem quidem invalidam, poſteriorem vero fortem. Sexta, quae priorem iuva-

Ed. Chart. VIII. [318.]

μέσην δὲ τὴν δευτέραν. ἑβδόμη δὲ ἡ τὴν μὲν προτέραν εὔῤῥωστον, ἄῤῥωστον δὲ τὴν δευτέραν. ὀγδόη δὲ ἡ τὴν μὲν προτέραν ἄῤῥωστον, μέσην δὲ τὴν δευτέραν. ἐννάτη δὲ ἡ χειρίστη πασῶν, ἡ ἀμφοτέρας ἀῤῥώστους ἔχουσα. ἀνάλογον δὲ ταῖς κατὰ τὴν ῥώμην καὶ ἀῤῥωστίαν συζυγίαις τῶν εἰρημένων δύο μορίων τῆς κινήσεως αἱ κατὰ τάχος εἰσὶ καὶ τὴν βραδυτῆτα. βέλτιον μὲν γὰρ ἐν τοῖς τοιούτοις σφυγμοῖς τὸ τάχος τῆς βραδυτῆτος, οὐ μὴν τοσούτῳ βέλτιον ὅσῳ σφοδρότης ἀμυδρότητος. ἄντικρυς γὰρ αἱ ποιότητες αὗται τῶν σφυγμῶν ἐνδείκνυνται τὰς διαφορὰς τῆς δυνάμεως κατὰ ῥώμην τε καὶ ἀῤῥωστίαν. εὔδηλον δ' ὅτι μεγίστη μὲν ἐλπὶς εἰς σωτηρίαν ἐπὶ τῇ ῥώμῃ τῆς δυνάμεως, ἐλαχίστη δὲ ἐπὶ ταῖς ἀῤῥωστίαις. ἀλλὰ κατ' ἀναλογίαν γέ τινα τοῖς εἰρημένοις ἐπὶ τῶν κατὰ βραδυτῆτα καὶ τάχος διαφορῶν ἡ παραβολή σοι γινέσθω· πρώτης μὲν συζυγίας γενομένης, καθ' ἣν αἱ κινήσεις ἀμφότεραι ταχεῖαι. δευτέρα δὲ, καθ' ἣν ἡ μὲν προτέρα μέση, ταχεῖα δὲ ἡ δευτέρα. τρίτη δὲ, καθ' ἣν ἡ μὲν προτέρα ταχεῖα, μέση δὲ ἡ δευτέρα. τετάρτη δὲ, καθ' ἣν ἀμφότεραι μέσαι.

lidam, mediam vero posteriorem. Septima, quae priorem robustam, infirmam autem posteriorem. Octava, quae priorem mediam, infirmam vero posteriorem. Nona, quae pessima omnium est, quae ambas infirmas habet. Conjugationibus autem in robore et infirmitate praedictarum duarum partium motionis consistentibus, proportione respondent conjugationes in celeritate et tarditate consistentes. Melior etenim est in ejusmodi pulsibus celeritas tarditate, non tamen tanto melior quanto vehementia languore. Aperte enim qualitates ipsae pulsuum differentias facultatis in robore et infirmitate indicant. Constat autem maximam quidem spem esse salutis ex facultatis robore, minimam autem ex infirmitatibus. Sed ad proportionem quandam cum iis quae dicta sunt, comparatio tibi fiat in differentiis secundum tarditatem et celeritatem, ut prima quidem conjugatio fiat, in qua motiones celeres sint. Secunda autem, in qua prior media, celer autem posterior. Tertia, in qua prior quidem celer, media autem posterior. Quarta, in qua ambae

Ed. Chart. VIII. [318.]

καὶ πέμπτη, καθ' ἣν ἡ μὲν προτέρα βραδεῖα, ταχεῖα δὲ ἡ δευτέρα. καὶ μετ' αὐτὴν ἡ ἕκτη, καθ' ἣν τῆς προτέρας βραδείας οὔσης ἡ δευτέρα μέση γίνεται. τῆς δὲ ἑβδόμης συζυγίας ἡ μὲν προτέρα κίνησις ὠκεῖα, βραδεῖα δὲ ἡ δευτέρα. τῆς δὲ ὀγδόης μέση μὲν ἡ προτέρα, βραδεῖα δὲ ἡ δευτέρα. τελευταία δ' αὐτῶν ἐστιν ἡ ἐννάτη, βραδείας ἀμφοτέρας ἔχουσα τὰς κινήσεις.

Κεφ. κ'. Ἀποβλέπειν οὖν σε χρὴ πρὸς ἀμφοτέρας τὰς διαφορὰς, καὶ σκοπεῖσθαι τῷ νῷ τὰς ἐπιπλοκὰς αὐτῶν. ἔσθ' ὅτε γὰρ ἡ μὲν κατὰ βραδυτῆτα καὶ τάχος συζυγία χαλεπὴ γίνεται, βελτίων δὲ ἡ κατὰ ῥώμην τε καὶ ἀῤῥωστίαν. ἐκ τῆς τοιαύτης οὖν ἐπιπλοκῆς καὶ ὁ δορκαδίζων ὀνομαζόμενος γίνεται σφυγμὸς, ἐφ' οὗ τὸ δεύτερον μόριον τῆς κινήσεως εὐτονώτερόν τε καὶ θᾶττόν ἐστι τοῦ προτέρου. καὶ εἴη ἂν οὗτος ὁ μετριώτατος τῶν διακοπτομένων ἡσυχίᾳ κατὰ τὴν διαστολὴν τῶν τῆς ἀρτηρίας σφυγμῶν, καὶ ὅταν γε αὐτῷ συνέλθῃ πέψις τις νοσήματος, ἐπαγγέλλεται κρίσιν ἀγαθήν. ὥσπερ δὲ τὰς κατὰ σφοδρότητα καὶ ἀμυδρότητα καὶ

mediae ſunt. Quinta, in qua prior tarda, celer poſterior. Et poſt ipſam ſexta, in qua priori exiſtente tarda, poſterior media fiat. Septimae autem conjugationis prior quidem motio velox, tarda autem poſterior. Octavae media quidem prior, tarda autem poſterior. Ultima harum eſt nona, quae tardas ambas motiones habet.

Cap. XX. Inſpicere itaque te oportet ad ambas differentias, menteque conſiderare earum complicationes. Quandoque enim quae in tarditate et celeritate conſiſtit conjugatio, gravis redditur; melior autem quae in robore et imbecillitate eſt. Ex tali igitur complicatione et qui caprizans nominatur pulſus gignitur; in quo poſterior particula motionis robuſtior et valentior eſt priore. Fueritque hic pulſuum, qui ſecundum diaſtolen arteriae quiete interſecantur, modeſtiſſimus, et ubi cum ipſo juncta fuerit aliqua morbi concoctio, criſim bonam annunciat. Quemadmodum autem conjugationes, quae in vehementia et languore, ce-

Ed. Chart. VIII. [318.]

τάχος καὶ βραδυτῆτα συζυγίας ἐπισκοπεῖσθαι κατὰ τοὺς τοιούτους σφυγμοὺς ἀναγκαιότατόν ἐστιν εἰς πρόγνωσιν, οὕτως καὶ τὴν κατὰ μέγεθός τε καὶ ὕψος. ὅτι μὲν γὰρ οὐκ ἐνδέχεται τῶν ταπεινῶν εἶναι σφυγμῶν τὸν ἡσυχίᾳ διακοπτόμενον, εἴρηται πρόσθεν. εἰς ὅσον δ' ὕψους ἥκει, σκοπεῖσθαι προσήκει. δύναται γάρ τις ἀποκεχωρηκέναι μὲν τῶν ταπεινῶν, ἔτι δὲ μέσος ὑπάρχων ἢ ὑψηλότερος τοῦ μέσου βραχὺ, μὴ μέντοι τέλεον ἔχων ὕψος. ὅπερ ἂν ἔχῃ, πάντως ἐπαγγέλλεται πρὸς κρίσιν ἐξορμᾶν τὴν φύσιν. οὐ μὴν ἀγαθήν γε πάντως ἔσεσθαι δηλοῖ τὴν κρίσιν ταύτην, ἐὰν μὴ καὶ τοὺς ἄλλους ῥυθμοὺς ἔχῃ τὸ νόσημα πρὸς ἀγαθὴν κρίσιν, οὓς ἐν τῷ περὶ κρίσεων εἴπομεν. ἐν οἷς ἐστιν ὁ μέγιστός τε καὶ ἀσφαλέστατος σκοπὸς ἀπὸ τῆς τοῦ νοσήματος πέψεως λαμβανόμενος· μετ' αὐτὸν δὲ ὁ ἀπὸ τῆς ῥώμης τοῦ κάμνοντος. δύο δὲ τούτους ἔμαθες ἔχειν σκοποὺς ἐν ταῖς περὶ σωτηρίας καὶ θανάτου προγνώσεσιν, εὐῤῥωστίαν δυνάμεως καὶ πέψιν νοσήματος. ἀκινδυνότατα μὲν γὰρ οἱ κάμνοντες ἔχουσιν, ἔνθα ταῦτ' ἐστὶν

leritate et tarditate consistunt, considerare in hujusmodi pulsibus maxime est necessarium ad praecognitionem, sic etiam eam quae in magnitudine et altitudine versatur. Quod enim non contingat ex humilibus esse pulsibus eum qui quiete intersecatur, dictum est prius; ad quantam vero altitudinem perveniat, considerare convenit. Potest enim aliquis recessisse quidem ab humilibus, adhuc tamen medius esse, vel paulo altior medio esse, non tamen habere perfectam altitudinem, quam si habeat, omnino annunciat natura ad crisim excitari; non tamen bonam hanc crisim fore omnino ostendit, nisi et alios scopos habeat morbus ad bonam crisim, quos in tractatu de crisibus diximus; inter quos is est tum maximus tum tutissimus scopus qui a morbi concoctione sumitur; post ipsum vero qui a laborantis robore; duos namque hos scopos in praecognoscenda salute vel morte habendos esse didicisti, fortitudinem inquam virtutis et concoctionem morbi; citra enim omne periculum tutissimeque se habent ipsi laborantes, ubi haec ambo

Ed. Chart. VIII. [318. 319.]
ἄμφω· ὀλεθριώτατα δὲ, ἔνθα μηδ' ἕτερον· ἐν τῷ μέσῳ δ', ὅταν θάτερον. αἱ δὲ κατὰ τὸ μᾶλλόν τε καὶ ἧττον αὐτῶν συζυγίαι καὶ τὴν ἐλπίδα τῆς σωτηρίας ἢ τὴν τοῦ θανάτου προσδοκίαν αὐξάνουσί τε καὶ μειοῦσιν. ὅπερ οὖν ἔλεγον, ὡς εἰς ἀμυδρότητα καὶ σφοδρότητα καὶ τάχος καὶ βραδυτῆτα τῶν μερῶν τῆς κινήσεως ἐν τοῖς τοιούτοις σφυγμοῖς σε βλέπειν ἐστὶ χρήσιμον, οὕτως καὶ τὸ μέγεθος αὐτῶν ὁρᾷν καὶ τὴν μικρότητα, καὶ μᾶλλόν γε ταπεινότητά τε καὶ ὕψος, εἰ καὶ μὴ χωρὶς τῶν ἄλλων διαστάσεων γένοιντο. διὰ τοῦτο οὖν οὐδ' ἐν ταῖς καταψυχούσαις ἱκανῶς εἰσβολαῖς τῶν παροξυσμῶν οἱ τοιοῦτοι φαίνονται σφυγμοί· ταπεινοῦνται γὰρ ἐν τούτῳ τῷ καιρῷ καὶ σμικρύνονται. τὰ μὲν οὖν ἐπείγοντα πρὸς τὰ τῆς τέχνης ἔργα τοῖς τὰς διεξόδους ἀναγινώσκουσιν εἴρηται.

Κεφ. κα'. Νυνὶ δὲ πάλιν ἀναλαβόντες ἀπ' ἀρχῆς τὸν λόγον, ἐροῦμεν ὁπόσοι τέ εἰσιν οἱ κατὰ τὴν διαστολὴν τῆς ἀρτηρίας φαινόμενοι σφυγμοὶ, τίς τε καθ' ἕκαστον αὐτῶν ἐστι διάθεσις ὑφ' ἧς γίνεται, τίς τε ἡ πρόγνωσις ἐξ ἑκάστης αὐτῶν. ἐπιβάλλειν δέ σε βούλομαι κατὰ τὰς ἀρτηρίας τοὺς

adſunt; perniciofiſſime, ubi neutrum; in medio, quando alterutrum. Dum autem haec magis vel minus inter ſe conjunguntur, ſpem quoque ſalutis, vel expectationem mortis, et augent, et minuunt. Quod igitur dicebam utile eſſe ut in languorem et vehementiam, cele[319]ritatem et tarditatem partium motionis in ejusmodi pulſibus inſpiceres; ita etiam magnitudinem ipſorum et parvitatem inſpicere expedit; et magis ſane humilitatem et altitudinem; etiam ſi non ſine aliis duabus dimenſionibus fiant. Propter hoc igitur nec in perfrigerantibus admodum invaſionibus paroxysmorum tales apparent pulſus, humiles enim hoc tempore et parvi redduntur. Ac ea quidem quae ad artis opera excitant, iis qui diexodos legunt, dicta ſunt.

Cap. XXI. Nunc vero rurſus ſermonem ab initio reſumentes, dicamus quot ſint pulſus qui in diaſtole arteriae conſpiciuntur; quaeque in ſingulis ipſorum ſit affectio a qua fiunt; et quae praecognitio ex ſingulis ipſis fiat. Injicere autem te volo ſuper arterias digitos, qui molles ſint;

Ed. Chart. VIII. [319.]

δακτύλους ἁπαλοὺς ὄντας, οὔτ' ἐπιπολῆς ψαύοντας τήν γε πρώτην οὔτε θλίβοντας βιαίως. εἶτ' ἂν μὲν ἰσχυρῶς αἰσθάνῃ πληττόμενος ὑπὸ τῆς ἀρτηρίας διαστελλομένης, ἔτι καὶ μᾶλλον ἐπιθλίβειν· ἐὰν δὲ αὐτὸ πράττοντος ἀναίσθητος ἡ κίνησις γίγνηται, παντάπασιν ἐπιπολῆς ψαύειν. ἰσχυρὰν μὲν γὰρ ἐνδείκνυται τὴν δύναμιν ὁ πρὸς τὴν θλίψιν ἀντιβαίνων σφυγμὸς, ἀσθενῆ δὲ ὁ καταπίπτων τε καὶ νικώμενος. ἐνίους γοῦν εὑρήσεις μεγίστους, ἐπιπολῆς ψαυόντων, μικροὺς δ', εἰ θλίψαις, φαινομένους· ἐνίοτε δ' οὐδ' ὅλως ἔτι σωζομένους, ἀλλ' ἀπολλυμένους παντάπασιν. ὥστ' ἐκ τοῦ κατὰ τὴν θλίψιν ποσοῦ τὸ ποσὸν τῆς κατὰ τὴν δύναμιν ἀσθενείας τε καὶ ῥώμης διαγινώσκεσθαί σοι, μέγιστον ἀγαθὸν τῶν ἐν τοῖς σφυγμοῖς ὑπάρχον. ἐὰν γοῦν ποθ' εὕρῃς ἐπ' ἀνθρώπου πυρετῶδες νόσημα νοσοῦντος ἅμα τοῖς τῆς πέψεως σημείοις ἰσχυρὰν τὴν δύναμιν, ἀκινδυνότητα τοῦτον ἔχειν ἴσθι, διὰ ταχέων δὲ λύεσθαι τὴν νόσον. ἐὰν δὲ ἰσχυρὰ μὲν ἡ δύναμις ᾖ, τῆς δ' ἐν τοῖς χυμοῖς πέψεως μηδὲν σημεῖον, ἐν χρόνῳ πλέονι νοσήσας σωθήσεται, μεμνημένων ἡμῶν, ἃ καὶ χωρὶς ἀναμνή-

primumque nec ſuperficietenus tangas, nec violenter premas; poſtea, ſi ipſos vehementer ab arteria, dum dilatatur, percuti ſentias, adhuc etiam magis comprime, ſi vero dum hoc facis, motus evadat inſenſilis, omnino ſuperficietenus tange. Validam etenim facultatem pulſus ille indicat, qui preſſioni reſiſtit, invalidam autem qui decidit et vincitur. Nonnullos igitur maximos eſſe comperies, ſi ſuperficietenus tangas; parvi tamen, ſi preſſeris, apparent; quandoque etiam nullo adhuc modo ſervantur, ſed penitus abolentur; ita ut ex preſſionis quantitate quantitas etiam tum imbecillitatis tum roboris facultatis tibi dignoſcatur; quod eorum, quae in pulſibus ſunt, maximum exiſtit bonum. Si ergo aliquando inveneris in homine febrili morbo laborante, una cum ſignis concoctionis validam facultatem, citra omne prorſus periculum hunc eſſe ſcito et cito morbum ſolutum iri. Si vero valida quidem fuerit facultas, nullum autem in humoribus ſignum concoctionis appareat, in tempore diuturniori aegrotaturus ſervabitur, recordantibus nobis ea quae etiam

Ed. Chart. VIII. [319.]
σεως τῆς ἐμῆς οἱ νοῦν ἔχοντες ἴσασιν, ὡς ἅπαντα τὰ κατὰ τὰς προγνώσεις λέγεται χωρὶς τοῦ τοὺς νοσοῦντας ἁμαρτεῖν, ἤ τινα βλάβην ἔξωθεν γενέσθαι. μεγάλην δὲ ἔφην ἔχειν ἰσχὺν ἐν τοῖς πυρετώδεσι νοσήμασι τὴν ῥώμην τῆς τὰς ἀρτηρίας κινούσης δυνάμεως, ἣν καὶ ζωτικὴν ὀνομάζομεν, ἐπειδὴ πολλάκις, ὅταν ὁ κίνδυνος ᾖ διὰ τὸ νευρῶδες γένος, οὐδὲν μέγα συμβάλλονται τῆς ζωτικῆς δυνάμεως ὁ τόνος· ἀλλ' ἐπισκεπτόμεθα τηνικαῦθ' ὅπως ἔχει ῥώμης ἡ ψυχικὴ δύναμις. ἄμεινον μὲν οὖν ἀμφοτέρας ἐῤῥῶσθαι καὶ πρὸς αὐταῖς γε τρίτην τὴν φυσικὴν ὀνομαζομένην, ἧς ἀρχὴ τὸ ἧπάρ ἐστιν· ὥσπερ τῆς μὲν ζωτικῆς ἡ καρδία, τῆς ψυχικῆς δ' ὁ ἐγκέφαλος. ἐπικρατεῖ δὲ καθ' ἕκαστον εἶδος νοσήματος εἰς τὸ τῆς προγνώσεως βέβαιον ἡ τῆς οἰκείας δυνάμεως τῶν πεπονθότων μορίων ῥώμη. τοῦ μὲν οὖν ἰσχυροῦ σφυγμοῦ τὸν τόνον, ὁποῖός τις ἐστὶ, θλίβων διαγνώσῃ, συνεμφαινομένου μὲν αὐτῷ καὶ τοῦ μεγέθους τῆς διαστολῆς ἀκριβῶς τε διαγινωσκομένου. βεβαία δὲ καὶ ἡ γνῶσις γίνεται τῶν μεγάλων σφυγμῶν, ἐξ ἐπιπολῆς ψαύοντων· ἴσθι δὲ μέγιστον σφυγμὸν ἐκεῖνον, ὃς ἂν κατὰ πολλὰ

ſine mea admonitione ii qui mentem habent ſciunt; omnia ſcilicet quae ad praecognitiones ſpectant intelligi debere, ſi aegrotantes non erraverint, aut nulla noxa extrinſecus evenerit. Magnam vero dixi habere vim in morbis febrilibus robur facultatis arterias moventis, quam et vitalem nominamus, quandoquidem ſaepenumero, ubi periculum ſit ob nervoſum genus, non magnopere confert vitalis facultatis tenor; ſed tunc inſpicimus quomodo animalis facultas robore ſe habeat. Ac melius quidem eſt ambos valentes eſſe, et praeter ipſas tertiam, quae naturalis appellatur, cujus principium eſt jecur, quemadmodum ſane vitalis cor, animalis autem cerebrum. Principatum autem tenet in unaquaque morbi ſpecie ad praecognitionis ſtabilitatem robur ipſum propriae facultatis affectarum partium. Validi igitur pulſus tenorem, qualis ſit, premendo dignoſces, unaque cum ipſo magnitudo etiam diaſtoles apparet, exquiſiteque dignoſcitur, firma etiam magnorum pulſuum ſit cognitio, ſi ſuperficietenus tangas. Scito autem maximum pulſum illum eſſe quem ſecundum multas arteriae

Ed. Chart. VIII. [319.]

μέρη τῆς ἀρτηρίας ψαύῃ, ἤτοι μήκους, πλάτους καὶ βάθους· ὡς καὶ μακρὸν, ὃς ἂν κατὰ τὸ μῆκος ἐπικρατοῖ, καὶ πλατὺν, ὃς ἂν κατὰ τὸ πλάτος, καὶ ὑψηλὸν παραπλησίως, ὅταν κατὰ τὸ ὕψος· εἴρηται δὲ καὶ βάθος. ὥσπερ δ' ἐν ὅλῳ τῷ πρώτῳ περὶ διαγνώσεως σφυγμῶν ὑπὲρ τοῦ κατὰ τὴν συστολὴν αἰσθητοῦ τε καὶ ἀναισθήτου, οὕτως ἐν τῷ δευτέρῳ περὶ τῆς κατὰ τὸ μέγεθός τε καὶ μικρότητα διαφορᾶς ἐπιδέδεικται, δεικνύντος μου παραβάλλειν χρῆναι τὸ ποσὸν τῆς κατὰ τὸν κύκλον διαστολῆς τῆς ἀρτηρίας, τὸ κατὰ τὸ περιὸν εὑρεῖν, καὶ ζητεῖν εἰς ὅσον ἐξαίρεται (C. ἐξαιρεῖται) μέγεθος ἀρτηρία εὐρυτάτη τῇ στενοτάτῃ (F. add. συμβαλλομένη V. L. collata). κατὰ ταὐτὸν οὖν κἀπὶ τῶν παίδων ἔνιοι τὸν σφυγμὸν εἶναι μικρὸν λέγουσι, οὐ τῇ κατὰ τὴν ἀρτηρίαν εὐρυχωρίᾳ παραβάλλοντες τὴν διαστολὴν, ἀλλὰ τῇ τῶν ἀκμαζόντων· ὡς ἐάν γε λογίσηταί τις, ὁπηλίκη κατὰ κύκλον οὖσα τῶν παίδων ἡ ἀρτηρία τὸν σφυγμὸν πηλίκον ἐργάζεται, γνώσεται ὅτι καλῶς ὁ Ἡρόφιλος ἔφη τὸν σφυγμὸν αὐτῶν ἱκανὸν εἶναι τῷ μεγέθει. δύο μὲν δή σοι ταῦτα γένη σφυγμῶν ἐν τῇ διαστολῇ

partes tangere possis, seu secundum longitudinem, latitudinem et profunditatem; sicuti et longum, qui secundum longitudinem superat; latum, qui secundum latitudinem, et altum similiter, qui secundum altitudinem, quae et profunditas dicitur. Quemadmodum autem in toto primo de dignotione pulsuum libro de sensili systoles parte et insensili monstratum est, ita etiam in secundo de differentia, quae in magnitudine et parvitate consistit; ubi ostendo quantitatem diastoles cum quantitate circuli arteriae comparandam esse, quo id quod quaeris invenias: nec quaerendum esse ad quantam magnitudinem adtollatur arteria latissima, angustissimae collata. Hac eadem ratione et in pueris nonulli dicunt pulsum esse parvum, diastolen non cum capacitate arteriae, sed cum ea quae est vigentium, comparantes; nam si quantitatem circuli arteriae puerorum, et quantitatem pulsus eorum existimet, is profecto noscet Herophilum recte pronuntiasse, eorum pulsum satis magnum esse. Duo equidem tibi haec genera pulsuum in arteriae

Ed. Chart. VIII. [319.]

τῆς ἀρτηρίας ὑποπεσεῖται καθ᾽ ὃν εἴρηται τρόπον ἐπιβάλλοντι τοὺς δακτύλους, τὸ μὲν ἕτερον ἐν ποσότητι μήκους καὶ πλάτους καὶ βάθους, τὸ δ᾽ ἕτερον ἐν τῷ τῆς πληγῆς εὐτόνῳ. καὶ καλεῖν γ᾽ ἔξεστί σοι τὸν ἰσχυρῶς πλήττοντα τὴν ἁφὴν ὅτῳ περ ἂν ἐθέλῃς ὀνόματι. καὶ γὰρ ἰσχυρὸν καὶ σφοδρὸν εὔτονόν τε καὶ ῥωμαλέον ὀνομάζων οὐδὲν βλάψεις τὰ τῆς τέχνης ἔργα. καλοῦμεν δ᾽ ἡμεῖς αὐτὸν σφοδρὸν τοῖς πρὸ ἡμῶν ἑπόμενοι ὁμοίως σφυγμόν· καὶ ὅτι μάλιστα σύνθετός ἐστιν ἡ τῆς σφοδρότητος νόησις ἐξ ἰσχύος τε καὶ τόνου. ἐπεὶ δὲ τὸ προγινώσκειν ὀρθῶς οὐκ ἐκ τῆς τῶν ὀνομάτων, ἀλλ᾽ ἐκ τῆς τῶν πραγμάτων ἀκριβοῦς γνώσεως γίνεται, χρήσθω μὲν ἕκαστος ὡς ἂν βούληται τοῖς ὀνόμασι, σπουδαζέτω δὲ τὴν τῶν πραγμάτων ἐπιστήμην. ὥσπερ δὲ ὁ σφοδρὸς σφυγμὸς ἀεὶ ῥώμην ἐνδείκνυται δυνάμεως, οὕτως ὁ σκληρὸς ἤτοι τετάσθαι τὴν ἀρτηρίαν ἢ σκληρὰν γεγονέναι, εἰ μὴ ἄρα καὶ τὸ τεταμένον σῶμα φαίη τις ἐξ αὐτοῦ τετάσθαι γεγονέναι σκληρόν· οὕτως γὰρ ὁ σκληρὸς ἀεὶ δηλώσει τὴν κατάστασιν τοῦ χιτῶνος τῆς ἀρτηρίας ποιότητα. φαίνεται δ᾽ οὖν ὁ τοιοῦτος σφυγμὸς ἐπὶ φλεγμοναῖς

diaſtole occurrent, ſi eo quo dictum eſt modo digitos injicias; alterum in quantitate longitudinis, latitudinis et profunditatis, alterum in percuſſionis tenore. Vocarique tibi licet eum qui fortiter tactum percutit quocunque voles nomine; nam ſi et fortem et vehementem, et tenore praeditum et robuſtum nomines, nihil artis opera laeſeris, vocamus autem et nos ipſum vehementem pulſum, ſuperiores ſecuti: etſi potiſſimum vehementiae notio ex fortitudine et celeritate eſt compoſita. Sed quoniam recta praecognitio non et nominum, ſed ex rerum exquiſita cognitione fit; nominibus quidem unusquisque ut velit utatur, in rerum autem ſcientiam ſtudium adhibeat. Quemadmodum autem vehemens pulſus ſemper robur indicat facultatis, ita durus vel tenſam eſſe arteriam, vel duram evaſiſſe; niſi forte quis dicat, et quod tenſum eſt corpus, ex eo quod tenſum ſit, durum evaſiſſe; ita enim durus pulſus ſemper indicabit qualitatem, quae in conſtitutione arteriae tunicae eſt. Apparet igitur talis pulſus ex phlegmonis,

Ed. Chart. VIII. [319.]

ἢ ἐμφράξεσιν ἢ πληρώσεσιν ἢ τάσεσι τῶν νευρωδῶν μορίων, ἢ ἐπὶ σκίῤῥοις οὐ μόνον τῶν νευρωδῶν, ἀλλὰ καὶ τῶν ἄλλων, ἐὰν ᾖ κύρια. καὶ γὰρ ἧπαρ καὶ γαστὴρ καὶ σπλὴν καὶ μήτρα τοιοῦτον ἐργάζονται τὸν σφυγμὸν, ὅταν σκιῤῥωθῶσι. γίνεται δὲ καὶ διὰ ψύξιν ἰσχυρὰν καὶ ξηρότητα, καὶ ὅταν γέ σοι κατὰ πρώτην εἴσοδον ὁ σφυγμὸς φανῇ τὸ μαλακὸν οὐκ ἔχων τῆς προσβολῆς τοιοῦτον ὁποῖον ἐν τῷ κατὰ φύσιν ἔχει, τῶν εἰρημένων τι παθῶν ἐννόει κατὰ τὸν ἄνθρωπον εἶναι. διακρινεῖς δὲ τί ποτ᾽ ἐστὶν ἔκ τε τῶν ἄλλων συμπτωμάτων καὶ τῶν προηγησαμένων αἰτίων, οἷον εἰ ψυχρὸν πόμα παρὰ τὸ ἔθος, ἢ ἐν ὕδατι ψυχρῷ διατριβὴ πολυχρόνιος, ἢ ἐν ἀέρι τοιούτῳ, καὶ μάλιστα μὴ προηραιωμένου τοῦ σώματος. ἀλλὰ καὶ δοῦλόν τις πλήξας τῇ χειρὶ, καὶ θλάσας τοῦ μέσου δακτύλου τὸν κατὰ τὸ πρῶτον ἄρθρον τένοντα, κατὰ συντυχίαν ἑτέρων αἰτίων ἐπύρεξεν. εὑρὼν δ᾽ ἐγὼ τὸν σφυγμὸν αὐτοῦ σαφῶς ἐνδεικνύμενον τετάσθαι τὴν ἀρτηρίαν, ἰδὼν δὲ καὶ τὴν χεῖρα περιβεβλημένην ἐρίῳ, τί ποτ᾽ ἐστὶ κατ᾽ αὐτὴν ἠρόμην.

vel obſtructionibus, vel repletionibus, vel tenſionibus nervoſarum partium, vel ex ſcirrhis, non ſolum nervoſarum partium, ſed et aliarum, ſi principes ſint; etenim jecur et ventriculus et lien et uterus talem efficiunt pulſum, ubi ſcirrhum contraxerunt; fit etiam et propter validam refrigerationem et ſiccitatem. Et ubi ſane tibi in primo ingreſſu pulſus videatur talem occurſus mollitiem non habere, qualem, dum ſecundum naturam eſt, habet, aliquam ex praedictis affectibus in homine eſſe exiſtima. Discernes autem quinam ſit tum ex aliis ſymptomatibus tum ex cauſis quae praeceſſerunt, qualis eſt frigidus potus praeter conſuetudinem, vel diuturna in aqua frigida mora, vel in aëre tali, ac praeſertim non prius marefacto corpore. Sed et quidam, ubi ſervum manu percuſſiſſet, ac medii digiti tendonem, qui ad primum articulum eſt, contudiſſet, ex aliarum cauſarum concurſu febricitavit; ego vero, ubi ejus pulſum aperte indicare tenſam eſſe arteriam inveniſſem, manumque lana circumvolutam conſpexiſſem, quidnam

Ed. Chart. VIII. [319. 320.]

ὁ δὲ οὐδὲν ἔφη πρᾶγμα κατά γε τοῦθ᾽ ὑπάρχειν αὐτῷ· πληγεὶς γὰρ ἐκ τοῦ πατάξαι τινὰ, κηρώτιον ἐπιτεθεικέναι σύνηθες αὐτῷ. ἐγὼ μὲν οὖν οὐδεμίαν ἑτέραν αἰτίαν εὑρίσκων τῆς κατὰ τὸν σφυγμὸν τάσεως, ἐκέλευον ὑπαλλάξαι τὴν θεραπείαν τοῦ δακτύλου, καὶ χρῆσθαι τῇ πρὸς τὰ τοιαῦτα πάθη τῶν νεύρων ἀγωγῇ. καταφρονήσας δέ μου τῆς συμβουλῆς ὁ ἄνθρωπος ἐσπάσθη διὰ τῆς ἐπιούσης νυκτός. καὶ πλευριτικοῖς τε καὶ φρενιτικοῖς καὶ ὅσοις αἱ φρένες φλεγμαίνουσι σκληρὸς ὁ σφυγμὸς φαίνεται, τετάσθαι τὴν ἀρτηρίαν ἐνδεικνύμενος. ὥσθ᾽ ὅταν ἀμφίβολος ᾖ τῶν παθῶν τούτων ἡ διάγνωσις ἔτ᾽ ἀρχομένων, οὐ σμικρὰν ἕξεις μοῖραν ἐπὶ διάγνωσιν αὐτῶν ἐκ τῶν τοιούτων σφυγμῶν. εἰ δὲ πρὸς ἤδη νοσοῦντα χρονίως παραγένοιο νῦν πρῶτον εἰσαχθεὶς, ἐὰν ὁ σφυγμὸς αὐτοῦ φαίνοιτό σοι σκληρὸς, ἐπισκέπτου σκιῤῥουμένην ἤδη φλεγμονὴν σπληνός. ἐνδείξεται δ᾽ αὐτὴν καὶ ἡ χροιὰ τοῦ προσώπου, καθάπερ γε κἂν ἧπαρ ᾖ τι τοιοῦτον πεπονθὸς, ἴδιον γὰρ ἐφ᾽ ἑκατέρων τῶν σπλάγχνων γίνεται τὸ χρῶμα, τῷ τετριμμένῳ σαφῶς ἐνδεικνύμενον, ὃ πρότερον πέπονθεν.

esset in ipsa, interrogavi; ipse vero nullam dixit rem in hoc ipsi inesse; percussus enim ex eo, quod quendam feriisset, ceratum sibi familiare imposuisse. Ego igitur nullam aliam causam inveniens tensionis ipsius pulsus, jussi ut curationem digiti immutaret, atque ea quae ad tales nervorum affectus convenit uteretur; at vir ille, neglecto meo consilio, nocte sequenti convulsus est. Phreniticis quoque et pleuriticis quibus septum transversum phlegmone laborat, durus pulsus apparet, tensam esse arteriam indicans, quare ubi ambigna sit horum affectuum adhuc incipientium dignotio, non parvam ex talibus pulsibus proportionem ad eos dignoscendos habebis. Si vero ad diutius jam aegrotan[320]tem accedas, tum primum introductus es, si pulsus ipsius durus tibi videatur, observa lienis phlegmonem scirrhum jam contrahere; indicabit autem ipsam et color faciei, sicuti si et jecur aliquo tali morbo sit affectum, proprius enim ex utrisque visceribus gignitur color, qui homini in arte versato aperte indicat, utrum eorum affectum sit.

Ed. Chart. VIII. [320.]

ἀλλ᾽ οὐ νῦν ὁ περὶ τούτου λόγος· ὅσα γὰρ ἐκ σφυγμοῦ εἰς πρόγνωσίν ἐστι χρήσιμα, ταῦτα νῦν ἡμῖν πρόκειται διελθεῖν. ἐὰν οὖν ἴδῃς οὐ προτεθεαμένος τὸν ἄῤῥωστον ἐν πυρετώδει νοσήματι καθεστῶτα, χωρὶς τοῦ πεπονθέναι τὴν ἄνωθεν ἀρχὴν, ἐπανελθόντος δὲ ὁ σφυγμὸς φαίνηται σκληρὸς, ἢ ὕδωρ ψυχρὸν οὗτος ἔπιεν ἢ ὀπώραν ψύχουσαν ἐν τῷ μεταξὺ χωρισθέντος σου προσηνέγκατο. ταυτὶ μὲν οὖν ἴσθι γενόμενα. σφοδρὸν δὲ ὅταν εὑρίσκῃς ὁμαλόν τε καὶ μέγαν σφυγμὸν, ἅμα τῷ κατὰ φύσιν ἔχειν τὸν χιτῶνα τῆς ἀρτηρίας, μέγιστον τοῦτο σημεῖον εἰς σωτηρίαν τοῦ κάμνοντος ἔστω. τὸ γάρ τοι τοῦ τάχους ἢ τῆς βραδυτῆτος ἐπὶ τῶν οὕτως ἐχόντων οὐδὲν μέγα νῦν ἐνδείξεται πρὸς σωτηρίαν ἢ θάνατον· ἀλλὰ τὸ μὲν τάχος ἐπὶ θερμασίᾳ μείζονι γιγνόμενον εὕρῃς, τὴν βραδυτῆτα δὲ ἐπὶ ψύξει. ταυτὶ μὲν οὖν ἐν πυρετώδει νοσήματι κατὰ τὸν εἰρημένον σφυγμὸν οὐχ οἷόν τε γενέσθαι. τὸ τάχος δὲ συνεχέστατα γίνεται, καὶ τὰ πολλὰ δὲ ἐν τοῖς ἀκινδυνοτάτοις πυρετοῖς, ὧν εἰσὶ καὶ οἱ γνήσιοι τριταῖοι. μεγάλοι γάρ εἰσιν ἐπ᾽

Sed in praesenti non est de hoc sermo. Quaecunque enim ex pulsu ad praecognitionem sunt utilia, haec nunc percurrere nobis est propositum. Si igitur laborantem invisas non prius a te visum, qui in febrili morbo constitutus sit, sine superioris principii affectu, quum autem redieris, pulsus appareat durus, hic certe, dum tu abfuisti, aquam frigidam potavit, vel autumnalem aliquem fructum refrigerantem ingessit. Atque haec quidem fieri solere scito. Vehementem vero quum invenias et aequalem et magnum pulsum, simulque arteriae tunicam secundum naturam habere, maximum hoc signum ad laborantis salutem sit. Nam celeritas, vel tarditas in iis, qui ita habent, nihil effatu dignum nunc indicabit ad salutem, vel mortem. Verum celeritatem quidem ex caliditate majore fieri comperies, tarditatem ex refrigeratione. Atque haec quidem per febrilem morbum in praedicto pulsu fieri non possunt. Celeritas autem frequentissime fit, ac magna ex parte in febribus periculo prorsus vacantibus, ex quibus sunt et legitimae tertianae; magni enim sunt in his pulsus et cele-

Ed. Chart. VIII. [320.]

αὐτῶν οἱ σφυγμοὶ καὶ ταχεῖς κατὰ τὴν ἀκμὴν τῶν παροξυσμῶν, γίνεται δὲ διὰ τὸ πλῆθος τῆς θερμασίας. εἴρηται δὲ ἐν τοῖς περὶ διαγνώσεως σφυγμῶν κατὰ τὸ τρίτον καὶ τοῦ δευτέρου τὰ πρῶτα περὶ τῆς τοῦ τάχους διαγνώσεως, ἐπιδεικνύντος μου σφαλλομένους τοὺς ἄνευ τοῦ συνεπιβλέπειν τὸ μέγεθος τῆς διαστολῆς ἐκ τοῦ χρόνου μόνου τῆς κινήσεως ἀποφαινομένους τι περὶ βραδυτῆτος ἢ τάχους σφυγμῶν· οὐ γὰρ ἁπλῶς ὁ ἐν ἐλάττονι χρόνῳ διαστελλομένης τῆς ἀρτηρίας γινόμενος σφυγμὸς ὠκύτερός ἐστι τοῦ πλέονι χρόνῳ διαστελλομένης ἀποτελουμένου· δυνατὸν γὰρ ἐν βραχυτάτῃ διαστολῇ, καίτοι μὴ ταχέως κινουμένης τῆς ἀρτηρίας, ὀλιγοχρόνιον γενέσθαι τὸν σφυγμόν· ὥσπερ αὖ πάλιν ἐν μεγίστῃ μὲν, ἀλλὰ κινουμένης ταχέως, πολυχρόνιον. ἄμεινον οὖν ἔφην εἶναι τῷ ῥοίζῳ τῆς κινήσεως προσέχειν, οὐ ποσότητι χρόνου τῆς ὅλης διαστολῆς. ὁ μὲν οὖν ταχὺς ἐπὶ πλήθει γίνεται θερμασίας, ἐῤῥωμένης δηλονότι τῆς δυνάμεως, ὁ δὲ βραδὺς ἐπὶ ψύξει· καὶ ὅταν γε βραδὺς ἅμα καὶ σμικρὸς καὶ ἄτονος ὁ σφυγμὸς ᾖ, πλησίον ἥκουσι θανάτου· μέμνησο δ' ἐν πᾶσι τοῖς οὕτω λεγομένοις

res in paroxyſmorum vigore, hocque fit ob caliditatis copiam. Dictum autem eſt in tertio de dignotione pulſuum et in primis partibus ſecundi de celeritatis dignotione; ubi oſtendo eos errare qui diaſtoles magnitudinem non conſiderantes, ex ſolo motionis tempore aliquid de tarditate, vel celeritate pulſuum pronuntiant, non enim abſolute pulſus, qui fit dum in minori tempore arteria dilatatur, eo ocyor eſt qui efficitur dum in majori tempore arteria dilatatur; fieri enim poteſt ut in breviſſima diaſtole licet non celeriter moveatur arteria, brevis temporis fiat pulſus; ſicuti rurſus in maxima quidem diaſtole, ſed celeriter arteria ſe movente, multi temporis. Satius igitur dixi eſſe ut motionis impetum, non quantitatem temporis totius diaſtoles adtendamus. Ac celer quidem ex caliditatis copia fit, valida nimirum exiſtente facultate, tardus autem ex refrigeratione. Et ubi ſane tardus ſimul et parvus et tenoris vacuus pulſus ſit, prope ad mortem veniunt. At in omnibus quae ita dicuntur, memento ejus differentiae quae

Ed. Chart. VIII. [320.]
τῆς κατὰ τὰς ἡλικίας διαφορᾶς· οὐ γὰρ μόνον φλεβοπαλία παιδικὴ γέροντι κακὸν, ἀλλὰ γεροντικὴ παιδί. δέκα γοῦν χρόνων τῶν πρώτων, ὡς Ἡρόφιλος ἐμέτρει τοὺς σφυγμοὺς, εἰ παιδίῳ γεννηθείη ποτὲ τὸ μεταξὺ δύο πληγῶν διάστημα, ψύξεως ἐσχάτης καὶ διὰ τοῦτο καὶ νεκρώσεώς ἐστι σημεῖον· ὥσπερεὶ γέροντι πάλιν παιδίων σφυγμὸς, ἐν ᾧ τῆς διαστολῆς ὁ χρόνος ἴσος ἐστὶ τῷ τῆς συστολῆς, ἐκπεπυρῶσθαι σημαίνει τὴν φύσιν. ἀλλὰ τοῦτο μὲν οὐδ᾽ εἶδον ποτὲ, παιδίῳ δὲ πολλάκις ὁ τοιοῦτος ὤφθη σφυγμός. ὅ γε μὴν τοῦ γέροντος ὅταν οὕτω γένηται ταχὺς, ὡς τὸν μεταξὺ τῶν δυοῖν πληγῶν χρόνον διπλάσιον εἶναι τοῦ τῆς πληγῆς, ἔστι μὲν οὖν καὶ τοῦτο σπάνιον, ἀλλ᾽ οὐ προσωτέρω γ᾽ ἔτι προέρχεται· φθάνει γὰρ ἀποθνήσκειν. εἰς τοῦτο δ᾽ ἀφικνούμενος, εἰς τὸν ἴδιον μὲν ἔρχεται τῆς τοῦ κάμνοντος ἡλικίας σφυγμὸν, ἐφεξῆς δὲ ἐπὶ τὸν ἀραιότερον. ἔνθα τις καὶ ἀπάτη γίνεται τοῖς ἀγυμνάστοις περὶ τοὺς σφυγμούς. ὅταν ὑπὸ θερμασίας παμπόλλης εἰς τάχος ἄμετρον ὡς πρὸς τὴν ἡλικίαν ὁ σφυγμὸς ἀφίκηται,

in aetatibus eſt. Non enim ſolum puerilis venarum ſaltus ſeni malus eſt, ſed etiam ſenilis puero. Decem igitur temporum, quemadmodum Herophilus metiebatur ipſos pulſus, ſi puerulo fiat aliquando ſpatium illud, quod inter duas eſt percuſſiones, refrigerationis extremae, et ob id etiam extinctionis eſt ſignum; ſicuti rurſus, ſi ſeni puerulorum pulſus, in quo tempus diaſtoles tempori ſyſtoles eſt aequale, accenſam eſſe naturam ſignificat. Sed hoc certe nunquam vidi. In puerulo autem ſaepe talis viſus eſt pulſus. Sane ſenis pulſus, ubi ita celer fiat, ut tempus quod inter duas eſt percuſſiones decuplo ſit majus tempore percuſſionis, eſt quidem et hoc rarum. Verum non ulterius adhuc procedit; prius enim moritur; ad hoc autem perveniens, ad eum quidem pulſum accedit qui aetatis laborantis proprius eſt, deinceps autem ad rariorem. Quo in loco quaedam etiam deceptio oritur iis qui circa pulſus non ſunt exercitati. Quando a caliditate permulta in celeritatem immoderatam, quatenus ad aetatem ſpectat, pulſus

Ed. Chart. VIII. [320.]
ξηρανθείσης ἐν τῇ τοιαύτῃ διαθέσει τῆς καρδίας εἰς τοσοῦτον ὡς καὶ θανατώδη δυσκρασίαν ἔχειν, ἀναγκαῖόν ἐστι τὴν θερμασίαν ταύτην ἐναποσβεσθῆναι τῇ κατὰ φύσιν· εἰκότως οὖν ἐν τούτῳ τῷ καιρῷ βραδύτερος ὁ σφυγμὸς γίνεται, καί τις, ὡς ἔφην, δόξει πρὸς τὸ κατὰ φύσιν αὐτὸν ἐπανέρχεσθαι, καίτοι γε ὁδοιποροῦντα πρὸς νεκρώδη ψύξιν, οὐ γεροντικὴν κρᾶσιν. ὅ γε μὴν διορισμὸς τῶν τε πρὸς τὸ κατὰ φύσιν ἐπανερχομένων σφυγμῶν καὶ τῶν ἐπὶ θάνατον ἰόντων οὐ χαλεπός. ἀμυδρότερος γὰρ τοῦ ἔμπροσθεν ἀεὶ καὶ μᾶλλον τῶν ὀλεθρίως ἐχόντων ἀποτελεῖται σφυγμός. καὶ τούτῳ μάλιστα πρόσεχε τῷ γνωρίσματι κατὰ τὰς ἀμφιβόλους ἁπάσας διαθέσεις, μὴ τρεῖς ἢ τέτταρας μόνας διαστολὰς τῆς ἀρτηρίας σκοπούμενος, ἀλλ' ὅταν ἐν τοσαύταις ἀμυδρὸς ᾖ, περιμένων ἑτέρας. ὁρᾶται γὰρ ἔσθ' ὅτε ὁ πέμπτος ἢ ὁ ϛʹ ἐπ' αὐταῖς εὔτονος· ὅπερ ὅταν εὑρήσεις, γίνωσκε τὴν δύναμιν οὐ κατὰ τὸν ἑαυτῆς λόγον ἀῤῥωστοῦσαν, ἀλλ' ὑπὸ πλήθους ἢ ἐμφράξεως ἢ θλίψεως ἤ τινος ὅλως στενοχωρίας ἢ βάρους κωλυομένην εὐῤῥώστως κινεῖ-

pervenerit, corde in tali affectione adeo exiccato, ut et lethalem intemperiem habeat, necesse est hanc ipsam caliditatem extingui una cum ea quae secundum naturam est. Jure ergo hoc tempore tardior ipse pulsus fit. Ac aliquis, ut dicebam, opinabitur ipsum ad naturalem statum redire; quamvis ad mortiferam refrigerationem iter habeat, non ad senilem temperaturam. At certe distinguere pulsus qui ad naturalem statum redeunt ab iis qui ad interitum tendunt haud difficile est, languidior enim priore semper magis ac magis efficitur pulsus eorum qui perniciose se habent. Et huic praecipue notae mentem adhibe in ambiguis omnibus affectionibus, non tres, aut quatuor solas arteriae diastolas considerans, sed ubi in tot diastolis languidus fuerit, alias expectans, conspicitur enim interdum quintus vel sextus post ipsas tenore praeditus, quod quum inveneris, scito facultatem non ex sua ipsius ratione infirmam esse, sed a multitudine, vel obstructione, vel compressione, vel aliqua omnino angustia, vel gravitate prohiberi ne valide movea-

Ed. Chart. VIII. [520.]

σθαι, παραπλησίως τοῖς ἰσχυροῖς ἀνθρώποις, ἐπειδὰν ἤτοι γ' ἐμποδίζωνται διὰ δεσμῶν ἢ ὑπὸ μεγέθους φορτίου βαρύνωνται. καὶ ὅταν γε τὴν μίαν ἐκείνην διαστολὴν εὔτονόν τε καὶ ὑψηλὴν ποιῆται, γίγνωσκε τηνικαῦτα πρὸς τὴν τῶν λυπούντων ἔκκρισιν ἐπεγειρομένην τὴν φύσιν. ἐὰν μὲν οὖν ἱκανῶς ἰσχυρὸς ὁ ε' ἢ στ' παρεμπίπτῃ σφυγμὸς ἅμα τοῖς διὰ τῶν οὔρων φαινομένοις τῆς πέψεως σημείοις, ἐγχωρεῖ σωθῆναι τὸν ἄνθρωπον· ἐὰν δὲ χωρὶς πέψεως ἐπὶ τὴν ἔκκρισιν ἡ φύσις ἐξορμήσῃ, τεθνήξεται κρινόμενος. ἐν περιπνευμονίαις δὲ μάλιστα τοιοῦτοι φαίνονται σφυγμοί· λέγω δ' οὐ τὴν κατὰ σφοδρότητα καὶ ἀμυδρότητα μόνην ἀνωμαλίαν, ἀλλὰ καὶ τὴν κατὰ μέγεθος καὶ μικρότητα καὶ τάχος καὶ βραδυτῆτα. καὶ χρὴ διδόναι πλέον ὀξιμέλιτος αὐτοῖς, ὀξυτέρου τὴν κρᾶσιν, ἅμα τοῖς ἄλλοις ὅσα χωρὶς τοῦ τὸν πυρετὸν ἐξάπτειν τέμνει τάχος χυμῶν. ὑπὸ τοιούτων γὰρ αἱ πλησίον τῆς καρδίας ἀρτηρίαι φραττόμεναι τοὺς ἀνωμάλους ἐργάζονται σφυγμοὺς, οὐ μόνον τὴν συστατικὴν ἀνωμαλίαν, ἀλλὰ καὶ κατὰ μίαν

tur, quemadmodum accidit fortibus hominibus, ubi vel a vinculis impediantur, vel ab oneris magnitudine graventur. Et ubi unam illam diastolen tum tenore praeditam tum altam faciat, scito tunc naturam ad noxiorum humorum excretionem excitari. Quum ergo satis fortis quintus vel sextus intercurrat pulsus, una cum signis concoctionis per urinas apparentibus, poterit servari homo, si vero sine concoctione natura ad excretionem impetum fecerit, morietur dum judicatur. In peripneumoniis autem praecipue tales videntur pulsus, dico sane non secundum eam solum inaequalitatem quae in vehementia et languore, sed et secundam eam quae in magnitudine et parvitate, celeritate et tarditate conspicitur. Dandumque est ipsis multum oximelitis, quod acidiori sit temperamento, una cum aliis, quaecunque febrem minime accendendo crassitudinem humorum incidunt. Quum enim arteriae, quae cordi vicinae sunt, ab hujusmodi humoribus obstruantur, pulsus efficiunt inaequales, non ea solum inaequalitate quam systema-

Ed. Chart. VIII. [520.]

διαστολὴν, ὑπὲρ ἧς εἴρηται μὲν ἤδη καὶ πρόσθεν, ἀλλὰ καὶ νῦν ἀναμνήσομεν ὑμᾶς αὐτούς, ὡς περὶ τῶν ἐν εἰσβολαῖς πυρεκτικῶν παροξυσμῶν καὶ ἀναβάσεσι συνεδρευόντων σφυγμῶν ὄντος ἡμῖν τοῦ λόγου, καὶ τῶν ἀνωμαλιῶν ἐμνημονεύσαμεν, ὅσαι γίνονται πολλάκις ἐν τοῖς τοιούτοις καιροῖς κατὰ μέγεθος καὶ μικρότητα καὶ τάχος καὶ βραδυτῆτα καὶ σφοδρότητα καὶ ἀμυδρότητα.

Κεφ. κβʹ. Ἡ δὲ διὰ τὸν χιτῶνα τῆς ἀρτηρίας διαφορὰ σφυγμῶν, καθ᾽ ἣν ὅ τε μαλακὸς καὶ ὁ σκληρὸς εὑρίσκονται, κατ᾽ οὐδέτερον τῆς ἀνωμαλίας φαίνεται. λέγω δὲ οὐδέτερον, τό τε ἐν ἀθροίσματι πολλῶν ἐφεξῆς σφυγμῶν καὶ τὸ καθ᾽ ἕνα μόνον. ὅμως γε μὴν διὰ τὸν χιτῶνα σκληρυνθέντα γίνεταί τις ἀνωμαλία κατὰ διαφέροντα μόρια τῆς ἀρτηρίας, ὅταν ἥ τε χρεία τῆς γενέσεως τῶν σφυγμῶν ἐπείγῃ καὶ ἡ δύναμις εὔρωστος ᾖ. βιαζομένης μὲν γὰρ αὐτῆς διαστέλλειν τὸν χιτῶνα τῆς ἀρτηρίας ὄντα σκληρὸν, ὁ κλονώδης ἀποτελεῖται σφυγμός.

ticam collectivam vocant, ſed ea etiam quae in una eſt diaſtole, de qua dictum quidem jam et ſupra eſt, ſed et nunc quoque vobis ipſius mentionem faciemus, ſicuti ſane, dum ſermo nobis erat de pulſibus qui invaſionibus ſebrilium paroxyſmorum et incrementis aſſident, mentionem etiam earum inaequalitatum fecimus quaecunque ſaepenumero in talibus temporibus fiunt ſecundum magnitudinem et parvitatem, celeritatem et tarditatem, vehementiam et languorem.

Cap. XXII. Differentia autem pulſuum propter arteriae tunicam eveniens, ſecundum quam mollis et durus pulſus inveniuntur, in neutro genere inaequalitatis apparet. Dico autem neutrum, tum id quod in collectione multorum deinceps pulſuum conſpicitur tum id quod in uno ſolum pulſu, verumtamen propter tunicam induratam fit quaedam inaequalitas in diverſis arteriae partibus, quando tum uſus generationis pulſuum urgeat tum facultas robuſta ſit. Dum enim ipſa cogitur dilatare arteriae tunicam, quae dura ſit,

Ed. Chart. VIII. [320. 321.]

ὁ δ' αὐτὸς οὗτος γίνεταί ποτε καὶ δίκροτος, ὅταν τὸ φαινόμενον μέρος τῆς ἀρτηρίας, ἅτε μὴ βαρυνόμενον ὑπὸ τῶν ἐπικειμένων σωμάτων, εἰς ὕψος ἀρθῇ πρότερον, ὑπὸ δὲ τῶν ἑκατέρωθεν αὐτοῦ βραδυνόντων περὶ τὴν ὁδὸν ἐκείνων ἀντισπασθῇ πάλιν εἴσω διὰ τὴν σκληρότητα τοῦ χιτῶνος, εἶτ' αὖθις συνανενεχθῇ. διὸ καὶ μάλιστα φαίνεται γινόμενος ὁ τοιοῦτος σφυγμὸς ἐφ' ὧν τὸ μῆκος συνῄρηται· μακροῦ δ' ὄντος αὐτοῦ δίκροτος ὁ σφυγμὸς οὐδέποτε ὤφθη, καθάπερ οὐδ' ὁ κλονώδης βραχέος. ὁ γάρ τοι κλονώδης ἔοικε τῇ τῶν ἀκοντίων καὶ ῥάβδων φορᾷ, κατὰ τὰ σμικρὰ μόρια τῆς ἀρτηρίας οὕτως κινουμένων. κλονώδης δ' ὑποπίπτει σφυγμὸς ἤτοι τοῖς τέτταρσι δακτύλοις ἢ πάντως γε τοῖς τρισίν· ὅταν δὲ εἷς ἢ δύο μόνον αἰσθάνωνται δάκτυλοι τῆς κινήσεως, ἡ τῶν ἑκατέρωθεν μερῶν τῆς ἀρτηρίας ἀνωμαλία λανθάνει· πρὸς τούτῳ δὲ καὶ τὸ μηδ' ἀντισπᾶσθαι τὸ φθάσαν ἀναφέρεσθαι μέρος ὑπὸ τῶν βαρυνόντων συμβαίνει. πάντα γὰρ ὁμοίως ἔκκειται, πάνθ' ὁμοίως ἠλευθέρωται τοῦ βάρους τῶν ἐπικει-

vibratus efficitur pulsus, hic autem ipse fit quandoque etiam [321] dicrotus, quando ea arteriae pars quae apparet, quippe quae ab incumbentibus corporibus non gravetur, in altitudinem elevata prius fuerit, ab iis autem, quae ab utroque ipsius latere sitae sunt, in itinere tardantibus, retrahatur rursus intro propter tunicae duritiem, postea rursus simul elevetur. Ideoque in iis praecipue fieri conspicitur tales pulsus in quibus prolixitas contracta est, quum vero longa ipsa est, dicrotus pulsus nunquam visus est; quemadmodum neque vibratus, ubi brevis ipsa est. Etenim vibratus similis est jaculorum et virgarum vibratui, quum per exiguas particulas arteria ita movetur, subjicitur autem pulsus vibratus, vel quatuor digitis, vel omnino tribus; quando autem unus, vel duo tantum digiti motionem sentiunt, tunc inaequalitas partium arteriae, quae utrinque sunt, latet; praeter hoc etiam evenit ut pars quae prius attollebatur, a gravantibus non revellatur; omnes enim simili modo liberatae sunt a gravitate incum-

Ed. Chart. VIII. [321.]

μένων σωμάτων. ὥτε οὖν ἐνδεικνύμενος ὁ σφυγμὸς οὗτος καὶ ῥώμην δυνάμεως καὶ πλῆθος θερμασίας, εἰκότως ἐνίοτε κρίσιν ἐσομένην ἀγγέλλει· καὶ ὅσῳ γ' ἂν μᾶλλον ᾖ κλονώδης, τοσούτῳ μᾶλλον ἔλπιζε τὴν κρίσιν· πότερον δ' ἀγαθὴν ἢ κακὴν, ἀεὶ γὰρ τούτου μέμνησο, διὰ δὲ τῆς περὶ κρίσεων πραγματείας μαθήσῃ. κυριώτατον δ' ἐν αὐτοῖς ἐστιν ἡ πέψις τῶν νοσοποιῶν χυμῶν, ἔν γε τοῖς πυρετώδεσι νοσήμασι· καὶ γὰρ καὶ τούτου μέμνησο διαπαντὸς, ὡς εἰς τὰ τῆς ἄνωθεν ἀρχῆς νοσήματα πέψις τῶν κατὰ τὰς φλέβας χυμῶν οὐδὲν μέγα συμβάλλεται. τὸν μὴν ἐπ' ἐκείνοις κίνδυνον ὅπως χρὴ προγινώσκειν, ἔν τε τοῖς εἰς τὸ προγνωστικὸν ὑπομνήμασιν ἔχεις κἀν τοῖς περὶ κρίσεων εἰρημένοις. ἐκ σφυγμῶν δὲ τοσοῦτον εἰς τὴν ἐκείνων τῶν νοσημάτων διάγνωσίν τε καὶ πρόγνωσιν ὄφελος, ὅσον ἐκ σκληροῦ καὶ μαλακοῦ λαβεῖν ἐστι, καὶ λέλεκταί μοι πρόσθεν ὑπὲρ αὐτῶν· ἔστι δέ τις τῷ κλονώδει σφυγμῷ κατὰ μὲν τὴν ἐν διαφέρουσι μορίοις ἀνωμαλίαν ὁμοιότατος, ἐναντίος δὲ κατὰ τὴν τοῦ χιτῶνος ποιότητα.

bentium corporum. Quum ergo hic pulsus et robur facultatis et copiam caliditatis indicet, jure aliquando crisim futuram nuntiat; et quo magis utique fuerit vibratus eo etiam magis crisim sperato; utrum autem bonam, vel malam, semper enim hujus esto memor, ex tractatione de crisibus addisces. Principalissimum autem in ipsis est concoctio morbificorum humorum in febrilibus morbis; etenim et hujus etiam perpetuo esto memor, quandoquidem ad superioris principii morbos concoctio humorum qui sunt in venis non magnopere conducit. Periculum sane quod ex ipsis imminet, quomodo praecognoscere oporteat, tum in commentariis in prognosticum tum in iis quos de crisibus scripsimus, habes. Ex pulsibus autem tantum utilitatis ad eorum morborum tum dignotionem tum praecognitionem, quantum ex duro et molli capi potest dictumque a me superius de ipsis est. Est autem quidem vibrato pulsui, secundum quidem eam inaequalitatem quae in diversis particulis versatur, simillimus; contrarius autem secundum tunicae qualitatem; vibra-

Ed. Chart. VIII. [321.]

σκληρὸς μὲν γὰρ ὁ κλονώδης, οὐ σκληρὸς δ' ἐκεῖνός ἐστιν, ἀλλ' ἔτι καὶ τοῦ κατὰ φύσιν αὐτοῦ μαλακώτερος. ὀνομάζομεν δὲ αὐτὸν κυματώδη, διότι κύμασιν ἐοικυῖαν ἔχει τὴν ἀνωμαλίαν. φαίνεται δὲ ἐνίοτε μὲν εὔτονος μετρίως, ἐνίοτε δὲ τῶν εὐτόνων τε καὶ ἀσθενῶν μεταξύ. εἴρηται δὲ ὅτι τὸν εὔτονον σφυγμὸν σφοδρὸν ὀνομάζομεν, τοῖς ἔμπροσθεν ἑπόμενοι, ὥσπερ καὶ τὸν ἄτονον ἀμυδρόν. οὗτος οὖν ὁ σφυγμὸς ὁ κυματώδης ἱδρῶτα τὸ ἐπίπαν ἀγγέλλει, καὶ τοσούτῳ μᾶλλον, ὅσῳ περ ἂν ᾖ μαλακώτερος μὲν, οὐκ ἄτονος δέ. παρεμπίπτοντος δ' αὐτῷ τοῦ ὑψηλοῦ, βεβαιότατον ἕξεις ἱδρῶτος σημεῖον. ἀεὶ γὰρ οὗτος σημαίνει τινὰ ἔκκρισιν, μετὰ μὲν τοῦ κυματώδους ἢ ἁπλῶς μεγάλου, οὐ μὴν σκληροῦ, κρισίμων ἱδρώτων· μετὰ δὲ τοῦ κλονώδους ἢ ἁπλῶς σκληροῦ καταμηνίων μᾶλλον ἢ αἱμοῤῥαγίας ἐκ ῥινῶν, ἢ δι' αἱμοῤῥοΐδος, ἢ γαστρὸς ἐκταραχθείσης. ἥτις δὲ τῶν ἐκκρίσεων ἔσται μᾶλλον, ἐκ τῶν γεγραμμένων ἐν τοῖς περὶ κρίσεων διορίζου. ὅταν δὲ ὁ κυματώδης οὗτος σφυγμὸς ἀμυδρὸς ᾖ, σκωληκίζων γίνεται,

tus enim durus eſt, ille vero non durus, imo et eo etiam ipſo qui ſecundum naturam eſt mollior exiſtit; nominamus autem ipſum undoſum, propterea quod undis ſimilem habet inaequalitatem; apparet autem interdum quidem tenore praeditus moderate, interdum vero inter tenore praeditos et imbecillos medius. Dictum vero eſt quod tenore praeditum pulſum vehementem nominamus ſuperiores ſecuti, quemadmodum et tenoris vacuum languidum. Hic igitur pulſus, undoſus inquam, ſudorem ut plurimum nuntiat; ac tanto magis quanto mollior quidem fuerit, non tamen tenoris vacuus. Si vero ipſi intercurrat altus, firmiſſimum habetis ſignum ſudoris. Semper enim aliquam excretionem ſignificat; cum undoſo quidem, vel abſolute magno, non tamen duro, criticorum ſudorum; cum vibrato autem, vel abſolute duro, menſtruorum potius, vel eruptionis ſanguinis e naribus, vel per haemorrhoidas, vel alvo exturbata; quaenam vero excretionum futura ſit, ex iis quae in libris de criſibus ſcripta ſunt discerne. Quando autem undoſus hic pulſus languidus fuerit, vermiculans

Ed. Chart. VIII. [321.]
τὴν ὀνομασίαν εἰληφὼς ταύτην ἀπὸ τῆς κατὰ τὴν ... ὁμοιότητος τῆς πρὸς σκώληκα. τρεῖς γὰρ τούτους σφυγμοὺς οἱ πρὸ ἡμῶν παρωνόμασαν ζώοις, δορκαδίζοντα, σκωληκίζοντα καὶ μυρμηκίζοντα, διὰ τὸ τῆς κινήσεως ὅμοιον οὕτω θέμενοι τὰς προσηγορίας. ἀλλὰ περὶ μὲν τοῦ δορκαδίζοντος ἐν τῇ τελευτῇ τοῦ λόγου δεδήλωται· περὶ δὲ τοῦ σκωληκίζοντος ἄρτι λελέξεται, διότι μικρότερος μέν ἐστι τοῦ κυματώδους, ἀμυδρὸς δὲ ἀεὶ, καὶ διὰ τοῦτο μεταπίπτει ῥᾳδίως εἰς τὸν μυρμηκίζοντα, τελειοτάτην ἀῤῥωστίαν δυνάμεως ἐνδεικνύμενον, ὥσπερ γε καὶ ὁ κατὰ τὸ πρότερον μόριον τῆς ἀρτηρίας τὴν κίνησιν ἔχων προτέραν, φαινομένην ὡς θηριδίου διέρποντος· ἀλλὰ τούτῳ γ' οὐδὲν ἴδιον ἐξαίρετον ὄνομα τίθεται. γίνεται δ' οὖν καὶ αὐτὸς ἀσθενούσης τῆς δυνάμεως, καὶ εἰ μὴ φθάσει ῥωσθῆναι, μεταπίπτει ῥᾳδίως εἰς τὸν μυρμηκίζοντα, πάντων σφυγμῶν ἀμυδρότατον καὶ μικρὸν ὄντα, καὶ τοῦτο καὶ χείριστον, ὡς ἀῤῥωστίαν δυνάμεως οἰκείαν ἐνδεικνύμενον, οὐ διὰ πλῆθος βαρῦνον ἢ θλίψιν ἢ ἔμφραξιν. ἔστω δέ σοι μέγιστον γνώρισμα

sit, nomenclaturam hanc adeptus a similitudine quam cum gressu vermis habet. Tres enim hos pulsus superiores medici ab animalibus denominarunt, caprizantem, vermiculantem et formicantem, ob motionis similitudinem ita appellationem imponentes. Sed de caprizante quidem in fine sermonis ostendetur. De vermiculante autem mox dicetur, propterea quod minor quidem est undoso, languidus autem semper, et propter hoc facile transit in formicantem, vires summopere imbecillas esse indicantem; quemadmodum et ille qui in priori arteriae particula priorem motionem habet, quae tanquam bestiolae perreptantis esse videatur; verum huic nullum proprium ac peculiare nomen positum est; sit igitur ipse imbecilla existente facultate, ac nisi prius ea roboratur, transit facile in formicantem omnium pulsuum languidissimum et minimum, ideoque etiam pessimum; ut qui imbecillitatem facultatis propriam indicet, non ob copiam gravantem, vel compressionem, vel obstructionem. Illud autem tibi maximum indicium ad discernendum,

Ed. Chart. VIII. [521.]

πρὸς διορισμὸν δυνάμεως ὑπὸ θλίψεως ἢ ἐμφράξεως ἢ πλήθους ἀδυνατούσης ἐξαίρειν εἰς μέγεθος τὴν ἀρτηρίαν ἡ κατὰ τὴν ὁμαλότητα καὶ ἀνωμαλίαν διαφορά. διὰ μὲν γὰρ τὸν ἴδιον λόγον ἀῤῥωστούσης αὐτῆς, ὁμαλὸς ὁ σφυγμὸς διαμένων κατὰ πάσας ἐφεξῆς τὰς διαστολάς· ὑπ' ἄλλης δ' αἰτίας ἐμποδιζόμενος κινεῖσθαι τὴν κατὰ φύσιν κίνησιν, κίνησις ἀνώμαλος γίνεται. ὅ γε μὴν σκωληκίζων καὶ πολὺ μᾶλλον ὁ μυρμηκίζων οὐδ' ὤφθησάν ποτε τὴν συστηματικὴν ἀνωμαλίαν ἀνώμαλοι δι' οἰκείαν ἀῤῥωστίαν δυνάμεως γινόμενοι. καθάπερ γε καὶ ὁ φαντασίαν ἐκπέμπων θηριδίου διέρποντος· ὁποῖον ἐχρῆν διαφαίνεσθαι τὸν σφυγμὸν, εἰ τὸ παρὰ καρδίας ἐπιπεμπόμενον πνεῦμα, διὰ τῶν ἀρτηριῶν φερόμενον, αἴτιον ἐγίγνετο τῆς διαστολῆς. ἐδείχθη δὲ ὅτι δυνάμεως, οὐχ ὕλης πνευματικῆς, ἀπὸ τῆς καρδίας διάδοσις γίνεται τῶν χιτώνων τῶν ἀρτηριῶν· καὶ ταύτης ἅπασαι μεταλαμβάνουσαι παραπλησίως τῇ καρδίᾳ διαστέλλουσιν ἑαυτὰς, ἕλκουσαι πανταχόθεν ὅθεν ἂν δύνωνται τὸ πληρῶσον αὐτῶν τὴν διαστολήν. ὡς δὲ Ἐρασίστρατος ἔλεγεν, ὁ σφυγμὸς γίνεται φορᾷ τοῦ παρὰ καρδίας ἐπιπεμ-

quando facultas prae compressione, vel obstructione, vel copia non possit arteriam in magnitudinem elevare, ipsa scilicet secundum aequalitatem et inaequalitatem differentia, nam ubi ipsa ob propriam rationem infirma est, pulsus ipse aequalis permanet per omnes deinceps diastolas: ubi vero ab alia causa impeditur quin motu secundum naturam moveatur, motio inaequalis fit. Sane vermiculans et multo magis formicans nunquam visi sunt collectiva inaequalitate inaequales ob propriam imbecillitatem facultatis fieri, quemadmodum certe et qui imaginem refert bestiolae perreptantis; qualem pulsum apparere oportebat, si qui a corde immittitur spiritus, dum per arterias fertur, causa fuisset diastoles. Ostensum autem est facultatis, non materiae spirituosae a corde per arteriarum tunicas distributionem fieri, et hujus omnes dum participes fiunt, eodem modo quo cor se ipsas dilatare, trahentes undequaque, unde utique possint, quod ipsarum diastolen sit repleturum. Ut Erasistratus autem dicebat, pulsus fit, quum spiritus, qui a

Ed. Chart. VIII. [521.]

πομένου πνεύματος διὰ τῶν ἐν ταῖς ἀρτηρίαις κοιλοτήτων. ὄντων δὲ ζ καὶ κ' σφυγμῶν κατὰ τὸ ποσὸν τῆς διαστολῆς, εἷς ἐξ αὐτῶν, ὃς ἂν ἐλάχιστος ᾖ, μυρμηκίζων ὀνομάζεται. συμβέβηκε δ', ὡς ἔφην, αὐτῷ καὶ ἀμυδροτάτῳ πάντων εἶναι σφυγμῶν, καὶ δι' αὐτό γε τοῦτο καὶ μικροτάτῳ· καὶ διότι μικρότατός ἐστι, διὰ τοῦτο καὶ πυκνότατος γίνεται. τῆς γὰρ δυνάμεως ἀῤῥωστούσης ἐσχάτως, ἐλαχίστη κατὰ τὰς τρεῖς διαστάσεις ἡ διαστολὴ γίνεται, συναιρουμένου τοῦ μήκους καὶ πλάτους καὶ βάθους αὐτῆς εἰς ἐλάχιστον. εἴρηται δὲ ἡ αἰτία δι' ἣν ἐν τοῖς μικροῖς σφυγμοῖς τοὐπίπαν ἕπεται πυκνότης, ὡς διὰ τὸ κατά τε τὴν δύναμιν καὶ τὴν χρείαν τῶν ὀργάνων ἐλλιπές. ὥσπερ δὲ ἐν τῷ μᾶλλόν τε καὶ ἧττον οὐκ ὀλίγη ἡ διαφορὰ κατὰ τὸν μικρὸν γίνεται σφυγμὸν, οὕτως καὶ κατὰ τοὺς ἄλλους ἓξ καὶ κ', ὑπὲρ ὧν ὀλίγον ἔμπροσθεν εἰρήσεται.

Κεφ. κγ'. Νυνὶ δὲ προσθῶμεν τοὺς κατὰ μίαν διαστολὴν σφυγμοὺς, ἐν διαφέρουσι δὲ μορίοις τῆς ἀρτηρίας τὴν ἀνωμαλίαν ἔχοντας. ὧν εἰσι καὶ οἱ μύουροι καλούμενοι, κατὰ

corde imittitur per arteriarum cavitates fertur. Quum autem pulſus ſecundum diaſtoles quantitatem ſint ſeptem et viginti, unus ex ipſis, qui utique minimus ſit ſecundum tres dimenſiones, formicans nominatur; huic autem accidit ut et languidiſſimus omnium pulſuum ſit, ob idque ipſum minimus; et quia minimus eſt, idcirco etiam frequentiſſimus efficitur. Quum enim facultas extreme invalida ſit, minima ſecundum tres dimenſionem diaſtole fit, ipſius nimirum longitudine, latitudine et profunditate in minimum contractis. Dicta etiam eſt cauſa propter quam pulſus parvos ut plurimum crebritas comitetur, nimirum ob inſtrumentorum defectum, habita ratione ad facultatem et uſum. Quemadmodum autem in parvo pulſu non exigua ſecundum magis et minus exiſtit differentia, ita etiam et in aliis ſex et viginti, de quibus paulo inferius dicetur.

Cap. XXIII. Nunc autem addamus pulſus qui in una diaſtole, ſed in differentibus arteriae particulis inaequalitatem habent; inter quos ſunt et qui myuri vocantur, quaſi

Ed. Chart. VIII. [321, 322.]

μὲν τὸ πλησιέστερον τῆς καρδίας μέρος εἰς ὄγκον ἐξηρμένην τὴν διαστολὴν ποιούμενοι, κατὰ δὲ τὰ πόῤῥω μεμειωμένην· ὥστε τριῶν ἐπιβεβλημένων αὐτῇ δακτύλων, ὅσῳ τοῦ πρώτου δακτύλου κατὰ τὸν δεύτερον ἡ κίνησις ἐλάττων φαίνεται καὶ πλάτει και βάθει, τοσούτῳ τοῦδε κατὰ τὸν τρίτον, ἐκλυομένου δηλονότι τοῦ τόνου τῆς κινούσης τὴν ἀρτηρίαν δυνάμεως, ἣν ἡ καρδία χορηγεῖ ἁπάσαις αὐταῖς. ἐνίοτε δὲ παραπλησίως μὲν ὑποπίπτει τοῖς ἐπιβεβλημένοις δακτύλοις ὁ σφυγμὸς, ἀλλ' ἡ δευτέρα κίνησις τῆς πρώτης ἀμυδροτέρα φαίνεται, καὶ μετ' αὐτὴν ἡ τρίτη πάλιν ἀμυδροτέρα τῆς δευτέρας, εἶθ' ἑξῆς ἡ τετάρτη καὶ πέμπτη, καὶ πᾶσαι κατὰ τὸ ἑξῆς ἀφαιροῦσι μέχρις ἂν εἰς ἀκινησίαν ἀφίκωνται τελείαν ὡς πρὸς τὴν ἡμετέραν αἴσθησιν. εἶτ' ἀράντων τοὺς δακτύλους, καὶ βραχὺ διαλειπόντων ἐπιτιθέντων τε πάλιν, αἴσθησις γίνεται κινήσεως. ἐνίοτε δὲ καὶ χωρὶς τῆς ἄρσεως αὐτῶν ἐπανέρχεται πάλιν ἡ κίνησις, ὡς αἰσθητὴν γίγνεσθαι. συμβαίνει δὲ καὶ τὰ τοιαῦτα περὶ τοὺς σφυγμοὺς διὰ τὴν ἀῤῥωστίαν τῆς δυνάμεως, μὴ φερούσης αὐτῆς τὴν ἐπιβολὴν τῶν δακτύλων, ἀλλ' ὡς

muricandas dixeris; alii decurtatos interpretantur; in parte quidem quae cordi propinquior est diastolen in tumorem elevatam facientes, in longinquis autem imminutam, ita ut tribus injectis ipsi digitis, quanto primi digiti ad secundum motio minor apparet et latitudine et profunditate, tanto hujus ad tertium; nimirum quod tenor facultatis arteriam [322] moventis, quam cor universis ipsis suppeditat, exolvatur. Interdum autem similiter quidem occurrit injectis digitis pulsus; verum secunda motio languidior quam prima apparet, et post ipsam tertia rursus languidior quam secunda; dein quarta et quinta et universae consequentes detrahunt, quousque ad absolutam immobilitatem ut ad nostrum sensum pervenerint; deinde digitis sublatis parvaque intermissione facta iterum impositis, motio sensu percipitur. Interdum autem et non sublatis digitis redit iterum motio, ita ut sensilis fiat. Contingunt autem et talia circa pulsus ob facultatis infirmitatem, quae injectionem digitorum non ferat, sed tan-

Ed. Chart. VIII. [322.]

ὑπὸ φορτίου νικωμένης τε καὶ καταπιπτούσης. διὸ καὶ μετριώτατα προσήκει ψαύειν τηνικαῦτα, μᾶλλον ἐκ τῶν κάτω μερῶν τῆς ἀρτηρίας ἐπιβάλλων τοὺς δακτύλους, περιστρέφοντος τὴν χεῖρα τοῦ κάμνοντος. εἰ δ' αὖ πάλιν ἐπιπολῆς ἀκριβῶς ψαύοις, κατὰ θάτερον τρόπον οὐκ αἰσθήσῃ τῆς κινήσεως διὰ τὴν σμικρότητα τῆς διαστολῆς. ἀκριβῶς οὖν σε χρὴ τηνικαῦτα τῷ ποσῷ τῆς διαστολῆς, ὃ κατὰ τὴν ἐπιβολὴν τῶν δακτύλων ἐποιήσω· καὶ οὕτως ἐν μέρει ποτὲ μὲν ἀνιέναι καὶ κουφίζειν βραχὺ, ποτὲ δὲ θλίβειν, τῆς διαγνώσεως τῶν τοιούτων σφυγμῶν κατορθουμένης ἐν ἀκριβεῖ συμμετρίᾳ τῆς τῶν δακτύλων ἐπιβολῆς, διὰ τὸ τὴν μὲν ἐπιπολῆς ψαῦσιν οὐδέπω διαγινώσκειν τὴν διαστολὴν τῆς ἀρτηρίας, ὅταν ἐπὶ βραχὺ γίγνηται, τὴν δὲ ταύτης βιαιοτέραν ἀφανίζειν τε καὶ τελέως ἀπολλύναι τὴν διάγνωσιν τῆς κινήσεως. ἔνιοί γε μὴν τῶν τοιούτων σφυγμῶν, ὅταν ἀπόλλυνται μειωθείσης κατὰ βραχὺ τῆς διαστολῆς, αὖθις ἐπανέρχονται, καὶ καλοῦμεν αὐτοὺς μυούρους παλινδρομοῦντας. ἂν μὲν οὖν εἰς ἐσχάτην βραχύτητα κινήσεως ἀφικόμενοι πάλιν αὐξήσωσιν αὐτὴν, αὐτὸ

quam ab onere et vincatur et concidat. Quapropter et modestissime tunc tangere debes, ex infernis potius arteriae partibus digitos injiciens manumque laborantis convertens. Si vero rursus superficietenus admodum tangas, secundum alterum modum motionem non senties, ob parvitatem diastoles. Accurate igitur te mentem adhibere tunc oportet quantitati diastoles, quam in digitorum applicatione invenisti, atque ita alternatim interdum quidem remittere ac levare oportet paullulum, interdum vero comprimere, quandoquidem recta talium pulsuum dignotio in exquisita applicandorum digitorum symmetria consistit; propterea quod ea quidem attrectatio, quae superficiaria est, nondum dignoscat arteriae diastolen, quando exigua fiat; ea vero quae hac violentior est obscuret, absoluteque perdat dignotionem motionis. Nonnulli talium pulsuum quando perduntur diastole paullatim imminuta, rursus redeunt, vocamusque myuros, id est recurrentes. Si igitur ad extremam brevitatem motionis perducti rursus ipsam

Ed. Chart. VIII. [322.]

τοῦτο νῦν εἰρημένον ἔχουσιν ὄνομα, μύουροι παλινδρομοῦντες. ἐὰν δὲ εἰς ἀκινησίαν πάντη τελευτήσαντες ἐνταῦθα στῶσι, μηκέτι αἰσθητὴν κίνησιν ποιησάμενοι, τοὺς τοιούτους ἐκλείποντας ὀνομάζομεν· ἐὰν δὲ καὶ μετὰ τὴν ἀκινησίαν αὖθις ἄρξονται κινεῖσθαι πάλιν, καὶ αὐτοὺς ὀνομάζομεν ἐκλείποντας παλινδρομοῦντας. εὔδηλον δ' ὅτι πάντες οἱ τοιοῦτοι σφυγμοὶ γίνονται δι' ἀῤῥωστίαν δυνάμεως, ἐνίοτε μὲν αὐτῆς μόνης κατὰ τὸν ἴδιον ἀῤῥωστούσης, ἐνίοτε δὲ καὶ διά τι πλῆθος ἢ θλίψιν ἢ ἔμφραξιν τῶν πλησίον τῆς καρδίας ἀρτηριῶν, ὡς μικτὴν ἀποτελεῖσθαι διάθεσιν. καὶ εἰ μὴ παντάπασιν ὁ σφυγμὸς ἐπ' αὐτῶν ἀμυδρός τε καὶ μικρὸς ἐγένετο, σαφῶς ἂν ἐφαίνετο κατὰ μίαν διαστολῆς ἀνωμαλίαν· νῦν δὲ οὐ φαίνεται διὰ τὴν ταπεινότητα τῆς κινήσεως, ἣν ποιεῖται κατὰ τὴν διαστολὴν ἡ ἀρτηρία. διὸ καὶ πυκνοὶ τοὐπίπαν εἰσὶν οἱ τοιοῦτοι σφυγμοὶ κατ' ἐκεῖνο τὸ γένος τῆς πυκνότητος, ὃ τοῖς ἀναίσθητον ἔχουσι τὴν συστολὴν φαίνεται. διττῶς γὰρ ἔφαμεν γίνεσθαί τε καὶ λέγεσθαι πυκνὸν τὸν σφυγμὸν, ἤτοι τῆς συστολῆς τῶν πρώτων μερῶν αἰσθανομένων ἡμῶν ἢ μηδ' ὅλως

auxerint, hoc ipsium nunc dictum nomen habent, myuri recurrentes; si vero ad perfectam immobilitatem redacti, illic steterint, nec amplius sensilem motionem fecerint, tales deficientes nominamus. Si autem et post immobilitatem rursus inceperint iterum moveri, et hos nominamus deficientes recurrentes; constat autem omnes tales pulsus fieri ob imbellicitatem facultatis, quae interdum quidem ipsa sola ex propria ratione infirma fit, interdum vero et ob aliquam multitudinem, vel compressionem, vel obstruotionem arteriarum cordi vicinorum, ita ut mixta efficiatur affectio. Sique non omnino pulsus in ipsis languidus et parvus factus esset, manifeste utique appareret inaequalitas in una diastole; nunc autem non apparet, ob humilitatem motionis, quam facit in diastole arteria; ideoque frequentes ut plurimum sunt tales pulsus secundum illud genus frequentiae, quod iis qui insensibilem habent systolen apparet. Dupliciter enim diximus fieri et dici frequentem ipsum pulsum, vel ubi primas systoles partes non sentimus, vel ubi

Ed. Chart. VIII. [322.]

αἰσθητῆς οὔσης αὐτῆς. ἐὰν οὖν αἰσθανώμεθα τῶν πρώτων τῆς συστολῆς, ὁ μεταξὺ χρόνος τοῦ τε τῆς διαστολῆς πέρατος καὶ τῆς ἀρχῆς τῆς συστολῆς, ἀραιὸν ἢ πυκνὸν ἐργάζεται τὸν σφυγμόν. ἐπεὶ δὲ καὶ χρόνου τι καὶ μεγέθους διαστολῆς ἔχειν χρὴ τὴν ἀρτηρίαν εἰς αἴσθησιν τῶν πρώτων τῆς διαστολῆς, ἀδύνατόν ἐστιν ἐπὶ τῶν ἀμυδρῶν τε καὶ μικρῶν σφυγμῶν ἅψασθαί ποθ' ἡμᾶς αὐτούς· ὥστ' ἐπὶ τούτων ὁ τῆς ἐντὸς ἠρεμίας χρόνος ἀδιάγνωστος ἔσται. καὶ διὰ τοῦθ' ὅλος ὁ συγκείμενος ἔκ τε τούτου καὶ τοῦ τῆς συστολῆς καὶ τῆς μετ' αὐτὴν ἡσυχίας καὶ τῶν πρώτων τῆς αἰσθητῆς συστολῆς ἀναίσθητος γινόμενος, ἤτοι πυκνὸν ἢ ἀραιὸν ἐργάζεται τὸν σφυγμόν. ἀλλὰ περὶ μὲν τοῦ διὰ τὴν ποσότητα τῆς ἐκτὸς ἠρεμίας ἀραιοῦ καὶ πυκνοῦ κατὰ τὸ πρὸ τούτου δεδήλωται γράμμα· περὶ δὲ τοῦ νῦν εἰρημένου πυκνοῦ καὶ ἀραιοῦ λέγειν ἤδη καιρὸς, ἀναμνησθέντων ἡμῶν πρότερον τῶν δεδειγμένων ἐν τῇ περὶ τῶν ἐν τοῖς σφυγμοῖς αἰτίων πραγματείᾳ. τὴν γὰρ ὡς ἂν εἴποι τις αἰτίαν συνεκτικὴν πυκνότητος σφυγμῶν ἐδείκνυμεν εἶναι τὸ τῆς διαστολῆς ἐλλιπές· ἐπειδή περ, ὅταν μὲν ᾖ

nullo modo ipſa ſenſilis eſt. Si igitur primas ſyſtoles partes ſentimus, tempus quod eſt inter finem diaſtoles et principium ſyſtoles rarum vel frequentem facit pulſum. Quoniam autem et tenoris quid et magnitudinis diaſtoles habere oportet arteriam, quo primas ſyſtoles partes ſentiamus, impoſſibile eſt in languidis parvisque pulſibus ipſam nos unquam ſentire; quare in his tempus internae quietis dignosci nequit. Et propter hoc, totum illud quod conſtat ex hoc et eo quod eſt ſyſtoles et quietis quae eſt poſt ipſam, et primarum partium ſenſilis diaſtoles inſenſile exiſtens, vel frequentem, vel rarum efficit pulſum. Sed de raro ac frequenti pulſu ſecundum quantitatem externae quietis jam in iis quae ſuperius ſcripta ſunt oſtenſum eſt. De nunc autem dicto frequenti et raro dicere jam tempus eſt, memoria repetentibus prius nobis ea quae in tractatione de cauſis pulſuum oſtenſa ſunt; nam cauſam, ut quispiam dicat, ſynecticam continentem frequentiae pulſuum oſtendimus eſſe defectum diaſtoles, propterea quod, ubi magnus ſit

Ed. Chart. VIII. [322.]

χρεία τῆς ἐνεργείας, ταύτης πληρωθείσης σύμμετρον ἡσυχάζει χρόνον ἡ ἀρτηρία, μὴ πληρωθείσης δὲ τῆς χρείας διὰ τὸ τῆς διαστολῆς ἐλλιπὲς ἀναγκάζεται τῆς δευτέρας κινήσεως πρωϊαίτερον ἄρχεσθαι. ἐπεὶ τοίνυν ἐν τοῖς μικροῖς πάνυ σφυγμοῖς ἀπλήρωτος ἡ χρεία γίνεται τῆς διαστολῆς, ὅσον ἐνδεῖ, τοῦθ' ἡ φύσις ἐκπληροῦν ἀναγκαζομένη τῆς δευτέρας κινήσεως ἄρχεται πρωϊαίτερον. εἰς ὅσον δὲ ὁ μεταξὺ χρόνος τῶν διαστολῶν γίνεται βραχύτερος, εἰς τοσοῦτο πυκνότερος ὁ σφυγμὸς φαίνεται. ἐλλιπὴς δὲ τῆς διαστολῆς ἡ χρεία γίνεται κατὰ τοὺς μικροὺς σφυγμοὺς διὰ τὴν μικρότητα. καὶ τοῦτ' ἐξ ἀνάγκης ἕπεται διαπαντός· οὐχ ὥσπερ ἐπὶ τῶν μεγάλων ἔστιν ὅτε, πλῆθος γὰρ ἐπὶ τούτων εἶναι χρὴ θερμασίας ἢ δαπάνην ψυχικοῦ πνεύματος, ἵνα ὁ σφυγμὸς γένηται πυκνός. ῷ λόγῳ πάλιν, ἐφ' ὧν αἰσθητὴ τῆς ἀρτηρίας ἐστὶν ἡ συστολὴ, βραχὺς μεταξὺ χρόνος γίνεται τοῦ τε τῆς ἀποχωρήσεως αἰσθητοῦ πέρατος καὶ τῆς ἀρχῆς τῆς διαστολῆς. οὗτος μὲν οὖν ὁ χρόνος συναναιρεῖται σπευδούσης τῆς φύσεως ἐπὶ τὴν διαστολὴν, ἔνθα χρεία τῆς ἀρτηρίας ἐστὶν ἐπισπᾶσθαι πλείονα τὸν ἔξωθεν

usus actionis, hoc completo arteria moderato quiescit tempore, non completo autem usu cogitur ob diastoles defectum secundam motionem maturius incipere. Quoniam igitur in parvis admodum pulsibus incompletus redditur usus diastoles, quantum deest, id natura explere coacta, secundam motionem maturius incipit. Quanto autem tempus quod est inter diastolas redditur brevius, tanto frequentior pulsus ipse apparet. Deficiens autem redditur usus diastoles in parvis pulsibus ob parvitatem. Et hoc ex necessitate sequitur perpetuo, non quemadmodum in magnis, quandoque. Copiam enim caloris in his esse oportet, vel absumptionem vitalis spiritus, ut frequens fiat pulsus, qua ratione rursus, in quibus sensibilis est ipsa arteriae systole, tempus inter sensibilem finem recessionis et principium diastoles breve redditur. Atque hoc quidem tempus contrahitur natura ad diastolen properante, ubi opus est arteriis, ut aërem externum copiosiorem attrahant, et hoc

Ed. Chart. VIII. [322.]

ἀέρα· καὶ γίνεται τοῦθ', ὡς ἔφην, διὰ πλῆθος θερμασίας ἢ δαπάνην πνεύματος. ὁ δ' ἕτερος χρόνος ὁ τῆς ἐκτὸς ἠρεμίας βραχύνεται κατ' ἐκείνας τὰς διαθέσεις, ἐν αἷς ἡ φύσις ἐπείγεται λιγνυώδη τε καὶ καπνώδη περιττώματα κατὰ τὰς ἀρτηρίας ἠθροισμένα κενῶσαι. καὶ διὰ τοῦτ' ἐν τῷ πρὸ τούτου γράμματι βεβαιότατον ἔφην εἶναι σημεῖον εἰσβολῆς παροξυσμῶν πυρεκτικῶν ἐπὶ σήψει χυμῶν γιγνομένων ὀλιγοχρόνιον μὲν εἶναι τὴν ἐκτὸς ἡσυχίαν, ταχυτέραν δὲ τὴν κίνησιν τῆς συστολῆς.

Κεφ. κδ'. Περὶ μὲν οὖν ἀραιότητός τε καὶ πυκνότητος ἱκανὰ ταῦτα· πρὸς δὲ τοὺς ὁμογενεῖς τοῖς ὀλίγον ἔμπροσθεν εἰρημένοις σφυγμοῖς ἐπανέλθωμεν. ἔστι δή τις ὑψηλότερον ἔχων τὸ μέσον, ὡς κατὰ μῆκος σκοποῦντι, τὰ δὲ ἑκατέρωθεν αὐτοῦ ταπεινότερα· καλοῦμεν δ' αὐτὸν ἐπινενευκότα τε καὶ περινενευκότα. φαίνεται δ' ὁ σφυγμὸς οὗτος ἐπ' ἀῤῥώστοις δυνάμεσι γιγνόμενος, ὅταν ἡ κατασκευὴ τοῦ σώματος ᾖ τοιαύτη τὴν φύσιν ὡς ὀλίγον μέν τι δέρμα κοῦφον ἐπιβεβλῆσθαι τῷ μέσῳ τοῦ μήκους τῆς ἀρτηρίας, τὰ δ' ἑκα-

fit, ut dixi, ob caloris copiam, vel ob ſpiritus abſumptionem. Alterum autem tempus, quod eſt externae quietis, per illas affectiones breviatur in quibus natura feſtinat fuliginoſa et fumoſa excrementa in arteriis collecta evacuare. Et propter hoc in iis, quae ſuperius ſcripta ſunt, firmiſſimum dixi eſſe ſignum invaſionis paroxysmorum febrilium ex putredine humorum evenientium, brevis quidam temporis eſſe externam quietem, velociorem autem eſſe motionem ſyſtoles.

Cap. XXIV. Ac de raritate quidem et frequentia pulſuum haec ſint ſatis. Ad eos vero qui paulo ante dictis pulſibus ſunt congeneres redeamus. Quidam ſane eſt, qui altius habet medium, ſi longitudinem ſpectes, ea vero, quae ab utraque ipſius parte ſunt, humiliora, vocamusque ipſum innuentem et circumnuentem. Videtur autem hic pulſus ex imbecillibus facultatibus gigni, quando corporis conſtructio talis ſit natura ut pauca quidem cutis, eaque levis, medio longitudinis arteriae incumbat, quae vero ab utraque

Ed. Chart. VIII. [322. 323.]

τέρωθεν τοῦδε κατὰ τὸ μῆκος ἐκ τῶν ἄνω καὶ κάτω μερῶν βαρύνεσθαι. δι' αὐτὸ γάρ τοι τοῦτο καὶ τῶν παχέων ὁ σφυγμὸς τῷ μήκει βραχὺς φαίνεται, κἂν εὔῤῥωστος ᾖ· τῶν δ' ἰσχνῶν μακρὸς, κἂν ἀῤῥωστότερος ὑπάρχῃ.

Κεφ. κε'. Καί πως πάλιν ὁ λόγος ἤδη πρὸς τὸ μικρῷ πρόσθεν ἀναβληθὲν ἥκει περὶ τῶν ἐν τῷ διαγράμματι ζ' καὶ κ' σφυγμῶν, ὧν ἡ γένεσις ὡς ἐπὶ στοιχείοις ἐστὶ τοῖς ἐννέα σφυγμοῖς, τρισὶ μὲν τοῖς κατὰ τὸ μῆκος τῆς ἀρτηρίας θεωρουμένοις, τρισὶ δὲ κατὰ τὸ πλάτος, καὶ τρισὶν ἄλλοις τοῖς κατὰ τὸ βάθος. ἐκ γὰρ τῆς τούτων πρὸς ἀλλήλους ἐπιμιξίας ἅπασαι συζυγίαι γίνονται τῶν σφυγμῶν ἑπτὰ καὶ εἴκοσιν· ὧν μία μὲν κατὰ τὸ μῆκος, περὶ ἧς ἀρξάμεθα λέγειν ἄρτι, δεικνύντες αὐτὴν φαίνεσθαι διά τε τὴν ἐν πάχει καὶ λεπτότητι διαφορὰν τοῦ σώματος, ἀῤῥωστίαν τε καὶ ῥώμην δυνάμεως, ἐκ τούτου δὲ πρὸς τοῖσδε θερμασίαν πολλήν· εἰ δὲ εἰς δύο κεφάλαια τὸν λόγον ἀναγαγεῖν ἐθέλεις, διά τε τὴν κατὰ κύκλον τῆς ἀρτηρίας γινομένην ἧττον ἢ μᾶλλον διαστολὴν καὶ

ipſius parte ſunt, ſecundum longitudinem ex ſupernis et infernis partibus graventur. Ob hoc enim ipſum et craſſorum pulſus longitudine brevis conſpicitur, quamvis robuſtus ſit, gracilium autem longus, quamvis imbellicior exiſtat.

Cap. XXV. Ac quodammodo jam rurſus oratio ad id quod paulo ante rejecimus venit, hoc eſt ſeptem et viginti pulſus in tabella deſcriptos; quorum generatio tanquam ex elementis eſt ex novem pulſibus; quorum tres ſecundum longitudinem arteriae conſiderantur, tres ſecundum latitudinem et tres [323] alii ſecundum profunditatem. Ex horum enim inter ſe commixtione univerſae conjugationes oriuntur pulſuum ſeptem et viginti; quorum una eſt ſecundum longitudinem, de qua nuper dicere inceperamus, oſtendentes ipſam apparere ob differentiam tum corporis in craſſitie et tenuitate, tum facultatis in robore et imbecillitate, tum tertio caliditatis in multitudine et paucitate. Si vero in duo capita ſermonem reducere velis, ob majorem vel minorem diaſtolen, quae ſecundum circulum

Ed. Chart. VIII. [323.]

διὰ λεπτότητα καὶ πάχος τοῦ σώματος. ὅσον μὲν γὰρ ἐπ' αὐτῇ τοῦ πράγματος τῇ φύσει πάντων οἱ σφυγμοὶ γίνονται κατὰ τὸ μῆκος ἴσοι, πλὴν εἴ ποτ' ἤδη τῶν ἀποθνησκόντων ἀπέψυκται τὰ κῶλα· φαίνονται δ' οὐκ ἴσοι διὰ τὸ τῶν ἐπικειμένων σωμάτων ταῖς ἀρτηρίαις ἄνισον. τῶν γοῦν ἐκτετηκότων ἐν χρονίοις νοσήμασιν ἡ κατὰ ῥάχιν ἀρτηρία φαίνεται σφύζουσα, τῆς χειρὸς ἐπιβαλλομένης τῷ καθ' ὑπογάστριον δέρματι· καὶ μᾶλλόν γε τοῖς ἰσχνοῖς φύσει συμβαίνει τοῦτο, καὶ πολὺ μᾶλλον, ὅταν πυρέξωσιν ἢ οἶνον πίωσιν, ὡς ἂν εἰς μέγεθος αὐτοῖς ἐξαιρομένης τῆς διαστολῆς. ἔμπαλιν δὲ τοῖς παχέσι, κἂν ἰσχυροὶ τὴν δύναμιν ὦσι καὶ ὑπέρθερμοι, βραχὺς ὁ σφυγμὸς γίνεται κατὰ τὸ ἀρτηρίας μῆκος. ὥσθ' ἡ μὲν ἰσχνότης τοῦ σώματος εἰς τὸ μῆκος τοῦ σφυγμοῦ συντελεῖ τῶν ἄλλων ἁπάντων μάλιστα, δευτέρα δ' ἐπ' αὐτῇ ῥώμη δυνάμεώς ἐστι καὶ τρίτη θερμασία. τὰ δ' ἐναντία τῶνδε τὸν ἐναντίον ποιεῖ σφυγμὸν, ὃν ἔφην καλεῖσθαι βραχύν. ὁ δὲ στενὸς σφυγμὸς γίνεται διὰ στενοχωρίαν τῶν περικειμένων χωρίων

arteriae fiat, et ob tenuitatem et crassitiem corporis. Quatenus enim ad ipsam rei naturam attinet, omnium pulsus fiunt secundum longitudinem aequales, nisi si quando jam morientium refrigerati sint artus; videntur autem non esse aequales, ob corporum arteriis incumbentium inaequalitatem. Eorum igitur qui diuturnis in morbis contabuerunt arteria quae secundum spinam est pulsare conspicitur, si manum super cutim hypochondrii injiciatur, ac magis etiam hoc iis qui natura sunt graciles accidit, et multo sane magis, ubi febricitaverint, vel vinum biberint; propterea quod eo tempore diastole ipsis in magnitudinem attollatur; contra autem crassis, quamvis fortes facultate sint et praecalidi, brevis tamen fit pulsus secundum arteriae longitudinem; quare gracilitas corporis maxime aliorum omnium ad pulsus longitudinem confert, secunda post hanc fortitudo facultatis, tertia caliditas. Contraria autem horum contrarium faciunt pulsum, quem dixi vocari brevem. Angustus autem pulsus fit ob angustiam circumpositarum regionum arteriae,

Ed. Chart. VIII. [322.]

τῆς ἀρτηρίας, ἀῤῥωστίαν τε δυνάμεως καὶ ψύξιν ὀργάνου τε σκληρότητα καὶ δέρματος ῥυσότητα καὶ πάχος. ὁ δὲ ὑψηλὸς τὰ ἐναντία, ῥώμην δυνάμεως, θερμασίαν πολλὴν, ὀργάνου μαλακότητα, δέρματος λεπτότητα καὶ τάσιν. εὔδηλον δ᾽ ἐκ τῶν εἰρημένων ὅτι τοῦ τεσσαρεσκαιδεκάτου κατὰ τὸ διάγραμμα σφυγμοῦ, τοῦ καὶ τὸ μῆκος καὶ τὸ πλάτος καὶ τὸ βάθος ἔχοντος σύμμετρον, ἤτοι πάντα κατὰ φύσιν ἐστὶν, ἢ καί τις ἐξ ὑπεναντίων μίξις εἰς μέσην κατάστασιν ἄγει τὴν διαστολήν. ἐγχωρεῖ γὰρ τῷ κάμνοντι τοσοῦτον τὴν δύναμιν ἀσθενεστέραν εἶναι κατά τινα καιρὸν ὅσον καὶ τὴν τοῦ σώματος ἕξιν ἰσχνοτέραν, ὥσθ᾽ ὅσον εἰς βραχύτητα διὰ τὴν ἀῤῥωστίαν τῆς δυνάμεως ἧκεν ὁ σφυγμὸς, τοσοῦτον ἐκ τῆς ἰσχνότητος προστίθεσθαι. δυνατὸν δὲ καὶ διὰ πλῆθος θερμασίας ὅσον τούτοις ἐκλέλοιπεν ἀναπληροῦσθαι, πάλιν δ᾽ αὖ κατὰ τἀναντία τῆς δυνάμεως εὐῤῥωστοτέρας γενομένης, ὅσον εἰς τὸ μῆκος ἂν ἐπέδωκεν ὁ σφυγμὸς, τοσοῦτον καὶ πολυσαρκίαν ἀφαιρεῖσθαι. δυνατὸν δὲ καὶ τὸν εἰς μῆκος ηὐξημένον ὅσον ἐπὶ τοῖς ἄλλοις αἰτίοις βραχύτερον γενέσθαι

imbecillitatemque facultatis et refrigerationem, instrumentique duritiem et cutis rugositatem ac crassitiem. Altus autem ob contraria, robur facultatis, caliditatem multam, instrumenti molliem, cutis tenuitatem et tensionem. Patet autem ex dictis, quod decimi quarti pulsus in tabella descripti, qui et longitudinem et latitudinem et profunditatem habet moderatam, vel omnia secundum naturam sunt, vel aliqua ex subcontrariis mixtio in mediam constitutionem ducit diastolen; contingit enim laboranti tanto facultatem imbecilliorem esse aliquo tempore, quanto etiam fuerit habitu corporis graciliore. Ita ut quantum pulsus in brevitatem pervenit ob imbecillitatem facultatis, tantum ex gracilitate ei addatur; possibile est etiam ut quantum his defecit, tantum ob caliditatis copiam reficiatur. Rursus autem per contraria, viribus robustioribus redditis, quantum in longitudinem increvit pulsus, tantum etiam ob carnis copiam de eo detrahatur; possibile etiam est, ut qui in longitudinem, quatenus ad alias causas auctus est, brevior

Ed. Chart. VIII. [323.]

διὰ ψύξιν. ὑπολογιστέον δέ τι καὶ τῇ τοῦ χιτῶνος σκληρότητι κατὰ τὰς τοιαύτας ἐπισκέψεις. ἀλλ' ἐὰν ὅσον ἐπὶ τοῦτο κατὰ φύσιν ἔχῃ, καὶ μήτε εἰς εὐσαρκίαν ἢ ἰσχνότητα φαίνηται μεταβολὴ γεγονυῖα, μήτε εἰς ἀμυδρότητα καὶ σφοδρότητα τροπή τις, ἀλλ' ἐν τούτοις ἔχῃ κατὰ φύσιν, ἐὰν σύμμετρος φαίνηται καὶ μῆκος καὶ βάθος καὶ πλάτος, ἐνδείξεταί σοι μήτε θερμασίαν εἶναι πλείονα κατὰ τὸ σῶμα μήτε δαπάνην πνεύματος ψυχικοῦ. ταυτὶ μὲν οὖν κἀξ αὐτοῦ τοῦ μηδεμίαν ἐνέργειαν ἰσχυρὰν ἐνεργηκέναι τὸν κάμνοντα διαγνῶναι ῥᾷστόν ἐστιν· ἐν γὰρ ταῖς προαιρετικαῖς κινήσεσι δαπανᾶται τὸ πνεῦμα· τὴν δὲ τῷ βάθει τοῦ σώματος αὐξανομένην θερμασίαν, ἐὰν τἄλλα πάντα συμμέτρως ἔχῃ, διὰ τοῦ σφυγμοῦ μόνου προγνῶναι δυνατόν ἐστιν. ἡ γὰρ τῆς ἀναπνοῆς μεταβολὴ οὐ σαφὴς γίνεται κατὰ τὰς τοιαύτας διαθέσεις, ἐν αἷς ὀλίγον πλέον ἤθροισται τῆς κατὰ φύσιν θερμασίας ἐν τῇ καρδίᾳ, τῶν ἄλλων ὡσαύτως ἐχόντων. ἀλλὰ προσέχειν ἐνταῦθα χρὴ τῷ μεγέθει καὶ τῷ τάχει τοῦ σφυγμοῦ. πρῶτον μὲν γὰρ εἰς μέγεθος

evaserit ob refrigerationem. In his autem considerationibus aliqua etiam ratio duritiei tunicae habenda est. Sed si quantum ad hoc secundum naturam se habeat, nec ad corpulentiam, vel gracilitatem videatur mutatio facta esse, neque in languorem et vehementiam conversio aliqua, sed in his secundum naturam se habeat, si moderatus videtur secundum longitudinem et profunditatem et latitudinem, indicabit tibi neque caliditatem esse copiosam in corpore, neque absumptionem spiritus animalis. Atque haec quidem et ex eo, quod nullam validam actionem laborans obierit, dignoscere facillimum est. In voluntariis enim motionibus absumitur spiritus. Caliditatem autem in profundo corporis auctam, si caetera omnia moderata se habeant, ex pulsu solo praecognoscere potes. Respirationis enim mutatio non fit manifesta in talibus affectionibus, in quibus parum plus caliditatis secundum naturam in corde collectum est, aliis eodem modo se habentibus. Sed mentem hoc in loco adhibere oportet magnitudini et celeritati pulsus; primum enim in

Ed. Chart. VIII. [323.]

ἐπιδίδωσιν, ὅταν ὁ χιτὼν τῆς ἀρτηρίας ἤτοι μαλακώτερος ᾖ τοῦ κατὰ φύσιν ἢ σύμμετρος· ἔπειτα δὲ εἰς τάχος, αὐξανομένης τῆς θερμασίας. ὅταν δὲ ὑπὸ σκληρότητος ὁ χιτὼν τῆς ἀρτηρίας εἰς μέγεθος ἀξιόλογον ἀδυνατῇ διαναστῆναι, τηνικαῦτα καὶ ἡ εἰς τάχος ἐπίδοσις τοῦ σφυγμοῦ γίνεται πρωϊαίτερον. ἡ γάρ τοι χρεία τῆς τῶν σφυγμῶν γενέσεως αὐξανομένη, μέχρι μὲν ἂν ἱκανὸν αὐτῇ τὸ μέγεθος τῆς διαστολῆς ᾖ, οὐδὲν ὅλως αἰσθητὸν εἰς τάχος ἀλλοιοῖ τὴν κίνησιν, ἢ παντάπασιν ὀλίγον· ὅταν δὲ μείζονος μὲν ἡ χρεία δέηται διαστολῆς, μὴ δύνηται δὲ ὁ χιτὼν τῆς ἀρτηρίας ἐκτείνεσθαι διὰ σκληρότητα, τηνικαῦτα τῷ τάχει πολλὴ προσθήκη γίνεται. καὶ ὅταν δὲ μηδὲ τοῦτο ἐξαρκῇ, κλονώδης ὁ σφυγμὸς ἀποτελεῖται, διαμενούσης γε δηλονότι τῆς δυνάμεως εὐῤῥώστου.

Κεφ. κστ'. Πάντων μὲν οὖν τῶν ἐν τῷ διαγράμματι σφυγμῶν διέρχεσθαι καθ' ἕκαστον ἰδίᾳ μακρὸν ἂν εἴη, μέθοδον δ' ἐπ' αὐτοῖς ἄμεινον ὑφηγήσασθαι μετὰ γυμνασίας· ὅπερ κἀν τῷ πρώτῳ περὶ τῆς τῶν σφυγμῶν προγνώσεως ἐποίησα. πρὸ τοῦ δ' ἐπὶ ταύτην ἐλθεῖν βέλτιόν ἐστιν ἐγνῶσθαί τι

magnitudinem crescit, ubi tunica arteriae vel mollior sit quam status secundum naturam ferat, vel moderata, postea vero in celeritatem aucta caliditate. Ubi vero prae duritie tunica arteriae in magnitudinem notabilem non possit distendi, tunc et incrementum pulsus in celeritatem maturius fit; etenim usus generationis pulsuum auctus, quousque magnitudo diastoles sufficiens ipsi sit, nihil penitus sensile, vel omnino parum, motionem in celeritatem variat. Ubi vero majoris diastoles usus requiritur, non possit autem tunica arteriae extendi ob duritiem, tunc celeritati multa accessio fit. Ubi autem nec hoc satis sit, vibratus efficitur pulsus, permanente nimirum facultate robusta.

Cap. XXVI. Ac omnes quidem in tabella descriptos pulsus sigillatim percurrere longum jam esset, at methodum in ipsis praescribere cum exercitatione praestiterit, quod sane et in primo de praecognitione ex pulsibus feci. Antequam autem ad hanc accedam, melius est de ipsis statuisse,

Ed. Chart. VIII. [323.]

περὶ αὐτῶν, ὡς ἐνίοτε βραχυτάτη μὲν ἐπίδοσις ἤτοι γε εἰς πλάτος ἢ εἰς ὕψος ἢ εἰς τἀναντία γίγνεται, πολλὴ δὲ φαίνεται διὰ τὸ παραβάλλειν ἡμᾶς τὸν νῦν φαινόμενον σφυγμὸν τῷ πρόσθεν ὑπάρχοντι. τοῦτο οὖν ὁρᾶται κἀπὶ τῶν κρίσεων συμβαῖνον, ὅταν ἐφ᾿ ὑψηλῷ φανέντι τῷ σφυγμῷ πολλῶν ἱδρώτων ἐκραγέντων εἰς τὴν ἐναντίαν ἰδέαν ἡ μετάπτωσις γένηται καὶ φαίνηται ταπεινός τε ἅμα καὶ πλατὺς ὁ σφυγμός. διότι καί τισι τῶν ἰατρῶν γέγραπται τὸν πλατὺν σφυγμὸν ὁρᾶσθαι πολλάκις ἐπὶ τῶν ὑπόγυιον κεκριμένων. αὐτὸς γὰρ φαίνεται τοῖς, ὡς εἴρηται, κριθεῖσι πλατύτερος, οὐ μὴν τοσούτῳ γε κατὰ ἀλήθειαν ἐν τούτῳ τῷ καιρῷ γίνεται πλατύτερος ὅσῳ φαίνεται διὰ τὸ πρόσθεν μὲν ηὐξῆσθαι τὸ ὕψος ἐπὶ πλέον τοῦ κατὰ φύσιν, ἐν δὲ τῷ μετὰ τὴν κρίσιν χρόνῳ μηδὲ τὸ κατὰ φύσιν ἔτι φυλάττεσθαι. διὰ μὲν γὰρ τὴν κένωσιν αἱ περικείμεναι ταῖς ἀρτηρίας χῶραι χαλαραὶ γίνονται, στενοχωροῦσαι πρότερον αὐτάς· καὶ διὰ τοῦτο πλατύτερος ὄντως ὁ σφυγμὸς φαίνεται. φαίνεται δὲ πολὺ πλατύτερος ἢ κατὰ ἀλήθειαν ἐστιν, εἰς ταπεινότητα μεταπεσόντος τοῦ

aliquando brevissimum quidem incrementum vel in latitudinem, vel in altitudinem, vel in contraria fieri, multum tamen apparere, quia nos pulsum, qui nunc apparet, cum eo qui prius erat comparamus. Hoc ergo et in crisibus evenire conspicitur, ubi post pulsum, qui altus apparuerit, sudoribus multis eruptis, in contrariam ideam mutatio fiat, appareatque humilis una et latus ipse pulsus; quapropter et a quibusdam medicis scriptum est, latum pulsum conspici saepenumero in recens judicatis; ipse enim latior apparet in iis qui, ut dictum est, judicati sunt; non tamen revera eo tempore fit latior, sicut apparet, propterea quod prius quidem altitudo aucta esset, plus quam status secundum naturam exigeret; at tempore post crisim, nec ea etiam quae secundum naturam est amplius ferret; ab evacuationem enim regiones quae arteriis circumpositae sunt laxae evadunt, quum prius ipsas angustassent et ob id pulsus vere latior apparet. Apparet autem multo latior quam re vera sit, altitudine in humilitatem collapsa; tum quia nullo modo in tumorem nota-

Ed. Chart. VIII. [523.]

ὕψους, διά τε τὸ μηδ᾽ ὅλως εἰς ὄγκον ἀξιόλογον αἴρεσθαι τὴν διαστολὴν καὶ διὰ τὸ χαλαρόν τε καὶ ῥυσὸν γίνεσθαι τὸ ἐπικείμενον αὐταῖς δέρμα. καθ᾽ ὃν καιρὸν εἰ περιστρέψας τὸ κῶλον ἐν τοῖς κάτω μέρεσιν αὐτοῦ ποιήσαις τὴν ἀρτηρίαν, οὔθ᾽ οὕτως ἔτι ταπεινὸς ὡς ἔμπροσθεν οὔθ᾽ οὕτω πλατὺς ὁ σφυγμὸς φαίνεται. καὶ κατὰ τὸν ὕδερον δὲ τὴν ὅλην ἕξιν ἐξοιδίσκοντα καθάπερ (ἐν) νεκροῖς σώμασι, διαφέροντα πολὺ τοῦ τε τυμπανίου καλουμένου καὶ τοῦ ἀσκιτοῦ, πλατεῖς οἱ σφυγμοί· καὶ μάλισθ᾽ ὅταν τῆς ἀρτηρίας ἁπτώμεθα, κατὰ τὸ ἄνω μέρος, οὐ τὸ κάτω, τοῦ κώλου τεταμένου. ὁρᾶται δὲ τοιοῦτος ἐνίοτε κἀπὶ τῶν κάκιστα διακειμένων ληθαργικῶν. ἐκθηλύνεται γὰρ ἐπὶ τούτοις ἡ τοῦ σώματος ἕξις, ὡς διὰ τὴν πολλὴν ὑγρότητα καὶ μαλακότητα χαλαρὸν καὶ ἀστήρικτον γίνεσθαι, καὶ τὸν νῶτον τῆς ἀρτηρίας μὴ δυνάμενον σχεῖν ἑαυτὸν μηδὲ ὑψηλὸν ἀνέχειν, ὡς ὅτε εἶχε κατὰ φύσιν. ἐπὶ τούτων οὖν, ὡς ἔφην, ἐὰν ἐκ τῶν κάτω μερῶν τοῦ κώλου ψαύῃς, οὐκέτι σοι φανεῖται πλατὺς ὁ σφυγμός. τούτῳ δὲ δεῖ σε προσέχειν ἀκριβῶς καὶ διορίζεσθαι καὶ σκοπεῖσθαι, πῶς ἐσχη-

bilem attollatur diaſtole, tum etiam quia cutis quae arteriis incumbit laxa rugoſaque fiat; quo tempore ſi converſo membro in infernis ipſius partibus arteriam ſtatueris, neque ita amplius humilis ut prius, neque ita latus pulſus apparebit. Porro et in hydrope, in quo totus habitus quemadmodum in mortuis corporibus intumeſcit (qui ſane hydrops multum differt a tympania vocato et ab ascite) pulſus lati apparent; ac praeſertim quando arteriam tangimus, membro ſecundum ſupernam partem, non infernam, collocato. Conſpicitur etiam talis quandoque pulſus in lethargicis, qui peſſime affecti ſint; effaeminatur enim in his ipſe corporis habitus, ita ut ob multam humiditatem et mollitiem laxum ac inconſtans fiat ipſum etiam dorſum arteriae, haud potens ſe ipſum continere, neque ſublime ſe ſuſtinere; ſicuti dum ſecundum naturam ſe habebat. In his igitur, ut dixi, ſi ex infernis partibus membrum tangas, pulſus non amplius tibi latus adparebit. Hoc autem diligenter te animadvertere oportet, definireque ac conſiderare quomodo

Ed. Chart. VIII. [323. 324.]
ματισμένου τοῦ κώλου τὴν ἐπιβολὴν ἐποιήσω τῆς χειρός. ὡς τὰ πολλὰ μὲν γὰρ ἁπτόμεθα τῆς κατὰ τὸν καρπὸν ἀρτηρίας, ἐνίοτε δὲ ἤ τινα τῶν κροτάφων ἢ βραχίονα. συνεπινοεῖν δὲ δεῖ τὰ τῶν ὑπαρξάντων πρὸς τὰ παρόντα νῦν παραβάλλειν, καὶ σκοπεῖσθαι μή τι δι᾽ ἐκεῖνα πλέον μεταβέβληκεν ἢ κατὰ ἀλήθειαν ὁ σφυγμὸς ἀλλοιούμενος φαντάζεται. τούτων οὖν σοι μεμνημένῳ τῶν ἐφεξῆς ποιήσομαι λόγον.

Κεφ. κζ. Ἔστω τινὸς ἀῤῥώστου νῦν πρῶτον ἡμῖν ὁρωμένου τὸν ἐν τῷ καρπῷ τῆς χειρὸς φαίνεσθαι σφυγμὸν μακρότερον, ὡς εἰς ἓξ δακτύλων ἢ πλειόνων ἐπιβολὴν αἰσθητὴν εἶναι τὴν κίνησιν. ἤδη μὲν οὖν δῆλον ὡς ἀναγκαῖόν ἐστιν ἰσχνὸν εἶναι τὸν ἄνθρωπον τοῦτον· ἀδύνατον γὰρ εὐσάρκου τοῦ σώματος ὄντος εἰς τοσοῦτον γενέσθαι μακρὸν τὸν σφυγμόν. ἐφεξῆς οὖν σκόπει τὴν σύστασιν τοῦ χιτῶνος τῆς ἀρτηρίας, ὡς πρὸς τὴν ἡλικίαν τε καὶ τὴν ἕξιν τοῦ σώματος ἀποβλέπων τοῦ κάμνοντος. ὁ μὲν γὰρ ἐν τοῖς παιδίοις μαλακώτερός ἐστι τοῦ τοῖς τελείοις ὑπάρχοντος, ὁ δ᾽ ἐν ταῖς γυναιξὶ τοῦ τοῖς ἀνδράσιν, ὁ δ᾽ ἐν τοῖς φύσει μαλακο-

figurato membro applicationem manus feceris; ut plurimum [324] enim arteriam quae ad carpum eſt tangimus, interdum autem aliquam ex iis quae vel in temporibus ſunt vel in brachio. Perpendere praeterea oportet ea quae praeceſſerunt, ac cum iis quae nunc adſunt conferre, inſpicereque numquid propter illa magis immutatus ſit pulſus quam re vera alteratus appareat. Iis igitur tibi in memoria habitis eorum quae ſequuntur ſermonem faciam.

Cap. XXVII. Eſto ut aegrotantis cujusdam nunc primum a nobis viſi pulſus in carpo manus appareat longior, ita ut ad ſex, vel etiam plurium digitorum injectionem motio ſit ſenſilis. Jam ergo conſtat neceſſarium eſſe hominem hunc eſſe gracilem, impoſſibile enim eſt bene carnoſo exiſtente corpore tam longum fieri pulſum. Deinceps igitur conſidera conſtitutionem tunicae arteriae, ad aetatem habitumque corporis aegrotantis respiciens. Pulſus enim qui in puerulis eſt mollior eſt quam qui in adultis; qui in foeminis quam qui in viris; qui in natura mol-

Ed. Chart. VIII. [324.]

σάρκοις τε καὶ λεπτοῖς τοῦ τοῖς ἐναντίοις. ἐὰν οὖν σοι φαίνεται (C. φανεῖται) πολλῷ σκληρότερος τοῦ κατὰ φύσιν ὁ σφυγμὸς γεγονέναι, σκόπει τὸν ὄγκον τῆς διαστολῆς. ὀνομάζω δὲ ἄρτι ὄγκον τὴν κατὰ κύκλον ὅλης τῆς ἀρτηρίας κίνησιν, ἧς ὕψος τε καὶ πλάτος ἐπινοίᾳ τέμνομεν· οὐ γὰρ διώρισται καθάπερ ἐν τοῖς κυβικοῖς σώμασι τὸ πλάτος τοῦ ὕψους ἐπὶ τῆς ἀρτηρίας. τοιούτου δὲ ὄντος τοῦ σφυγμοῦ πάντως μὲν ἀναγκαῖον εἶναί τινα διάθεσιν τῶν σκληρὸν ἐργαζομένων αὐτόν. ἔμαθες δὲ τὰς διαθέσεις, ψύξιν ἰσχυρὰν ὡς πηγνύναι τὸ σῶμα τῆς ἀρτηρίας, ἢ ὑπερβάλλουσαν ξηρότητα καθάπερ ἐν τοῖς μαρασμοῖς, ἢ σκίῤῥον σπλάγχνου τινὸς, ἢ μεγίστην φλεγμονὴν σπασμώδη κατασκευὴν ἔν τινι τῶν νευρωδῶν μορίων. ἀλλά τό γε πρόσωπον εὐθέως ἐνδείξεταί σοι, πότερα μαρασμός ἐστιν, ἤ τι τῶν ἄλλων· προσήκει γὰρ τὸν μαρασμὸν ὡς ἀνίατον ὑπάρχειν, ὁπόταν δι᾽ αὐτὸν ἀρτηρία τοσαύτην λάβῃ ξηρότητα. κοίλους τε οὖν ὄψει τοὺς ὀφθαλμοὺς τῶν οὕτως ἐχόντων, ὡς ὑπερέχειν ἐν κύκλῳ τὰ περιγράφοντα τοὺς χιτῶ-

lioribus et albis quam qui in contrariis. Si igitur tibi multo durior quam is qui secundum naturam est pulsus factus esse videatur, tumorem diastoles considerato; tumorem autem nuper nominabam motionem secundum totius arteriae circulum, cujus altitudinem et latitudinem cogitatione secamus; neque enim in arteria, sicuti in cubicis corporibus, latitudo ab altitudine distincta est. Quum autem talis sit ipse pulsus, omnino quidem necessarium est quandam esse affectionem ex iis quae durum pulsum efficiunt. Has autem affectiones didicisti, refrigerationem validam, ut corpus arteriae congeletur, vel excedentem siccitatem, quemadmodum in marasmis, vel alicujus visceris scirrhum, vel maximam phlegmonem, vel spasmosam affectionem in aliqua nervosa parte. Sed et facies statim tibi indicabit, nunquid marasmus sit, an quid aliud; consentaneum est enim marasmum ut incurabilem esse, quando ob ipsum arteria tantum acquisierit siccitatem. Cavos igitur inspicies oculos eorum qui ita se habent ut in orbem emineant ossa

Ed. Chart. VIII. [324.]
νας αὐτῶν ὀστᾶ, καὶ τἄλλα ὅσα κατὰ τὸ περὶ τοῦ μαρασμοῦ βιβλίον ἔμαθες. ἀλλὰ καὶ τοὺς μὲν οὕτω διακειμένους καὶ πρὶν ἅψασθαι τῶν σφυγμῶν ἔνεστί σοι διαγινώσκειν ἐκ μόνου τοῦ προσώπου. μὴ φαινομένου δ' αὐτοῦ τοιούτου, τὴν σκληρότητα τοῦ σφυγμοῦ τοὐπίπαν μὲν εὑρήσεις διὰ σπλῆνα γεγονυῖαν ἐσκιῤῥωμένον· ἤδη δὲ καὶ δι' ἄλλο τι μόριον κύριον, ὃ καὶ διὰ τῆς ἁφῆς ἑτοίμως γνώσῃ. καὶ συμπτώματα δ' ἕπεται διορίζοντα σαφῶς ἀπὸ τῶν ἄλλων αὐτά. τοῦ μὲν γὰρ ἥπατος εἰς τηλικοῦτον ἥκοντος σκίῤῥον ὡς τὸν σφυγμὸν οἷον εἶπον ἐργάζεσθαι, τὰ τῶν ὑδέρων συμπτώματα παρὰ πρόσωπον ἤδη σοι φανεῖται. τῶν δὲ κατὰ γαστέρα τε καὶ κύστιν ἤ τι τῶν ἐντέρων πασχόντων αἱ διάῤῥοιαι δηλώσουσιν· ὥσπερ γε διαφράγματος ἢ ὑπεζωκότος πασχόντων αἱ τούτων ἴδιαι δύσπνοιαι. μεμάθηκας δ' αὐτῶν τὴν ἰδέαν ἐν τοῖς περὶ δυσπνοίας ὑπομνήμασιν. ἐὰν δὲ μηδὲν τούτων φαίνεται, σκόπει μή τις εἴη σπασμώδης διάθεσις. ἐπί τε γυναικῶν ἐπισκέπτου μὴ τὸ σκιῤῥῶδες τοῦτο πάθος ἐν ταῖς μήτραις ἐστί. μηδενὸς δὲ τοιούτου φαινομένου, ψύξις ἰσχυρὰ καὶ πρόσφα-

quae ipſorum tunicas circumſcribunt, et quaecunque alia in libro de marasmo didiciſti. Sed et eos qui ita affecti ſunt, antequam pulſum tangas, dignoscere tibi licet vel ex ſola facie. Quum autem ipſe non videatur talis, duritiem pulſus ut plurimum quidem invenies ob lienem induratum ortam, jam vero et propter aliam quampiam principem particulam, quam ex tactu promte cognosces, ſymptomataque etiam comitantur quae clare has ab aliis diſtinguunt. Si enim jecur ad tantum ſcirrhum pervenerit ut pulſum qualem dixi efficiat, hydropum ſymptomata in facie jam tibi apparebunt. Si vero venter, vel veſica, vel inteſtinorum aliquid patiantur, diarrhoeae indicabunt; ſicuti ſi diaphragma, vel membrana ſuccingens, propriae eorum ſpirandi difficultates, didiciſti autem earum ideas in commentariis de difficultate ſpirandi. Si vero nihil horum appareat, conſidera an aliqua adſit ſpasmoſa affectio. Ac in mulieribus inſpice an ſcirrhoſus hic affectus in utero ſit. Quum autem nihil tale appareat, refrigeratio valida ac recens vel ex aquae

Ed. Chart. VIII. [324.]
τος ἢ ἐξ ὕδατος ψυχροῦ ἢ οἴνου πόσεως· ἐπ' ἐκείνων γὰρ ἡ ἀρτηρία φαίνεται νεναρκηκυῖα περὶ τὴν κίνησιν. ἔοικε δὲ τῶν οὕτως ἐχόντων ὁ ἄκρατος ξηραίνειν τὴν ἕξιν αὐτῶν, ὥσπερ τὸ ψυχρὸν ὕδωρ πηγνύναι. καὶ ὀπῶραι δὲ ψυχραὶ κατὰ τὴν ἁφὴν καὶ τὴν δύναμιν ἐργάζονται σκληρὸν σφυγμόν. ἀλλ' αἱ μὲν ἀπὸ τῶν ἔξωθεν αἰτίων βλάβαι ταχὺ συναποκαθίστανται, θερμαινόντων ἡμῶν τὸν κάμνοντα, καὶ διὰ τοῦτο καὶ οἱ σφυγμοὶ συναποκαθίστανται· παραμένουσι δὲ ταῖς ἐπὶ τῷ σώματι διαθέσεσι δυσιάτοις οὔσαις. ὅταν οὖν ὁ μακρὸς σφυγμὸς ἅμα καὶ σκληρὸς ᾖ, τὰς ἐπισκέψεις, ὡς εἴρηται, ποιήσῃ. συμμέτρου δὲ ὄντος αὐτοῦ κατὰ τὴν ἐν σκληρότητι καὶ μαλακότητι διαφορὰν, προεπισκέπτου τὸ ποσὸν τῆς διαστολῆς. ἂν μὲν γὰρ ἀξιολόγως διαστέλλεται καθ' ἑκατέρας τὰς διαστάσεις ἡ ἀρτηρία, τήν τε εἰς μῆκος καὶ τὴν εἰς ὕψος, καὶ μήτε διὰ πρόσφατον τροφὴν ἢ οἴνου πόσιν ἢ λουτρὸν ἤ τινα ἄλλην κίνησιν τοῦτο γέγονεν, εὔδηλον δήπου πυρέττειν τὸν ἄνθρωπον. ἐὰν δὲ καὶ τάχος ἅμα τῇ τοιαύτῃ σφοδρότητι καὶ πυκνότης προσῇ, δῆλον ὅτι καὶ ὁ πυρετὸς μείζων ἐστί. ἐὰν δὲ

frigidae vel vini potione, in illis enim arteria videtur stupefacta circta motum. Videtur autem in iis qui ita habent vinum meracum exficcare eorum habitum, ficuti frigida aqua congelare. Jam vero et fructus autumnales tactu et facultate frigidi durum pulfum efficiunt. At noxae quae ab externis caufis proveniunt celeriter conquiescunt fi nos laborantem calefaciamus; et ob id etiam pulfus una quiescunt; perfeverant autem cum affectionibus quae in corpore funt, fi ipfae curatu difficiles fint. Si ergo longus pulfus una et durus fit, confiderabis, ut dictum eft. Ubi vero moderatus ipfe fit fecundum eam differentiam quae eft in duritie et mollitie, tunc infuper quantitatem diaftoles confidera; fi enim arteria fecundum utrasque dimenfiones, longitudinem inquam et altitudinem, infigniter dilatetur idque non ob recens alimentum, vel vini potionem, vel lavacrum, vel aliquam aliam motionem evenerit, conftat certe hominem febricitare. Si vero et celeritas et frequentia una cum tali vehementia adfit, patet majorem etiam effe febrem. Si autem fecundum alti-

Ed. Chart. VIII. [324.]
κατὰ μὲν ὕψος τε καὶ πλάτος ᾖ σύμμετρος ὁ σφυγμὸς, ἐπὶ δέ γε τῷ τάχει καὶ προσέτι καὶ πυκνὸς ἱκανῶς ᾖ, πολλὴν μὲν ἐνδείκνυται θερμασίαν, ἀσθενῆ δὲ τὴν δύναμιν. εἰ γὰρ ἦν ἰσχυρὰ, μέγεθος ἂν ὑπῆρχε τοῖς σφυγμοῖς. ἀλλὰ καὶ δι᾽ αὐτὸ τοῦτο ταχὺς ἱκανῶς γίνεται καὶ πυκνὸς, ὅτι μὴ πληροῦται διὰ μακρότητα τῆς διαστολῆς ἡ χρεία. φανεῖται δέ σοι πάντως ὁ τοιοῦτος ἀμυδρός. ἴδιον γὰρ ἀχώριστον τοῦτο σημεῖον ἐν σφυγμοῖς ἐστιν ἀῤῥωστούσης δυνάμεως· ὥστ᾽ ἐκ περιουσίας ἅπαντα τἄλλα τὰ τῆς δυνάμεως ἀσθένειαν ἢ ῥώμην σημαίνοντα σκοπεῖσθαι· πρός γε μὴν ἐπιστήμην ἀκριβῆ τῆς κατὰ τοὺς σφυγμοὺς θεωρίας γίνεται χρήσιμα μαρτυρούμενά τε καὶ μαρτυροῦντα τῇ διὰ τῶν ἀμυδρῶν τε ** ἔθος τοὺς μὲν εὐτόνους ὀνομάζω σφοδροὺς, τοὺς δὲ ἀτόνους ἀμυδρούς. φέρε γάρ τινι συμμέτρως ἔχοντι σαρκώσεως τὸν σφυγμὸν φαίνεσθαι σύμμετρον κατὰ μέγεθος, τοῦ χιτῶνος τῆς ἀρτηρίας καὶ αὐτοῦ συμμέτρως ἔχοντος ἐν τῇ κατὰ σκληρότητα καὶ μαλακότητα

tudinem et latitudinem moderatus ſit ipſe pulſus et praeter celeritatem ſit etiam ſatis frequens, multam quidem indicant eſſe caliditatem, imbecillam autem facultatem; ſi enim eſſet valida, magnitudo utique pulſibus ineſſet. Sed et propter hoc ipſum velox ſatis ſit et frequens, propterea quod uſus ob diaſtoles parvitatem non completur. Talis autem pulſus languidus tibi omnino apparebit; proprium enim et inſeparabile hoc ſignum in pulſibus eſt infirmae facultatis; ut jam cetera omnia quae facultatis imbecillitatem, vel robur ſignificant, ex abundantia conſiderentur; quippe ad exquiſitam ſcientiam ſpeculationis pulſuum ſunt utilia, comprobata comprobantiaque praecognitionem, quae ex languidis et vehementibus pulſibus fit. Dictum autem eſt ſuperius, quod ob medicorum conſuetudinem, vehementes nomino pulſus eos qui tenore praediti ſunt; languidos autem eos qui tenoris ſunt vacui. Age enim cuipiam, qui in carnis incremento moderate ſe habeat, pulſus appareat moderatus ſecundum magnitudinem, tunica etiam ipſa arteriae moderate ſe habente in differentia, quae eſt ſecundum duritiem et mollitiem, quae

Ed. Chart. VIII. [324.]

διαφορᾷ, καλουμένη δὲ ὀνόματι κοινῷ κατάστασιν τοῦ χιτῶνος. ἐπὶ τοῦ τοιούτου σφυγμοῦ τὴν δύναμιν ἐῤῥῶσθαι πάντως ἐρεῖς, πρὶν γνῶναι σφοδρότητος ὅπως ἔχει. οὐ γὰρ δὴ κατά γε πᾶσαν ἐπιβολὴν τῆς ἀφῆς εὐθὺς ὁ σφοδρὸς διαγινώσκεται σφυγμὸς, ἀλλὰ μόνον ὅταν θλίψωμεν τὴν ἀρτηρίαν. ἡ γὰρ ἐπιπολῆς ψαῦσις ἀκριβῶς μὲν διαγινώσκει τὸ μέγεθος, οὐδ᾿ ὅλως δὲ τὴν σφοδρότητα. θλιψάντων μέντοι γε σαφῶς ἡ μὲν σφοδρότης φαίνεται, καθάπερ γε καὶ ἡ ἀμυδρότης. συνεκφαίνεται δὲ καὶ τὸ μέγεθος. ἀνιέναι γὰρ εἰς ὕψος ἡ ἀρτηρία κωλυομένη διὰ τὴν θλίψιν, ἅμα μὲν εὔτονον ποιεῖται τὴν ἀντίβασιν, ἅμα δὲ ἔμφασίν τινα τῆς εἰς τὸ πλάτος ἐκτάσεως. ἐν οἷς ἔνδειξις γίνεται τῆς κωλύσεως διὰ τὴν θλίψιν τῆς εἰς ὕψος ἀνόδου· ἀλλ᾿ ὅταν γε σκληρὸς ὁ χιτὼν ᾖ τῆς ἀρτηρίας, οὐδὲ γίγνεταί πω μεγίστη διαστολή. καὶ διὰ τοῦθ᾿ ὅταν ᾖ κυρίου σπλάγχνου φλεγμονὴ καὶ δι᾿ αὐτὴν ὁ σφυγμὸς σκληρὸς, ἐὰν πρὸς τούτοις ἡ διαστέλλουσα τὰς ἀρτηρίας δύναμις εὔῤῥωστος ᾖ, κλονώδης ὁ σφυγμὸς ἀποτελεῖται. ὅταν γὰρ ἥ τε

communi nomine vocatur constitutio arteriae; in tali pulsu virtutem valere omnino dices, antequam noscas quando in vehementia se habeat; neque enim sane secundum omnem tactus injectionem statim vehemens dignoscitur pulsus, sed solum quum arteriam comprimimus. Superficiaria enim attrectatio exquisite quidem dignoscit magnitudinem, at nullo modo vehementiam. Si vero compresserimus, aperte quidem vehementia apparet, quemadmodum sane et languor: apparet autem una et ipsa magnitudo. Quum enim ascendere in altitudinem prohibeatur arteria ob compressionem, simul quidem tenore praeditum facit occursum, simul vero imaginem quandam extensionis in latitudinem: in quibus indicatio apparet prohibitionis ascensus in altitudinem ob compressionem. Verum quando dura fuerit tunica arteriae, neque tunc maxima fit diastole. Et propter hoc, quum fuerit principis visceris phlegmone et propter ipsam pulsus durus sit, praeter haec facultas quae arterias dilatat, robusta sit, vibratus fit pulsus; ubi enim tum usus diasto-

χρεία τῆς διαστολῆς αὐξήσῃ καὶ ῥώμη παρῇ τῇ ζωτικῇ δυνάμει, βιαίως διαστελλομένης τῆς ἀρτηρίας, ὁ κλόνος ἀποτελεῖται. τὰ πολλὰ δὲ ἐν ταῖς τοιαύταις διαθέσεσιν οὐκ ἔστιν εὔῤῥωστος ἡ δύναμις· ἀλλ' ἀγαπήσειεν ἄν τις ἐν ἰσχνῷ σώματι διὰ μῆκος νόσου γεγονότι μετρίως ἔχειν τόνου τὴν δύναμιν. διὰ τοῦτ' οὖν οὐδὲ κλονώδεις αὐτοῖς οἱ σφυγμοὶ γίνονται. πιοῦσι γε μὴν οἶνον ἀκρατέστερον ἢ πλέον κλονώδεις αὐτοῖς ἐνίοτε φαίνονται, τῆς τε δυνάμεως ῥωννυμένης καὶ τῆς πυρετώδους θερμασίας αὐξανομένης. οὗτοι μὲν οὖν οἱ σφυγμοὶ πολλάκις φαίνονται, σπάνιοι δὲ οἱ τὸ μὲν ὕψος φυλάττοντες ἅμα τῷ πλάτει, τῷ μήκει δὲ βραχεῖς, σπανιώτατοι δ' αὐτῶν οἱ καὶ τὸ μῆκος ἅμα τῷ πλάτει συστέλλοντες. τούτων δ' ἔτι σπανιώτερος ὁ ὑψηλὸς ἅμα καὶ στενὸς καὶ βραχὺς, ἐν μὲν τοῖς μακρὸν ἔχουσι τὸν σφυγμὸν, ὅθ' ὑγίαινον, οὐδὲ γενέσθαι δυνάμενος· ἐν δὲ τοῖς βραχὺν, ἐπὶ πλήθει συνιστάμενος, ἐῤῥωμένης τῆς δυνάμεως. διὸ καὶ τοὐπίπαν ἀνώμαλος φαίνεται κατὰ τὰ δύο γένη τῆς ἀνωμαλίας. ὥσπερ γάρ ἐστι σημεῖον ἐῤῥωμένης δυνάμεως ὁ σφοδρὸς σφυγμὸς, οὕτω μετ' ἐκεῖνον ὁ ὑψηλὸς,

les auctus fit, tum robur vitali facultati adfuerit, dum violenter dilatatur arteria, vibratio efficitur. Magna tamen ex parte in talibus affectionibus non est robusta facultas; imo certe quispiam contentus esse deberet, si in corpore ob morbi longitudinem extenuato facultas vel mediocrem tenorem haberet; propter hoc igitur neque vibrati ipsis pulsus fiunt. Iis sane qui vinum meracius vel copiosius biberunt, pulsus vibrati quandoque apparent, quod et facultas roboretur et febrilis caliditas augeatur. Atque hi quidem pulsus saepenumero conspiciuntur; raro vero qui altitudinem quidem servant una cum latitudine, longitudine autem sunt breves; rarius autem ipsis ii [325] qui et longitudinem una cum latitudine contrahunt; his adhuc rarius qui altus una et angustus et brevis sit; qui in iis quidem, qui dum sani erant longum habebant pulsum, ne fieri quidem potest; in iis autem qui brevem, ex multitudine consistit, valida existente facultate. Quare etiam ut plurimum inaequalis apparet secundum duo genera inaequalitatis. Sicuti enim vehemens pulsus validae facultatis est signum, ita post ipsum altus, quando in longitudine

Ed. Chart. VIII. [325.]

ὅταν ἐν τῷ μήκει βραχύνηται. δῆλος οὖν ἐστι τηνικαῦτα μήτε διὰ λεπτότητα τοῦ σώματος εἰς ὕψος ἀνιὼν μήτε διὰ μαλακότητα τοῦ χιτῶνος τῆς ἀρτηρίας· εἰ γὰρ διὰ τούτων παρεῖτο, βραχὺς ὁ σφυγμὸς οὐκ ἂν ἦν. ὡς τὸ πολὺ μὲν οὖν ὁ ὑψηλὸς σφυγμὸς εὐθὺς καὶ πλατύς ἐστιν· εἰ δὲ μὴ, σύμμετρος κατὰ τὸ πλάτος. ἐστενῶσθαι δὲ τὸν αὐτὸν καὶ ὑψηλότερον εἶναι τοῦ συμμέτρου χωρὶς ἀνωμαλίας συστηματικῆς ἀδυναμία ἐστίν· καὶ ταύτης ἐλάττους ἀριθμῷ τοὺς ὑψηλοὺς σφυγμοὺς ἐχούσης τῶν συμμέτρων κατὰ τὸ βάθος. ἀλλὰ καὶ κατὰ μίαν διαστολὴν ὁ τοιοῦτος ἀνωμαλίας χωρὶς μὴ πάνυ τι φαίνεσθαι. καὶ μέντοι κἂν κολουθῇ κατὰ μῆκος ὁ ὑψηλὸς σφυγμὸς, ἀλλ' εἰς τοσοῦτόν γε εἰς ὅσον ἐν τῷ μυρμηκίζοντι οὐ κολουθήσεται. δακτύλου γοῦν ἑνὸς ἐπιβολὴν ἐκπληροῖ, τοῦ μυρμηκίζοντος οὐδὲ τὸ τρίτον μέρος τοῦ ὅλου πληροῦντος. ὁ δ' οὖν ὑψηλός τε ἅμα καὶ βραχὺς τῷ μήκει σφυγμὸς, ὅταν σκληρότερός τε ἅμα γένηται** δηλονότι. τὴν δ' ἀρχὴν οὐδὲ ὤφθη ποτέ μοι μακρὸς ἅμα καὶ δίκροτος. ἀλλ' ὅ γε μῆκος προσλαβὼν

breviatur. Conſtat igitur tunc neque ob tenuitatem corporis ipſum in altitudinem ascendere, neque ob mollitiem tunicae arteriae; nam ſi ob haec attolleretur, brevis pulſus non eſſet. Magna ergo ex parte altus pulſus ſtatim etiam latus eſt: ſin minus, at certe moderatus ſecundum latitudinem. Anguſtatum autem hunc ipſum eſſe, altioremque moderato eſſe ſine collectiva inaequalitate, impoſſibile eſt; quae etiam minores numero altos pulſus habeat quam moderatus ſecundum profunditatem. Sed et ſecundum unam diaſtolen talis pulſus fit inaequalis, ita ut abſolute altus una et anguſtus ſine inaequalitate non admodum frequenter appareat. Et ſane altus pulſus, licet ſecundum longitudinem mutilatus fuerit, non tamen tantum quantum formicans mutilabitur, digiti certe unius injectionem explet, quum formicans ne tertiam quidem totius compleat. Igitur altus ſimul et brevis longitudine pulſus, quando durior una fuerit, dicrotus etiam ſimul evadit. Verum nunquam a me viſus eſt longus una et dicrotus; ſed quum longitudinem

Ed. Chart. VIII. [525.]

ἐπὶ τοῖς εἰρημένοις αἰτίοις κλονώδης γίνεται· τὰ δ' αἴτια πλῆθος θερμασίας καὶ ῥώμη δυνάμεως καὶ ὀργάνου σκληρότης. ἐνίοτε δὲ καὶ διὰ πάθος ἐν νόσοις ἡ θέσις ἡ τῆς ἀρτηρίας ὑπαλλάττεται καὶ διαστρέφεται, δυσκρασίας τινὸς ἀνωμάλου κατὰ τοὺς χιτῶνας αὐτῆς ἢ τὰ πέριξ σώματα γινομένης· ὡς τὸ μὲν ἐξηράνθαι μέρος, τὸ δὲ μὴ, καὶ τὸ μὲν ἐσκληρύνθαι, τὸ δὲ μὴ, καὶ τὸ μὲν ὑπό τινος τῶν περικειμένων σωμάτων ἑλκόμενον τετάσθαι, τὸ δὲ ἐξεῶσθαι τῆς θέσεως. ἀλλὰ ταῦτα μέν ἐστι σπάνια, τὰ δὲ διὰ θερμασίαν ἢ ψύξιν ὅλου τοῦ κώλου σὺν τοῖς περικειμένοις ἢ ὑγρότητα καὶ πλῆθος ἢ ἔνδειαν ἢ ξηρότητα πολλάκις συμβαίνει. μεμνῆσθαι μέντοι χρὴ καὶ τῶν σπανίως γιγνομένων· ὥστ' ἐπειδὰν ἀφίκῃ πρὸς ἄῤῥωστον ὃν οὔπω πρότερον εἶδες, ἀπὸ τῶν ὡς ἐπιπολὺ γιγνομένων ἀρξάμενον μεταβαίνειν ἐπὶ τὰ μὴ πάνυ πολλάκις ὁρώμενα, κἄπειθ' οὕτως ἐπὶ τἄλλα μέχρι τῶν σπανιωτάτων, ὥσπερ ἀμέλει κἀπὶ τοῦ βραχέος μὲν κατὰ τὸ μῆκος, ὑψηλοῦ δὲ κατὰ τὸ βάθος σφυγμοῦ παράδειγμα γινόμενος τῆς ἀπὸ τῶν

assumserit, ex praedictis causis vibratus evadit. Causae sunt copia caloris et robur facultatis et instrumenti durities; nonnunquam etiam et propter affectum in morbis situs arteriae immutatur ac pervertitur, intemperie quapiam inaequali in tunicis ipsius, vel circumjacentibus corporibus orta; ut alia quidem pars sit exiccata, alia vero non, et alia quidem sit indurata, alia vero non: et alia quidem ab aliquo circumjacentium corporum attracta sit tensa, alia vero de suo situ extrusa sit. Sed haec quidem sunt rara. Quae autem fiunt ob caliditatem, vel refrigerationem totius membri una cum circumjectis partibus, aut humiditatem et multitudinem, aut defectum et siccitatem, ea saepenumero contingunt. Meminisse tamen oportet et eorum quae raro eveniunt, ut quando perveneris ad aegrotum, quem haud prius inspexeris, ab iis auspicatus quae magna ex parte eveniunt, ad ea transeas quae non admodum frequenter conspiciuntur, atque ita ad alia usque ea quae rarissima sunt; quemadmodum sane et in pulsu, qui brevis secundum longitudinem et altus secundum profunditatem est, exemplum

Ed. Chart. VIII. [325.]

πολλάκις ὁρωμένων ἐπὶ τὰ σπανιώτερα μεταβάσεως. εὔλογον οὖν ἐστιν, ὅταν ὁ σφυγμὸς οὗτος ὀφθῇ θεάσασθαι πρότερον ὅπως ἔχει παχύτητος ὁ ἄνθρωπος. εἰ μὲν γὰρ εὔσαρκός τε καὶ πίων ἱκανῶς εἴη, κατὰ λόγον ὁ σφυγμὸς φαίνεται· μικρὸς γὰρ ἔσται. διότι ἐν ταῖς ἀμετρωτέραις σαρκώσεσιν ἡ σὰρξ ὀποχεομένη κωλύει διαστέλλεσθαι τὸ ἀγγεῖον, εἰς ὅσον ἐπεφύκει· ἀλλὰ καὶ τὸ μῆκος αὐτοῦ βραχύτερον γίνεται καὶ τὸ πλάτος στενώτερον, τῷ πλήθει τῆς σαρκὸς θλιβόμενον. τῶν δ' ἰσχνῶν μὲν τὴν ἕξιν, τἄλλα δὲ εὐῤῥώστων, ἱκανὸν μὲν τό γε πλάτος καὶ τὸ μῆκος ὁ σφυγμὸς ἔχει, ἀξιόλογον δὲ καὶ τὴν εἰς ὕψος ἀνάβασιν. ἔτι δὲ μᾶλλον ἐφ' ὧν χαλαρόν ἐστι τὸ δέρμα, κατάδηλον γίνεται τὸ τοῦ διαστήματος αὐτοῦ τε καὶ τοῦ τῆς ἀρτηρίας χιτῶνος. ᾧ δῆλον ὅτι τὰ μὲν κουφότερα σώματα ῥαδίως συνεξαίρουσιν αἱ ἀρτηρίαι διαστελλόμεναι, τὰ δὲ βαρύτερα δυσχερέστερον· ὅσα δ' ἱκανῶς βαρέα, ταῦτα οὐδ' ὅλως κινοῦσι.

tibi adest transitionis ab iis quae saepe ad ea quae rarissime conspiciuntur. Rationi igitur consonum est, ut quando hic pulsus visus fuerit, inspicias prius quomodo se habeat homo ille quoad crassitiem. Si enim bene carnosus et pinguis satis sit, pulsus secundum rationem apparet, parvus enim erit. Quare in immoderatis carnis incrementis caro quae effunditur prohibet dilatari vas, quantum ex natura poterat, sed et longitudo ipsius brevior fit et latitudo angustior: quod a carnis multitudine comprimantur. Eorum autem qui habitu sunt graciles, in ceteris autem robusti, satis quidem magnam latitudinem et longitudinem pulsus habent; notabilem quoque in altitudinem ascensum: adhuc etiam magis in quibus laxa est cutis perspicuum fit illud spatium quod inter ipsam et arteriae tunicam intercedit. Ex quo patet leviora quidem corpora facile simul attolli ab arteriis, dum dilatantur; graviora autem difficilius; quae vero admodum gravia sunt, ea nullo modo moveri.

Ed. Chart. VIII. [325.]

Κεφ. κη'. Νῦν δὲ περὶ τῶν σφυγμῶν εἴπωμεν, διὰ τί ἐπὶ ταῖς μετρίαις βλάβαις τῆς τε δυνάμεως ἅμα καὶ τῆς θερμασίας πυκνοὶ μὲν γίνονται, μικροὶ δὲ οὐκέτι οὐδὲ βραδεῖς, ἀλλὰ σύμμετροι. τέσσαρες γοῦν συζυγίαι διάφοροι γίνονται. ἢ μὲν γὰρ διὰ θερμασίαν μόνην ἢ διὰ ψύξιν ἀλλοιοῦνται. καὶ κατὰ μὲν τὴν ἀῤῥωστοτέραν ἅμα καὶ θερμὴν, εἰ μὲν ἐπὶ πλέον ὑπ' ἀμφοτέρων τῶν αἰτίων δυναστεύοιτο, ἥ τε δύναμις ἱκανῶς ἄῤῥωστος εἴη, καὶ τὸ θερμὸν πυρῶδες, μικροὶ μὲν καὶ βραδεῖς οἱ σφυγμοὶ καὶ πυκνότατοι γίνονται. μετρίας δ' οὔσης τῆς βλάβης, πυκνοὶ μὲν ὁμοίως, σύμμετροι δὲ κατὰ τὴν διάστασίν τε καὶ κίνησιν. δευτέρα δὲ συζυγία ἐξ ἀῤῥωστίας τε καὶ καταλήψεως σύγκειται. ἐν αὐτῇ ἀμυδρὸς μὲν εἰς τοσοῦτον εἰς ὅσον ἂν καὶ τὰ τῆς δυνάμεως ἔχοι κακῶς ὁ σφυγμὸς γίνεται, μικρὸς δὲ καὶ βραδὺς, ὥσπερ καὶ οἱ ἐπὶ τῆς προτέρας συζυγίας. οὐ μὴν ὁμοίως γε ἐκείνοις εἰς ἔσχατον ἀφικνεῖται. πλὴν εἰ ἡ δύναμις ἐσχάτως εἴη κεκμηκυῖα, δῆλον ὡς μικρότατος ἐπὶ τῶν τοιούτων ὁ σφυγμὸς ἔσται, καὶ διαλείπων καὶ ἐκλείπων τὰ πολλά. τρίτη δὲ συζυγία σφυγμῶν ἀλλοιώσεως, αὐξανομένης

Cap. XXVIII. Nunc autem de pulfibus dicamus, propter quod ex mediocribus laefionibus facultatis fimul et caliditatis frequentes quidem fiant, parvi vero non adhuc neque tardi, fed moderati. Quatuor igitur conjugationes diverfae oriuntur, vel enim ob caliditatem folam, vel ob refrigerationem alterantur. Et fecundum imbecilliorem una et calidam, fi multum quidem ab ambabus caufis fuperetur, facultasque fatis imbecilla fit et calor igneus, parvi et tardi pulfus et frequentiffimi fiunt. Si vero mediocris fit laesio, aeque quidem frequentes, fed moderati fecundum diftentionem et motionem. Secunda autem conjugatio ex imbecillitate et refrigeratione conftat; in ipfa languidus quidem eatenus fit pulfus quatenus etiam male fe habet facultas; parvus item et tardus, quemadmodum et pulfus prioris conjugationis, non tamen aeque ut illi ad extremam frequentiam pervenit; nifi facultas extreme fatigata fit, tunc enim conftat minimum in talibus fore pulfum, et intermittentem et deficientem plerumque. Tertia vero conjugatio alteratio-

Ed. Chart. VIII. [325.]
ὁμοῦ θερμασίας τε καὶ δυνάμεως· ἐν ᾗ σφοδρότατοι μὲν καὶ μέγιστοι, τάχιστοι δὲ οὐκέτι ὁμοίως οἱ σφυγμοὶ γίνονται, πυκνότατοι δὲ τὰ πολλὰ μὲν οὐκ ἐναργῶς, ἔστιν ὅτε (δὲ) καὶ σαφῶς ὑπὲρ τὸ κατὰ φύσιν εἰσίν. καὶ γίνεται τοῦτο, ὅταν ἐπὶ πλεῖστον αὐξηθῇ τὰ τῆς θερμασίας. λοιπὴ δὲ συζυγία τῆς κατὰ τοῦτο τὸ γένος τῶν σφυγμῶν ἀλλοιώσεως, ὅταν εἰς ταὐτὸν ἀφίκηται ῥώμη τε δυνάμεως καὶ θερμασίας ἔνδεια. γίνονται δ᾽ οὗτοι σύμμετροι μὲν τῷ μεγέθει, βραδύτεροι μέντοι καὶ ἱκανῶς ἀραιοὶ, καὶ μάλιστα, ὅταν ἐπὶ πλέον ἡ ψύξις κρατῇ. τὸ μέντοι τῆς διαστάσεως αὐτῶν ποσὸν οὐ κωλύεται σαφῶς οὐδ᾽ ἐναργῶς διὰ τὴν εὐῤῥωστίαν τῆς δυνάμεως. οὐ μὴν οὐδὲ βραδυτὴς ἐπὶ πολὺ κρατεῖ διὰ τὴν αὐτὴν αἰτίαν. ἐῤῥωμένη γὰρ ἡ δύναμις — (Cetera desunt).

nis pulsuum est, augescente simul tum caliditate tum facultate; in qua vehementissimi quidem et maximi, celerrimi tamen non aeque fiunt pulsus, frequentissimi autem magna quidem ex parte non evidenter quandoque; tamen supra naturalem statum excedunt; hocque fit, ubi caliditas plurimum aucta fuerit. Reliqua autem conjugatio alterationis secundum hoc genus pulsuum est, quando in idem conveniant robur facultatis et caliditatis defectus; fiuntque hi moderati quidem magnitudine, tardiores tamen et admodum rari, ac praesertim cum refrigeratio multum pervaluerit. Distentionis sane ipsorum quantitas non impeditur manifeste, nec evidenter, ob facultatis fortitudinem. Neque vero tarditas etiam multum praepollet ob eandem causam; valens enim facultas naturales motionis mensuras conservat, quamvis usus non postulet. Magnopere etenim usum esse exolutum oportet, frigiditate vehementer praepollente, ut pulsus evidenter minor fiat. Magna tamen ex parte naturalem distentionis quantitatem servat, vel parvo quid nec admodum aperte fit minor; multo certe tardior quam minor in refrigerationibus apparet.

Cap. XXIX. Redeamus autem ad praecognitiones quae in febribus fiunt, ut qualis sit singularum ex pulsibus dignotio hoc in loco dicamus. Ephemerae igitur omnes in

Ed. Chart. VIII. [325. 326.]
magnitudinem et celeritatem et frequentiam pulſus quantum in ipſis eſt mutant. Pari modo et hecticae febres in easdem differentias alterant pulſus quantum in ipſis eſt: et magis in ipſis immutatur celeritas. At quae fiunt ex putredine humorum, in vigoribus quidem ambas habent motiones celeres, diaſtoles inquam et ſyſtoles: pari modo et frequentias ambas aeque alterant: in invaſionibus autem non aeque, ſed ſolum intendunt ſyſtoles celeritatem; in aſcenſionibus autem cum hanc quidem tum vero extremam quietem plurimum concitant; ut frequentiſſimus appareat ſecundum ipſam pulſus. Et hi ſoli febrium ſunt proprii pulſus ex ſui ipſorum ratione. Alii autem alias affectiones magis ſequuntur. Duo autem ſunt genera talium affectionum, vel facultatis, vel inſtrumentorum vitium, ad tria enim haec reſpiciendo, cauſas quae pulſus immutant, invenire oportet, inſtrumentum, uſum et facultatem. Animum autem diligenter hoc in loco adhibere oportet, propterea quod diſſident inter ſe ſapientes *medici* [326] de propriis febris pulſibus, errantque cuncti, alterationes ipſas pulſuum, quae ex facultatis, vel inſtrumentorum vitio proficiſcuntur, proprias ipſarum febrium eſſe arbitrantes. Eſt autem inſeparabile maximeque proprium invaſionibus febris ex putredine humorum ortae ut ſyſtole arteriae velocior fiat, et quicunque in cognoſcenda ſyſtole fuerit exercitatus hoc habebit inſeparabile principii paroxyſmi ſignum, quando pulſus aliquem habet tenorem. Quo modo autem incipienda ſit exercitatio, copioſiſſime in primo de dignotione pulſuum dictum eſt. Equidem in multis multoties, quorum nunquam antea, nec dum valerent, nec dum aegrotarent, pulſus tetigeram, hoc ſolo ſigno fretus, nunquam lapſus ſum. Quando igitur pulſus in aliis non mutatus celerior fiat ſecundum ſyſtolen, principii paroxyſmi ſignum inſeparabile ſtatuito; ſit autem ſtatim talis pulſus etiam frequentior ſecundum externam quietem, incumbente natura ad propulſandum ſumoſum excrementum: propter quod celerius contrahebatur. Ephemeris autem febribus

Ed. Chart. VIII. [326.]
hoc non adest, quia sine putredine humorum fiunt. Sed nec etiam hecticis, quoniam nec incipiunt unquam, nisi casu aliqua alia affectio cum ipsis coiverit. Si autem primo die, cum recens de sanitate in morbum homo quispiam decidit, pulsum tangamus, statim etiam febris genus ab hoc signo indicabitur. Distinguuntur autem qui ex phlegmonis oriuntur ab iis qui ex putredine humorum sola ipsa duritie; durus enim est occursus in iis qui ex phlegmone. Si igitur distinguere potes durum arteriae occursum ex tensione ortum ab eo qui ex refrigeratione et duritie fit, tres habebis ex hoc praecognitiones causarum praeteritarum, potum frigidum, vinum meracius et phlegmonem, quam non solum causam, quae ante paroxysmum extiterit, sed quae etiam permaneat, dicimus; frigidae vero et largioris meraci potionem, praecessisse eam quidem, sed affectionem quae ab ipsa fit servari. Ac indurantur quidem ex nocuis frigidae potionibus arteriarum tunicae; exiccantur autem ex largioris vini potionibus. Haec quidem ita distinguantur. Quae vero prima die nequaquam habent praedictam notam, eae vel ephemerae judicandae sunt, vel hecticae. Ac rarissime quidem statim a principio consistit febris hectica; non tamen impossibilis est talis generatio ipsius, sed visae sunt alicubi a nobis etiam tales. Ac cunctas quidem ipsarum notas in tractatione de febrium differentia contemplamur; quae vero a pulsibus sumuntur, nunc dicentur. Neque magnus neque vehemens pulsus una cum hectitis unquam invadit febribus, sed si alterutrum horum insit ipsis, non sunt hecticae: si vero etiam omnia simul adsint, aperte sunt ephemerae.

Cap. XXX. His ita definitis, deinceps considerandum est, quid unusquisque pulsus in his ad crisim significet. Si igitur undosus ipse pulsus fiat et mollis insigniter, sperare oportet sudores. Durus autem vomitus magis quam sudores praemonstrare solet. Nam altus omnis excretionis est nota, quemadmodum et vehemens. Magnus autem si fuerit, motionis ad externa magis quam ad in-

Ed. Chart. VIII. [326.]
terna signum est: duplex autem cum sit utraque, ad externa quidem per sanguinis eruptionem et sudores, ad interna vero per ventrem et stomachum; undosus quidem pulsus sudores, magnus vero simpliciter sanguinis eruptiones praemonstrabit; motione vero ad interna superante, ubi adsuerint vomituum signa, dejectione alvi aegrotus judicabitur; ubi adsuerint, per sudores magis: si vero et haec adsuerint et venter insigniter subducatur, per utraque. Inaequalis autem pulsus in plurimis fit crisibus, ac praesertim ubi aliquid certaminis et periculi habeant; multo vero magis, ubi biliosi humores ad ventrem confluant, simulque adsint alia vomituum signa, quae ab Hippocrate dicta sunt: et omnino inaequales fiunt, quod mordeatur graveturque stomachus.

Cap. XXXI. Quoniam autem substantia facultatis singularum partium in bona cujusque ipsarum temperatura posita est (tunc enim proprium opus strenue perficit, quum temperatissima est: et sane male etiam agit, ubi intemperata reddita sit: et eatenus male quatenus intemperata sit:) ideo propositum est nobis deinceps dicere qualis pulsus singulas aliarum corporis partium affectiones sequatur. Diximus autem de corde ubi de febribus sermonem habuimus. Prope illud sunt respiratoriae partes animalis, hae autem sunt pulmo et thorax: postea alimenti instrumenta, hoc est jecur et venter intestinaque et lien et renes et vesicae ambae. Si igitur pulmo se ipso fiat aliquando calidior, statim et cor calefacit; sique frigidior sit, nec hoc denegat, summatim, suas intemperaturas citius quam alia instrumenta cordi impertit. Causa hujus rei est quod cordi maxime omnium est vicinus, perque vasa ei maxime affinis existit, et per maxima ostia in ambos sinus confluxum habent. Pulmoni igitur morbose calefacto, cor concalefactum pulsus efficit, qui ex usu pulsuum aucto fieri solent. Si vero longiori tempore hoc accidat, periculum ipsi est ne hecticam contrahat febrem. Refrigerato autem pulmone, cor compatiens per initia quidem in eam alterationem ducet pulsus quam prius ostendimus, dum usus exolvitur, con-

ſtitui; in fluxionibus autem commune omnium eſt ipſa pulſuum inaequalitas, obſtructioque prompte et conſtipatio et compreſſio principaliſſimarum arteriarum ex talibus fit fluxionibus: nec minus etiam plenitudo, quae ad vires refertur; quod tam prope pulmonem ſitum ſit cor, et per magna oſtia confluxum habeat, ac ex tenuibus quidem et paucis fluxionibus minor fit inaequalitas, ex craſſis autem et viſcidis et multis major; etenim hae obſtruunt et comprimunt et gravant magis. Duriores autem pulſus fiunt quam naturalis ſtatus exiſtit ex ſiccis intemperaturis ac phlegmonoſis vel ſcirrhoſis tumoribus pulmonis: quemadmodum ſane et molliores ob oedematoſas affectiones. Sane in pulſibus alia etiam quaedam gignitur differentia praeter ſuperius dictas ex eo quod fluxio aliquando quidem in ipſas ſolum incidat aſperas arterias, aliquando autem et in laeves et venas, vel etiam intermedias regiones ipſorum univerſas occupet; ex aſperis enim arteriis ſolis repletis nulla ſecundum duritiem fit mutatio pulſibus: ex laevibus autem arteriae quae in toto animali ſunt, dum tenduntur, duriorem efficiunt pulſum, oedemata vero molliorem ipſum reddunt, tenſionem nullam facientia, quemadmodum in phlegmonoſis et ſcirrhoſis tumoribus evenit. Ad talium autem intemperaturarum ſimilitudinem thoracis etiam intemperaturae easdem faciunt alterationes; tumores vero pro quantitate et idea ſingulorum qui ipſos faciunt humorum. Tardius autem thoraci compatitur cor, celerius, pulmone affecto. Pleuritici autem duriorem ſemper habent pulſum quam peripneumonici; major enim eſt tenſio ex duris et denſis partibus in tumorem elevatis. Aequalis autem ut plurimum ex tumoribus coſtas [327] occupantibus eſt pulſus, ex iis autem qui in pulmone ſunt inaequalis. Jecore autem aegrotante ex phlegmonis minus duri fiunt quam ex thoracis phlegmonis, tanto quanto quam ex pulmonis magis; compatitur autem promptius cor jecori, remotius licet quam thorax jacenti, ob venae cavae communionem. Ex diaphragmate autem malo affecto citra febrem durus quidem fit pulſus et parvus, non tamen multum fre-

quens, fed vel omnino parum, vel nullo modo ad talem pervenit mutationem. Maxima autem nota pleuritidis perniciofae eft, fi durus admodum pulfus evaferit, et ob id etiam parvus, et ob haec duo et caliditatem frequentiffimus; nullus enim pleuriticus ex tali pulfu fervatus eft. Dictum autem mihi in ifagoge eft pleuriticorum pulfum celerem et frequentem, nec valde magnum effe, et quia nervofiorem durioremque efficit arteriam, tanquam ad vehementiam vertat, inexercitatis imponere, qui duram percuffionem a vehementi difcernere nequeunt. Verum de his fermonem protrahere hoc in loco non oportet. Ventriculus autem male affectus intemperie quidem eo modo quo praedictae partes pulfus alterabit; fi vero tumor in ejus ore fubortus fit, durior pulfus erit ob nervorum multitudinem, non tamen ita durus ut ex diaphragmate. Quemadmodum autem ex doloribus oris ventriculi facultas celerrime fatigatur, eadem ratione non fuftinet copiam ne quidem paulifper, fed gravatur ac fatigatur, pulfusque *inaequales* efficit. Os autem ventriculi dum facultatem, vel gravatam a multitudine materiae, vel debilitatam habet, jure etiam pulfus efficit nonnunquam quidem languidos et frequentes et parvos, nonnunquam vero inaequales. Ita et in aliis alimenti inftrumentis invenies mutationes pulfuum, ad praedicta refpiciens; quaecunque enim dura et contenta et nervis plurimis duris praedita funt, facile haec pulfus efficiunt duros; qui vero contrario modo fe habent, molles. Vefica autem et uterus fitu quidem nihil inter fe differunt; durior tamen eft et nervofior vefica; quare ubi phlegmone laborat, pulfus magis quam uterus duros efficit. Variabit autem citius magisque ipfum in magnitudinem et parvitatem et alias differentias uterus. Percurram autem aliorum inftrumentorum intemperies, et primo, exercitationis gratia, intemperies cerebri. Attendere ergo oportet ad confiftentiam arteriae, utrum a ficcitate, vel tenfione tunica appareat dura; deinde, fi ex ficcitate appareat, duorum alterum cenfendum eft in cerebro exiftere, vel intemperiem calidam et ficcam, vel bilis redundantiam; fi ex ten-

Ed. Chart. VIII. [327.]

ſione, phlegmonoſam affectionem; ſi ex utrisque, cenſere oportet et ipſam affectionem compoſitam eſſe ex ſanguineo et relioſo humore. Quicunque autem ex nigra bile, quae ob putredinem ebullierit, tale quid patiuntur, duros habent pulſus ob ſiccitatem et tenſionem; ſtatim vero et parvos ob duritiem, et celeriores quam qui ſecundum naturam ſunt, quando febricitant; et frequentiores, propterea quod uſus non adimpleatur. Humidae autem intemperaturae molles tractu temporis pulſus reddunt, et hominem ipſum comatoſum. Si vero febrilis ipſis conjungatur caliditas, lethargus nominatur ipſe morbus; ſitque pulſus non mollis tantum, ſed etiam magnus. Si vero ex putreſcente pituita in cerebro talis gignatur affectio, erit quidem et hoc modo morbus lethargus, habebitque pulſus imaginem quandam tenſae arteriae, quamvis mollis ipſa ſit; et magni eatenus in ejusmodi morbis omnibus ſunt, quatenus caliditas aucta ſit; celeritas autem, vel omnino minima, vel nullo modo his intenditur; ita vero et frequentia. Refrigeratione autem morboſa in cerebro eveniente, quando in ſympatheiam pervenit cor, minores et tardiores et rariores quam qui ſecundum naturam ſunt, pulſus ſient; et ſi quidem citra materiam ſola intemperies ſit cerebri, ſine tenſione, ſi vero cum materia, melancholica quidem ipſa exiſtente, tendi arterias et propter hoc duriorem apparere pulſum continget; pituitoſa autem non ſimpliciter, ſed ſi quidem craſſa et viſcida ſit pituita, tendentur; ſi vero humida et ſpirituoſa, ſine tenſione mollis erit pulſus; ſi vero permixta ſit, mollis ſimul et cum tenſione quadam. Quoniam autem tenuis meninx non videtur unquam pati ullum ex praedictis morbis ſine cerebro, ſicuti neque cerebrum citra meningem, et dura meninx quam plurimum diſtans a cerebro poteſt etiam ſola pati; ſcito, ſi affecto notabilis ipſius genita fuerit, corque in ſympatheiam attraxerit et arterias, pulſus perinde ac in cerebri affectionibus variabitur, niſi quod in mollitie et duritie non eatenus mollem et durum quatenus cerebrum efficiet, ſed multum quidem durum, parum vero mollem. Quaecunque enim corpora natura dura indurantes ſuſce-

Ed. Chart. VIII. [327.]
perunt affectiones, ad maximam perveniunt duritiem, quemadmodum et natura mollia, quae humectantes et fundentes affectiones receperunt, perfecte exoluta fiunt et mollia. Si igitur affecta pars densa et dura sit, duros efficit pulsus; si vero carnosa, si quidem vel phlegmone correpta sit, vel scirrho, duros, sed minus quam praedictae partes, si oedemate laboret, molles. Musculos autem abdominis et thoracis phlegmone tentatos febres quidem facile comitantur, et propter hoc et pulsus magni fiunt et veloces et frequentes, durus autem in ipsis abunde pulsus, vel spasmosus nunquam fit. Musculis vero cubiti et tibiae phlegmone tentatis, et praesertim qua parte ipsorum exoriuntur tendones, facile quidem est corripi et spasmo; facillime etiam pulsus et tendunt et indurantur, adhuc vero magis, si tendo aliquis ex iis qui in extremis sunt manibus vel pedibus phlegmone tentatus sit, prompte quidem pulsus ipsis fit durus, prompte etiam spasmo corripiuntur; fiunt *etiam* abunde duri et ob jecoris, vel lienis scirrhum, sed *ex his* ita duris nullum spasmi imminet periculum. Ac lieni quidem cum scirrho magnopere esset affectus, vidimus etiam multoties nequaquam supervenire hydropem; jecori vero necessario succedit, tuncque pulsus ambarum affectionum signis praeditus est, tunica quidem et humidiori et molliori, indicante tamen aperte tensionem ex scirrho ortam, et ob id etiam duriore. Hydrops autem ipse per se ipsum sine viscerum phlegmone nullam facit in pulsu tensionem. Quo modo autem affectus uteri pulsus alterant, dictum est, quando ipsum vesicae comparabamus. Si vero elythroeides tunica phlegmone tentetur, durus fit pulsus et minor. Ex testibus autem phlegmone tentatis non aeque durus et magnus propter febrem. Et haec quidem magna ex parte ab internis causis efficiuntur.

Cap. XXXII. Multoties autem et ab aliqua externa causa mutationes pulsuum fiunt, quae in hunc modum discernendae sunt. Ea quidem quae ex balneis et cursibus, frictionibus et aliis motionibus fit, brevis temporis est; atque ita celeriter ad pristinam regreditur constitutionem;

Ed. Chart. VIII. [327. 328.]
quare licet tibi, ubi pulſus tetigeris, atque deinde aliquantiſper intermiſeris, ac rurſus tetigeris, apertiſſime dignoſcere mutationem. Magnitudo [328] autem pulſuum a vino et alimento orta diutiſſime permanet, diſtinguiturque per conjunctam ipſi vehementiam; vehemens enim non minus quam magnus pulſus his ſit; nunc autem ſupponitur qui duntaxat redditus ſit major; non igitur ab his alteratus eſt. Jam et magnitudo ab ira orta cum vehementia ſit, quae alioqui prudentem non lateat, ſi in oculos et univerſum vultum inſpiciat. Ei vero qui iram velit occultare, inaequalis pulſus ſit; adhucque etiam magis inaequalis eſt iis qui anguntur et verecundantur. Magnitudinis autem incrementum, quod ſit a ſemicoctis in corpore humoribus, qui coquuntur, aluntque naturam, perinde ut iis, qui cibum ſumpſerunt, una etiam auget vehementiam. Eodem etiam modo, ſi quis in ſole, vel ad ignem caleſactus ſit, cutis ipſius ſqualida et non humida ut a balneis erit. Atque ii quidem ſub contrario quodam modo affecti ſunt ac loti, quod ad mollitiem et humiditatem cutis attinet; medium inter utrosque locum obtinent fricti et exercitati. Hae quidem ipſae ſunt artiſiciales dignotiones cauſarum, quae pulſus in magnitudinem et in ſanis et in aegrotis vertunt. Externae vero aliae quidem ex indagatione, cum ſcilicet inter inimicos aut inſidiatores, aut malignos tentatores, conſiderationes facitis. Interdum autem magnitudinem adeptus eſt pulſus, vel quia medicamentum calefaciens aegrotus ſumpſerit, vel ſignificationis ratione. In his quidem primum conſiderare oportet paroxysmi tempus, poſtea laborantis morem et conſuetudinem; ſi enim aliquo alio tempore, et non paroxysmi magnitudinem pulſus ipſe aſſumpſerit, probabile eſt a caleſacientibus potius, non paroxysmi ratione factam eſſe alterationem; ſi vero in paroxysmo, probabilius eſt ſignificationis ratione. Diſtingues autem exquiſite, ſi parumper intermittens rurſus tetigeris. Caliditatem enim a medicamento ortam, propter quam pulſus increvit, ſemper magis ac magis exolvi contingit progrediente tempore; intendi autem eam quae a paroxysmo fit. De conſuetudine autem

Ed. Chart. VIII. [328.]
et more sciendum quosdam quidem insuetos esse formidolososque ad medicamentorum potiones, nonnullos autem consuetos; similiter et de moribus. Quidam enim insidiatores sunt, animoque tenentur, ut cunctos tanquam nihil firmi scientes redarguant, quidam vero simplices sunt et modesti. In his ergo suspicandum non est quicquam clam factum esse; in insidiantibus vero suspicari oportet omnia. In primo autem de causis pulsuum libro ostensum est, ubi paulo augeatur caliditas, et in magnitudinem quidem evidenter increscere pulsum, in celeritatem vero non evidenter; ubi amplius aucta sit, magnitudinem quidem assumere, sed in celeritatem evidenter increscere, et aliquid etiam frequentiae adipisci; quemadmodum ubi plurimum aucta sit, et usus generationis pulsuum supra maximam sit diastolen, in magnitudinem quidem non increscere, quando ad extremum auctus sit, sed celeritati quantum potest una cum frequentia addere; et ubi non amplius celeritatem intendere possit, frequentiam incitare. Si vero aegroto cuipiam, qui minorem quam secundum naturam est pulsum habeat, major postea fiat sine externa motione, huic caliditas amplior priore facta est. De minori autem eadem est ratio; minor enim se ipso fit, vel facultate imbecilliori reddita, vel instrumentis durioribus, vel usu exoluto. Sed neque facultas imbecillior evasit nunc, alioqui omnino languor una cum parvitate esset: nec corpus arteriae durius, ita enim non solum minor, sed etiam durior esset pulsus; superest ergo usum tantum mutatum esse. Et sane ex majori quam sit is qui secundum naturam est pulsu talem necessario factam esse versionem notum est iis qui memoria tenent ea quae ostensa sunt in primo de causis pulsuum libro. Nam et quae ex naturali statu in parvitatem fit versio ob frigiditatem, statim etiam rariorem ipsum efficit et tardiorem; et quae ex magno supra modum aucto moderati fit imminutio, statim etiam celeritatis et frequentiae aliquid detrahit, propterea quod qui multum supra naturalem statum auctus sit in tribus generibus mutetur. Qui ergo de magnitudine tantum detraxit pulsus, caetera autem immutata

servat, paulo major est ea qui secundum naturam est; hic enim solus ex pauco caliditatis augmento constat. Aliorum vero qui magnitudine variantur nullus nisi simul celeritatem assumat, vel frequentiam, talis evadit. Qui vero usque adeo est immutatus a caliditate ut non magnitudinem solum, sed et celeritatem immutet et frequentiam, contrarium iter tenebit per easdem genere alterationes, quare non solum minor, sed et tardior et rarior erit quam prius. Dum autem calesit, magnitudo evidenter primum, postea celeritas, deinde frequentia ipsa advenit. Dum refrigeratur, contra, raritas quidem evidenter primo, secundo tarditas, ultimo parvitas. Tot enim sunt quae refrigerationem efficiunt causae quot quae calefaciunt. Etenim aër frigidus extrinsecus occurrens, quemadmodum et aqua frigida, vel lavacrum, vel medicamentum corpori inunctum, refrigerat; vel etiam longa aliqua quies et veluti latebra frigidius efficit corpus; et eorum quae intro recipiuntur, ut aër, qui inspiratur frigidus et alimentum pituitosum et medicamentum aliquod frigidum, et aquae frigidae usus immodicus: et ex animi affectibus, diuturnus timor; et ex humoribus qui in corpore continentur, quicunque frigidi temperamento, quiescentes prius, commoti nunc sint, aut omnino validiores aliquo modo facti sint calidis. Haec autem distinguere oportet eo modo quo de causis calefacientibus diximus. Ipsa quidem essentia magnorum et parvorum pulsuum secundum circulum arteriae consistit, ubi longitudo par perpetuo servatur, non tamen apparet par, sed aliqua pars occultatur. At dictum quidem est de hac re in secundo de causis pulsuum libro; bis enim de eisdem dicere non est necesse.

Cap. XXXIII. Quoniam autem de magnis et parvis pulsibus quid significent dictum est, jam in praesentia ad sermonem de frequentia et raritate transeundum est. Pura ergo et minime excrementosa caliditas diastolen efficit majorem simul et velociorem; quae vero putribus turbata est excrementis, systolen. Ubi vero ex magnitudine diastoles pulsus fit frequentior, auctam esse significat caliditatem

Ed. Chart. VIII. [328. 329.]
multam in corpore puram; ubi autem, quod maturius incipiat fystole, impurae et excrementofae caliditatis copiam indicabit. Simili modo fi rarior pulfus fiat fecundum externam quietem; fi quidem ex brevitate diaftoles, refrigeratam effe in animali caliditatem oftendit; fi vero, quod tardet fyftole, minora reddita effe fumofa excrementa; fecundum internam vero quietem, contra; fi vero propterea, quod producta fit fyftole, pulfus frequens evaferit, copiam fubnutriri fumoforum excrementorum; fi vero propterea quod maturius incipiat diaftole, auctam effe caliditatem; rurfus autem fecundum hanc eandem quietem rarior quum fit pulfus, fi fane ex eo, quod imminuta fit fyftole, pauciora reddita effe excrementa oftendet; fi vero propterea [329] quod tardet diaftole, imminutam effe caliditatem. Duplex autem eft pulfuum quies, longi quidem temporis, quae duorum pulfuum tempus excedit; brevis autem temporis, quae eft intra duorum pulfuum tempus. Quies vero temporum unius pulfus inter intermiffiones eft moderatiffima; ac multi ex ea fervati funt tum fenes tum pueri; aetate autem florens ex hac nullus, verum ex ignoratione quidam longam raritatem intermiffionem effe opinantes, exiftimant fervatos effe quosdam aetate florentes ex tali pulfus pravitate. Eft quidem et haec gravis, ac praecipue aetate florentibus; non tamen perniciofa omnino; in pueris fane et fenibus adhuc etiam magis mitis. Mors porro repentina ex intermittentibus evenit pulfibus, quo modo ex apoplexia; extinguitur enim in utrisque caliditas quae in corde eft, refpiratione privata. Ac raritas quidem ab intermiffione pulfuum diftincta eft prolixitate temporis; interdum vero etiam, quod raritas cum aequalitate aliquando confiftat omnium percuffionum, intermittens vero pulfus neceffario inaeuqalis fiat; interdum enim per tres, interdum per quatuor, aliquando per quinque percuffiones, vel etiam plures intermittere invenitur; et quiefcere unum tempus motionis, vel etiam plura. Quae igitur eft in ipfo cordis corpore refrigeratio magna, eatenus etiam pulfus languidos efficit et tardos et parvos, quatenus

Ed. Chart. VIII. [329.]
et ipsa dominatur; quae vero ab aliqua alia parte proficiscitur, raritatem plus quam alia praedicta genera a naturali statu amovet. Ubi ergo corpus ipsum cordis refrigerationem suscipit, mors inevitabilior est. Ac raritas quidem pulsuum usque adeo perniciosa est. Huic vero contraria est frequentia, sicuti et intermissioni intercursio; nam intercurrens pulsus ex inaequali fit frequentia, propterea quod saepenumero actionem suam minus plene ac usus postulat cor obierit. Jam id ipsum fit, ubi vel cor a multitudine gravatur, vel instrumenta sunt obstructa, aut angustata, quae sane, opinor, et intermittentium erant causae. Enimvero multoties intercurrentes pulsus crisim attulerunt; est enim veluti conatus quidam naturae ad certamen se parantis. Quod si ex hujusmodi crisibus perierunt quidam, nihil hoc facit ut gravior sit intercurrentium affectio quam intermittentium; multo enim plures ex intermittentibus pereunt, eadem etiam ratione ex valde raris qua ex frequentibus. Etenim febres omnes perurentes frequentem habent pulsum, quum tamen aliquando ipsarum periculo vacent; qui autem in syncopis sunt frequentes, ob languorem, quae a nulla unquam syncope separatur, sunt periculosi. Praestiterit autem ut consideremus de extremitatibus, quae in omnibus pulsuum generibus sunt. Ac extrema quidem frequentia nihilo minus quam syncope laborantibus inest iis qui perurentes febricitant, nec ex toto tamen perniciose habent. Raritas autem non est unquam sine periculo, sicuti nec languor, nec parvitas. Etenim tres hae differentiae pulsuum, cum ad extremum perveniunt, perpetuo sunt periculosae; extrema autem magnitudo, ubi una cum morbosa mollitie consistit, periculosa est, ubi autem cum aliqua salubri tunicae arteriae constitutione, nihil absurdi habet. Videtur autem et velocium pulsuum genus minus periculosum esse quam tardorum, si quidem extrema etiam celeritas minus quam extrema tarditas est periculosa; extrema enim tarditas, sicuti sane et raritas, tunc accidunt, ubi innata caliditas extinguitur. Incrementum autem in celeritatem et ob usum urgentem fit et omnino

Ed. Chart. VIII. [329.]
a facultate valida. Archigenes vero et hic etiam fallitur, qui formicantem pulsum suspicatur celerem esse; neque enim celer omnino est, neque ad extremum venit frequentiae, sed omnes pulsus, qui a naturali symmetria multum recedunt, non boni sunt. Ac certe languidissimus et tardissimus et rarissimus omnium est deterrimus; post hos autem minimus et mollissimus et durissimus; postea frequentissimus. Ac non celerrimus, neque maximus; sed hi sunt modice periculosi. Solus autem ex extremis optimus est omnium vehementissimus. Et sane caprizans pulsus ex genere est eorum, qui quiete intercipiuntur; inaequalibusque cordis intemperiebus interdum supervenit; sicuti et dicrotus ex genere quidem est eorum qui intro retrahuntur, comitatur tamen et ipse interdum inaequales cordis intemperies et tum magis, si fuliginosa excrementa multa in multis ipsius partibus sint. Ipsa autem inaequalitas consistit in situ partium, ex eo quod arteria sursum, vel *deorsum*, antrorsum, vel retrorsum, dextrorsum, vel *sinistrorsum*, traducta esse videatur, in motione vero ex eo, quod citius vel tardius, maturius vel serius, vehementius vel languidius, diuturniori tempore vel breviori, semper vel nullo modo, moveatur; in singulis autem partibus, ex eo quod intersectus perspicue sit, ex quibus est et caprizans; simili modo, ex eo quod recurrit, ex quibus est et dicrotus. Et caprizans quidem est ex iis qui secundum unam diastolen sunt inaequales; quando quae post quietem est secunda motio et ocyor et vehementior priore fit. Tradidimus autem in tractatione de differentia pulsuum hujus nomenclaturae caussam. Ac ea quidem, quae in uno pulsu intermittit inaequalitas, gravissima omnium est inaequalitatum; non sinit enim simplices motiones fieri secundum naturam; sed impedimento est, ac privat motione arterias, non per tres, aut quatuor aut per aliquos adhuc plures pulsus, sed in ipso statim primo, et mortem propinquam minatur.

Cap. XXXIV. Ac ea quidem quae proposita sunt omnia, jam finem habent, nam quum singularum particularum affectiones cunctas percurreremus, qualemnam pulsum

Ed. Chart. VIII. [329. 330.]

unaquaeque verſio faciat declaravimus. Nunc vero in pauca capita ſynopſin ipſorum redigere conemur. Praeſentium igitur dignotio eſt affectuum inventio: praeteritorum autem dignotio eſt inventio cauſarum, quae affectiones faciunt. Si igitur univerſae affectiones a nobis abunde diſtinctae ſunt, traditaeque ſunt omnes effectrices cauſae in aliis tractationibus; nihil jam reſtare amplius videtur iis, quae neceſſaria ſunt ad praecognitionem vel praeteritorum vel praeſéntium. Quod autem futurorum praecognitio ex praeſentibus fiat, ſaepius quidem jam et per ea quae ſuperius dicta ſunt oſtendimus, et nunc etiam neceſſe eſt ut totum ſermonem per capita percurramus, initium ſumentes a dignotione eorum, quae futura expectamus. [330] Ac unum quidem et primum eſt, quorſum terminabitur morbus, ad perniciemne an ad ſalutem. Alterum ab hoc, in quo praecipue hoc erit tempore. Tertium ab his, quisnam modus erit mortis, aut ſalutis. Omnium autem praecognitio ex affectionibus eſt, ex ipſis enim, ut oſtendimus, et morbi idea et facultatis infirmitas ac robur dignoſcitur. Haec autem ſi inter ſe conferantur, ea quae futura ſunt praecognoſcuntur. Morbi enim cognitio ex loco affecto eſt: facultatis autem ex eucráſia et dyscraſia ſolidorum corporum. Haec autem ſi inter ſe conferantur, ſi quidem vigorem morbi ferre poteſt facultas, neceſſe eſt ſervari hominem, ſi nihil extrinſecus ſit erratum; ſi vero non poteſt, omnino morietur. Tempus autem, in quo praedictorum utrumque erit, ex hisce praecognoſcitur. Qui ſuperſtites futuri ſunt, eo tempore ſervabuntur, in quo natura morboſam affectionem perfectiſſime ſuperabit. Morientur autem eo tempore quo morbus adeo erit natura ſuperior ut aliqua ex actionibus ad vitam neceſſariis pereat. At vero etiam modus tum mortis tum ſalutis ex eisdem praecognoſcetur. Actionum enim ad vitam neceſſariarum, quae pereunt, nonnullae quidem facultatis vitalis ſuffocationem inferunt, nonnullae vero proſternationem, nonnullae autem quid alterutri proportione reſpondens. Ac illae quidem quae ſuffocationem inferunt, ex reſpiratoriis ſunt affectionibus;

Ed. Chart. VIII. [330.]
nonnullae vero et in ipſo corde protinus conſiſtunt. Quae autem vires proſternunt, ex ſtomachicis quas vocant ſunt affectionibus, ob quas ſyncope corripiuntur; et inſuper ex jecoris affectionibus diuturnis, ob quas non aluntur, et ex doloribus diuturnis, aut vehementibus, itemque ex hecticis omnibus febribus. Animalis autem facultatis imbecillitates magnis cerebri intemperiebus comites ſunt; ejusdem vero quaſi ſuffocationes, impletionibus ventriculorum ipſius et obſtructionibus meatuum, qui in ipſos penetrant. Quare quicunque exquiſite omnia dignoſcit, hic etiam futura perfectiſſime praecognoſcet. Ante omnia autem vitalem facultatem, quae pulſus facit, quomodo ſe habeat dignoſcere oportet. Nonnunquam enim ex ſua ipſius ratione infirma eſt, nonnunquam vero a multitudine gravatur, et tria inaequalitatum genera conſtituuntur, ſecundum magnitudinem et parvitatem, ſecundum celeritatem et tarditatem, ſecundum frequentiam et raritatem. Si ergo pulſus vehementes et magni plures contrariis exiſtant, minus facultas a *multitudine* fatigata eſt; ſi vero parvi et languidi, magis. Ex pulſibus autem ſecundum unam percuſſionem inaequalibus, tum quos interſecto quiete motu tum quos continuo permanente diximus fieri, omnes hi robuſtiorem eſſe facultatem indicant quam omnes ii qui languidiorem et tardiorem motum faciant. In tali igitur pulſuum conſtitutione altus pulſus monſtrabit naturam ſuperiorem jam eſſe multitudine. Altior vero ſimul et vehementior tum robur indicat facultatis tum motionem minime impeditam. Inſpicere autem tunc motionem ſyſtoles oportet; hincque criſeως morem diſcernere. Melior enim criſis ſubſequi ſolet, celeritate ſyſtoles multum exoluta. Si vero et alia concoctionis ſigna, quae in libris de criſibus ſcripta ſunt, adſint, optimam criſin talis praemonſtrat conſtitutio. Si vero celeritas ſyſtoles parum exoluta ſit, vel nondum videatur concoctus eſſe morbus, fiet quidem criſis per excretionem, non tamen bona omnino. Sciendum autem eſt non eandem eſſe facultatem vitalem et nutricem naturalemque; illa enim ſolum pulſus gignit, naturalis autem et quod familiare eſt ad nutritionem trahit,

Ed. Chart. VIII. [330.]
et quod ejusmodi non est excernit, unaque etiam nimirum retinet ac alterat id quod familiare est. Vitalem certe nec in stirpibus est invenire, nec in animalibus quae frigida sint, ut sunt ostrea et quaecunque petris vel quibusdam aliis solidis corporibus adnascuntur; quaecunque autem animalia calida sunt et praesertim sanguinea, apertissimam et vehementissimam hanc habent facultatem. Naturalis porro facultas crises efficit, et quatenus hujus participes sunt arteriae superfluum abjiciunt. Per alteram autem facultatem, pulsatricem inquam, cujus solae arteriae sunt participes, excernunt in systolis fumosum excrementum, quemadmodum in diastolis attrahunt, quod ipsas refrigeret. Semper autem aequalis magnitudine est diastole ipsi systolae, nisi forte quaedam, digitis admotis, repente mutatio fiat. In hoc tamen differunt, quod modo quae ad interna fit motio superet, modo quae ad externa, sique motio, quae ad interna fit, superet, fumosam aliquam in arteriis esse caliditatem significant; si vero quae ad externa, igneam et puram. Ac ob hanc quidem causam pulsus altus excretionis est nuncius. Copia vero excretionis tum ex eo, quod plethorica praefuerint signa tum ex praesenti flammea caliditate praecognoscitur, ob hancque eandem caliditatem pulsus magni apparent et alti. Pessimae igitur excretionum sunt illae, in quibus pulsus nec magnus est et velox in systole apparet. Ubi vero inconcoctus existat morbus, si pulsus tenoris vacuus sit, periculum imminet syncopes. Ubi autem pituitosior morbus sit, quando in inaequalibus pulsibus mutatio in plures vehementes et magnos sit, per abscessum erit crisis. Ubi vero cum pulsu qui excretorius exquisite sit, una etiam adsint haemorrhagica quae vocant signa, ex naribus sanguis erumpet; ubi haec ipsa absint, ex alia quadam regione; quemadmodum in libris de crisibus per diexodon dictum est. Et haec quidem sunt quae de pulsibus in synopsin redigere proposueramus.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΚΡΙΣΕΩΝ ΒΙΒΛΙΟΝ Α.

Ed. Chart. VIII. [377.] Ed. Baſ. III. (389.)

Κεφ. α'. Εἴτε τὴν ἀθρόαν ἐν νόσῳ μεταβολὴν, εἴτε τὴν ἐπὶ τὸ βέλτιον ῥοπὴν μόνην, εἴτε τὴν προηγουμένην αὐτῶν ταραχὴν, εἴτε καὶ τὴν λύσιν ἅπασαν τοῦ νοσήματος, εἴτε καὶ ταύτης μόνην τὴν ἀγαθὴν θέλοι τις ὀνομάζειν κρίσιν, οὐ πρόκειταί μοι διαιρεῖσθαι τανῦν, ὅ τι μὴ πάρεργον· ἀλλ' ὡς ἄν τις κάλλιστα προγινώσκοι τὰ τοιαῦτα σύμπαντα, διελθεῖν ἔγνωκα. ἀρίστη δ' ἀρχὴ τῆς προγνώσεως αὐτῶν ἥπερ δὴ καὶ τῆς ἐσομένης ἀκμῆς. οὕτω δὲ προσαγορεύεται τὸ σφοδρότατον μέρος ὅλης τῆς νόσου.

GALENI DE CRISIBVS LIBER I.

Cap. I. Sive ſubitam in morbo mutationem, ſive ad meliorem ſtatum inclinationem ſolam, ſive perturbationem, quae eas antecedit, ſive omnem morbi ſolutionem, ſive eam tantum, quae bona ſit, criſim velit quis appellare, non eſt mihi niſi obiter hoc in loco diſtinguere propoſitum: ſed quo pacto haec omnia quispiam optime praenoscat, percenſere decrevi. Optimum autem praenotionis eorum principium quod etiam futuri ſtatus: ſic autem appellatur vehementiſſimum totius morbi tempus.

Κεφ. β΄. Τέσσαρα μὲν γὰρ ἅπαντα τὰ μόρια τῶν νόσων ἐστὶν, ἀρχὴ καὶ αὔξησις καὶ ἀκμὴ καὶ παρακμή. φθάνουσι δ᾽ ἔνιαι τῶν νόσων διά τε τὴν σφῶν αὐτῶν κακοήθειαν καὶ διὰ τὴν τοῦ κάμνοντος ἀδυναμίαν ἐν τῷ τῆς ἐπιδόσεως χρόνῳ διαφθεῖραι τὸν ἄνθρωπον, ὥσπερ ἕτεραί τινες ἐν τῷ τῆς ἀκμῆς. εἰ δὲ κἂν τῷ τῆς παρακμῆς χρόνῳ δύναιτό τις ἀποκτεῖναι νόσος, εὐλόγως ἐζήτηται. περὶ μὲν δὴ τούτου προϊόντος τοῦ λόγου διορισθήσεται. τὰ δὲ οὖν τέτταρα μόρια ταῦτα καλοῦσιν μὲν ἔνιοι καὶ καιροὺς ὅλου τοῦ νοσήματος, δι᾽ αὐτὸ δὲ τοῦτο καὶ καθόλου καιροὺς ὀνομάζουσιν, ὡς ἂν διαφέροντας δηλονότι τῶν κατὰ μέρος, εἰς οὓς ἕκαστος τῶν παροξυσμῶν διαιρεῖται. [378] ὁρίζονται δὲ οὐχ ἡμερῶν ἢ ὡρῶν ἀριθμῷ, καθάπερ ἂν οἰηθείη τις. (390) οὐ γὰρ ἐνδέχεται τὴν ἐν τέτταρσιν ἡμέραις λυθεῖσαν νόσον ἰσόχρονα κεκτῆσθαι τὰ μόρια τῇ μέχρι τῆς τεσσαρακοστῆς ἐκταθείσῃ. καὶ μέχρι μὲν τοῦδε σχεδὸν ἅπαντες ὁμολογοῦσιν ἀλλήλοις. ὅτῳ δὲ χρὴ κρίνειν τε καὶ διορίζειν τοὺς εἰρημένους καιροὺς, οὐκ ἔτι ἐν τῷδε συμφωνοῦσιν ἀλλήλαις·

Cap. II. Sunt enim omnia morborum tempora quatuor numero, principium, incrementum, status et declinatio. Quidam vero morbi ob eorum malignitatem atque ob aegrotantis imbecillitatem statim in tempore incrementi hominem occidunt; sicut et quidam alii in ipso statu. An vero etiam in declinationis tempore aliquis morbus possit occidere, non sine ratione quaesitum est; sed de hoc procedente sermone determinabitur. Has autem quatuor partes quidam etiam tempora universi morbi appellant. Eandem autem ob causam tempora etiam vocant universalia, ut quae a particularibus differant, in quae singulae accessiones dividuntur. Definiuntur autem non dierum vel horarum, ut quispiam existimaverit, numero; neque enim fieri potest, ut morbus qui in quatuor diebus sit finiturus, aequalia habeat tempora partium cum eo, qui usque ad quadragesimum diem debeat extendi. Et omnes quidem hucusque consentiunt. Quomodo autem judicare atque distinguere hujusmodi tempora oporteat, non etiam in hoc omnes inter

ἀλλ' οἱ μὲν εἰ προλαμβάνουσιν ἢ ὑστερίζουσιν οἱ παροξυσμοὶ σκοποῦσιν, οἱ δὲ εἰς τὸ μῆκος αὐτῶν ἀποβλέπουσιν, οἱ δὲ εἰς τὸ μέγεθος, ὅπερ δὴ καὶ σφοδρότητα προσαγορεύουσιν. ἔνιοι δὲ τὰ αὐτὰ ταῦτα καὶ κατὰ τὰς ἀνέσεις ἐπισκοποῦνται, κἄπειτα πρὸς ἀλλήλους ἐρίζουσιν, ἐνὸν ἅπαντά τε συνθεῖναι τὰ λελεγμένα καὶ πρὸς αὐτοῖς ἕτερα τὰ νῦν ῥηθησόμενα, μόγις γὰρ ἂν οὕτως τις ἀκριβῆ στοχασμὸν ποιήσαιτο τοῦ καθεστῶτος καιροῦ. τὸ δὲ παραλιπεῖν ὁτιοῦν ἐξ αὐτῶν ἄσκεπτον εἰς τοσοῦτόν ἐστι βλάπτον τὴν πρόγνωσιν εἰς ὅσον ἂν ἢ μεγέθους ἢ δυνάμεως ἥκῃ τὸ παραλειπόμενον.

Κεφ. γ'. Εἰ τοίνυν ἐπιδίδωσιν ἡ νόσος, οὐ μόνον ἐν τῷ προλαμβάνειν τοὺς παροξυσμοὺς τεκμαίρεσθαι προσήκει, ἀλλὰ καὶ τὸ μῆκος αὐτῶν ἐπισκοπεῖσθαι χρὴ, καὶ τὸ μέγεθος, καὶ τὸ ἦθος τὸ μετὰ συμπτωμάτων, εἰ τύχῃ, ἢ ἄνευ τούτων, ὥσπερ οὖν κἀπὶ τοῦ διαλείμματός τε καὶ τῆς παρακμῆς τὰ αὐτὰ ταῦτα θεωρεῖν ἀξιῶ. καλῶ δὲ διάλειμμα μὲν, ἐπειδὰν εἰς ἀπυρεξίαν ὁ παροξυσμὸς παύηται· παρακμὴν δὲ τὸ μετ'

consentiunt; sed nonnulli quidem, si anticipent, aut cunctentur accessiones, considerant; hi vero ad earum longitudinem respiciunt; alii ad magnitudinem, quam etiam vehementiam nominant; quidam et haec ipsa in remissionibus considerant; deinceps invicem altercantur, quum liceat quae diximus omnia conjungere, ac praeterea alia quae nunc dicentur; hac enim via vix quispiam exquisitam faceret constituti temporis conjecturam. Si vero quidpiam ex his indiscussum praetermittatur, tantum praecognitioni nocebit quantum vel magnitudinis vel virium quod praetermittitur obtinebit.

Cap. III. Numquid igitur morbus augeatur, non ex eo tantum conjicere oporteat, quod accessiones anticipent; sed etiam earum longitudinem oportet annotare et magnitudinem quoque ac morem qui cum symptomatibus verbi gratias, vel sine his evenit; sicut etiam in intermissione et declinatione haec eadem existimo consideranda. Voco autem intermissionem quando febris in quietem desierit; declinationem

αὐτὴν ἀκμὴν ἅπαν αὐτοῦ μέρος, ἕως τῆς ἀρχῆς τοῦ δευτέρου παροξυσμοῦ. τὸ γάρτοι προλαμβάνειν αὐτὸ καθ' ἑαυτὸ μόνον οὐχ ἱκανὸν αὐξήσεως σημεῖον ὑπάρχει, ἰδιότητι πολλάκις ἑπόμενον νόσου μᾶλλον ἢ διὰ τὴν ἀνάβασιν αὐτῆς γιγνόμενον. ἀμέλει καὶ τριταῖαί τινες ἤδη καὶ τεταρταῖαι καὶ ἀμφημεριναὶ περίοδοι, μέχρι παντελοῦς λύσεως, οὕτως ὤφθησαν παροξυνόμεναι. καὶ καλεῖν γε τοῖς ἰατροῖς ἔθος ἐστὶ τοὺς τοιούτους τύπους προληπτικοὺς, ὥσπερ ἑτέρους ὑστερητικοὺς, οἳ ἂν ἀπ' ἀρχῆς εὐθὺς ἐπιλαμβάνουσί τι τοῦ μέλλοντος χρόνου. ἀλλά τοι κἀπὶ τούτων τὸ τῆς ἀναλογίας πλέον ἐπιλαβεῖν, ἢ προλαβεῖν, τὸ μὲν παρακμῆς, τὸ δ' αὐξήσεως εἶναι δοκεῖ γνώρισμα. τὸ δὲ ἁπλῶς προλαμβάνειν, ἢ ὑστερίζειν, οὐδετέρου. σκοπεῖσθαι δὲ προσήκει οὐ τοῦτο μόνον, εἰ προὔλαβεν ὁ δεύτερος παροξυσμὸς τῆς συνήθους ὥρας, ἀλλ' εἰ καὶ τὸ μῆκος αὐτῷ τοῦ χρόνου ταὐτὸν, ἢ τὸ μέγεθος ἴσον, ἢ εἰ νῦν κακοηθέστερος, ἢ ἁπλούστερος ἐγένετο. τὰ δ' αὐτὰ ταῦτα κἀπὶ τῶν διαλειμμάτων τε καὶ τῶν παρακμῶν ἐπισκοπεῖσθαι χρή. τὸ μὲν δὴ μῆκος τοῦ χρόνου ῥᾷστον κατα-

omnem ejus partem quae ftatum ipfum fubfequitur usque ad fecundae acceffionis principium. Nam anticipatio fola per fe ipfam non eft fufficiens fignum incrementi, quod faepe morbi proprietatem confequitur potius quam ejus incrementum, quum et quartani et tertiani et quotidiani quidam circuitus usque ad integram folutionem ita anticipare vifi fuerint. Confueverunt autem medici tales typos anticipantes nominare; ficut alios vocant tardantes, quicunque ftatim ab initio futuri temporis aliquid pofterius affumunt. Sed et in his plus quam proportio exigit vel anticipare, vel cunctari, alterum incrementi, alterum declinationis videtur effe indicium; fimpliciter autem anticipare, vel cunctari, neutrius. Convenit autem non folum advertere, numquid fecunda acceffio confuetam anticipaverit horam, fed numquid etiam longitudo temporis eadem, aut magnitudo aequalis, aut quae nunc adeft fit malignior aut fimplicior. Haec ipfa etiam funt in intermiffionibus et declinationibus infpiciendа. Longitudinem quidem temporis

μαθεῖν· τὸ μέγεθος δὲ, ὅπερ καὶ σφοδρότητα καλοῦσι, καὶ μέντοι καὶ τὸ ἦθος, ὅπερ καὶ τρόπον ὀνομάζουσιν, ἔκ τε τῆς οἰκείας τοῦ νοσήματος ἰδέας θεωρεῖν, κἀκ τῶν ἐπιγινομένων αὐτῷ συμπτωμάτων. ἐκ μὲν τῆς οἰκείας ἰδέας τοῦ νοσήματος, εἰς τὰ συμπληροῦντα τὴν ἰδίαν αὐτοῦ φύσιν ἀποβλέποντα, καθάπερ, εἰ τύχη, ἐπὶ πλευρίτιδος, εἴς τε τὸ νυγματῶδες ἄλγημα τῆς πλευρᾶς καὶ τὸν ὀξὺν πυρετὸν καὶ τὴν βῆχα καὶ δύσπνοιαν. ἐκ δὲ αὖ τῶν ἐπιγινομένων αὐτῷ συμπτωμάτων, εἰ πολλὰ καὶ πολυχρόνια καὶ ἰσχυρὰ καὶ κακοήθη γίγνοιτο, ἢ τοὐναντίον ὀλίγα καὶ ὀλιγοχρόνια καὶ μικρὰ καὶ ἁπλᾶ. [379] καὶ μὲν δὴ καὶ ὁ τοῦ διαλείμματός τε καὶ ὁ τῆς παρακμῆς χρόνος, εἰ μακρότερος τοῦ πρόσθεν, ἢ βραχύτερος, ἢ δυσφορώτερος, ἢ εὐφορώτερος, ἢ εἰ παραμένει τι τῶν ἐκ τοῦ παροξυσμοῦ συμπτωμάτων, ἢ πέπαυται πάντα. εἰ μὲν γὰρ τὰ χείρω τῶν εἰρημένων εὑρίσκοιτο, σαφῶς ἐπιδίδωσιν ἡ νόσος· εἰ δὲ τὰ βελτίω, παρακμάζει. προλαμβανέτω γὰρ ὁ παροξυσμὸς τῆς συνήθους ὥρας καὶ μακρότερος γινέσθω καὶ σφοδρότερος καὶ κακοηθέστερος καὶ σὺν πολλοῖς καὶ μοχθη-

facillimum eſt cognoscere; magnitudinem vero, quam et vehementiam vocant et morem, quem etiam modum appellant, tum ex propria morbi ſpecie tum ex ſupervenientibus ei ſymptomatibus ſpectanda cenſeo. Ex propria quidem morbi ſpecie ea quae propriam ipſius complent naturam contemplando, veluti exempli cauſa in pleuritide ad lateris dolorem pungentem et febrem acutam et tuſſim et ſpirandi difficultatem. Ex ſupervenientibus vero ſymptomatibus, ſi multa, ſi diuturna et valida atque maligna etiam extiterint, aut contra pauca ac brevis temporis et parva et ſimplicia fuerint. Sic et intermiſſionis ac declinationis tempus, ſi longius praecedente vel brevius, aut toleratu difficilius vel facilius, aut ſi quod ex acceſſione ſymptomata remanſerint aut omnia ceſſarint. Si enim iis quae diximus adſint pejora, morbus augetur maniſeſte, ſi vero meliora, declinat. Sit enim ut acceſſio conſuetam anticipet horam, longior etiam fiat atque vehementior maligniorque et cum multis pravisque ſymptomatibus,

ροῖς συμπτώμασι ἐνοχλείτω. γινέσθω δὲ καὶ ὁ τῆς παρακμῆς χρόνος βραχύς τε ἅμα καὶ οὐκ ἀκριβῶς εὔφορος, οὐδὲ ἐλεύθερος ἁπάντων τῶν ἐκ τοῦ παροξυσμοῦ συμπτωμάτων, οὐδεὶς ἄν, οἶμαι, περί γε τῶν οὕτω καμνόντων ζητήσειεν, ὡς οὐκ ἐπιδίδωσιν αὐτοῖς εἰς μέγεθος ἡ νόσος. αὖθις δὲ τἀναντία πάντα τούτοις γινέσθω. τῆς μὲν εἰσβολῆς ὑστεριζούσης, τοῦ μήκους τε καὶ τοῦ μεγέθους τοῦ κατὰ τὸν παροξυσμὸν ἐλαττουμένου καὶ τῆς κακοηθείας πραϋνομένης καὶ τῶν ἐπιγινομένων συμπτωμάτων ἐλαττόνων τε καὶ ἁπλουστέρων ὄντων, ἢ οὐδ' ὅλως ἐπιφαινομένων, καὶ τοῦ διαλείμματος, ἢ τῆς παρακμῆς εὐφόρου καὶ μακρᾶς γινομένης, καὶ πάντα ἐξαλειφούσης τὰ τοῦ παροξυσμοῦ συμπτώματα, καὶ γὰρ καὶ ταῦτα σαφέστατα παρακμῆς γνωρίσματα, καθάπερ τὰ πρότερα τῆς ἐπιδόσεως. ὅταν δὲ ἰσάζη πως μάλιστα τὰ κατὰ τοὺς παροξυσμοὺς ἀμφοτέρους, ἀκμάζειν δηλοῖ τὴν νόσον. ἆρ' οὖν ἤτοι πλείω τοῦ δέοντος ἡμεῖς εἴπομεν; ἢ Ἱπποκράτης τι παραλέλοιπεν ἐν οἷς ἐκδιδάσκων, ὅπως ἄν τις ἐκ περιόδων εὑρίσκοι νοσήματος ἐπίδοσιν, ἀλλήλοις φησὶ χρῆναι παρα-

fit etiam ut declinationis tempus breve fiat, neque exquifite toleratu facile, neque omnino a fymptomatibus acceffionis liberum, nullus, arbitror, de hujusmodi aegrotantibus quaeret num morbus in eis ad magnitudinem crescat. Rurfus vero fiant omnia his contraria, nimirum ipfius infultus initium tardet, longitudoque acceffionis ac magnitudo minuatur, malignitas mitigetur et ea quae fuperveniunt fymptomata minora fimplicioraque fint, vel neque omnino mox appareant, intermiffio etiam, vel declinatio toleratu facilis longaque fuccedat, omniaque deleat acceffionis fymptomata, nam et haec manifeftiffima funt declinationis indicia, ficuti priora augmenti. Quum vero quae ad acceffiones ambas pertinent aequalia fuerint, morbum in ftatu effe demonftrant. Numquid igitur plus quam erat opportunum a nobis eft dictum? aut aliquid ab Hippocrate praetermiffum, ubi docet, quo pacto quispiam ex circuitibus inveniat morbi incrementum? Ait enim, *Acceffiones effe invicem confe-*

Ed. Chart. VIII. [379.] Ed. Baf. III. (390.)

βάλλειν τοὺς παροξυσμούς, εἰ ἐπὶ τὸ πρωϊαίτερον, ἢ οὔ· καὶ εἰ ἐπὶ πλείονα χρόνον, ἢ οὔ· καὶ εἰ μᾶλλον, ἢ οὔ. τὸ μὲν γὰρ πρωϊαίτερον, ἢ οὔ, τοιόνδε τι δηλοῖ, εἰ τῆς συνήθους ὥρας ὁ παροξυσμὸς προὔλαβεν, ἢ ὑστέρισε. τὸ δὲ ἐπὶ πλείονα χρόνον, ἢ οὔ, πότερον πολυχρονιώτερος, ἢ βραχυχρονιώτερος ἐγένετο. τὸ δὲ μᾶλλον, ἢ οὔ, τὰ λοιπὰ τῶν εἰρημένων ἡμῖν ἔμπροσθεν ἐν ἑαυτῷ περιλαβὸν ἔχει. καὶ γὰρ καὶ τὸ μέγεθος καὶ τὸ ἦθος, αὐτοῦ τε τοῦ νοσήματος καὶ τῶν ἐπιγινομένων αὐτῷ συμπτωμάτων, ἔτι τε πρὸς τούτοις τὸν ἀριθμὸν αὐτῶν ἐν τῷ μᾶλλόν τε καὶ ἧττον νοεῖν χρὴ περιεχόμενον. οὕτω δὲ καὶ τῆς παρακμῆς, ὡς μέρους καὶ αὐτῆς τοῦ σύμπαντος παροξυσμοῦ τὸ μᾶλλόν τε καὶ ἧττον, ἐκ τῶν αὐτῶν γε τούτων σκοπῶν ἐξευρίσκειν χρή. ἐπιδόσεως μὲν δὴ, καὶ ἀναβάσεως καὶ αὐξήσεως, ἅπαντα γὰρ ταῦτα προσαγορεύουσι τὸν δεύτερον καιρὸν τῆς νόσου, τό τε πρωϊαίτερον παροξύνεσθαι καὶ τὸ πλείονα χρόνον καὶ τὸ μᾶλλον, γνωρίσματα, καθάπερ γε τῆς παρακμῆς τἀναντία τό θ' ὑστερίζειν τὸν παροξυσμὸν καὶ βραχυχρονιώτερον γίνεσθαι, καὶ

rendus; fi citius, vel non; fi in longius tempus, vel non; fi denique magis, vel non. Hoc enim verbum (*citius, vel non*) nihil aliud oftendit, nifi utrum acceffio horam confuetam anticipaverit, vel tardior facta fit; illud autem, *in longius tempus, vel non*, numquid longius perduraverit tempus an brevius; illud vero, *magis vel non*, reliqua omnia, quae prius a nobis explicata funt in fe comprehendit, nam et magnitudinem et morem ipfius morbi et fupervenientia et fymptomata, eorumque infuper numerum in eo quod dicitur magis ac minus comprehendi exiftimes, fic et declinationis, ut quae et ipfa fit totius acceffionis pars, magis ac minus ex eisdem invenire oportet intentionibus. Incrementi itaque et afcenfus et augmenti, his enim omnibus nominibus fecundum morbi tempus appellant, fi citius fiat acceffio, fi longiori tempore duret, fi magis etiam indicia funt, ficut his contraria declinationis figna oftendunt, fi videlicet tardius fiat acceffio, fi breviori tempore

παντοίως τοῦ πρόσθεν ἀσθενέστερον. ἀκμῆς δ' ἐστὶ σημεῖον ἡ ἐπὶ τῶν αὐτῶν μονή τε καὶ στάσις. καίτοι πολλάκις ἐν ταῖς νόσοις οὐδεὶς αἰσθητὸς χρόνος εὑρίσκεται τοιοῦτος. ἀλλ' ὁ τέταρτος, εἰ τύχῃ, παροξυσμὸς, ἔτι τὰ τῆς ἀναβάσεως ἔχων σημεῖα τὸν πέμπτον ἤνεγκε παρακμαστικὸν, ὀξυῤῥόπου δηλονότι τῆς ἀκμῆς γενηθείσης, ὡς μηδὲ γνωρίσαι τινὰ παροῦσαν αὐτὴν, ἀλλὰ τοῦ πρώτου χρόνου τῆς παρακμῆς δεηθῆναι πρὸς ἀκριβῆ διάγνωσιν. παραπλήσιον δέ τι κἀν ταῖς αὐξήσεσιν ὑπάρχει τῶν νοσημάτων. ἐνίοτε γὰρ ὁ πρῶτος παροξυσμὸς ἀρχήν τε ἅμα καὶ ἀνάβασιν ἔχει καὶ ἀκμὴν ἐν ἑαυτῷ· κατὰ μὲν τὰ πρῶτα μέρη δηλονότι τὴν ἀρχὴν, ἐφεξῆς δ' αὐτῇ τὴν ἀνάβασιν, ὑστάτην δὲ δηλονότι τὴν ἀκμήν. εἶθ' ἑξῆς ὁ δεύτερος ἐναργῶς ἐφαίνετο παρακμαστικός. ἀλλ' ἐπιστάντος μὲν τοῦ δευτέρου παροξυσμοῦ, τηνικαῦτα γνωρίζειν ὁποῖός τις ὁ πρῶτος ἐγένετο παροξυσμὸς, πρὸς τῷ παντὸς ἔργον ὑπάρχειν ἰατροῦ, καὶ τὴν ἀξιολογωτάτην χρείαν ἀπόλλυσι τῆς προγνώσεως, ὡς ἐπιπλέον ἐν τοῖς τῆς θεραπευτικῆς μεθόδου δέδεικται γράμμασιν.

duret, fitque omnino praecedente debilior. Statum vero indicant, fi in eisdem permaneant ac perfiftant. Et quidem faepe in morbis nullum fenfibile tempus invenitur hujusmodi, fed habente adhuc quarta, fi ita contigerit, acceffione indicia augmenti, quinta fuperveniet acceffio declinationis principium, quomodo videlicet ftatus momentaneus extiterit, adeo ut nemo quum adeffet agnoverit, fed, ut exquifite dignoscatur, primum declinationis tempus fit neceffarium. Simile quiddam etiam accidit in morborum augmentis, nam interdum prior acceffio principium fimul habuit et ascenfum et ftatum, fcilicet in prima fui parte principium, deinde ascenfum, poftremo vero ftatum, deinde fecunda acceffio manifefte vifa eft declinare. Sed praefente quidem fecunda acceffione, tunc demum cognoscere qualis fuerit illa quae praeceffit praeter id, quod unusquisque medicus id facere poteft, rem etiam maximi momenti in ufu medicinae deftruit, praenotionem fcilicet, de qua plenius in libris de arte

[380] ἰατροῦ δ᾽ ἐστὶ γενναίου καὶ τῆς Ἱπποκράτους γνώμης ἀξίου προγνῶναι τὴν μέλλουσαν ἀκμὴν, εἴ γε δὴ καὶ τὰ διαιτήματα σύμπαντα πρὸς αὐτὴν ἀποβλέπων ποιεῖται. κατὰ ταὐτὰ δὲ καὶ τὴν ἐπίδοσιν δηλονότι καὶ τὴν ἀρχὴν τοῦ νοσήματος οὐκ ἐπειδὰν συμπληρωθῇ, τότε γνωρίζειν, (391) ἀλλ᾽ ἐκ πολλοῦ χρόνου προγινώσκειν ἄμεινον ἂν ᾖ.

Κεφ. δ΄. Καίτοι γε τὴν ἀρχὴν τοῦ νοσήματος οὐδὲ παροῦσαν ὁρῶ διαγινώσκοντας τοὺς πλείστους τῶν ἰατρῶν· ὥσπερ οὐδὲ τὸν θαυμασιώτατον Θεσσαλὸν, ὃς ἐν μὲν ταῖς ἀρχαῖς στέλλειν παρακελεύεται, κἂν στεγνὸν ᾖ τὸ νόσημα καὶ χαλάσεως ὅσον ἐφ᾽ ἑαυτῷ δεόμενον. ὅπως δ᾽ ἄν τις αὐτὴν γνωρίζοι, καθάπερ τι σαφέστατον ὑπάρχον, οὐδ᾽ ἐπεχείρησεν εἰπεῖν. ἔχει δ᾽ ἀπορίαν οὐ σμικράν. εἰ μὲν γὰρ τὴν πρώτην ἀκριβῶς εἰσβολὴν ἀρχὴν τίθεσθαι προσήκει τοῦ σύμπαντος νοσήματος, ἀμερὴς ἐστιν αὐτὴ καὶ ἄχρονος. εἰ δὲ τὸν πρῶτον παροξυσμὸν, ἴσμεν τοῦτον ἐνίοτε τήν τε ἐπίδοσιν ὅλην καὶ τὴν ἀκμὴν ἐν ἑαυτῷ περιλαμβάνοντα, πρὸς τῷ καὶ ἀλογώτατον εἶναι τήν τε ἐν ἑπτὰ ταῖς πάσαις ἡμέραις λυθησομένην

curativa diximus. Generofi autem medici atque arte Hippocratica digni eft officium futurum ftatum praecognoscere, quum omnem victus rationem ad ipfum infpiciens inftituat. Eadem ratione principium morbi atque augmentum non ubi jam perfecta funt cognoscere, fed multo antea praeftabit praenoscere.

Cap. IV. Video tamen plurimos medicorum neque praefentis etiam principii notitiam habere, ficut apprime admirabilem Theffalum, qui in principiis contrahere jubet, etiamfi morbus fuerit adftrictus ac pro fui natura egens relaxatione, quo pacto vero quispiam ipfum principium agnoscat, tanquam rem notiffimam dicere praetermifit. Sed hoc non parvam habet dubitationem. Nam fi primum exquifite infultum pro principio morbi totius ftatuere oportet, indivifibile erit, atque fine tempore; fi vero primam acceffionem fcimus hanc aliquando et ejus augmentum et ftatum in fe ipfa comprehendere, praeter id, quod extra omnem rationem eft, ut qui in feptem ad fummum diebus

νόσον καὶ τὴν εἰς μῆνας ἓξ ἐκταθησομένην καὶ συμπάσας τὰς μεταξὺ τὸν πρῶτον μόνον παροξυσμὸν ἔχειν ἀρχήν. ὡς γὰρ οὐδ᾽ ἐπίδοσιν, οὐδ᾽ ἀκμὴν, ἢ παρακμὴν ἰσόχρονον ἅπαντα κέκτηται τὰ νοσήματα, κατὰ τὸν αὐτὸν, οἶμαι, τρόπον οὐδ᾽ ἀρχήν. οὐ μὴν οὐδὲ τὸν πρῶτον ὑπερβάς τις παροξυσμὸν, εἶθ᾽ ἕξει τοι περιγράψαι τὴν ἀρχήν. εἰ γὰρ ὁ δεύτερος εὐθὺς διαδέχοιτο τὰ τῆς αὐξήσεως ἔχων γνωρίσματα, καὶ μετ᾽ αὐτὸν ὁ τρίτος τε καὶ τέταρτος, οἵ τ᾽ ἄλλοι σύμπαντες οἱ ἐφεξῆς, ὁ τὸν πρῶτον παροξυσμὸν παραλιπὼν, ὡς οὐκ ἀρχὴν, ἢ πάντα τὸν μεταξὺ χρόνον, ἄχρι τῆς ἀκμῆς ἀρχὴν εἶναι φήσειε, καὶ οὕτως ἀπόλλυται παντάπασιν ἡ ἀνάβασις, ἢ ποῖ πρῶτον παύσει τὴν ἀρχὴν οὐκ ἔθ᾽ ἕξει λέγειν. τίς οὖν ἡ τῆς ἀπορίας ἴασις; εἰ μὲν ἐκμανθάνειν ἐβούλοντο τὰ πρὸς Ἱπποκράτους γεγραμμένα σημεῖα, ταχεῖα ἂν ἐγένετο ἡ διδασκαλία. νυνὶ δὲ πρὸς τῷ μὴ βούλεσθαι μαθεῖν τὰ πρὸς Ἱπποκράτους γεγραμμένα ὀρθῶς, ἔτι τε καὶ διαβάλλειν ἐπιχειροῦσιν, ἃν μὴ γινώσκουσιν. ἀλλ᾽ ἐκείνοις μὲν ἀδύνατος ἡ

morbus finiri debet, et qui ad menfes fex extendi, omnesque qui in medio tempore terminantur, folam habeant primam pro principio acceffionem. Sicuti enim neque omnes morbi augmentum, aut ftatum, aut declinationem aequalis habent temporis, eodem, arbitror, modo neque principium. Neque tamen, fi quispiam primam acceffionem praeterierit, jam poterit principium circumfcribere; nam fi fecunda ftatim fubfequatur, quae habeat augmenti indicia, et poft ipfam tertia et quarta et fic aliae deinceps omnes, qui primam omiferit acceffionem, tanquam non principium, vel omne tempus medium usque ad ftatum diceret effe principium, atque ita omnino tolleret ascenfum, aut ubi primo finiret principium, non haberet exprimere. Quaenam eft hujus dubitationis medela? Si quidem velint quae funt ab Hippocrate fcripta perdiscere, facilis atque expedita effet ifta doctrina; nunc vero praeter id quod quae funt ab Hippocrate optime tradita nolunt addiscere, illa quae ignorant damnare conantur. Sed illis quidem invenire non

Ed. Chart. VIII. [380.] Ed. Baf. III. (391.)

τῆς ἀμαθίας ἴασις, ἡμῖν δ' εὔπορος. τοῦτο γὰρ παροξυσμοὺς, φησὶ, καὶ τὰς καταστάσιας δηλώσουσιν αἱ νοῦσοι καὶ αἱ ὧραι τοῦ ἔτεος καὶ αἱ τῶν περιόδων πρὸς ἀλλήλας ἐπιδόσιες. ὅτι μὲν δὴ καταστάσιες τῶν νοσημάτων τὰς οἷον ἰδέας αὐτῶν ὀνομάζει, καθ' ἃς ἐκ τοιῶνδε καὶ τηλίκωνδε σύγκειται τῶν καθόλου καιρῶν, ἐν ἐλαχίστῳ μάλιστ' ἄν τις τῷδε τῷ τεκμηρίῳ καταμάθοι. προειπὼν γὰρ ἐν τῷ πρώτῳ τῶν ἐπιδημιῶν· εἰσὶ δὲ ἤδη τρόποι καὶ καταστάσιες καὶ παροξυσμοὶ τουτέων ἑκάστῳ τῶν πυρετῶν, ἐφεξῆς φησι· αὐτίκα γὰρ συνεχὴς ἔστιν οἷσιν ἀρχόμενος ἀνθεῖ καὶ ἀκμάζει, μάλιστα καὶ ἀνάγει ἐπὶ τὸ χαλεπώτερον. περὶ δὲ κρίσιν καὶ ἅμα κρίσει ἀπολεπτύνεται. ἔστι δ' οἷσιν ἄρχηται, μαλθακός τε καὶ ὑποβρύχιος. ἐπαναδιδοῖ δὲ καὶ παροξύνεται καθ' ἑκάστην ἡμέραν. περὶ δὲ κρίσιν ἅλις ἐξέλαμψε, σαφῶς ἐνδεικνύμενος ὡς τὴν ἐκ τῶν ὅλων τοῦ νοσήματος καιρῶν ποιὰν σύνθεσιν ὀνομάζει κατάστασιν. ὅπως οὖν αἱ νόσοι καὶ ὧραι τοῦ ἔτους καὶ τῶν περιόδων πρὸς ἀλλήλας ἐπιδόσεις

potest ignorantiae medela, nobis vero perfacile. Inquit enim: *Accessiones et constitutiones morbi ostendunt et anni tempora et circuituum invicem incrementa.* Quod quidem morborum constitutiones quandam veluti eorum ideam ac formam nominat, secundum quam ex talibus et tantis constituuntur universalibus temporibus, minima quispiam hac conjectura comprehenderet. Nam quum in primo epidemiorum libro antea dixisset: *Sunt autem modi et constitutiones et accessiones harum quarumlibet febrium.* Deinceps subjungit: *Statim enim continua, quibus incipiens florescit ac viget, maxime et ad difficilius attollitur, circa autem crisim et simul cum crisi extenuatur. Est autem quum incipit, mollis ac latens, insurgit autem atque exacerbatur singulis diebus, circa crisin autem satis emicat.* Ex quibus verbis manifeste ostendit se qualemcunque ex totius morbi temporibus compositionem nominare. Quo igitur modo morbi et anni tempora et circuituum adinvicem

[381] ἐπιδείξονται τοὺς καθόλου καιροὺς τοῦ νοσήματος; ἐν τούτῳ γὰρ ἐσμὲν τῷ ζητήματι· τεταρταῖος μὲν γάρ τις πυρετὸς εἰσβάλλων οὐκ ἂν τὸν πρῶτον μόνον ἔχοι παροξυσμὸν τὴν ἀρχὴν, ὥσπερ οὐδὲ τριταῖος ἀκριβὴς, ἕως τῆς ἑβδόμης ἡμέρας ἄρχεσθαι δύναται. κατὰ δὲ τὰ αὐτὰ ταῦτα καὶ περὶ τῶν ἄλλων νοσημάτων γινώσκειν. καῦσος μὲν γὰρ καὶ πλευρῖτις καὶ περιπνευμονία βραχυχρόνιον ἔχουσι τὴν ἀρχήν· ἐπιληψίαι δὲ καὶ ἰσχιάδες καὶ ἀρθρίτιδες καὶ νεφρίτιδες πολυχρόνιον. οὕτως μὲν ἀπὸ τῶν νοσημάτων αὐτῶν· ἀπὸ δὲ τῶν ὡρῶν τοῦ ἔτους οὕτως. οἱ θερινοὶ τεταρταῖοι ὡς τὰ πολλὰ γίνονται βραχέες· οἱ δὲ φθινοπωρινοὶ μακροὶ, καὶ μᾶλλον οἱ πρὸς τὸν χειμῶνα συνάπτοντες. οὕτως δὲ καὶ πᾶν ἄλλο νόσημα θέρους μὲν ὀξύτερον, χειμῶνος δὲ χρονιώτερον κρίνεται. καὶ δῆλον ὅτι καὶ τὴν ἀρχὴν ἐν θέρει μὲν ὀλιγοχρονιωτέραν, ἐν χειμῶνι δὲ ἕξει μακροτέραν, ἀνάλογον δὲ ταύτῃ καὶ τοὺς ἄλλους καιροὺς τοῦ νοσήματος. οὕτως μὲν γὰρ καὶ ὧραι τοῦ ἔτους τὴν κατάστασιν τῶν νοσημάτων προμηνύουσιν. αἱ δὲ τῶν παροξυσμῶν ἐπι-

incrementa univerfalia tempora morbi commonftrabunt? nam hoc erat quod quaerebamus. Nam quartana aliqua febris invadens non utique habet acceffionem primam principium, ficut neque exquifita tertiana usque ad diem feptimum fuum poteft principium extendere. Eodem pariter modo et de aliis morbis judicandum. Nam febris ardens et pleuritis et inflammatio pulmonis brevis temporis habent principium, morbus autem comitialis et articularis et coxendicum et nephritis longi temporis. Sic quidem a morbis ipfis. A temporibus autem anni hoc modo: *Aeftivae quartanae magna ex parte breves funt, autumnales vero longae et praefertim quae hiemem attingunt.* Sic et omnis morbus alius aeftate quidem breviorem, hieme vero diuturniorem habet crifim, et principium fic aeftate brevius, hieme vero longius habebit, fimilem quoque fervabit in aliis temporibus proportionem. Sic quidem et anni tempora morborum conftitutiones praenunciant. Acceffionum autem incrementa hoc modo. Ait enim *acceffiones effe in-*

δόσεις οὕτως. ἀλλήλοις φησὶ χρῆναι παραβάλλειν τοὺς παροξυσμοὺς, εἰ ἐπὶ τὸ πρωϊαίτερον, ἢ οὔ, καὶ εἰ ἐπὶ πλείονα χρόνον, ἢ οὔ, καὶ εἰ μᾶλλον, ἢ οὔ. ταῦτα γὰρ ἅπαντα συνθεὶς ἐγγυτέρω τῆς ἀκριβοῦς ἀφίξῃ διαγνώσεως. εἰ δὲ μηδὲν αὐτῶν ἐπισκεψάμενος οἴει δύνασθαι γνωρίζειν ἀρχὴν νοσήματος, ἢ διορίζειν ἀναβάσεως, οὐκ ἂν οὐδ᾽ ἐγγύς ποτε τῆς ἀληθείας ἀφίκοιο.

Κεφ. ε'. Ἆρ᾽ οὖν ἱκανὰ ταῦτά ἐστι πρὸς τὴν ἀκριβῆ τῶν καιρῶν τῆς νόσου διάγνωσιν; οὐδαμῶς. ἀλλ᾽ ἤδη μέν τινα τεχνικὸν ἔχοντα στοχασμὸν, ἀκριβείας δ᾽ ἀπολιμπανόμενα τοσοῦτον ὅσον τοῦ μηδόλως ὄντος πλεονεκτεῖν. τί δὴ τούτοις προστιθέμενον ἀκριβῆ ποιήσει τὴν πρόγνωσιν, οἷον ἀναγνοὺς εἴσῃ τὸν ἀφορισμὸν ὧδέ πως ἔχοντα. τοὺς παροξυσμοὺς καὶ τὰς καταστάσιας δηλοῦσιν αἱ νοῦσοι καὶ αἱ ὧραι τοῦ ἔτεος καὶ αἱ τῶν περιόδων πρὸς ἀλλήλας ἐπιδόσιες, ἤν τε καθ᾽ ἡμέρην, ἤν τε παρ᾽ ἡμέρην, ἤν τε καὶ διὰ πλείονος χρόνου γίνωνται. ἀτὰρ καὶ τοῖσιν ἐπιφαινομένοισιν, οἷον ἐν πλευριτικοῖσι, πτύελον αὐτίκα ἢν ἐπιφαίνηται, ἀρχομένου μὲν βραχύνει, ἢν δὲ ὕστερον ἐπιφαίνηται, μηκύνει.

vicem conferendas, si citius fiant vel non, si in longius tempus vel non, si magis vel non. Nam si haec omnia conjunxeris, ad exquisitam dignotionem propius accedes. Si vero nihil ex istis animadvertens putas posse morbi principium cognoscere, vel ab ascensu distinguere, nunquam prope accedes ad veritatem.

Cap. V. Numquid igitur haec ad exquisitam temporum morbi sufficiunt cognitionem? nequaquam, sed habent aliquid quidem artificiosae conjecturae, tantum vero ab exquisita ratione deficiunt quantum illam quae nullo modo est superant. Quid vero illis additum exquisitam faciat praenotionem, si totum leges aphorismum, intelliges, in quo ita scribitur: *Morbi autem accessiones et constitutiones ostendunt et anni tempora et circuituum adinvicem incrementa, sive quotidie, sive alternis diebus, sive per majora intervalla fiant. Sed et ex iis quae mox apparent conjicere oportet. veluti in pleuritide si sputum statim appareat, incipientem morbum facit breviorem, si vero posterius, longiorem et urinae*

καὶ οὖρα καὶ ὑποχωρήματα καὶ ἱδρῶτες καὶ δύσκριτα καὶ εὔκριτα καὶ βραχέα καὶ μακρὰ τὰ νοσήματα ἐπιφαινόμενα δηλοῖ. ταῦτα μὲν ἐν τοῖς ἀφορισμοῖς. ἐν δ᾽ αὖ τῷ πρώτῳ τῶν ἐπιδημιῶν πεπασμοὺς τῶν ἀπιόντων εἶναί φησι πάντας πάντοθεν ἐπικαίρους καὶ καλὰς καὶ κρισίμους ἀποστάσιας σκοπέεσθαι. εἶτα ἐπιφέρων ἐρεῖ· πεπασμοὶ ταχύτητα κρίσιος καὶ ἀσφάλειαν ὑγιείης σημαίνουσι. ἀλλ᾽ οἱ πεπασμοὶ δήπουθεν οὗτοι πάντες ἐν τοῖς πεπαινομένοις, τοῦτ᾽ ἔστιν ἐν τοῖς πεττομένοις εἰσί. τίνα οὖν ταῦτά ἐστιν; οὐκ ἄλλα τινὰ ἢ ἅπερ ὠνόμασεν ἐπιφαινόμενα. τὰ μὲν γὰρ ἴδια τῶν νοσημάτων αὐτῶν συμπτώματα συνεισβάλλει δήπου καὶ συνάρχεται, τὰ δ᾽ ἄλλα πάντα ἐπιφαίνεται. συνεισβάλλει μὲν οὖν τῇ πλευρίτιδι πάντως ὅ τ᾽ ὀξὺς πυρετὸς καὶ τὸ τῆς πλευρᾶς ἄλγημα τὸ νυγματῶδες, ἥ τε δύσπνοια καὶ ἡ βήξ· ἐπιφαίνεται δὲ τὰ μὲν ὡς ἴδια τοῦ νοσήματος αὐτοῦ, τὰ δ᾽ ὡς κοινὰ τῶν πυρεττόντων ἁπάντων. [382] ὡς ἴδια μὲν οὖν αὐτῆς τῆς νόσου πρῶτον μὲν ἤτοι μηδενὸς ὅλως ἀναγομένου μετὰ τῆς βηχὸς, ὅπερ ἱκανόν ἐστιν ἀπέπτου νοσήματος

et alvi excrementa et sudores, vel bonam morborum indicationem, vel malam, et longum vel brevem, futurum morbum, post apparentia commonstrabunt. Haec quidem ab Hippocrate in aphorismis scribuntur; in primo autem libro epidemiorum, *Omnes* inquit *coctiones excrementorum ubique esse opportunas et bonos criticosque abscessus ostendere.* Deinde inferens inquit: *Coctiones celeritatem judicii et securitatem sanitatis ostendunt.* Sed coctiones hae quidem omnes iis adsunt quae coquuntur; quaenam igitur haec sunt? Non alia sane quam illa quae mox apparentia nominavit, nam quae propria sunt morbi accidentia, simul cum morbo invadunt, simulque incipiunt, reliqua vero omnia mox apparent. Invadunt igitur una cum pleuritide et febris acuta et lateris dolor punctorius et difficilis anhelitus et tussis: mox apparent autem quaedam ut ipsi morbo propria, nonnulla autem ut communia omnibus febricitantibus. Ut propria quidem ipsius morbi primum quidem, si nihil educatur cum tussi, quod sufficiens est morbi coctione ca-

γνώρισμα· δεύτερον δὲ, εἰ ἀνάγοιτο μὲν, ἀλλ᾽ οὐ χρηστόν. ἔστι δὲ καὶ τοῦτο διττόν· ἓν μὲν τὸ μὴ πεπέφθαι μόνον, ἕτερον δὲ τὸ καὶ μοχθηρὸν εἶναι. τούτων δὲ ἁπάντων ἀφώρισται τὸ πεπεμμένον, ὃ δὴ καὶ πτύελον ἤδη καλοῦσιν ἰδίως. οὐ γὰρ δὴ τό γ᾽ αἱματῶδες καὶ τὸ χολῶδες καὶ τὸ ἀφρῶδες οὕτως ὀνομάζομεν, ἀλλὰ ταυτὶ μὲν μᾶλλόν πως πτύσματα προσαγορεύομεν. ὅταν δὲ μήθ᾽ αἵματος μήτ᾽ ὠχρᾶς ἢ μελαίνης χολῆς ἐπιμιξίαν ἔχῃ, τὸ τοιοῦτον ἤδη πτύελον ὀνομάζομεν. ὅταν οὖν τοῦτο ταχέως ἐπιφαίνηται, βραχύνει τὸ νόσημα. τὸ δ᾽ ἤτοι μηδόλως ἀνάγειν ἢ ἄπεπτον εἰς πλείονα χρόνον ἐκταθήσεσθαι δηλοῖ τὸ νόσημα. τὸ δὲ καὶ μοχθηρὸν ἀνάγεσθαι τὸ πτύσμα κινδύνου δηλωτικόν· εἰ δὲ καὶ κακόηθες εἴη, θανάτου. τί μὲν οὖν ἐστι τὸ πτύελον νῦν οὐ δέομαι λέγειν. ὅσα δὲ ἰδίως ὀνομάζεται πτύσματα, καὶ (392) τούτων ὅσα μὲν ὑπόξανθά τε καὶ ὑπόπυῤῥα καὶ ὕπωχρα καὶ ὕπαφρα καὶ λεπτὰ, μόνης ἀπεψίας ὑπάρχει γνωρίσματα. κακὸν δὲ οὐδὲν ἐπίσημον ἐνδείκνυται· τὰ δ᾽ ἀκράτως

rentis indicium; fecundo autem, fi educatur quidem, fed non bonum. Eft autem et hoc duplex, unum quidem, quod folum caret coctione, alterum vero, quod etiam pravum exiftit. Ab his vero omnibus id quod coctum eft feparatur, quod etiam proprie fputum appellant; neque enim quod fanguineum eft ac biliofum atque fpumofum ita nominamus, fed potius quodammodo fputamen vocamus, quum vero neque fanguini, neque bili pallidae, vel nigrae commixtum fuerit, id quod tale fuerit, jam fpiritum vocamus. Quando igitur hoc cito apparuerit, morbum facit breviorem, quum vero nullo modo educitur aut crudum, indicat morbum in longius debere protendi; fi autem pravum educitur fputamen, periculum imminere fignificat; fi autem etiam malignum fuerit, mortem minatur. Quid igitur fit fputum, nunc non eft opus exponere. Quae vero proprie fputamina nominantur, ex his quaecunque fubflava et fubrufa et fubpallida, et fubfpumofa et tenuia exiftunt, folam cruditatem fignificant, nullum vero infigne malum praenunciant, quae vero fine alia commixtione funt flava ac rufa,

ξανθὰ καὶ πυῤῥὰ καὶ παχέα καὶ ἀφρώδη καὶ χλωρὰ καὶ γλίσχρα καὶ στρογγύλα καὶ τούτων ἔτι μᾶλλον τὰ μέλανα μοχθηρά. προσεπισκέπτεσθαι δὲ καὶ τὸν τῆς ἀναγωγῆς αὐτῶν τρόπον. εἰ μὲν γὰρ εὐπετῶς ἀποπτύοιτο, πρόδηλον ὡς τὰ τοιαῦτα μέν ἐστιν ἀγαθὰ, τὰ δ᾽ ἐναντία μοχθηρά. καὶ τί δεῖ πλείω λέγειν ἡμᾶς, ἔχοντάς γε τὴν ἐκ τοῦ προγνωστικοῦ παραγράψαι ῥῆσιν; πτύελον δὲ χρὴ ἐπὶ πᾶσι τοῖσιν ἀλγήμασι τοῖσι περὶ τὸν πνεύμονά τε καὶ τὰς πλευρὰς ταχέως τε ἀποπτύεσθαι καὶ εὐπετέως, συμμεμιγμένον τε φαίνεσθαι τὸ ξανθὸν ἰσχυρῶς τῷ πτύελῳ. δῆλος ἐνταῦθά ἐστι πτύελον ἰδίως ὀνομάζων τὸ κατὰ φύσιν. ᾧ δὴ καὶ συμμεμίχθαι φησὶ χρῆναι τὸ ξανθόν. τὸ δ᾽ ἰσχυρῶς ἔνιοι μὲν οὐδὲ γράφουσιν ὅλως. οἱ δ᾽ οὖν καὶ γράφοντες οἱ μὲν ἐπὶ τὸ ξανθὸν, οἱ δὲ ἐπὶ τὸ συμμεμιγμένον ἀναφέρουσιν, ἵν᾽ ἑκάτερος ᾖ τῶν λόγων τοιόσδε. συμμεμιγμένον τὸ ἰσχυρῶς τῷ πτυέλῳ φαίνεσθαι τὸ ξανθὸν, ἢ πάλιν τὸ ἰσχυρῶς ξανθὸν συμμεμιγμένον φαίνεσθαι τῷ πτυέλῳ. τεχνικώτερον δ᾽ ἐστὶ τὸ πρότερον. ἀεὶ γὰρ τὰς ἀνωμάλους ἁπάντων κινήσεις καὶ τῶν πολὺ διαφερόντων

craffa atque fpumofa et viridia, viscofa atque rotunda, atque his etiam magis nigra, funt prava. Confiderandum etiam quis fit eorum eductionis modus, nam fi facile expuantur, conftat quidem bona effe, contraria vero mala. Et quid oportet nos plura dicere, quum poffimus verba, quae in libro prognoftico fcribuntur, apponere? *Sputum oportet in omnibus qui funt circa pulmonem ac latera celeriter expui ac facile, commixtumque videri vehementer flavum fputo.* Neque in dubio eft quod hoc loco Hippocrates fputum vocat, id quod fecundum naturam fe habet, cui flavum admixtum effe oportere inquit. Verbum autem illud, *vehementer,* nonnulli quidem neque omnino adjungunt, quidam vero ad commixtum referunt, ut fermo uterque ita fe habeat, commixtumque vehementer fputo videri flavum, vel flavum vehementer commixtum videri fputo. Sed prior fenfus eft artificiofior, femper enim inaequales omnium motus et eorum quae plurimum diftant complexio-

Ed. Chart. VIII. [382.] Ed. Bas. III. (392.)

ἐπιπλοκὰς αὐτός τε ὁ Ἱπποκράτης μέμφεται καὶ ἡ πεῖρα διδάσκει οὕτως ἔχειν. οὐ μὴν οὐδ᾽ ὁ λόγος ἄπορος, ἀλλ᾽ οὐκ ἐν καιρῷ νῦν ἂν εἴη λεγόμενος. ὅτι δὲ τὸ ἰσχυρῶς ἐπὶ τὸ συμμεμίχθαι τὴν ἀναφορὰν ἔχει, πρόδηλον κἀκ τῶν ἐπιφερομένων. εἰ γὰρ πολλῷ, φησὶν, ὕστερον μετὰ τὴν ἀρχὴν τῆς ὀδύνης ἀποπτύοιτο ξανθὸν ἐὸν, ἢ πυῤῥὸν, ἢ πολλὴν βῆχα παρέχον, ἢ μὴ ἰσχυρῶς συμμεμιγμένον, κάκιον γίνεται. δῆλος γάρ ἐστιν ὁ Ἱπποκράτης ἀντιτάττων ἐνταῦθα τὰ ἐκ τοῦ δευτέρου λόγου ξύμπαντα τοῖς ἐκ τοῦ πρώτου, τῷ μὲν ταχέως τὸ πολλῷ ὕστερον μετὰ τὴν ἀρχὴν τῆς ὀδύνης ἀποπτύοιτο, τῷ δ᾽ εὐπετέως τὸ πολλὴν βῆχα παρέχον, τῷ δὲ συμμεμιγμένον τε φαίνεσθαι τὸ ξανθὸν ἰσχυρῶς τῷ πτυέλῳ τό τ᾽ ἄμικτον ἁπλῶς καὶ μόνον ξανθὸν, τό τε μεμιγμένον μὲν ἐξ ἀμφοῖν, τοῦ τε κατὰ φύσιν πτυέλου καὶ τοῦ ξανθοῦ χρώματος, ἢ πυῤῥοῦ, μὴ μέντοι ἰσχυρῶς. ἀλλὰ καὶ μετὰ ταῦτα συνάπτων ἐρεῖ σαφέστερον ἔτι τὴν αὐτὴν γνώμην ἐξηγούμενος. τό τε γὰρ ξανθὸν ἄκρητον ἐὸν κινδυνῶδες· ἄκρητον δ᾽ ἐστὶ

nes damnat Hippocrates. Experientia quoque ita esse probatur, neque etiam ratio dubia est: non tamen eam nunc explicare esset opportunum. Quod autem verbum illud, vehementer, ad commixtum relationem habeat, ex iis etiam patet quae subjunguntur. *Si enim*, inquit, *multo post doloris principium expuatur flavum, vel rufum, vel multam excitans tussim, vel non vehementer commixtum, pejus efficitur.* Videtur enim in hoc loco Hippocrates quaecunque in secundo sermone dicuntur iis opponere quae in primo dicebantur, verbo quidem, *celeriter illa*, multo post principium doloris expuatur, verbo, *facile*, *illa*, multam excitans tussim, illis vero, *commixtum videri flavum vehementer sputo*, impermixtum simpliciter ac solum flavum, tum quod ex utrisque commixtum est, colore scilicet sputi naturalis et flavo, vel rufo, non tamen vehementer. Sed et post haec subjungens manifestius dicet, suam adhuc mentem aperiens, his verbis: *Nam flavum impermixtum existens, periculosum (impermixtum est autem id quod sputo*

δήπου τὸ μὴ μεμιγμένον τῷ πτυέλῳ· τὸ λευκὸν καὶ γλίσχρον καὶ στρογγύλον ἀλυσιτελές. [383] εἶθ' ἑξῆς πάλιν ἐπὶ τὰ χαλεπώτερα κατὰ βραχὺ παραγινόμενος τῷ λόγῳ, κακὸν δὲ καὶ χλωρόν τε ἐὸν κάρτα καὶ ἀφρῶδές φησιν. εἶθ' ἑξῆς· εἰ δὲ εἴη οὕτως ἄκρητον ὥστε καὶ μέλαν φαίνεσθαι, δεινότερόν ἐστι τοῦτο ἐκείνων. ἐκ μὲν δὴ τῶν ἰδίων τῆς πλευρίτιδος οὕτω χρὴ διορίζεσθαι. προσεπιβλέπειν δὲ δεῖ καὶ τὰ κοινὰ τῶν ὀξέως νοσούντων ἁπάντων. ἐφεξῆς δ' αὐτὰ καταριθμεῖται γράφων ὡδί· ἔστι δὲ τὰ μὲν ἀγαθὰ ταῦτα, εὐπετέως φέρειν τὸ νόσημα, εὔπνουν εἶναι, τῆς ὀδύνης ἀπηλλάχθαι, τὸ πτύελον ῥηϊδίως ἀναβήσσειν, τὸ σῶμα πᾶν θερμόν τε ὁμαλῶς εἶναι καὶ μαλθακὸν καὶ δίψην μὴ ἔχειν. οὖρα δὲ καὶ διαχωρήματα καὶ ὕπνους καὶ ἱδρῶτας, ὡς διαγέγραπται, ἕκαστα εἰδέναι ἀγαθὰ ἐόντα. ταυτὶ μὲν οὖν ἀγαθὰ σημεῖα, τά τ' ἴδια τῶν ἀναπνευστικῶν ὀργάνων καὶ προσέτι τὰ τῶν ἄλλων ἁπάντων ὀξέων νοσημάτων κοινὰ, κατὰ τὸ συνεχὲς ἐφεξῆς ἀλλήλων γεγραμμένα. συνάπτων δ' αὐτοῖς ἐπάγει· κακὰ δὲ τἀναντία τουτέων, δυσπετέως φέρειν τὴν νοῦσον, πνεῦμα

non commiscetur) album autem et viscofum et rotundum inutile. Deinde rurfus paulatim ad difficiliora fermone progrediens: *Malum autem, quod viride eft valde et fpumofum.* Ac deinceps addit: *Si vero ita fit impermixtum, ut etiam nigrum appareat, omni alio pejus eft.* Ex propriis quidem pleuritidis ita diftinguere oportet. Sed praeterea infpicienda funt omnia, quae funt morbis acutis communia, quae deinceps connumerat ita fcribens: *Sunt autem haec bona, facile ferre morbum, bene fpirare et effe doloris expertem et fputum facile expuere, corpus totum aequaliter calidum effe et molle et fitim non habere, urinas autem et alvi excrementa et fomnos et fudores, quemadmodum fcriptum eft, haec omnia bona effe fciendum eft.* Haec itaque funt bona figna, tum propria eorum inftrumentorum, quibus vis fpirandi eft demandata, tum communia omnibus aliis morbis acutis continuatim ordine invicem fcripta. Atque ipfis adjungens infert: *Mala autem funt his contraria, difficulter ferre morbum, fpiritum magnum*

μέγα καὶ πυκνὸν εἶναι, τὴν ὀδύνην μὴ παύεσθαι· τὸ πτύελον μόλις ἀναβήσσειν· διψῆν κάρτα· τὸ σῶμα ὑπὸ τοῦ πυρὸς ἀνωμάλως ἔχεσθαι· καὶ τὴν μὲν κοιλίαν καὶ τὰς πλευρὰς θερμὰς εἶναι ἰσχυρῶς, τὸ δὲ μέτωπον καὶ τὰς χεῖρας καὶ τοὺς πόδας ψυχρούς. οὖρα δὲ καὶ διαχωρήματα καὶ ὕπνους καὶ ἱδρῶτας, ὡς διαγέγραπται, ἕκαστα εἰδέναι κακὰ ἐόντα. γέγραπται δὲ καὶ περὶ τούτων δηλονότι κατὰ τὸ προγνωστικὸν, ὁμοίαν αὐτοῦ τὴν διδασκαλίαν ἐφ᾽ ἑκάστων τούτων ποιουμένου, οἵαν περ καὶ νῦν ἐπὶ τῶν πτυσμάτων. ὡς γὰρ ἐν τούτοις τὸ μέν τι πέψεώς ἐστι σημεῖον, τὸ δ᾽ ἀπεψίας, τὸ δ᾽ ὀλέθρου· καὶ τὸ μὲν τῆς πέψεως εὐθὺς ἐν ἀρχῇ φαινόμενον ἐν τάχει σωθήσεσθαι τὸν ἄνθρωπον δηλοῖ, τὸ δὲ τῆς ἀπεψίας ἐν χρόνῳ, τὸ δ᾽ ὀλέθριον ἀπολεῖσθαι, καὶ τὸ μὲν μεγάλως ὀλέθριον ἐν τάχει, τὸ δ᾽ ἧττον ἐκείνου χρονίως. οὕτω κἀπὶ τῶν οὔρων αὐτῶν διώρισται καὶ τῶν διαχωρημάτων καὶ τῶν ἄλλων ἁπάντων, ὑπὲρ ὧν ἐφεξῆς ἡμῖν ὁ λόγος ἔσται. καὶ γὰρ τούτων ἁπάντων τὰ μὲν

esse ac crebrum, non cessare dolorem, vix sputum expuere, vehementer sitire, totum corpus ab igne inaequaliter detineri et ventrem quidem ac latera calida esse vehementer, frontem autem ac manus frigidas et pedes frigidos, urinas vero et alvi excrementa et somnos et sudores, quemadmodum scriptum est, singula haec mala esse cognoscere oportet. Scriptum autem est de his in eo volumine quod prognosticon inscribitur, in quo similem in his singulis ipse tradit doctrinam, qualem et nunc in sputaminibus. Sicuti enim in his hoc quidem est coctionis signum, hoc vero cruditatis, hoc autem mortis, et quod coctionis est signum, si in principio statim appareat, propere salutem subsequuturam ostendit, quod autem cruditatis, morbum in longius tempus extendi debere, quod autem exitiale est, hominem moriturum significat; et si valde exitiale fuerit, cito; si vero remissius extiterit, in longo tempore. Eadem in urinis ipsis et alvi excrementis et reliquis omnibus, de quibus est sermo futurus, distinctio est adhibita; etenim haec omnia nonnulla quidem coctionis, nonnulla vero crudita-

πέψεως, τὰ δ' ἀπεψίας, τὰ δ' ὀλέθρου σημεῖα. καὶ γὰρ τὸ μέλαν πτύσμα πρὸς τῷ μὴ πεπέφθαι καὶ ὀλέθριόν ἐστιν. οὕτω δὲ καὶ οὖρον μέλαν οὐκ ἄπεπτον μόνον, ἀλλὰ καὶ ὀλέθριον. ἔστι δὲ ἁπλῶς ἄπεπτον τὸ λεπτὸν καὶ λευκὸν, ὅπερ ὑδατῶδες ὀνομάζομεν.

Κεφ. στ'. Ἐπὶ τὸν ἀφορισμὸν οὖν αὖθις ἐπανέλθωμεν τὸν λέγοντα, τοὺς δὲ παροξυσμοὺς καὶ τὰς καταστάσιας δηλώσουσιν αἱ νοῦσοι καὶ αἱ ὧραι τοῦ ἔτεος καὶ αἱ τῶν περιόδων πρὸς ἀλλήλας ἐπιδόσιες, ἤν τε καθ' ἡμέρην, ἤν τε παρ' ἡμέρην, ἤν τε καὶ διὰ πλείονος χρόνου γίνωνται. ἀτὰρ καὶ τοῖσιν ἐπιφαινομένοισιν οἷον ἐν πλευριτικοῖσι πτύελον, ἢν αὐτίκα ἐπιφαίνηται, ἀρχομένου μὲν βραχύνει, ἢν δὲ ὕστερον ἐπιφαίνηται, μηκύνει. καὶ οὖρα καὶ ὑποχωρήματα καὶ ἱδρῶτες καὶ δύσκριτα καὶ εὔκριτα καὶ βραχέα καὶ μακρὰ τὰ νοσήματα ἐπιφαινόμενα δηλοῖ. σαφῶς γὰρ ταῦτα τῶν ἐν τῷ προγνωστικῷ γεγραμμένων ἁπάντων ἐστὶν ἐπιτομὴ, [384] τὰ κεφάλαια μόνον αὐτὰ τῶν ἐν ἐκείνῳ κατὰ μέρος εἰ-

tis et quaedam etiam mortis indicia ſunt. Nigrum enim ſputamen praeter id quod crudum eſt, etiam mortem portendit; ſic et urina nigra non cruda ſolum, ſed etiam lethalis eſt. Eſt autem ſimpliciter cruda quae alba eſt ac tenuis, quam aquoſam nominamus.

Cap. VI. Rurſus igitur ad aphorismum redeamus, in quo ita ſcribitur: *Acceſſiones autem et conſtitutiones, morbi oſtendunt et anni tempora et circuituum adinvicem incrementa, ſive quotidie fiant, ſive alternis diebus, ſive longius tempus intermittant. Sed et ex iis quae poſtea apparuerint, conjecturam accipere oportet: velut in pleuritide, ſi ſputum ſtatim morbo incipiente appareat, brevem futurum ſignificat; ſi vero poſterius, longiorem. Et urinae etiam, et alvi excrementa, et ſudores, et bonam et malum criſim habituros et cito, vel tarde finituros morbos, quum mox appareant, indicant.* Nam haec liquido ſunt eorum omnium quae in prognoſticis ſcribuntur compendium quum antiquus ille auctor ſola capita eorum quae in eo

ρημένων, εἰς τοὺς ἀφορισμοὺς μεταθεῖναι πειραθέντος τοῦ παλαιοῦ. τίνα δ' ἦν τὰ κεφάλαια; πολλάκις γὰρ αὐτὰ ἀναλαμβάνειν κάλλιον οἶμαι, ἵνα κἂν νῦν τις αἰδεσθεὶς μάθῃ ἀρχῆς τε νοσήματος εἶναι διαγνωστικὸς καὶ τῆς μελλούσης ἀκμῆς προγνωστικὸς, τουτέστιν, ὡς αὐτός φησι, καὶ ἡ τοῦ νοσήματος ἰδέα καὶ ἡ τῆς ὥρας φύσις, καὶ τῶν παροξυσμῶν αἱ περίοδοι, καὶ τὰ τοῖς νοσήμασι ἐπιφαινόμενα. καὶ δὴ πάλιν ἐπὶ τοῦ αὐτοῦ παραδείγματος ὁ λόγος μοι γινέσθω, διαστελλομένῳ βραχύ τι περὶ τῶν ὀνομάτων, οἷς οἱ παλαιοὶ μὲν, ὥσπερ ἦν καὶ προσῆκον, ἐχρῶντο τοῦ δηλῶσαι τὸ νοούμενον ἕνεκα. τὸ σύμπαν δ' αὐτῆς ἦν σπούδασμα ἡ τῶν πραγμάτων αὐτῶν ἀκριβὴς γνῶσις. οἱ νεώτεροι δὲ ὀλίγου δεῖν ἅπαντες ἐν τοῖς ὀνόμασι κατατρίβουσι τὸν ἑαυτῶν βίον, ἀμελήσαντες τῶν πραγμάτων. ἀρχὴν οὖν τῆς νόσου καὶ τὴν πρώτην μὲν εἰσβολὴν καὶ τὴν ἀμερῆ τοῦ πρώτου παροξυσμοῦ καλοῦσι. καθάπερ τὸ νῦν, τὸ ἀπλατές. ἤδη δὲ καὶ χρόνον τινὰ πλατύτερον. ὥσπερ ἐπ' αὐτοῦ πάλιν τοῦ νῦν, ἐπειδὰν ἤτοι χειμῶνα νῦν εἶναι λέγωμεν, ἢ θέρος, ἤ τινα τῶν

libro figillatim fcribuntur, in aphorismos transferre tentaverit. Quaenam igitur funt haec capita? faepius enim repetere mihi videtur melius, ut quis etfi nunc erubescens, discat et morbi principium cognoscere et futurum ftatum praevidere, hoc eft, ut ipfe dicit, formam morbi et naturam temporis acceffionis circuitus, et quae in morbis mox apparent. Erit autem mihi fermo in eodem exemplo, adhibita brevi diftinctione de nominibus, quibus, ut par erat, veteres utebantur ad folum mentis conceptum explicandum, quum omni ftudio incumberent ad exquifitam rerum cognitionem; juniores vero fere omnes circa nomina fuam conterunt vitam, minime de rebus folliciti. Principium igitur morbi primum infultum indivifibilem primae acceffionis, veluti et ipfum, nunc, quod fine latitudine eft, vocant; fed et jam aliquod tempus latum, quod etiam in ipfo, nunc, obfervamus, quando dicimus nunc effe hiemem, vel aeftatem, vel aliquid aliud tempus. Quod igitur in nullo fer-

ἄλλων ὡρῶν, ὅτι μὲν οὖν ἐν οὐδενὶ τῶν τοιούτων λόγων ἃ Ἱπποκράτης, οἷος ὅ τε προγεγραμμένος ἀφορισμός ἐστιν καὶ ἄλλοι πολλοὶ τῶν ἐφεξῆς εἰρησομένων, ἀρχὴν ὀνομάζει τὴν πρώτην (393) ἐκείνην καὶ ἀμερῆ τῶν νοσημάτων εἰσβολὴν, εὔδηλον παντί. πῶς γὰρ ἤτοι τὸ περὶ τὰς ἀρχὰς τῶν νούσων σκεπτέον, εἰ αὐτίκα ἀνθεῖ, δύναιτ' ἄν τις οὕτως εἰρῆσθαι νομίζειν, ἢ τὸ, ἀρχομένων τῶν νούσων, ἤν τι δοκέῃ κινέειν, κίνει· ἀκμαζουσῶν δὲ ἡσυχίην ἔχειν βέλτιόν ἐστι. καὶ τὸ, ἢν οὖν ἐν ἀρχῇ τῆς νούσου τὸ πρόσωπον τοιόνδε ᾖ. τὸ γὰρ νεκρῶδες ἐκεῖνο πρόσωπον, ἐφ' οὗ ταῦτα λέγεται, κατὰ τὴν ἀκριβῶς πρώτην εἰσβολὴν τῶν νοσημάτων οὐκ ἄν ποτε δύναιτο συστῆναι. κατὰ ταὐτὰ δὲ κἀν τῷ λέγειν· ἐν τοῖσιν ὀξέσι πάθεσιν ὀλιγάκις καὶ ἐν ἀρχῇσι τῇσι φαρμακίῃσι χρέεσθαι, τὴν εἰς πλάτος χρόνου προήκουσαν ἀρχὴν ἐνδείκνυται. καὶ πολὺ δὴ μᾶλλον ἐν τῷ φάναι· κατὰ τὰς ἀρχὰς καὶ τὰ τέλη πάντα ἀσθενέστερα, κατὰ δὲ τὰς ἀκμὰς ἰσχυρότερα. καὶ μὲν δὴ καὶ τῶν νοσημάτων ὁκόσων ἀρχομένων ἢν χολὴ μέλαινα ἢ ἄνω, ἢ κάτω ὑπέλθοι, θανάσιμον, ὡσαύτως εἴρηται. κατὰ δὲ τὸν αὐτὸν τρόπον ἐν τῷ περὶ διαίτης ὀξέων,

mone tali, qualis eft is quem antea fcripfimus aphorismus et multi alii qui poftea dicentur, principium vocet Hippocrates primum illum et indivifibilem morbi infultum, unicuique liquet. Quomodo enim circa morborum principia confiderandum, fi ftatim morbus florescat, in eo fignificatu dictum quispiam poffet arbitrari? vel illud? *Incipientibus morbis, fi quid movendum videtur, move; confiftentibus vero, melius eft quiescere.* Et illud? *Si igitur in principio morbi facies talis erit;* nam *facies illa, mortuae fimilis, de qua ifta dicuntur,* neque illo exquifite principio morbi unquam fieri potuiffet. Eodem modo, quum dicitur: *In acutis morbis raro et in principiis utendum purgationibus;* de principio intelligitur, quod ad tempus latum extenditur. Multo magis quum fcribit: *Circa principia et fines omnia debiliora, circa ftatum fortiora.* Neque in alio fenfu dictum eft, *In quorum morborum principiis nigra bilis vel infra vel fupra exierit, mortale.* Eodem modo in libro De ratione victus in acutis morbis, in

ἐπὶ τοῦ καταλόγου τῶν σφοδρῶν ἐκείνων συμπτωμάτων ἐπήνεγκε· ταῦτα δὲ ἐν ἀρχῇσιν ἐπιφαινόμενα παραφροσύνης ἐστὶ δηλωτικὰ σφοδροτάτης, καὶ ὡς ἐπὶ τὸ πολὺ ἀποθνήσκουσιν. κατὰ ταὐτὰ δὲ τούτοις δηλονότι καὶ τὸ κατὰ τὸν ἀφορισμὸν ἔχει τὸν νῦν ἡμῖν προκείμενον, ἐν ᾧ φησιν· οἷον ἐν πλευριτικοῖσιν, πτύελον αὐτίκα ἢν ἐπιφαίνηται, ἀρχομένου μὲν βραχύνει. οὐ γὰρ δὴ τήν γε πρώτην ἀκριβῶς εἰσβολὴν σημαίνει νῦν τὸ ἀρχομένου διά τε τὴν φύσιν αὐτὴν τῶν πραγμάτων καὶ διὰ τὸ μηδ᾽ ἂν ἐπιφαινόμενα τὰ τοιαῦτα δύνασθαι λεχθῆναι. τίνι γὰρ ἔτι διοίσει τῶν συνεισβαλόντων; ἐκεῖνα μὲν γὰρ σαφῶς ἔχει τὴν αὐτὴν ἀρχὴν ἀλλήλων τε καὶ τῇ συμπάσῃ νόσῳ. ἐπιφαίνεται δὲ τὰ μὲν εὐθὺς ἐν τῇ πρώτῃ τῶν ἡμερῶν, τὰ δ᾽ ἐν τῇ δευτέρᾳ, τὰ δ᾽ ἐν τῇ τρίτῃ τε καὶ τετάρτῃ, τὰ δὲ καὶ προεληλυθότος ἤδη τοῦ νοσήματος.

Κεφ. ζ. [385] Ἡ δὲ κατὰ πλάτος ἀρχὴ κοινῇ μέν τινι ταύτῃ καὶ προχείρῳ φαντασίᾳ καὶ μήπω μηδὲν ἐχούσῃ τεχνικὸν ἐν τῷ πρώτῳ παροξυσμῷ περιέχεται. καὶ διὰ τοῦτο

connumeratione illorum vehementium accidentium intulit: *Haec autem fi in principiis appareant, vehementiffimum delirium oftendunt; ut plurimum autem moriuntur.* Eodem modo fe habet etiam in aphorismo, de quo paulo ante facta eft mentio, ubi inquit: *Veluti in plenitudine, fi fputum ftatim appareat incipiente morbo, morbum oftendit breviorem.* Neque enim dictio illa, *incipiente*, primum exquifite infultum hoc loco fignificat, tum quia huic fenfui rerum natura repugnat, tum quia dicere non potuiffet, *poft appareant;* quomodo enim different ab iis quae fimul invadunt illa quae exquifite idem habent principium invicem et cum univerfo morbo? Poft apparent autem quaedam ftatim in prima die, quaedam in fecunda, quaedam in tertia, quaedam in quarta, quaedam, quum jam proceffit morbus.

Cap. VII. Principium vero fecundum latitudinem communi quadam et prompta imaginatione, in qua nullum adhuc eft artificium, in prima acceffione continetur. Atque

τὰ μὲν εὐθὺς ἀρχόμενα τὴν ἀκμὴν ἀπειληφέναι λέγεται, καθάπερ ἐν τῷ πρώτῳ τῶν ἐπιδημιῶν, ἐπειδή φησιν, αὐτίκα γὰρ συνεχής ἐστιν οἷσιν ἀρχόμενος ἀνθεῖ καὶ ἀκμάζει. τὸ γὰρ ἀρχόμενον οὐκ ἐπὶ τοῦ καιροῦ τοῦ νοσήματος εἴρηται νῦν, ἢ μάχοιτ' ἂν αὐτῷ τὸ ἀνθεῖν τε καὶ ἀκμάζειν· ἀλλ' ἐπὶ τοῦ χρόνου δηλονότι τοῦ μετὰ τὴν ἀκριβῶς ἀρχὴν τὴν πρώτην, ἄχρι τρίτης τῆς ἡμέρας τὸ πλεῖστον ἐκτεταμένου. πάντως μὲν γὰρ ὁ πυρετὸς οὗτος ἀρχήν τινα τὴν πρώτην ἐκείνην καὶ ἀπλατῆ ποιησάμενος, ἔπειθ' οὕτως ἀναβάσει τινὶ χρησάμενος, ἀπολαμβάνει τὴν οἰκείαν ἀκμὴν, ὁ μὲν εὐθὺς ἐν τῇ πρώτῃ τῶν ἡμερῶν, ὁ δὲ ἐν τῇ δευτέρᾳ. οὐ μὴν ἀπό γε τῆς εἰσβολῆς τοῦ πρώτου παροξυσμοῦ δύναιτ' ἄν τις γενέσθαι πυρετὸς ἀκμάζων. ἀλλ' ἄν τε κατὰ τὴν πρώτην ἡμέραν ἄν τε κατὰ τὴν δευτέραν ἀκμάσας ἐντεῦθεν ἄχρι τῆς παντελοῦς λύσεως ἐκταθῇ, μηδεμίαν αἰσθητὴν ἑτέραν παροξυσμοῦ λαβὼν εἰσβολὴν, οὕτως ἂν ἀπ' ἀρχῆς εὐθὺς λέγοιτο τὴν ἰδίαν ἀκμὴν ἐσχηκέναι. καὶ τοῦτ' ἔστι τὸ πρὸς Ἱπποκράτους λεγόμενον. αὐτίκα γὰρ συνεχής ἐστιν οἷσιν ἀρχόμενος ἀνθεῖ καὶ ἀκμάζει.

idcirco quaedam ſtatim quum incipiunt, ſtatum accepiſſe dicuntur; quemadmodum in primo epidemiorum, ubi inquit: *Statim enim continua eſt, quibus incipiens floreſcit ac viget.* Nam verbum id, *incipiens*, hoc loco non dicitur de vero morbi tempore, alioqui repugnaret ei floreſcere atque vigere, ſed de eo, quod ſubſequitur principium exquiſite dictum, quod ut plurimum ad tertium extenditur diem. Omnino enim febris haec, ubi principium illud indiviſibile fecerit, deinde hoc pacto incremento quodam uſa fuerit, proprium recipit ſtatum, quaedam in prima ſtatim die, quaedam in ſecunda, non tamen in primo inſultu primae acceſſionis poſſet aliqua febris habere ſtatum. Sed ſive in primo die, ſive in ſecundo, iſtum habeat, atque hinc usque ad integram ſolutionem extendatur, nullum ſenſibilem alterius acceſſionis inſultum accipiens, haec ſtatim ab initio proprium habuiſſe ſtatum diceretur. Et hoc eſt quod ab Hipppocrate dicitur: *Statim enim continua eſt quae*

τοιοῦτον οὖν ἐστι καὶ τὸ ἐν πλευριτικοῖσι πτύελον, ἢν αὐτίκα ἐπιφαίνηται, ἀρχομένου μὲν βραχύνει πρὶν τὸν δεύτερον εἰσβάλλειν δηλονότι παροξυσμόν. ἔτι γὰρ ἄρχεσθαι λέγοιτ' ἂν ἡ πλευρῖτις, οὐ μόνον ἐπειδὰν ἀνάβασιν ὁ τοιοῦτος ἔχῃ παροξυσμὸς, ἢ ἀκμὴν, ἀλλὰ κἂν τῇ παρακμῇ συμπάσῃ. καὶ ὅλως πρὶν εἰσβάλλειν τὸν δεύτερον παροξυσμὸν, διὰ τρίτης τοὐπίπαν ἐν πλευρίτισιν ἀπαντῶντα. πᾶν οὖν ὅ τι ἂν ἐπιφαίνηται σημεῖον, ὀλιγοχρόνιόν τε ἅμα καὶ σωτήριον ἔσεσθαι δηλοῖ τὸ νόσημα. τοιοῦτον δὴ καὶ τὸ πτύελόν ἐστι τὸ ἐν τοῖς πλευριτικοῖς. ἑκάστου γὰρ τῶν μορίων τοῦ σώματος τὸ περίττωμα τὴν ὑπάρχουσαν αὐτῷ διάθεσιν ἐνδείκνυται, πεπεμμένον μὲν ὑγιεινὴν, ἄπεπτον δὲ ὑπάρχον νοσεράν. οὕτω γοῦν εἴρηται κἀκεῖνα. διαχώρημα δὲ ἄριστόν ἐστιν τὸ μαλθακόν τε καὶ συνεστηκὸς, καὶ τὴν ὥραν, ἥν περ καὶ ὑγιαίνοντι ὑπεχώρει. πλῆθος δὲ πρὸς λόγον τῶν εἰσιόντων. τοιαύτης γὰρ ἐούσης τῆς διεξόδου ἡ κάτω κοιλίη ὑγιαίνοι ἄν. καὶ τοίνυν καὶ τὸ πτύελον, ἐπειδὴ μὲν ἀκριβῶς ὅμοιον ᾖ

incipiens florescit ac viget. Tale igitur est: *Si sputum in pleuritide statim post apparuerit incipiente morbo, eum facit breviorem*, id est ante quam secunda accessio invaserit, adhuc enim pleuritis diceretur incipere, non solum quando hujusmodi accessio ascensum habeat vel statum, sed in tota declinatione, atque omnino ante quam secunda invadat accessio, quae ut plurimum in pleuritide tertio fit die. Quodcunque igitur coctionis signum post apparuerit, brevem et salutarem morbum futurum ostendit; tale quidem est sputum quod in pleuritide apparet; nam cujusque partis in corpore superfluitas eam quae illi inest dispositionem ostendit; si cocta quidem fuerit, salubrem; cruda autem aegram. Ita igitur et illa scripta sunt: *Alvi autem excrementa optima sunt quae mollia sunt et cohaerentia et quae eandem exitus horam servant quam in sanitate habuerunt. Quantitas vero esse debet pro ratione cibi qui assumitur; nam si exeuntia talia fuerint, ventrem inferiorem sanum esse indicant.* Et sputum quoque quum fuerit ex-

τοῖς τῶν ὑγιαινόντων, ἀκριβῶς ὑγιαίνειν ἐνδείξεται τὰ τῆς ἀναπνοῆς ὄργανα· παραποδιζόμενον δέ τι καὶ τοῦ κατὰ φύσιν ἐξιστάμενον εἰς τοσοῦτον ἐκεῖνα βεβλάφθαι δηλοῖ εἰς ὅσον ἂν καὶ αὐτὸ τῆς κατὰ φύσιν ἰδέας ἀπολείπηται. τὸ δ' ἐναντιώτατον τοῦ κατὰ φύσιν ἄπεπτόν ἐστιν καὶ μεγάλην ἐνδείκνυται τὴν τῶν πεπονθότων τόπων ἀσθένειαν. εἰ δὲ καὶ μοχθηρᾶς αἰτίας ἔχει τι γνώρισμα, καθάπερ τὸ μέλαν, ὀλεθριώτατον ἤδη τὸ τοιοῦτον. οὕτω δὲ ἔχει κἀπὶ τῶν οὔρων. καὶ γὰρ καὶ τούτων ὅσα μὲν ὁμοιότατα τοῖς τῶν ὑγιαινόντων ἐστὶν, ταυτὶ μὲν ἱκανῶς εὐρωστεῖν ἐνδείκνυται τὸ φλεβῶδες γένος τῶν ὀργάνων· ὅσα δὲ ἀπεπτότερα, τὴν ἀῤῥωστίαν αὐτῶν μηνύει. [386] τὰ δὲ ἐναντιώτατα τοῖς τῶν ὑγιαινόντων αὐτὰ μὲν τελέως ἐστὶν ἄπεπτα, μεγάλην δὲ ἀῤῥωστίαν ἐνδείκνυται τοῦ φλεβώδους γένους παντός. ὅσα δὲ καὶ τῆς κρατούσης αἰτίας ἐμφαίνει τὸ μοχθηρὸν, ὥσπερ καὶ τὰ μέλανα, ταυτὶ ἐσχάτως ὀλέθρια. ταυτὶ μὲν οὖν τὰ τρία γένη τῶν σημείων ἐνδείκνυται πέψιν ἰδίαν ἑκάστῳ. τῆς μὲν κάτω γαστρὸς

quifite fimile illi quod advenit fanis, integram fanitatem inftrumentorum, quibus vis fpirandi eft demandata, fignificat; fi quo modo autem impediatur, atque a naturali receffferit habitu, tantum eam laefam effe demonftrat quantum ab ipfa naturali forma recefferit. Quod vero illi quod fecundum naturam eft maxime contrarium exiftit, crudum eft, magnamque oftendit partium affectarum imbecillitatem; quod fi etiam vitiofae caufae aliquod fignum habuerit, quemadmodum nigrum, perniciofiffimum hoc eft. Ita etiam in urinis fe res habet. Nam et hae quae fanorum urinis fimillimae funt, venofum inftrumentorum genus fatis robuftum effe demonftrant, quae vero crudiores funt, ejusdem imbecillitatem fignificant: quae vero maxime funt fanorum urinis contrariae, hae quidem omnino funt crudae et maximam indicant imbecillitatem venofi generis univerfi; quaecunque vero et fuperantis caufae pravitatem oftendunt, veluti nigrae, hae funt fumme exitiales. Haec igitur tria fignorum genera propriam cujusque partis coctionem fignificant, inferioris quidem ventris excrementa, quae fecundum natu-

τὰ κατὰ φύσιν διαχωρήματα. τοῦ φλεβώδους δ' αὖ γένους τὰ οὖρα. τῶν δ' ἀναπνευστικῶν ὀργάνων μόνον τὰ πτύσματα. καθάπερ δὲ ταῦτα τῶν τόπων αὐτῶν ὅθεν ἐκκρίνεται τὰ γνωρίσματα φέρει, κατὰ τὸν αὐτὸν, οἶμαι, τρόπον καὶ τὰ οὖρα νεφρῶν καὶ οὐρητήρων καὶ κύστεως καὶ καυλοῦ. ἀλλὰ τὰ μὲν ἐπὶ τοῖς τούτων ἀῤῥωστήμασιν οὖρα διὰ τῶν ἀφορισμῶν ἰδίᾳ κατέλεξεν ὁ Ἱπποκράτης. τὰ δὲ τοῖς ὀξέσι νοσήμασι συνεδρεύοντα κατὰ τὸ προγνωστικὸν ἔγραψεν. ὅτι δὲ τοῦτο τὸ βιβλίον σύμπαν, ὡς ἤδη πολλάκις ἀποδέδεικται, περὶ μόνων ἐστὶ τῶν ὀξέων, ἀμέλει τελειώσας ἐν αὐτῷ σύμπαντα τὸν περὶ τῶν οὔρων λόγον ἐπὶ τῷ τέλει προσέθηκε, μὴ ἐξαπατάτω δέ σε ἤν τι αὐτέη ἡ κύστις νόσημα ἔχουσα τῶν οὔρων τι ἀποδιδοίη τουτέων, οὐ γὰρ τοῦ ὅλου σημεῖον, ἀλλ' αὐτῆς καθ' ἑαυτήν. ὡς οὖν τῆς κύστεως ἐμνημόνευσε, παράδειγμα τῷ λόγῳ ποιησάμενος αὐτὴν, οὕτω καὶ νεφρῶν καὶ οὐρητήρων καὶ καυλοῦ συνυπακούειν χρή. μεγίστη δ' ἀπόδειξις αὐτὰ τὰ πρὸς αὐτοῦ γραφέντα διὰ τῶν ἀφορισμῶν. ὥσπερ γὰρ κύστεως, οὕτω καὶ νεφρῶν νοσούντων γράφει

ram se habuerint, venosi vero generis urinae, instrumentorum autem duntaxat quibus spiramus sputamina. Sicuti vero haec partium ipsarum ex quibus excernuntur indicia praebent, eodem, ut arbitror, modo et urinae renum et meatuum, per quos urina defluit, et vesicae et penis. Sed urinas quidem, quae in harum partium morbis accidunt, in aphorismis separatim Hippocrates scripsit; quae vero morbis assident acutis, in prognosticis, quoniam hic liber, ut jam saepius ostendimus, de solis est morbis acutis. Et quum in eodem libro complevisset omnem de urinis sermonem, postea in fine subjunxit: *Ne decipiaris autem, si vesica quopiam vitio affecta aliquam ex his urinam reddiderit, neque enim totius signum, sed ipsius per se ipsam.* Sicuti igitur vesicae meminit, facto in ea sermonis exemplo, ita et renes et vasa deferentia urinam et penem, subaudire oportet. Maxima autem ad haec demonstratio sunt, quae ab ipso in aphorismis sunt scripta. Sicut enim vesicae, ita et renum aegro-

σημεῖον. ὁκόσοισιν ἐν τῷ οὔρῳ, φησὶν, παχεῖ ἐόντι, σαρκία μικρὰ, ἢ ὥσπερ τρίχες συνεξέρχονται, τουτέοισιν ἀπὸ τῶν νεφρῶν ἐκκρίνεται. ταυτὶ μὲν οὖν, ὡς ἔφην, τὰ τρία γένη τῶν σημείων ἕκαστον ἰδίας πέψεως ἐνδεικτικὸν ὑπάρχον· οὖρα μὲν τῆς κατὰ τὰς φλέβας, διαχωρήματα δὲ τῆς κατὰ γαστέρα, πτύσματα δὲ τῆς τῶν ἀναπνευστικῶν ὀργάνων, καὶ οὐκ ἐνδέχεται δέ ποτε μὴ οὐκ ἀγαθόν τι μέγα δηλοῦν τὸ τῆς πέψεως σημεῖον. αἱμοῤῥαγίαι δὲ καὶ (394) ἱδρῶτες καὶ παρωτίδες καὶ τὰ ἄλλα ἀποσκήμματα σὺν μὲν τῷ καιρῷ πέφυκεν ὠφελεῖν, ἀκαίρως δὲ οὐδὲν ὀνίνησι. ὅθεν μοι δοκεῖ τὰ τοιαῦτα αἰνίττεσθαι διὰ τοῦ περὶ χυμῶν βιβλίου λέγων τὰ κρίνοντα ἐπὶ τὸ βέλτιον μὴ αὐτίκα ἐπιφαίνεσθαι. καὶ γὰρ οὐ ταῦτα μόνον, ἀλλὰ καὶ δύσπνοιαι καὶ παραφροσύναι καὶ δάκρυα καὶ ἀγρυπνίαι καὶ κώματα καὶ σκοτόδινοι καὶ μαρμαρυγαὶ καὶ ἄσαι καὶ καρδιαλγίαι καὶ κεφαλαλγίαι καὶ τἄλλα σύμπαντα τὰ καθ᾽ ἕκαστον μόριον ἀλγήματα διορισμοῦ δεῖται πηνίκα μέν ἐστιν ὠφέλιμα, πηνίκα δὲ βλαβερὰ, πηνίκα

tantium ſigna conſcribit. *Quibus*, inquit, *in urina craſſa carunculae parvae, aut veluti capilli exeunt, iis a renibus excernuntur.* Haec igitur tria ſignorum genera, ut dixi, ſingula quaeque coctionis praebent indicium; urinae quidem ejus quae fit in venis, dejectiones autem ejus quae in ventre, ſputamina vero ejus quae in ſpirandi inſtrumentis, neque unquam uſu contingit, quin bonum aliquod magnum oſtendant coctionis indicia. Sanguinis autem profluvia et ſudores et parotides et reliqui decubitus, ſi in tempore quidem fiant opportuno, prodeſſe poſſunt, intempeſtiva autem nihil juvant. Quo fit ut mihi videatur haec eadem innuere in libro de humoribus, ubi ſcribit: *Decernentia in melius non ſtatim appareant.* Etenim non haec tantum, ſed difficultas anhelitus et deliria et lachrymae et vigiliae et comata et tenebricoſae vertigines et hallucinationes et anxietates et oris ventriculi capitisque dolores, reliquive caſus, atque dolores, qui ſingulis partibus corporis eveniunt, exigunt diſtinctionem et quando juvent et quando noceant et quando

δ' οὐ μόνον οὐδὲν ὀνίνησι, ἀλλὰ καὶ σημεῖα γίνεται μοχθηρότατα. καθάπερ οὖν ἕν τι ποσὸν ἀφωρισμένον οὐκ ἐδήλου τὸ τῆς ἀρχῆς ὄνομα, κατὰ τὸν αὐτὸν, οἶμαι, τρόπον οὐδὲ τὸ αὐτίκα. πλάτος δὲ ἔχον χρόνου τοσοῦτον ὅσον περ καὶ τὸ τῆς ἀρχῆς ἐστιν. δῆλον δὲ ὡς καὶ πολλάκις ἀντ' ἐπιῤῥήματος τῷ αὐτίκα χρώμεθα τοῦ ἀμέλει, καθάπερ κἂν τῷ τοιῷδε λόγῳ φαίνεται κεχρημένος ὁ Ἱπποκράτης· εἰσὶ δὲ τρόποι καὶ καταστάσιες καὶ παροξυσμοὶ τουτέων ἑκάστου τῶν πυρετῶν· αὐτίκα γὰρ συνεχής ἐστιν οἷσιν ἀρχόμενος ἀνθεῖ καὶ ἀκμάζει. τουτὶ γὰρ τὸ αὐτίκα πλέον οὐδὲν δηλοῖ τοῦ ἀμέλει, καθάπερ, οἶμαι, κἂν τῷ περὶ διαίτης ὀξέων. ἐν οἷς οὕτω φησίν· ἢν οὖν μὴ προστιμωρήσῃ τις, ὅσον δεῖται αὐτάρκης εἶναι ὁ τρόπος τῆς τοιαύτης πτισανοροφίης, πολλαχόθεν βεβλάψεται. οἷσί τε γὰρ σῖτος αὐτίκα ἐγκατακέκλεισται, εἰ μή τις ὑποκενώσας τὸ ῥόφημα δοίη. τὸ μὲν οὖν αὐτίκα τοιόνδε σημαίνει. [387] ἔστι δὲ τοῦ αὐτίκα πάμπολλα παραδείγματα παρά τε τῶν ἄλλων ἁπάντων Ἑλλήνων εὑρεῖν, οὐχ ἥκιστα δὲ καὶ παρ' Ἱπποκράτους. ἐπὶ δὲ θάτερον ἤδη μεταβῶμεν.

non modo nihil profint, fed etiam figna fint deterrima. Quemadmodum igitur principii vocabulum nullum determinatum tempus fignificabat, eodem, arbitror, modo neque id verbum ftatim; tantam vero temporis temporis latitudinem quantum et principii nomen. Liquet autem quod etiam faepius pro ilicet, adverbio, ftatim, utimur, veluti in eo dicto videtur ufus Hippocrates: *Infunt autem modi et conftitutiones fingulis hisce febribus, ftatim enim continua eft, quibus florescit ac viget;* nam hoc verbum ftatim nihil fignificat quam ilicet, quemadmodum, ut arbitror, libro De ratione victus in morbis acutis, ubi ita inquit: *Nifi ergo quispiam curet quantum decet, fufficientem effe modum hujusmodi forbitionis ptifanae, faepius nocebit; quibus enim cibus ftatim obfervatus fuerit, iis fi quis non fubducto ventre forbitionem dederit etc.* id verbum, ftatim, tale aliquid fignificat. Sunt autem ejus verbi fignificatus quamplurima exempla apud omnes alios Graecos et maxime apud Hippocratem. Ad alterum autem transgrediamur.

ἐπειδὰν γάρ φησι, τὰ κρίσιμα μὴ αὐτίκα ἐπιφαίνεσθαι, τὸ παραχρῆμα δηλοῖ, τουτέστι κατὰ τὴν ἀρχὴν τοῦ νοσήματος. ἔστι δ᾽ οὐ ταῦτα τά γε νῦν εἰρημένα κρίσιμα καὶ τὰ τῆς πέψεως γνωρίσματα. τοῖς μὲν γὰρ οὐκ ἐγχωρεῖ τὸ μὴ οὐ κρίσιν τινὰ πάντως, ἢ ἀγαθὴν, ἢ κακὴν ποιήσασθαι. τὰ δὲ τῆς πέψεως σημεῖα σωθήσεσθαι μὲν δηλοῖ τὸν ἄνθρωπον, οὐ μέντοι γε κριθήσεσθαι πάντως. οὔτε γὰρ εἰ τὴν ἀθρόαν ἀκούοιμεν ἐν νόσῳ μεταβολὴν, οὔτ᾽ εἰ τὴν προηγουμένην αὐτῆς ταραχὴν, ἐξ ἀνάγκης τὰ τῆς πέψεως σημεῖα τῶν εἰρημένων ἔσται. δύναται γὰρ ἐν χρόνῳ πλείονι κατὰ βραχὺ τὸ νόσημα πεττόμενον ἐπὶ τὴν παντελῆ λύσιν ἀφικέσθαι. δηλωθήσεται δὲ κἀν τοῖς ἐφεξῆς ἔτι σαφέστερον ὅπῃ διενήνοχε τὰ κρίσιμα συμπτώματα τῶν τῆς πέψεως σημείων. νυνὶ δὲ ἀρκεῖ τό γε τοσοῦτον ἐπιδεδεῖχθαι, ὡς τῆς μὲν ἐν τοῖς ἀναπνευστικοῖς ὀργάνοις πέψεως τὰ πτύελα, τῆς δ᾽ ἐν ταῖς φλεψὶ τὰ οὖρα, τῆς δὲ κατὰ τὴν γαστέρα τὰ διαχωρήματα τίθεσθαι χρὴ σημεῖα. καὶ ὡς ἐπὶ μὲν τῶν πυρετῶν ἁπάντων, ἐπειδὴ τοῦ φλεβώδους γένους εἰσὶ παθήματα, καὶ γὰρ καὶ τὰς ἀρτηρίας

Quum enim inquit: *Signa decretoria non ftatim appareant, hic, ftatim, quamprimum fignificat, hoc eft in principio morbi.* Non funt autem eadem decretoria et quae coctionis indicia dicuntur; non enim fieri poteft quin ifta omnino vel bene, vel male decernant. At vero coctionis figna falutem quidem hominis, non tamen per crifim omnino futuram oftendunt; neque enim fi fubitam in morbo mutationem intellexeris crifim, neque fi praecedentem perturbationem, neceffario coctionis figna dictorum erunt, quum illud accidere poffit, ut morbus in longiori tempore paulatim coctus ad integram deveniat folutionem. Oftendetur autem et in fequentibus adhuc manifeftius, quomodo differant decretoria fymptomata a coctionis fignis, nunc vero hoc tantum oftendiffe fufficiat, quod coctionis quae in fpirandi inftrumentis fit, fputa, ejus vero quae in venis, urinas, illius autem quae in ventre, alvi excrementa figna ftatuere oportet Et quod in febribus omnibus, quoniam venofi generis funt paffiones, nam et arterias in hoc genere

ἐν τούτῳ νῦν τῷ γένει περιλαμβανέτω, τοῖς οὔροις μάλιστα προσεκτέον ἐστίν. ἐπὶ δὲ τῶν πλευριτικῶν πρώτοις μὲν τοῖς πτύσμασι, ἤδη δὲ καὶ τοῖς οὔροις, ὅτι καὶ μετὰ πυρετοῦ πάντως ἡ πλευρῖτις. ἐπὶ δὲ τῶν κατὰ τὴν γαστέρα χωρὶς μὲν πυρετοῦ τοῖς διαχωρήμασι μόνοις, σὺν πυρετῷ δὲ καὶ τοῖς οὔροις.

Κεφ. η΄. Ἡ τοίνυν ἑκάστου τῶν νοσημάτων ἴδιος ἀρχὴ τοῖς τῆς πέψεως σημείοις ὁρίζεται, διαφέρουσα τῆς ἐν πλάτει λεγομένης ἀρχῆς τῆς ἀτέχνου πάμπολλα. μακροτέρα γὰρ ἐκείνη τῆς τρίτης ἡμέρας οὐκ ἐπινοεῖται προϊοῦσα, καθάπερ κᾀν τῷ προγνωστικῷ δεδήλωται σαφέστατα. προειπὼν γάρ· ἢν μὲν οὖν ἐν ἀρχῇ τῆς νόσου τὸ πρόσωπον τοιοῦτον ᾖ, μετὰ ταῦτά φησιν· ἢν δὲ καὶ παλαιοτέρου ἐόντος τοῦ νοσήματος, ἢ τριταίου, ἢ τεταρταίου, τὴν κατὰ πλάτος ἀρχὴν ἐνδεικνυμένου ἀκριβῶς ἡμῖν, ἄχρι τῆς τρίτης ἡμέρας ἐκτείνεσθαι. τὴν δ᾽ ὄντως ἑκάστου νοσήματος ἰδίαν ἀρχὴν, ἣν δὴ καὶ μέρος ὑπάρχειν ἔφαμεν αὐτοῦ, μέχρι παμπόλλων τετράδων ἐνδέχεται προέρχεσθαι. παύεται γὰρ τότε πρῶτον,

comprehendimus, ad urinas praecipue attendere oportet, in iis autem qui pleuritide afficiuntur, primum quidem ſputa, ſecundo loco urinas, quoniam is morbus omnino cum febribus jungitur, in paſſionibus autem ventris, ſi ſine febre fuerint, ſola alvi excrementa inſpicere oportet, ſi autem cum febre, etiam urinas.

Cap. VIII. Proprium igitur uniuscujusque morbi principium coctionis ſignis determinatur. Differt autem ab eo quod ſecundum latitudinem principium dicitur, quod nullum habet artificium, quod ultra tertium diem non extendi intelligitur; ſicuti etiam in prognoſtico manifeſtiſſime oſtenditur. Nam quum antea dixiſſet, *Si in principio morbi talis fuerit facies;* poſtea ſubjungit: *Si autem longior morbus fuerit quam triduanus, aut quatriduanus;* principium ſecundum latitudinem manifeſte nobis oſtendens usque ad tertium diem extendi. Verum autem uniuscujusque morbi principium, quod etiam partem ipſius eſſe diximus, usque ad multos quaternarios extendi contingit; tunc enim

ἐπειδὰν τὰ τῆς πέψεως ἐπιφανῇ σημεῖα. τὸ δ' ἀπὸ τοῦδε σύμπαν ἕως τῆς ἀκμῆς ἕτερον ἤδη μέρος ἐστὶν, αὔξησίς τε καὶ ἀνάβασις ὀνομαζόμενον. εἶτ' ἀκμὴ μετὰ ταῦτα, τὸ σφοδρότατον τῆς ὅλης νόσου μόριον. ὑστάτη δὲ πασῶν ἡ παρακμή. πέψεως μὲν οὖν δὴ σημεῖα, πολλάκις γὰρ δεῖ τὰ χρησιμώτατα λέγειν, οὐκ ἔστιν ὅτε κακῶς ἐπιφαίνεται. τὰ κρίσιμα δ' ἔστιν ὅτε κακῶς. οὔτε γὰρ ἐν ταῖς ἀναβάσεσιν οὔτ' ἐν ταῖς ἀρχαῖς, ἀλλ' ἐν ταῖς ἀκμαῖς αὐτὰ ἐπιφαίνεσθαι χρή. περὶ μὲν δὴ τῶν ἐν ταῖς ἀναβάσεσί τε καὶ ταῖς ἀκμαῖς ἐπιφαινομένων ἐφεξῆς ἐροῦμεν· περὶ δὲ τῶν ἐν ταῖς ἀρχαῖς ἤδη λέγωμεν, ἀναμνήσαντες πάλιν ὡς ἐν ἅπαντι τῷ μετὰ ταῦτα λόγῳ, παρέντες τὰ δύο σημαινόμενα τῆς ἀρχῆς, τό τε τῆς πρώτης εἰσβολῆς τῆς ἀπλατοῦς τό τε τῆς τοῦ πρώτου παροξυσμοῦ, [388] περὶ μόνου τοῦ τρίτου διαλεξόμεθα χρόνου, τοῦ τῆς ἀπεψίας. καὶ γὰρ καὶ τεχνικὴ τῆσδε τῆς ἀρχῆς ἡ διάγνωσίς ἐστιν καὶ μεγάλα δηλοῦν πέφυκεν. οὔτ' οὖν ἱδρῶτες οὔτ' ἔμετοι καὶ διαχωρήματα γαστρὸς οὔτε παρω-

primum finitur, quum coctionis signa apparuerint. Reliquum vero deinceps tempus usque ad statum jam alterum tempus est, quod augmentum et ascensus nominatur. Deinde post haec status, qui est vehementissima totius morbi pars. Ultima vero omnium est declinatio. Coctionis igitur signa, saepius enim quae utilia sunt repetere convenit, nunquam male apparent: decretoria autem est ubi male; neque enim in augmentis, neque in principiis, sed in statibus illa apparere convenit. De iis quidem quae in augmentis ac statibus apparent postea dicemus. Jam vero de iis quae videntur in principiis dicamus, illud prius ad memoriam revocantes, quod in reliquo sermone, qui sequitur, duo principii significata praetermittentes et illud, quod est primi insultus, qui sine latitudine est, et alterum, quod est primae accessionis; de solo tertio differemus, videlicet cruditatis; nam et hujus artificiosa quaedam dignotio et magna ostendere natura apta est. Neque igitur sudores et vomitus et alvi excrementa, neque parotides, ne-

τίδες οὔτε αἱμοῤῥαγίαι κατὰ τοῦτον ἐπιφανεῖσαι τὸν χρόνον, ἔκρινάν ποτε νόσημα. ταυτὶ μὲν οὖν ἤδη καὶ ὡς αἴτια πεπίστευται τὰς νόσους ἀπαλλάττειν· τὰ δ᾽ ὡς σημεῖα τούτων δηλωτικὰ παραφροσύναι τ᾽ εἰσὶ καὶ ἀγρυπνίαι καὶ κώματα καὶ ἀλγήματα καὶ δάκρυα καὶ δύσπνοιαι καὶ σκοτόδινοι καὶ πάνθ᾽ ὅσα τοιαῦτα. καὶ γὰρ οὖν καὶ ταῦτα χωρὶς τῶν τῆς πέψεως σημείων ἐπιφανέντα κακίστων διαθέσεών ἐστι γνωρίσματα. σύμπαντα μὲν οὖν δὴ ταῦτα, τά τε ὡς αἴτια τά τε ὡς σημεῖα κρίσιμα, μὴ αὐτίκα φαινέσθω· τουτέστι μὴ κατὰ τὸν πρῶτον καιρὸν τοῦ νοσήματος, ἡνίκα τελέως ἄπεπτον ὑπάρχει· τὰ δ᾽ ἄλλα τρία γένη τῶν τὴν πέψιν δηλούντων σημείων, εἰ καὶ κατὰ τὴν πρώτην εὐθὺς ὥραν φαίνοιτο τοῦ πρώτου παροξυσμοῦ, καλῶς ἐπιφαίνηται.

Κεφ. θ΄. Πάλιν οὖν ἀναλαβόντες εἴπωμεν ταὐτό. τοὺς καθόλου καιροὺς τῶν νοσημάτων ἔκ τε τῶν νόσων αὐτῶν πρῶτον χρὴ στοχάζεσθαι, πηλίκοι τινὲς ἔσονται τῷ χρόνῳ, κἀκ τῶν ὡρῶν τοῦ ἔτους καὶ τῆς τῶν περιόδων ἀναλογίας, καὶ πρὸς τούτοις ἅπασιν ἐκ τῶν ἐπιφαινομένων,

que profluvia ſanguinis, hoc tempore appareant, unquam per criſim morbi ſinierunt. Haec igitur jam etiam veluti cauſae morbos finire creduntur, quae vero veluti horum ſigna ſunt indicativa, deliria exiſtunt, atque vigiliae et ſomni graves et dolores et lachrymae et difficultates ſpirandi et vertigines tenebricoſae et quaecunque ſimilia; etenim haec, ſi absque coctionis ſignis apparuerint, ſunt peſſimorum affectuum indicia. Haec igitur univerſa, et quae ut cauſae et quae ut ſigna criſis ſunt, non ſtatim appareant, hoc eſt, non in primo morbi tempore, quando omnino nulla adeſt coctio; reliqua autem tria quae coctionem oſtendunt ſigna, etiam ſi in prima protinus acceſſionis hora apparuerint, ad bonum apparent.

Cap. IX. Rurſus ergo repetentes dicamus. Haec univerſalia morbi tempora ex morbis ipſis primum conjici oportet, quantum extendi debeant; deinde ex anni temporibus et circuituum proportione; et praeter haec omnia

ἐν οἷς πρῶτα καὶ κυριώτατα τὰ τῆς πέψεώς ἐστι σημεῖα, δι᾽ ὧν τὴν μὲν ἤδη περιγεγραμμένην ἀρχὴν ἀκριβῶς γνωρίσαις. ἐκ ταύτης δὲ τὴν μέλλουσαν ἀκμὴν στοχασμῷ τεχνικῷ προγνώσῃ τῷ μετ᾽ ὀλίγον εἰρησομένῳ. καλῶ δὲ τεχνικὸν στοχασμὸν ὃς ἂν ἐγγυτάτω τῆς ἀληθείας ἀφίκηται. ὥσπερ οὖν ἀρχῆς ἀκριβὴς διάγνωσις οὐκ ἔστι πρὶν ἄρξασθαι τὴν ἀνάβασιν, οὕτως οὐδὲ τῆς ἀναβάσεως πρὶν εἰσβαλεῖν τὴν ἀκμήν. ἀσκητέον δὲ κἀνταῦθα πρότερον εἰσβάλλουσαν ἀκμὴν γνωρίζειν, ἔπειθ᾽ οὕτως προγινώσκειν. ἐπεὶ δὲ καὶ τούτων ἁπάντων ἡγεμὼν Ἱπποκράτης ἐστὶ, δίκαιον ἂν εἴη κἀνταῦθα τὰς ἐκείνου ῥήσεις ἐξηγουμένους διαπεραίνεσθαι τὸν λόγον. ἄμεινον δ᾽ ἴσως ἐστὶν πρὶν ὑπάρξασθαι τοῦτο ποιεῖν ἔτι βραχὺ περὶ τῶν εἰρημένων προσθεῖναι. ἣν γὰρ ὡς μέρος τοῦ νοσήματος ἐζητοῦμεν εὑρεῖν ἀρχὴν, εἴτε ἰσόχρονος ἐν ἁπάσαις ταῖς νόσοις ἐστὶν, εἴτε καθ᾽ ἑκάστην αὐτῶν ἴδιος, ἐν ᾗ καὶ τὸν Θεσσαλὸν ἔφαμεν ἐξευρηκέναι τὸ ληρῶδες ἐκεῖνο παράγγελ(395)μα, τὸ δεῖν ἐν ἀρχῇ στέλλειν τὰ νοσήματα, κἂν ἐκ τῆς στενῆς ᾖ

ex poſt apparentibus, in quibus prima et praecipua ſunt ſigna coctionis, ex quibus circumſcriptum jam principium poſſis exquiſite cognoſcere. Ex hoc autem futurum ſtatum conjectura artificioſa, quam paulo poſt aperiemus, agnoſces; voco autem conjecturam artificioſam quae prope ad veritatem acceſſerit. Sicut igitur non habetur exquiſita principii cognitio prius quam incipiat aſcenſus, ita neque aſcenſus ante quam ſtatus invadat. Exerceri autem debemus et hoc loco ut invadentem ſtatum cognoſcamus, deinde ut praenoſcamus. Quoniam vero et horum omnium dux eſt Hippocrates, aequum eſt ut hoc in loco ejus verba exponentes ſermonem tranſigamus. Praeſtat vero fortaſſis, antequam aggrediamur haec facere, pauca quaedam eorum quae nuper diximus apponere. Quod enim prius tanquam morbi partem principium invenire quaerebamus, utrum aequalis ſit temporis in omnibus morbis, aut in ſingulis proprium tempus habeat, de quo diximus Theſſalum delirum illud inveniſſe praeceptum: oportet in unoquoque morbi principio adſtringere, etiam ſi morbus ex conſtricta

κενότητος. Ἱπποκράτης μὲν πάντων πρῶτος ἀκριβῶς ἐδήλωσε, οὐ μὴν μανθάνουσιν οὐδ' αὐτὸ διὰ τὸ τάχος τῆς ἑρμηνείας. ἀρκέσει δὲ ἔν γε τῷ παρόντι διὰ μιᾶς ῥήσεως ἐπιδεῖξαι τὴν γνώμην αὐτοῦ, καὶ γὰρ τὰς ἄλλας ῥήσεις ἄν τις εἰ μὴ παντάπασιν ἀταλαίπωρος εἴη, κατὰ τὸν αὐτὸν, οἶμαι, τρόπον ἐξευρίσκειν δύναιτο, προχειρισάμενος δὴ τόνδε τὸν ἀφορισμόν· πέπονα φαρμακεύειν καὶ κινέειν μὴ ὠμὰ, μηδὲ ἐν ἀρχῇσιν, ἢν μὴ ὀργᾷ. τὸ μὲν δὴ ὀργᾷν κυρίως μὲν ἐπὶ τῶν ζώων εἴθισται λέγεσθαι τῶν ἐπειγομένων χρῆσθαι συνουσίᾳ. μετενήνεκται δὲ νῦν ἐπὶ τὰ κατεπείγοντα καὶ κινούμενα ταχέως νοσήματα. καὶ μάλιστα ἐπειδὰν ἐρεθίζηταί πως ἡ τοῦ κάμνοντος αἴσθησις, ὑπὸ τῆς τῶν ὑγρῶν τε καὶ πνευμάτων ἀτάκτου κινήσεως. [389] ἐπὶ γὰρ τούτων μόνων εὐλόγως ἄν τις χρήσαιτο καταρχὰς φαρμακείαις, σύμμαχον ἔχων εἰς τὸ τῆς ὁλκῆς εὐπετέστερον τὴν τῶν πλεοναζόντων ὑγρῶν κίνησιν, ὡς τά γε πρὸς τῷ τελέως ὑπάρχειν ἄπεπτα, τὸ μόνιμόν τε καὶ ἑδραῖον ἔχοντα, χαλεπῶς ὑπακούειν ταῖς ὁλκαῖς τῶν καθαιρόντων φαρμάκων. οὕτως οὖν εἴρηται κἀκεῖνα. ὁκόσοισι δὲ

fuerit communitate, primus omnium Hippocrates diligentiffime oftendit, non tamen quid ille dicat intelligunt, ob enarrationis brevitatem. In praefentia autem fufficiat, ex uno dicto prisci auctoris mentem explanare, nam et alia, nifi quis omnino indiligens fuerit, fimili modo inveniet. In medium autem adducemus iftum aphorismum: *Cocta medicari et movere non cruda, neque in principiis, nifi turgeant*, quod verbum turgere proprie de animalibus dici confuevit quae ad coitum rapiuntur, translatum autem eft ad eos qui urgent et celeriter moventur morbos et praecipue quum laborantis fenfus ab inordinata humorum et fpirituum agitatione quodammodo irritatur, nam in his tantum quispiam rationaliter pharmaco in principiis uteretur, quum coadjuvantem habeat ad facilius attrahendum fuperabundantium humorum motum, quemadmodum qui praeter id quod omnino crudi funt, quum ftabiles etiam et fixi fint, purgantium medicaminum tractibus difficulter obediunt. Sic etiam illa dicta funt: *Quicunque ea quae inflamman-*

τὰ φλεγμαίνοντα ἐν ἀρχῇ τῶν νούσων, εὐθέως ἐπιχειροῦσι λύειν φαρμακείῃ, τοῦ μὲν συντεταμένου καὶ φλεγμαίνοντος οὐδὲν ἀφαιροῦσιν· οὐ γὰρ ἐνδιδοῖ ὠμὸν ἐὸν τὸ πάθος· τὰ δ' ἀντέχοντα τῷ νοσήματι καὶ ὑγιεινὰ συντήκουσιν. ἀλλὰ περὶ μὲν τούτου σκέψασθαι τῆς θεραπευτικῆς μεθόδου ἔργον ἐστίν. τὸν δ' οὖν Ἱπποκράτην καλεῖν ἀρχὴν ἐκεῖνον ἅπαντα τὸν χρόνον τοῦ νοσήματος, ἐν ᾧ παντελῶς ἐστιν ἄπεπτον, ἤδη φαίνεται. προειπὼν γὰρ ὡς πέπονα χρὴ φαρμακεύειν, ἐπήνεγκεν μὴ ὠμὰ, μηδὲ ἐν ἀρχῇσιν, ὡς τότ' ἀρχῆς οὔσης, ὅτ' ὠμὸν τὸ νόσημα καὶ ἄπεπτον ὑπάρχει.

Κεφ. ι'. Πῶς οὖν, ἀναληπτέον γὰρ αὖθις ὅθεν προλέγοντες ἀπελίπομεν, ὅρον ἐπιθήσει τις οὕτω σαφῆ τῷ πέρατι τῆς ἀναβάσεως, ὥσπερ καὶ τῷ τῆς ἀρχῆς; πῶς δὲ ἄλλον ἢ τὰ τῆς ἀκμῆς θεασάμενος γνωρίσματα; λέγει δὲ καὶ ταῦτα ὁ Ἱπποκράτης ἐνὶ μὲν λόγῳ τῷδε· κατὰ τὰς ἀρχὰς καὶ τὰ τέλη πάντα ἤδη ἀσθενέστερα, κατὰ δὲ τὰς ἀκμὰς ἰσχυρότερα.

tur, statim in principio morborum solvere medicamento tentant, ab eo quidem, quod intentum est atque inflammatum, nihil adimunt, neque enim cedit cruda adhuc affectio, quae vero morbo resistunt et sana sunt, colliquescere faciunt. Sed harum rerum contemplatio ad eos pertinet libros, in quibus de curandi arte tractatur. Quod vero Hippocrates vocet principium, totum illud tempus morbi in quo omnino crudus est, jam liquet, nam quum antea dixisset quod cocta pharmaco purgare oportet, subjunxit, *non cruda, neque in principiis*, ac si principium existat, quando crudus incoctusque est morbus.

Cap. X. Quomodo igitur, nam rursus repetenda sunt quae prius, quum de ipsis loqueremur, omisimus, terminum aliquem quispiam ita manifestum praefiniet ultimae parti ascensus, quemadmodum fini principii? quomodo aliter quam status indicia inspiciendo? Dicit autem haec Hippocrates in uno quidem sermone: *In principiis quidem omnia sunt imbecilliora, in statu vero fortiora.* In altero vero hoc: *Ubi quidem peracutus est morbus, statim extremos*

ἑτέρῳ δὲ τῷδε· ὅκου μὲν οὖν κάτοξυ τὸ νόσημα, αὐτίκα καὶ τοὺς ἐσχάτους πόνους ἔχει. πῶς οὖν ἐπιγνῶμεν αὐτό; διὰ τοῦθ᾽, ὅτι νῦν ἰσχυρότατόν ἐστι νόσημα καὶ τοὺς μεγίστους ἔχει παροξυσμούς. εἰ μὲν γὰρ ἀθρόως μέλλει μεταβάλλειν, ὅπερ δὴ κρίνεσθαι καλέσομεν ἐν τῷ παρόντι, τὴν ἀρχὴν τῆς κρίσεως ἔσχατον ὅρον ἀναβάσεως θετέον· εἰ δὲ κατὰ βραχὺ, τοῖς ἐν ταῖς περιόδοις παροξυσμοῖς δοκιμαστέος. εἰ μὲν γὰρ ἐπὶ τὸ πρωϊαίτερόν τε καὶ πλείονα χρόνον, καὶ μᾶλλον, ὡς αὐτὸς ἔλεγεν, εἴησαν γινόμενοι, δῆλον ὡς ἐπὶ τὴν ἀκμὴν ἀνέρχεται καὶ αὐξάνεται τὸ νόσημα. τῆς δὲ ἐπὶ τοὐναντίον μεταβολῆς αὐτοὺς ἐκδεξαμένης, παύεται καὶ παρακμάζει. συμβαίνει δέ ποτε δύο παροξυσμοὺς γινομένους μεγίστους μὲν τῶν ἄλλων, ἴσους δ᾽ ἀλλήλοις τὸν τῆς ἀκμῆς περιγράψαι καιρόν· ἐνίοτε δ᾽ ἕνα καὶ τῶν ἔμπροσθεν ἁπάντων καὶ τῶν μετ᾽ αὐτὸν γενέσθαι μέγιστον. εἰς τρεῖς δὲ παροξυσμοὺς ἐν μὲν τοῖς ὀξέσι οὐ πάνυ τι προέρχεσθαι συμβαίνει τὸν τῆς ἀκμῆς καιρόν· ἐν δὲ τοῖς χρονίοις οὐκ εἰς τοσούτους μόνον, ἀλλὰ καὶ πολὺ πλείονας. οὕτω μὲν διαγινώσκειν χρὴ τοὺς

labores habet. Quomodo igitur hoc ipfum cognofcimus quod nunc validiffimus fit morbus et maximas habeat acceffiones? Si enim fimulatque ex toto debeat fieri transmutatio, judicari in praefentia vocabimus, principium crifis ultimum ascenfus terminum effe ftatuendum eft; fi vero paulatim, ad eas quae fiunt in periodis acceffiones eft attendendum; fi enim citius et longiori tempore et magis, ut ipfe dicebat, fiant, liquet morbum ad ftatum ascendere atque augeri, ficut quum ad contrarium mutatio fubfequitur, ceffat atque declinat. Contingit autem nonnunquam duas acceffiones, ubi maxime factae fuerint invicem aequales, ftatus tempus circumfcribere, nonnunquam vero unam omnibus aliis praecedentibus, reliquisque fequentibus effe majorem. Ad tres autem extendi acceffiones ftatus tempus in morbis acutis non admodum accidit, in diuturnis vero non modo ad totidem, fed longe plures. Ita quidem cognofcere opor-

καθόλου καιροὺς, ἢ γινομένους, ἢ γεγονότας ἄρτι, μέλλοντας δ' ἔσεσθαι καθ' ἕτερον τρόπον.

Κεφ. ια'. Ἵνα σαφὴς ᾖ τοῖς ἀκούουσι, ἀνάγκη πρότερον εἰπεῖν τι περί τε διαχωρημάτων καὶ οὔρων, ὡς πρότερον εἴπομεν περὶ τῶν πτυσμάτων. διαχώρημα τοίνυν ἄριστόν ἐστι τὸ μαλθακόν τε καὶ συνεστηκὸς, καὶ τὴν ὥρην, [390] ἥν περ καὶ ὑγιαίνοντι ὑπεχώρει. πλῆθος δὲ πρὸς λόγον τῶν εἰσιόντων. ἐνταῦθα μὲν ἀπό τε συστάσεως αὐτοῦ καὶ ποσότητος καὶ τοῦ καιροῦ τῆς ἐκκρίσεως ποιεῖται τὴν διάγνωσιν, ἐπειδὴ τὴν κάτω κοιλίαν ὑγιαίνουσαν ἐνδείκνυται τὸ τοιοῦτον διαχώρημα. διὰ τοῦτο οὖν ἐπιφέρων ἐρεῖ· τοιαύτης γὰρ ἐούσης τῆς διεξόδου, ἡ κάτω κοιλίη ὑγιαίνοι ἄν. κάτω δὲ κοιλίαν εἴρηκε νῦν ἀντιδιαιρούμενος τῷ θώρακι. διὰ τοῦτο τοίνυν οὐδὲ τῆς χροιᾶς ἐμνημόνευσε τοῦ διαχωρήματος. οὐδὲν γὰρ ὡς πρὸς τὴν τῆς κοιλίας αὐτῆς ἀκριβῆ διάγνωσιν, ὅπως ἔχῃ διαθέσεως, ἡ χροιὰ τῶν διαχωρημάτων ἐνδείκνυται. τοῦ γὰρ πεπέφθαι καλῶς ἱκανὰ τὰ προειρημένα γνωρίσματα τὸ μαλθακόν τε εἶναι καὶ συνεστηκὸς τὸ διαχώρημα, καὶ μήτε

tet tempora univerfalia, aut quum fiunt, aut nuper facta, fed quae futura funt, alio modo.

Cap. XI. Qui modus ut clarior fiat audientibus, neceffe eft prius dicere aliquid de alvi excrementis et de urinis, ficuti prius diximus de fputis. Alvi igitur excrementum optimum, ait Hippocrates, eft, quod molle atque cohaerens eft, quodque ea hora exierit qua tempore fanitatis confueverat, quantitate vero, quae fit pro ratione cibi affumpti. Hoc in loco ab ipfius confiftentia et quantitate et tempore excretionis facit dignotionem. Quia vero inferiorem ventrem fanum oftendunt hujusmodi excrementa, idcirco fubjungens inquit: *Tali enim exiftente dejectione, inferior venter fanus eft.* Nunc vero inferiorem ventrem vocat ad differentiam thoracis. Propterea igitur neque coloris meminit excrementi, quoniam nullam vim habet ad inferioris ventris difpofitionem exquifite indicandam. Nam quod id excrementum fit bene concoctum, fufficiunt indicia praedicta quod videlicet fit molle atque cohaerens, et non

προλαμβάνειν τὸν κατὰ φύσιν καιρὸν, μήθ' ὑστερίζειν. καὶ τὸ πλῆθος ἀνάλογον τοῖς ἐδέσμασιν. ὥσπερ δ' εἰ ταῦτα εἴη, πάντως πέπτεται, οὕτως οὐκ ἔτι, εἰ μὴ τούτων τι παρείη, πάντως οὐ πέπτεται. δύναται μὲν γὰρ αὐτὴ ἡ γαστὴρ ἐῤῥῶσθαι περὶ τὸ ἑαυτῆς ἔργον, ἤτοι εἰ διά τινα θερμασίαν ἰσχυρὰν παρακειμένων αὐτῇ μορίων, ἐξικμάζεσθαί τε καὶ ξηραίνεσθαι τὸ καλῶς πεφθὲν, ἢ δι' ἀῤῥωστίαν ἀναδόσεως ὑγρότερον τοῦ δέοντος ὑπιέναι. τὸ μέντοι μαλθακόν τε καὶ συνεστηκὸς ἄντικρυς μὲν ἐνδείκνυται τὴν πεπτικὴν ἐνέργειαν ἐῤῥῶσθαι, συνενδείκνυται δὲ καὶ τὸ τὴν ἀνάδοσιν ἀμέμπτως ἀποτελεῖσθαι. καὶ πρὸς τούτοις ἔτι τὸ μηδὲν φλεγμαίνειν τῶν κατὰ τὴν γαστέρα μορίων. εἰ δέ τῳ δοκεῖ παραλελεῖφθαι τὸ λεῖον, εἶναι γὰρ χρὴ τὸ καλῶς πεπεμμένον εὐθὺς καὶ λεῖον, οὐκ ὀρθῶς οὗτος διαγινώσκει. τὸ γὰρ συνεστηκὸς οὐκ ἐνδέχεται μὴ οὐχὶ καὶ λεῖον ὑπάρχειν. ἡνῶσθαι γὰρ αὐτὸ δεῖ τοῖς μορίοις ἅπασι καὶ οἷον ἓν ὑπάρχειν ἀκριβῶς. εἰ δὲ τὰ μὲν ὁλόκληρά τε καὶ τραχέα καὶ σκληρὰ τῶν μορίων αὐτοῦ

anticipet tempus naturale, neque poſterius exeat, et ejus quantitas ſit pro ratione ciborum aſſumptorum. Sicuti vero ſi haec omnia adſint, omnino coctum eſt, ita non etiam ſi horum aliquid non adſit, omnino incoctum eſt; fieri enim poteſt ut ipſe quidem venter circa proprium opus robuſtus ſit, ſed vel propter vehementem vicinarum partium caliditatem exugatur atque exiccetur, quod bene concoctum fuerit, aut propter diſtributionis imbecillitatem humidius quam oporteat egeratur. Quod quidem molle et cohaerens eſt, concoctricem vim validam eſſe liquido oſtendit ac digeſtionem optime fieri ac praeterea nullam ventris partibus inflammationem ineſſe. Si cui vero id verbum, *laeve*, praetermiſſum eſſe videtur, nam quod bene concoctum ſit, id protinus etiam laeve eſſe oportet, hic non recte discernit; nam quod cohaeret fieri non poteſt ut etiam laeve non ſit; nam unitum oportet eſſe in partibus omnibus et veluti unum exiſtere exquiſite. Si vero aliquae quidem ejus partes integrae et asperae et durae viderentur, aliquae autem hu-

φαίνοιτο, τὰ δ᾽ ὑγρὰ καὶ ὑδατώδη, πῶς ἂν εἴη ταῦτα πρὸς ἄλληλα συνεστηκότα; διαλέλυται γὰρ οὕτω γε ἀπ᾽ ἀλλήλων, καὶ τὰ μὲν τραχέα τε καὶ σκληρὰ κεχώρισται πάντη. τὸ δ᾽ ὑγρὸν, ὡς ἂν ὑδατῶδές τε καὶ λεπτὸν ἔτι μένη, οὔθ᾽ ἑαυτὸ συνδεῖν δύναται τοῖς στερεοῖς οὔτε δι᾽ ἑαυτοῦ κἀκείνοις τινὰ κοινωνίαν ἐργάζεσθαι, περιῤῥέον τε αὐτοῖς ἐν κύκλῳ καὶ ἀποῤῥέον, ἀνώμαλόν τε ἅμα καὶ οὐδαμῶς γε συνεστηκὸς ἐργάζεται τὸ διαχώρημα. τὸ μὲν δὴ τοιοῦτον, λέγω δὴ τὸ μαλθακόν τε καὶ συνεστηκὸς, ὑγιαίνειν μὲν ἐνδείκνυται πάντως τὴν γαστέρα. συνενδείκνυται δὲ, ὡς ἔφην, καὶ τὸ μηδὲν τῶν πέριξ πεπονθέναι καὶ τὸ τὴν ἀνάδοσιν ἀμέμπτως γίνεσθαι. πάντως γὰρ ἂν ὑγρὸν ἦν, ἐλλιπῶς αὐτῆς ἐπιτελουμένης. εἰ δὲ καὶ τὸν καιρὸν φυλάττει τῆς ἐκκρίσεως, καθ᾽ ὃν ὑγιαίνοντος ἐγένετο, δῆλον ὡς οὔτε βραδυπεψίαν οὔτε τῆς καθεκτικῆς ἢ ἀποκριτικῆς δυνάμεως ἐνδείκνυταί τι σφάλμα. τὸ μὲν δὴ ὀψιαίτερον ἢ χρὴ διαχωρεῖν, ἢ τὴν πέψιν αὐτὴν, ἢ τὴν διὰ τῶν ἐντέρων φορὰν ἐνδείκνυται βραδυτέραν· τὸ δὲ πρωϊαίτερον τὴν ἀῤῥωστίαν τῆς καθεκτικῆς δυνάμεως, οὐ γὰρ δὴ ῥώμην γε τῆς

midae et aqueae, quando hae forent simul juncta? nam hoc pacto adinvicem dissolverentur, et asperae quidem et durae partes seorsum consisterent, humidae autem tanquam aqueae et tenues adhuc remanentes, non possent solidis alligari, neque ullam per se cum illis habere communionem, circumfluentes vero undequaque et defluentes inaequale neque ullo pacto cohaerens facerent excrementum. Quod quidem tale est, dico autem molle atque cohaerens, omnino ventris sanitatem ostendit, sed simul etiam illud indicat, ut dixi, nullum ex iis quae circumjacent membris aliquo modo pati, et digestionem optime fieri; nam ubi ipsa non integre fieret, omnino humidum esset excrementum. Si vero excretionis servetur tempus, quod fuerat in sano corpore, ex eo liquet neque coctionis tarditatem adesse, neque ullum facultatis vel retentricis vel expultricis errorem; nam si tardius quam oporteat excernatur, coctionis, aut motus, quo per intestina defertur, tarditas ostenditur; si autem citius, facultatis retentricis imbecillitas;

ἀλλοιωτικῆς. οὐ γὰρ ἐνδέχεται τὸν νοσοῦντα, καὶ μάλιστα ὀξέως, ῥωμαλεωτέραν ἔχειν τοῦ κατὰ φύσιν τὴν κοιλίαν, ἀλλ᾽ ἀγαπητὸν, εἰ μὴ πολλῷ τινι τοῦ κατὰ φύσιν ἀπολείποιτο. τὸ μέντοι σὺν δήξει τινὶ ταχέως διεξερχόμενον ἐρεθισμῷ δηλονότι τὸ τοιοῦτον ἔπαθεν, οὔτε δ᾽ ἰσχὺν οὔτε ἀῤῥωστίαν ὅλως ἐνδείκνυται δυνάμεως. ἀλλὰ τό γε χωρὶς δήξεως, ἢ τινος ἄλλου συμπτώματος ἐν τῷ προσήκοντι καιρῷ κενούμενον, ἐῤῥῶσθαι τὰς τρεῖς τῆς κοιλίας ἐν(396)δείκνυται δυνάμεις, τὴν ἀλλοιωτικὴν, τὴν καθεκτικὴν καὶ τὴν ἀποκριτικήν, [391] ὅτι δὲ τέσσαρες αἱ πᾶσι φυσικαὶ δυνάμεις ἐν ἑκάστῳ τῶν τοῦ σώματος ἡμῶν μορίων εἰσὶν ἑτέρωθι δέδεικται. καὶ νῦν οὐ χρὴ τῶν οὕτω τι παρεμπιπτόντων ἀπόδειξιν μαθεῖν. ἰδίᾳ γὰρ ὑπὲρ ἑκάστου γέγραπται. λοιπὸν οὖν ὑπὲρ τοῦ χρῆναι πρὸς λόγον τῶν εἰσιόντων εἶναι τὰ κενούμενα, διελθεῖν ἀπολείπεται. τὸ τοίνυν μαλθακόν τε καὶ συνεστηκὸς καὶ κατὰ τὴν τῶν ὑγιαινόντων ὥραν ἐκκρινόμενον, εἰ μὴ διασώζοι τὴν τῶν ἐδηδεσμένων ἀναλογίαν, ἴσχεταί πού τι

neque enim id evenit propter robur alteratricis, quum fieri non poſſit, ut qui aegrotat, acute praeſertim, ventrem habeat robuſtiorem quam ſanitatis tempore, quum bene cum eo agatur, ſi non multo ſit imbecillior. Si vero cum aliquo morſu celeriter exeat, id ex irritatione quapiam contingit, neque robur aut imbecillitas aliqua exinde ſignificatur. Sed ſi ſine morſu aut aliquo alio ſymptomate in tempore opportuno excernatur, tres ventriculi facultates vigere demonſtrat, alteratricem, retentricem et expultricem. Quod vero quatuor ſunt naturales facultates in quahbet noſtri corporis parte alibi oſtendimus, neque nunc oportet aliquid horum ita incidentium demonſtratione perdiscere, quoniam de his ſingulis ſeparatim ſcripſimus. Reliquum eſt igitur ut oſtendamus oportere alvi excrementa quae emittuntur ad ea quae aſſumuntur, ſervare proportionem. Excrementum igitur molle atque cohaerens et quod horam qua excernebatur ſanitatis tempore ſervat, niſi etiam ſervaverit ad ea quae aſſumuntur convenientem proportionem,

μέρος αὐτοῦ κατὰ τὸ τυφλὸν ἔντερον, ἢ τὸ κῶλον, ἢ κἀν ταῖς ἄλλαις ἕλιξι ταῖς λεπταῖς. οὐκ ἀγαθὸν δὲ τοῦτο καὶ ὡς σημεῖον καὶ ὡς αἴτιον. ὡς σημεῖον μὲν, ὅτι τὴν ἀποκριτικήν τε καὶ προωστικὴν ὀνομαζομένην δύναμιν ἄῤῥωστον εἶναί φησιν· ὡς αἴτιον δὲ, ὅτι μένει τινὰ τῶν περιττωμάτων ἔνδον ἃ ἐχρῆν ἐκκρίνεσθαι μᾶλλον. ὥστε τὸ μὲν ἅμα ταῦτ᾽ ἔχον ἅπαντα τὰ προειρημένα γνωρίσματα διαχώρημα βεβαίως ἐνδείκνυται τὴν κάτω κοιλίαν ὑγιαίνειν· εἰ δέ πῃ τινος αὐτῶν ἀπολείποιτο, ποτὲ μὲν αὐτῆς τῆς γαστρὸς ἐνδείξεταί τινα διάθεσιν, ἐνίοτε δὲ βεβλάφθαι τὴν ἀνάδοσιν, ἢ καί τι τῶν πέριξ ὀργάνων οὐχ ὑγιαίνειν, ἢ καί τι σύμπτωμα κρατεῖν, ὡς ἐπὶ τῆς δήξεως ἐλέγετο. ποῖον οὖν τι τὸ κατὰ φύσιν ἔχον ἀκριβῶς ἐστι διαχώρημα, τὸ μηδὲν μήτ᾽ ἐν τῇ γαστρὶ μήτ᾽ ἐν τοῖς πέριξ ὀργάνοις ἐνδεικνύμενον σφάλμα· τοιοῦτον δ᾽ ἂν εἴη τὸ πρὸς τὸ τὰ προειρημένα διαφυλάττειν ἅπαντα, δύο ταῦτ᾽ ἔτι προσειληφὸς, ἅπερ αὐτὸς Ἱπποκράτης ἐφεξῆς ἐδίδαξε γράφων ὡδί· ὑπόπυῤῥον δ᾽ ἔστω καὶ μὴ λίην δυσῶδες.

aliqua ejus pars intra caecum et id quod vocatur colon intestinum retinetur, aut in aliis tenuibus intestinis. Non est autem hoc neque ut signum neque ut causa bonum; ut signum quidem, quoniam vim expultricem nominatam ac propulsoriam debilem esse significat; ut causa autem, quoniam ibi quaedam excrementa intus remanent, quae potius emitti oportebat, adeo ut, quod habet haec omnia praedicta signa excrementum, firmiter indicet inferioris ventris sanitatem. Quod si ex his ullum deficiat, nonnunquam ipsius ventris aliquem affectum significat, aliquando autem digestionem esse offensam, aut alipuod circumstantium organorum non esse sanum, aut aliquod symptoma dominari, sicuti et in morsu dicebatur. Quodnam igitur erit exquisite secundum naturam se habens excrementum? quod neque in ventre, neque in circumstantibus organis aliquod vitium esse significat. Tale autem est quod praeter ea quae praediximus omnia, etiam illa duo recipit quae Hippocrates ipse scribit deinceps in hunc modum: *Subflavum autem*

Ed. Chart. VIII. [391.] Ed. Baf. III. (396.)

εἰ γὰρ ἤτοι πυῤῥὸν ἀκράτως, ἢ μηδόλως ὑπόπυῤῥον, ἀλλὰ καὶ κατὰ τὴν τῶν ἐδηδεσμένων εἴη χροιὰν, ἤτοι πλέον εἰς τὴν γαστέρα συῤῥεῖν ὠχρᾶς χολῆς, ἢ μηδόλως ὑπιέναι δηλώσει. τούτων δὲ τὸ μὲν πρότερον, εἰ μὲν κατ' ἀρχὰς γίγνοιτο, χολωδεστέραν ἐνδείκνυται τὴν νόσον· εἰ δ' ἐν τοῖς τῆς παρακμῆς χρόνοις, ἐκκαθαίρεσθαι χρηστῶς τὸ σῶμα. περὶ μὲν δὴ τούτων ἐν τοῖς ἐφεξῆς ἀκριβέστερον διορισθήσεται· τὸ δὲ ἄπεπτον διαχώρημα τὸ λεπτὸν καὶ τραχὺ καὶ ἀχύμωτόν ἐστι, καὶ τὴν τῶν ἐδηδεσμένων διαφυλάττον ποιότητα. τρίτον δ' ἐπὶ τούτοις ἐστὶ γένος διαχωρημάτων τὸ μηκέτι ἐκ τῆς τῶν σιτίων διαθέσεως, ἀλλ' ἐκ τῶν συῤῥεόντων εἰς τὴν γαστέρα περιττωμάτων ἐκ παντὸς τοῦ σώματος ἐνδείκνυσθαί τι δυνάμενον, οἷόν περ καὶ τὸ πυῤῥὸν ἀκράτως, ὡς ὀλίγον ἔμπροσθεν ἐλέγομεν. ἀλλὰ τοῦτο μὲν ὅταν ὁ τῆς πικρᾶς χολῆς χυμὸς ἄκρατός τε καὶ πολὺς εἰς τὴν γαστέρα συῤῥέῃ, γίγνεται· τὸ χλωρὸν δὲ τῆς ἰώδους χολῆς ἐστι γνώρισμα, καθάπερ γε τὸ μέλαν ἤτοι τῆς μελαίνης, ἢ τινος αἵματος αὐτόθι κατοπτηθέντος. εἰ δ' οἷον πελιδνόν τε φαίνοιτο κατὰ τὴν

erit et non admodum foetidum. Si enim flavum exquifite, vel nullo modo fubflavum extiterit, fed etiam fecundum ciborum colorem, alterum duorum fignificat, fcilicet plus flavae bilis in ventrem confluere aut nihil omnino; horum vero primum quidem, fi circa initia fiat, biliofiorem morbum oftendit; fi vero declinationis tempore, corpus integre repurgari. De his quidem in fequentibus exquifitius dicemus. Incoctum autem excrementum eft tenue et album et afperum et humoris expers et comeftorum fervat qualitatem. Tertium praeter haec eft excrementorum genus, quod non ex ciborum fit difpofitione, fed ex confluentibus ad ventrem ex toto corpore fuperfluitatibus, quod aliquid poteft indicare, veluti id quod paulo antea flavum exquifite dicebamus. Sed hoc quidem quando flavae amaraeque bilis humor impermixtus et multus ad ventrem fluxerit, exiftit, viride autem eft aeruginofae bilis indicium, ficuti nigrum, vel atrae bilis, vel fanguinis cujuspiam in eo loco perufti; fi autem veluti lividum quoddam in excre-

διαχώρησιν, οὐδενὸς ἐδηδεσμένου τοιούτου, ψύξιν τινὰ καὶ νέκρωσιν οὐκ ἀγεννῆ τῶν ἐντὸς ὑποδείκνυσιν, ὥσπερ εἰ καὶ λιπαρὸν, οὐδενὸς ἐδηδεσμένου λιπαροῦ, συντήξεώς ἐστι γνώρισμα. καὶ μὲν δὴ καὶ τὸ γλίσχρον, εἰ μὴ καὶ τοῦτο κατὰ τὴν τοῦ σιτίου φύσιν εἴη τοιοῦτον, συντήξεώς ἐστι σημεῖον. ἀλλὰ τὸ μὲν λιπαρὸν πιμελῆς τηκομένης γίνεται, τὸ δ' αὖ γλίσχρον αὐτῶν τῶν στερεῶν τοῦ ζώου μορίων, ὥστε χεῖρον μακρῷ. καὶ μὲν δὴ καὶ τὸ λίαν δυσῶδες εἰ μὴ καὶ τοῦτ' εἴη κατὰ τὸ σιτίον, οὐ μικρὰν ἐνδείκνυται σῆψιν. ἁπλῶς δ' εἰπεῖν ἐπὶ πάντων εἰ μὴ κατὰ τὸ σιτίον ἡ ποιότης εἴη τῶν διαχωρημάτων, οὕτως ἤδη σκοπεῖσθαι τὴν διάθεσιν, ὥστε κἂν μὴ λέγηταί που τοῦτο, προσυπακούειν αὐτὸ χρή. καὶ πάντα γε τὰ ὑφ' Ἱπποκράτους εἰρημένα διὰ τοῦ προγνωστικοῦ, ὡς εἴρηται, δῆλον, διοριζομένων ἡμῶν [392] ἀεὶ τὸ δι' ἄλλο τι καὶ οὐ διὰ τὸ νόσημα γεγονός. λοιπὸν δ' ἂν εἴη περί τε τοῦ τρύζοντος εἰπεῖν καὶ ἀφρώδους καὶ ποικίλου. τὸ μὲν δὴ τρύζον ὠνόμασται μὲν ἀπὸ τοῦ γιγνομένου ψόφου κατὰ τὴν διαχώρησιν, ἐνδείκνυται δὲ τὸ μὲν ἐκκρινόμενον αὐτὸ σὺν

mento apparuerit, ubi non fuerit tale aliquid assumptum, partium internarum validum frigus ac velut mortificationem indicat; si vero pingue, ubi non fuerit tale aliquid assumptum, colliquationis est signum, quinetiam viscosum, nisi et hoc ex cibi natura tale sit, colliquationis est indicium. Sed quod quidem pingue est, ex pinguedine fit liquefacta: quod vero viscosum, ex ipsis solidis animalis partibus contabescentibus, quare multo gravius. Et quidem quod foetet vehementer, si etiam hoc ex cibo non accidat, vehementem putrefactionem ostendit. Ut autem summatim dicamus, in omnibus, nisi pro cibi qualitate talia fuerint excrementa, ita oportet affectionem considerare, adeo ut sicubi hoc taceatur, subintelligere tamen oporteat, et quaecunque ab Hippocrate in prognosticis dicuntur, ita dicuntur, semper distinguentibus nobis, si quid ob aliud aliquid, non morbum fiat. Reliquum est ut de stridente et spumoso et vario dicamus. Stridens quidem ab eo qui insit sono, quum excernitur, nominatur; indicat autem ipsum excrementum fla-

ὑγρότητι λεπτῇ φυσῶδες εἶναι, τὰ δ' ὄργανα συνῆχθαί τε καὶ οἷον ἐσφίχθαι καὶ στενοχωρεῖσθαι· τὸ δ' ἀφρῶδες, ὥσπερ οὖν κἀπὶ τῶν ἐκτὸς, ἤτοι ζέοντός τινος, ἢ φυσώδους πνεύματος ὑγρῷ μαχομένου γίγνεται. τὸ μὲν δὴ πρότερον ἀμέτρου θερμασίας συντηκούσης τὸ σῶμα, τὸ δὲ δεύτερον ἀνωμάλου ταραχῆς ἐστιν ἔκγονον. τὰ δὲ ποικίλα ποικίλαις ἔχεσθαι τὸ σῶμα διαθέσεσιν ἐνδείκνυται. διὰ τοῦτο οὖν καὶ χρόνια καὶ κακοήθη.] αἱ πολλαὶ γὰρ διαθέσεις καὶ χρόνου πλείονος εἰς πέψιν δέονται καὶ τὸν κίνδυνον ἐπιφέρουσιν ὁμότιμον τῷ πλήθει. καὶ γὰρ πέττεται ῥᾷον ἁπλῆ διάθεσις καὶ ἧττον κινδυνώδης ἐστὶ τῆς πολυειδοῦς. οὕτω μὲν δὴ καὶ περὶ τῶν διαχωρημάτων δεῖ γινώσκειν.

Κεφ. ιβ'. Ἐφεξῆς δὲ περὶ τῶν οὔρων εἴπωμεν. ἄριστον μὲν οὖν κἀνταῦθα τὸ τοῖς τῶν ὑγιαινόντων ὁμοιότατον. ὅσον δὲ οὐ τοιοῦτον, ἢ ἁπλῶς ἄπεπτόν ἐστιν, ἢ πρὸς τούτῳ καὶ ὀλέθριον. ἄπεπτον δὲ καὶ πεπεμμένον ὀνόματι μὲν ἓν, ὥσπερ οὖν καὶ τῷ γένει· πάμπολυ δὲ ἐν τῷ μᾶλλόν

tum cum tenui humiditate habere permixtum, organa autem in unum coacta atque in angustum restricta. Spumosum vero fit, sicuti etiam in exterioribus accidit, quum scilicet fervor inest, vel aliquis flatuosus spiritus humiditate commixtus est. Primum immoderatae caliditatis corpus colliquantis, secundum vero est inaequalis perturbationis effectus. Varium autem variis corpus affectibus detineri indicat; ob hoc igitur et diuturnum et malignum existit, multi enim variique affectus ad coctionem longiori indigent tempore, periculumque afferunt multitudini aequale, nam simplex affectus facilius concoquitur et minus est quam multiformis periculosus. Sic quidem de excrementis judicare oportet.

Cap. XII. Deinceps de urinis dicamus. Ex his igitur illa optima est, quae urinae sanorum est simillima; quaecunque vero non est talis, vel simpliciter incocta est, vel praeter hoc et perniciosa. Coctum autem et incoctum nomine quidem sunt unum, sicuti et genere, plurimam vero

τε καὶ ἧττον ἀλλήλων διαφέρουσιν. ὅρους οὖν κἀνταῦθα πειραθῶμεν ἐπιθεῖναι σαφεῖς, οἷς ἅπαν τοὐν μέσῳ διακριθήσεται. τὸ μὲν δὴ κάλλιστα πεπεμμένον ἐν τοῖς ἀκριβῶς ὑγιαίνουσι σκοπεῖσθαι προσήκει. τοιοῦτον δ' ἐστὶν ὑπόπυῤῥόν τε ἅμα καὶ ὑπόξανθον καὶ πλέον γε ὑπόπυῤῥον ἢ ὑπόξανθον. εὐθὺς δὲ τοῦτο καὶ τάχους ἔχει συμμέτρως. τὸ δή τοι λεπτότερον ἢ παχύτερον αὐτοῦ πέψιν ἐνδεῆ σημαίνει. τὸ μὲν γὰρ οὔπω κεχύμωται, τὸ δ' ἔτι τετάρακται. μάθοις δ' ἂν ἐκ τῶν ἀποκρινομένων μὲν λεπτῶν τε καὶ καθαρῶν, μετὰ ταῦτα δ' ἤτοι μενόντων ἀεὶ λεπτῶν ἢ μετ' ὀλίγον ἀναθολουμένων, ὡς ἀμφότερα μὲν εἶναι ἄπεπτα, διαφέρει δὲ τῷ τὸ μὲν οὐκ ἐγχειρεῖσθαί πω πέττεσθαι, τὸ δ', ὅτι φυσώδη αὐτῷ πνεύματα ἀναμέμικται ταραχή τις, οἷα καὶ τοῖς νέοις οἴνοις τοῖς ἔτι ζέουσι γίγνεται. οὔσης γὰρ τριττῆς διαφορᾶς τῶν οὔρων τῶν θολερῶν, ἢ γὰρ οὐρηθέντα τοιαῦτα καθίσταται μετ' ὀλίγον, ἢ μένει παραπλήσια μέχρι παντὸς, ἢ καθαρὰ μὲν ἐκκρίνεται, μετὰ ταῦτα δ' ἀναθολοῦται.

in eo, quod magis aut minus differentiam habent. His igitur etiam manifeftos terminos tentemus apponere, quibus quod eft in medio fecernatur. Quae quidem optime eft cocta, in iis qui fupremum fanitatis obtinent gradum confiderare oportet; talis enim eft fubrufa et fubflava, magisque fubrufa quam fubflava; ftatim vero et haec mediocrem craffitiem habet. Nam quae ipfa craffior eft aut tenuior, coctionem imperfectam fignificat, fiquidem altera nondum in humorem converfa eft, altera vero adhuc conturbata eft. Hoc autem intelligere licet ex iis quae tenues ac purae excernuntur, pofthac vero vel remanent femper tenues, aut paulo poft conturbantur, quoniam utraeque coctione carent; eo autem differunt, quod altera nondum concoqui coepit, altera vero quoniam flatuofi fpiritus ipfi permixti funt, perturbatio quaedam veluti in novis vinis adhuc ferventibus ineft. Nam quum triplex fit urinarum turbidarum differentia, quia vel, quum tales mictae fuerint, paulo poft refident, vel femper fimiles permanent, vel purae quidem min-

μοχθηρὸν μὲν τὸ τρίτον μέρος τῶν εἰρημένων, ἐπιεικὲς δὲ τὸ πρῶτον, ἐν μέσῳ δ' ἀμφοῖν ἐστι τὸ δεύτερον. τὸ μὲν γὰρ εὐθὺς καθιστάμενον ὀλίγον ἔτι τῆς ἀνωμάλου ταραχῆς ἀπολείπεσθαι δηλοῖ, τὸ δ' ἀεὶ διαμένον ὅμοιον ἀκμάζειν ἔτι τὸν ἐν τοῖς αἵμασι σάλον ἐνδείκνυται, τὸ δ' ἔξω ταραττόμενον ἄρχεσθαι πέττεσθαι μέλλει, ὥστ' εὐλόγως κάκιστον μὲν τοῦτο. καὶ γὰρ καὶ χρόνου παμπόλλου δεῖται, καὶ δυνάμεως ἰσχυρᾶς εἰς τὴν πέψιν. τὸ δ' οὐρούμενον μὲν θολερὸν, εὐθὺς δ' ὑπόστασιν ἔχον χρηστὴν, οὐκ εἰς μακρὰν πεφθήσεσθαι δηλοῖ τὸ νόσημα, καὶ διὰ τοῦτο ἐπιεικέστερον. ἐν τῷ μέσῳ δ' ἀμφοῖν ἐστι τὸ λοιπὸν καὶ τρίτον. ἅτε γὰρ ἀκμαζούσης ταραχῆς ἔκγονον ὑπάρχον, ὅσον ἀπολείπεται κακίᾳ τοῦ μέλλουσαν ἔτι τὴν ταραχὴν ἐνδεικνυμένου, τοσοῦτον πλεονεκτεῖ τοῦ παυομένην ἤδη κεκτημένου. τὸ τοίνυν ἐσχάτως ἄπεπτον [393] ὑπὲρ ἅπαντα ταῦτ' ἐστίν. εἴη δ' ἂν ὑδατῶδες ἀκριβῶς τὸ τοιοῦτον, οὔτ' ἤδη πεττόμενον, ὡς τὸ θολερὸν, οὔτε μέλλον, ὡς τὸ μετ' ὀλίγον ἀναθολούμενον, ἀλλ' οἷον ἀπε-

guntur, poftea vero conturbantur. Prava quidem ex dictis tertia, mitis autem prima, media vero inter utramque fecunda. Quoniam quae ftatim quidem refidet, parum aliquid inaequalis turbulentiae fupereffe demonftrat, quae vero femper manet fimilis, vigere adhuc, quae eft in fanguine, perturbationem oftendit: quae vero extra conturbatur, debet incipere concoqui, quare optimo jure ea peffima eft; nam et longiori tempore et facultate valida indiget ad coctionem. Sed quae turbulenta meitur ftatimque hypoftafin bonam habet, morbum haud ita multo poft concoquendum fignificat, atque idcirco mitior. Medio autem loco fe habet fecunda, nam ea ut quae vigente fit conturbatione, quantum malitia differt ab ea, quae adhuc futuram perturbationem fignificat, tantum fuperat eam, quae jam quiescentem obtinet. Quae vero ad fummum incocta eft, has omnes vincit; eft autem aquofa exquifite, neque jam coqui incipiens, qualis turbulenta, neque in fpem coqui debeat, ficuti quae paulo poft perturbatur: fed

γνωσμένης τῆς πέψεως σύμπτωμα. τὸ τοιοῦτον τοῦ φλεβώδους γένους ὑπάρχει πά(397)θος, οἷον ἀκριβῶς ἀπεψία γαστρός. ὅταν δὲ καὶ ταχέως διεξέρχηται τοῦτο, καλεῖται μὲν ὑπό τινων ὕδερος εἰς ἀμίδα τὸ πάθημα, διαβήτην δ' ἔνιοι προσαγορεύουσι. ἄλλος δέ τις παλαιὸς ἀνὴρ εἰς οὖρα διάῤῥοιαν ὠνόμαζε. περὶ μὲν δὴ τῶν ὀνομάτων ἑτέρωθι σκοπείσθω· τὸ δ' οὖν πάθημα τοιοῦτόν ἐστιν οἷον ἐν τῇ περὶ γαστέρα λειεντερίᾳ νέκρωσις, ὡς ἂν εἴποι τις, ἀμφοτέρων τῶν δυνάμεων, ἀλλοιωτικῆς τε καὶ καθεκτικῆς ὑπάρχον. ἀλλὰ τοῦτο μὲν ἀπέπτων οὔρων τὸ χείριστον· ἐφεξῆς δ' αὐτῷ τὸ ὑδατῶδες, ὅσον μὲν ἐπὶ τῷ μὴ πεπέφθαι παραπλήσιον. τῷ δὲ μηδὲν ἄλλο συνενδείκνυσθαι κακὸν καὶ ὀλέθριον ἧττον. ἐκεῖνο μὲν γὰρ οὐ τῆς ἀλλοιωτικῆς μόνον δυνάμεως, ἀλλὰ καὶ τῆς καθεκτικῆς ἀῤῥωστίαν ἐσχάτην δηλοῖ, τουτὶ δὲ τῆς ἑτέρας μόνης, τῆς ἀλλοιωτικῆς. ὅσῳ δ' ἂν πλείους οὑτινοσοῦν γένους ὀργάνων ἐνέργειαί τε καὶ δυνάμεις ἐμποδισθῶσιν, ἢ καὶ παντάπασιν ἀπόλωνται, τοσούτῳ χεῖρόν ἐστι τὸ νόσημα. διὰ ταῦτ' ἄρα χείριστον μὲν ἡ εἰς οὖρα διάῤῥοια, διττὴ γὰρ

velut desperatae coctionis accidens, quae talis est, venosi generis affectus existit, qualis est in ventriculo extrema ipsa cruditas. Quum vero etiam statim transcurrit, vocatur a nonnullis hydrops ad matellam, alii diabetem appellant, quidam vero alius antiquus ad urinas profluvium nominavit; sed de nominibus alibi consideretur. Hic igitur affectus talis est, qualis circa alvum laevitas intestinorum, mortificatio, ut diceret quispiam, utriusque virtutis, et retentricis et alteratricis, at haec inter omnes urinas crudas pessima existit. Sed post ipsam est aquosa, quae quantum quidem ad cruditatem attinet priori similis est, sed quia nullum aliud commonstrat, minus perniciosa; illa enim non modo virtutis alteratricis, sed et retentricis imbecillitatem summam significat, haec autem alterius solius, alteratricis. Quanto autem plures instrumentorum cujusque generis actiones et facultates impeditae fuerint, aut ex toto perierint, tanto deterior est morbus, atque idcirco pessimum est ad urinas proflu-

Ed. Chart. VIII. [393.] Ed. Baf. III. (397.)

ἡ κακία. μοχθηρὸν δ' ἱκανῶς καὶ τὸ λεπτὸν οὕτως καὶ λευκὸν, οἷόν περ καὶ τὸ ὕδωρ. ἁπλῆ μὲν ἡ διάθεσις, ἀλλ' ἔσχατον ἀῤῥωστίας γνώρισμα. τούτῳ δ' ἐγγύς ἐστιν ἕτερον οὖρον, ἐν πολλαῖς τῶν νόσων φαινόμενον, ὡς οἴνου δοκεῖν ἱκανῶς λευκοῦ καὶ λεπτοῦ μεμιγμένην ἔχειν ἰδέαν. ἡ γένεσις δ' αὐτοῦ ἐκ τοῦ προειρημένου λεπτοῦ καὶ ὑδατώδους οὔρου βραχὺν ἰχῶρα λεπτὸν ἐκ τῆς πυῤῥᾶς χολῆς ὑποδεξαμένου. καὶ γὰρ εἰ κἀκτὸς εἰς ὕδωρ καθαρὸν ἐμβάλοις ὠχρᾶς ὀλίγον, ἢ αὐτῆς τῆς χολῆς, τοιοῦτόν σοι φανεῖται. τουτὶ μὲν οὖν ἐγγυτάτω τοῦ παντελοῦς ἀπέπτου, τὸ δ' ὕπωχρον ἐφεξῆς τούτῳ. τὸ δ' ὠχρὸν, εἴη μὲν ἂν ἤδη τοῦτο καὶ ὑπόπυῤῥον. εἰ γὰρ εἰς ὕδωρ ἐμβάλλοις, ἢ πυῤῥοῦ χρώματος ὀλίγον, ἢ ὠχροῦ πλέον, ὅμοιόν σοι φανεῖται. πέπτεται δ' ἤδη τοῦτο, τῆς χρόας γε ἕνεκα. χρὴ δὲ αὐτὸ καὶ τῷ πάχει τοσοῦτον ἀποκεχωρηκέναι τοῦ ὑδατώδους, εἰ μέλλοι πεπέφθαι καλῶς, ὅσον καὶ τῷ χρώματι. τὸ δ' ἄριστον ἁπάντων τῶν οὔρων ὑπόπυῤῥόν ἐστιν καὶ ὑπόξανθον, ὡς εἴρηται καὶ πρόσθεν, οἷον εἰ κἀκτὸς ἐργάσασθαι θελήσοις, αἵματος ὀῤῥῷ καὶ χολῆς

vium, quoniam duplex eſt vitium. Prava autem ſufficienter eſt, quae tenuis et alba eſt ſicuti aqua; nam ſimplex quidem eſt diſpoſitio, ſed ultimae eſt imbecillitatis indicium. Huic proxima eſt altera urina, quae in multis apparet morbis, ut videatur mixtam habere formam vini maxime tenuis et albi: ejus autem generatio eſt ex ea, quam nuper diximus, alba et aquoſa, ut quae paucum ichorem ex bile ruſa ſusceperit, nam et ſi exterius in aquam puram ochrae parum, vel ipſius etiam bilis injeceris, talis tibi aqua repraeſentabitur. Haec quidem urina proxime accedit ad crudam. Poſt hanc eſt ſubpallida, pallida vero jam et ſubruſa eſt; ſi enim in aquam injeceris vel rufi coloris parum, vel pallidi multum, ſimile tibi videbitur: haec vero quantum ad colorem attinet concocta jam eſt, oportet autem tantum eam recedere ſua craſſitie ab aquoſa, quantum colore, ſiquidem bene concoqui debeat. Optima autem omnium urina ſubruſa ac ſubflava eſt, quemadmodum et antea diximus; veluti ſi etiam extra tale quid facere velles, ſanguinis ſerum

πυῤῥᾶς ἐπιθολώσας ὕδωρ. λόγῳ δ' εἰπεῖν οὐκ ἐγχωρεῖ τὸ ποσὸν τῆς μίξεως, ἀλλ' ἢ παρ' ἄλλου χρὴ μαθεῖν, περὶ ἀρίστου οὔρου, ἢ αὐτὸν ἐκ τῆς πείρας διδαχθῆναι τοῦ κατὰ φύσιν οὔρου τὴν ἰδέαν, ἐπ' αὐτῶν τῶν ὑγιαινόντων ἐξετάζοντα. πεττομένου γὰρ ἔτι τοῦ αἵματος, ὅσον ἂν οὐρηθῇ, λείαν καὶ ὁμαλὴν καὶ λευκὴν ὑπόστασιν καὶ πολλὴν ποιεῖται. τελειωθείσης δὲ τῆς πέψεως, ἐπιτείνεται μὲν αὐτῷ τὰ τοῦ χρώματος, ἔλαττον δ' ὑφίσταται, κἂν εἰ πλείονα χρόνον ἐπὶ τούτοις ἄσιτον φυλάττοις τὸν ἄνθρωπον, ὄψει πυῤῥότερον ἀεὶ καὶ μᾶλλον αὐτὸ γινόμενον. ἐδείκνυτο γὰρ δὴ κἀν τοῖς τῶν φυσικῶν δυνάμεων ὑπομνήμασι, ὅσον ἀμετρότερον ἐθερμάνθῃ τῆς τροφῆς καὶ μάλιστα εἰ πῖον εἴη καὶ γλυκὺ, χολὴ πικρὰ γινόμενον. ἐπεὶ δὲ καὶ ξανθὴν ὀνομάζουσι καὶ πυῤῥὰν καὶ ὠχρὰν τὴν τοιαύτην χολὴν, καὶ μεστὰ πάντα ἐστὶ τὰ τῶν ἰατρῶν βιβλία, τῶν μὲν οὕτως, τῶν δ' ἐκείνως καλούντων, τινῶν δὲ καὶ ἀδιαφόρως, ἄμεινον ἐν τῷδε πάλιν ἐπιστῆσαι τὸν λόγον, ἵν' ἕπηταί τις ἀκριβέστερον τοῖς λεγομένοις. ἐγγυτάτω τὴν φύσιν ἐστὶν τὸ πυῤῥὸν χρῶμα τῷ ξανθῷ,

ac bilem rufam aquae permifcens. Sermone autem non poffum exprimere mixtionis quantitatem; fed vel ab altero oportet addifcere de optima urina, aut per te ipfum experientia percipere, qualis fit urinae fecundum naturam fe habentis forma, eam in fanis corporibus perquirendo. Nam quum adhuc coquitur fanguis, urina, quae mingitur, laevem et aequalem et albam hypoftafin ac multam facit; jam vero perfecta coctione color quidem urinae intenditur, minus autem fubfidet, et fi longiori poft hoc tempore hominem a cibo prohibueris, videbis ipfam fieri continuo magis rufam. Nam et in commentariis de facultatibus naturalibus oftendebatur, quicquid alimenti fupra modum calefit et praefertim fi pingue fuerit et dulce, verti in amaram bilem. Quoniam vero et flavam et rufam et pallidam nominant hujusmodi bilem, plenique funt medicorum libri, in quibus hoc vel illo modo appellatur, ficuti in quibusdam fine discrimine, melius eft hoc in loco illud rurfus annotare, ut exactius quis dicta affequatur, quod rufus color ad flavum proxime acce-

[394] διαφέρει δ' ἀλλήλων τῷ τὸ μὲν λευκότερον εἶναι, τὸ δὲ στιλπνότερον. καὶ γὰρ οὖν καὶ ἡ πικρὰ χολὴ ποτὲ μὲν πυῤῥὰ φαίνεται μᾶλλον, ποτὲ δὲ ξανθὴ, πολλάκις δ' ἄν σοι καὶ ὠχρὰ δόξειεν εἶναι, λευκοτέρα μὲν καὶ θολωδεστέρα γινομένη, πυῤῥά· στίλβουσα δὲ καὶ καθαρωτέρα, ξανθή. τὸ γὰρ οἷον πυρῶδες ἐλλάμπον αὐτῇ ξανθότερον ἀπεργάζεται. ὅσον δ' ἐστὶ τὸ πυῤῥὸν τοῦ ξανθοῦ λευκότερον, τοσοῦτον ἐκείνου τὸ ὠχρόν. ὅσον δ' αὖ πάλιν ἧττον λευκόν ἐστι τὸ ξανθὸν τοῦ πυῤῥοῦ, τοσοῦτον τοῦ ξανθοῦ τὸ ἐρυθρόν. ὅθεν καὶ ἡ τοῦ αἵματος χρόα ποτὲ μὲν ξανθοτέρα, ποτὲ δ' ἐρυθροτέρα φαίνεται. διὸ καὶ τοῦτο ποτὲ μὲν ἐρυθρὸν ὀνομάζουσι, ποτὲ δὲ ξανθόν. οὐδέποτε μέντοι τὸ ξανθότατον αἷμα τὴν αὐτὴν ἔχει χρόαν τῇ ξανθοτάτῃ χολῇ, ἀλλ' ἔστιν ἐκείνη μὲν ξανθοτέρα, τὸ δὲ αἷμα πάντως ἐρυθρότερον. τὸ γὰρ ἀκριβῶς ξανθὸν αἷμα μέσον ἀκριβοῦς αἵματος καὶ χολῆς ἐστιν ἐπὶ τῶν κατὰ φύσιν ἐχόντων, ὥστε ἑκατέρου αὐτῷ τῶν χυμῶν προσιόντος μηδέποτε μὲν ἀκριβῶς γίνεσθαι ξανθὸν, ἑαυτοῦ μέντοι ξανθότερον. αὕτη μὲν οὖν ἡ αἰτία τοῦ

dit, in hoc autem differunt, quod alter magis ad album, alter ad fplendidum vergit. Nam et amara bilis aliquando rufa apparet, aliquando flava, faepius autem et pallida tibi videtur effe, fi quidem albior et turbulentior facta fit, rufa, fi vero fplendens fit et purior, flava; nam quod veluti igneum in bile fplendet, ipfam reddit flaviorem. Quantum vero flavo rufum eft albius, tantum illo pallidum; quantum rurfus minus album eft flavum quam rufum, tantum flavo rubicundum, quia et fanguinis color nonnunquum flavior exiftit, nonnunquam rubicundior apparet; unde et fanguinem ipfum aliquando flavum, aliquando rubrum dicunt. Nunquam vero fanguis maxime flavus eundem habet cum bile flaviffima colorem; fed eft illa quidem flavior, fanguis vero rubicundior; nam qui apprime flavus eft fanguis, medius eft inter bilem ac exquifitum fanguinem in iis qui fecundum naturam fe habuerint; quare fi uterque humor in ipfo conjungatur, nunquam fiet exquifite flavus, fe ipfo tamen magis flavus. Haec igitur caufa eft ut appellationes con-

συγκεχύσθαι τὰς προσηγορίας. ὅσον δ' εἰς τὴν χρείαν διαφέρει, ῥᾷστον ἐξευρεῖν, ὅτι τῶν κατὰ φύσιν οὔρων ὅρος ὁ τῆς ἀκριβοῦς τοῦ αἵματος πέψεως πρῶτος καιρός ἐστιν ἐν τοῖς ὑγιαίνουσιν ἄριστα σώμασι. ὁ δὴ τοῦτο θεασάμενος, εἶθ' οἷον κανόνα τινὰ τῶν ἄλλων οὔρων ἑαυτῷ ποιησάμενος, ἐξευρήσει ῥᾳδίως τὰς ἀλλοιούσας αὐτὸ διαθέσεις. εἰ μὲν γὰρ τὴν χρόαν ἀκριβῶς ἐπιφυλάττει, ὑπόστασίν τε καὶ λευκὴν καὶ λείαν καὶ ὁμαλὴν καὶ πολλὴν ποιεῖται, πέψεως μὲν ἂν εἴη γε καὶ οὕτως ἀκριβοῦς γνώρισμα. πλέονα δὲ τὸν ὠμὸν ὀνομαζόμενον χυμὸν ἐκκαθαίρεσθαι δηλοῖ. διὰ τοῦτο καὶ τοῖς παιδίοις σχεδὸν ἅπασι καὶ τῶν τελείων τοῖς ἀργῶς διαιτωμένοις, ἢ ἄλλως ἐμπιπλαμένοις ἱκανὴν ὑπόστασιν ἴσχει τὰ οὖρα. πλεῖον γὰρ ἐν τούτοις ἅπασι τὸ ἀκατέργαστόν τε καὶ ὠμὸν, τοῖς μὲν διὰ τὴν ἀργίαν, τοῖς δὲ διὰ τὴν πλησμονὴν, τοῖς παιδίοις δὲ καὶ διὰ τὴν πλησμονὴν, ἀδδηφάγοι γὰρ μᾶλλον, ἀλλὰ καὶ διότι μία τῆς γαστρὸς ἐνέργεια δυοῖν ἑτέραις

fundantur. Quantum autem ad ufum refert, facillimum invenire eft quod urinarum, quae fecundum naturam fe habent, terminus eft in optime fanis corporibus primum exquifitae coctionis fanguinis tempus; et qui hanc fuerit contemplatus, deinde veluti regulam aliarum urinarum fibi ftatuerit, quaenam ipfam mutent affectiones, facile inveniet. Nam fi colorem exquifite fervaverit, hypoftafin vero albam et laevem et aequalem et multam fecerit, fic quidem coctionis etiam fignum exquifitum fuerit; plus autem de humore, qui crudus nominatur, evacuari demonftrat. Propterea et in pueris omnibus fere et perfectam aetatem habentibus, qui otiofam vitam degunt, aut quovis alio modo repleti funt, fatis multam urinae habent hypoftafin; quoniam in his omnibus plus eft de inconfecto et crudo humore, his quidem propter defidem vitam, illis vero propter fatietatem, pueris vero et ob fatietatem, voraciores enim funt, et ob id etiam, quod una ventriculi functio non poteft duobus fimul fufficere, augendo fcilicet atque alendo; antequam ergo in ipfo fufficienter alimentum coctum fit, ipfum

Ed. Chart. VIII. [394.] Ed. Baf. III. (397.)
ἐνεργείαις ἱκανῶς ἐξαρκεῖν ἀδύνατος, αὐξήσει τε ἅμα καὶ θρέψει. πρὶν οὖν ἀκριβῶς ἐν αὐτῇ πεφθῆναι τὴν τροφὴν, ἕλκει τὸ σῶμα. κἀντεῦθεν πλεῖστον τὸν ὠμὸν ἀθροίζει χυμόν. διὰ τοῦτο καὶ τοῖς ἐξ ἀργίας τε καὶ πλησμονῆς πυρέττουσιν, ἢν σώζεσθαι μέλλουσι, ἐξ ἀνάγκης ὑφίσταται πλεῖστον. ἔμπαλιν δὲ τοῖς ἐξ ἐνδείας καὶ πόνου πυῤῥὰ μὲν καὶ χολώδη τὰ οὖρα, λύεται γὰρ ἡ νοῦσος καὶ πρὶν ὑποστῆναι πολλάκις. ἀρκεῖ γὰρ ἐπὶ τούτων καὶ νεφέλη καὶ ἐναιώρημα χρηστόν. τοιοῦτον δ᾽ ἐστὶ τὸ λευκὸν καὶ λεῖον καὶ ὁμαλόν. καὶ γὰρ οὖν αὐτῶν τῶν ὑγιαινόντων τοῖς πονοῦσι πλέον καὶ ἧττον προσφερομένοις σιτία χολωδέστερα τὰ οὖρα. διόπερ οὐδὲ ἁπλῶς ὁ Ἱπποκράτης ἔψεξε τὸ πυῤῥὸν, ἀλλ᾽ ὅταν ἅμα τῷ τοιοῦτον εἶναι καὶ λεπτὸν ὑπάρχῃ. λέγει γ᾽ οὖν ὧδε· ἔστ᾽ ἂν δὲ πυῤῥὸν εἴη τὸ οὖρον καὶ λεπτὸν, ἄπεπτον σημαίνει τὸ νόσημα εἶναι. δῆλον δὲ καὶ ὡς οὐδὲ ὑφίσταταί τι τοῖς τοιούτοις οὔροις. οὐ γὰρ ἐγχωρεῖ τὸ λεπτὸν ἱκανῶς, οὐδὲ εἰ πάμπολυν χρόνον ἀτρεμοῦν ἀποκέοιτο, λαβεῖν τινα διάκρισιν, ὥστε τὸ μὲν ἐμφερόμενον αὐτῷ παχύτερον ὑποστῆναι, τὸ

ad fe corpus trahit, atque hinc fit ut plurimum crudi humorum coacervet. Haec quoque caufa eft ut iis qui ex otio et repletione febricitant, fi fanitati reftitui debent, neceffario plurimum fubfideat; contra ii, qui ex inedia et labore, rufae quidem et biliofae urinae funt; folvitur enim morbus prius quam aliquid fubfideat plerumque; fufficit enim in his et nebula et fufpenfum bonum, tale autem eft album et laeve et aequale; nam ex ipfis fanis, qui multum laborant, et pauciori cibo vefcuntur, iis funt urinae biliofiores. Quare neque fimpliciter Hippocrates vituperavit urinam rufam, fed quando fimul cum rubore habuerit tenuitatem; ita igitur inquit: *Donec rufa fuerit urina ac tenuis, morbum crudum fignificat.* Liquet autem quod neque aliquid fubfidet hujusmodi urinis; neque enim contingit ut quae tenuis fufficienter fuerit, vel fi multo tempore quieta fteterit, aliquam recipiat fecretionem, adeo ut craffior pars, quae in ipfa pendebat, fubfideat, tenuior

λεπτότερον δὲ ἐπιπολάσαι. μόνου γὰρ τοῖ παχύτητά τινα κεκτημένου τὸ τοιοῦτον πάθημα. οὐ μὴν οὐδὲ εἰ συμμέτρως εἴη παχὺ, καί τινα βραχεῖαν ὑπόστασιν ἔχον, τοῦτο πέπεπται. εἰ γὰρ ἤτοι κριμνώδεις ἢ πεταλώδεις, [395] ἢ πιτυρώδεις ἢ μελαίνας ἢ χλωρὰς ἢ πελιδνὰς ἢ δυσώδεις ὑποστάσεις ἔχοι, πρὸς τῷ καὶ πᾶν τὸ τοιοῦτον ἄπεπτον εἶναι καὶ ἄλλως ὀλέθριον ὑπάρχει. αἱ μὲν γὰρ κριμνώδεις δυοῖν εἰσι διαθέσεων γνωρίσματα, συντήξεως ἁδρομεροῦς καὶ θερμασίας καυσώδους, ἐκφρυγούσης τὸ αἷμα. αἱ δὲ πεταλώδεις αὐτῶν τῶν ἀγγείων εἰσὶ, τὰ ἐπιπολῆς μόρια, πάντως δήπου ἀναλυομένων τε καὶ συντηκομένων, ὡσαύτως δὲ καὶ αἱ πιτυρώδεις, πλὴν ὅσον ἁδρόταται (398) μὲν αὗται καὶ σμικρόταται. πλατύτεραι δὲ καὶ λεπτότεραι τούτων αἱ πεταλώδεις, μέλαιναι δ᾽ ὑποστάσεις ἢ θερμασίαν ἄκρατον καὶ πυρώδη σημαίνουσιν, ἢ νέκρωσιν ἐκ καταψύξεως ἰσχυρᾶς. οὕτω γὰρ δὴ φαίνεται καὶ τἀκτὸς ἡμῶν μόρια μελαινόμενα, τὰ μὲν ὑπερθερμανθέντα, καθάπερ τοῖς εἰληθεροῦσι, τὰ δ᾽ ἐσχάτως

vero fuperferatur; nam hoc folum advenit iis quae aliquam craffitiem habent. Non tamen fi etiam mediocriter craffa fuerit, et breve quicquam quod fubfideat habuerit, jam cocta erit; fi enim vel farinae hordei craffiori, vel fquamis, vel furfuribus fimiles hypoftafes habuerit, vel nigras, vel virides, vel lividas, vel foetidas, praeter id, quod quaequaecunque tales funt, cruditatem habent, etiam alioquin funt perniciofae. Nam farinae hordeaceae craffiori fimiles, duarum funt difpofitionum indicia, grandis fcilicet colliquationis et caliditatis aeftuofae, quae fanguinem adurit. At quae fquamas repraefentant, funt vaforum partes fuperficiales, quae fcilicet omnino refolvuntur ac colliquantur. Ita et furfureae praeter quam quod quantum hae craffiores ac minores funt, tantum fquamis fimiles, latiores ac tenuiores his funt. Nigra vero fedimenta vel excedentem caliditatem atque igneam oftendunt, vel ex frigiditate vehementi mortificationem; fic enim et extrinfecus noftri corporis partes nigro affici colore videmus, partim fcilicet ex nimio calore, ut qui fe foli aeftivo expofuerunt, partim ex

Ed. Chart. VIII. [395.] Ed. Baf. III. (398.)

ψυχθέντα, καὶ οἷον νεκρωθέντα, καθάπερ τοῖς τε πρεσβυτέροις καὶ τοῖς ἄλλοις ὁπωσοῦν ἰσχυρῶς ψυχθεῖσι. καὶ γὰρ οὖν καὶ αὐτῶν ὅλων τῶν οὔρων ἡ μέλαινα χρόα, καὶ προσέτι τῶν ἐναιωρουμένων αὐτοῖς, ἢ ἐποχουμένων νεφελῶν, εἰς τὰς αὐτὰς αἰτίας ἀνάγεται, θερμασίαν, ἢ νέκρωσιν ἐκ καταψύξεως ἰσχυρᾶς. κάκιστον μὲν δὴ σύμπαν τὸ οὖρον μελανθὲν, ὥστε οὐδένα οἶδα σωθέντα τῶν τοιοῦτον οὐρησάντων, ἧττον δ' ὀλέθριον ἡ ὑπόστασις αὐτοῦ μόνη μελανθεῖσα. ταύτης δ' ἐστὶν ἧττον ἐναιώρημα μέλαν, ἔτι δ' ἧττον ἡ νεφέλη. τὸ δ' αὖ χλωρὸν χρῶμα κατὰ τὴν ἐπὶ τὸ μέλαν ὁδὸν γίνεται, καὶ ἔστιν ὥσπερ οἷον προοίμιον τοῦ μέλανος. εἰ γὰρ κακόηθες εἴη τὸ νόσημα, καὶ τοῖς ἐμέτοις καὶ τοῖς διαχωρήμασι καὶ τοῖς οὔροις τοῖς χλωροῖς, ἐφεξῆς ἐπιφαίνεται τὰ μέλανα. πελιδνὸν δὲ χρῶμα μόνης ψύξεως ἔκγονον, ἡ δ' αὖ δυσώδης ὀσμὴ σήψεως ἴδιον. εἰ δ' οἷον ἔλαιον οὐροῖτο, συντήξεως γνώρισμα. τὰ μὲν δὴ τοιαῦτα τῶν οὔρων μοχθηρά· τὰ δ' εὔχροά τε ἅμα καὶ ἤτοι τὰς ὑποστάσεις

vehementi frigore et veluti mortuas, quemadmodum in fenibus, aut quibuscunque aliis fupra modum refrigeratis. Ipfarum itaque totarum urinarum color niger; atque etiam eorum quae in ipfis fufpenduntur; aut earum quae fupra vehuntur nebularum; ad easdem caufas refertur, calorem fcilicet immoderatum, aut mortificationem ex refrigeratione vehementi. Peffima igitur eft omnis urina denigrata, adeo ut neminem unquam fervatum viderim ex iis qui talem urinam minxerunt; minus vero perniciofa, fi folum id quod fubfidet, nigrum fuerit; atque adhuc minus, fi folum id quod in medio jacet; ac multo minus etiam, fi nebula. Color vero viridis fit in transitu ad nigrum, et eft quoddam veluti prooemium nigri; nam fi morbus malignus fuerit et vomitionibus et alvi dejectionibus et urinis viridibus, poftmodum nigrae fuperveniunt. Color autem lividus eft folius frigiditatis effectus; odor vero gravis, putrefactionis. Quod fi veluti oleum meiatur, colliquationis eft fignum. Tales quidem urinae pravae funt. Quae autem bene coloratae

λευκὰς καὶ λείας καὶ ὁμαλὰς, ἢ νεφέλας τινὰς ὁμοίως, ἢ ἐναιωρήματα ποιούμενα, πάντων οὔρων ἐστὶ τὰ χρηστότατα, μάλιστα μὲν ὧν ἡ ὑπόστασις εἴη τοιαύτη, δεύτερα δὲ ὧν ἐναιωρήματα, τρίτα δὲ ὧν αἱ νεφέλαι. ταῦτα μὲν οὖν τὰ τῆς πέψεώς ἐστι γνωρίσματα, τὰ δ' ἄλλα σύμπαντα τὰ μὲν ἀπεψίας, τὰ δ' ὀλέθρου. τὸ μὲν γὰρ λευκὸν καὶ τὸ λεπτὸν καὶ τὸ θολερὸν ἀπεψίας, τὸ δ' αὖ κριμνῶδες καὶ τὸ πεταλῶδες καὶ τὸ πιτυρῶδες καὶ τὸ μέλαν καὶ τὸ χλωρὸν καὶ τὸ πελιδνὸν καὶ τὸ ἐλαιῶδες καὶ τὸ δυσῶδες ὀλέθρου, τὸ δ' ὑπόπυῤῥόν τε καὶ ὑπόξανθον ἔτι καὶ λεπτὸν, ᾗ μὲν λεπτὸν, ἄπεπτον, ᾗ δὲ τῇ χρόᾳ τοιοῦτον, ἤδη πέπεπται. μέσον δ' ἐστὶ τῶν ἀκριβῶς ἀπέπτων τε καὶ πεπεμμένων, ὥσπερ δὴ καὶ οἷς λευκὰ μὲν ἐναιωρήματα καὶ λεῖα, διεσπασμένα δὲ καὶ μὴ συνεχῆ. τοῦτο μὲν δεῖ κἀν ταῖς ὑποστάσεσι θεωρεῖν, εἰ μὴ λευκαὶ καὶ λεῖαι μόνον, ἀλλὰ καὶ εἰ παντοίως ὁμαλαὶ, τῷ τε μὴ διεσπάσθαι κατά τι καὶ τῷ διὰ παντὸς γίνεσθαι τοῦ χρόνου τοιαῦται. εἰ γὰρ ἐναλλὰξ οὐροῖτο καθαρὰ τοῖς ὑφιστα-

ſunt, et hypoſtaſes habent albas et laeves et aequales, aut nebulas quasdam, aut ſuſpenſa ſimilia, omnes urinas bonitate praecellunt, maxime autem in quibus hypoſtaſis talis fuerit; ſecundum bonitatis obtinent locum, in quibus ſuſpenſa talia ſunt; tertium, in quibus nebulae. Hae igitur coctionis ſigna ſunt; reliquae vero omnes partim cruditatem partim perniciem portendunt. Nam quae alba eſt et quae tenuis et quae turbulenta, cruditatem; at quae farinae hordei craſſiori, aut ſquamis, aut ſurfuribus ſimilis eſt, quae nigra, aut viridis, aut livida eſt, aut oleaginea, aut foetida, perniciem ſignificat. Quae autem ſubruſa, aut ſubflava eſt, adhuc autem tenuis, qua quidem tenuis, cruda exiſtit; qua vero talem habet colorem, jam coquitur; eſt autem media inter eas quae ſunt exquiſite crudae et coctae; ſicuti et quibus alba quidem ſunt et laevia quae ſuſpenſa ſunt, divulſa vero et minime continua. Hoc vero etiam in ſubſidentibus contemplari oportet, ſi non modo alba ſint et laevia, ſed ſi omnino aequalia, et quia in nulla parte divulſa ſint, et quia omni tempore talia ſint; nam ſi alternatim meiatur pura in ſub-

μένοις, ἡμιπέπτου νοσήματος γνωρίσματα. περί τε οὖν τούτων ἁπάντων ὁ θαυμάσιος Ἱπποκράτης πρῶτος ὧν ἴσμεν ἀπεφήνατο κάλλιστα, καὶ ὡς τοῖς μὲν ἀνδράσι καὶ ταῖς γυναιξὶ τὰ μέλανα τῶν οὔρων εἴη κάκιστα, τοῖς δ' αὖ παιδίοις τὰ ὑδατώδεα. τοῖς μὲν γὰρ παιδίοις συνηθέστερα τὰ παχύτερα, τοῖς δ' αὖ τελείοις τὰ πυῤῥότερα. τὸ δ' ἐναντίον ἀεὶ τοῖς οἰκείοις ὀλέθριον. [396] *ἀλλὰ καὶ περὶ τῶν ὑπερύθρων οὔρων, εὐθὺς δὲ καὶ τὴν ὑπόστασιν ὑπέρυθρόν τε καὶ λείαν ἐχόντων, ὀρθῶς εἶπεν ὡς σωτήρια μὲν ἱκανῶς ἐστι, χρονιώτερα δὲ τῶν ἀρτίως ὀνομασθέντων ἡμιπέπτων. αἵματος γὰρ ὀῤῥὸς ἐπιχρώζει τὰ τοιαῦτα. χρὴ δὲ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ τῆς πυῤῥᾶς τι μεμίχθαι χολῆς. εἰ δ' οὕτως ἐστὶ καὶ τὸ κατὰ φύσιν ἀσθενὲς θερμὸν, ὡς μήτε τὴν ξανθὴν χολὴν γεννᾷν ἤδη, μήθ' αἷμα πεττόμενον ἀκριβῶς, ἀλλ' ἔτ' ὀῤῥῶδές τε καὶ ὑγρὸν, ὅτι μὲν εἰς πέψιν αὐτοῦ χρόνου δεῖ πρόδηλον, ὅτι δ' ἀκίνδυνος ἡ διάθεσις ἡ τῆς ὕλης ἐνδείκνυται φύσις, οὔτε λεπτὴ καὶ ὑδατώδης, οὔτε μὴν παχεῖα*

fidentibus, femicoctum effe morbum oftendit. De hisce igitur omnibus admirabilis Hippocrates primus omnium quos fcimus optime docuit; et quod in viris quidem et mulieribus nigrae urinae peffimae funt, in pueris autem aquae fimiles; nam in his magis confuetae craffiores, in perfectis autem magis rufae; quod vero maxime contrarium eft confuetis, perniciofum. Sed et de fubrubentibus urinis et ftatim habentibus hypoftafin fubrubentem ac laevem, recte dixit, quod funt quidem fatis falutares, fed diuturniores iis quas paulo ante femicoctas nominavi; fanguinis enim ferofa fuperfluitas iftas intingit; oportet autem non modo hanc, fed etiam aliquid rufae bilis admifceri. Si vero calor naturalis adeo eft imbecillis ut neque rufam generet bilem, neque fanguinem exquifite coctum, fed adhuc ferofum atque humidum, quod quidem ad fui coctionem tempore egeat, eft manifeftum; quod vero haec difpofitio fine periculo fit, materiae natura commonftrat, quae neque tenuis aut aquae

τελέως, ἀλλ' οὔτε δριμεῖά τις, ἢ σεσηπυῖα, χρηστὴ δ' οὖσα, καὶ τῆς τοῦ αἵματος ἰδέας ἐγγύς.

Κεφ. ιγ'. Ἀλλ' ἐπεὶ καὶ περὶ τῶν οὔρων ὅσον εἰς τὰ παρόντα χρήσιμον εἴρηται πᾶν, ἐφεξῆς ἂν εἴη λέγειν ὅπερ ὑπεσχόμεθα πρόγνωσιν ἀκμῆς, καὶ τῶν ἄλλων τῆς νόσου καιρῶν. εἰ μὲν δὴ τοιοῦτόν τι σημεῖον ἓν, ἢ καὶ πλειόνων σημείων ἄθροισμα εἴχομεν τῶν μελλόντων ἔσεσθαι βεβαίως δηλωτικὸν, οὔτ' ἂν αὐτὸς ὁ Ἱπποκράτης εἴρηκε μακρὰν τὴν τέχνην, οὔτε ἂν οἱ νῦν ἐθαύμαζον, εἰ δυνατόν ἐστιν εἰς πρόγνωσιν ἰατρικὴν τὰ τοιαῦτα πάνθ' ἥκειν. ἐπεὶ δ' οὔτε σημεῖον οὐδὲν οὕτω πιστὸν ὡς ἀκριβῶς ἐνδείξασθαι τὸν μέλλοντα χρόνον ἑκάστου τῶν καιρῶν, ἀλλ' οὐδὲ κατὰ συνδρομάς τινας ἀλλήλοις ἐπιπλεκόμενα τὰ σημεῖα τῇ πείρᾳ μόνῃ κριθῆναι δύνανται, πάμπολλαι γὰρ ἂν οὕτως αἱ συνδρομαὶ γενήσονται τὸ πλῆθος ὡς μήτε ἀριθμῆσαί τινα αὐτὰς, μήτε τηρῆσαι, μήτε μνημονεῦσαι δύνασθαι, διὰ τοῦτο ἀναγκαῖον ἑκάστου σημείου τὴν φύσιν ἀκριβῶς ἐπισκέπτεσθαι τῷ μέλλοντι προγνώσεσθαι ἀκριβῶς, ἵν' ἐκ τῆς δυνάμεως ἑκάστου

similis est, neque integre crassa, sed neque acris quidem aut putrida, sed utilis existit, et prope naturam sanguinis.

Cap. XIII. Sed postquam etiam de urinis quantum ad praesentia erat utile omnino dictum est, reliquum est ut dicamus, quod polliciti sumus facere, praecognitionem status, atque aliorum temporum morbi. Ergo si unum quidem aliquod tale signum, aut etiam plurium collectio firmiter indicare posset id quod futurum est, neque ipse Hippocrates dixisset *artem longam*, neque nostri temporis medici admirarentur, si possibile est in praecognitionem medicinalem ejuscemodi omnia venire. Quoniam vero neque signum nullum ita fidele est ut exquisite ostendat singula ex futuris temporibus; sed neque quae secundum concursus quosdam signa sunt complicata, sola possunt experientia judicari, multi enim numero hoc pacto concursus fierent, adeo ut nemo eos posset enumerare, neque observare, neque memoria tenere; idcirco necessarium est signi cujusque naturam exquisite considerare, si quis vult recte praenoscere, ut

τὴν πρόγνωσιν ἢ ποιούμενος. οὐ γὰρ δὴ τά γε πλείω πάντως ἰσχυρότερα τῶν ἐλαττόνων, ἓν γὰρ ἐνίοτε σημεῖον ἰσχυρὸν πιστότερον γίνεται πολλῶν ἀσθενῶν. ταῦτ' ἄρα καὶ ὁ θαυμάσιος Ἱπποκράτης ἔλεγεν ἐν τῷ προγνωστικῷ· τὰ σημεῖα δεῖν ἐκμανθάνοντα πάντα κρίνειν ἐκλογιζόμενον τὰς δυνάμεις αὐτῶν πρὸς ἀλλήλας· ὥστ' εὐλόγως καὶ τὴν διδασκαλίαν αὐτῶν ἐποίησε κατὰ τὰς δυνάμεις, οὐχ ἁπλῶς ἐφεξῆς ἀγαθὰ σημεῖα καταλέξας, εἶτ' αὖθις τὰ κακὰ, προσεπισημηνάμενος δ' ἐν τοῖς ὀνόμασιν ἑκάστου τὴν φύσιν, ὀλέθριόν τε καὶ δεινὸν ὀνομάζων καὶ δεινότερον καὶ δεινότατον καὶ ἧττον δεινὸν, ἢ μᾶλλον δεινὸν, οὕτω δὲ καὶ πονηρὸν καὶ πονηρότερον καὶ πονηρότατον καὶ θανατῶδές γε νὴ Δία καὶ κακὸν ἁπλῶς. ἐνίοτε δὲ καὶ τὸ κάρτα προσγράφει καθ' ἑκατέρων τῶν σημείων τὰ γένη, τά τε νῦν εἰρημένα τὰ μοχθηρὰ καὶ τὰ χρηστόν τι δηλοῦντα. καὶ γὰρ οὖν καὶ κατ' ἐκεῖνα τὸ μὲν ἄριστον λέγει, τὸ δὲ ἀγαθὸν ἁπλῶς, τὸ δὲ μᾶλλόν τε καὶ ἧττον. τοιοῦτον δέ τι καὶ τὸ κάρτα, μεγάλην ἔχειν δύναμιν εἰς σωτηρίαν

ex vi uniuscujusque praecognitionem faciat. Neque enim quae plurima funt, illa omnino paucioribus funt potentiora; faepe enim fignum unum validum multis debilibus fidelius exiftit. Haec igitur etiam admirabilis dicebat Hippocrates in libro prognofticorum: *Signa oportet edifcentem omnia, judicare vires eorum, invicem comparantem.* Quare et eum ratione fecundum vires eorum tradidit difciplinam, non fimpliciter deinceps bona figna connumerans, deinde rurfus mala, annotans autem in appellationibus uniuscujusque naturam, perniciofum et grave nominans et gravius et graviffimum et minus grave et magis grave; fic et pravum et pravius et praviffimum et mortiferum quoque per Jovem et malum fimpliciter, nonnunquam vero, valde, adjiciens utrique fignorum generi, et iis quae nunc dicta funt prava et iis quae bonum aliquod oftendunt. Nam et in illis hoc quidem optimum dicit, hoc vero bonum fimpliciter, hoc autem magis, hoc vero minus. Tale vero eft et quod dicit, valde, magnam habere vim ad falutem.

φησίν. ἐνίοτε δ' οὐδὲν τούτων προσθεὶς, ὅτι χρόνου σημεῖον ἔσται, καὶ μακρᾶς λύσεως ἐμνημόνευσεν, ἡμῖν, ὡς οἶμαι, καταλιπὼν λογίζεσθαι περὶ τῶν τοιούτων ἁπάντων, ὡς οὔτε πονηρὰ τὸ σύμπαν οὔτ' ἀκίνδυνα τελέως ἐστὶν, ἀλλὰ σὺν μὲν ἰσχυρᾷ τῇ δυνάμει σωτήρια, σὺν ἀσθενεῖ δὲ κινδυνώδη. [397] ταῦτα οὐκ ἀναγνῶναι χρὴ μόνον ἐκ τῶν Ἱπποκράτους συγγραμμάτων, ἀλλὰ καὶ μνημονεῦσαι καὶ παραφυλάξαι πολλάκις ἐπὶ τῶν ἀσθενούντων, ἵν' ἐκ τοῦ συνεχῶς ἑωρακέναι τὴν ἀκριβῆ τῆς δυνάμεως αὐτῶν ἔχωμεν διάγνωσιν· ἀναπεμπάζεσθαι δὲ πρὸς ἑαυτοὺς ἀεὶ καὶ σκόπειν τίνα μὲν ἄριστα σημεῖα, τίνα δὲ χείριστα, τίνα δ' ἐν τῷ μεταξὺ τούτων ἐστὶν οἷον βαθμούς τινας ἔχοντα, τὰ μὲν ἐγγὺς τοῖς ἀρίστοις, τὰ δ' ἐγγὺς τοῖς χειρίστοις, καὶ τίνα μὲν ἧττον, τίνα δὲ μᾶλλον, ἐπὶ τοῦ ἐναλλὰξ εὑρῆσθαι, ἐγγὺς καὶ πόῤῥω τούτων ἐστὶ, τίνα δ' ἀκριβῶς μέσα θετέον ἐστὶν ἀγαθῶν τε καὶ κακῶν σημείων· ἔπειτ' ἐφεξῆς σκοπεῖσθαι τίνα μὲν ἀεὶ κακὰ, τίνα δὲ διὰ παντὸς ἀγαθὰ, τίνα δὲ τοῖς καιροῖς ὑπαλλάττεται ὅλης τῆς νόσου, ποτὲ μὲν ἀγαθὰ, ποτὲ δὲ κακὰ

Nonnunquam vero nihil ex his addens, quod temporis indicium erit et longae solutionis meminit, nobis, ut arbitror, de hisce omnibus ratiocinandum relinquens, quae neque omnino prava sunt, neque penitus extra periculum, sed cum valida quidem facultate salutaria, cum debili autem periculosa. Haec igitur non solum legenda sunt in Hippocratis libris, sed et memoranda saepius atque observanda in aegrotantibus; nam ex continua inspectione exquisitam eorum potestatis habemus notitiam. Semper autem mente revolvere oportet ac considerare, quaenam sint signa optima, quae pessima, et quae in medio confinio horum veluti gradus quosdam habentia, nonnulla quidem optimis, nonnulla vero deterrimis proximiora; et quae quidem minus, quae vero magis; eo quod alternatim modo prope illa, modo procul reperta sunt; et quaenam exquisite media ponenda sint inter bona et mala signa. Deinde considerandum, quaenam semper mala sint et quae semper bona: et quaenam in totius morbi temporibus permutentur, quum aliquando bona

τοιαῦτα γινόμενα, καὶ ποτὲ μὲν ἄπιστα, ποτὲ δὲ πιστά. καὶ γὰρ οὖν καὶ τοῦτο πρὸς Ἱπποκράτους εἴρηται θαυμαστῶς, ὅτι τοῖς μὴ κατὰ λόγον κουφίζουσιν οὐ δεῖ πιστεύειν, οὐδὲ φοβεῖ(399)σθαι λίην τὰ μοχθηρὰ γινόμενα παραλόγως. ὅπερ εἰ μὴ γινώσκει τις, οὐδ' οἷός τ' ἔσται προγνῶναι σαφῶς. ἀλλ' ἐνίοτε μὲν ἐνεστηκυίας ἤδη τῆς κρίσεως οὐδὲν ἂν ἰδιώτου φαίνοιτο διαφέρων, ἀλλὰ ταράττοιτό τε ἅμα καὶ φοβοῖτο περὶ τοῦ μέλλοντος, ἐνίοτε δ' ἂν οἰηθεὶς ἀπηλλάχθαι τῆς νόσου τὸν κάμνοντα, κἄπειτα συγχωρήσας ἀδεῶς διαιτᾶσθαι, μέγα τι κακὸν ἐξειργάσατο. διαπαντὸς δ' ἂν κακῶς διαιτῴη, μὴ προγινώσκων τὴν ἐσομένην ἀκμήν. εἰ μὴ γὰρ πρὸς ταύτην ἀποβλέπων τις εὐθὺς ἐξ ἀρχῆς καταστήσει τὸν τῆς διαίτης τρόπον, οὐκ ἔστιν ὅπως οὐ μέγα τι κακὸν ἐξεργάσεται τὸν κάμνοντα.

Κεφ. ιδ'. Ταῦτ' οὖν ἤδη λέγωμεν ἡμεῖς, ὡς προὐθέμεθα, διαλεγόμενοι κατὰ γένος ἕκαστον. καὶ πρῶτόν γε τῶν σημείων ἁπάντων, ὡς ἔστι τριττή τις διαφορά, διέλθωμεν,

fiant, aliquando mala et nonnunquam fida, nonnunquam vero infida. Etenim hoc ab Hippocrate dictum eſt admiratione dignum, *quod iis quae non ſecundum rationem levant non oportet credere, neque vereri valde mala, quae venerunt contra rationem.* Quod niſi quis noverit, nequaquam poterit manifeſte praecognoſcere; ſed aliquando inſtante criſi nihil a vulgari quopiam differre videbitur, ſed ſimul perturbabitur ac compaveſcet de futuris; nonnunquam vero exiſtimans liberatum eſſe a morbo aegrotantem, atque ei victus libertatem permittens, magni alicujus mali occaſionem afferet. Omnino autem male victum inſtituet, futurum ſtatum non praecognoſcens; niſi quis enim ad hunc reſpiciens ſtatum ab initio victus modum adhibuerit, fieri non poteſt quin magnum malum aliquod afferat aegrotanti.

Cap. XIV. Haec igitur jam nos dicamus, quemadmodum propoſuimus, ſingula per genera dividentes. Et primum, quod ſignorum omnium triplex differentia ſit ex-

ἔπειτα δ' ἑκάστου τὰς δυνάμεις· εἶθ' ὡς ἄν τις μάλιστα προγινώσκοι τοὺς καιροὺς τῶν νοσημάτων. ἡ μὲν δὴ τριττὴ φύσις ἁπάντων τῶν σημείων ὁποία τίς ἐστιν, εἴρηται μὲν καὶ πρόσθεν, ἀλλ' οὐδὲν χεῖρον ἀναμνῆσαι καὶ νῦν, ὡς τὰ μὲν πέψεώς τε καὶ ἀπεψίας ἐστὶ, τὰ δ' ὀλέθρου καὶ σωτηρίας ἐνδεικτικά. ταυτὶ μὲν οὖν τὰ δύο γένη· τρίτον δ' ἐπὶ τούτοις ἄλλο γένος ἀνακειμένων ταῖς κρίσεσι τῶν σημείων. ἀπεψίας μὲν οὖν καὶ πέψεως γνωρίσματα διαχωρήματά τε καὶ πτύσματα καὶ οὖρα τίθεσθαι χρή· τὰ δ' ὀλέθρου καὶ σωτηρίας ἐνδεικτικὰ σημεῖα τά τε σὺν αὐτοῖς ἐστιν ἐκκρινόμενα καὶ τὰ καθ' ὅλον τὸ σῶμα φαινόμενα· περὶ ὧν ἐπὶ πλεῖστον ἐν τῷ προγνωστικῷ διῆλθεν ὁ Ἱπποκράτης. εἴς γε μὴν τὰς κρίσεις συνεισφέρει μὲν τινὰ καὶ τούτων, οὐ μὴν ἀλλ' ἴδιόν τι γένος αὐτῶν ἐστιν ἐξαίρετον, ὃ μικρὸν ὕστερον ἅπαν εἰρήσεται. τὰ μὲν δὴ τῆς ἀπεψίας τε καὶ πέψεως σημεῖα βεβαίαν ἀεὶ τὴν οἰκείαν ἔχει δύναμιν, ἄν τ' εὐθὺς ἐν τῇ πρώτῃ τῶν ἡμερῶν ἄν τε καὶ κατὰ τὰς μετ' αὐτὴν ἐπιφαίνηται. τὰ μέντοι τοῦ τρόπου τῶν νοσημάτων τριχῶς διῄρηται·

ponamus, deinde fingulorum vires, poftmodum quo pacto quispiam morborum tempora praecognofcat. Triplex quidem fignorum omnium natura qualis fit, mihi antea dictum eft; fed nihil deterius eft nunc repetere, quod nonnulla quidem cruditatis et coctionis, quaedam mortis et falutis funt figna; haec quidem duo funt genera; tertium autem et aliud genus eft quod crifibus ineft. Coctionis igitur et cruditatis figna, alvi excrementa et fputa et urinas ftatuere oportet. Mortem autem atque falutem portendentia funt quae una cum iftis excernuntur et quae per totum apparent corpus, de quibus latius in libro prognofticorum Hippocrates fcribit. Sane ad crifes aliquid quidem valent et nonnulla ex his; eft tamen proprium atque praecipuum eorum genus, quod totum paulo poft explicabimus. At cruditatis et coctionis figna femper conftantem habent propriam poteftatem, five ftatim in primo die, five in fequentibus apparuerint. Modi autem morborum figna tripartita funt;

τὰ μὲν, ὡς καὶ πρόσθεν ἐλέγετο, τοῖς οὔροις τε καὶ διαχωρήμασι καὶ πτυέλοις ἐμφαινόμενα, τὰ δὲ ἐν ταῖς διαθέσεσιν ὅλου τοῦ σώματος εὑρισκόμενα, τὰ δ᾽ ἐν ταῖς φυσικαῖς τε καὶ ψυχικαῖς ἐνεργείαις ἐμφαινόμενα. ταῦτα δ᾽ οὐκ ἔτι σύμπαντα πιστὰ κατὰ πάντας τῶν νοσημάτων τοὺς καιρούς. ἀλλ᾽ ἐφεξῆς αὐτὰ διαιρήσομεν. τὰ δὲ δὴ κρίσιμα συμπτώματα, διττὴ μὲν καὶ ἡ τούτων φύσις, [398] ἢ ὡς αἰτίων τε ἅμα καὶ ὡς σημείων, ἢ ὡς σημείων μόνον. ἄπιστός τε πᾶσα καὶ τἀναντία σημαίνουσί τε καὶ δρῶσι, κατὰ τοὺς διαφέροντας καιροὺς τῶν νοσημάτων. ἐν τούτοις δὲ δὴ καὶ τὸ σύμπαν ἐστὶν ἀγώνισμα τῆς προγνώσεως. ἐν ἄλλῳ μὲν γὰρ καιρῷ καὶ κατ᾽ ἄλλην διάθεσίν ἐστι κρίσιμα, κατ᾽ ἄλλην δέ τινα διάθεσιν, ἢ καιρὸν τῆς νόσου, συμπτώματα μὲν, ἢ σημεῖα γίνεται μοχθηρὰ, κρίσιμα δὲ οὐδ᾽ ὅλως ἐστίν. εἴρηται δὲ περὶ τούτων καὶ πρὸς Ἱπποκράτους πολλάκις. ἀλλ᾽ ἀρκεῖ κατά γε τὸ παρὸν ὑπομνῆσαι διὰ μιᾶς ῥήσεως ἐκ τοῦ δευτέρου τῶν ἐπιδημιῶν· τὰ κρίσιμα μὴ κρίνοντα τὰ μὲν θανατώδεα, τὰ δὲ δύσκριτα. τουτὶ δ᾽ οὐκ ἔτι τοῖς τῆς πέψεώς τε καὶ

nam quaedam, ut fupra dicebatur, in urinis et alvi excrementis et fputis apparent, quaedam in difpofitione totius corporis inveniuntur, quaedam in naturalibus et animalibus videntur actionibus; haec vero non omnia fidelia funt in omnibus morbi temporibus, fed deinceps ipfa dividemus. Criticorum autem accidentium duplex quidem natura eft, quoniam aliqua funt tanquam caufae et figna, aliqua tanquam figna folum. Infida vero eft univerfa eorum natura et contraria fignificans, et faciens in diverfis morborum temporibus. In his autem totum eft praecognitionis certamen; nam in alio quidem tempore fecundum aliam difpofitionem critica funt, fecundum vero aliam aliquam difpofitionem, vel morbi tempus, accidentia, vel figna prava fiunt, critica vero neque omnino funt. De hisce vero ab Hippocrate etiam faepius dictum eft; fufficit autem in praesentia unius dicti ex fecundo Epidemiorum libro meminiffe: *Decretoria, quae non decernunt, quaedam mortalia funt, quaedam vero difficulter decernunt.* Hoc vero haudqua-

ἀπεψίας ὑπάρχει σημείοις, ἀλλὰ διὰ παντὸς ἕκαστον αὐτῶν ἕν τι σημαίνει καὶ ταὐτὸν ἀεὶ, τὸ μὲν εὔχρουν εἰ τύχῃ καὶ λευκὴν καὶ λείαν καὶ ὁμαλὴν ὑπόστασιν ἔχον οὖρον πέψεως σημεῖον, τὸ δὲ λεπτόν τε ἅμα καὶ μηδεμίαν ὑπόστασιν ἔχον ἀεὶ σημεῖον ἀπεψίας. καὶ τὸ μὲν τῆς πέψεως ἀγαθὸν ἀεὶ, τὸ δὲ τῆς ἀπεψίας οὐκ ἀγαθόν ἐστιν, εἴ τι μεμνήμεθα τῶν ἔμπροσθεν εἰρημένων. εἰ μέντοι κεφαλαλγίαν, ἢ παραφροσύνην, ἢ σκοτοδινίαν, ἢ δύσπνοιαν, ἢ ἄλυν, ἢ κῶμα θεάσῃ, βέβαιον οὐδὲν ἐπὶ τούτοις οὔτ' ἀγαθὸν οὔτε κακὸν ἔχεις προγνῶναι. κατὰ δὲ τὸν αὐτὸν λόγον οὐδ' ἱδρῶτας, ἢ ἐμέτους, ἢ κοιλίας, ἢ οὔρων ἔκκρισιν πολλὴν, ἢ αἱμοῤῥαγίαν ἐκ ῥινῶν, ἢ ὑστερῶν, ἢ αἱμοῤῥοΐδων, ἢ παρωτίδας, ἢ τἄλλα ἀποσκήμματα. σύμπαντα γὰρ ταῦτα καὶ κρίσιμα καὶ οὐ κρίσιμα γίγνεται, κατὰ διττὸν τρόπον, ἢ τῷ μηδ' ὅλως ποιῆσαι κρίσιν ἢ τῷ κακῶς ἐργάσασθαι. τραχήλου μὲν γὰρ πόνος καὶ κροτάφων βάρος καὶ μαρμαρυγαὶ καὶ σκοτόδινοι καὶ κεφαλαλ-

quam ineſt coctionis, aut cruditatis ſignis, ſed ex his unumquodque unum atque idem ſemper ſignificat; ut verbi gratia urina quae bene colorata eſt et albam et laevem et aequalem habet hypoſtaſin, coctionis eſt ſignum; tenuis autem et quae nullum ſedimentum habet urina, ſemper eſt cruditatis ſignum. Et quae quidem coctionem ſignificat, bona eſt ſemper; quae vero cruditatem, non bona; ſiquidem eorum quae prius diximus recordamur. Si tamen capitis dolorem, aut delirium, aut vertiginem tenebricoſam, aut difficilem anhelitum, aut anxietatem, aut gravem ſomnum inſpexeris, nihil in his ſtabile, neque bonum, neque malum poteris praecognoſcere; ſecundum eandem rationem neque ſudores, vel vomitus, aut ventris, aut urinae multum profluvium, aut ſanguinem de naribus, vel de utero, vel de haemorrhoidibus emanantem, aut parotidas aliosque decubitus. Haec enim omnia et decernentia et non decernentia ſunt ſecundum duplicem modum, aut quia nullo modo decernunt, aut quia male. Nam colli dolor, vel temporum gravitas, vel hallucinationes atque tenebricoſae

γίαι καὶ δάκρυον παραῤῥέον ἀκούσιον, ἐξέρυθρόν τε τὸ πρόσωπον ἅμα τοῖς ὀφθαλμοῖς, ἢ τὸ κάτω χεῖλος σειόμενον, ἢ ἀγρυπνία τις, ἢ κῶμα, σημεῖα μόνον ἐστὶν ἐνίοτε κρίσιμα, καθάπερ καὶ ἆσθμα καὶ ἄλυς τις, ἢ δύσπνοια καὶ ὑποχόνδριον ἀνασπώμενον, ἄση τέ τις, ἢ ναυτία ἱκανὴ καὶ καῦμα καὶ δίψος σφοδρὸν, καρδιαλγία, καὶ τὸ φέρειν μὴ δύνασθαι τὴν κατάκλισιν, καὶ τὸ παραπαίειν καὶ βοᾷν. γίνεται οὖν ἤδη καὶ ταῦτα πολλάκις ὑπογυίου κρίσεως σημεῖα· τὸ δ' ἕτερον γένος οὐχ ὡς σημείων ἐστὶ μόνον κρισίμων, ἀλλὰ καὶ ὡς αἰτίων. ἔστι δ' ἔμετοί τε καὶ διαχωρήσεις γαστρὸς καὶ οὔρων πλῆθος καὶ ἱδρῶτες, αἱμοῤῥαγίαι τε καὶ παρωτίδες καὶ ἀποσκήμματα. συμβαίνει δὲ μήτ' ἐπὶ τοῖς πρώτοις συμπτώμασι, ἃ δὴ καὶ σημεῖα μόνον ἐστὶ κρίσεως, μήτ' ἐπὶ τοῖς δευτέροις, ἃ δὴ καὶ τὴν τῶν σημείων ἔχει δύναμιν, καὶ τὴν τῶν αἰτίων γε ἐξ ἀνάγκης γίνεσθαι κρίσιν. ἕτερον δὲ γένος ἐστὶ σημείων τε ἅμα καὶ συμπτωμάτων, οὔτε κρίσιμον ὀνομαζόμενον, ὃ μήτε δηλοῖ μήτε ποιεῖ κρίσιν, οὔθ' ὁμοίως

vertigines et capitis dolores, et lachrymarum involuntarius effluxus, faciesque una cum oculis rubens, aut inferius labrum agitatum, vel vigiliae aliquae, vel fomnus gravis, funt tantum figna crifis aliquando; ficuti et afthma et quaedam anxietas, vel difficultas anhelitus et contracta hypochondria, et ftomachi faftidium quoddam, vel naufea infignis et aeftus et fitis vehemens, et oris ventriculi dolor, et non poffe ferre decubitum et delirare atque exclamare. Fiunt igitur et haec faepius jam imminente crifi indicia. Alterum genus non folum fignorum decretoriorum, fed etiam caufarum obtinet vicem. Sunt vero haec vomitus et excrementa alvi et multitudo urinarum et fudores et fanguinis eruptiones et parotides atque alii decubitus. Contingit autem neque in primis fymptomatis, quae tantum funt figna crifis neque in fecundis, quae et fignorum et caufarum vim habent, crifim ex neceffitate fequi. Alterum vero genus eft fignorum fimul atque fymptomatum, quod neque decretorium nominatur, quoniam neque oftendit neque facit cri-

πιστὸν ὅλον, ὥστε κατὰ τὰς πέψεις, οὔτ᾽ ἄπιστον τελέως ἅπαν, ἀλλ᾽ ἔστιν εὑρεῖν ἐν αὐτοῖς ἔνια μὲν ἀγαθὰ διὰ παντὸς, ἔνια δὲ φαῦλα. τὸ δ᾽ οὖν ὡς τὸ πολὺ τοιαῦτ᾽ εἶναι πάντ᾽ ἔχει. τὸ μὲν οὖν ἐῤῥῶσθαί τε τὴν διάνοιαν καὶ εὖ ἔχειν πρὸς τὰς προσφορὰς ἀγαθόν. ἀγαθὸν δὲ καὶ ἡ εὔπνοια καὶ ἡ εὐσφυξία καὶ ἡ εὐφορία καὶ τὸ τοῖς ὑγιαίνουσιν ὁμοιότατον πρόσωπον, εὐσχήμων τε κατάκλισις, ὁμαλότης τε τοῦ σώματος σύμπαντος, ὅσα τε ἄλλα κατὰ τὸ προγνωστικὸν ὑφ᾽ Ἱπποκράτους εἴρηται· κακὰ δὲ τἀναντία τούτου, τουτέστι δυσφορία, κακοσφυξία, δύσπνοια, καὶ μάλισθ᾽ ἡ ψυχροῦ τοῦ πνεύματος ἐπνεομένου γινομένη· [399] καὶ τὰ ἄλλα ὅσα κατὰ τὸ προγνωστικὸν ὑφ᾽ Ἱπποκράτους εἴρηται, διορίζοντος σαφῶς ἑκάστου σημείου τὴν δύναμιν. ὅσα μὲν γὰρ ἁπλῶς ἀγαθὰ καὶ δεινὰ καλεῖ, πλειστάκις ἐστὶ τοιαῦτα.

Κεφ. ιε΄. Τὰ δ᾽ ἄριστά τε καὶ χείριστα πρὸς αὐτοῦ λεγόμενα, καὶ μάλιστα ἐφ᾽ ὧν προστίθησι τὸ κάρτα, τοιαύτην ἔχει δύναμιν ὡς ἤτοι διαπαντὸς ἕν τι δηλοῦν ἢ σπάνιον·

fim, neque omnino fidum eft, ficuti coctiones, neque infidum ex toto; fed eft invenire inter ea quaedam bona femper, quaedam autem mala; atque haec quidem effe talia ut plurimum omnibus ineft. *Mente igitur conftare atque ad ea quae offeruntur bene fe habere bonum; bonum etiam facilis anhelitus et facilis tolerantia et pulfuum bonitas et facies fimillima fanis, decens accubitus, et totius corporis aequalitas,* et quaecunque alia Hippocrates in prognofticis fcribit. *His contraria mala,* hoc, eft, *difficilis tolerantia, pulfuum malitia, et fpirandi difficultas, et maxime quae per frigidi fpiritus expirationem fit,* atque alia multa, quae in prognofticis ab Hippocrate dicta funt, manifefte definiente figni cujusque potentiam: quaecunque enim fimpliciter bona et mala nominat, faepius talia exiftunt.

Cap. XV. At quae ab eo optima et peffima dicuntur, et quibus praefertim adjunxerit id verbum, valde, talem vim habent, quod femper unum quoddam oftendunt, aut

εἶναι τὸ μὴ δηλῶσαι, τοιαύτης δή τινος οὔσης διαφορᾶς ἐν τοῖς σημείοις, εἰ μὲν ἀδύνατόν ἐστι διακρῖναι πότε τὰ κρίσιμα σημεῖα σημαίνει κρίσιν, ἢ πότε τὰ κρίνοντα συμπτώματα κρίσιν ἀγαθὴν, ἢ κακὴν ἐπιφέρει, μάτην μὲν ἂν Ἱπποκράτης ἔλεγε· τοῖσι μὴ κατὰ λόγον κουφίζουσι οὐ δεῖ πιστεύειν, οὐδὲ φοβεῖσθαι λίην τὰ μοχθηρὰ γινόμενα παραλόγως· ἡμεῖς τε μάτην ἐνεστησάμεθα πραγματεύσασθαί τι περὶ κρίσεων. εἰ δ' οὔτ' ἄλλο τι τῶν πάντων, οὐδε ταῦτ' εἴρηται πρὸς Ἱπποκράτους μάτην, εἴη ἄν τι πάντως γνώρισμα πιστὸν, ᾧ τὸ κατὰ λόγον τε καὶ παρὰ λόγον διορίζεται. τί δὲ τοῦτ' ἔστι, ἡδέως ἂν ἤκουσα παρὰ τῶν ὑπερφρονούντων τῆς παλαιᾶς ἰατρικῆς. ἡμεῖς μὲν γὰρ πεπείσμεθα τὸ πρὸς Ἱπποκράτους λεγόμενον ἀληθὲς εἶναι πάντως, ὡς πεπασμοὶ ταχύτητα κρίσεως, ἀσφαλείην ὑγιεινὴν σημαίνουσιν, ὠμὰ δὲ καὶ ἄπεπτα καὶ εἰς κακὰς ἀποστάσιας τρεπόμενα ἀκρισίας, ἢ πόνους ἰσχυροὺς, ἢ θανάτους, ἢ τῶν αὐτῶν ὑποστροφάς. ὥστε καὶ τὸν τῆς ἀρχῆς καιρὸν οὐκ ἄλλῳ τι(400)νὶ κρίνομεν,

raro non indicant. Hac igitur exiftente inter figna differentia, fi quidem impoffibile eft diftinguere, quando figna decretoria crifim oftendunt, vel quando ea quae decernunt fymptomata bonam, aut malam afferunt crifim, fruftra ea verba pronunciaffet Hippocrates: *his quae non cum ratione levant non oportet fidere, neque vereri multum mala, quae fiunt praeter rationem;* fruftraque nos de crifibus tractare inftituiffemus. Si vero neque aliud quicquam ex omnibus, neque haec ab Hippocrate fruftra dicta funt, erit omnino aliquod fignum fidum, quo id quod fecundum rationem eft ab eo quod praeter rationem feparatur. Sed quidnam hoc fit, libenter audirem ab iis qui veterem negligunt medicinam. Nos enim credimus verum id effe, quod ab Hippocrate dicitur, quod *Coctio crifis celeritatem, et fecuram fanitatem fignificat: cruda autem et incocta, et in malos converfa abfceffus, crifium defectum, aut vehementes labores, aut mortes, aut eorundem recidivas.* Unde et principii tempus, ficuti etiam diximus antea, non

ὡς καὶ πρόσθεν ἔφαμεν. ἐκεῖνοι δὲ οὐδὲ ἡμῖν ἔδοσαν ἀρχῆς γνώρισμα, διὰ τοῦτο οὐκ ἴσασι διακρῖναι πότε μὲν ὀλεθρίως δυσφορεῖ τις, ἢ παραπαίει, πότε δ᾽ ἐγγὺς οὔσης τῆς κρίσεως· ἀλλ᾽ ὅμοιοι τοῖς ἰδιώταις εἰσὶν, οὔτ᾽ εἰς ὅ τι τελευτήσει τὰ γινόμενα προγινώσκοντες οὔθ᾽ ὅ τι χρὴ ποιεῖν ἐξευρίσκοντες. ἀλλὰ περὶ μὲν τούτων εἰρήσεται καὶ πάλιν.

Κεφ. ιστ΄. Πῶς δ᾽ ἄν τις, εἰ καὶ μήπω παρεῖεν οἱ καθόλου καιροὶ τῆς νόσου, οἷός τ᾽ εἴη προγινώσκειν αὐτοὺς τῇ χρείᾳ τῆς τέχνης συμφορώτατα, τοῦτο ἤδη δίειμι. πρόκειται μὲν γὰρ εὐθὺς ἀπὸ τῆς πρώτης ἡμέρας εἰδέναι τό γε τοσοῦτον, ὡς ἤτοι κατὰ τὴν πρώτην ἢ τὴν δευτέραν τετράδα κριθήσεται τὸ νόσημα. τὸ γὰρ εἴτε τεσσαρεσκαιδεκαταῖον, εἴτε εἰκοσταῖον, οὔπω δῆλον. ἀλλ᾽ οὐδὲν ἐκ τούτου μέγα τὸ τῆς διαίτης εἶδος ὑπαλλάττεται, καθάπερ εἰ τεταρταῖον ἢ πεμπταῖον κρίνεσθαι μέλλον, οὕτως αὐτό τις διαιτήσειεν, ὡς εἰ καὶ τεσσαρακοσταῖον ἔμελλε λυθήσεσθαι. τουτὶ μὲν γὰρ ἐσχάτως ἄτοπον. καὶ ὅστις ἰατρὸς οὐ προγινώσκει κατὰ τὴν πρώτην, ἢ

alio quopiam distinguimus. Illi autem nullum nobis principii indicium dederunt; atque ob id nequeunt distinguere, quando exitialiter quispiam se male habet, vel delirat; et quando imminente jam crisi; at similes vulgaribus sunt, neque quem finem ea quae fiunt sint habitura praenoscentes, neque quid facere oporteat, invenientes. Sed de his quidem etiam iterum dicetur.

Cap. XVI. Quomodo vero etiamsi nondum adsint universalia morbi tempora quispiam ipsa praenoscere queat, quum maxime ad usum artis sit necessarium, hoc jam expono. Propositum enim est statim a primo die saltem tantum cognoscere, quod vel in primo quaternario, vel in secundo morbus decernetur; nam utrum in decimo quarto, vel vigesimo die illud fiat, nondum liquet. Verum ex hoc haud magna sequitur in victus ratione mutatio, quemadmodum si quarto, vel quinto die crisis affutura esset ac talem aliquis victum instituеret, qualis si quadragesimo die morbus finiri deberet institueretur, hoc enim maxime esset absurdum. Et quicunque medicus primo vel saltem secundo die non prae-

τὸ πλεῖστόν γε τὴν δευτέραν ἡμέραν, τὸ μὴ δυνάμενον ἐξωτέρω τῆς πρώτης ἐκταθῆναι νόσημα ἑβδομάδος, μέγιστα τοῦτον εἰκὸς ἁμαρτάνειν. εἰ μὲν οὖν ἅπαξ, ἢ δίς ποτε σφαλείη περὶ τὸ τοιοῦτον, συγγνωστός· εἰ δ' ὅλως οὐκ οἴεται πρόγνωσιν οὐδεμίαν εἶναι τῆς ἐσομένης ἀκμῆς τοῦ νοσήματος, οὐδὲ σμικρὸν οὗτος ἐπαΐει τέχνης ἰατρικῆς. ἐγώ γ' οὖν τοσοῦτον ἀποδέω τοῦ τὸ μέλλον [409] πᾶν ἄγνωστον ὑπολαμβάνειν, ὥστ' εἰς ἐπιστήμην βεβαίαν ἐνίοτε ἥκειν αὐτὸ πείθομαι. τί γὰρ ἄν, εἴ τις εὐθὺς κατὰ τὴν πρώτην ἡμέραν οὐδὲν ἔχων σημεῖον κινδυνῶδες, ἀλλὰ καὶ προσέτι σύμπαντα σωτήρια, πυρέττοι μὲν ὀξέως, οὐροίη δὲ εὔχρουν τε ἅμα καὶ συμμέτρως παχύ, ἆρα οὐ πρόδηλον ἰατρῷ τοῖς ἔργοις τῆς τέχνης προσηδρευκότι περὶ μὲν πρώτην τετράδα τὸ τοιοῦτον κριθήσεσθαι; καὶ μᾶλλον, εἰ νεφέλη τις, ἢ ἐναιώρημα χρηστὸν αὐτῷ γένοιτο, καὶ πολὺ δὲ μᾶλλον, εἰ καὶ ὑπόστασις ἀγαθή; ἀλλὰ δὴ τοῦτο διὰ συντόμου μὲν εἴρηται, μαθεῖν δ' οὐκ ἐνδέχεται διὰ συντόμου αὐτό. πάντα γὰρ χρὴ ἐπίστασθαι τὰ ἀγαθά τε καὶ κακὰ σημεῖα τὸν ἀκριβῶς αὐτὰ προγνωσόμενον

cognoscit morbum, qui extra primum feptenarium nequeat extendi; hunc permultum erraturum fit verifimile. Si igitur femel, vel bis tali errore delinqueret, venia dignus foret; fi vero putet nullam effe futuri flatus praecognitionem, hic nec minimam medicinae artis partem eft affequutus. Ego vero tantum abeft ut quod futurum fit penitus incognitum putem, ut de eo certam interdum haberi fcientiam exiftimem. Quid enim fi aliquid primo ftatim die nullum habens fignum periculofum, verum infuper omnia falutaria, acute quidem febricitet, urinam autem meiat bene coloratam ac mediocriter craffam? an non in propatulo eft medico, qui in artis operibus eft exercitatus, hunc in primis quatuor diebus crifim habiturum, et eo magis, fi nebula aliqua vel fuspenfio bona ibi afflòret, atque etiam tanto plus, fi bonum fedimentum? Sed hoc quidem breviter dictum eft, non tamen brevi tempore disci poteft; *omnia enim et bona et mala figna cognoscere oportet*, qui id certiffime fit praeco-

ὥσπερ οὖν εἰδὼς ταῦτα καὶ ὁ Ἱπποκράτης ἔλεγεν· οἵ τε γὰρ εὐηθέστατοι τῶν πυρετῶν καὶ ἐπὶ σημείων ἀσφαλεστάτων γινόμενοι τεταρταῖοι παύονται, ἢ πρόσθεν, οἵ τε κακοηθέστατοι καὶ ἐπὶ σημείων δεινοτάτων γινόμενοι τεταρταῖοι κτείνουσιν, ἢ πρόσθεν· εὐήθεις μὲν εἰπὼν τοὺς ἐναντίους τοῖς κακοηθέσιν, ἀποφηνάμενος δὲ ὡς οὐδέτεροι τὴν τετάρτην ἡμέραν ὑπερβαίνουσι. ἀλλ' οἱ μὲν λύονται πάντως, οἱ δὲ ἀναιροῦσιν. ὡς οὖν ὁ πάντ' ἔχων ἀσφαλέστατα σημεῖα πυρετὸς ὀξὺς, ἐν τῇ πρώτῃ περιόδῳ τῶν κρισίμων ἡμερῶν ἴσχει τὴν λύσιν, οὕτως ὁ παρακείμενος αὐτῷ τῆς ἑβδόμης οὐκ ἂν ἐξωτέρω προβαίη. τίς δ' ἐστὶν οὗτος, ἢ δῆλον ὅτι ᾧ πάντα οὐκ ἔστι ἀσφαλέστατα; λέλεκται γὰρ οὖν ἤδη καὶ πρόσθεν ὡς οὐ ταὐτόν ἐστιν ὑπερθετικῶς εἰπεῖν ἢ ἁπλῶς ὁτιοῦν. οὐκ οὖν οὐδ' ἀσφαλές τε καὶ ἀσφαλέστατον, οὐδὲ κακόηθες καὶ κακοηθέστατον, οὐδὲ δεινὸν καὶ δεινότατον, ἴσην ἔχει τὴν δύναμιν. ἔστω δή τις εὐθὺς ἀπὸ τῆς πρώτης ἡμέρας πυρετὸς ὀξὺς, οὐκ ἄκρως μὲν ἁπλούστατός τε καὶ ἐπὶ σημείων ἀσφαλεστάτων, ἁπλοῦς μέντοι καὶ ἐπὶ σημείων ἀσφαλῶν.

gniturus, quemadmodum horum habens fcientiam ajebat Hippocrates: *Et mitiffimae febres, quae cum fignis fecuriffimis fiunt, quarto die fedantur vel prius, at quae maligniffimae funt et cum fignis graviffimis accidunt, quarto die accidunt vel antea;* mites quidem nominans contrarias malignis, et quod neutrae quartum transcendunt diem, fed hae quidem omnino folvuntur, hae vero interficiunt, oftendens. Sicuti igitur quae omnia habet figna tutiffima febris acuta, in prima periodo decretoriorum dierum folutionem habet, fic quae isti proxime adjacet, diem feptimam non transcendet. Sed quaenam eft haec? illa videlicet cui non omnia funt tutiffima figna. Dictum igitur eft et antea quod non idem fit fuperlative et fimpliciter dicere quicquam; non igitur fecurum et fecuriffimum, neque malignum et maligniffimum, neque grave et graviffimum, eandem vim habent. Sit jam a primo ftatim die febris acuta, fed non fupreme, fimpliciffimaque et cum tutiffimis fignis,

ὃν γὰρ Ἱπποκράτης εὐήθη καλεῖ, τοῦτον ἐγὼ ἁπλοῦν ὀνομάζω, σαφηνείας ἕνεκεν φεύγων τὴν ὁμωνυμίαν, οὗτος εἰς τὴν δευτέραν τετράδα προβήσεται. τὸ δ᾽ εἴτε κατὰ τὴν πέμπτην ἡμέραν, ἢ τὴν ἕκτην, ἢ τὴν ἑβδόμην κριθήσεται, προϊόντος τοῦ λόγου διορισθήσεται. κατὰ ταὐτὰ δὲ καὶ ὁ κακοήθης τε καὶ ἐπὶ σημείων δεινῶν γινόμενος, καὶ γὰρ καὶ οὗτος ὅσον ἀπολείπεται τοῦ κακοηθεστάτου· καὶ μετὰ σημείων δεινοτάτων γινομένου, τοσοῦτον καὶ τὸν θάνατον ὀψιαίτερον ποιήσει. εἰ δέ τις ἁπλοῦς τε καὶ ἁπλουστάτους καὶ κακοήθεις τε καὶ κακοηθεστάτους πυρετοὺς ἀγνοεῖ διαγινώσκειν, οὔτ᾽ εἰ καλῶς οὔτ᾽ εἰ μὴ καλῶς εἶπεν ὑπὲρ αὐτῶν Ἱπποκράτης, οἷός τ᾽ ἔσται ποτὲ τῇ πείρᾳ βασανίσαι. εἰ δὲ μηδὲ τὰς τῶν σημείων εἰδείη δυνάμεις, ἀλλ᾽ ἁπλῶς οἴοιτο τὰ μὲν ἀγαθὰ, τὰ δὲ κακὰ μόνον ὑπάρχειν αὐτῶν, ἔτι καὶ μᾶλλον ὡς ἐπῳδὴν γραὸς ἀναγνώσεται τὰ πρὸς Ἱπποκράτους γεγραμμένα. τοὺς μὲν δὴ τοιούτους τῶνδε τῶν ὑπομνημάτων ἀπαλλάττεσθαι ἀξιῶ· τοῖς δὲ τὸ προγνωστικὸν Ἱπποκράτους ἀκριβῶς ἀνεγνωκόσιν ἐφεξῆς διαλέξομαι. κατὰ μὲν δὴ τὴν πρώτην ἡμέραν,

verum ſimplex et cum ſignis tutis, quam Hippocrates mitem nominat, ego hanc clarioris doctrinae gratia ſimplicem voco, fugiens aequivocationem, haec febris ad ſecundum quaternarium progredietur. Nunquid vero vel quinto die vel ſexto, vel ſeptimo judicabitur, procedente ſermone determinabitur. Eodem modo et maligna et cum gravibus facta ſignis; nam et haec quantum abeſt a maligniſſima et cum graviſſimis ſignis adveniente, tanto et mortem afferet tardiorem. Si quis ſimplices et ſimpliciſſimas et malignas ac maligniſſimas febres diſtinguere nescit, neque ſi recte aut ſecus de his Hippocrates dixerit, unquam poterit experientia perpendere. Quod ſi neque ſignorum vires intelligat, ſed ſimpliciter opinetur haec quidem bona, illa vero mala tantummodo eſſe, adhuc magis tanquam vetulae cantilenam quae ab Hippocrate ſcripta ſunt leget. Ego quidem talibus ab his commentariis cenſeo recedendum; at qui libros prognoſticos Hippocratis accurate legerunt, iſtis deinceps verba faciam. In primo quidem die, ſic vero me ubique intelliges totum

οὕτως δὲ ἄκουέ μου διαπαντὸς ὅλον τὸν ἐξ ἡμέρας τε καὶ νυκτὸς χρόνον, εἰς τὰς τέτταρας ἐπὶ ταῖς εἴκοσι ὥραις τεμνόμενον, ὑδατῶδες μὲν ἀκριβῶς οὐρείσθω, πυρετὸς δὲ ἔστω βληχρός· οὗτος ὁ ἄνθρωπος εἰς μακρὸν ἐκταθήσεται χρόνον. ὁπόσον δέ τινα τοῦτον ἐν μὲν ταῖς πρώταις ἡμέραις οὔτε δυνατὸν γνῶναι οὔτε εἰδέναι χρήσιμον. οὗ γὰρ ἕνεκα δεόμεθα τῆς τοιαύτης προγνώσεως, ἔχομεν ἤδη τοῦτο τὸ τῆς διαίτης τὸ σχῆμα καταστήσασθαι πρόσφορον, τῆς ἀκμῆς μετὰ πολλὰς ἡμέρας ἐσομένης. καθ᾽ ἑκάστην μέντοι τετράδα παραφυλάττων ἀκριβῶς τὰ σημεῖα, καὶ αὐτὸν τὸν τῆς ἀκμῆς χρόνον [401] ἀκριβῶς δυνήσῃ προγνῶναι. χρὴ γὰρ, φησὶν, ἀπὸ τῆς πρώτης ἡμέρας ἐνθυμέεσθαι, καὶ καθ᾽ ἑκάστην τετράδα προστιθεμένην σκέπτεσθαι, καὶ οὐ λήσεις ὅπῃ τρέψεται τὸ νόσημα. ταυτὶ μὲν οὖν κἀν τοῖς ἐφεξῆς ἐπιπλέον ἐξεργασόμεθα. πρὸς δὲ τὴν τοῦ πρώτου καιροῦ πρόγνωσιν, ὃν ἀρχὴν ὀνομάζουσιν, εἰς ὅσον ἐκταθήσεται χρόνον, ἤδη μέγα τι κατὰ τὴν πρώτην ἡμέραν ἐδείχθη λαμβανόμενον, ὅπερ ἐπὶ τῆς δευτέρας ἡμέρας ἔτι σαφέστερον ἔνεστι διορίζεσθαι. μενόντων

ex die et nocte tempus in viginti ac quatuor horas partitum accipientem, urina quidem fit exquifite aquea, febris vero debilis, hic homo diu fuperftes manebit. Sed quantum hoc erit, in primis diebus cognosci non poteft, neque cognitu utile eft; nam cujus gratia tali egemus praecognitione, jam id habemus, victus fcilicet formam convenientem conftituere, quum ftatus poft multos dies fit fubfequuturus. Singulis quidem quaternariis figna diligenter obfervans, etiam ipfum ftatus tempus exquifite poteris praecognoscere. *Oportet enim,* inquit, *a primo die confiderare et in fingulis quaternariis adjectis animadvertere,* neque te latebit quo fe morbus convertet. Haec quidem etiam in fequentibus pluribus ac diligentius exequemur. Ad primi vero temporis praecognitionem, quod principium vocant, in quantum extendetur tempus, jam magnum aliquid oftenfum eft in primo die fuiffe acceptum, quod fequenti die adhuc manifeftius eft diftinguere. Similiter enim febre et urina

γὰρ ὁμοίως τοῦ τε πυρετοῦ καὶ τῶν οὔρων, οὐ μόνον ὡς οὔπω τῆς ἀναβάσεως ἡ νόσος ὑπήρξατο λέγειν ἔχομεν, ἀλλ' ὡς οὐδὲ θᾶττον ἄρξεται τῆς ἑβδόμης ἡμέρας. ἔμαθες γὰρ ὡς ἐσχάτως ἄπεπτον ὑπάρχει τὸ ὑδατῶδες οὖρον. ὥστ' οὐ μόνον ἤδη παρόντα διαγινώσκειν οἷόν τε τὸν τῆς ἀρχῆς καιρὸν, ἀλλὰ καὶ προγινώσκειν πολλάκις εἰς ὅ τι τελευτήσει.

Κεφ. ιζ'. Ἐπὶ μὲν δὴ τῶν οὕτως χρονίων ἱκανῶς ἐστιν ὁ καιρὸς τῆς ἀρχῆς μακρός· ἐπὶ δὲ τῶν κατοξέων ἐσχάτως στενός. εἰ γὰρ εὐθὺς ἐν τῇ πρώτῃ τῶν ἡμερῶν ἐν τοῖς οὔροις τι φαίνοιτο σημεῖον πέψεως, ἐκπέπτωκεν ἤδη τοῦτο τῆς ἀρχῆς. ἆρ' οὖν οὐδ' ἤρξατο τοῦτο τὸ παράπαν; ἢ τοῦτο μὲν ἀδύνατον; οὐ γὰρ ἐνδέχεταί τι νόσημα τὴν ἰδίαν ἀκμὴν ἀπολαβεῖν ἄνευ τῆς ἀρχῆς τε καὶ τῆς ἀναβάσεως. ἐσχάτως δὲ βραχὺς ἑκάτερος ὁ χρόνος αὐτῶν γίνεται, ὡς πολλάκις ἐν τῇ πρώτῃ τῶν ἡμερῶν ἀκμάσαι τὴν νόσον. οὕτως οὖν ὀξείας ἀρχῆς οὐδὲ πρόγνωσιν δεῖ ζητεῖν τοῦ τέλους, ἀλλ' ἀγαπᾷν εἰ παροῦσάν τε διαγινώσκειν τις δύναιτο καὶ ὁπηνίκα πρῶτον εἰς τὴν ἀνάβασιν μεταπίπτει σαφῶς γνωρίζειν.

manentibus, non folum quod nondum morbus incrementum inceperit, dicere poffumus, fed quod neque ante feptimum diem fit incepturus; didicifti enim quod extreme cruda eft aquofa urina. Quare non folum praefens jam principii tempus internofcere datur, verum etiam faepius praecognoscere, quo finietur.

Cap. XVII. In his quidem adeo diuturnis fatis longum eft principii tempus, in peracutis extreme anguftum. Nam fi ftatim in prima die in urinis appareat aliquod fignum coctionis, jam hic principium transgreffum eft. Numquid igitur neque omnino incipit? an hoc quidem impoffibile? neque enim fieri poteft ut morbus aliquis proprium ftatum recipiat, non praecedente principio et incremento. Extreme breve utrumque horum temporum faepius fieri contingit, adeo ut in primo die morbus ad ftatum perveniat. Ita igitur acuti principii ne praecognitionem quidem finis inquirere oportet, fed fatis putare, fi dum adeft, cognosci poffit, et quum primum ad afcenfum convertitur, manifefte deprehenda-

ἔστι δὲ κοινὴ τῶν τοιούτων ἀρχῶν τε καὶ ἀναβάσεων ἡ διάγνωσις τοῖς τοῦ πρώτου παροξυσμοῦ μέρεσιν. ἡ γὰρ αὐτὴ κἀκείνου καὶ τοῦ σύμπαντος νοσήματος ἀρχή τε καὶ ἀνάβασις γίνεται· οὐ γὰρ δὴ κἀκεῖνος εὐθὺς ἀπ' ἀκμῆς ἄρχεται. τοῦτο γὰρ οὐ μόνον οὐδεὶς οἶδεν, ἀλλ' οὐδ' ἐπινοῆσαι δύναται, πυρετὸν ὀξὺν εὐθὺς ὑπὸ τὴν πρώτην εἰσβολὴν ἀκμάζοντα συστῆναι, (401) καθάπερ ὑπὸ κεραυνοῦ πληγέντος τοῦ ἀνθρώπου. πῶς οὖν ἐν τῇ πρώτῃ τῶν ἡμερῶν ἀκμάζον γνωρισθήσεται τὸ νόσημα; πῶς δ' ἄλλως ἢ εἰ τὰ τῆς πέψεως εὐθὺς ἔχει σημεῖα; παραπλήσιον γάρ τι συμβαίνει κατὰ τὴν τῶν ὠμῶν χυμῶν πέψιν οἷόν τι κἀν τοῖς φλεγμαίνουσι μορίοις συμπίπτει. λέγει δέ που καὶ περὶ τούτων ὁ Ἱπποκράτης ὧδε· περὶ μὲν τὰς γενέσιας τοῦ πύου οἱ πόνοι καὶ οἱ πυρετοὶ συμβαίνουσι μᾶλλον ἢ γενομένου. ὥσπερ οὖν οὐκ ἐνδέχεται διαπυησάσης φλεγμονῆς ἔτ' ἀκμαῖον πυρετὸν εἶναι, ἢ πόνον ἀπαντῆσαι, κατὰ τὸν αὐτὸν τρόπον οὐδ' ἂν ὑφίστηταί τι χρηστὸν ἐν τοῖς οὔροις ἀκριβῶς. νεφέλης μέντοι γε

tur. Eſt autem communis talium principiorum atque incrementorum cognitio cum primis acceſſionis partibus; idem enim et ejus et univerſi morbi principium atque incrementum, nam neque ipſa ſtatim incipit a ſtatu. Hoc enim non modo nemo unquam vidit, ſed neque etiam cogitatione aſſequi poteſt febrem videlicet acutam ſtatim in primo inſultu in ſtatu conſiſtere, ac ſi fulmine foret homo percuſſus. Quomodo igitur in primo die febris in ſtatu conſiſtere agnoſcetur? quomodo aliter quam ſi ſtatim habuerit ſigna coctionis? Tale enim quiddam accidit circa humorum crudorum coctionem, quale etiam partibus, quae inflammationem patiuntur, advenit. Ita autem et de his quodam in loco inquit Hippocrates: *Circa puris generationes dolores ac febres contingunt, magis quam ubi jam eſt generatum.* Quemadmodum igitur jam ſuppurata inflammatione non contingit febrem adhuc in ſtatu eſſe, aut dolorem obviare, eodem modo neque ſi quicquam in urinis ſubſidat exquiſite bonum. Nebula quidem ſola aut quibusdam bonis ſuspenſis factis, ſtatus tempus nondum adeſt, ac multo minus, quum haec

μόνης, ἢ τινων ἐναιωρημάτων ἀγαθῶν γινομένων, ὁ τῆς ἀκμῆς καιρὸς οὔπω πάρεστι. καὶ πολὺ δὴ μᾶλλον, ἐπειδὰν μηδὲν τούτων ᾖ, πλὴν εἰ μὴ πάνυ σφόδρα χολῶδες εἴη τὸ νόσημα. ὅστις ἂν οὖν ἅπασι τοῖς εἰρημένοις πολλάκις ἐπὶ τῶν ἀῤῥώστων ἀκριβῶς τὸν νοῦν προσέσχε, τοῦτον οὐκ ἄν ποτε λάθοι καιρὸς οὐδείς. ἀλλ' εἰ μὲν ὀξὺς εἴη, παρόντα τε ἂν αὐτὸν διαγινώσκοι ἀκριβῶς, καὶ προγινώσκοι τ' ἂν ὅσον οὔπω γενησόμενον· εἰ δὲ χρόνιος, ἐκ πολλοῦ μὲν στοχάσαιτο ἂν, προσιόντος δ' ἐγγυτέρω σαφέστερον ἔτι προγινώσκοι. καθόλου γὰρ χρὴ τοῦτο γινώσκειν, ὡς εἰ μή τι σαφὲς ὀφθείη πέψεως γνώρισμα, [402] τὸ ἄχρι τοῦδε σύμπαν ἀρχὴ τοῦ νοσήματος ὑπάρχει. ὁπόσον οὖν ἔτι λείπεται τοῖς ἐνεστῶσι εἰς τὸ σαφὲς ἐκεῖνο τῆς πέψεως γνώρισμα, παρά τε τῆς τοῦ νοσήματος κινήσεως καὶ φύσεως, ὥρας τε καὶ χώρας καὶ ἡλικίας, καὶ κράσεως αὐτοῦ τοῦ κάμνοντος ἐξευρήσεις. εἰ μὲν γάρ τό τε νόσημα χρόνιον εἴη φύσει, καθάπερ ἀμφημερινὸς εἰ τύχοι, καὶ φαίνοιτο βραδέως ἐπὶ τοῦδε τοῦ κάμνοντος κινεῖσθαι καὶ οἷον τύφεσθαι καὶ καταπνίγεσθαι, καὶ ἡ ὥρα τοῦ ἔτους εἴη χειμὼν καὶ τὸ χωρίον ψυχρὸν, ἥ θ' ἡλικία

ipfa defuerint, praeterquam fi biliofus valde morbus extiterit. Quicunque igitur iis omnibus quae a nobis dicta funt faepius in aegrotis mentem diligenter adhibuerit, hunc nullum unquam latebit tempus, fed fi quidem acutum fuerit et dum praefens erit, exacte cognoscet et ftatim fubfequuturum praecognoscet; fi vero diuturnum, ex multo utique tempore conjicies, ac propius accedens manifeftius etiam praecognoscet. Nam in univerfum oportet cognoscere quod nifi manifeftum appareat indicium coctionis, totum illud tempus intermedium eft principium morbi. Quantum igitur adhuc praefentibus deficit ad manifeftum illud coctionis indicium et a morbi motu et natura et tempore anni et regione et aetate et temperie ipfius laborantis invenies. Nam fi morbus natura diuturnus extiterit, quemadmodum exempli gratia febris quotidiana, et videatur tarde in hoc aegrotante moveri, ac quodam modo fuccendi ac fuffocari, et tempus anni fuerit hiems et regio frigida, aetas-

Ed. Chart. VIII. [402.] Ed. Baſ. III. (401.)

καὶ ἡ φύσις τοῦ κάμνοντος ἐπὶ τὸ ψυχρότερον ῥέποι, πολλοῦ τοῦ μεταξὺ δεήσει χρόνου πρὸς τὴν τοῦ σαφοῦς σημείου γένεσιν, ὃν ἅπαντα τῆς ἀρχῆς ἀριθμητέον. ἔστω σοί γ᾽ οὖν χειμῶνος ἀρξάμενος ἀμφημερινὸς ἐν οὕτως ἔχοντι σώματι καθάπερ εἴρηται νῦν, ἅμα τοῖς ἀκριβῶς ἀπέπτοις καὶ ὑδατώδεσιν οὔροις, οὐ μόνον οὐκ ἂν τῆς ἑβδόμης ἡμέρας ἐντὸς, ἀλλ᾽ οὐδὲ τῆς τεσσαρεσκαιδεκάτης δύναιτό τις ἔχειν σαφὲς σημεῖον πέψεως. οὕτω δὲ προσαγορεύω τά τε τῶν ἀμυδρῶν μεταξὺ καὶ τὰ τῆς τελείας πέψεως. ἡ μὲν οὖν τελεία πέψις ἐστὶν, ὅταν ἐν τοῖς οὔροις ὑφίστηταί τι λευκόν τε καὶ λεῖον καὶ ὁμαλὸν καὶ συνεχές· ἡ δ᾽ ἀμυδρὰ πέψις, ὅταν ἐξ ὑδατώδους οὔρου μετρίως ὕπωχρον γένηται. καὶ μὲν δὴ καὶ εἰ θολερὸν γένοιτο καὶ μένοι τοιοῦτον, καὶ τοῦτο ἀσαφοῦς τέ ἐστιν καὶ ἀμυδρᾶς πέψεως γνώρισμα. καὶ τὸ πυῤῥόν τε καὶ λεπτὸν ἐκ ταὐτοῦ γένους ἐστίν. ἀλλ᾽ οὐδὲν τούτων τὴν ἀρχὴν πεπαῦσθαι δηλοῖ. σαφεστέρου γὰρ ἀεὶ τὰ τοιαῦτα δεῖται γνωρίσματος, ἤτοι νεφέλης λευκῆς ἢ ἐναιωρήματος ὁμαλοῦ

que atque natura laborantis ad frigidum declinaverit, multum interim tempus erit neceſſarium ad manifeſti ſigni generationem, quod totum tempus principio erit contribuendum. Sit igitur ita ut hiberno tempore incipiat febris quotidiana in corpore ita ſe habente, quemadmodum nunc diximus, una cum exquiſite crudis et aquoſis urinis, non modo neque intra ſeptimum, ſed neque etiam decimumquartum diem quispiam habere poſſet manifeſtum coctionis ſignum: ſic autem appello ea quae inter debilis ſunt et perfectae coctionis indicia. Perfecta igitur coctio eſt, quando in urinis ſubſederit aliquod album et laeve, aequale et continuum. Debilis autem coctio eſt, quando ex aquoſa mediocriter ſubpallida facta fuerit, et quidem ſi turbulenta apparuerit et talis permanſerit, haec quoque obſcurae et debilis coctionis eſt ſignum, et rufa etiam ac tenuis ex eodem genere eſt. Sed nihil horum jam principium eſſe finitum oſtendit; haec enim manifeſtius indicium ſemper expetunt, vel ſolam nebulam albam aut ſuſpenſum aequale continuum

τε καὶ συνεχοῦς καὶ λευκοῦ. καὶ μὲν δὴ καὶ ἡ ἐρυθρὰ νεφέλη καὶ ἡ ὑπόστασις ἡ τοιαύτη. καὶ χωρὶς ὑποστάσεως δὲ τὸ εὔχρουν οὖρον ἅμα τῷ συμμέτρῳ πάχει πεπαῖσθαι δηλοῖ τὴν ἀρχήν.

Κεφ. ιη'. Οὕτω δὲ κἀν τοῖς περιπνευμονικοῖς τε καὶ πλευριτικοῖς πάθεσι τὰ μὲν ἰδίως ὀνομαζόμενα πτύελα ταῖς ἐν τοῖς οὔροις ὑποστάσεσιν ἔοικε, τὸ δὲ μηδ' ὅλως ἀποπτύειν μηδὲν, ἀλλὰ βήττειν μόνον ξηρῶς, οἷόν περ τὸ ἐν τοῖς οὔροις ἐστὶν ἄπεπτον ἐσχάτως, ὅπερ ὑδατῶδες καλοῦμεν. εἰ δὲ ἐκ τοῦ μηδ' ὅλως πτύειν εἰς τὸ πτύειν μὲν, ἀλλ' ὑγρά τε καὶ τελέως ἄπεπτα μετασταίη, δῆλον ὡς ἀμυδρά τε καὶ ἀσαφὴς αὐτῶν παντάπασιν ἡ τοιαύτη μεταβολὴ καὶ οὔπω πέπαυται τοῦ νοσήματος ὁ πρῶτος καιρὸς, ὃν ἀρχὴν ἔφαμεν ὀνομάζεσθαι. πότ' οὖν αὕτη μὲν παύσεται, μεταστήσεται δὲ τελέως εἰς τὴν ἐπίδοσιν ἡ νόσος; ὅταν ἄρξηται πτύειν ὀλίγα πέπονα, τὸ δ' ἀπὸ τούτου σύμπαν ἄχρι τῆς ἀκμῆς ἀεὶ καὶ μᾶλλον αὐτοῦ πλείω καὶ βελτίω καὶ εὐπετέστερον ἀποπτύοντος. ὅταν δὲ

atque album. Et quidem et rubens nebula et fedimentum tale et fine fedimento bene colorata urina et craffitie mediocris principium finiffe oftendit.

Cap. XVIII. Sic peripneumonicis et pleuriticis affectibus ea quae proprie fputa vocantur urinarum fedimentis affimilantur, nihil vero omnino expuere, fed tuffim tantummodo ficcam habere tale quiddam eft, quale in urinis extreme crudum, quod aquofum nominamus. Quod fi ab eo quod eft nihil expuere ad expuere, verum liquida et omnino cruda fiat transmutatio, liquet quod debilis et obfcura omnino eft hujusmodi permutatio et nondum eft finitum primum morbi tempus, quod principium diximus nominari. Quando igitur hoc quidem ceffabit atque integre ad augmentum morbus convertetur? quando coeperit pauca expuere cocta, reliquo vero omni tempore abhinc usque ad ftatum femper eo plura ac meliora atque facilius expuente. Quum vero exquifite cocta fuerint et multa et fine difficultate educta, tunc ftatus eft tempus. Quando vero

ἀκριβῶς ᾖ πέπονά τε καὶ πολλὰ καὶ μὴ δυσχερῶς ἀναπτυόμενα, τῆς ἀκμῆς ὁ καιρός. ὅταν δὲ ὁμοίως μὲν ἀκριβῶς πέπονά τε καὶ ἀλύπως ἀναγόμενα, μειωθῇ δὲ τὸ πλῆθος ἢ ἡ ὀδύνη μηκέτ᾽ ᾖ, πεπαῦσθαι χρὴ νομίζειν τὴν ἀκμὴν, παραλαμβάνει γὰρ ἡ παρακμή. ὑποθώμεθα οὖν τινα πάλιν ἄῤῥωστον ὑπὸ πλευρίτιδός τινος ἐχόμενον, οὔτ᾽ ἀναπτύοντά τι καὶ οὐροῦντα λεπτὰ μὲν, ἀλλ᾽ εὔχροα. περὶ δὲ τὴν ἑνδεκάτην ἡμέραν ἀρχέσθω μὲν πτύειν, ὑγρὰ δὲ καὶ ἄπεπτα. τοῦτον ὅτι μὲν οὐκ ἄν τις φαίη πρὸ τῆς ἑνδεκάτης ἡμέρας ἐν ἄλλῳ τινὶ τοῦ νοσήματος εἶναι καιρῷ [403] πλὴν ἐν ἀρχῇ, παντί που δῆλον. ἐπὶ δὲ τῆς ἑνδεκάτης ἴσως μὲν ἄν τῳ δόξειε μεταπεπτωκέναι σαφῶς, ἀλλ᾽ οὐχ ὧδε ἔχει. ἡ γὰρ ἑνδεκάτη τῆς τεσσαρεσκαιδεκάτης ἐπίδηλος οὖσα τὴν τοῦ δευτέρου καιροῦ τῆς νόσου σαφῆ καὶ βεβαίαν ἀρχὴν ἐκείνην ἕξειν προδηλοῖ. παραφυλάξοις γ᾽ οὖν αὐτὴν τὴν τεσσαρεσκαιδεκάτην, εἰ τοῖς ἑνδεκάτης προδεδηλωμένοις ὁμολογεῖ. καὶ μετὰ ταύτην αὖθις τὴν ἑπτακαιδεκάτην, ἐπεὶ καὶ ἥδε τῆς εἰκοστῆς ἐστιν ἐπίδηλος, ὡς ἐν τοῖς περὶ κρισίμων εἴρηται. φέρε δὴ κατὰ ταύτην αὐτὸν

similiter quidem exquisite cocta et sine molestia educta, eorum autem multitudo minuta fuerit, dolorque non amplius affuerit, tunc statum cessasse judicare oportet, subsequitur enim declinatio. Supponamus igitur aegrotum aliquem pleuritide correptum neque expuentem aliquid et urinas mingentem tenues quidem, sed bene coloratas, circa vero diem undecimum expuere quaedam incipiat, verum liquida et cruda; hunc quidem quod nemo diceret ante diem undecimum esse in alio morbi tempore quam in principio omnibus est manifestum. In undecimo vero fortassis videretur cuiquam manifeste transgressus, verum non ita se habet, nam dies undecimus quartidecimi index existens secundi temporis morbi manifestum ac certum principium illum habitaturum praemonstrat. Observabis igitur diem decimumquartum, si praeostensis ab undecimo consentiat, et post hunc rursus decimum septimum, quoniam et hic vigesimi est index, quemadmodum in libris de diebus decretoriis diximus. Age jam hoc die supponamus expuere pauca quidem,

πτύσαι μικρὰ μὲν, πέπονα δὲ, κατὰ τὴν εἰκοστὴν τούτῳ δυνατόν ἐστίν τινα γενέσθαι κρίσιν, οὐ μὴν τελείαν γε διὰ τὴν τοιαύτην αἰτίαν, ὅτι οὐ τὴν αὐτὴν ἔχουσι δύναμιν, οὔτ᾽ αὖ τῶν ἐπιδήλων αἱ πρῶται ταῖς ὑστέραις, οὔθ᾽ αἱ πρῶται κρίσιμοι ταῖς ἐξ ὑστέρου κρισίμοις. ἀλλ᾽ ἰσχυρότεραι μὲν αἱ πρῶται. χρονίζοντος δ᾽ ἤδη τοῦ νοσήματος ἀσθενέστεραι γίνονται. χρὴ τοίνυν ἐπὶ προήκοντι τῷ νοσήματι, καὶ μάλισθ᾽ ὅταν ἱκανῶς ἄπεπτον ᾖ, μεγάλην γίνεσθαι μεταβολὴν, ἵν᾽ ἀσφαλὴς ἐλπισθῇ κρίσις. μεγάλη δέ τίς ἐστι μεταβολὴ, πέπονα τελέως οὐρῆσαί τε καὶ πτύσαι. τοιαῦτα δὲ οὐχ ὑπέκειτο τὰ κατὰ τὴν ἑπτακαιδεκάτην. ὥστε οὐκ ἐνδέχεται κατὰ τὴν εἰκοστὴν ἡμέραν τὸν τοιοῦτον ἄῤῥωστον ἀπαλλαγῆναι τοῦ νοσήματος, ἢ καὶ κριθῆναι τελέως· ἀλλ᾽ ἀρκεῖ μεταβολήν τινα ἀξιόλογον γενέσθαι. δυνήσεται γὰρ ἔν τινι τῶν ἐφεξῆς κρισίμων ἡ τελεία λύσις ἀπαντῆσαι. ἆρ᾽ οὖν ὑπόθεσις μόνον ἐστὶν ὁ λόγος, ἢ καὶ τοιοῦτος ὦπται ἄῤῥωστος; ἐμοὶ μὲν δοκεῖ ταῦτ᾽ ἔχειν ἅπαντα τὰ νῦν εἰρημένα ὁ ἐν τῷ τρίτῳ τῶν ἐπιδημιῶν ὑφ᾽ Ἱπποκράτους γεγραμμένος ὄγδοος, ἀπὸ τῆς

fed cocta, huic die vigefimo poffibile eft aliquam advenire crifim, non tamen perfectam ob talem caufam, quoniam non eandem vim habent, neque inter indices primi cum pofterioribus, neque primi decretorii cum ultimis decretoriis, at valentiores quidem primi funt, in longum autem jam protracto morbo imbecilliores redduntur. Oportet igitur procedente morbo et tum praecipue, quando admodum crudus extiterit magnam fieri tansmutationem, ut fecura crifis fperetur. Magna autem eft permutatio, quum perfecte cocta minguntur atque expuuntur, talia vero non fupponebantur in die decimofeptimo affuiffe, quare nec fieri poteft ut hic aegrotus in die vigefimo liberetur, ut perfectam crifim habeat, fed mutationem aliquam effatu dignam fieri fat eft, poterit enim in aliquo ex fequentibus decretoriis diebus integra folutio advenire. Nunquid igitur folum fuppofitio quaedam eft hic fermo, vel eft vifus etiam talis aegrotus? Mihi quidem habere haec omnia quae nunc diximus ille videtur de quo fcribit Hippocrates in tertio epidemio-

λοιμώδους καταστάσεως. ἔχει δ' ἡ σύμπασα ῥῆσις ὧδε· ἐν Ἀβδήροις Ἀναξίων, ὃς κατέκειτο παρὰ τὰς Θρηϊκίας πύλας· πυρετὸς ὀξὺς ἔλαβε. πλευροῦ δεξιοῦ ὀδύνη ξυνεχής. βὴξ ξηρά. οὐδὲν ἔπτυε τὰς πρώτας, διψώδης, ἄγρυπνος. οὖρα δ' εὔχροα, λεπτὰ καὶ πολλὰ, ἕκτη παράληρος. πρὸς δὲ τὰ θερμάσματα οὐδὲν ἐνεδίδοτο. ἑβδόμη ἐπίπονος. ὅ τε γὰρ πυρετὸς ἐπέτεινεν, οἵ τε πόνοι οὐ ξυνεδίδοσαν· αἵ τε βῆχες ἠνώχλεον, δύσπνους τε ἦν. ὀγδόῃ ἀγκῶνα ἔτεμον. ἐῤῥύη πολὺ οἷον ἔδει. ξυνέδωκαν οἱ πόνοι. αἱ μέντοι βῆχες αἱ ξηραὶ παρείποντο. ἑνδεκάτῃ ξυνέδωκαν οἱ πυρετοὶ, σμικρὰ περὶ κεφαλὴν ἵδρωσε. βῆχες καὶ τὰ ἀπὸ πνεύμονος ὑγρότερα. ἑπτακαιδεκάτῃ ἤρξατο σμικρὰ πέπονα πτύειν. ἐκουφίσθη. εἰκοστῇ ἵδρωσεν, ἀπύρετος ἐγένετο. μετὰ δὲ κρίσιν ἐκουφίσθη. διψώδης δὲ ἦν, καὶ τῶν ἀπὸ πνεύμονος οὐ χρη(402)σταὶ αἱ καθάρσιες. ἑβδόμῃ καὶ εἰκοστῇ ὁ πυρετὸς ὑπέστρεψεν. ἔβηξεν. ἀνήγαγε πέπονα πολλά. οὔρων ὑπόστασις πολλὴ

rum, ille, inquam, aegrotus a peſtilenti conſtitutione ordine octavus. Ita autem omnis ſermo ſe habet: *In Abderis erat Anaxion, qui habitabat circa portas Thracias. Febris acuta invaſit hominem, lateris dextri dolor continuus aderat; tuſſis ſicca, neque expuebat primis diebus; ſitibundus erat et pervigil, urinae bene coloratae, tenues et multae. Sexto die deliravit, a fomentis nulla ſiebat doloris remiſſio. Septimo die gravius ſe habuit, nam et febris intendebatur, neque dolores minuebantur et tuſſes infeſtabant, diſſicilemque habebat anhelitum. Octavo die venam in cubito ſecui, ſanguis multus effluxit, qualem oportuit, dolores remiſſi ſunt, tuſſes tamen ſiccae inſequebantur. Undecimo die febres minores factae ſunt, parum circa caput ſudavit, tuſſes et quae exibant a pulmone, humidiora erant. Decimoſeptimo coepit quaedam pauca concocta expuere, levatus eſt. Vigeſimo ſudavit, febre liberatus eſt, poſt criſim levatus eſt, ſiticuloſus vero erat, neque a pulmone bonae erant expurgationes. Septimo et vigeſimo febris rediit et tuſſiit, eduxit concocta multa, urinis ſedimentum multum et album, ſine ſiti reſtitit, bene*

καὶ λευκή. ἄδιψος ἐγένετο. εὔπνους. τετάρτῃ καὶ τριακοστῇ ἵδρωσε διόλου, ἀπύρετος ἐκρίθη πάντῃ. τούτῳ τἄλλα, καθάπερ ὑπεθέμεθα ἡμεῖς, φαίνεται γεγονότα καὶ τῶν οὔρων, εἰ καὶ μὴ πολλάκις, ὡς εἴωθεν ἐπὶ τῶν ἄλλων ἀῤῥώστων, ἀλλὰ δίς γ' οὖν μνημονεύσας ἐν ἀρχῇ μὲν ὡς λεπτῶν, ἐπὶ δὲ τῆς ἑβδόμης καὶ εἰκοστῆς ἡμέρας προσγράψας οὔροις ὑπόστασις πολλὴ λευκὴ δῆλός ἐστιν ἀκριβῶς πέπονα τότε πρῶτον αὐτὸν οὐρῆσαι λέγων. διὰ τοῦτ' οὖν, ὡς καὶ πρόσθεν εἶπον, ἐπὶ μὲν τῆς εἰκοστῆς ἐκρίθη τινὰ ἐλλιπῆ κρίσιν, διότι κατὰ τὴν ἑπτακαιδεκάτην ἤρξατο μικρὰ πέπονα πτύειν. οὐ μὴν τελεία γε ἡ κρίσις ἐγένετο, διότι μηδὲ πέψις ἀκριβὴς οὔρων, ἢ πτυέλων· [404] διὰ τοῦτο οὖν ἐρεῖ· διψώδης δὲ ἦν καὶ τῶν ἀπὸ πνεύμονος οὐ χρησταὶ αἱ καθάρσιες. ἐνταῦθα οὖν μοι πάλιν ἀναμνησθεὶς ὡς ὀρθῶς εἴρηται, τὰ ἐγκαταλιμπανόμενα ἐν τῇσι νούσοισι μετὰ κρίσιν ὑποστροφὰς εἴωθε ποιεῖν. τῆς ἑβδόμης καὶ εἰκοστῆς ἡμέρας τὴν διήγησιν ἀνάγνωθι, τόνδε τὸν τρόπον ἔχουσαν· ἑβδόμῃ καὶ εἰκοστῇ ὁ πυρετὸς

ſpirans factus eſt. Quarto et trigeſimo die ſudavit per totum corpus, ſine febre reſtitit, atque ex toto iudicatus eſt. Huic ſane et alia, quemadmodum ſuppoſuimus, videntur adveniſſe. Et de urinis quamvis non pluries, quemadmodum conſuevit in aliis aegrotis, ſed bis ſaltem mentionem faciens, in principio quod tenues eſſent, in ſeptimo et vigeſimo die ſubjungens, urinis ſedimentum multum et album palam facit, tum primum exquiſite coctas urinas minxiſſe, propterea igitur, ut et antea dixi, in die vigeſimo criſim quandam habuit, ſed imperfectam quidem, quoniam in decimo ſeptimo coepit quaedam cocta expuere, non tamen integra criſis ſubſecuta eſt, quoniam neque exquiſita coctio urinarum aut ſputorum; propterea igitur inquit, *erat autem ſiticuloſus, atque ex pulmone non erant bonae expurgationes.* Hic igitur nobis ad memoriam revocans, quod recte dictum eſt, *Quae relinquuntur in morbis poſt criſim, recidivas facere conſueverunt.* De ſeptimo ac vigeſimo die lege enarrationem, quae ita ſe habet: *Septimo et*

ὑπέστρεψεν, ἔβηξεν. ἀνήγαγε πέπονα πολλά. οὔροις ὑπόστασις πολλὴ λευκή. ἄδιψος ἐγένετο. προειπὼν γὰρ ὡς ἐν τῷ μεταξὺ τῶν ταῖς μετὰ τὴν εἰκοστὴν ἥ τε δίψα παρέμενεν αὐτῷ καὶ τῶν ἀπὸ πνεύμονος οὐ χρησταὶ αἱ καθάρσιες ἦσαν, ἐφεξῆς φησι ὡς ἐπὶ τῆς ἑβδόμης καὶ εἰκοστῆς ἡμέρας ὑποστρέψας ἐπύρεξεν, ἄδιψος ἐγένετο, καὶ χρηστὰ πτύειν ἤρξατο, κἀν τοῖς οὔροις ὑπόστασιν ἔσχε πολλήν τε καὶ λευκήν. τοῦτ᾽ οὖν ἐστιν αὐτῷ τὸ πρόσθεν ῥηθὲν, ὡς ἐν τοῖς πυρετώδεσι νοσήμασιν ὅμοιόν τι συμπίπτει τοῖς κατὰ τὰς ἐκπυϊσκομένας φλεγμονάς. ὡς γὰρ ἐκεῖ κατὰ τὰς γενέσιας τοῦ πύου οἵ τε πόνοι καὶ οἱ πυρετοὶ μάλιστα συμβαίνουσιν, οὕτως κἀνταῦθα πεττομένων τῶν τοὺς πυρετοὺς ἐργαζομένων χυμῶν. οὕτως γ᾽ οὖν κἀπὶ τοῦ Ἀναξίωνος, ὅσον ἐκ τῆς προτέρας κρίσεως τῆς ἐλλιποῦς ὑπελείπετο ἂν, τοῦτ᾽ αὖθις ζέσαν ἐν τῷ τῆς πέψεως καιρῷ τὸν πρὸ τῆς κρίσεως ἐγέννησε πυρετόν. ὅτι δὲ τῆς ἐμφύτου θερμασίας ἐργαζομένης αὐτὸ καὶ οὐχὶ τῆς πυρεκτικῆς, οὐχ ἥκιστα καὶ ἡ τῶν ἡμερῶν ἐνεδείξατο φύσις. πρώτη μὲν γὰρ ἡ ἑνδεκάτη χρηστῆς μὲν, ἀλλ᾽ ἀμυδρᾶς

vigefimo rediit febris, tuffiit, eduxit concocta multa, urinis multum fedimentum album, fine fiti reftitit. Nam quum antea dixiffet quod in tempore intermedio poft vigefimum diem et fitis remanfit et a pulmone non erant bonae expurgationes, deinceps inquit quod in feptimo et vigefimo die facta recidiva febricitavit, fine fiti autem reftitit et bona expuere coepit, in urinis fubfidentiam habebat multam atque albam. Hoc igitur eft quod prius dicebatur, quod videlicet in morbis febrilibus tale quid accidit, quale in iis quae fuppurant inflammationibus. Sicuti enim ibi, quum generatur pus et dolores et febres praecipue contingunt, ita et hic dum concoquuntur humores qui febrem inducunt. Sic igitur et in Anaxione, quantum ex prima illa crifi defecta relictum erat, hoc rurfus effervescens in coctionis tempore, illam quae antecellit fecundam crifim febrem generavit. Hoc vero a naturali calore, non autem febrili proveniffe, dierum natura non minime indicabat; primum enim undecimus bonam, fed

ὑπήρξατο πέψεως. εἶθ' ἡ ἑπτακαιδεκάτη σαφέστερον ὑπέδειξε σημεῖον πέψεως. εἶθ' ἡ εἰκοστὴ κρίσιν ἐλλιπῆ. μετὰ δὲ ταύτην ἡ ἑβδόμη καὶ εἰκοστὴ τελείας πέψεως ἤνεγκε γνώρισμα. διὰ τοῦτο οὖν ἐπιφέρων ἐρεῖ· τετάρτῃ καὶ τριακοστῇ ἵδρωσε δι' ὅλου, ἀπύρετος ἐγένετο, ἐκρίθη πάντῃ. δῆλον γὰρ ὡς ἐν ταῖς ἑπτὰ ταῖς μετὰ τὴν ἑβδόμην καὶ εἰκοστὴν ἐπέφθη τε ἅμα καὶ ἐξεκρίθη σύμπαντα τὰ τοῦ νοσήματος αἴτια, διὰ μὲν τῶν οὔρων τὰ τοὺς πυρετοὺς ἐργαζόμενα, διὰ δὲ τῶν πτυσμάτων τὰ κατὰ τὸν θώρακα. μεμνῆσθαι δὲ χρὴ τοῦδε τοῦ λόγου πρός τε τὰ παρόντα καὶ τὰ μέλλοντα λεχθήσεσθαι, καὶ τὰ τρία ταῦτα ἡγεῖσθαι ἀλλήλων διαφέροντα, τήν τε ἀμυδρὰν πέψιν καὶ τὴν σαφῆ καὶ τὴν τελείαν. ἀμυδρὰ μὲν γὰρ κατὰ τὴν ια', σαφὴς δὲ κατὰ τὴν ιζ, τελεία δὲ κατὰ τὴν ζ καὶ εἰκοστὴν ἐγένετο, μεθ' ἣν ἐν ἑπτὰ ταῖς ἁπάσαις ἡμέραις ἡ νόσος ἐλύθη, καὶ οὕτως ξύμπας ὁ καιρὸς ἀκμὴ ἐγένετο, καθάπερ ἐν τοῖς ἐφεξῆς ἔτι σαφέστερον ἐπιδειχθήσεται. τοῦτο οὖν τὸ πτύελον, ὃ κατὰ τὴν ἑβδόμην καὶ εἰκοστὴν ἐφάνη, εἴπερ ἐφάνη κατὰ τὰς πρώτας ἡμέρας τοῦ νοσήματος μετὰ

obſcuram incepit coctionem; deinde decimusſeptimus ſignum coctionis manifeſtius oſtendit; deinde vigeſimus criſim imperfectam, poſt hunc vero ſeptimus et vigeſimus integrae coctionis indicia dedit. Propterea ſubinſerens inquit: *Quarto et trigeſimo die ſudavit per totum, ſine febre reſtitit, atque ex toto judicatus eſt.* Liquet enim quod in trigeſimo quarto die, qui ſeptimus eſt poſt ſeptimum et vigeſimum, concoctae ſunt ſimul et excretae omnes morbi cauſae, per ſputa vero quae in thorace. Oportet autem hujus meminiſſe ſermonis et ob praeſentia et ob illa quae dicenda ſunt, et haec tria invicem differre arbitrandum et obſcuram coctionem et manifeſtam atque perfectam; obſcura enim undecimo, manifeſta vero decimoſeptimo, perſecta vero vigeſimoſeptimo facta eſt; poſt quem in omnibus ſeptem diebus morbus ſolutus eſt, et ſic totum hoc tempus ſtatus, quemadmodum et in ſequentibus manifeſtius oſtendemus. Hoc igitur ſputum, quod ſeptimo et vigeſimo die apparuit, ſi quidem in primis morbi diebus apparuiſſet cum urinis bonum ſedi-

τῶν τὴν χρηστὴν ὑπόστασιν ἐχόντων οὔρων, οὐκ ἐνεδέχετο μὴ οὐ κατὰ τὴν πρώτην ἑβδομάδα κριθῆναι τὸ νόσημα. πρώτας δ' ἡμέρας δηλονότι τοῦ νοσήματος εἶπον ἃς ἡ πρώτη τετρὰς διορίζει.

Κεφ. ιθ'. Καὶ γὰρ καὶ τὴν ἀρχὴν τοῦ νοσήματος κατὰ τὸ δεύτερον σημαινόμενον ἐν τούτῳ περιγράφεσθαι τῷ καιρῷ πρόσθεν ἔλεγον. καὶ τοῦτ' ἔστι τὸ ἐν τοῖς πλευριτικοῖς, πτύελον αὐτίκα ἢν ἐπιφαίνηται ἀρχομένου μὲν βραχύνει. τριχῶς γὰρ τῆς ἀρχῆς λεγομένης, καθ' ἕνα μὲν τρόπον τῆς πρώτης εἰσβολῆς τῆς ἁπλῆς, ἢ τῆς ἀπλατοῦς, [405] καθ' ἕτερον δὲ τῆς εἰς τὴν τρίτην ἡμέραν ἐκτεταμένης, ἣν μόνην ὁ Θεσσαλὸς ὀνειρώττειν μοι δοκεῖ, καὶ πρὸς τούτοις ἔτι τῆς ὡς μέρος ὅλου τοῦ νοσήματος, ἣν τὰ τῆς σαφοῦς πέψεως ὁρίζει σημεῖα. καὶ περὶ πασῶν ὁ Ἱπποκράτης ποιεῖται τὸν λόγον, ὡς ἐκ τῶν προγεγραμμένων ἐστὶν δῆλον, ἔν τε τοῖς ἐφεξῆς ὑπομνήμασιν ἐναργέστερον ἐπιδειχθήσεται. νυνὶ δὲ ὅτι τὴν κατὰ τὸ δεύτερον σημαινόμενον ἀρχὴν ἐδήλωσεν, ὁπότε τοῖς πλευριτικοῖς τὸ κατὰ τὴν ἀρχὴν ἐπιφαινόμενον πτύελον βρα-

mentum habentibus, fieri non potuiſſet quin in prima ſeptimana morbus judicaretur. Primos voco dies morbi quos primus quaternarius coërcet.

Cap. XIX. Et primum igitur morbi principium juxta ſecundum ſignificatum in hoc circumſcribi tempore prius dicebam, et hoc eſt quod inquit: *In pleuriticis ſputum ſi ſtatim appareat, incipiente morbo ipſum breviorem facit.* Nam quum principium triplex dicatur, ſecundum unum quidem modum de primo inſultu, qui ſimplex eſt et latitudine caret, ſecundum alterum vero de eo, quod ad tertium extenditur diem, quod ſolum mihi ſomniare videtur Theſſalus, et praeter haec etiam id, quod tanquam pars accipitur totius morbi, quod manifeſtae coctionis ſigna definiunt, de omnibus his Hippocrates verba facit, quemadmodum ex iis quae antea ſcripſimus liquet et in ſequentibus commentariis manifeſtius oſtendetur. Quod vero juxta ſecundum ſignificatum principium oſtenderit, quum dixit id ſputum, quod in pleuriticis appareat in principio breviorem facere, neminem latere ar-

χύνειν ἔφησε, πρόδηλον, οἶμαι, γέγονε. περὶ μὲν δὴ τούτου κἀν τοῖς ἐφεξῆς ἤδη διαιρήσομαι. ὅπως δ' ἄν τις ἢ παροῦσαν ἤδη καὶ συμπεπληρωμένην τὴν ὡς μέρος ὅλου τοῦ νοσήματος ἀρχὴν διαγινώσκειν, ἢ μέλλουσαν ἔτι συμπληροῦσθαι προγινώσκειν δύναιτο, σαφῶς μοι δοκῶ δεδεῖχθαι. τῆς μὲν γὰρ συμπεπληρωμένης βέβαιον σημεῖον ἡ σαφὴς πέψις ἐστὶ, τῆς μελλούσης δὲ ἥ τε τοῦ νοσήματος αὐτοῦ φύσις ἥ θ' ὥρα τοῦ ἔτους, ἥ θ' ἡλικία τοῦ κάμνοντος, ἐξ ἐπιμέτρου δὲ καὶ τὸ χωρίον ἐν ᾧ νοσεῖ, καὶ ὁ τρόπος τῆς προγεγενημένης διαίτης, ὑγιαίνοντος ἔτι τοῦ κάμνοντος. εἰδικώτερα δὲ ἤδη γνωρίσματα τῆς μελλούσης ἔσεσθαι τελευτῆς τῷ πρώτῳ καιρῷ τῆς νόσου τὰ τῆς πέψεώς ἐστι σημεῖα. καὶ ὡς χρὴ ταῦτα προγινώσκειν ὁπηνίκα μάλιστα γενήσεται, ῥηθήσεται μὲν ἐπιμελέστερον ἔτι καὶ διὰ τῶν ἑξῆς. εἰρήσεται δὲ καὶ νῦν, ὡς ἐπισκέπτεσθαι χρὴ πόσον ἀπολείπεται τὰ παρόντα τῆς ἀπεψίας σημεῖα τῶν ἐσομένων ἐν τῇ σαφεῖ πέψει, τίς τε τοῦ νοσήματος ὁ τρόπος ἐστὶ τῆς κινήσεως, τοῦτ' ἔστι εἴτ' ὀξέως, εἴτε ἀργῶς καὶ οἷον τυφόμενον κινοῖτο. χρησιμώτατον δ' εἰς

bitror, fed hoc etiam in fequentibus diftinguemus. Quo pacto vero quispiam aut jam praefens atque perfectum id, quod tanquam totius pars morbi principium accipitur, cognoscere queat, aut jam finiturum praecognoscere, mihi jam videor demonftraffe. Nam jam perfecti principii manifeftum et firmum eft fignum coctio manifefta, finituri autem et ipfius morbi natura et tempus anni et aetas laborantis, praeterea autem et regio in qua aegrotat, et modus ejus qui antecefferit victus, quum nondum morbo correptus effet. Specialiora vero indicia futuri finis primo morbi tempore coctionis indicia funt. Et quo pacto haec praecognoscere oporteat, quando maxime futura fint, dicetur quidem diligentius et in iis quae fequuntur, dicetur autem et nunc quod confiderare oportet, quantum diftant praesentia cruditatis figna ab iis quae aderunt in manifefta coctione, et quisnam fit in morbo motus, hoc eft utrum acute aut tarde ac veluti fuccenfus moveatur. Utiliffimum vero

ταῦτα, μᾶλλον δὲ καὶ ἀναγκαιότατόν ἐστιν ἀκριβῶς ἐπίστασθαι διαγινώσκειν, ὁπόσον ἀλλήλων ἀπολείπεταί τε καὶ πλεονεκτεῖ τά τε τῆς ἀπεψίας καὶ τὰ τῆς πέψεως σημεῖα. καὶ γὰρ καὶ τὰ τῆς ἀπεψίας οὐ σμικρὰν ἔχει πρὸς ἄλληλα τὴν διαφορὰν, καὶ τὰ τῆς πέψεως ἔτι δὴ μᾶλλον. εἰ μὲν δὴ τὰ τῆς παντελοῦς ἀπεψίας γνωρίσματα κατὰ τὴν πρώτην τετράδα παραμένει, μακρὸς ὁ τῆς ἀρχῆς ἔσται τῷ τοιούτῳ νοσήματι καιρός· εἰ δέ γε τὰ τῆς ἀμυδρᾶς μετρίως ἐν αὐτῇ φανείη, μακρὸς μέν ἐστι καὶ οὗτος, ἀλλ' οὐχ ὁμοίως τῷ πρόσθεν. εἰ δὲ βραχέα τὰ τῆς ἀπεψίας εἴη σημεῖα, καὶ τὸ μέλλον ἔσται τῆς ἀρχῆς ὀλίγον. ἐπὶ δὲ τούτοις ἔτι κἀκεῖνα χρὴ προστιθέναι τὰ πρὸς Ἱπποκράτους εἰρημένα χρόνου πλείονος ὑπάρχειν ἐνδεικτικὰ, περὶ ὧν ἐπὶ πλέον ἐν τοῖς ἐφεξῆς ὁ λόγος ἡμῖν ἔσται. νυνὶ δὲ παραδείγματος ἕνεκα τοῦδε τοῦ ἀφορισμοῦ μνημονεύσωμεν. οἱ ψυχροὶ ἱδρῶτες σὺν μὲν ὀξεῖ πυρετῷ θάνατον, σὺν πραϋτέρῳ δὲ μῆκος νόσου σημαίνουσι. ἐὰν γὰρ ἐν ταῖς πρώταις ἡμέραις, ἔτι τῶν τῆς ἀπεψίας σημείων ἐπικρατούντων, ἐπιφαίνηταί τινα τοιαῦτα, προσθήσει τῷ χρόνῳ τῆς

ad haec, imo vero fummopere neceffarium eft exquifite fcire dignoscere quantum invicem fuperant ac fuperantur et coctionis et cruditatis figna, nam et cruditatis figna non parvam inter fe habent differentiam, adhuc autem magis et coctionis. Si quidem integrae cruditatis indicia in primis quatuor diebus permaneant, longum erit huic morbo principii tempus, fi vero obfcurae mediocriter in ipfo apparuerint, longum quidem et hoc erit, fed non priori fimiliter; fi autem parva fuerint cruditatis figna, futurum etiam principii tempus ftatim erit. His addenda funt et illa quae ab Hippocrate dicta funt longioris temporis effe fignificativa, de quibus in fequentibus nobis plenior erit fermo. Nunc ergo gratia exempli hujus aphorismi meminerimus: *Frigidi fudores cum acuta quidem febre mortem fignificant, cum mitiori vero morbi diuturnitatem.* Nam fi in primis diebus praevalentibus adhuc cruditatis fignis aliqua talia figna apparuerint, principii tempori addent, et liquet etiam

ἀρχῆς. καὶ δηλονότι τὰ τῆς ἀναβάσεως ἔσται μακρότερα. καὶ ἡ ἀκμὴ κατὰ ταὐτὰ μετὰ χρόνον ἀπαντήσεται πάμπολυν. οὕτω δὲ καὶ ἡ λύσις τοῦ νοσήματος.

Κεφ. κ΄. Ὥστ᾽ οὐ μόνου τοῦ πρώτου καιροῦ κατὰ τὰς πρώτας ἡμέρας ἕξεις τινὰ τεχνικὸν στοχα(403)σμὸν, ἀλλὰ καὶ τῶν ἐφεξῆς. ἀκριβέστερον δὲ ἀεὶ καὶ μᾶλλον αὐτὸν προγνώσῃ, ταῖς ἐφεξῆς τετράσι προσέχων τὸν νοῦν. ἡ γὰρ ἐπιδείξασα πρώτη τὸ τῆς πέψεως σημεῖον ἀμυδρὸν αὐτή σοι σαφέστερον ἐνδείξεται τὸν ὑπόλοιπον χρόνον τῆς ἀρχῆς, εἰδότι γε τοῦτ᾽ ἤδη βεβαίως, ὅτι σύμπας ὁ χρόνος, ὁ μήπω μηδὲν ἔχων σαφὲς σημεῖον πέψεως, ὁ πρῶτός ἐστι τῶν τεσσάρων καιρῶν τοῦ [406] νοσήματος, ὃν ἀρχὴν ὀνομάζομεν, εἰ γὰρ πρὸς τοῦτο ἀποβλέπεις, οὐδὲν ἔτι χαλεπὸν ἐξευρεῖν, εἰ ἐν τοσαῖσδε ταῖς πρώταις ἡμέραις ἀπεχώρησε τῶν κατὰ τὴν πρώτην ἡμέραν φανέντων τοσῶνδε, πόσαις ἔτι τὸ ὑπόλοιπον ἄχρι τῆς σαφοῦς πέψεως ἀνύσει· ἐκεῖθεν δ᾽ ἄρχεται μὲν ἡ ἀνάβασις, ἤτοι δὲ ἐλλιπής τις ἐπιφανεῖται κατὰ ταύτην ἡ κρίσις, ὡς ἐπὶ τοῦ πλευριτικοῦ παρεθέμην ὀλίγον ἔμπροσθεν,

quod tempus incrementi longius erit, atque eadem ratione ftatus poft multum tempus occurret, fic autem et morbi folutio.

Cap. XX. Quare non folum primi temporis in primis diebus aliquam habebis artificiofam conjecturam, fed etiam fequentium. Exquifitius autem et magis ipfa praecognosces, fi fuccedentibus quartanariis mentem adhibueris. Nam primus qui obfcurum coctionis fignum oftendit, ipfe manifeftius reliquum principii tempus indicabit: quum jam hoc tibi fine ulla dubitatione conftabit, quod univerfum illud tempus, in quo nullum eft manifeftum coctionis fignum, primum eft ex quatuor morbi temporibus, quod nos principium nominamus. Nam fi ad hoc refpexeris, nihil erit amplius difficile invenire, fi in tot primis diebus ab iis quae primo die apparuerunt tot jam praeterierint, quot adhuc erunt reliqua tranfigenda usque ad manifeftam coctionem. Inde autem incrementum incipit, fed in hoc vel aliqua defecta crifis apparebit, quemadmodum paulo antea in pleu-

ἢ εἴπερ ἀναμείνει τὸ νόσημα τὴν τελείαν ἀκμὴν, οὕτω καὶ ἡ κρίσις ἐστὶ τελεία. πολλάκις δὲ οὐδὲ γίνεται ἡ κρίσις οὐδεμία μετὰ τὸν τῆς ἀκμῆς καιρὸν, ἀλλὰ κατὰ βραχὺ λύεται τὸ νόσημα, χρόνῳ πλείονι πεττόμενον. ὅπως δὲ χρὴ πρὶν γενέσθαι ταῦτα προγινώσκειν ἐσόμενα, διὰ τῶν ἐφεξῆς ὑπομνημάτων εἰρήσεται. δείξω γὰρ ἐν αὐτοῖς σαφῶς πηνίκα μὲν ἐν ταῖς ἀναβάσεσι, πηνίκα δὲ ἐν ταῖς ἀκμαῖς κρίνεται τὰ νοσήματα, πηνίκα δ' οὐδόλως κριθέντα, κατὰ βραχὺ πεττόμενα, λύεται. καὶ δῆλον ὡς τὴν μὲν τοιαύτην λύσιν οὐκ ὀνομάζω κρίσιν· εἰ δέ τις ἀθρόα γίνηται μεταβολὴ, καὶ πολὺ δὴ μᾶλλον ἔτι τὴν προηγουμένην αὐτῆς ταραχὴν οὕτως προσαγορεύω, καὶ δὴ καὶ τὰς τούτων προγνώσεις ἐν τοῖς ἐφεξῆς ἐρῶ. κάλλιον γὰρ οὐ μόνον ὅτι κατὰ τόνδε τὸν καιρὸν ἡ νόσος ἀθρόαν ἕξει τὴν λύσιν, ἀλλὰ καὶ πότερον μετὰ μεγάλου τινὸς ἀγῶνος, ἢ χωρὶς σάλου τε καὶ κινδύνου παντὸς, ἐπίστασθαι. ταῦτ' οὖν ἅπαντα διὰ τῶν ἐφεξῆς ὑπομνημάτων ἐπιδειχθήσεται, καὶ πρὸς τούτοις ἔτι προγνώσεις κρίσεων ἀγαθῶν τε καὶ

riticis oſtendi, vel ſi morbus expectaverit integrum ſtatum, ſic et criſis integra erit. Saepius vero neque ulla fit criſis in ſtatus tempore, ſed paulatim morbus ſolvitur, longo tempore coctionem recipiens. Quo pacto autem, antequam fiant haec, futura praecognoscere oporteat, in ſequentibus commentariis explicabitur; nam in ipſis liquido oſtendam, quando in incrementis, quando etiam in ſtatibus morbus criſim habeat et quando, ſine ulla omnino criſi paulatim coctus diſſolvatur. Et clarum eſt quod hujusmodi ſolutionem neque criſim nomino, ſi qua vero confertim fiat permutatio, et multo magis adhuc eam agitationem quae ipſam praecedit, ita appellare conſuevi. Equidem harum quoque praecognitiones in ſequentibus dicam. Melius enim eſt non ſolum, quod in tempore integram morbus habebit ſolutionem, ſed etiam utrum cum magno aliquo certamine, vel ſine vexatione atque periculo aliquo intelligere. Haec igitur omnia in ſequentibus commentariis oſtendentur et praeterea bonarum et malarum criſium praecognitiones, perfectarum

κακῶν καὶ τελείων καὶ ἀτελῶν. ἐν ἀρχῇ δ' αὐτῶν πάντων προτάξω διαγνώσεις αὐτῶν τῶν εἰσβαλλόντων νοσημάτων. ἐπειδὴ γὰρ ἀπό τε τοῦ νοσήματος ἔφαμεν χρῆναι διαγινώσκειν τι περί τε τῶν καθόλου καιρῶν καὶ προσέτι τῆς ὥρας τοῦ ἔτους καὶ τῶν ἄλλων ὧν εἴπομεν, εἰ μὴ συμπάντων αὐτῶν εἰδείημεν διάγνωσίν τινα, εὐθὺς ἀπὸ τῆς πρώτης ἡμέρας ὅμοιόν τι πεισόμεθα τοῖς πολλοῖς τῶν νεωτέρων ἰατρῶν. ὡς γὰρ κἀκεῖνοι δι' ἀλλήλων ἑκάτερον τῶν ἀγνοουμένων διδάσκειν ἐπιχειροῦσιν, ἢ διὰ τοῦ μᾶλλον ἀγνώστου τὸ σαφέστερον, οὕτως καὶ ἡμεῖς ποιήσομεν, ἂν μὴ τοῦ νοσήματος ἑκάστου τῆς ἰδέας εὐθὺς ἐν ταῖς πρώταις ἡμέραις ἔχωμέν τινα διάγνωσιν. ἄριστον μὲν οὖν ἐστιν εἰ κατ' αὐτὴν τὴν πρώτην ἡμέραν, καὶ τοῦτο μυριάκις ἐδείξαμεν ἤδη δυνατὸν ὑπάρχειν καὶ τριταίας τε καὶ τεταρταίας καὶ ἀμφημερινὰς περιόδους, ἐν τῇ πρώτῃ τῶν ἡμερῶν διαγνόντες. εἰ δέ ποτε μὴ οἷόν τε εἴη σαφῶς ἐν ταύτῃ διαγνῶναι, στοχασμὸν μὲν ἤδη τινὰ τεχνικὸν ἕξομεν, ἐξ οὗ καλῶς ὑπαρξόμεθα διαίτης. ἀκριβώσομεν δ' αὐτὸν ἐν τῇ δευτέρᾳ τῶν ἡμερῶν, ἢ τρίτῃ γε πάντως, ἢ τετάρτῃ.

quoque ac imperfectarum. In horum vero omnium principio praeponam ipsorum morborum invadentium dignotiones. Quoniam enim et ab ipso morbo diximus oportere quaedam de temporibus universalibus nosse, ac praeterea a tempore anni et ab aliis quae diximus, nisi eorum omnium statim a primo die aliquam habeamus cognitionem, simile quiddam multis medicorum juniorum patiemur. Nam sicuti illi, utrumque ignotorum alterum per alterum monstrare conantur, vel quod notius est per id quod minus notum est, sic et nobis accidet, nisi uniuscujusque morbi formam statim a primo die aliquo modo dignoscamus. Optimum igitur est, si in ipso primo die dignoscamus, et hoc millies jam fieri posse probavimus et tertianos et quartanos et quotidianos circuitus in primo statim die agnovimus; si vero aliquando in hoc manifeste dignosci non possit, tunc conjecturam aliquam artificiosam habebimus, ex qua bonam victus rationem instituere incipiemus, exactam autem notitiam assequemur in secundo die, vel omnino in tertio vel in quarto.

καὶ τοίνυν καὶ αὐτὸ τοῦτο κάλλιον ἂν εἴη δηλῶσαι καὶ δοῦναι γνωρίσματα τῶν τ' εὐθὺς ἀπὸ τῆς πρώτης ἡμέρας ἀκριβῶς διαγνωσθῆναι δυναμένων καὶ τῶν ἄχρι μὲν στοχασμοῦ τινος οὐκ ἀτέχνου κατελπιζομένων, ἀκριβῶς δ' ἐν τῇ τρίτῃ τε καὶ τετάρτῃ διοριζομένων. αὖθις οὖν ἀπὸ τούτων πρῶτον ἀρξάμενοι κατὰ τὸ δεύτερον ὑπόμνημα καὶ τῶν ἄλλων ἑκάστου ὧν ὑπεσχόμεθα κατὰ τὴν οἰκείαν τάξιν ἀποδώσομεν.

Et hoc igitur ipſum melius fuerit oſtendere et praebere indicia eorum quorum a primo die ſtatim exquiſitam poſſumus habere cognitionem, eorumque etiam quae conjectura quadam non inartificioſa dignoscere ſperamus, ſed exacte in tertio et quarto discernimus. Rurſus igitur ab his primo auſpicati in ſecundo libro, reliqua etiam ſingula quae promiſimus convenienti ordine proſequemur.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΚΡΙΣΕΩΝ ΒΙΒΛΙΟΝ Β.

Ed. Chart. VIII. [407.] Ed. Baf. III. (403.)

Κεφ. α'. Εἴρηται μὲν ἤδη καὶ πρόσθεν εὐθὺς κατ' ἀρχὰς, ἀλλ' ἄμεινον ὑπομνῆσαι καὶ νῦν ὡς εἴτε τὴν σύμπασαν ἐν νόσῳ μεταβολὴν, εἴτε τὴν ἀθρόαν μόνην, εἴτε τὴν ἀγαθὴν, εἴτε τὴν προηγουμένην ἁπασῶν τῶν ὀξυῤῥόπων ἀλλοιώσειον ταραχὴν ὀνομάζειν ἐθέλοι τις κρίσιν, οὐ πρόκειταί μοι τανῦν διαιρεῖσθαι, ἀλλ' ὡς ἄν τις ἄριστα ταύτας ἁπάσας ἤδη τε παρούσας διαγινώσκοι καὶ μελλούσας ἔσεσθαι προγινώσκοι, τοῦτ' εἶναι τὸ σπούδασμα τῷ λόγῳ τῷδε. ὃ δὲ μέγιστον ἤδη καὶ ἀναγκαιότατον ἀποδείξαντες εἰς ἅπαντα τὰ

GALENI DE CRISIBVS LIBER II.

Cap. I. Dictum quidem et jam antea est ab initio, sed et nunc etiam melius est meminisse, quod sive universam in morbo mutationem, sive subitam tantum, sive bonam, sive eam quae antecedit omnes subitas alterationes, perturbationem quispiam velit nominare crisim, non meum est hoc in loco propositum desinire, sed quo pacto optime quispiam has omnes jam praesentes dignosceret et futuras adhuc praecognosceret, id est hujusmodi sermonis institutum. At quum maximum ac summopere necessarium ad haec omnia

τοιαῦτα, τὸ διαγινώσκειν τε παρόντας ἤδη τοὺς καιροὺς τῶν νοσημάτων, καὶ μέλλοντας ἔσεσθαι προγινώσκειν, ἐφεξῆς ἑκάστου νοσήματος διαγνώσεις τε καὶ προγνώσεις ἐγράψαμεν. ἐπεὶ δὲ ἐκ πολλῶν αὐτὰς γινομένας ἀπεδείξαμεν, ὧν ἕν τι καὶ ἡ τοῦ νοσήματος ὑπῆρξε φύσις, ὅπως ἄν τις καὶ αὐτὴν ταύτην κάλλιστα κατὰ τὴν πρώτην ἡμέραν οἷός τ᾽ εἴη γνωρίζειν, εἰς τόνδε τὸν δεύτερον ἀνεβαλλόμεθα λόγον. εἰ μὲν δή τις αὐτοῖς ἡμῖν παρέτυχεν ἐπὶ τῶν νοσούντων ἐκ τοῦ πρώτου παροξυσμοῦ, καὶ ἀμφημερινὸν πυρετὸν καὶ τριταῖον καὶ τεταρταῖον καὶ ἡμιτριταῖον καὶ καῦσον, καὶ ἄλλα τινὰ νοσήματα προγινώσκουσιν, ἔργων τῆς θεωρίας εἴληφε βάσανον. εἰ δέ τις οὔπω παρεγίνετο προῤῥήσει τοιαύτῃ, δίκαιον δὴ τοῦτόν ἐστι μήτε θαυμάζειν ἤδη τὰ λεγόμενα, πρὶν κρῖναι τὴν ἐν αὐτοῖς ἀλήθειαν, ἀλλὰ μηδὲ προκατεγνωκέναι, πρὶν ἀκοῦσαί τε σύμπαντος λόγου, καὶ τῇ πείρᾳ βασανίσαι. τὸ μὲν οὖν ἀκοῦσαί τε καὶ συνιέναι [408] τῶν λεγομένων ἁπάντων κοινόν. οὕτως γὰρ εἰρήσεταί μοι σαφῶς, ὡς μηδὲ λαθεῖν ἄν τινα. τὸ δὲ καὶ τῇ πείρᾳ κρῖναι τοὺς λόγους, εἰ μὲν ἡμῖν

jam demonſtraverimus, tum dignoscere praeſentia jam morborum tempora, tum praecognoscere futura, deinceps uniuscujusque temporis tum dignotiones tum praecognitiones ſcripſimus. Et quoniam eas ex multis fieri demonſtravimus, quorum unum eſt ipſius morbi natura, quo pacto et hanc optime quispiam poſſet dignoscere in hunc ſecundum librum tradere diſtuli. Si quispiam nobiscum affuit in curatione aegrotantium, ex prima acceſſione et quotidianam febrem et tertianam et quartanam et ſemitertianam et cauſum appellatum, plurimosque alios morbos praenoscentibus, ex ipſo opere hujus contemplationis habuit experientiam; quod ſi nunquam talibus praedictionibus interfuit, aequum eſt hunc neque admirari ea quae dicemus, antequam veritatem in ipſis experiatur, ſed neque etiam damnare, priusquam univerſo ſermoni noſtro auscultaverit, atque uſu ipſo exploraverit. Audire quidem atque intelligere ea quae dicuntur omnibus commune eſt; ita enim a me clare explicabuntur, ut neminem latere poſſint; ſermones autem noſtros experientia

μέλλει συμπαραγίνεσθαι, ῥᾷστον. εἰ δ' αὐτὸς ἐφ' ἑαυτοῦ βασανίζειν, οὐκ ἔθ' ὁμοίως εὐπετές. ἀλλὰ καὶ τὰς ἐν τοῖς σφυγμοῖς διαφορὰς ἠσκῆσθαι χρὴ διαγινώσκειν αὐτὸν ἀκριβῶς, ἁπάντων τε τῶν ἔργων τῆς τέχνης ἐμπειρίαν ἔχειν ἱκανήν. τὴν γὰρ ἀληθῆ θεωρίαν οὐκ ἐκ τῶν κακῶς ὑποκρινομένων, ἀλλ' ἐκ τῶν ὀρθῶς μεταχειριζομένων εὔλογον δοκιμάζεσθαι. τούτους οὖν μόνους ὁ λόγος ὅδε καὶ μαθητὰς προσίεται, καὶ κριτὰς, ὧν ἂν διδάξῃ, τίθεται. τοὺς δ' ἄλλους, ὅσοι τὴν ἰατρικὴν τέχνην εἰς τοσοῦτον ὕβρισαν, ὡς ἐξ μηνῶν εἶναι νομίζειν μάθημα, τούτους οὔτε κριτὰς οὔτε μαθητὰς προσίεται. τὸ μὲν γὰρ οὐ δύνανται, τὸ δ' οὐ βούλονται.

Κεφ. β'. Λεκτέον οὖν ἤδη πῶς ἄν τις ἐν τῇ πρώτῃ τῶν ἡμερῶν, ἀκριβῶς διαγινώσκοι τοῦ νοσήματος τὴν φύσιν. ἡμέραν δηλονότι παρ' ὅλον τὸν λόγον εἰρησομένοις, οὐκ ἐκ τῆς ἡμέρας αὐτῆς μόνης συνεστῶσαν, ἀλλὰ κἀκ τῆς νυκτὸς χρόνου. καθάπερ οὖν καὶ τὸν μῆνα τριάκοντα ἡμερῶν εἶναι λέγομεν, οὐ μόνον τοῦτον τὸν χρόνον, ὃν ὑπὲρ τῆς γῆς ὁ

comprobare, si quidem nobiscum futurus est, illi erit quam facile, quod si ipse per se ipsum explorare voluerit, non neque expeditum. Verum et in pulsuum differentiis exercitatum esse oportet, atque omnium artis operationum sufficientem habere experientiam, veram enim speculationem non ex iis, quae male judicantur, sed ex iis, quae recte pertractantur, aequum est comprobari. Hos igitur solos ad disciplinam, atque eorum, quae docentur, judicium sermo noster admittit, reliquos vero qui medicinae artem adeo dedecorarunt, ut eam sex mensium fecerint disciplinam, hos neque judices, neque discipulos adhibet; alterum enim non possunt, alterum nolunt.

Cap. II. Dicendum jam igitur quo pacto quispiam in primo die morbi naturam exacte dignoscat. Diem autem per totum hunc sermonem nostrum in eo accipiemus significatu, ut non solum lucem, sed noctem etiam complectatur; sicuti et mensem ex triginta diebus constare dicimus, non id tempus tantum, quo sol supra terram fertur, appellantes

ἥλιος φαίνεται προσαγορεύοντες ἡμέραν, ἀλλὰ καὶ τὸν τῆς νυκτὸς αὐτοῦ προστιθέντες, οὕτως δέ πως καὶ τὸν ἐνιαυτὸν πέντε καὶ ἑξήκοντα καὶ τριακοσίων ἡμερῶν εἶναί (404) φαμεν. ὥσπερ δὲ περὶ τοῦ τῆς ἡμέρας ὀνόματος, καὶ τοῦ κατ᾽ αὐτὸ σημαινομένου διήρηται, κατὰ τὸν αὐτὸν, οἶμαι, τρόπον χρὴ μηνῦσαι καὶ περὶ τοῦ νοσήματος. ὅτι δὲ διάθεσίς τίς ἐστιν ἐνέργειαν βλάπτουσα, καὶ ὅτι διττὴ πολλάκις συνίσταται ἅμα: δέδεικται δ᾽ ἄμφω ταῦτα ἐν τῷ περὶ τῆς τῶν νοσημάτων διαφορᾶς ὑπομνήματι. τὴν μὲν οὖν ἁπλῆν διάθεσιν οὐδεὶς τῶν ἀκριβῶς εἰδότων ἀγνοήσει κατὰ τὴν πρώτην ἡμέραν. ἴδια γὰρ ἔχει τὰ γνωρίσματα· τὴν δ᾽ ἐπίμικτον οὐχ ἅπασιν ἐγχωρεῖ διαγνῶναι κατ᾽ ἀρχάς. καὶ οὐδέν γε τοῦτο ἄτοπον εἰς διττῆς διαθέσεως ἐπίγνωσιν, ἡμερῶν δεηθῆναι δυοῖν. ὥσπερ καὶ εἰ τριττή τις εἴη, τριῶν. ἀλλὰ τό γε μίαν ἁπλῆν ἀγνοῆσαι διάθεσιν, ἄτοπόν τε καὶ δεινῶς αἰσχρόν. ἠσκῆσθαι τοίνυν ἁπάσας χρὴ τὰς ἁπλῶς διαθέσεις, ἑκάστην ἰδίᾳ τετελειωμένην τ

diem, sed etiam illi tempus noctis adjicientes; sic enim annum quodammodo dicimus trecentos et sexaginta quinque dies complecti. Sicuti autem de diei nomine et de ejus significatu distinximus, eodem, ut arbitror, modo de morbi ostendere oportet, quod est affectio quaedam praeter naturam laedens actiones et quod duplex saepe una consistit. Haec vero utraque in libris de morborum differentiis sunt demonstrata. Simplicem itaque affectionem nemo, qui perspicaci sit intelligentia, in primo die ignorabit; habet enim propria indicia; eam vero, quae commixta est, non omnibus per initia contingit cognoscere. Neque vero absurdum est ad duplicis affectionis cognitionem duobus opus esse diebus, sicuti si triplex fuerit tribus; at vero unam simplicem ignorare affectionem, absurdum et maxime turpe. Oportet itaque in omnibus simplicibus affectionibus exercitari, ut singulas seorsum et jam perfectas noscamus; nam nisi in hoc accurate antea laboraverimus, neque incipientem et parvam adhuc existentem agnoscemus, sicuti neque olivam vel ficum vel quercum nuper terra pullulantem poteris unquam

ἤδη γνωρίζειν ἑτοίμως. εἰ μὴ γὰρ ἐν τούτῳ προγυμνάσαιο φιλοπόνως, οὐδὲ ἀρχομένην ἔτι, καὶ σμικρὰν οὖσαν διαγνοίης. ὥσπερ οὐδ' ἐλαίαν ἢ συκῆν ἢ δρῦν ἄρτι τῆς γῆς ἀνίσχοντα δύναιο ἂν ποτε διαγινώσκειν, ἀγνοῶν ἔτι τὰ τέλεια φυτά. τὸ δὲ τούτου μεῖζον, ὡς οὐδ' αὐτὰ τέλεια γινώσκειν ἁπλῶς ἀρκεῖ, ἀλλὰ χωρὶς μὲν τοῦ προγινώσκειν ἐκεῖνα τῶν νεογνῶν οὐδὲν ἂν ἰδίᾳ γνωρίσαις. οὐ μὴν οἶδ' εὐθέως τε καὶ πρώτως ἐντυχὼν νῦν, ἀλλ' ὡς καὶ τῶν τελείων ἕκαστον οὐκ ὀλιγάκις θεασάμενος ἱκανὸς διαγινώσκειν ἑτοίμως ἐγένου, κατὰ τὸν αὐτὸν, οἶμαι, τρόπον χρή σε καὶ τῶν ἄρτι γεννωμένων ἕκαστον, οὐχ ἅπαξ οὐδὲ δὶς, ἀλλὰ πολλάκις θεασάμενον ἱκανῶς αὐτῶν γενέσθαι γνώριμον. μὴ τοίνυν ἐάν τι τῶν τῇδε γεγραμμένων ἐπιχειρῶν ἀσκεῖν ἐν τῇ πρώτῃ πείρᾳ σφαλῇς, ἀπογινώσκειν εὐθὺς ὡς ἀδυνάτου, μηδὲ ἀποχωρεῖν τῆς μελέτης, πρὶν πάνυ [409] πολλάκις ἐν αὐτῇ γυμνάσασθαι. οὐδὲ γὰρ τοὺς τὴν τοξικὴν μελετῶντας, καίτοι πολλάκις ἁμαρτάνοντας τοῦ σκοποῦ, τό γε κατ' ἀρχὰς, ὅμως οὐδὲ τούτους ἀφισταμένους ὁρᾷς τῆς ἀσκήσεως, οὐδ' ἀθυμοῦντας ἀποτυχίας.

internoscere, si jam perfectas plantas ignoraveris: quod vero hoc etiam majus est, neque ipsas jam perfectas simpliciter cognoscere sufficit, sed nisi jam perfectas praecognoveris, nullum ex iis, quae nuper natae sunt, separatim internosces; non tamen neque statim neque quamprimum quum in istas incideris, sed sicuti ex perfectis singulas non semel, neque raro conspicatus, sufficiens ad prompte cognoscendum factus es, eodem, arbitror, modo te oportet et ex iis, quae nuper natae sunt, singulas non semel neque bis, sed saepius contemplando, sufficientem ipsarum habere notitiam. Quare si quid eorum, quae in hoc loco scribuntur, ad exercitationem referre tentaveris, prima autem te experientia fefellerit, non propterea statim desperaveris, quasi id assequi non possis; neque a meditatione recedas prius quam saepissime in eadem exercitatione perstiteris. Neque enim qui sagittandi artem meditatione assequi student, licet saepius in principio aberrent a meta, vides ob id suum exercitium demittere, aut propter aberrationem animo con-

ὁπότ' οὖν τοξικὴν οὕτω σμικρὰν τέχνην, ὡς καὶ τοῖς ἀνδραπόδοις ἀσκεῖσθαι καλῶς, οὐ δυνατόν ἐστιν εὐθὺς ἐξ ἀρχῆς κατορθοῦσθαι, τί χρὴ νομίζειν ἐπὶ τῆς τῶν Ἀσκληπιῶν τέχνης, οὕτω μὲν πολλῆς θεωρίας δεομένης, οὕτω δ' ἀκριβοῦς τε καὶ φιλοπόνου τῆς ἐπ' αὐτῶν τῶν ἔργων τριβῆς; εἰ μὲν δή τις εἴης τῶν ἐπὶ τοῖς καλλίστοις ταλαιπωρεῖσθαι προῃρημένων, ἅπαντα μὲν πρώτως ἔκμαθε ἀκριβῶς, τὰ λεγόμενα καθ' ἕκαστον τῶν νοσημάτων, ἐφεξῆς δ' ἐπὶ τῶν ἔργων ἄσκησον. εἶθ' οὕτως ἐπιχείρει κρίνειν αὐτὰ, πότερον ἀληθῶς ἢ ψευδῶς εἴρηται. εἰ δ' αταλαίπωρός τε καὶ ῥάθυμος εἴης, ἢ ταλαίπωρος μὲν ἀλλ' εἰς τὰ χείρω, πλοῦτόν τε καὶ τιμὴν καὶ δύναμιν πολιτικὴν ἀληθείας προαιρούμενος, ἄμεινόν σοι μηδ' ἅπτεσθαι τῆσδε τῆς θεωρίας, μηδ' εἰς ἀνάπλεων βορβόρου φρέαρ ἐμβάλλειν ὕδωρ καθαρόν. ἀφανίσεις τε γὰρ τὸ ὕδωρ καὶ τὸ φρέαρ οὐδὲν ὠφελήσεις. τὴν οὖν ἁπλῆν διάθεσιν ἑκάστου τῶν νοσημάτων, ἐπὶ γὰρ τὸν τῆς ἀληθείας ἑταῖρον ἤδη τρέψομαι, πρῶτον ἄσκησόν μοι γνωρίζειν αὐτὴν ἐφ' ἑαυτῆς,

triftari. Quando igitur fagittandi artem, minimam exiftentem, adeo ut etiam a mancipiis commode pertractetur, nemo ftatim incipiens affequi integre poteft, quid de arte Asclepiadum exiftimare oportet, quae tam multa indiget contemplatione et tam exquifita ac laboriofa in operibus exercitatione? Siquidem unus ex eorum numero fueris, qui pro rebus pulcherrimis atque honeftiffimis laborare inftitueris, primum omnia, quae dicentur in fingulis morbis, diligenter perdisces, deinde in ipfis operibus exercitaberis, deinde ita de his ferre fententiam tentabis, nunquid vere aut falfo dictum fit. Quod fi, ut diximus, otiofam et focordem vitam egeris, vel laboriofam quidem, fed circa deteriora, divitias, honorem et civilem potentiam veritati praeferendo, melius tibi fuerit, neque hanc contemplationem attingere, ne in plenum coeno puteum aquam puram infundas; nam et aquam corrumpes, neque puteum quicquam juvabis. Simplicem igitur morborum fingulorum affectionem, jam enim ad veritatis amicum me converto, primo ipfam per fe ipfe ipfam

Ed. Chart. VIII. [409.] Ed. Baf. III. (404.)

οὐκ ἐκ τῶν ἔξωθεν αὐτῇ προσκειμένων μόνον, ἅπερ οἱ πολλοὶ θεῶνται, ἀλλὰ πρῶτον μὲν καὶ μάλιστα ἐκ τῶν κατὰ τὴν ἰδίαν οὐσίαν ὑπαρχόντων· ἐπεὶ δ' ἤδη καὶ τῶν ὡς ἐπὶ τὸ πολὺ συμβεβηκότων. οἷον ἐπὶ τοῦ καλουμένου τριταίου μὴ τοῦτο μόνον ἐπισκέπτου, τὸ διὰ τρίτης γίνεσθαι τοὺς παροξυσμοὺς, εἰς ἀπυρεξίαν τελευτῶντας. εἰ γὰρ ἤτοι δύο τριταῖοι γεννηθεῖεν, ἢ δύο τεταρταῖοι, καθ' ἑκάστην μὲν ἡμέραν οἱ δύο τριταῖοι· διὰ τρίτης δ' οἱ δύο τεταρταῖοι παροξύνονται, ἢ τοὺς δύο τριταίους ἕνα νομίσεις ἀμφημερινόν· ἢ τοὺς δύο τεταρταίους ἕνα τριταῖον. ἀλλὰ τὴν ἰδέαν ἐπισκοπεῖσθαί σε κελεύω τῶν πυρετῶν. οὔτε γὰρ ταῖς εἰσβολαῖς τῶν παροξυσμῶν ἐοίκασιν, οὔτε ταῖς ἀναβάσεσιν, οὔτε ταῖς ἀκμαῖς, οὔτε ταῖς παρακμαῖς, οὔτε τῇ ποιότητι τῆς θερμασίας, οὔτε τῇ κινήσει τῶν ἀρτηριῶν, οὔτε τοῖς ἐπιγινομένοις συμπτώμασιν. εἰ μὲν οὖν μηδέποτ' ἦν θεάσασθαι τριταῖόν τε καὶ ἀμφημερινὸν, αὐτὸν καθ' ἑαυτὸν ἑκάτερον, ἄδηλος ἂν ἦν αὐτῶν ἡ διάγνωσις, ἐπεὶ δὲ καὶ τριταῖον, αὐτόν ἐστιν ἰδεῖν καθ' ἑαυτὸν, ἀρξάμενόν τε καὶ προελθόντα καὶ τελειωθέντα

cognoscere ftudeas, ac circa hoc te exerceas non ex iis folum, quae ipfi extrinfece adiacent, qualis eft contemplatio multorum, fed primum quidem ac maxime ex iis, quae fecundum propriam infunt fubftantiam: deinde jam ex iis, quae faepius accidunt, veluti in ea febre, quae tertiana nominatur, non hoc tantum advertas, fi tertio quoque die fiant acceffiones in infebricitationem definentes; nam fi duae tertianae fierent aut duae quartanae, duae quidem tertianae quolibet die, per tertium autem duae quartanae, accenduntur; quaro vel duas tertianas unam putabis quotidianam, vel duas quartanas unam tertianam. Sed formam ipfam febrium te infpicere jubeo; neque enim in infultibus acceffionum fimiles funt neque incrementis neque ftatibus neque remiffionibus, neque in caloris qualitate, neque in motu arteriarum, neque in iis quae fupervenlunt fymptomatis. Si ergo neque tertianam ipfam per fe ipfam, neque quotidianam unquam infpicere licuiffet, incerta foret earum dignotio, fed quoniam et tertianam feparatim datur contemplari, exorfam et progreffam et perfe-

καὶ λυθέντα, καὶ ἀμφημερινὸν ὡσαύτως, οὐδέν ἐστιν χαλεπὸν ἀμφημερινοῦ ἑνὸς διακρῖναι δύο τριταίους.

Κεφ. γ΄. Ἄρξαι δή μοι πρῶτον ἀσκεῖν ἀπὸ τῶν ἀκριβῶν τύπων. οὔτε γὰρ ἄλλο τι μάτην ὁ Ἱπποκράτης εἶπεν οὔθ᾿ ὡς ὁ ἀκριβὴς τριταῖος ἐν ἑπτὰ περιόδοις κρίνεται τὸ μακρότατον. τίς οὖν ὁ ἀκριβὴς τριταῖος οὗτος; οὐδὲν γὰρ παρ᾿ Ἱπποκράτους αὐτοῦ γνώρισμα γέγραπταί τι τοιοῦτον, οἷον καὶ τοῖς ἐπιτυχοῦσιν εἶναι πρόδηλον. ἀλλ᾿ εἰ μέν σε χειραγωγήσαιμι, μαθήσῃ ῥᾳδίως τίνα λέγει τὸν ἀκριβῆ τριταῖον. [410] εἰ δ᾿ ἐάσαιμί σε κυλινδεῖσθαι κατὰ τὰ βιβλία, πρὶν εἰσαχθῆναι προσηκόντως, οὐκ ἂν οὐ μόνον ἐκμάθοις οὐδὲν, οὔτε περὶ τριταίου τι χρηστὸν, οὔτ᾿ ἄλλου τινὸς τῶν ἁπάντων, ἀλλὰ καὶ παρακούσαις μυρίων. ὅταν οὖν ἀναγνῷς ἐν ἀφορισμοῖς τὰ πλεονάζοντα κατὰ τὸ θέρος νοσήματα πυρετούς τε εἶναι συνεχεῖς καὶ καύσους καὶ τριταίους πλείστους, πρῶτον μὲν αὐτὸ δὴ τοῦτο μὴ παρακούσῃς, τὸ ὡς θέρους μέμνηται οὐ τοῦ παρὰ φύσιν ἔχοντος, οἷον ἐν Κρανῶνι

ctam et folutam, eodemque modo quotidianam, non admodum difficile eft ab una quotidiana duas tertianas diftinguere.

Cap. III. Age igitur primum incipe exercitari in veris atque exquifitis typis. Neque enim aliud quicquam fruftra fcripfit Hippocrates, neque illud etiam, *quod exquifita tertiana in feptem circuitibus, quod longiffimum eft, judicatur.* Quaenam igitur eft haec tertiana exquifita? nullum enim ejus indicium fcripfit Hippocrates tale, ut etiam vulgaribus effet manifeftum. Sed fi ego te manuduxerim, facile intelliges, quam vocet exquifitam tertianam, fi vero te per volumina circumvolvi permifero, antequam commode introducaris, non modo nihil utile difces, neque de tertiana neque de aliquo alio morbo, fed infinita erunt, quae obaudies. Quum igitur legeris in aphorismis, *morbos, qui tempore aeftivo maxime abundant, effe febres continuas et ardentes et tertianas plurimas,* primum adverte, ne hoc ipfum male accipias, quod aeftatem intelligit, non quae praeter naturam fe habet, qualem aliquando ait fuiffe in

Ed. Chart. VIII. [410.] Ed. Baf. III. (404.)

ποτὲ γενέσθαι φησί, ὕοντος καύματι λάβρῳ δι᾽ ὅλου: ἀλλ᾽ εἴ ποτέ τινα τάξιν καὶ κόσμον ἑκάστῃ τῶν ὡρῶν ἐνενόησας, ἀναμνήσθητί μοι καὶ νῦν, ὡς ὁ μὲν χειμὼν ἅπαντος τοῦ ἔτους ὑγρότατός ἐστι καὶ ψυχρότατος, ἐναντίως δ᾽ αὐτῷ τὸ θέρος ξηρότατόν τε καὶ θερμότατον. εἰ δ᾽ ἔμπαλιν ὁ μὲν χειμὼν ξηρός, ὑγρὸν δὲ γίγνοιτο τὸ θέρος, οὐ κατὰ φύσιν ἔχει τὰ τῶν ὡρῶν. οὐκ οὖν οὐδὲ τὰ θερινὰ νοσήματα τηνικαῦτα ἐν θέρει πλεονάσει. μὴ γάρ πω δόκει διὰ τὴν προσηγορίαν τῶν ὡρῶν ἕκαστον τῶν νοσημάτων γίνεσθαι τοῖον ἢ τοῖον, ἀλλὰ διὰ τὴν περιέχοντος ἡμᾶς ἀέρος κρᾶσιν. ὡς γὰρ ἂν οὗτος ἔχῃ φύσεως, οὕτω καὶ ἡμᾶς διατίθησι. κατὰ τοῦτο οὖν ἔλεγεν ὁ Ἱπποκράτης ὁπόταν ἔαρ ὅμοιον τῷ φθινοπώρῳ γένηται, φθινοπωρινὰ τὰ νοσήματα προσδέχεσθαι δεῖ. θερμὴν δέ τινα καὶ ξηρὰν κατάστασιν ἔχειν χρὴ τὸ θέρος, ἐπειδὰν ἀκριβῶς διασώζῃ τὴν ἑαυτοῦ φύσιν. ἀλλ᾽ εἴπερ οὕτω τοῦτ᾽ ἔχει, δῆλον, ὡς τὸ μάλιστα τοιοῦτον θέρος πλείστους οἴσει τριταίους πυρετούς. ἆρ᾽ οὖν ὥρα μὲν ἡ θερμὴ καὶ ξηρὰ τριταίων

Cranone, *quum pluviae violentae per aestum toto tempore descendissent,* sed si ordinem aliquem ac modum in singulis temporum statibus annotasti, tu nunc ad memoriam revoca, quod hiems quidem prae omnibus anni temporibus humidissima est ac frigidissima, contraria vero aestas ipsi est calidissima atque siccissima. Si vero contra hyems quidem sicca, aestas vero humida fuerit, temporum status haud secundum naturam se habet. Neque igitur aestivi morbi tunc tempore aestatis grassabuntur, neque enim existimare debes, quod propter anni temporum appellationes, singuli morbi accidant, tales scilicet vel tales, sed propter ambientis aëris temperiem; ut enim naturam habuerit, ita etiam nos afficiet. Secundum hoc igitur ajebat Hippocrates, *Quum ver autumno simile factum fuerit, autumnales morbos expectare oportet.* Calidam autem et siccam temperiem aestatem habere oportet, quando exquisite suam naturam servaverit. Sed si hoc ita se habeat, liquet, quod aestas, quae maxime talis existit, plurimas afferet febres tertianas. Nunquid igitur status temporis calidus et siccus magnum proventum feb-

πυρετῶν εὔφορος, ἡ χώρα δ' οὐχ ὁμοίως ἡ θερμὴ καὶ ξηρὰ τῆς ὑγρᾶς καὶ ψυχρᾶς εὐφορωτέρα; παντί που δῆλον· τί οὐχὶ καὶ τοῦ κάμνοντος ἡ κρᾶσις αὐτοῦ; καὶ τοῦτ' ἀναγκαῖον. εἰ δὲ καὶ διαιτηθείη θερμότερόν τε καὶ ξηρότερον, ὅπερ ἐστὶν ἐν πόνοις μὲν πλείοσι καὶ ἀγρυπνίαις καὶ φροντίσι καὶ λύπαις, ἐδέσμασί τ' ἐλάττοσί τε καὶ χολωδεστέροις, ἆρ' οὖν οὐχὶ καὶ κατὰ ταῦτα χολωδέστερος ἂν αὐτὸς ἑαυτοῦ γένοιτο, καὶ δηλονότι θερμότερός τε καὶ ξηρότερος; ὅτι μὲν γὰρ ἐπὶ θερμοῖς καὶ ξηροῖς αἰτίοις ἡ ξανθὴ χολὴ πέφυκεν ἀθροίζεσθαι, παρ' Ἱπποκράτους ἐμάθομεν, ἄλλοθί τε πολλαχόθι κἀξ ὧν ἐν θέρει πλεονάζειν αὐτήν φησι. ταῦτ' εἴρηταί μοι· καὶ τριταίου πυρετοῦ γένεσιν ἤδη μεμάθηκας. ὃς γὰρ ἂν ἐν θέρει μὲν γένηται, καὶ τούτῳ μάλιστα θερμῷ τε καὶ ξη(405)ρῷ, τοιοῦτον δὲ ᾖ καὶ τὸ χωρίον, καὶ ἡ τοῦ κάμνοντος φύσις ὁμοία, καὶ τὰ πρόσθεν διαιτήματα πρὸς ταῦτ' ἄγοντα, τριταῖος οὗτος δύναται εἶναι. καὶ μὴν ἄχρι γε τούτου χολώδη πυρετὸν ἐγεννήσαμεν τῷ λόγῳ, τριταῖον δ' οὔπω δεόντως. εἰ γὰρ συνεχεῖς καὶ καύσους καὶ τριταίους πλείστους αὐτό τε θέρος ἕκαστόν τε τῶν εἰρημένων αἰτίων ἀπεργάζεται, κοινὴ

rium tertianarum efficiet, regio autem calida et ficca non etiam plus quam frigida et humida earundem ferax erit? hoc etiam omnino clarum eft. Sed nonne et aegrotantis temperies? hoc quoque eft neceffarium. Quod fi victu calidiori ac ficciori etiam ufus fuerit, hoc eft laboribus atque vigiliis et curis atque triftitiis, cibisque paucioribus ac biliofioribus, nonne etiam in his ipfe fe ipfo biliofior reddetur et ideo calidior et ficcior? nam quod ex caufis calidis ac ficcis flava bilis congeri confuevit, didicimus ab Hippocrate, tum ex multis aliis, tum ex iis, quibus eam exuperare aeftate dicit. Haec a me dicta funt et jam tertianae febris generationem didiciftis. Quae enim aeftatis tempore, eoque praecipue calido et ficco advenerit, quum etiam regio talis fuerit et laborantis natura fimilis et victus qui anteceffit ad idem fpectaverit, haec poteft effe febris tertiana. Et nos quidem hucusque biliofam febrem fermone genuimus, nondum autem tertianam et id jure. Nam fi febres continuas et ar-

μέχρι τοῦδε τοῖς καύσοις πυρετοῖς ἡ τοῦ τριταίου γένεσις. ἀτὰρ οὖν καὶ φαίνεται τοῦτό γε καὶ αὐτὸς ὁ παροξυσμὸς τοῦ τριταίου τῶν ὀξυτάτων τε καὶ καυσωδεστάτων πυρετῶν οὐδενὸς ἀπολείπεται. τί ποτ' οὖν διήνεγκεν; ὅτι τὴν χολὴν οὗτος μὲν εἰς ἅπαν τὸ σῶμα φερομένην ἔχει, καὶ διὰ τοῦτο ῥίγος τε σφοδρὸν αὐτοῖς προσγίνεται, καὶ χολῆς ἔμετος ἐπιφαίνεται, καὶ τὰ οὖρα καὶ οἱ ἱδρῶτες αὐτοῖς χολώδεις εἰσίν. εἴρηται δὲ καὶ περὶ τούτων ἑτέρωθι, τοῖς δ' ἄλλοις καύσοις πυρετοῖς, ὅσοι μὴ διαλείπουσιν, τῆς ξανθῆς χολῆς χυμὸς ἐδείκνυτο περιεχόμενος ἐν τοῖς ἀγγείοις ἅμα τῷ αἵματι. [411] καὶ ταύτῃ διαφέρουσιν οὗτοι τῶν τριταίων, εἰ καὶ τὸν ἐργαζόμενον αὐτοὺς χυμὸν ἔχουσι τὸν αὐτὸν, ὅτι τοῖς μὲν ἐντὸς τῶν φλεβῶν ἐστι, τοῖς δὲ σφοδρῶς κινούμενος ἐπὶ παντὸς τοῦ σώματος διασπείρεται τὰ μόρια· καὶ διὰ τοῦτ' αὐτὸς ἑαυτὸν ἐκκαθαίρει τῷ σφοδρῷ τῆς φορᾶς. αὕτη καὶ τοῦ παύεσθαι τὸν πυρετὸν ἐπὶ τοῖς ἱδρῶσί τε καὶ τοῖς ἐμέτοις ἡ αἰτία. τοῖς καύσοις δ' ἕκαστος τῶν κατὰ μέρος παροξυσμῶν

dentes et tertianas plurimas et aeſtas ipſa et aliae, quas antea commemoravimus, cauſae ſingulae faciunt, communis eſt usque ad haec cum febribus ardentibus tertianae generatio. Sed et hoc ita ſe habere videtur, et ipſa tertianae acceſſio ab acutiſſimis, maximeque ardentibus febribus nullo modo deficit, ſed hoc differt, quod in hac per totum corpus bilis defertur, atque ideo vehemens fit rigor, bilisque ſupervenit vomitus, urinaeque ac ſudores bilioſi ſunt, dictum vero de his alibi eſt, in aliis vero ardentibus febribus, quae nullam habent intermiſſionem, flavae bilis humor in vaſis una cum ſanguine contineri oſtendebatur. Atque hae ipſae a tertianis differunt, quamvis eundem, qui eas facit, humorem habeant, quod in his quidem intra venas continetur, in illis vero quum vehementer moveatur, per ſingulas corporis partes diſſeminatur, quo fit, ut delationes impetu ipſa per ſe ipſam expurgetur. Eadem cauſa eſt cur febris ſudoribus atque vomitibus finiatur: in ardentibus autem febribus ſingulae acceſſiones ad infebricitationem non perve-

εἰς ἀπυρεξίαν οὐκ ἔρχεται, διὰ τὸ μηδ' ἐκκαθαίρεσθαι τὸν αἴτιον χυμόν. ἀλλ' ἐπειδὰν καὶ τούτοις ἡ χολὴ σφοδρότερον κινηθεῖσα καὶ οἷον ζέσασα, τὸ δέ τι καὶ πρὸς αὐτῆς τῆς φύσεως ῥωσθείσης ὠθουμένη πάντη τοῦ σώματος ἴῃ, ῥίγος τε προσγίνεται καὶ λύσις ἐπιγίνεται. ὑπὸ καύσου γάρ φησιν ἐχομένῳ ῥίγεος ἐπιγενομένου λύσις. ὅτι δ' οὐ μόνον τὸ ψυχρὸν αἴτιον, ἀλλὰ καὶ τὸ δριμὺ καὶ τὸ θερμὸν ἐργάζεσθαι ῥίγος δύναται, ἐν τοῖς τῶν συμπτωμάτων αἰτίοις ἀποδέδεικται, παραθεμένων ἡμῶν τούς τε διὰ δριμὺ καὶ θερμὸν φάρμακον ἐπιτεθὲν ἕλκει δηχθέντας σφοδρῶς, εἶτα ῥιγώσαντας, τούς τε περιττωμάτων πεπληρωμένους καπνωδῶν, εἶτ' εἰς βαλανεῖον εἰσελθόντας καὶ φρίξαντας. οὕτως γὰρ δὴ καὶ τοὺς πυρέσσοντας καὶ τοὺς ἀπεπτήσαντας σφοδρῶς, καὶ πάντας οἷς ἂν ᾖ τὸ σῶμα μεστὸν ἀκαθαρσίας δριμείας, ἐάν τ' εἰς βαλανεῖον εἰσέλθωσιν, ἐάν τ' εἰς χωρίον ἡλιούμενον σφοδρῶς, ἐάν τ' ἄλλην ἡντιναοῦν κίνησιν σφοδροτέραν κινηθῶσι, εὐθὺς μὲν φρίττοντας ὁρῶμεν· ἢν δὲ καὶ διατρίψωσιν ἐπὶ πλέον ἐν αὐτοῖς, εἰς ῥίγος τε καὶ κλόνον ἀγομένους, ὡς ἂν εἰς κίνησιν σφοδροτέραν, ἔν τε τοῖς βαλανείοις καὶ τοῖς γυμνασίοις

niunt, quoniam qui earum caufa eft humor non expurgatur. Sed quando in his bilis vehementius agitatur ac veluti effervescit, quumque impulfa a valida natura totum corpus pervaferit, tunc rigor fupervenit et febris folvitur; nam a febre ardente, inquit Hippocrates, habito fuperveniente rigore folutio. Quod vero non modo caufa frigida, fed et acris et calida rigorem faciat, in libro de caufis fymptomatum oftendimus, addentibus nobis eos qui calido atque acri medicamento ulceri impofito vehementer morfi funt atque inde rigorem experti, et qui excrementis pleni fuliginofis, deinde balnea ingreffi horruerunt. Sic enim et febricitantes et qui vehementem cruditatem patiuntur et omnes quorum corpus fuperfluitatibus acribus redundaverit, five balneum five loca vehementius a fole calefacta ingreffi fuerint, five quocunque alio citato motu agitentur, ftatim quidem videmus horrere et fi diutius in eisdem perftiterint, ad rigorem concuffumque perduci; quoniam fcilicet ubi ad balnea ab-

ἐρχομένων, τῶν τέως ἡσυχαζόντων περιττωμάτων. ἅπαντα γὰρ ταῦτα κινούμενά τε καὶ διὰ τῶν αἰσθητικῶν σωμάτων ἐπιφερόμενα νύττει τε καὶ κεντεῖ καὶ τιτρώσκει. κἀντεῦθεν τήν τε ἀνώμαλον αἴσθησιν καὶ τὸ ῥίγος καὶ τὸν κλόνον ἐπιφέρει. ταυτὶ μὲν οὖν ἑτέρωθι λέλεκται. τριταῖος δὲ πυρετὸς ἔκγονος ὑπάρχων τῆς ξανθῆς χολῆς κινουμένης, εὐλόγως εὐθὺς καταρχὰς, ῥίγος οὐκ ἀγεννὲς ἐπιφέρει, διαφέρων αὐτῷ τούτῳ πρῶτον τοῦ τεταρταϊκοῦ ῥίγους, τῷ κεντεῖσθαι δοκεῖν καὶ τιτρώσκεσθαι τὸν χρῶτα. τοιαύτη γὰρ ἐν τριταίοις πυρετοῖς ἡ τοῦ ῥίγους αἴσθησις, ὥσπερ ἐν τεταρταίῳ, κατάψυξιν ἔχουσα σφοδρὰν, ὁμοιοτάτην τῇ διὰ κρύος ἐν χειμῶνι γινομένῃ. ἐδείκνυτο γὰρ δὴ καὶ τῷ τεταρταίῳ πυρετῷ χολὴ μέλαινα πλεονάζουσα μάλιστα, καθάπερ ἐν τοῖς ἀμφημερινοῖς τὸ φλέγμα. τὸν οὖν ἀκριβῆ τριταῖον οὐκ ἐνδέχεται μὴ οὐ μετὰ ῥίγους σφοδροῦ γενέσθαι, νύττοντος καὶ τιτρώσκοντος τὴν σάρκα. τεταρταῖος δὲ πυρετὸς οὐκ εὐθὺς ἀπὸ τῆς πρώτης ἡμέρας εἰσβάλλει μετὰ ῥίγους σφοδροῦ· προϊόντι γὰρ αὐτῷ καὶ αὐξανομένῳ συναύξεται καὶ τὸ ῥίγος, ἥτ' αἴσθησις οὐ

que exercitia ventum eſt, qui interim humores conquieverant, vehementius moveantur; hi enim omnes agitati et per ſentientia corpora violenter delati, ſtimulant, pungunt ac feriunt, atque hinc ſenſum inaequalem, rigorem concuſſumque invehunt. Haec quidem igitur alibi dicta ſunt. Tertiana vero febris, quae ex flava bile mota ortum habet, rationabiliter ſtatim ab initio rigorem affert non mediocrem, hoc ipſo primum a quartanario rigore differentem, quoniam pungi videtur ac vulnerari corpus, talis enim eſt in tertianis febribus rigoris ſenſus, ſicuti in quartana febre vehementem frigefactionem habet, qualis per gelu tempore hyberno ſentitur; nam et illud oſtenſum eſt, quod in quartana febre atra bilis redundat, ſicuti in quotidiana, pituita. Tertianam itaque exquiſitam febrem fieri non contingit ſine rigore vehementi pungente ac feriente carnem. Quartana autem febris non primo ſtatim die cum rigore invadit vehementi; nam progrediente ipſa atque aucta una etiam rigor augetur, ſenſusque aegrotantibus adeſt, non quaſi pungan-

συντομένων ἐστὶ τῶν καμνόντων, ἀλλὰ καταψυχομένων τε καὶ οἷον θλωμένων ἄχρι καὶ τῶν ὀστῶν. οὕτως γ' οὖν ἀκοῦσαι λεγόντων αὐτῶν ἐστι, ὡς ὀστοκόπῳ τε συνέχεσθαι καὶ συνθλᾶσθαι τὴν σάρκα φαντάζονται. τῶν δ' ἀμφημερινῶν οὐδὲ προηγεῖται ῥῖγος, οὔτ' εὐθὺς ἐξ ἀρχῆς οὔτε προϊόντων, ἀλλὰ περιψύχονται μόνον. ἆρ' οὖν ταῦτα μόνα τὰ γνωρίσματα τῶν τριταίων πυρετῶν ἐστιν, ἢ καὶ τὰ τῶν σφυγμῶν, οὐδὲν οὐδ' ἐγγὺς ἔχει τοῖς τεταρταίοις; οὗτοι μὲν γὰρ μικροὺς καὶ ἀμυδροὺς καὶ βραδεῖς καὶ ἀραιοὺς εἰς τοσοῦτον ἐργάζονται τοὺς σφυγμοὺς ἐν ταῖς ἐπισημασίαις, ὡς οὐδεμία διάθεσις ἄλλη. τριταίοις δὲ μικροὶ μὲν καὶ ἀμυδροὶ καὶ βραδεῖς καὶ ἀραιοὶ κατὰ τὰς εἰσβολὰς ἐξ ἀνάγκης γίνονται· [412] ἀλλ' ἡ βραδύτης τε καὶ ἀραιότης οὐ μικρῷ τινι τῶν ἐν τοῖς τεταρταίοις ἀπολείπεται. δεδέσθαι γάρ σοι δόξει κατὰ τὰς εἰσβολὰς τῶν τεταρταίων ἡ ἀρτηρία καὶ εἴσω καθέλκεσθαι καὶ ἀνιέναι κωλύεσθαι. κατὰ δὲ τὰς τριταϊκὰς οὔτε τοιοῦτον οὐδὲν, ἥτε βραδύτης ἐγγὺς τῇ κατὰ φύσιν ἑκάστη κινήσει. τεταρταίων δὲ πυρετῶν εἰσβαλλόντων, εἰ καὶ νέος ὁ

tur, ſed refrigerentur et veluti contundantur usque ad oſſa; nam ita eos audire licet dicentes, quod videantur oſtocopo detineri et carnem habere contuſam imaginentur. In quotidianis autem non antecedit rigor, neque ſtatim ab initio, neque in progreſſu, ſed ſolum perfrigeratio. Nunquid igitur haec ſola ſunt tertianarum febrium indicia, vel neque etiam pulſus ullam habent cum quartanis ſimilitudinem? hae enim parvos et obſcuros et tardos et raros adeo pulſus faciunt in invaſionibus, ſicuti nulla altera affectio, tertianis vero parvi quidem ac obſcuri, tardique ac rari, quum invadunt, pulſus neceſſario adſunt, verum tarditas ac raritas non parum ab iis abeſt, qui in quartanis accidunt; nam in quartanarum principiis videbitur tibi arteria quodammodo eſſe alligata, atque ad interiora retracta, neque liberum habere incrementum, in tertianis vero neque aliquid tale percipitur, tarditasque prope accedit ad eum, qui ſecundum naturam eſt, motum. Quum vero quartanae febres invadunt, quam-

κάμνων εἴη, γεροντικῆς ἐσχάτης ἡλικίας ἡ ἀρτηρία τούτου μιμεῖται τὴν κίνησιν. ἐξ οὖν τούτων ἁπάντων ὁ τοῦ γνησίου τριταίου ἐστὶ παροξυσμὸς διενήνοχε, καὶ πρὸς τούτοις ἔτι τάξις ἀκριβής ἐστιν καὶ ὁμαλότης ἐν τοῖς σφυγμοῖς. οὔτε γὰρ ἐν μιᾷ κινήσει τις ἀνωμαλία κατ' αὐτοὺς οὔτ' ἐν ἀθροίσματι. καίτοι σπάνιον τοῦτό γε καὶ παντάπασιν ὀλίγαις ἀρχαῖς παροξυσμῶν ὑπάρχον. ἤδη τε οὖν εἰσβάλλων ὁ τοιοῦτος πυρετὸς, οὐκ ἂν οὐδένα λάθοι τῶν πολλάκις ἑωρακότων αὐτόν. ἔτι δὲ καὶ μᾶλλον ἐν ταῖς καλουμέναις ἀναβάσεσί τε καὶ αὐξήσεσιν· ὁμαλὸν μὲν γὰρ καὶ ἀκώλυτον ἔχει τὸ τάχος, ἐγείρεται δὲ εἰς μέγεθος καὶ σφοδρότητα παραχρῆμα, κὰν τούτοις ἅπασιν ἀνάλογον, εἰς πυκνότητα. καὶ τὸ τῆς φλεγμονῆς αὐτῷ σημεῖον οὐ πάρεστιν. ἤδη τε οὖν δίψος ἐπιφέρει καὶ διακαίει τὸν ἄνθρωπον καὶ μικρὸν ὕστερον ἀκμάζει καὶ τὸ θερμὸν ὁμαλῶς ἐκτέταται πάντη, καὶ κατ' οὐδὲν ὁ θώραξ τῶν ἄκρων θερμότερός ἐστιν. εἰ δ' ἐπιβάλλοις τὴν χεῖρα, κατὰ μὲν τὴν πρώτην προσβολὴν ἀπαντᾷ θερμασία πολλὴ καὶ δριμεῖα, καὶ οἷον μετ' ἀτμοῦ τινος ἀναφερομένη. νικᾶται δ' ὀλίγον

vis aegrotus juvenis fuerit, talis fit motus arteriae qualis in aetate decrepita. His igitur omnibus legitimae tertianae deprehenditur acceffio, ac praeterea certus ordo, atque aequalitas pulfibus ineft; neque enim in his aliqua in uno motu adeft inaequalitas, neque etiam in collectione, quamvis hoc rarum fit et quod paucis acceffionum principiis folet accidere. Jam igitur haec febris, quum primum invadit, neminem eorum latebit, qui faepius ipfam funt contemplati, fed adhuc minus in iis, qui vocantur ascenfus, atque augmenta, nam aequalem et liberam habet celeritatem, ftatimque ad magnitudinem, atque vehementiam excitatur, hisque omnibus frequentiam refpondentem, neque ipfi ullum adeft inflammationis fignum. Jam igitur et fitim invehit et hominem exurit et paulo poft in vigore confiftit, calor aequaliter quaque verfus extenditur, nihiloque plus thorax extremitatibus calet, et fi manum impofueris, in primo occurfu quidem fit calor multus, atque acris, quique veluti quodam cum vapore efferatur, paulo poft vero a

ὕστερον ὑπὸ τῆς χειρὸς, οὐχ ὥσπερ ἐπὶ τῶν κακοήθων καύσων. ἔμπαλιν γὰρ ἐκεῖναι δεινότεραι καὶ αηδέστεραι χρονίζουσαι φαίνονται. καὶ δὴ καὶ πίνειν δὴ καιρὸς τῷ κάμνοντι. καὶ πιόντι αὐτίκα δὴ μάλα πλῆθος μὲν ἄνεισιν ἀτμοῦ θερμοῦ διὰ τοῦ δέρματος, ἀγγέλλον ἱδρῶτας· ἔμετος δ' ἐπιφαίνεται χολῆς, ἢ γαστὴρ που κατέῤῥηξε καὶ οὔρησε χολώδη. νυνὶ μὲν γὰρ καὶ ὁ τυχὼν γνωρίσειε τὸν ἀκριβῆ τριταῖον. ἀνέρχεται μὲν γὰρ ἱδρὼς ἀτμώδης τε καὶ θερμὸς, ὥσπερ ἐν βαλανείῳ. ἅπαν δ' αὐτοῖς ὁμαλῶς ἱδροῖ τὸ σῶμα, καὶ ὁ σφυγμὸς οἷος ὁ τῶν ἀκριβῶς ὑγιαινόντων ἐν γυμνασίοις τε καὶ λουτροῖς, ταχὺς καὶ μέγας καὶ σφοδρὸς καὶ πυκνός. ἦν δὲ δήπουθεν εὐθὺς ἐξ ἀρχῆς ἤδη καὶ ὁμαλός. ἐπὶ τούτοις ἅπασιν εἰς ἀπυρεξίαν παύεται τὸν σύμπαντα χρόνον τοῦ παροξυσμοῦ, ποιησάμενος ὡρῶν οὐ πλειόνων δώδεκα. πλεῖστος γὰρ οὗτος ὁ χρόνος ἐν τριταίοις γνησίοις· (406) ὡς τὰ πολλὰ δὲ ποτὲ μὲν ἑπτὰ πασῶν ὡρῶν ὁ παροξυσμὸς αὐτοῖς γίνεται, ποτὲ δ' ἤτοι πρωϊαίτερον ἢ ὀψιαίτερον οὐ πολλῷ παύεται. τοῦτον μὲν εἰ μήπω γνωρίσαις ἀκριβῆ τριταῖον ὑπάρχειν, ἀλλ'

manu fuperatur, non uti in febribus malignis ardentibus accidit; contra enim illae graviores ac molestiores, quanto diutius perdurant, apparent. Et jam bibenti tempus adest aegrotanti, et statim post potum plurimus vapor calens per cutem exhalat, fudoris nuncius, bilisque fupervenit vomitus, venterve folvitur et biliofum meit. Nunc ergo vel quivis exquifitam tertianam agnoscat. Supervenit enim fudor vaporofus ac calidus, quemadmodum in balneis, totum vero ipfis corpus aequaliter fudat, talisque eft pulfus, qualis fanorum in exercitationibus et balneis, velox fcilicet ac magnus et vehemens ac frequens, erat autem et statim ab initio aequalis, fed praeter haec omnia, etiam ad infebricitationem definit, univerfum acceffionis tempus ultra xii. horas non extendens, nam hoc tempus longiffimum eft in veris tertianis, faepius autem aliquando feptem horas acceffio continet, nonnunquam citius aut tardius, fed non multo finitur. Hanc quidem febrem fi nondum noveris ter-

ἔτ᾽ ἀναμένεις τὴν ληρώδη διάτριτον, οὐκ ἂν οὐδ᾽ ὄνος ἔτι Θεσσάλειος, ἀλλά τις εἴης λίθος. εἰ δὲ καὶ οὐρήσαντος αὐτοῦ τὸ οὖρον ὑπόπυῤῥόν τε καὶ ὑπόξανθον εἴη καὶ συμμέτρως παχὺ, καὶ μικρὸν ὕστερον ἢ νεφέλην λευκὴν ἢ ἐναιώρημα χρηστὸν ἐργάζοιτο, νῦν μὲν ἂν οὐκέτ᾽ οὐδὲ λίθος ἁπλῶς, ἀλλὰ μυλίας τις ἂν εἴης λίθος, εἰ μήπω γνωρίζεις, ὅτι καὶ τριταῖος οὗτος ὁ πυρετός ἐστι καὶ ἀκριβὴς τριταῖος, καὶ τὴν τετάρτην οὐχ ὑπερβαίνοι περίοδον. πυῤῥοτέρων δὲ τῶν οὔρων ὄντων, καὶ μήτ᾽ ἐναιωρήματος μηδενὸς μήτε νεφέλης ἐν τῇ πρώτῃ περιόδῳ φανείσης, εἰς τὰς ἑπτὰ περιόδους ἐκταθήσεται. πάντων δ᾽ ἁπλούστατός ἐστι τριταίων πυρετῶν, ὃς ἂν ἅπανθ᾽ ὅσα περ εἶπον ἔμπροσθεν, ἀκριβῶς εἶναι τριταίου γνωρίσματα προσδείξας, ὑπόστασιν ἐν τοῖς οὔροις λευκὴν καὶ λείαν καὶ ὁμαλὴν ποιήσεται κατὰ τὴν πρώτην ἡμέραν. [413] οὐ γὰρ ὑπερβήσεται τὴν τρίτην οὗτος περίοδον. ἄγε οὖν ἐπειδὴ πάντ᾽ εἴρηται τὰ τοῦ γνησίου τριταίου γνωρίσματα, καθάπερ τινὰ γενεαλογίαν αὐτοῦ διὰ κεφαλαίων ποιησάμενοι μεταβῶμεν οὕτως ἐφ᾽ ἕτερον. ὁ μὲν παροξυσμὸς εἰσβάλλει μετὰ

tianam, fed expectaveris deliram illam appellatam diatritum, jam neque effes Theffalicus afinus, fed potius lapis. Si vero etiam ipfo aegroto mejente, urina fubrufa vel fubflava et craffitie mediocris apparet, ac paulo poft vel albam nebulam vel fuspenfum bonum fecerit, jam non etiam lapis fimpliciter fores, fed is, qui molaris appellatur, fi quidem hanc tertianam effe ignoraveris et exquifitam tertianam et quae ultra quartum circuitum non progredietur, rufiore vero urina exiftente, neque fuspenfo aliquo, neque nebula in primo circuitu apparente ad feptem circuitus extendetur. Inter omnes autem tertianas illa fimpliciffima eft, quae cum omnia illa nuper a me dicta exquifitae tertianae figna commonftraverit, in urinis etiam fedimentum album et laeve et aequale ftatim in primo fecerit die; neque enim haec ultra tertium progredietur circuitum. Age igitur poftquam diximus omnia exquifitae tertianae figna, quandam veluti ipfius genealogiam per capita facientes, jam ad aliud transgrediamur. Acceffio quidem incipit cum vehementi ri-

ῥίγους σφοδροῦ, τοὺς σφυγμοὺς οἵους εἴρηκα ποιούμενος. ἔπειτ᾽ ὀλίγον ὕστερον αὔξεταί τε καὶ πρὸς τὴν ἀκμὴν ἐπείγεται σὺν οἷς εἴρηται πᾶσιν. εἶτα λύεται καθ᾽ ὃν εἴρηται τρόπον. ἡ γένεσις δὲ αὐτοῦ καταστάσεως μὲν αὐχμηρᾶς καὶ θερμῆς δεῖται, καὶ τὸ σύμπαν φάναι, θερινῆς ὥρας, ἡλικίας δ᾽ ἀκμαστικῆς καὶ χολώδους φύσεως, ἐν πόνοις καὶ φροντίσι καὶ ἀγρυπνίαις καὶ τροφῶν ἐνδείαις γεγενημένης. καὶ εἰ βούλει πρόσθες τούτοις διὰ τοὺς λιθίνους τούτους μεθοδικοὺς, ὅπερ εἴωθέ που καὶ ὁ Ἀρχιγένης προσγράφειν. ἔστω δὲ δή που καὶ ἡ παροῦσα κατάστασις ἐπιδημίαν ἐνηνοχυῖα τριταίων, ἵνα τοῖς τεχνικοῖς γνωρίσμασι καὶ τὸν ἰδιωτικὸν μὲν, ἀληθῆ δὲ στοχασμὸν προσθεὶς, αὐξήσῃς τὸ πιστὸν τῆς προγνώσεως. ὢ πρὸς τῶν θεῶν οὔπω τοῦτον ἐροῦμεν εἶναι τριταῖον, ἀλλὰ τὴν τῶν ἐριουργῶν ἀναμενοῦμεν διάτριτον, ἣν ἐν τῇ γυναικωνίτιδι τρεφόμενος ὁ ληρώδης Θεσσαλὸς ὑπὸ πατρὶ μοχθηρῶς ἔρια ξαίνοντι, κακῶς ἐτόλμα λέγειν Ἱπποκράτην τε καὶ τοὺς ἄλλους παλαιούς; ὁ τὰ τῆς ἰατρικῆς ἅπαντα θεωρήματα καταλαζονευσάμενος ἑστῶτα ὑπάρχοντα καὶ βέβαια,

gore, faciens quales diximus pulſus, deinde paulo poſt augetur, properatque ad ſtatum cum iis quae diximus omnibus, deinde ſolvitur eo quo diximus modo. Ipſius vero generatio et tempeſtatem aeſtuoſam et calentem requirit et ut ſummatim dicam, aeſtivum tempus aetatem jam conſiſtentem, et naturam bilioſam, quae in laboribus, vigiliis, curis et inediis extiterit, et ſi libet, his etiam adde id quod conſuevit Archigenes propter lapideos iſtos methodicos adſcribere, ſit ſcilicet ut praeſens tempeſtas multas tertianas populariter tulerit, ut artificioſis indiciis vulgarem quidem, veram tamen conjecturam adjungens, fidem praecognitionis adaugeas. Numquid per Deos nondum etiam dicemus hanc eſſe tertianam, ſed laniſicorum diatritum expectabimus, quam delirus Theſſalus inter mulieres educatus ſub patre flagitioſe lanas pectente male audebat dicere in Hippocratem et reliquos medicos veteres ſuperbe invehens? Qui omnia medicinae theoremata conſtantia ac ſirma pronuncia-

τριταῖον εἰσβάλλοντα πυρετὸν οὐχ οἷός ἐστι γνωρίζειν, ἀλλ' ἀναμένει τὴν διάτριτον. τοῦτο γάρ τοι θαυμαστόν ἐστιν. ὅσα μὲν οὐκ ἦν βέβαια, ταῦτα εἶπεν εἶναι βέβαια, σύμπαντα δὲ ἠγνόησε τὰ κατὰ τὴν ἀλήθειαν βέβαια. ταύτης μὲν δὴ τῆς γραὸς οὐδὲ μεμνῆσθαι προσήκει.

Κεφ. δ. Τοῦ δ' ἀκριβοῦς τριταίου ἤδη γνωρισθέντος, ἐπὶ τὸν ἀκριβῆ τεταρταῖον μετιέναι ἤδη καιρὸς, οὗ τὴν μὲν ἀρχὴν ὁποία τίς ἐστιν, ἤδη προειρήκαμεν, ὡς οὐδὲν ὅμοιον ἔχουσαν τῇ τριταϊκῇ περιόδῳ, κατά τε τὸ ῥίγος καὶ τοὺς σφυγμούς. τὰ δ' ἐφεξῆς ἤδη λέγωμεν. καίτοι τό γε τῶν ἐν τοῖς παροξυσμοῖς σφυγμῶν ἔμπροσθεν εἰρημένων ὑπομνῆσαι καὶ νῦν εὔλογον. εἰ γὰρ εἰδείης τοῦ νοσοῦντος τὸν κατὰ φύσιν σφυγμὸν, ἢ εἰ καὶ καθ' ἑτέραν αὐτοῦ νόσον, ἐν ἀρχῇ παροξυσμοῦ παραγεγονὼς εἴης, μηκέτ' ἄλλο μηδὲν ἀναμείνῃς εἰς ἀπόφασιν τοῦ τεταρταῖον εἶναι τὸν εἰσβάλλοντα πυρετόν. ἐξαίσιος γάρ τις ἡ εἰς ἀραιότητά τε καὶ βραδύτητα τροπὴ γίνεται. καὶ ἔγωγε τῶν ἐμαυτοῦ συνήθων τινὰς, ὧν ἀκριβῶς εἶδον τοὺς σφυγμοὺς εἰσβάλλοντος τοῦ παροξυσμοῦ θεασάμενος,

vit, tertianam febrem invadentem nequit agnoscere, fed diatritum expectat, hoc fi quidem admirabile eft, quae quidem non erant certa, haec certa dixit effe, omnia autem quae vere certa erant, ignoravit. Sed hujus quidem vetulae nec meminiffe convenit.

Cap. IV. Poftquam vero exquifitam tertianam jam patefecimus, ad exquifitam quartanam tranfire tempus eft. Cujus principium quale fit, jam diximus antea, quod videlicet nihil fimile habeat in rigore ac pulfibus cum tertianae circuitu; nunc reliqua jam dicamus. Sed neque illud ratione caret, ut pulfus, qui in acceffionibus funt, quamvis antea memoratos, iterum repetamus, fi enim cognoveris pulfum aegrotantis naturalem, vel in altero ipfius morbo per initia acceffionis affueris, nihil amplius expectabis, quin febrem invadentem quartanam effe pronuncies, nam eximia quaedam ad tarditatem ac raritatem converfio fit. Ego quidem nonnullos meos familiares, quorum pulfus exquifite cognoveram, jam ingruente acceffione contemplatus,

ἀπεφηνάμην ὡς οὐκ ἐνδέχεται τὴν ἀρχὴν ταύτην ἄλλου τινὸς ὑπάρχειν, ἢ τεταρταίου πυρετοῦ, καὶ οὕτως ἀπέβη. σὺ δ' εἰ τῆς περὶ τοὺς σφυγμοὺς τέχνης ἀπειροτέρως ἔχεις, εἶθ' ἡ μὲν ἀραιότης αὐτῶν καὶ βραδύτης κινήσειέ σε, ἀσφαλέστερον δ' ἔτι καὶ ἀκριβέστερον διορίσασθαι βούλοιο, τῶν Ἱπποκράτους ἀναμίμνησκου κἀνταῦθα παραγγελμάτων. ὡς γὰρ ἐν θέρει τριταίους πυρετοὺς πλεονάζειν, οὕτως ἐν φθινοπώρῳ τεταρταίους ἔφησε. ἐπίσκεψαι δὲ πρῶτον μὲν αὐτὸ τοῦτο, εἰ ξηρὸν καὶ ψυχρὸν καὶ ἀνώμαλον ἐν τῇ κράσει τὸ φθινόπωρον ἐγένετο, καὶ μᾶλλον ἔλπιζε τεταρταίας περιόδους ἐν αὐτῷ συστήσασθαι πολλάς. εἶθ' ἑξῆς, εἰ καὶ τὸ χωρίον αὐτὸ τοιούτων πυρετῶν εὔφορον ᾖ, καὶ ἡ φύσις τοῦ κάμνοντος μελαγχολικωτέρα. καὶ τὰ τῆς προγεγενημένης διαίτης, οἷα μέλαιναν [414] ἀθροῖσαι χολήν. καὶ εἴ τις ἐπιδημία νῦν ἐστι τεταρταίων πυρετῶν. ἐπισφραγίζου δὲ ταῦτα τοῖς ἐφεξῆς εἰρησομένοις· εἰ καὶ ὑπόσπληνος ὁ ἄνθρωπος ᾖ, ἢ εἰ ἐκ πεπλανημένων πυρετῶν, ἢ εἰ καὶ τὰ τῆς ἀναβάσεως καὶ τὰ τῆς ἀκμῆς, ἐναντιώτατα τοῖς τριταίοις εἴη πυρετοῖς, κατά τε τὰς τοῦ

quod tale principium nullius alterius quam quartanae febris, fore contingeret pronunciavi, atque id evenit. Tu vero si artis, quae circa pulfus verfatur, magnam non habes peritiam, deinde raritas ac tarditas eorum te moveat, fecurius tamen ac exquifitius velis discernere, praecepta Hippocratis hoc in loco ad memoriam revoca, qui tempore *aeftivo tertianas febres, autumnali vero quartanas graffari* dixit. Primum vero hoc ipfum confidera, numquid autumnus frigidam et ficcam et inaequalem habuerit temperiem, et tunc magis fperabis quartanos circuitus in ipfo fore frequentiores, poft haec, fi regio ipfa talium febrium fit ferax, et fi aegrotantis natura atrae bili obnoxia fit, talisque ratio victus antecefferit, quae hujusmodi humorem congerat, et fi eo tempore quartanae febres populariter fiant. Haec autem cum illis quae deinceps dicentur obfignabis, fi homo lienofus fuerit, vel febres erraticas paffus fuerit, vel fi augmentum et ftatus maxime contraria fuerint tertianis febribus et fe-

θερμοῦ κινήσεις, καὶ κατὰ τὰς τῶν σφυγμῶν, καὶ ἐπὶ τούτοις ἅπασιν εἰ λεπτὰ καὶ λευκὰ καὶ ὑδατώδη τὰ οὖρα, παντάπασι γὰρ ταῦτά γε τοῖς τῶν τριταίων ἐναντιώτατα. τριταῖον μὲν δὴ τεταρταίου κατὰ τὴν πρώτην εὐθὺς ἡμέραν ὁ μὴ δυνάμενος διακρίνειν, οὐδ' ἰατρὸς ὅλως ἐστί.

Κεφ. ε'. Ἀμφημερινὸν δὲ τριταίου μὲν ἑτοιμότερον διορίζειν, οὔτε γὰρ μετὰ ῥίγους εἰσβάλλει κατὰ τὴν πρώτην ἡμέραν εὐθὺς, ἀλλὰ καὶ προϊόντος τοῦ χρόνου περίψυξις αὐτοῖς μᾶλλον, ἢ ῥίγος γίνεται, καὶ σαφὴς ἀταξία τε καὶ ἀνωμαλία συνεδρεύει τοῖς σφυγμοῖς, κατὰ τὴν ἀρχὴν τῶν παροξυσμῶν. ἴσμεν δὲ ὅτι κἀν ταῖς ἀναβάσεσι τὸ ταχὺ τῆς κινήσεως καὶ τὸ μέγα καὶ τὸ σφοδρὸν, ὅπερ τοῖς τριταίοις ὑπῆρχε σαφέστατον, οὐχ ὑπάρχει τοῖς ἀμφημερινοῖς. οὐ μὴν οὐδὲ διακαίουσι τοὺς κάμνοντας, οὐδὲ γυμνοῦσθαί τε καὶ τὴν ἐσθῆτα ῥίπτειν ἀφ' ἑαυτῶν ἀναγκάζουσιν, οὐδὲ πολὺ καὶ πυκνὸν ἀναπνεῖν, οὐδ' ἐκφυσᾷν, οἷον φλόγα τινὰ, καὶ πιεῖν αἰτεῖν ψυχρὸν, ἀλλ' ἥκιστα πυρέττοντες οὗτοι διψώδεις εἰσί. καὶ οὖρον αὐτοῖς ἐν τῇ πρώτῃ τῶν ἡμερῶν, οἷον τοῖς

cundum caloris motum et pulſuum et praeter haec omnia, ſi tenues et albae et aquoſae urinae fuerint; haec enim omnino tertianarum urinis diſſimillimae ſunt. Tertianam quidem a quartana, qui primo ſtatim die nescit diſtinguere, neque omnino medicus eſt.

Cap. V. Quotidianam autem a tertiana discernere facilius eſt; neque enim primo ſtatim die cum rigore invadit, ſed et progreſſu temporis perſrigeratio potius quam rigor ipſis advenit, neque ullus ordo aut aequalitas pulſibus aſſidet, quum primum acceſſiones ſiunt. Novimus autem, quod in augmentis motus velocitas, magnitudo, atque vehementia, quae omnia tertianis adſunt maniſeſtiſſime, quotidianis non adſunt, ſed neque deurunt laborantes, neque denudare corpora et pallia jactare cogunt; neque multum, aut frequenter reſpirare, ac veluti flammam ex ore efflare, frigidumque potum expetere, verum iſti, quum febricitant, minime ſitiunt, urinaeque ipſis in primis diebus tales ſunt,

τεταρταίοις ἀρχομένοις, καὶ ἱδροῦσιν ἥκιστα περὶ τὰς πρώτας ἡμέρας. ἐπὶ μέν γε τῷ χρόνῳ προϊόντι καὶ τοῦτ' αὐτοῖς προσγίνεται. τριταίου μὲν δὴ σαφῶς διενήνοχεν, ὡς ὅμοιον ἔχειν μηδέν. ἐγγυτέρω δ' ἐστὶ τεταρταίου, διαφέρει γε μὴν καὶ τούτου σαφῶς. πρώτως μὲν καὶ μάλιστα τοῖς σφυγμοῖς οὓς ἐπὶ συνήθων ἀῤῥώστων ἀκριβῶς ἄν τις φωράσειεν. ἤδη δὲ καὶ τῷ ῥίγει καὶ τοῖς ἄλλοις ἅπασι τοῖς ἔξωθεν ἐφ' οἷς γίνεται. καὶ φύσεως ὑγροτέρας δεῖται καὶ βίων ἀργοτέρων τε καὶ μετὰ πλησμονῶν. οὗτός γ' οὖν καὶ παιδίοις μάλιστα πλεονάζει, καὶ σπάνιον εἰ μὴ καὶ στόμα τῆς γαστρὸς, ἢ καὶ τὸ ἧπαρ αὐτοῖς ἐπόνησεν. ἀτὰρ οὖν καὶ ἀπεψίαι προηγοῦνται πολλαὶ καὶ βραδυπεψίαι καὶ ὀξυρεγμίαι καὶ πυρέττειν ἀρχομένων, ὑποχόνδριον μὲν ἐν ὄγκῳ μείζονι τοῦ κατὰ φύσιν ἐξ ἅπαντος, ὡς τὰ πολλὰ δὲ καὶ διαπεφυσημένον τε καὶ περιτεταμένον, ὠχρόλευκός τε τούτοις ἡ χροιὰ, κἂν ὁ παροξυσμὸς ἀκμάσῃ. καὶ ὁ χειμὼν εὔφορος τοιούτων νοσημάτων. καὶ κατάστασις ὑγρὰ καὶ χωρίον τοιοῦτον. καὶ ἡ ἀρχὴ τῶν παροξυσμῶν εἰς

quales quartanis incipientibus adsunt, atque in primis diebus minime sudant, sed progrediente tempore hoc etiam illis advenit. A tertiana quidem adeo manifeste differt, ut nihil cum ea simile habeat. Ad quartanam autem propius accedit, sed et ab hac differt manifeste; primum quidem et maxime pulsibus, quos in aegrotis familiaribus quispiam exacte deprehendat, sed et rigore etiam, atque aliis extrinsecus omnibus, popter quae accidit, nam et natura eget humidiore, vitaque ociosa et cum repletionibus, sic igitur et in pueris maxime exuperat, ac perrarum est, quin et os ventriculi, vel hepar in ipsis male afficiatur, sed et cruditates antecedunt plurimae et tardae concoctiones et acidi ructus, et quum primum febrire incipiunt, praecordia ultra naturalem habitum ex toto intumescunt, magna vero ex parte inflantur ac distenduntur, color his cum pallore albus etiam quum accessio ad statum venerit, taliumque morborum hybernum tempus ferax est, et status temporis humidus et ejusdem naturae locus, et accessionum princi-

ἑσπέραν. οὕτω μὲν ἀμφημερινὸς καὶ τριταῖος καὶ τεταρταῖος ἀλλήλων διορίζονται κατὰ τὴν πρώτην ἡμέ(407)ραν.

Κεφ. στ'. Τοὺς δὲ συνεχεῖς μὲν, ὁμογενεῖς δὲ τοῖς προειρημένοις πυρετοῖς, γεγυμνασμένος μέν τις οὐκ ἂν οὐδ' ἐν τῇ πρώτῃ τῶν ἡμερῶν γνωρίζειν τε καὶ διακρίνειν ἀλλήλων ἀδυνατήσειεν. ἐπὶ δ' οὖν τῆς δευτέρας, εἰ προσέχοι τὸν νοῦν, κἂν ἀγύμναστος εἴη. καλῶ δὲ ὁμογενεῖς πυρετοὺς συνεχεῖς ἑκάστῳ τῶν διαλειπόντων, τριταίῳ μὲν ἀκριβεῖ, τὸν ἀκριβῆ καῦσον, ἀμφημερινῷ δὲ τὸν καθ' ἑκάστην ἡμέραν παροξυνόμενον, εἰς ἀπυρεξίαν δὲ μὴ παυόμενον. οὕτω δὲ καὶ [415] τεταρταίῳ, τὸν διὰ τετάρτης. ὅ τε γὰρ ἀκριβὴς καῦσος ἅπαντα τἄλλα φυλάττων ἀκριβῶς τριταίου γνωρίσματα, μόνῳ τῷ μὴ μετὰ ῥίγους εἰσβάλλειν μήτ' εἰς ἀπυρεξίαν παύεσθαι διενήνοχεν. ὁ δὲ καθ' ἑκάστην ἡμέραν παροξυνόμενος, ὅταν καὶ ὥραν καὶ κατάστασιν καὶ ἡλικίαν καὶ χώραν καὶ φύσιν σώματος, καὶ τὴν προγεγενημένην δίαιταν, ἔτι τε τὴν τῶν σφυγμῶν ἰδέαν, καὶ τὴν θερμασίαν τὴν αὐτὴν ἔχει τοῖς ἀκριβέσιν

pium fub vesperam invadit. Ita quidem quotidiana, tertiana et quartana primo die invicem discernuntur.

Cap. VI. At vero continuas quidem, fed quae idem genus cum praedictis habent, quispiam exercitatus neque in primo die agnoscere ac inter fefe diftinguere impos erit, fecundo vero, neque fi etiam fuerit imperitus, fi quidem mentem adhibuerit. Dico autem febres continuas idem habere genus cum fingulis intermittentibus, cum tertiana quidem exquifita exquifitam ardentem, cum quotidiana vero eam, quae quolibet die facit acceffionem, fed nunquam definit ad infebricitationem; fic et cum quartana illam, quae quarto quoque die fimiliter. Nam exquifita febris ardens quum omnia alia fervet exquifitae tertianae indicia, eo folo differt, quod neque cum rigore invadit, neque ad infebricitationem definit. Quae vero quotidie acceffionem facit, quando et anni tempus et aëris ftatum et aetatem et naturam corporis et victus rationem antecedentem, ac praeterea pulfuum formam caloremque eundem habuerit cum exqui-

ἀμφημερινοῖς, μὴ παύηται δὲ εἰς ἀπυρεξίαν, ὁμογενής ἐστιν αὐτοῖς. κατὰ τὰ αὐτὰ δὲ καὶ ὁ διὰ τετάρτης μὲν παροξυνόμενος, εἰς ἀπυρεξίαν δὲ μὴ παυόμενος, ὁμογενής ἐστι τεταρταίῳ. καὶ δῆλον, ὡς οὔτε ῥίγος αὐτῷ προηγήσεται τῶν παροξυσμῶν, οὔθ᾽ ἱδρὼς ἕψεται, καθάπερ οὐδὲ ἐν τῷ καύσῳ τούτων οὐδέτερον, οὔτ᾽ εὐθὺς κατ᾽ ἀρχὰς οὔτε ἐφεξῆς ἄχρι κρίσεως, οἷόν τε γενέσθαι. τούτους οὖν πρώτους ἀσκησάτω τις γνωρίζειν τε καὶ διακρίνειν ἀλλήλων τοὺς ἁπλοῦς τε καὶ ἀμίκτους ἑτερογενέσι πυρετοῖς, οὓς δι᾽ αὐτὸ τοῦτο, γνησίους τε καὶ ἀκριβεῖς, οἱ παλαιοὶ τῶν ἰατρῶν ὀνομάζουσιν. ὁ γὰρ ἐπὶ μόνῃ τῇ ξανθῇ χολῇ πυρετὸς ἀναπτόμενος, ἄνευ σπλάγχνου κακώσεως, εἰ μὲν οὖν ἐν τοῖς ἀγγείοις ἔτι μενούσης τῆς χολῆς ἐξάπτοιτο, καῦσος ἀκριβής ἐστιν, εἰ δὲ πάντη φερομένης, τριταῖος. οὕτω δὲ εἰ καὶ μελαίνης χολῆς ἔγγονος ὁ πυρετὸς ὑπάρχει. κινουμένης μὲν τεταρταῖός ἐστιν, ἱδρασμένης δὲ διὰ τετάρτης. ὥσπερ εἰ καὶ φλέγματος, ἤτοι γε ἀμφημερινὸς ἢ καθ᾽ ἑκάστην ἡμέραν παροξυνόμενος.

ſitis quotidianis, non pervenerit autem ad inſebricitationem, idem genus cum illis obtinet. Eodem modo et quae quarto quoque die acceſſionem facit, ad inſebricitationem autem non deſinit, ejusdem eſt generis cum quartana et palam eſt, quod neque rigor in ea acceſſiones antecedat, neque ſequetur ſudor, ſicuti etiam in ſebre ardenti horum neutrum, neque ſtatim ob initio neque deinceps usque ad criſim, ſieri poteſt. In his igitur dignoscendis quispiam prius ſe exerceat, atque invicem diſtinguere ſtudeat ſimplices, atque impermixtas aliis, quae ſint diverſi generis ſebres, quas ob hoc ipſum legitimas, atque exquiſitas veteres medici nominarunt. Nam quae ob ſolam flavam bilem febris accenditur ſine aliquo visceris affectu, ſi quidem manente adhuc intra vaſa bile accendatur, exquiſita febris ardens eſt, ſi vero per totum corpus deferatur, tertiana. Sic et ſi ab atra bile fit febris, quum movetur quartana eſt, quum firmata eſt, illa, quae quarto quoque die excrescit. Sicuti ſi ex pituita ortum habeant, vel quotidianae ſunt, vel quae ſingulis die-

οἱ γὰρ εἰς ἀπυρεξίαν λήγοντες πυρετοὶ, τριταῖοί τε καὶ τεταρταῖοι καὶ ἀμφημερινοὶ, τὴν αὐτὴν ὑπόθεσιν ἔχοντες τοῖς εἰρημένοις συνεχέσιν, ἑνὶ μόνῳ τῷ κατὰ τὰς φλέβας, ἢ πάντη φερομένους ἔχειν τοὺς χυμοὺς, διενηνόχασιν. ὅθεν καὶ τἄλλα μὲν αὐτοῖς τὰ αὐτὰ, τῷ δὲ μετὰ ῥίγους, ἢ μὴ σὺν ῥίγει, καὶ σὺν ἐμέτοις τισὶ καὶ ἱδρῶσι, ἢ ἄνευ τούτων γίνεσθαι διαφέρουσι. συνεχῆ μὲν δὴ πυρετὸν ὀνομάζω, τὸν εἰς ἀπυρεξίαν, πρὶν τελέως λυθῆναι μὴ παυόμενον, κἂν παρακμή τις αἰσθητὴ φαίνηται. ὅταν δὲ μηδὲ παρακμή τις αἰσθητὴ γένηται, διὰ παντὸς δὲ ἀπὸ τῆς πρώτης ἀρχῆς, ἄχρι κρίσεως ὅμοιος διαμένει, τοῦ γένους μέν ἐστιν, καὶ οὗτος τῶν καυσωδῶν πυρετῶν, ὀξύτητι δ' αὐτῶν διενήνοχεν. ἀλλ' οὔτε κατὰ τὴν πρώτην ἡμέραν ἢ δευτέραν οἷόν τε προγνῶναι τὸν τοιοῦτον, οὔτ' ἄλλως χρήσιμον, ἀρκεῖ γὰρ τὸ γένος γνωρίζειν, ὅτι χολώδης τε καὶ περικαὴς καὶ κατοξύς. οὐδὲ γὰρ εἰ σύνοχον ὀνομάζει τις αὐτὸν, ὥσπερ ἔνιοι τῶν ἰατρῶν, ὅλῳ τῷ γένει διοίσει τῶν καυσωδῶν πυρετῶν, ἕνεκά γε τῆς προσηγορίας. ὥσπερ

bus accenduntur. Nam quae ad infebricitationem desinunt febres tertianae, quartanae et quotidianae, eandem hypothesim cum continuis de quibus diximus habent, uno solo inter se differunt, quod per venas, vel per totum corpus in eis deferuntur humores; quare et reliqua ipsis comparia adsunt, quod vero cum rigore, vel non cum rigore et vomitibus quibusdam, vel sudoribus fiunt et sine his, differentiam habent. Continuam quidem nomino febrem, quae ad infebricitationem antequam ex toto solvatur non desinit, etsi declinatio aliqua sensibilis appareat. Quum vero neque declinatio aliqua sensibilis fiat, semper vero a primo principio febris usque ad crisim similis perseveraverit, erit et haec ex genere febrium ardentium, ab iisdem vero quod sit acutior differt. Sed neque in primo die, neque in secundo possibile est hujusmodi febrem praenoscere, neque alioqui est utile, sufficit enim genus agnoscere, quod scilicet biliosa sit, atque ardens et peracuta; neque enim si etiam synochum ipsam nominaveris, ut quidam medici faciunt, appellationis ratione a febribus ardentibus toto genere differt, sicuti neque ob id

οὐδ' ὅτι τρεῖς αὐτοῦ τύπου συνόχου διαφορὰς εἰδότες, ἴδιον ἐφ' ἑκάστης αὐτῶν ὄνομα φέρουσι· τοὺς μὲν ἐπακμαστικοὺς, τοὺς δὲ ὁμοτόνους, τοὺς δὲ ἀκμαστικοὺς, τοὺς δὲ παρακμαστικοὺς ὀνομάζοντες ἤδη, διὰ τοῦτο κατὰ γένος αὐτοῖς ἡγητέον εἶναί τινα διαφοράν. ὅθεν οὐδ' εἰς τὴν παροῦσαν πραγματείαν ἡ διάγνωσις αὐτῶν, μέγα τι συντελεῖ. πάντες γὰρ οὗτοι, κατὰ τὴν πρώτην ἑβδομάδα κρίνονται. τούτου δὲ εἰς παρόντα χρεία, τοῦ λαβεῖν τινα τῆς ὅλης τοῦ νοσήματος καταστάσεώς τε καὶ κρίσεως, ἐν ταῖς πρώταις ἡμέραις ἐπίγνωσιν. εἰ μὲν γὰρ ἀκριβὴς τριταῖός ἐστιν, ἐντὸς τῶν ἑπτὰ περιόδων· εἰ δ' ἀκριβὴς καῦσος, ἐντὸς τῆς πρώτης ἑβδομάδος ἐξ ἀνάγκης κριθήσεται. χρονιοῦσι δὲ πάντως ὅ τ' ἀμφημερινὸς, καὶ ὁ παρακείμενος αὐτῷ συνεχής. ὥσπερ καὶ ὁ τεταρταῖός τε καὶ ὁ διὰ τετάρτης. ὥστε τρία μέν ἐστι τὰ σύμπαντα γένη τῶν ἁπλῶν πυρετῶν, ἕκαστον δ' αὐτῶν εἰς δύο τὰς πρώτας τμηθήσεται διαφοράς· [416] ἢ γὰρ συνεχεῖς, ἢ διαλείποντες ἔσονται. καὶ γνωρισθήσονται κατὰ τὴν πρώτην ἡμέραν. οἱ μὲν εὐθὺς εἰσβαλλόντων τῶν παροξυσμῶν, οἱ δ',

quod tres fynochi differentias agnoscentes, proprium fingulis ipforum nomen impofuerunt, has quidem increscentes, illas vero in eodem vigore atque tenore perfeverantes, alias decrescentes nominantes. Jam ex hac diverfitate appellationum differre fecundum genus eft existimandum, quare neque ad praefentem tractatum eorum dignotio plurimum confert; hae enim omnes in prima feptimana judicantur. Hic vero in praefenti eft necelfarium aliquam totius morbi conftitutionis ac crifis in primis diebus affumere cognitionem. Si enim tertiana pura fuerit, intra feptimum circuitum, fi vero exquifita febris ardens, intra primam feptimanam necelfario judicabitur. Omnino autem diuturnae funt et quotidiana intermittens et illi adhaerens continua, ficuti et quartana et quae per quartum excrescit. Quare tria erunt univerfa fimplicium febrium genera; fingula vero ipforum in duas primas differentias fecabuntur, vel enim intermittentes vel continuae febres erunt, et primo die dignoscentur, aliae ftatim in primo accelfionum infultu, aliae vero in in-

ἀναβαινόντων, οἱ δ᾽ ἀκμαζόντων, οἱ δ᾽ ἐν ταῖς πρώταις παρακμαῖς, ἢ τοῖς ἀπυρέτοις διαλείμμασι.

Κεφ. ζ. Συνθέτου μέντοι τοῦ νοσήματος ὑπάρχοντος, οὐκέθ᾽ ὁμοίως εὐπετὴς ἡ διάγνωσις, ἀλλ᾽ ἐνταῦθα δεῖ μάλιστα συνέσεώς τε καὶ γυμνασίας. σύνεσιν μὲν οὖν οἴκοθεν ἕκαστος ἐκ τῆς ἑαυτοῦ φύσεως ἢ κεκτημένος ἢ μὴ κεκτημένος ἀφίξεται. γυμνασίας δὲ τῆς νῦν εἰρησομένης, οὐκ ἂν ἐξεύροι βελτίονα. χρὴ γὰρ δή που γνωρίζειν αὐτὸν ἀσκῆσαι ῥᾳδίως ἁπλοῦν εἶδος πυρετοῦ, κἄπειθ᾽ οὕτως μεταβαίνειν ἐπὶ τὰ σύνθετα. διχῶς δ᾽ ἂν γίνοιτο σύνθετον εἶδος πυρετοῦ κατὰ τήν γε πρώτην τομὴν ἢ τῷ τοὺς εἰρημένους ἀλλήλοις μίγνυσθαι, χωρὶς τόπου πεπονθότος, ἢ τῷ μόριόν τι φλεγμαῖνον ἀνάπτειν αὐτούς. ἑκάτερα δὲ τῶν εἰρημένων διαφορῶν, ἑτέραν αὖθις ἐγχωρεῖ τομὴν ἐπιδέξεσθαι. οἵ τε γὰρ ἄνευ μορίου πεπονθότος συνιστάμενοι, διχῶς μίγνυνται, ποτὲ μὲν ἐπιπλεκόμενοι, ποτὲ δὲ ὡς ἂν εἴποι τις, δι᾽ ὅλου κεραννύμενοι, οὕτω τοι καὶ τὰ φλεγμαίνοντα μέρη, καὶ γὰρ καὶ τούτων τὰ

cremento, quaedam in vigore, quaedam in primis declinationibus, vel febre vacantibus intermiſſionibus.

Cap. VII. Quod ſi morbus compoſitus fuerit, non aeque facile dignoscetur: at hic maxime intelligentia atque exercitatio eſt neceſſaria. Intelligentiam igitur propriam ſuapte natura poſſidens, vel minime poſſidens, quispiam accedet, exercitationem autem ea quae nunc dicetur meliorem nemo reperiet. Oportet enim ad haec exercitari, ut ſimplicem febris ſpeciem agnoscat, atque ita deinceps ad compoſitas transgredi. Dupliciter vero genus febris compoſitum conſtituitur, in prima quidem ſectione, vel quia eae, quas diximus febres citra alicujus partis affectum commiscentur, vel quia ex partis cujuspiam inflammatione accenduntur. Nam in utraque harum differentiarum alteram rurſus ſectionem fieri contingit. Nam quae citra partis affectum conſiſtunt dupliciter commiscentur, aliquando implicatae, nonnunquam vero, ut quis dixerit, per ſe totas confuſae; ſic partes quoque inflammatae; nam et ex ipſis quaedam quidem veluti complicantur tantummodo, quae-

μὲν οἷον ἐπιπλέκεται μόνον, τὰ δὲ οἷον κρᾶσίν τινα τῶν διαθέσεων ἴσχει. τὴν οὖν ἐπιπλοκὴν ἀσκῆσαι χρὴ πρῶτον γνωρίζειν. εἶθ' οὕτως τὴν κρᾶσιν ἀρξαμένους ἀπὸ τῶν πυρετῶν. ἐπιπλέκονται δ' οἱ πυρετοὶ πολλάκις μὲν ὁμογενεῖς ὁμογενέσι, ἢ ὁμοειδεῖς ὁμοειδέσιν, ἔστι δ' ὅτε καὶ διαφέροντες. ἀμφημερινοί τε γὰρ τριταίοις καὶ τούτοις τεταρταῖοι καὶ ἀλλήλων οἱ ὁμοιοειδεῖς ἐπιπλέκονται πολλάκις. ὥστε καὶ τρεῖς ἐνίοτε τεταρταίας περιόδους ὁ αὐτὸς ἄνθρωπος ἴσχει. τούτους μὲν οὖν γνωρίζειν οὐ πάνυ χαλεπόν. ἐνίοτε δὲ τῶν διαλειπόντων τις ἐπιπλέκεται τῷ συνεχεῖ, χαλεπωτάτην τε καὶ δυσθήρατον μῖξιν, ὑπὲρ ἧς ἐφεξῆς ἐροῦμεν, ἂν πρότερον ἁπάσας ἐπέλθωμεν ἃς ἐξεθέμεθα διαφοράς. ὁμοίως γὰρ τοῖς πυρετοῖς οἱ πεπονθότες τόποι τὴν μῖξιν ἴσχουσιν, ἢ διαφερόντων μορίων, ἴδιον ἑκατέρου πυρετὸν ἐξάπτοντος, οἷον σπληνὸς, εἰ τύχῃ καὶ ἥπατος, ἢ διαθέσεως μικτῆς, οἷον φλεγμονῆς ἐρυσιπελατώδους, ἢ ἐρυσιπέλατος φλεγμονώδους. ἀλλὰ καὶ ταύτας ἁπάσας τὰς μίξεις ἀσκῆσαι χρὴ διαγινώσκειν, ἐπειδὰν

dam vero veluti confusionem quandam habent affectionum. Primum igitur exercitari oportet ad hoc, ut complicationem cognoscamus, deinde ipsam confusionem a febribus incipientes. Febres quaedam complicantur unius generis cum aliis ejusdem generis, vel unius speciei cum aliis ejusdem speciei; contingit vero nonnunquam ut etiam differentes. Nam quotidianae tertianis et his quartanae et quae eandem speoiem servant, invicem plerumque complicantur, quo fit ut idem homo tres habeat quartanos circuitus, sed hos quidem non est admodum difficile agnoscere. Quandoque vero aliqua ex intermittentium genere cum continua difficillimam vixque explorabilem facit mixtionem, de qua deinceps dicemus, si prius omnes quas proposuimus simplices differentias exposuerimus. Nam sicuti febres, ita et affecti loci mixtionem recipiunt, vel quia differentes partes propriam singulae febrem accendunt, ut exempli gratia lien et jecur, vel quia affectio mixta, veluti inflammatio cum erysipelate, aut erysipelas cum inflammatione miscetur. Sed in his omnibus mixtionibus dignoscendis exercitari oportet,

ἀκριβῶς τὰς ἁπλῶς αὐτῶν ἰδέας γνωρίζωμεν. ἑτέρα γὰρ ἰδέα περιπνευμονικοῦ καὶ φρενιτικοῦ καὶ πλευριτικοῦ καὶ ἡπατικοῦ πυρετοῦ, κατὰ ταῦτα δὲ καὶ τῶν ἄλλων ἑκάστου τῶν ἐπὶ μορίοις τισὶ φλεγμαίνουσι ἀναπτομένων πυρετῶν. ἕτεραι δ᾽ αὖ πάλιν ἰδέαι τῶν ἐπὶ τοῖς ἐρυσιπέλασι. καὶ ὅ γε κακοήθης καῦσος, ἢ τοῖς τοῦ πνεύμονος, ἢ τοῖς τοῦ ἥπατος, ἢ τοῖς τῆς γαστρὸς ἐρυσιπέλασιν ἐπιγίνεται. διαιρεῖσθαι δὲ χρὴ καθ᾽ ἕκαστον ἄῤῥωστον. πρῶτον μὲν εἰ χωρὶς τόπου πεπονθότος ὁ πυρετὸς ἐπὶ χυμοῖς διασαπεῖσιν, ἢ μόνῳ τῷ πνεύματι τραπέντι. δεύτερον δὲ εἰ μόριόν τι πεπονθὸς αἴτιον ὑπάρχει. καὶ τίς ἡ διάθεσις αὐτοῦ. ἐπειδὰν δὲ ταῦτα διαγινώσκειν ἀσκήσῃς, τὰς μίξεις ἁπασῶν αὐτῶν εὑρήσεις.

Κεφ. η΄. [417] Ἆρ᾽ οὖν ἀξιώσεις με νῦν, περί τε τῶν πεπονθότων τόπων, ἢ περὶ τῆς τῶν πυρετῶν ἁπάσης συμπλοκῆς διεξέρχεσθαι; καὶ (408) μὴν αὐτὸς αὖ πάλιν ἐγκαλέσεις τῷ μήκει τῆς πραγματείας. θαυμαστὸν γὰρ δὴ καὶ τοῦτο πεπόνθασιν οἱ πολλοὶ τῶν ἀνθρώπων, ὀλίγα τε μανθάνειν ἀξιοῦντες ἅμα, καὶ μηδὲν παραλείπεσθαι. τά γ᾽ οὖν Ἀρχιγένους

quando jam exquifite omnes earum formas fimplices tenuerimus. Alia enim eft forma febris phreniticae et peripneumonicae et pleuriticae et hepaticae, itidem et aliarum omnium febrium, quae ex inflammatis quibusdam partibus accenduntur. Sed et aliae rurfus formae funt earum, quae ex eryfipelatibus accidunt. Et febris ardens maligna, vel pulmonis, vel hepatis, aut ventriculi eryfipelatibus fupervenit. Diftinguere autem oportet in fingulis aegrotantibus, primum quidem, fi fine loci affectu fit febris, vel ex humorum putredine, vel quia folus fpiritus fit alteratus, deinde fi membrum affectum febris fit caufa et quaenam fit ejus affectio. Ubi vero horum notitiam exercitatione comprehenderis, tunc eorum omnium mixtionem invenies.

Cap. VIII. Nunquid igitur a me nunc exiges, ut vel de locis affectis, vel de omni febrium complicatione recenfeam? at ipfe rurfus operis damnabis prolixitatem; hoc enim mirandum plurimi hominum patiuntur, ut pauca discere expetant et nihil praetermittere. Decem igitur Archigenis

περὶ τῆς τῶν πυρετῶν σημειώσεων δέκα βιβλία μακρὰ φάσκοντες εἶναι, μόνην ἀναγινώσκειν ἐπιχειροῦσι τὴν ἐπιτομὴν, οὐδὲ ταύτην ἅπαντες, ἀλλ' εἰσὶν οἳ καὶ ταύτης ἔτι βραχύτερόν τι ζητοῦσι. εἰσὶ δὲ οἳ καὶ μέμφονται, διότι βιβλίον ὅλον ἔγραψε περὶ τῆς ἐννοίας τοῦ πυρετοῦ. καὶ τούτῳ μὲν ἐντυχεῖν οὐχ ὑπομένουσιν, οὐδὲ πεισθῆναί τε καὶ μαθεῖν ὅσον Ἐρασίστρατος ἐσφάλη περὶ τῆς ἐννοίας τοῦ πυρετοῦ, κελεύσαντες δέ τι περὶ τῶν πυρετῶν αὐτοῖς ῥηθῆναι, τὴν πρώτην εὐθὺς οὐ συγχωροῦσι διαφορὰν, ὡς οἱ μὲν ἐπὶ τόποις πεπονθόσι, οἱ δὲ ἄνευ τούτων συνίστανται. ταὐτὸ δὴ τοῦτο καὶ περὶ κρίσεων πεπόνθασι, ἐγκαλοῦντες μὲν ἐπὶ τοῖς παραλελειμμένοις, μεμφόμενοι δὲ τῷ μήκει τῶν εἰρημένων, καίτοι τοῦ μήκους ᾧ μέμφονται, διττοῦ τὴν φύσιν ὑπάρχοντος, ὡς ἐγὼ νῦν διαιρήσομαι. καὶ ταὐτ' ἄμφω ψέγουσι καὶ μᾶλλον αὐτῶν ἔτι τὴν βραχυλογίαν, ταύτην μὲν ὡς ἤτοι παραλείπουσάν τινα τῶν ἀναγκαίων, ἢ πάντως γε μὴ σαφῶς ἐκδιδάσκουσαν. τοῦ δὲ μήκους, τοῦ μὲν ἅπαντα ἐκδιδάσκοντος τὰ χρήσιμα, μετὰ τοῦ διαβάλλειν τὰ ψευδῶς τισιν ὑπειλημμένα, λῆρον εἶναί

de febrium fignificatione volumina quum dicunt effe longa, folum legere compendium inftituunt, neque hoc ipfum omnes, fed funt qui et eo aliquid brevius poftulent, funt qui et illum damnent, quoniam librum integrum de febris notione confcripferit, adque ideo hunc nolunt attingere, neque quicquam audire aut discere, quantum Erafiftratus in febris notione aberraverit. Quum vero exigunt fibi aliquid de febribus enarrari, primam ftatim differentiam non admittunt, quod videlicet quaedam ex locorum afpectu, quaedam autem fine illo confiftant. Idem autem circa crifes patiuntur, fi quid praetermiffum fuerit, reprehendentes, verborum tamen damnantes prolixitatem, quamvis haec quam accufant duplex fit, veluti hoc loco diftinguam, quarum utramque quum ipfi vituperent, magis tamen fermonum carpunt brevitatem, hanc quidem, ut quae aliquid ex iis quae funt neceffaria praetermittat, vel faltem obscuram tradat doctrinam, prolixitatem vero, quae omnia enumerat opportuna, atque una falfas aliorum opiniones refellit,

φασι μακρόν. καὶ τοὺς αὐτὰ μόνα τὰ χρήσιμα ἐκδιδάσκοντας ἐπαινοῦσι. τοῖς δ᾽ αὖ πάλιν ἐκεῖνα μόνα λέγουσιν ἀντιπροτείνουσι τὰ τῶν ἑτεροδόξων, καὶ μέμφονται τῆς προπετείας, εἰ χωρὶς ἀποδείξεως ἀξιοῦσι ἁπλῶς ἀποφηνάμενον πιστεύεσθαι. οὐκ ἀνέχονται δὲ οὐδὲ τῶν αὐτὰ τὰ χρήσιμα πλατύτερον ἐκδιδασκόντων. ὥστ᾽ οὐδὲν θαυμαστὸν εἰ κἀν τοῖς περὶ κρίσεων λόγοις ὁμοίως ἐγκαλέσουσι, τὴν μὲν βραχυλογίαν ψέγοντες, ὡς ἀσαφῆ τε ἅμα καὶ πολλὰ παραλείπουσαν, ἀκούειν δὲ πλειόνων οὐχ ὑπομένοντες, ἔτι τε προσεγκαλοῦντες ἃ μικρὸν πρόσθεν εἴρηται. καὶ γὰρ δὴ καὶ περὶ τόπων πεπονθότων Ἀρχιγένει γέγραπται βιβλία τρία, πάντων τῶν ἔμπροσθεν εἰς τὴν αὐτὴν πραγματείαν γεγραμμένων ἄριστα. ταῦτ᾽ οὖν ἅπαντα εἰ μεταφέρειν εἰς τόνδε τὸν λόγον ἐπιχειρήσαιμι, καὶ τούτοις ἔτι προσθεῖναι τὰ ὑφ᾽ ἡμῶν εὑρημένα, μέμψονται τῷ μήκει τῆς πραγματείας. καὶ μὲν δὴ καὶ τὰ περὶ τῆς τῶν πυρετῶν διαφορᾶς, εἰ πάντα κατὰ τόνδε τὸν λόγον ἐπεξίοιμι, πολὺ δὴ μᾶλλον ἔτι μηκύνειν αὐτοῖς δόξω. τὸ μὲν οὖν δύνασθαι διαφυγεῖν ἐπήρειαν γράμμα μηδὲν οὕτως ἦν παλαιὸν,

longas esse nugas autumant, eosque qui solum utilia docent, collaudant, rursusque adversus eos, qui haec tantum dicunt, objiciunt contrarias aliorum opiniones, temeritatemque reprehendunt, si sine demonstratione simpliciter proferentibus sibi fidem velint adhiberi, neque vero etiam illos tolerant, qui in docendis utilibus sermonem extendunt. Quare neque mirandum, si eos, qui de crisibus sermones habent, eodem modo accusabunt, brevitatem quidem vituperando, ut quae obscure doceat et multa praetermittat, neque plura audire sustinendo, atque insuper quae paulo ante dixi, reprehendendo. Nam et de locis affectis Archigenes tres libros conscripsit, optime quidem omnium, qui circa eandem materiam ante fuere versati; haec igitur si in praesentem tractatum transferre tentarem, atque his praeterea addere, quae a nobis inventa sunt, prolixitatem operis accusabunt, et si etiam de febrium differentiis omnia hoc loco transigerem, multo etiam magis viderer ipsis esse prolixus. Quod igitur nullus scribendi modus mordacitatem possit effugere, tam est anti-

ὥστε καὶ Πλάτων αὐτοῦ μέμνηται. τὸ δ' οὕτω τούτων ἐχόντων ἐκλέγεσθαι μέσον εἶδος λόγων, ἄριστον εἶναί μοι φαίνεται. τί δὲ τὸ μέσον ἐστὶν, οὗπερ ἐγὼ νῦν ἔχεσθαί μοι δοκῶ. δεικνὺς μὲν ἃ χρὴ γινώσκειν ἐξ ἀνάγκης τὸν μέλλοντα καλῶς προγνώσεσθαι λύσιν νοσήματος, ὁποία τέ τις ἔσοιτο καὶ καθ' ὅντινα χρόνον. οὐχ ἅπαντα δ' αὐτὰ νῦν ἐπεξερχόμενος, ἀλλ' ὅσα ἀσαφῶς εἴρηται τοῖς ἔμπροσθεν ἐξηγούμενος. ὅσα δὲ παραλέλειπται, προστιθείς. τὸ δ' ἤτοι τὰ καλῶς θ' ἅμα καὶ σαφῶς εἰρημένα μεταγράφειν, ἢ τοῖς ψευδῶς εἰρημένοις ἀντιλέγειν, ὡς εἰς μακρολογίαν ἀπάγον, ἐφυλαξάμην. [418] ἐπεὶ τοίνυν ἀποδέδεικται μὲν ἐν τῷ πρώτῳ λόγῳ τῶν Ἱπποκράτους ἀφορισμῶν ἡμῶν ἐξηγουμένων, ὡς καὶ ἐξ αὐτῆς τοῦ νοσήματος τῆς φύσεως, οὐ σμικρὰν πρόγνωσιν ἐνεστιν λαβεῖν εἰς τὰ μέλλοντα, θαυμαστὸν εἶναι δοκεῖ τοῖς πολλοῖς, εἰ καὶ κατὰ τὴν πρώτην ἡμέραν εἴσεταί τις τῆς νόσου τὴν ἰδέαν, ἐπειράθημεν ἐπιδεῖξαι θαυμαστὸν μὲν ἴσως ὑπάρχον, οὐ μὴν καὶ ἀδύνατόν γε. καὶ τὴν ὁδὸν, ᾗ χρὴ τοῦτο

quum, quod etiam Plato hujus rei meminit. His autem ita fe habentibus, mediam fermonis formam eligere optimum mihi vifum eft. Quid autem eft medium? quod ego nunc mihi videor attingere, omnia illa demonftrans, quae oportet eum de neceffitate cognoscere, qui recte praevifurus fit morbi folutionem, qualis et quo tempore futura fit, non omnia quidem hoc loco tranfigens, fed ea enarrans, quae a fuperioribus obfcure funt tradita, quae vero praetermiffa haec addens, quaecunque autem manifefte ac recte funt a veteribus fcripta, tranfcribere, aut iis, quae funt ab eisdem male dicta, contradicere, ut longum opus evitare valeam, fuperfedi. Poftquam igitur dum in primo libro aphorismorum Hippocratis exponeremus, ibi oftendimus, quod ex ipfius morbi natura non parvam liceat occafionem accipere ad futura praenoscenda, mirum vero multis videatur, fi in primo die quispiam morbi fpeciem agnoverit, quod nos demonftrare tentavimus difficile quidem forte effe, non tamen impoffibile, viamque qua hoc facere oportet, expo-

Ed. Chart. VIII. [418.] Ed. Baf. III. (408.)

ποιεῖν ἐδιδάξαμεν· ἐνταῦθα ἐπισχεῖν ἔδοξέ μοι τὸ μῆκος τοῦ λόγου, καὶ γυμνάσασθαι κελεῦσαι τὸν ἀκριβῶς ἐκμαθεῖν τὰ τοιαῦτα προῃρημένον ἐν τοῖς Ἀρχιγένους ὑπομνήμασι περί τε τόπων πεπονθότων, καὶ μέντοι καὶ περὶ πυρετῶν σημειώσεως, ἔτι τε πρὸς τούτοις περὶ τύπων. ἴσως μὲν γὰρ καὶ ἡμεῖς εἰς τοὺς αὐτούς ποτε τύπους γράψομεν, ἵνα τά τε προσεξευρημένα διέλθωμεν, ἀφέλωμέν τέ τινα τῶν ὑπ᾿ Ἀρχιγένους οὐκ ὀρθῶς εἰρημένων, ἅπαντά τε σαφῶς ἑρμηνεύσωμεν. ἀλλ᾿ ἔν γε τῷ παρόντι δι᾿ ἐκείνων ἀσκεῖσθαι προσήκει.

Κεφ. θ'. Πάλιν οὖν ἀναλαβόντες ὅσον ἐστὶν οἰκεῖον τῆσδε τῆς πραγματείας, ἐπέλθωμεν. οἰκεῖον δ᾿ ἐστὶν, ὁδὸν τῆς ἀσκήσεως δοῦναι περὶ τῶν συνθέτων νοσημάτων τοιαύτην, οἵαν ὀλίγον ἔμπροσθεν ὑπὲρ τῶν ἁπλῶν ἐποιησάμεθα. τοὺς μὲν γὰρ ἀκριβεῖς πυρετοὺς, εἴτε διαλείποντες εἶεν εἴτε συνεχεῖς, εὐθὺς κατ᾿ ἀρχὰς ἔνεστι γνωρίζειν. ὅσοι δ᾿ ἐπιμιξίαις ἑτέρων ποικίλλονται καὶ νοθεύονται, χαλεπὸν μὲν ἐν τῇ πρώτῃ τῶν ἡμερῶν, οὐ μὴν ἀδύνατόν γε διαγινώσκειν ἐστὶ,

fuimus, hic mihi a sermonis prolixitate abstinere visum fuit, atque eos, qui vellent haec exquisite cognoscere, in Archigenis commentariis de locis affectis exercitari jubere, atque insuper in commentariis de febrium significatione et typis. Nam et forte nos in eosdem typos tractatus edemus, ut ea quae a veteribus inventa sunt transfigamus, ac quaedam, quae non recte scripta sunt ab Archigene, subtrahamus, omniaque dilucide aperiamus. At in praesenti in illis oportet exercitari.

Cap. IX. Rursus igitur, quantum hujus interest operis, repetentes transfigamus. Interest autem viam tradere exercitationis de compositis morbis, qualem nuper de simplicibus fecimus. Exquisitas enim febres, sive intermittentes sint, sive continuae, statim per initia noscere datur, quae vero ex mixtione aliarum variantur, atque adulterantur, difficile quidem est in die primo, non tamen impossibile agnoscere, plurimas

τοὺς πλείστους μέντοι κατὰ τὴν δευτέραν, ἢ τρίτην, ἢ πάντως γε τὴν τετάρτην ἀκριβῶς ἐξευρεῖν ἐγχωρεῖ. οὐδὲν γάρ ἐστιν οὔτε γένος οὔτ᾽ εἶδος νοσήματος, ὃ μὴ περὶ τὴν τρίτην ἡμέραν, ἢ τὴν τετάρτην ἐναργῶς ἔσται δῆλον ἧς τινος ἔχεται φύσεως. εἰσβαλέτω γάρ τις πυρετὸς φρικώδης τε ἅμα καὶ παντοίως ἀνώμαλος ἔν τε τοῖς σφυγμοῖς καὶ τῇ καθ᾽ ὅλον τὸ σῶμα θερμασίᾳ, ὡς πολλάκις ἐγγὺς ἀκμῆς εἶναι νομιζόμενος, ἢ καὶ τὰ μέσα τῆς ἀναβάσεως ἐπέχειν. αὖθις δ᾽ ἐπιγίνεσθαι φρικώδης καὶ τοὺς σφυγμοὺς μικροτέρους τε καὶ ἀμυδροτέρους καὶ βραδυτέρους καὶ ἀραιοτέρους ἔχειν. καὶ τὴν θερμασίαν ἀποχωροῦσαν μὲν τῶν ἄκρων, πλεονάζουσαν δὲ κατὰ τὴν γαστέρα τε καὶ τὸν θώρακα, τοῦτον οὐκ ἄν τις ἀλόγως ἐλπίσειεν ἡμιτριταῖον ἔσεσθαι. μᾶλλον δ᾽ ὑπάρχειν μὲν ἤδη, γνωρισθήσεται δὲ τοῖς πολλοῖς ἐπὶ τῆς τρίτης ἡμέρας. ἀλλ᾽ οὗτος μὲν μικτός ἐστιν ἔκ τε τοῦ χολώδους καὶ τοῦ φλεγματώδους πυρετῶν, τῶν ὀλίγον ἔμπροσθεν εἰρημένων, οὐκ ἐπιπλεκομένων ἀλλήλοις, ἀλλὰ διόλου κεραννυμένων. ὁ δ᾽ ἐξ ἐπιπλοκῆς αὐτῶν τετραχῶς γίνεται, ἢ τριταίου

quidem in fecundo, vel tertio, vel omnino quarto die exquifite poffumus invenire. Nulla enim eft neque fpecies, neque genus morbi, quod circa tertiam, vel omnino quartam diem, cujus naturae fit, non evidenter innotescat. Invadat igitur febris aliqua horrida fimul atque omnino inaequalis in pulfibus, atque in eo qui per totum corpus fentitur calore, ut faepe propius ftatus effe exiftimetur, vel medium augmenti obtinere, rurfus vero horrida fiat et pulfus minores et obscuriores ac tardiores et rariores habeat et calorem quidem ab extremis partibus recedentem, circa vero ventrem atque thoracem redundantem, hanc non absque ratione quispiam femitertianam fore fperet, vel potius jam effe, a multis vero in tertio die noscetur. Sed haec quidem mixta eft ex biliofa et pituitofa febre, de quibus antea fermo habebatur, non jam invicem complicatis, fed per fe totas confufis. Quae autem ex complicatione fit, quadrupliciter confiftit, vel tertiana quotidianae com-

καὶ ἀμφημερινοῦ μιχθέντων, ἢ τοῦ καθ' ἡμέραν παροξύνοντος συνεχοῦς τῷ διὰ τρίτης, ἢ τριταίου τῷ καθ' ἑκάστην ἡμέραν παροξυνομένῳ συνεχεῖ, ἢ ἀμφημερινοῦ τῷ διὰ τρίτης συνεχεῖ. τούτων οὐδεμία τῶν μίξεων ἀκριβῶς ἐπὶ τῆς πρώτης ἡμέρας διαγινώσκεται. τῆς μέντοι δευτέρας ἐπιστάσης οὐδὲν ἔτι χαλεπὸν γνωρίσαι. πολὺ δὲ μᾶλλον ἔτι κατὰ τὴν τρίτην, καὶ σπάνιον εἴποτε τῆς τετάρτης δεήσει. γιγνέσθω γάρ, εἰ οὕτως ἔτυχεν, ἐν μὲν τῇ πρώτῃ τῶν ἡμερῶν ὁ παροξυσμὸς σὺν ῥίγει· κἄπειτα θερμός τε καὶ περικαὴς ὁ πυρετὸς ἐξαφθεὶς ἀσώδης τε καὶ διψώδης ἔστω, καὶ ταχέως ἐπὶ τὴν ἀκμὴν ἀφικέσθω τοὺς σφυγμοὺς ὁμαλούς τε ἔχων καὶ μεγάλους καὶ σφοδροὺς καὶ πυκνοὺς καὶ ταχεῖς. ἔστω δ' ὁμοίως τοῖς σφυγμοῖς καὶ τὰ τῆς θερμασίας ὁμαλὰ παντοίως. [419] εἶτα σὺν ἐμέτῳ καὶ ἱδρῶτι πανέσθω, καί τις αὐτὸν ἀπυρεξία διαδεχέσθω· πρόδηλον ὡς τριταίας οἰκεῖός ἐστιν ὁ τοιοῦτος παροξυσμὸς περιόδου. γινέσθω δὲ κατὰ τὴν δευτέραν ἡμέραν ὁ τῆς ἀμφημερινῆς, οὐ γὰρ ἀναγκαῖον ὑπὲρ τῶν αὐτῶν λέγειν μυριάκις, ἐνταῦθα χρὴ προσέχειν τὸν νοῦν ταῖς ὥραις τῶν

mixta, vel ea quae quotidie accessionem habet continua illi quae per tertium continua est, vel tertiana ei quae singulis diebus accessionem facit continuae, vel quotidiana ei quae per tertium diem continua est. Nec ulla ex his mixtionibus in primo die exquisite cognoscitur, secundo vero instanti die agnoscere facile est, ac multo magis tertio, raroque est ut quarta dies ad id sit necessaria. Fiat enim, si ita contigerit, in primo die accessio una cum rigore, deinde calida atque ardens febris accendatur, stomachi fastidium afferens ac sitibunda, atque ad statum celeriter properet, pulsus aequales habens, magnos atque veloces, vehementesque atque frequentes, sit autem una cum pulsibus et calor aequalis omnino, deinde cum vomitu et sudore finiatur et quaedam infebricitatio succedat, jam manifestum est hujusmodi accessionem esse tertianae periodi propriam. Fiat autem et in sequenti die quotidianae accessio, neque enim de eisdem millies dicere est necessarium, hic mentem adhi-

Ed. Chart. VIII. [419.] Ed. Baf. III. (408. 409.)

παροξυσμῶν, ἵνα προγνῷς τι περὶ τῆς τρίτης ἡμέρας. εἰ μὲν γὰρ ὁ τῆς τριταίας, εἰ τύχοι, πυρετὸς περὶ τὴν πρώτην ὥραν μέλλει γίνεσθαι, περὶ δὲ τὴν ἑνδεκάτην ὁ τῆς ἀμφημερινῆς, οὕτω μὲν ἑκατέρων ἔσονται σαφεῖς αἱ ἀρχαὶ, καὶ μᾶλλον εἰ ἐπὶ πλέον ἔτι διεστήκοιεν ἀλλή(409)λων. εἰ δ᾽ ἀμφότεροι περὶ τὴν αὐτὴν ὥραν εἰσβάλλοιεν, ἐπίμικτον ἔσται πάντως τὸ εἶδος τοῦ παροξυσμοῦ, καὶ τῷ δυναμένῳ συνορᾷν οἷον κέρασμά τι φαίνεται γινόμενον ἀμφημερινῆς τε καὶ τριταίης περιόδου. διακρίνει δ᾽ αὐτοὺς ἐναργῶς ἡ τετάρτη τῶν ἡμερῶν, ὄντας ἤδη τῷ τεχνίτῃ κἀπὶ τῆς δευτέρας γνωρίμους. ἔτι δὲ δυσφωροτέρα γίνεται ἡ τῶν διαλειπόντων μίξις τοῖς συνεχέσιν, ὥστε καὶ πολλοῖς ὅλως ἀδύνατος ἔδοξεν ὑπάρχειν. ἅμα τε γὰρ εἰς ἀπυρεξίαν παύεσθαι τὸν αὐτὸν ἄνθρωπον καὶ μηδ᾽ ὅλως ἀπύρετον γίγνεσθαι συμβαίνει ἐκ τῆς τοιαύτης μίξεως, ὅπερ εἶναι πάντων ἀδυνατώτερον. ἀλλ᾽ εἴ τις κἀνταῦθα δύναται διαγινώσκειν ἀκριβῶς ἑκατέρου τῶν πυρετῶν τὴν φύσιν, εἴσεται σαφῶς ὡς οὐδὲ ἡ τοιαύτη μίξις ἀδύνατος. ἔναγχος οὖν τι γύναιον ἐν μὲν ταῖς ἀρτίαις φρικώδη

bere oportet ad horas accessionem, ut aliquid de die tertio praenoscas. Nam si tertianae febris accessio circa primam horam fieri debeat, circa undecimam autem quotidianae, sic quidem manifesta erunt utriusque principia, et magis, si longiori intervallo disjungantur. Si vero utraque eadem hora invaserit, erit omnino mixta accessionis forma, et ei qui diligentius inspicere potuerit, quaedam apparet facta confusio quotidiani et tertiani circuitus, distinguit autem eos manifeste quartus dies, quum tamen ab artifice etiam in secundo cognosci possint. Adhuc autem perceptione difficilior est intermittentium cum continuis mixtio, ut pluribus omnino impossibilis videatur, simul enim et febrem intermitti, atque haud sine febre hominem esse, ex tali accidit commixtione, quo nihil minus possibile esse videtur, sed siquis hic exquisite possit cognoscere utriusque febris naturam, manifeste comprehendet quod neque hujuscemodi mixtio est impossibilis. Nuper igitur quaedam muliercula in paribus

παροξυσμὸν εἶχεν ἀκριβῶς ἡμιτριταϊκὸν, ἐν δὲ ταῖς περιτταῖς ἕωθεν μέν τινα τοῦ προγεγονότος πολύ τι μικρότερον, ὡς ἐπιπαροξύνεσθαι δοκεῖν τῇ ἑτέρᾳ τῶν ἡμερῶν τὸν ἡμιτριταϊκὸν, ὅπερ δὴ καὶ συνήθως γίνεται ἐν αὐτῷ. περὶ δὲ τὴν ὀγδόην ὥραν τῆς ἡμέρας ἕτερος εἰσέβαλλε μετὰ ῥίγους σφοδροῦ παροξυσμὸς, ἀκριβῶς ἅπαντα τριταίου πυρετοῦ φέρων τὰ γνωρίσματα. θραυόμενος δ᾽ οὗτος ὥρας που νυκτὸς τρίτης, ἱδρῶτί τε καὶ χολῆς ἐμέτῳ, παρέτεινεν εἰς τὴν τῆς ἀρτίου δευτέραν ὥραν. ἤδη δὲ αὐτὸν ἐγγὺς ἀπυρεξίας ἥκοντα, διεδέχετο πάλιν ὁ φρικώδης τε καὶ ἀνώμαλος ἐκεῖνος παροξυσμὸς, ὃν ἐν ταῖς ἀρτίαις ἔφαμεν γίνεσθαι. κἄπειτα δι᾽ ὅλην τὴν ἡμέραν κακοήθως ὑποστενόμενός τε καὶ αὖθις ἐπιτιθέμενος, μόλις που τὴν ἀκμὴν ἀπελάμβανεν ἡλίου δύνοντος. ἤρχετο δὲ παρακμάζειν ὥρας που τετάρτης τῆς νυκτὸς, εἶθ᾽ ἕωθεν πάλιν ἐπὶ δαψιλεῖ λειψάνῳ παραύξησις οὐ λίαν ἀνώμαλος ἕως τῆς ὀγδόης ὥρας ἐπετείνετο, κἄπειτα δοκοῦντα σαφῶς ἀκμάζειν ἤδη τὸν πυρετὸν τοῦτον ἕτερος ἐξεδέχετο παροξυσμὸς ἀκριβῶς τριταϊκός. τοῦτον ἡμεῖς τὸν πυρετὸν εὐθὺς μὲν κἂν τῇ

diebus horridam accessionem habebat, semitertianae exquisitae propriam, in imparibus vero mane alteram quandam, ea quae praecesserat longe minorem, ut altero die semitertianae febris accessio super accessionem advenire videretur, quod in tali febre fieri consuevit, circa octavam vero horam diei altera invadebat accessio cum rigore vehementi, omnia tertianae febris indicia exquisite afferens; jam vero haec confracta sudoribus ac bilis vomitibus hora tertia noctis, mox extendebatur ad diei paris horam secundam, et quum jam ad insebricitationem accederet, rursus horrida atque inaequalis illa accessio succedebat, quam in paribus diebus fieri diximus; deinde per totam diem maligne compressa ac deinceps adaucta, vix occidente sole ad statum perveniebat, ac declinare incipiebat hora quarta noctis, deinde mane rursus super abundantes reliquias additum augmentum non valde inaequale usque ad octavam horam intendebatur, et quum jam manifeste statum obtinere febris videretur, jam febrem hanc febris exquisite tertianae accessio altera suscipiebat. Hanc nos febrem statim die secunda ex complica-

δευτέρᾳ τῶν ἡμερῶν ἐξ ἐπιπλοκῆς ἡμιτριταίου τε καὶ τριταίου διέγνωμεν γεγονέναι. πολὺ δ' ἔτι πιστοτέραν ἡ τρίτη τὴν διάγνωσιν παρέσχεν, ἠλπίσαμέν τε τὴν μὲν ἑτέραν περίοδον τὴν τοῦ τριταίου παύεσθαι ταχέως, τὴν δὲ ἑτέραν μηκύνειν, καὶ οὕτως ἀπέβη, καὶ τότε σαφῶς ὤφθη κατὰ τὸ ὑπόλοιπον μέρος τῆς νόσου μόνος ἡμιτριταῖος ὤν, ἀρχὴν μὲν τῆς ὅλης περιόδου τὴν ἀρτίαν ἡμέραν ποιούμενος, ἐπιπαροξυνόμενος δὲ τῇ περιττῇ. τὰς μὲν δὴ τοιαύτας μίξεις οὐ τοῦ τυχόντος γνωρίζειν. εἰ δέ τις πυρετὸς ἐν τῇ πρώτῃ τῶν ἡμερῶν ἀκριβῶς ὀφθεὶς τριταῖος, εἶτ' ἐν τῇ δευτέρᾳ πάλιν ἕτερον ὅμοιον ἀκριβῶς τῷ πρόσθεν ἐποιήσατο παροξυσμὸν, εὐφορώτατος ὁ τοιοῦτός ἐστιν, διπλοῦς ὑπάρχων τριταῖος. οὕτω δὲ καὶ δύο καὶ τρεῖς ἐπιπλέκονται ἀλλήλοις τεταρταῖοι τὰ πολλὰ, οὓς ἡ τῶν παροξυσμῶν ἰδέα διακρίνει τῶν ἀμφημερινῶν. οὐ γὰρ τὸ καθ' ἑκάστην ἡμέραν παροξύνεσθαι γνώρισμα βέβαιον ἀμφημερινῶν, ἀλλ' ἡ τοῦ πυρετοῦ τε καὶ ἡ τῶν συμπτωμάτων ἰδέα διακρίνει τὸν ἀμφημερινόν. [420] χρὴ τοίνυν ἐν ἅπαντι πράγματι τεχνωθῆναι πρῶτον, ὥσπερ τις

tione femitertianae febris atque tertianae factam agnovimus, longe vero certiorem tertius dies praebuit cognitionem. Atque in fpem venimus, alterum circuitum, qui erat tertianae febris, cito finem habiturum, alterum in longius tempus debere protendi, quod etiam contigit. Et tunc aperte vifum eft in reliqua parte morbi folam fupereffe femitertianam, quae principium quidem totius circuitus in pari die faciebat, in die vero impari fuperaccendebatur. Tales quidem mixtiones non eft uniuscujusque dignoscere. Si qua vero febris in primo die exquifite tertiana deprehenfa, deinde die fequenti fimilem priori omnino fecerit acceffionem, haec longe tolerabilior eft, duplex exiftens tertiana. Sic autem et duae et tres quartanae faepius invicem complicantur, quas acceffionum forma a quotidianis diftinguit, neque enim quod fingulis diebus acceffio fiat, hoc fufficiens fignum eft ad febres quotidianas indicandas, fed febris ipfius et accidentium forma. Oportet igitur in unaquaque re primum artificem fieri, quemadmo-

ὠνόμαζε τῶν ἡμετέρων διδασκάλων, εἶθ' οὕτως ἐπιχειρεῖν τοῖς ἔργοις. τὸ τεχνωθῆναι δ' ἐστὶ τὸ γνῶναι τῆς ὑποβεβλημένης τῇ τέχνῃ συμπάσης ὕλης πρῶτον μὲν καὶ μάλιστα τὰς ἁπλᾶς δυνάμεις, εἶθ' ἑξῆς τὰς μίξεις αὐτῶν, ὁπόσαι τέ τινές εἰσι καὶ ὁποῖαι. καὶ γὰρ δὴ καὶ περὶ φαρμάκων συνθέσεώς τε καὶ χρήσεως ἡ αὐτὴ μέθοδος, ὡς ἐν τοῖς περὶ αὐτῶν ὑπομνήμασιν ἐπιδέδεικται. διττῆς δὲ ὕλης οὔσης τοῖς ἰατροῖς, ἑτέρας μὲν ἐφ' ᾗ, ἢ ἐν ᾗ γίνεται τὸ τέλος, ὅπερ ἐστὶν αὐτὰ τὰ τῶν ἀνθρώπων σώματα, δευτέρας δὲ τῆς τῶν βοηθημάτων, ὑφ' ὧν, ἢ δι' ὧν γίνεται τὸ τέλος, ἡ μὲν περὶ τῶν φαρμάκων πραγματεία τῆς δευτέρας ὕλης ἐστὶν, ἡ δὲ νῦν ἐνεστῶσα τῆς πρώτης. χρὴ γὰρ νῦν ἐκμαθεῖν ἐν τοῖς περὶ πυρετῶν λόγοις ὡς τρία τὰ σύμπαντά ἐστι γένη τῶν ἐπὶ χυμοῖς σηπομένοις ἀναπτομένων πυρετῶν. ἔνιοι μὲν γὰρ ἐπὶ τῇ ξανθῇ χολῇ καὶ πλεῖστοί γ' ἐπὶ τῷ φλέγματι συνίστανται. λόγος δ' οὗτος οὐ σμικρός ἐστιν, ὅ τι ποτὲ πασχόντων τῶν εἰρημένων χυμῶν ἀνάπτεται πυρετός. οὐ γὰρ δὴ κατὰ τὴν φύσιν

dum nominabat quidam ex noſtris praeceptoribus, deinde ſic ipſa aggredi opera. Artificem autem fieri eſt quidem primum et maxime totius ſubjectae materiae, ſimplices vires agnoscere, mox ipſarum etiam mixtiones quot et quales ſint, nam de medicamentorum compoſitione atque uſu eadem eſt doctrinae via, quemadmodum in commentariis ipſis ſcriptis oſtendimus. Quum autem duplex materia medicis adſit, altera a qua vel in qua finis, quae eſt ipſa hominum corpora, ſecunda vero auxiliorum a quibus, vel ex quibus ſit finis, ea quidem quae eſt de medicamentis tractatio, ad ſecundam materiam attinet, at quae nunc inſtat, ad primam. Nunc enim discere oportet in iis qui de febribus ſermones habentur quod tria ſunt omnia quae ex humorum putredine febrium accenduntur genera, quaedam enim ex flava bile, haeque plurimae ſunt; quaedam ex pituita conſiſtunt. Hic vero ſermo haud parvi momenti eſt, quidnam patientibus dictis humoribus febris accendatur, neque enim ſecundum naturam ſe habentibus. Sed in hoc ſermone etiam illud

Ed. Chart. VIII. [420.] Ed. Baf. III. (409.)

ἐχόντων, ἀλλ' ἐν τούτῳ γε τῷ λόγῳ καὶ ὡς οὐδέν ἐστι θαυμαστὸν ἐκ ψυχρῶν φύσιν χυμῶν διασαπέντων ἐξαφθῆναι πυρετὸν ἐπιδέδεικται, καὶ ὡς ἡ πᾶσα ποικιλία τῶν ἄλλων πυρετῶν ἐκ τῆς τούτων γίνεται μίξεως. ἀλλὰ καὶ οἱ ἐφήμεροι πυρετοὶ καλούμενοι, καὶ πρὸς τούτοις οἱ ἑκτικοὶ προσαγορευόμενοι ἕτερα δύο γένη εἰσὶ, τῶν ὀξέων ὀνομαζομένων πυρετῶν ἀποκεχωρισμένα, καὶ ὡς ὀξὺς πυρετὸς, ἤτοι σηπομένου τῶν εἰρημένων τινὸς χυμῶν, ἢ μορίου φλεγμαίνοντος γίνεται, καὶ ὡς τοῦ φλεγμαίνειν ἀκουστέον ἐστὶν οὐ κατὰ τὴν παλαιὰν συνήθειαν. ἅπαντα δὲ τὰ τοιαῦτα θαυμαστὰ τοῖς πολλοῖς εἶναι δοκεῖ, καθάπερ οὖν καὶ τὸ μικρῷ πρόσθεν ῥηθὲν, εἰ δύναταί ποτε μιχθῆναι διαλείπων συνεχεῖ, οὐδὲν δ' ἧττον τούτου καὶ τὸ μηδεμιᾶς ἀπυρεξίας γινομένης περὶ τὸν κάμνοντα, μεμίχθαι μόνους τοὺς διαλείποντας πυρετούς. ἀλλὰ καὶ τοῦτ' ἐπεδείξαμεν ἐναργῶς οὐ τριταίοις μόνον, ἢ ἀμφημερινοῖς, ἀλλὰ καὶ τεταρταίοις συμπίπτειν· ἐπειδὰν γὰρ ἐπιπλακῶσιν ἀλλήλοις πλείους, εἴτ' οὖν ὁμογενεῖς, εἴτε καὶ μὴ, φθάνει πολλάκις ὁ δεύτερος ἄρχεσθαι, πρὶν εἰς ἀπυρεξίαν

oftenfum eft, quod non fit admiratione dignum, fi ex frigidis natura humoribus putrescentibus febris accenditur, et quod omnis aliarum febrium varietas ex horum fit commixtione, fed et quae ephemerae et hecticae febres dicuntur, alia duo genera funt ab iis quae acutae febres nominantur feparata, et quod febris acuta, vel aliquo dictorum humorum putrescente, vel parte inflammationem patiente generatur, et quod inflammationis vocabulum non fecundum antiquam confuetudinem fit audiendum. Haec vero omnia multis digna admiratione videntur, quemadmodum et id quod paulo ante dicebamus, fi queat unquam intermittens cum continua commisceri, fed nihilo minus hoc, fi nulla infebricitatione aegrotanti adveniente, folum intermittentes misceantur. At et hoc manifefte oftendimus, non tertianis tantum vel quotidianis intermittentibus, fed etiam quartanis accidere; quum enim plures invicem complicantur, five ejusdem generis fint five diverfi, fecunda faepenumero an-

ἀκριβῆ παύσασθαι τὸν πρῶτον· εἶτ' αὖθις τὸν δεύτερον· ὁ τρίτος ὡσαύτως διαδέχεται, πρὶν καὶ τοῦτον εἰς ἀπυρεξίαν ἀφικέσθαι. μάλιστα δὲ συμβαίνει τοῦτ' ἐν τοῖς μακροτέροις παροξυσμοῖς. ἐν γὰρ τοῖς ἐντὸς τοῦ πρώτου διαστήματος παυομένοις, οὕτω δ' ὀνομάζουσι τὸν τῶν δώδεκα ὡρῶν χρόνον, ἢ παμπόλλας ἐπιπλακῆναι χρὴ περιόδους, ἢ τὸν ἐκ τῶν διαλειπόντων συντεθειμένον ἀδύνατον εἰς συνέχειαν ἀφικέσθαι. παμπόλλους δὲ τῶν οὕτως ἐπιπλεκομένων πυρετῶν οἱ μὴ γεγυμνασμένοι περὶ τὰ τοιαῦτα τῶν ἰατρῶν, εἰ μὲν ὀξύτεροι φαίνοιντο, πάντας ἡμιτριταίους ὀνομάζουσιν, εἰ δὲ βραδύτεροι κινοῖντο, πλάνητας. ἐπειδὴ γὰρ ἅπαξ ἐξουσίαν ἔλαβον ἔν τε τοῖς ἡμιτριταίοις ὑποστολὰς πολλὰς γίνεσθαι νομίζειν ἔν τε τοῖς πλάνησιν ἀτάκτους ἀρχὰς, ἅπαντας οὕτω τοὺς πυρετοὺς, ἐφ' ὧν οὐχ εὑρίσκουσι τὴν σύνθεσιν, ἡμιτριταίους, ἢ πλάνητας ὀνομάζουσι, καίτοι γε πολλάκις σαφεστάτην ἔχουσι τὴν ἀναλογίαν. ὥσπερ ὁ νεανίσκος ὁ περὶ τὰ τέλη τοῦ φθινοπώρου τῇ πρώτῃ τῶν ἡμερῶν ὥρας που πέμ-

ticipat advenire, antequam prima in exquifitam infebricitationem defierit; deinde rurfus fecundae tertia eodem modo fuccedit, antequam et haec ad infebricitationem perveniat. Hoc vero maxime accidit in longioribus acceffionibus, nam in iis quae intra primum interftitium definunt, ita autem vocant duodecim horarum fpatium, vel multos neceffe eft complicari circuitus, vel eam quae ex intermittentibus componitur, febrem, impoffibile eft ad continuitatem pervenire. Multas vero earum quae ita complicantur febrium medici, qui circa talia non funt exercitati, fi quidem acutiores videantur, omnes vocant femitertianas, fi vero tardius moveantur, erraticas. Quum enim femel poteftatem acceperint putandi in femitertianis fuppreffiones multas fieri et in erraticis inordinata principia, omnes fic febres in quibus non inveniunt compofitionem, femitertianas, vel erraticas appellant; quum tamen faepius manifeftiffimam habeant proportionis fimilitudinem. Sicuti adolescens, qui circa autumni finem, quum in prima die circa quintam horam

Ed. Chart. VIII. [420. 421.] Ed. Baſ. III. (409. 410.)
πτης ἀρξάμενος πυρέττειν ἅμα ῥίγει βραχεῖ, κἄπειτα βαθείας ἑσπέρας ἱδρώσας ὀλίγον, εἶθ᾽ ὥρας που νυκτὸς ἑβδόμης, πρὶν ἀπύρετον ἀκριβῶς γενέσθαι, πυρέττειν αὖθις ἀρξάμενος ἐπὶ ῥίγει βραχεῖ, [421] κἄπειτ᾽ ὀλίγον ἱδρώσας ἐν τῇ δευτέρᾳ τῶν ἡμερῶν, εἶτα περὶ δεκάτην ὥραν αὖθις ὁμοίως παροξυνθεὶς, εἶθ᾽ ἱδρώσας πάλιν ὁμοίως ἐν τῇ νυκτὶ, κἄπειτα τῇ τρίτῃ τῶν ἡμερῶν ὥρας που δευτέρας ἅμα ῥίγει πυρέττειν ἀρξάμενος, πρὶν τὴν προτέραν παρακμὴν εἰς ἀπυρεξίαν τελευτῆσαι. ἡμῖν μὲν οὖν ἅπασαν τὴν ἰδέαν τοῦ πυρετοῦ ἐπισκεψαμένοις ἐπιπλοκὴ τριταίων ἐπεφαίνετο τριῶν. ὅ τε γὰρ ἐν τῇ πρώτῃ τῶν ἡμε(410)ρῶν ἀρξάμενος ὥρας πέμπτης, ὅ τ᾽ ἐν τῇ μετὰ ταύτην νυκτὶ πάλιν ἑβδόμης, ὅ τ᾽ ἐπὶ τῆς δευτέρας ἡμέρας ὥρας δεκάτης, ἅπαντά τε τὰ τῶν σφυγμῶν ἴδια καὶ τὰ τῆς θερμασίας ἀπέσωζον τριταίων. ἤδη δὲ καὶ τὸ μετὰ ῥίγους καὶ τὸ σὺν ἱδρῶτι τριταίων ἴδιον εἶχον, οὐδεὶς δ᾽ αὐτῶν εἰς ἀπυρεξίαν ἐπαύετο, τῷ φθάνειν ἄρχεσθαι τοῦ μετ᾽ αὐτὸν τριταίου τὸν παροξυσμὸν, ὡς εἴ γε μηδεὶς ἕτερος ἐπελάμβανεν, ὡρῶν ἂν που τριῶν, ἢ τεττάρων ἄλλων, ἀπύρετος ὁ ἄνθρωπος

coepiſſet febricitare una cum rigore brevi, deinde quum paullulum ſudaſſet multo vesperi, mox circa horam ſeptimam noctis, priusquam exacte febris deſiſteret, febricitare rurſus incepit cum rigore brevi, deinde paulum ſudavit in ſecundo die, ac circa decimam horam iterum ſimiliter acceſſionem habuit, et ſtatim ſimiliter ſudavit in nocte, deinde tertia die hora ſecunda coepit febricitare ſimul cum rigore, antequam prioris diei declinatio in quietem deſineret. Nobis igitur omnem febris formam diligenter conſiderantibus viſa fuit trium complicatio tertianarum; nam et quae primo die coeperat hora quinta, et quae ſequenti nocte rurſus hora ſeptima, et quae in ſecundo die hora decima, et pulſus et caliditatem omnia propria tertianis habebant, ſicuti etiam rigores atque ſudores. Nulla vero ex his ad quietem perveniebat, quoniam ſequentis ipſam tertianae acceſſionis principium anticipabat, ſicut ſi nulla alia febris ſucceſſiſſet, horis tribus aut quatuor homo ſine febre perſtitiſſet,

ἀκριβῶς ἂν ἐγίνετο. τριῶν μὲν δὴ τριταίων ἐπιπλοκὴ κατὰ τὴν δευτέραν εὐθὺς ἡμῖν ἐφαίνετο σαφῶς. τὸ δ' ὅτι καὶ προληπτικῶς παροξυνόντων, ἐπὶ τῆς τρίτης πρῶτον ἐγνώσθη· δευτέρας μὲν γὰρ ὥρας ὁ παροξυσμὸς εἰσέβαλλεν, οὐ πέμπτης, ὥσπερ ἐν τῇ πρώτῃ. τὰ δὲ τῆς τριταίας περιόδου γνωρίσματα πάντα ἐναργέστερα τῶν ἐπὶ τῆς πρώτης ἡμέρας ἐκόμισεν. ἐντεῦθεν δὲ παραφυλάττοντες ἅπαντας εὕρομεν τοὺς παροξυσμοὺς ἢ δυσὶν, ἢ τρισὶν ὥραις προλαμβάνοντας, ὥστε καὶ τὸν ἀνάλογον τῷ πρώτῳ κατὰ τὴν περίοδον ἀπαντῶντα, τῇ μὲν πέμπτῃ τῶν ἡμερῶν ἀνίσχοντος ἡλίου γενέσθαι, τῇ δ' ἑβδόμῃ πολὺ θᾶττον, ὡς περὶ ὥραν που τῆς νυκτὸς ἐννάτην, εἶθ' ὁ μετὰ τοῦτον ἀνάλογον, ὥρᾳ νυκτὸς ἑβδόμῃ. ὁ δ' ἐφεξῆς τετάρτῃ ἐγένετο, τοὐντεῦθεν δὲ πάλιν ὁ μὲν ἐφεξῆς τετάρτῃ, ὁ δ' ἐπὶ τούτῳ πέμπτῃ, εἶθ' ἕκτῃ αὖθις, εἶτ' ὀγδόῃ, ὁ δέκατος ἀπὸ τῆς ἀρχῆς ἐγένετο παροξυσμός. ἀνάλογον δὲ τούτῳ καὶ οἱ ἄλλοι δύο μετὰ τὴν ἑβδόμην περίοδον οὐ μόνον οὐ προελάμβανον, ἀλλὰ καὶ ὑστέριζον, ὅτε δὴ καὶ σαφέστατον

Trium vero tertianarum complicatio in fecundo ftatim die nobis vifa eft manifefte, quod autem anticipando acceffiones facerent, tertio die primum cognovimus; nam hora fecunda febris invafit, non quinta, quemadmodum in primo, tertiani vero circuitus indicia omnia iis quae in primo die apparuerant attulit manifeftiora. Ab hoc vero die deinceps obfervantes, omnes invenimus acceffiones duabus aut tribus horis anticipantes. Quare et illa quae primae proportione refpondebat in circuitus fucceffione, quinto die oriente fole facta eft, feptimo vero multo celerius, veluti circa horam noctis nonam, deinde quae poft hanc, fecundum eandem proportionem in hora noctis feptima, et quae fecuta eft, hora quarta, atque abhinc rurfus quae fucceffit, quarta; et quae poft hanc, quinta, deinde iterum fexta, deinde octava hora, acceffio a principio decima facta eft. Secundum vero fimilem huic proportionem et aliae duae poft feptimam periodum non folum non anticiparunt, fed etiam tardius advenerunt, quando et mihi et reliquis omnibus manifefte ap-

πᾶσιν ἐφάνη, καὶ τοῖς ἡμιτριταῖον εἶναι νομίζουσιν αὐτὸν, ὡς ἐσφάλλοντο τὰ μέγιστα. τοῦ τε γὰρ μήκους τῶν παροξυσμῶν εἰς ὥρας ὀκτὼ συναιρεθέντος, αὐτῆς τε τῆς εἰσβολῆς οὐκέτι προληπτικῶς γινομένης, ἀλλ' ὡς ὥραιν που δυοῖν ὑστεριζούσης, εἰς ἀπυρεξίαν ἐπαύοντο τελείαν οἱ παροξυσμοὶ, καὶ οὕτω δὴ κατὰ βραχὺ τοῦ μήκους ἀφαιροῦντες ἐπαύσαντο, πρῶτον μὲν ὁ κουφότατος, ἐφεξῆς δὲ ὁ δεύτερος τῷ μ...θει, καὶ τρίτος ὁ σφοδρότατος ἐξ αὐτῶν. ὅπερ οὐδ' αὐτὸ μετρίως ἐμαρτύρησε τρεῖς εἶναι τριταίους εὐθὺς ἐξ ἀρχῆς αὐτούς. ἀλλ' οὗπερ ἕνεκα ταῦτα σύμπαντα λέγεται, ἐπὶ τοῦτ' αὖθις ἐπάνειμι, τὸ δεῖν ἠσκῆσθαι διαγινώσκειν ἀκριβῶς ἁπάσας τὰς ἁπλᾶς διαθέσεις, ὥστε καὶ μόνας συνισταμένας εὐθὺς ἀπὸ τῆς πρώτης ἡμέρας ἐκ τοῦ ῥᾴστου γνωρίζειν, ἐπιπλεκομένας δὲ ἀλλήλαις καὶ αὐτὰς, εἰ καὶ μὴ κατὰ τὴν πρώτην ἡμέραν, ἀλλὰ κατὰ τὴν δευτέραν γοῦν, ἢ τὴν τρίτην, ἢ πάντως γε τὴν τετάρτην ἀκριβῶς ἐπιγινώσκειν. ἡμᾶς οὖν οὐκ ἔλαθον οἱ τρεῖς οὗτοι τριταῖοι κατὰ τὴν δευτέραν ἡμέραν, οὐ μὴν ἐξ ἄλλου τινὸς ἢ τοῦ

paruit, qui femitertianam febrem esse putarunt, quantum sua opinione aberrassent. Nam accessionum prolixitate ad octo horas contracta, ipsoque accessionis insultu non amplius anticipante, sed potius retardante duabus jam horis, tunc accessiones ad infebricitationem perfectam devenerunt. Et sic jam paulatim a longitudine dementes, cessaverunt, primum quidem quae levissima erat, deinceps quae magnitudine secunda erat et tertia vehementissima inter ipsas, quod et ipsum non mediocre fuit indicium, quod statim ab initio tres tertianae extitissent. Sed cujus gratia haec omnia dicuntur, ad hoc rursus redeo, quod oporteat exercitari, ut exquisite noscamus omnes simplices dispositiones, adeo ut quum solae consistunt, primo die facillime ipsas agnoscamus, invicem vero et sibi ipsis complicatas, etiam si non in primo die, saltem in secundo, vel tertio, vel omnino quarto exacte discernamus. Nos igitur haudquaquam latuerunt tres istae tertianae in secundo die, non ob aliam causam,

τὴν φύσιν ἀκριβῶς αὐτῶν ἐπίστασθαι. παραπλήσιον γάρ τι συμβαίνει κατὰ τὰς τῶν νοσημάτων γνώσεις τῷ καθ' ὅλον τὸν βίον ἅπασιν ἡμῖν ὑπάρχοντι. τοὺς μὲν γὰρ συνηθεστάτους τῶν φίλων ἐκ μακροῦ διαστήματος εὐθύς τε καὶ κατὰ τὴν πρώτην προσβολὴν τῆς αἰσθήσεως γνωρίζομεν· [422] εἰ δ' ἅπαξ, ἢ δίς τινα τύχοιμεν ἰδόντες, ἢ πλεονάκις μὲν, ἀλλὰ μὴ συνεχῶς, οὐκ ἔθ' ὁμοίως τοῦτον οὔτε ἐκ μακροῦ διαστήματος οὔτε ταχέως γνωρίζομεν, ἀλλ' ἐνίοτε μέχρι παμπόλλου χρόνου διαπορουμέν τε καὶ ἀμφιβάλλομεν, ἆρά γε Κορίσκος, εἰ οὕτως ἔτυχεν, ἢ Σωκράτης ἐστίν. οὕτως οὖν ἔχει κἀπὶ τῶν νοσημάτων. ἴδιος ἑκάστου χαρακτήρ ἐστιν, ὃν ὁ πολλάκις τεθεαμένος ἐξ ἑτοίμου διαγινώσκει, καὶ μάλιστ' ἐπειδὰν ἁπλοῦς τε καὶ μόνος ὑπάρχῃ. τῶν μὲν οὖν χωρὶς τόπου πεπονθότος ἐπὶ χυμοῖς τισι διασηπομένοις ἀναπτομένων πυρετῶν τρεῖς εἰσιν οἱ πρῶτοι καὶ ἁπλοῖ χαρακτῆρες, ὅ τε τῶν φλεγματικῶν καὶ ὁ τῶν μελαγχολικῶν καὶ ὁ τῶν πικροχόλων, οὓς εἴ τις ἀκριβῶς ἀσκήσειε, διαγινώσκειν ἕκαστον ἰδίᾳ καὶ μόνον, οὐκ ἂν ἔτι χαλεπῶς οὐδὲ τὰς μίξεις οὕτως αὐτῶν ἐξευρίσκοι.

quam quod earum naturam exquifite noscebamus. Tale enim quid accidit in morborum cognitionibus, quod nobis omnibus in tota vita contingit; nam eos amicos qui nobis familiariffimi funt, ex longo intervallo ftatim ac primo intuitu agnoscimus, fi vero quempiam femel aut bis tantum viderimus, vel faepe quidem, non tamen continue, non jam aeque iftum neque ex longo intervallo neque primo intuitu ftatim agnoscimus, fed nonnunquam diu ambigimus ac dubitamus, nunquid ifte Coriscus, an Socrates fit. Ita et in morbis res ipfa fe habet: finguli proprium habent characterem, quem quispiam faepius contemplatus prompte dignofcit, ac praecipue quum fimplex ac folus fuerit. Earum igitur febrium quae fine loco affecto ex humoribus quibusdam putrefcentibus accenduntur, tres funt primi ac fimplices characteres, et earum fcilicet quae ex pituita, et quae ex atra bile et quae ex flava ortum habent, quas fi quispiam exquifite dignoscere ftuduerit fingulas feorfum ac folas, jam non amplius difficulter earum mixtiones inveniet.

Κεφ. ι. Τῶν δ' ἐπὶ τόποις φλεγμαίνουσιν ἤδη σύνθετος ἁπάντων ἰδέα· τινὰ μὲν γὰρ τοῦ τόπου γνωρίσματα φέρουσι, τινὰ δὲ τῆς βλαπτούσης αὐτὸν αἰτίας, οἷον ἐν μὲν τοῖς πλευριτικοῖς ὡς μὲν τόπος πεπονθὼς ὁ ὑπεζωκὼς τὰς πλευρὰς ὑμὴν ὀδύνην ἐξ ἀνάγκης οἴσει φλεγμαίνων, ὅτι νευρώδης ἐστίν. ἀλλὰ καὶ νύττουσαν ταύτην καὶ διατεταμένην ἐπὶ πλέον, ὅτι τὸ πεπονθὸς μέρος ὑμήν. τοιαῦται δὲ αἱ τῶν αἰσθητικῶν ὑμένων ὀδύναι. καὶ μὲν δὴ καὶ ὅτι τῶν ἀναπνευστικῶν τινος ὀργάνων ἐστὶ μόριον, ἐξ ἀνάγκης δυσπνοήσει τὸ ζῶον. ὅτι δὲ καὶ τῆς καρδίας ἐγγὺς, μεταδώσει τι καὶ τῇ καρδίᾳ ῥᾳδίως τῆς φλογώσεως. εἰ δὲ τοῦτο πυρέξει τὸ ζῶον, ὥσπερ οὖν καὶ ὅτι τοῦ πνεύμονος ἐγγὺς, ἐξ ἑτοίμου μεταδώσει καὶ τῷδε τῆς διαθέσεως, οὕτως ὄντι μαλακῷ τε καὶ μανῷ καὶ δέξασθαι πᾶσαν ἑτοίμως ὑγρὰν οὐσίαν δυναμένῳ. βήξει τοίνυν εὐθὺς ὁ ἄνθρωπος, οὐ μὴν καὶ ἀναπτύσειε πάντως εὐθύς. ἀλλ' εἰ μὲν πλεῖόν τε καὶ παχύτερον ἀποῤῥέοι τῆς φλεγμονῆς, ἀναπτυσθήσεται βήττων· εἰ δὲ ὀλίγον τε καὶ λεπτὸν,

Cap. X. Eorum vero omnium quae ex locis inflammatione affectis accidunt, jam forma compofita eft, quaedam enim loci indicia prae fe ferunt; quaedam autem ejus ob quam confiftunt caufae. Veluti in pleuritide locus quidem affectus eft membrana, quae coftis fubtenditur, et quum inflammata fit, neceffario dolorem invehet, quoniam nervofa eft, fed hunc pungentem et longe extenfum, quoniam pars illa quae afficitur membrana eft; tales enim funt fentientium membranarum dolores. Et quidem quoniam eadem pars unum eft ex fpirandi inftrumentis, neceffario animal difficilem habebit refpirationem. Quoniam autem cordi proxima eft, facile aliquid ardoris ei impertiet, quod fi hoc eft, febricitabit animal, ficuti quoniam pulmoni proxima eft, facile fuum illi communicabit affectum, quum praefertim adeo rara ac mollis fit pars ac omnem fubftantiam humidam facile poffit admittere. Tuffiet igitur ftatim homo, non tamen omnino ftatim fpuet, fed fiquidem multum ac craffum ab inflammatione defluxerit, cum tuffi expuet, fi vero paucum et tenue, irritabitur quidem

ἐρεθιεῖ μὲν ἐξ ἀνάγκης, ὥστε καὶ κινῆσαι βῆχας, οὐ μὴν καὶ ἀναπτυσθήσεταί γε, πρὶν ἀθροιζόμενόν τε ἅμα καὶ πεπτόμενον εἰς πλῆθός τε ἅμα καὶ πάχος ἐπιδιδόναι. ἀλλὰ τοῦτο μὲν τῆς διαθέσεως ἤδη γνώρισμα αὐτῆς ἐστιν, καὶ οὐ τοῦ μορίου τοῦ πεπονθότος. ἐπειδὰν μὲν γὰρ ἀκριβῶς ᾖ τὸ πάθημα στεγνὸν, καὶ οἷον δῆσαν ἐν ἑαυτῷ κατέχῃ τὸ σύμπαν ῥεῦμα, τὰς ἀπτύστους προσαγορευομένας ἀποτελεῖ πλευρίτιδας. ἐπειδὰν δὲ ἀξιόλογον χαλάσῃ τε καὶ μεθῇ τῷ πνεύμονι, καὶ βήττουσιν οὗτοι πλείω καὶ ἀναπτύουσιν. ἰδέας οὖν τοῦτο φλεγμονῆς, οὐ τόπου πεπονθότος γίνεται γνώρισμα. πότερον δὲ φλεγματωδέστερός ἐστιν, ἢ χολωδέστερος ὁ τὴν φλεγμονὴν ἐργασάμενος χυμὸς, ἐκ τῆς τῶν πτυσμάτων ἰδέας εἴσῃ. καὶ γὰρ καὶ ἀφρώδη καὶ πυῤῥὰ καὶ ξανθὰ καὶ ὠχρὰ καὶ ἐρυθρὰ καὶ μέλανα πτύουσι. τούτων δὲ τὰ μὲν ἀφρώδη φλεγματικώτερον ἐνδείκνυται τὸ ῥεῦμα, τὰ δὲ ξανθὰ πικρόχολον ἄκρατον. ὅσα δὲ πυῤῥὰ, πικρόχολα μὲν καὶ ταῦτα, μεμίχθαι δὲ οὐκ ὀλίγον ὀῤῥῶδες περίττωμα τῇ ξανθῇ χολῇ δηλοῖ, καὶ πολὺ δὴ πλέον, ἐπειδὰν ὠχρὰ πτύῃ τις. οὕτω δὲ καὶ τὰ μέ-

neceſſario, ita ut tuſſis moveatur, non tamen expuet, antequam collectum ſimul atque concoctum ad multitudinem craſſitiemque pervenerit. Sed hoc quidem ipſius affectionis indicium eſt, non autem partis affectae. Nam quum affectio exquiſite anguſta fuerit et veluti alligans in ſe ipſa univerſum fluxum cohibuerit, tunc facit pleuritides, quae ſine ſputo nominantur, ſed quum ſatis relaxata fuerit, atque ad pulmonem dimiſerit, tunc iſti magis tuſſiunt atque expuunt; hoc igitur formam inflammationis, non autem affectum locum indicat. Nunquid vero magis pituitoſus ſit, vel biliofus humor is qui inflammationem facit, ex ſputorum forma cognosces, nam et ſpumoſa et flava et ruſa et rubra et pallida et nigra expuunt. Ex iis vero quae quidem ſpumoſa ſunt, fluxum magis pituitoſum oſtendunt, flava autem bilioſum impermixtum, quae vero ruſa ſunt, amaram quidem et iſta referunt bilem, ſed non paucam ſeroſam ſuperfluitatem cum bile commixtam eſſe ſignificant et multo ampliorem, quando pallida quis expuerit. Sic et nigra me-

λανα μελαγχολικὸν [423] ἐνδείκνυται τὸ ῥεῦμα, καθάπερ οὖν καὶ ὅσα τὴν χροιὰν μᾶλλόν πως ἐρυθρά ἐστι, πλεῖστον μὲν αἵματος, ὀλίγον δὲ τῆς πικρᾶς χολῆς ἐνδείκνυται μετέχειν τὸν τὴν φλεγμονὴν ἐργαζόμενον χυμὸν, καὶ διὰ τοῦτο πάντων μέν ἐστιν ἐπιεικέστατον πτυσμάτων, ὥσπερ, οἶμαι, τὰ μέλανα πάντων ὀλεθριώτατα. καὶ μὲν δὴ καὶ τὰ μεγέθη μὲν ἐν οἷς εἴπομεν ἅπασι συμπτώμασι μεγέθους ἔσται διαθέσεως γνωρίσματα· βραχεῖαν δ' ἐνδείξονται τὴν διάθεσιν αἱ σμικρότητες τῶν συμπτωμάτων. οὔκουν ἴδια πάντων ἅπαντ' ἐστὶν, ἀλλ' ἕκαστον ἴδιόν τινος γνώρισμα ἐξαίρετον. καὶ γὰρ ὅσα δοκεῖ δυοῖν, ἢ τριῶν ὑπάρχειν ἅμα δηλωτικὰ, καὶ ταῦτ' ἀκριβῶς ἐξετάζων εὑρήσεις ἑτέρῳ μέν τινι τῶν ἐν αὐτοῖς συμβεβηκότων, ἐνδεικνύμενα τὸν πεπονθότα τόπον, ἑτέρῳ δὲ τὴν διάθεσιν, ἄλλῳ δὲ τὸ μέγεθος αὐτῆς, ἄλλῳ δὲ τῶν ἑπομένων τι συμπτωμάτων. ὁ γοῦν σφυγμὸς ὁ τῶν πλευριτικῶν ἁπάν-(411)των μὲν τούτων ἐστὶν ἐνδεικτικὸς, ἀλλ' οὐχ ὡσαύτως ἁπάντων. ἀλλ' ᾗ μὲν ἅμα τάσει σκληρὸς, νευρῶδες εἶναι δηλοῖ τὸ πεπονθὸς, ᾗ δ' οἷον ἐμπρίων, φλεγμονὴν

lancholicum fluxum oftendunt, ficuti quae colore magis quodammodo rubra funt plurimum quidem fanguinis, minimum autem amarae bilis in eo qui inflammationem facit humore contineri fignificant: atque ideo inter omnia fputa haec funt mitiffima, ficuti nigra omnium pernicioffima. Et quidem in hisce omnibus fymptomatis magnitudines affectionis magnitudinem indicabunt, brevem autem affectionem indicabunt fymptomatum parvitates. Non igitur omnium omnia propria indicia funt, fed fingula unum quoddam peculiare demonftrant. Nam quae et duarum vel trium rerum fignificativa effe videntur, fi ea diligenter perquifieris, altero quidem fuorum fymptomatum locum affectum, altero vero affectionem, altero ipfius magnitudinem, altero eorum aliquod fymptomatum quae fequuntur fignificare reperies. Pulfus igitur pleuriticorum haec omnia indicat, fed non eodem modo omnia, fed qua quidem una cum tenfione durus eft, nervofum affectum oftendit, qua vero fer-

εἶναι τὴν διάθεσιν, ᾗ δὲ ταχύς τε ἅμα καὶ πυκνὸς καὶ μέγας, ἕπεσθαι τῇ φλεγμονῇ πυρετὸν, ᾗ δ' ἕκαστον τῶν εἰρημένων ἢ μεῖζον, ἢ μεῖον εἴη σημείων, ἤτοι μεγάλην εἶναι τὴν διάθεσιν, ἢ σμικρὰν δηλώσει. ἀρκεῖ μοι ταῦτα παραδείγματος ἕνεκα λελέχθαι νῦν. οὐ γὰρ δὴ περὶ πεπονθότων γε τόπων πρόκειται διελθεῖν, ὥσπερ οὐδὲ περὶ πυρετῶν, ἢ τύπων, ἢ αἰτιῶν, ἀλλ' ἐμνήσθην ἑκάστου τούτων ἅμα μὲν ὁδόν τινα δεῖξαι βουλόμενος τῆς ἐν αὐτοῖς ἀσκήσεως, ἣν ἔχων τις, εἰ καὶ μηδὲν ἡμεῖς γράψαιμεν, εἰς ἕκαστον τῶν προειρημένων ἰδίᾳ, δύναιτ' ἂν ἔκ τε τῶν τοῖς ἄλλοις γεγραμμένων, ἤδη δὲ καὶ αὐτὸς καθ' ἑαυτὸν, εἰ συνετός τε εἴη καὶ φιλόπονος, ἐξευρίσκειν τὸ λεῖπον, ἅμα δὲ καὶ τὸ χρήσιμον ἐπιδεῖξαι βουλόμενος ἑκάστου τῶν λεγομένων, ἐμνημόνευσα καὶ πυρετῶν διαφορὰς καὶ τύπων καὶ διαθέσεων καὶ αἰτίων καὶ αὐτῶν τῶν πεπονθότων μορίων.

Κεφ. ια'. Ἐν ἅπασι γὰρ τούτοις γεγυμνάσθαι χρὴ τὸν μέλλοντα κατὰ τὰς πρώτας ἡμέρας ἀκριβῶς διαγνώσεσθαι

rae fimilis eft, affectum effe inflammationem, qua vero velox fimul et frequens ac magnus, ad inflammationem confequi febrem, qua vero fingula quae diximus majora aut minora exiftunt, vel magnam effe, vel parvam oftendunt difpofitionem. Mihi vero haec exempli gratia dixiffe fufficiat, neque enim nunc de locis affectis agere propofuimus, ficuti neque de febribus, vel typis, vel caufis. Sed horum fingulorum memini, fimul quidem viam quandam volens oftendere, qua fit in ipfis exercitandum, quam fi quis habeat, etfi nos proprium de iis quae diximus tractatum non fcripferimus, poffit per fe ipfum ex iis quae ab aliis fcripta funt, fi modo perfpicaci ingenio fuerit et diligentiam adhibuerit, id quod fupereft invenire; fimul autem et utilitatem fingulorum quae dicta funt oftendere volens, commemoravi et febrium differentias et typos et affectus et caufas ipfasque partes affectas.

Cap. XI. Nam in his omnibus exercitatum effe oportet eum qui debeat in primis diebus exquifite noviffe

τῆς νόσου τὴν ἰδέαν. ἢ γὰρ ἁπλοῦς ἐστιν ὁ πυρετὸς, ἢ σύνθετος, ἢ μετὰ τόπου πεπονθότος, ἢ ἄνευ τόπου πεπονθότος, ἢ ἐφήμερος, ἢ ἑκτικός. ἀλλ' εἴθ' ἁπλοῦς εἴη πάντως, γνωρίσματα φέρει τοῦ χυμοῦ τοῦ γεννῶντος αὐτὸν, εἴτε σύνθετος, ἐξ ὁπόσων ἂν εἴη σύνθετος ἁπλῶν πυρετῶν, ἰσάριθμον ἐνδείξεται καὶ τὸ πλῆθος τῶν χυμῶν. ἀλλ' εἰ ταῦτ' ἐνδείξεται, καὶ εἰ χρόνιός ἐστιν, ἢ μὴ, συνενδείξεται. εἰ μὲν γὰρ φλεγματικὸς, ἐξ ἀνάγκης χρόνιος, ἔτι τε μᾶλλον, εἰ μελαγχολικός· εἰ δ' αὖ πικρόχολος, ὀλιγοχρόνιος. οὕτω δὲ καὶ ὁ τόπος ὁ πεπονθὼς μὲν ἐν κινήσει πολλῇ καὶ θερμὸς καὶ μανὸς καὶ κύριος ὀξυτέραν ἔσεσθαι προδηλοῖ τὴν νόσον. ὁ δὲ μήτ' ἐν κινήσει συνεχεῖ καὶ ψυχρὸς καὶ πυκνὸς καὶ ἄκυρος, εἰς χρόνον ἐκπέμπεσθαι μακρότερον. ὡσαύτως δὲ καὶ ἡ διάθεσις ἡ μὲν δυσκινητοτέρα καὶ ψυχροτέρα καὶ πυκνοτέρα χρονιεῖν, ἡ δ' εὐκίνητος καὶ θερμοτέρα καὶ μανωτέρα ταχέως λυθήσεσθαι. κατὰ ταὐτὰ δὲ καὶ περὶ τῶν αἰτίων γινώσκειν. [424] ὥσθ' ὅστις ἀκριβῶς ὅλην γνῷ τοῦ νοσήματος

ipfam morbi fpeciem. Vel enim fimplex eft febris, vel compofita, vel cum loco affecto, vel fine loco affecto, vel ephemera, vel hectica. Quod fi fimplex fuerit omnino, humoris indicia affert ex quo genita eft, fi vero compofita, ex quot fimplicibus febribus compofita eft, totidem numero humorum multitudinem indicabit. At fi hoc indicet, illud etiam fignificabit, numquid morbus diu durabit, an cito finietur; nam fi humor pituitofus extiterit, neceffario diuturnus erit, longe vero magis, fi atrae bilis naturam afferet; at fi ad flavam bilem pertinebit, non erit diuturnus. Sic et locus affectus, qui quidem motu multo exercetur, calidus eft ac rarus et princeps, acutiorem morbum futurum portendit; qui vero neque in motu continuo eft, frigidusque ac denfus et ignobilis eft, ad longius tempus extendi debere fignificat. Eodem modo et affectio, fiquidem difficilem motum habuerit, frigidiorque fuerit ac denfior, diu duraturum, fi autem facile moveatur, calidiorque fuerit ac rarior, cito folutum iri. Eodem modo et de caufis judicandum eft. Quare fi quis diligenter agnoverit totam morbi hypothefim, non par-

τὴν ὑπόθεσιν, οὐ σμικρὰν μοῖραν εἰς πρόγνωσιν ἕξει. τὰς μὲν οὖν σὺν ἀγῶνί τε μεγάλῳ καὶ ὀξυῤῥόπῳ λύσεις τῶν νοσημάτων, ἃς δὴ καὶ μάλιστα κρίσεις ἐλέγομεν ὀνομάζεσθαι, τῶν ἐπὶ χυμοῖς θερμοῖς συνισταμένων πυρετῶν ἰδίας εἶναι χρὴ νομίζειν. ἐφεξῆς δὲ τούτων ὅσαι μορίων εἰσὶ κυρίων, εὐκίνητοι καὶ θερμαὶ διαθέσεις. οἱ δὲ ἐφήμεροί τε καὶ οἱ ἑκτικοὶ πυρετοὶ καὶ χωρὶς ταραχῆς μεγάλης καὶ οὐδ' ὀξυῤῥόπους ποιοῦνται τὰς μεταβολάς. ἀλλ' ἐπεὶ καὶ ταύτας ἐνίοτε καταχρώμενοι κρίσεις ὀνομάζουσιν, εἰρήσεταί τι καὶ περὶ τούτων ἐν τοῖς ἐφεξῆς. νυνὶ δὲ τέλος ἐπιθεῖναι βούλομαι τῷ παρόντι λόγῳ, συγκεφαλαιώσας εἰς ἓν ἅπαντα τὰ προειρημένα.

Κεφ. ιβ'. Τὰς ἀθρόας ἐν νόσοις μεταβολὰς εἰ βούλοιο προγινώσκειν, ἀναγκαῖόν ἐστί σοι πρότερον ἀρχῆς καὶ ἀναβάσεως καὶ ἀκμῆς καὶ παρακμῆς εἶναι διαγνωστικός τε καὶ προγνωστικός. ταῦτα δ' αὐτὰ διαγνώσῃ διά τε τῆς τοῦ νοσήματος ἰδέας καὶ τῆς χώρας καὶ τῆς ὥρας τοῦ ἔτους, ἅμα τοῖς συστοίχοις αὐτοῖς, καὶ τῆς τῶν περιόδων ἀναλογίας καὶ

vum habebit ad praenoscendum momentum. Eas igitur quae cum magno et cito se inclinante certamine fiunt, morborum solutiones, quas praecipue crises nominari dicebamus, febrium earum quae ex calidis humoribus accenduntur, proprias esse est existimandum, post has earum quaecunque partium sunt principum, facile mobiles et calidae affectiones. Ephemerae vero et hecticae febres et sine magna perturbatione et minime subitas faciunt permutationes, sed quoniam et has per abusionem aliquando crises appellant, de istis etiam deinceps aliquid dicetur. Nunc vero finem imponere statuimus praesenti sermoni, ad unum omnia quae ante diximus caput redigentes.

Cap. XII. Subitas in morbis mutationes si velis praenoscere, necessarium tibi prius est principii et incrementi ac status et declinationis habere dignotionem et praenotionem. Haec autem dignosces et ex morbi forma et regione et anni tempore, una cum illis quae his correspondent, ex circuituum etiam proportione atque etiam ex

προσέτι τῶν ἐπιφαινομένων, ἐκ μὲν τῆς τοῦ νοσήματος ἰδέας εἰς τρεῖς τούτους ἀποβλέπων ἁπλοῦς καὶ πρώτους πυρετοὺς, τὸν φλεγματώδη καὶ τὸν μελαγχολικὸν καὶ τὸν πικρόχολον. ἄσκησον δὲ γνωρίζειν αὐτοὺς πρότερον ἀκριβεῖς τε καὶ γνησίους, οὕτω γὰρ καὶ δυνήσῃ ποτὲ καὶ μεμιγμένους ἐξευρίσκειν. ἀκριβεῖς δὲ καὶ γνήσιοι τότ' εἰσὶν, ὅταν ἡλικία καὶ ὥρα καὶ χώρα καὶ κατάστασις καὶ φύσις καὶ τὰ προηγονότα διαιτήματα καὶ τὰ παρόντα συμπτώματα καὶ πάνθ' ἁπλῶς ὅσα πρόσθεν εἶπον οἰκεῖα τοῦ χυμοῦ τῆς ἰδέας ὑπάρχῃ. μενόντων μὲν οὖν τῶν χυμῶν κατὰ τὰς φλέβας οἱ συνεχεῖς ἐπ' αὐτοῖς γίνονται πυρετοί· κινουμένων δὲ καὶ πάντῃ τοῦ σώματος ὠθουμένων οἱ μετὰ ῥίγους ἢ φρίκης ἰσχυρᾶς ἀρχόμενοι, σὺν ἱδρῶτι δὲ πάντως εἰς ἀπυρεξίαν τελευτῶντες. ἔστι δ' αὐτῶν ὁ μὲν τριταῖός τε καὶ ὁ διὰ τρίτης ὀλιγοχρόνιος, ὁ δὲ τεταρταῖος καὶ ὁ διὰ τετάρτης πολυχρόνιος. ἧττον δὲ χρόνιος τούτου ὅ τ' ἀμφημερινός ἐστι καὶ ὁ καθ' ἑκάστην ἡμέραν παροξυνόμενος. εἰ τούτους εἰδείης ἑτοίμως γνωρίζειν, οὐκ ἂν

mox apparentibus, ex morbi quidem forma ad has tres simplices et primas febres inspiciens, ad eam scilicet quae ex pituita et quae ex atra bile, et quae ex amara generatur. Prius igitur in iis dignoscendis exercearis quae exquisitae sunt atque legitimae, sic enim aliquando poteris etiam compositas invenire. Tunc vero exquisitae sunt atque legitimae, quando et aetas et anni tempus et regio ac constitutio, naturaque, atque ea quae antecessit ratio victus, praesentia quoque accidentia et omnia simpliciter quae antea dixi, humoris formae convenerint. Manentibus igitur in venis humoribus, continuae ex ipsis febres generantur, si vero moveantur ac per totum corpus deferantur, hae quae cum rigore atque horrore incipiunt, vehementi cum sudore vero omnino ad infebricitationem desinentes. Est autem ex ipsis tertiana quidem et quae per tertium accenditur brevis temporis, sicut quartana et quae per quartum accenditur, longi, minus vero quam haec longa quotidiana et quae singulis diebus facit accessionem. Si has noveris expedite discer-

ὅτι χαλεπὸν ἐξευρίσκειν οὐδὲ τοὺς ἐπὶ τόποις τισὶ πεπονθόσι συνισταμένους. ἐν γὰρ τοῖς φλεγμαίνουσι μορίοις ἅπασιν ἡ σφήνωσις τῶν χυμῶν εἴργουσα διαπνεῖσθαι καλῶς τὸν τόπον εὐθὺς μὲν σήπει τοὺς χυμοὺς, εὐθὺς δὲ καὶ θερμασίαν ἀνάπτει τινὰ μοχθηρὰν, οἵα κἀν τοῖς ἄλλοις ἅπασι τοῖς σηπομένοις γεννᾶται. ταύτης οὖν τῆς θερμασίας ὁ χαρακτὴρ ὅταν ἁπλοῦς ᾖ, τῶν εἰρημένων τινὶ πυρετῶν ἐξ ἀνάγκης ἔοικε· μᾶλλον δὲ, εἰ χρὴ τἀληθὲς εἰπεῖν, εἷς ἐξ ἐκείνων ἐστὶν, ἢ πικρόχολος, ἢ μελαγχολικὸς, ἢ φλεγματικός. ἤκουσας δέ που λέγοντος Ἱπποκράτους τίνες εἰσὶν ὀξεῖαι νόσοι, ἢ ὡς ταύτας καλοῦσιν ὀξείας νόσους, ὧν οἱ πυρετοὶ τοὐπίπαν εἰσὶ συνεχεῖς, ὥστ᾽ εἴπερ ἰδίᾳ τε καὶ καθ᾽ ἑαυτὸν ἕκαστον τῶν πυρετῶν ἀσκήσαις γνωρίζειν, οὐκ ἂν ἔτι χαλεπῶς, οὐδ᾽ ὅταν ἅμα πνεύμονος ἢ σπληνὸς ἢ ἥπατος ἢ γαστρὸς φλεγμονή τις εὑρίσκοιτο, διαγνώσῃ τε τὴν ἰδέαν αὐτοῦ καὶ τὸ μέχρι λύσεως μῆκος ὅλης τῆς νόσου προγνώσῃ. [425] πάντως γάρ που τὸ ῥεῦμα τὸ τὴν φλεγμονὴν ἐργασάμενον ἢ τῆς ξανθῆς χολῆς

nere, haudquaquam difficulter eas quae ex quorundam locorum affectu confistunt, invenies. Nam in omnibus inflammatis partibus humorum impactio, quae locum bene difflari prohibet, statim quidem humores putrefacit, simulque calorem quendam pravum excitat, qualis et in reliquis putrescentibus oritur. Hujus igitur caloris character quum simplex fuerit, earum alicui quas diximus febrium necessario assimilatur, vel potius, si verum velimus dicere, una ex illis est, vel ad amaram bilem, vel ad atram, vel ad pituitam attinens. Audivisti autem Hippocratem quodam in loco dicentem quod quidam sunt acuti morbi et quod hos vocant acutos morbos quorum febres maxima ex parte continuae sunt. Quare si seorsum ac per se singulas febres nosse meditaberis, haudquaquam difficulter, neque quum pulmonis, aut splenis, aut hepatis, aut ventriculi aliqua inflammatio affuerit, formam ipsius agnosces, totiusque morbi usque ad solutionem longitudinem praecognosces. Omnino enim fluxio, quae inflammationem efficit, vel flavae

ἐστιν, ἢ τῆς μελαίνης, ἢ τοῦ φλέγματος. εἰ μὲν οὖν ἀκράτου τέ γε καὶ πολλῆς τῆς ξανθῆς χολῆς εἴη, τηνικαῦτα μὲν ἐρυσιπέλατά τε καὶ τοὺς καλουμένους ἕρπητας ἐργάζεται· τῆς μελαίνης δ' ἂν εἴη, ἢ καρκίνους ἢ φαγεδαίνας ἢ ἐλέφαντας, ἤ τι τῶν οὕτω δυσιάτων παθῶν. ὅσα δ' ὑπὸ φλέγματος κατασκήψαντος ἐξαίρεται, ταῦτ' οἰδήματα κέκληται. ψιλὸς μὲν οὖν καὶ μόνος ἕκαστος τῶν εἰρημένων χυμῶν ἀκριβὲς ἕκαστον ἐργάζεται τῶν εἰρημένων παθῶν. ἀναμιχθεὶς δὲ τῷ αἵματι, κἄπειτα κατασκήψας εἴς τι μόριον, σκιῤῥώδεις, ἢ οἰδηματώδεις ἐργάζεται τὰς φλεγμονάς· σκιῤῥώδεις μὲν ὁ μελαγχολικὸς, ἐρυσιπελατώδεις δὲ ὁ πικρόχολος, οἰδηματώδεις δὲ ὁ φλεγματικός. ὅταν δὲ αὐτὸ τὸ κατὰ φύσιν ἔχον αἷμα σφηνωθὲν ἐν τῷ ῥευματισθέντι χωρίῳ διασαπῇ, φλεγμονὴ μέν ἐστι τὸ πάθημα, ἁπλοῦς δὲ ἐπ' αὐτῇ πυρετὸς ἐξάπτεται, παραπλήσιος μάλιστα τῶν ἐφημέρων τοῖς ἐπὶ βουβῶσι. καὶ γὰρ οὖν καὶ αὐτὸς ὁ βουβὼν ἐξ αἵματος χρηστοῦ γίνεται. δῆλον δ' ὡς, ἐπειδὰν ὑπάρξηται σήπεσθαι τοῦτο, οὐκέτι μένει χρηστὸν,

bilis est, vel atrae, vel pituitae. Si igitur impermixtae multaeque flavae bilis fuerit, tunc facit erysipelata et eos qui herpetes nominantur, sicuti nigrae cancros et phagedaenas, aut elephantes, aut aliquem ex his adeo curatu difficilibus morbum, quaecumque vero ingruente pituita in tumorem attolluntur, haec oedemata nuncupantur. Simplex igitur et solus unusquisque horum quos diximus humorum quemlibet horum quos commemoravimus facit exquisitum morbum. Sanguini vero permixtus atque confusus, deinde in partem aliquam decumbens vel scirrhosas vel oedematosas vel erysipelatosas facit inflammationes, scirrhosas quidem melancholicus, erysipelatosas vero biliosus, oedematosas pituitosus. Quum vero ipse secundum naturam se habens sanguis impactus in loco fluxioni obnoxio putruerit, hic quidem affectus inflammatio est: simplex vero ex ipsa febris accenditur, similis maxime ephemeris, quae ex inflammationibus inguinum accidunt, nam et inguinis inflammatio ex bono sanguine fit. Liquet autem quod quum hic putrescere coeperit, non amplius bonus remanet, sed

ἀλλ' ἤδη πικρόχολον γίνεται, καὶ φυλάττεται κἀν τῷδε τὸ τρία τὰ σύμπαντα εἶναι γένη τῶν ἁπλῶν πυρετῶν. ὁ γὰρ ἐξ αἵματος σηπομένου γινόμενος ἤδη πως χολώδης ἐστὶν, εἴ γε κἀν τοῖς φυσικοῖς λόγοις ὀρθῶς ἀποδέδεικται τὸ μὲν αἷμα ἡ σύμμετρος ἐργαζομένη θερμασία, τὴν ξανθὴν δὲ χολὴν ἡ πλείων ἤδη, τὴν μέλαιναν δὲ ἡ ἄμετρος ἱκανῶς. ὅσον μὲν οὖν ἐστι λιπαρόν τε καὶ κοῦφον ἐν αἵματι, ξανθὴ χολὴ γίνεται· (412) τὸ παχὺ δὲ καὶ οἷον τρὺξ, ὅταν ἀμέτρως θερμανθὲν ἐξικμασθῇ, μέλαινα γίνεται. γίνεται δέ ποτε μέλαινα καὶ ἡ ξανθὴ κατοπτηθεῖσα. διττὸς γὰρ δὴ καὶ ταύτης ἐδείχθη τῆς γενέσεως ὁ τρόπος. ἅπαντες οὖν οἱ ἐπὶ μορίοις τισὶ πεπονθόσι πυρετοὶ τῶν εἰρημένων τινὰ χαρακτήρων ἢ ἁπλοῦν ἢ σύνθετον ἕξουσιν. ἁπλοῦν μὲν, ὅταν ἱκανῶς κρατήσῃ τῶν ἄλλων εἷς χυμὸς, οὐχ ἁπλοῦν δὲ, ἐπειδὰν ἐμφαίνηται τοῦ μιχθέντος ἡ δύναμις. ἐνίοτε δὲ οὐκ ἐμφαίνεται μόνον, ἀλλὰ καὶ κατ' ἴσον ἰσχύει θατέρῳ, καὶ ποτὲ καὶ οἱ τρεῖς ἅμα μίγνυνται ταῖς δυνάμεσιν ἴσοι. ἀλλὰ ὥσπερ τὸν ἀκριβῶς ἐπιστάμενον

jam ad amarae bilis naturam tranfit. Atque in hoc illud fervatur, triplex effe genus univerfum fimplicium febrium, quae enim ex fanguine putrescente fit, jam quodammodo biliofa eft, fi fane in naturalibus fermonibus recte oftenfum eft quod fanguis ex moderato calore generatur, flava autem bilis ex majore, atra vero ex fufficienter immodico. Quidquid igitur pingue et tenue in fanguine eft, fit flava bilis, craffum vero ac veluti faex, quando immodice calefactum exaruerit atra. Flava etiam bilis quandoque in atram convertitur, quum affata fuerit: duplex etenim ejus generationis modus oftenfus eft. Omnes igitur quae ex parte aliqua affecta febres accenduntur, unum aliquem ex dictis, vel fimplicem, vel compofitum habebunt characterem, fimplicem quidem, quando unus aliquis fufficienter praevaluerit caeteris, non fimplicem, quando commixti alterius potentia apparuerit. Nonnunquam autem non folus apparet, fed ex aequo dominatur, et nonnunquam tres fimul viribus aequales commiscentur. Sed ficuti qui fcit et vinum et

ἰδίᾳ γνωρίζειν οἶνον καὶ μέλι καὶ ὕδωρ οὐδ' ἡ κρᾶσις αὐτῶν διαλανθάνει, κατὰ τὸν αὐτὸν, οἶμαι, τρόπον οὐδ' ὅστις ἰδίᾳ τῶν εἰρημένων ἕκαστον τῶν πυρετῶν οἷός τ' ἐστὶ γνωρίζειν ἀκριβῶς, οὐκ ἀγνοήσει τὴν μῖξιν αὐτῶν, ὅθεν ἀρχὴ πάντων ἐστὶ τῶν τοιούτων ἀρίστη τοὺς τρεῖς ἐκείνους πυρετοὺς δύνασθαι γνωρίζειν ἀκριβῶς, ἀμφημερινὸν καὶ τριταῖον καὶ τεταρταῖον. ὅμοιοι γὰρ αὐτοῖς ἀκριβῶς εἰσι καὶ οἱ παρακείμενοι συνεχεῖς, οὔκουν εἰς πολλοὺς καὶ ἀσαφεῖς σκοποὺς, ἀλλ' εἰς ὀλίγους τε καὶ σαφεῖς ἅπασαν ἀνήγαγόν σοι τὴν ἄσκησιν. ἐν τούτοις γὰρ γυμνασάμενος οὐ χαλεπῶς ἐν ταῖς πρώταις τῶν ἡμερῶν διαγνώσῃ τῆς νόσου τὸν χαρακτῆρα.

Κεφ. ιγ'. Τὰ μὲν δύο γένη τῶν πυρετῶν ὅπως ἄν τις ἐξ ἀρχῆς γνωρίζοι, λέλεκται. λέγω δὲ δύο γένη τῶν πυ-[426]ρετῶν τό τ' ἐπὶ μορίοις τισὶ πεπονθόσι καὶ τὸ τῶν χυμῶν μόνον ἐξαπτομένων. ἐφεξῆς δ' ἂν εἴη λέγειν ὑπὲρ τοῦ τρίτου γένους τῶν πυρετῶν, οὓς ἐφημέρους ἔφαμεν ὀνομάζεσθαι. τοῦ πνεύματος δ' αὐτοῦ μόνου παθήμαθ' ὑπάρχουσιν

mel et aquam feorfum exquifite discernere, neque horum ignorabit temperiem: eodem, ut arbitror, modo neque qui facultatem habuit eas quas antea diximus febres fingulas exquifite noscendi, earum mixtionem ignorabit. Quare in omnibus talibus principio illud optimum eft, tres iftas febres poffe exquifite discernere, quotidianam, tertianam et quartanam: fimiles enim ipfis omnino funt continuae ejusdem generis adjacentes. Non igitur ad plures atque obfcuros fcopos, fed ad paucos et manifeftos omnem tibi redegi exercitationem; in his enim exercitatus haud quaquam difficulter in primis diebus characterem morbi perfpectum habebis.

Cap. XIII. Duo quidem genera febrium quo pacto quispiam ab initio cognoscat expofui; dico autem duo genera febrium, et quod occafione partium quarundam affectarum et quod ex putredine humorum tantummodo accenditur. Reliquum eft ut de tertio febrium dicamus genere, quas ephemeras appellari dicimus. Sunt autem hae tantummodo fpiritus affectiones, absque humorum putre-

Ed. Chart. VIII. [426.] Ed. Baf. III. (412.)

οὗτοι, χωρὶς χυμῶν σηπεδόνος, ἢ μορίου φλεγμονῆς, ἔξω τῶν ἐπὶ βουβῶσιν. αἱ προφάσεις δ' αὐτῶν τῆς γενέσεως ἀγρυπνία καὶ ἀπεψία καὶ λύπη καὶ φόβος καὶ θυμὸς καὶ φροντὶς, ἔκκαυσίς τε καὶ ψύξις καὶ κόπος καὶ μέθη καὶ πάνθ' ὅσα τοιαῦτα. πῶς οὖν καὶ τούτους γνωρίζειν ἐν τῇ πρώτῃ τῶν ἡμερῶν χρὴ, ἐφεξῆς δίειμι· κοινῇ μὲν ἁπάντων ὁ σφυγμὸς εἰς τάχος ἐπιδίδωσι καὶ πυκνότητα, πολλάκις δὲ καὶ μέγεθος. ἀκριβῶς δὲ ἀποσώζει τὴν κατὰ φύσιν ὁμαλότητά τε καὶ μαλακότητα καὶ τάξιν, ὡσαύτως δὲ καὶ τὰ οὖρα τὰ μὲν ἐναιωρήματα χρηστὰ, τὰ δ' ὑποστάσεις ἴσχει, τὰ δὲ νεφέλας, εὔχροα δὲ πάντα, καθάπερ καὶ ἡ θερμασία πάντων μὲν ἀτμώδης ἐστὶν, ἀλλὰ τοῖς μὲν εὐθὺς ἐν τῇ πρώτῃ τῆς ἀφῆς ἐπιβολῇ, τοῖς δ' ἐξ ὑστέρου, καὶ πάντ' αὐτῶν ἄπεστι τὰ κακοήθη συμπτώματα, περὶ ὧν Ἱπποκράτης ἐδίδαξεν ἡμᾶς ἐν προγνωστικῷ. ταῦτα μὲν οὖν ἁπάντων ἐστὶ κοινὰ σημεῖα τῶν ἐφημέρων πυρετῶν· ἴδια δ' ἑκάστῳ, καθάπερ εἴρηταί μοι κἀν τῷ πρώτῳ τῶν πρὸς Γλαύκωνα θεραπευτικῶν. ἄρξο-

dine aut partis inflammatione, nisi inflammatis inguinibus accidant. Earum autem generationis causae sunt vigiliae ac cruditas et tristitia et timor et ira et curae deustioque ac refrigeratio, lassitudo et ebrietas et quaecunque similia sunt. Quomodo igitur et has in prima die cognoscere oporteat, deinde exponam. Communiter quidem omnium pulsus ad celeritatem et frequentiam promovetur et saepenumero ad magnitudinem; exquisite autem servat eam quae secundum naturam et aequalitatem atque mollitiem et ordinem. Sic et urinae nonnullae quidem suspensa, nonnullae vero sedimenta bona habent, quaedam autem nebulas, omnes vero bene coloratae sunt: sicuti et calor in omnibus vaporosus est, sed quibusdam statim quidem in primo contactu, quibusdam vero posterius. Atque omnibus ipsis absunt maligna symptomata, de quibus docuit nos Hippocrates in Prognostico. Haec igitur communia signa sunt omnium febrium ephemerarum, propria vero singulis quae a me dicta sunt etiam in primo libro artis curativae ad Glauconem. Nunc ero in-

μαι δὲ καὶ νῦν ἀπὸ τῶν ψυχικῶν παθῶν τοῦ λόγου, φροντίδος καὶ φόβου καὶ θυμοῦ καὶ λύπης. εἰ μὲν δὴ μενόντων ἔτι τῶν τῆς ψυχῆς παθῶν ἡ ἐπίσκεψις γένοιτο, διὰ τῶν σφυγμῶν μάλιστα πειρᾶσθαι διαγινώσκειν, ὡς ἐν τοῖς περὶ σφυγμῶν γέγραπται. μετὰ δὲ ταῦτα καὶ τὴν ἀπὸ τῶν ἄλλων εἰσάγειν διάγνωσιν. εἰ δ' αὐτὰ μὲν εἴη πεπαυμένα, μένοι δ' ἡ διάθεσις, ἀμυδρὸν μέν τι κἂν τοῖς σφυγμοῖς εὑρήσεις γνώρισμα τῶν ποιησάντων τὸν πυρετὸν παθῶν, ἀποχρήσῃ δέ σοι καὶ χωρὶς τῶν σφυγμῶν τὰ λοιπὰ πάντα. κοινῇ μὲν γὰρ ἅπασι πυῤῥότερα τὰ οὖρα, πρόσεστι δὲ τοῖς μὲν διὰ λύπην δριμύτης μᾶλλον ἢ πλῆθος θερμασίας, ὡς τοῖς γε διὰ θυμὸν ἔμπαλιν. ἀλλὰ καὶ ἡ ἰσχνότης τοῦ σώματος ἐπιδηλοτέρα τοῖς λυπηθεῖσιν ἢ τοῖς φροντίσασι, καὶ ἡ τῶν ὀφθαλμῶν κοιλότης καί τις ἀήθης ἀχροια. ταῦτα μὲν δὴ καὶ τῶν ἄλλως ὁπωσοῦν φροντισάντων κοινὰ, μάλιστα δὲ τοῖς ὀφθαλμοῖς ἔστι διορίζειν. ἔνεστι γὰρ ἐκ τούτων τεκμήρασθαι κἂν τοῖς ὑγιαίνουσι μὲν τὸ τῆς ψυχῆς ἦθος, καὶ νοσούντων δὲ σαφέστατα σημεῖα

choabo fermonem ab affectibus animae, a cura et timore et ira et triftitia. Si quidem remanentibus adhuc animi affectibus confideratio fiat, ex pulfibus maxime tentandum eft facere dignotionem, quemadmodum in libris De pulfibus fcriptum eft; poft autem etiam ex aliis inveftigandum. Quod fi illi quidem affectus fedati fuerint, affectio vero remanferit, debile quidem et hic in pulfibus indicium invenies illarum quae febrem antecefferunt affectionum; tibi autem fine pulfibus reliqua omnia fufficient. Communiter enim omnibus urinae rufiores. Adeft autem iis quidem qui ob triftitiam febricitant, acrimonia potius quam multitudo caloris, ficuti iis qui ob iram contrario modo. Sed et tenuitas corporis in iis qui triftitia quam in iis qui cogitationibus vexati funt manifeftius apparet et oculorum cavitas et quaedam infolita decoloratio. Et haec quidem communia omnium etiam aliorum, qui quocunque modo cogitationibus impliciti fuerint, indicia funt, fed praecipue ex oculis discernendi funt; licet enim ex his etiam in fanis animi affectum conjicere, in aegris autem manifeftiffima figna funt

τῷ γε δυναμένῳ συνορᾷν. οὕτως μὲν δὴ τοὺς διὰ μαθήματά τε καὶ θεωρίαν τινὰ φροντίσαντας τῶν λυπηθέντων διακρίνειν προσήκει, τούς γ' ἐπ' ἀγρυπνίας, διορίζει μὲν καὶ τὸ τῆς ἀχροίας εἶδος. ὕποιδον γάρ ἐστιν αὐτοῖς τὸ πρόσωπον καὶ αἱ τῶν ὀφθαλμῶν κινήσεις δῆλαι, μόγις γὰρ ἐπαίρουσι τὰ βλέφαρα, καὶ μὴν ὑγρότης δὲ, ξηροὶ γὰρ γίνονται τοῖς λυπηθεῖσιν, ἢ φροντίσασιν. ἡ κοιλότης δὲ κοινὸν ἁπάντων σύμπτωμα, λύπης, ἀγρυπνίας, φροντίδος, οὐ μὴν ἤδη καὶ θυμοῦ. τούτῳ γὰρ οὔτε τὰ τῆς κοιλότητος τῶν ὀφθαλμῶν οὔτε τὰ τῆς ἀχροίας ἐπίδηλα, καὶ μὴν θερμασία πλείων τε καὶ ὠκέως ἐκ τοῦ βάθους ἀναφερομένη. καὶ τὸ μέγεθος τῶν σφυγμῶν οὐκ ἀφαιρεῖται, καθάπερ ἐπ' ἀγρυπνίας τε καὶ λύπης καὶ φροντίδος, ὥστε θυμὸν μὲν καὶ πάνυ σαφῶς αὐτῶν διοριεῖς. ἀλλήλων δὲ ἐκεῖνα, καθάπερ προείρηται, τῶν δ' ἐπὶ κόποις πυρεττόντων τὸ δέρμα ξηρότερον ἤπερ ἄλλῳ τινὶ τῶν ἐφημέρων πυρετῶν. [427] ἀλλὰ τοῦτο μὲν ἅπασι τοῖς ἐπὶ κόπῳ πυρέξασι κοινὸν, ἔν γε τῷ μέχρι τῆς ἀκμῆς τοῦ

ei qui inspiciendi habeat facultatem. Sic quidem illos, qui propter disciplinas aut propter meditationem aliqua cogitaverunt, ab iis quos tristitia corripuit discernere oportet. Eos autem qui nimium vigilarunt, distinguit et decolorationis modus, nam subtumida ipsis facies inest et oculorum motus manifesti, vix enim attollunt palpebras; et humiditas oculorum, sicci enim contristatis fiunt et cogitantibus. Cavitas vero commune omnium symptoma est, tristitiae, vigiliae, curarum, non tamen et irae, huic enim neque oculorum cavitas, neque decoloratio manifesta, et calor etiam amplior et qui celeriter ex profundo efferatur, et pulsuum magnitudo non minuitur, quemadmodum in vigiliis, tristitiis et cogitationibus. Quare iram quidem ab ipsis valde manifeste distingues, illas vero invicem quemadmodum antea diximus. Eorum vero qui ex lassitudinibus febricitant cutis est siccior, plusquam in aliqua alia febrium ephemerarum. Sed hoc quidem omnibus qui ex lassitudine febricitant commune est in eo accessionis tem-

παροξυσμοῦ χρόνῳ. τῷ δὲ ἀπὸ τοῦδε τοῖς πλείστοις μὲν ὅσοι μὴ ὑπερεπόνησαν, ἰκμάδες τινὲς, ἢ ἀτμὸς θερμὸς ἐκ τοῦ βάθους ἀναφέρεται, τισὶ δὲ κἂν τοῖς μετὰ τὴν ἀκμὴν χρόνοις ἡ ξηρότης παραμένει. γίνεται δὲ τοῦτο μάλιστα τοῖς ὑπερπονήσασιν, ἢ ἐγκαυθεῖσιν, ἢ ψυχθεῖσιν ἅμα τῷ κόπῳ. καὶ μὲν δὴ καὶ τὰ τῶν σφυγμῶν οὐχ ὡσαύτως ἐν ἀμφοτέροις ἔχει: μικροὶ μὲν γὰρ τοῖς ὑπερπονήσασι, μεγάλοι δέ εἰσι τοῖς ἄλλοις. οἱ δὲ ἐπὶ τῇ πυκνώσει τοῦ δέρματος ἀναπτόμενοι πυρετοὶ, πυκνοῦται δὲ ἢ ψυχόμενον, ἢ ποιότητος στρυφνῆς ἀθρόως αὐτῷ ἐμπεσούσης, οἷόν τι καὶ τῷ λουσαμένῳ ἐν τῷ ὕδατι τῷ στυπτηριώδει ἐγένετο, οὗτοι μόνοι πάντων πυρετῶν στεγνόν εἰσι πάθος. ἔνεστι δὲ αὐτοὺς τῇ ἁφῇ διαγινώσκειν, ὥσπερ καὶ τοὺς αὐχμώδεις τῶν πυρετῶν τοὺς ἐπὶ τοῖς κόποις. οὐ γὰρ ἂν οὐδ' ἡ τούτων πύκνωσις ἁφὴν γεγυμνασμένην διαλάθοι. ἀτὰρ οὖν καὶ ἡ τῆς θερμασίας κίνησις ἐπαναδιδοῦσά πώς ἐστι, πραεῖα μὲν κατὰ τὴν πρώτην ἐπιβολὴν φαινομένη, δριμεῖα δὲ, εἰ χρονίσαις ἐπὶ πλέον, γινομένη. οὐ

pore quod usque ad ſtatum protenditur, at eo tempore quod ſtatum ſequitur plurimis quidem, quicunque non ſupra modum fatigati ſunt, humiditates quaedam, vel vapor calidus ex profundo attollitur, quibusdam vero etiam in iis, quae ſtatum ſubſequuntur temporibus ſiccitas remanet. Fit vero hoc maxime iis qui ſupra modum fatigati ſunt, vel deuſti, vel refrigerati una cum laſſitudine. Et pulſus etiam non eodem modo in utrisque ſe habent, parvi enim iis qui ſupra modum ſunt fatigati, magni vero aliis ſunt. At quae ex denſata cute febres oriuntur, denſatur autem vel frigefacta, vel qualitate acerba ſubito ipſam invadente, veluti accidit eis qui aqua aluminoſa ſe balnearunt, hae ſolum ex omnibus febribus affectus aſtrictus ſunt. Licet autem ipſas ex tactu dignoscere, ſicuti et aridas febres, quae ex laſſitudine fiunt, neque enim vel harum denſitas tactum lateat exercitatum. Sed et caliditatis motus in iis quodammodo inaugescit, nam in primo manus injectu mitis apparet, acrior vero poſtmodum evadit, ſi moratus fueris. Sed

μὴν οὐδὲ τὰ οὖρα πυῤῥὰ τοῖς τοιούτοις, οὐδ' ὁ τοῦ σώματος ὄγκος συμπέπτωκεν. οὔκουν οὐδ' οἱ ὀφθαλμοὶ κοῖλοι καὶ ξηροὶ γίγνοιντο ἂν, ἀλλ' ἔστιν οἷς ὑγρότεροί τε καὶ προπετέστεροι δόξουσιν εἶναι τῶν κατὰ φύσιν, οἱ δὲ σφυγμοὶ μικρότεροι, καθάπερ ἐπὶ λύπης καὶ φροντίδος καὶ ἀγρυπνίας, κἀν τοῖς ἄγαν ἀμέτροις γυμνασίοις. τῶν δ' ἐπὶ βουβῶσι πυρετῶν τῶν ἐφημέρων οἱ σφυγμοὶ μέγιστοι γίνονται καὶ ὠκεῖς καὶ πυκνοὶ καὶ ἡ θερμασία πολλὴ, καὶ μετὰ τὴν ἀκμὴν εὐθὺς ἐκ τοῦ βάθους ἀναφέρεταί τις ἰκμὰς, θερμὴ μὲν, ἀλλ' ἡδεῖα. τὸ γὰρ δριμὺ καὶ δάκνον ἥκιστα πάντων πυρετῶν τοῖς τοιούτοις ὑπάρχει, καὶ τὸ πρόσωπον ἐρυθρὸν αὐτοῖς γίνεται τοὐπίπαν, καὶ ἐν ὄγκῳ μείζονι, καὶ τὰ οὖρα ὑπόλευκα. κοινὸν δὲ τοῖς τοιούτοις ἅπασι πυρετοῖς τοῖς ἐφημέροις ἡ ὁμαλότης τοῦ σφυγμοῦ. παντελῶς γὰρ ἐξ αὐτῶν ὀλίγοι τὴν κατὰ μίαν πληγὴν ἀνωμαλίαν ἐμφαίνουσιν, ἀλλ' οὐδ' οὗτοι πάνυ σαφῶς, οὐδ' ἐναργῶς. εἴρηταί μοι (413) δὴ καὶ τὰ τῶν ἐφημέρων πυρετῶν γνωρίσματα. περὶ

neque urinae rufae in talibus, neque corporis moles collapfa, quare neque oculi concavi et ficci apparent, fed funt quibus et humidiores et prominentiores iis qui fecundum naturam elfe videbuntur, pulfus vero quemadmodum in triftitia et curis et vigiliis, atque immoderatis exercitiis minores. Earum vero febrium ephemerarum, quae ex inflammationibus inguinum accenduntur, pulfus maximi funt et veloces, atque frequentes, calorque plurimus et poft ftatum ftatim ex profundo humiditas quaedam attollitur calida quidem, fed fuavis, nam acrimonia et mordacitas minime omnium his febribus adeft, et rubicunda facies maxima ex parte ipfis ineft et in majore tumore et urinae fubalbae. Communis vero his febribus ephemeris ineft aequalitas pulfuum, nam ex ipfis paucae admodum eam quae fecundum unam pulfationem eft inaequalitatem oftendunt, fed neque hae valde manifefte, neque liquido. Dicta a me funt et ipfa febrium ephemerarum indicia. De hecticis autem non

δὲ τῶν ἑκτικῶν οὐ νῦν καιρὸς, οὐδεὶς γὰρ ἐν ταῖς πρώταις ἡμέραις, ἀλλ᾽ ἐν τῷ χρόνῳ προϊόντι τοιοῦτος ἀποτελεῖται, ὥστε περὶ μὲν ἐκείνων ἐν τοῖς ἐφεξῆς εἰρήσεται, νυνὶ δὲ καταπαύσω τὸν παρόντα λόγον ἐνθάδε.

eſt praeſentis temporis ſermo; nulla enim earum in primis diebus, ſed in progreſſu temporis fit; quare de his quidem in ſequentibus diſſeremus, hic vero libro ſinem faciemus.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΚΡΙΣΕΩΝ ΒΙΒΛΙΟΝ Γ.

Ed. Chart. VIII. [428.] Ed. Baf. III. (413.)

Κεφ. α'. Πρόκειται μὲν, ὡς καὶ πρόσθεν ἐλέγετο, πάσης ἐν νόσῳ μεταβολῆς διαγνώσεις μὲν παρούσης, μελλούσης δὲ ἔσεσθαι προγνώσεις εἰπεῖν. ἐπεὶ δ' ἑξαχῶς αὗται γίνονται, πειρατέον ὑπὲρ ἑκάστου ἰδίᾳ διελθεῖν, αὐτὸ τοῦτο πρότερον ἀναμνήσαντας, ὡς ἕξ εἰσιν αἱ πᾶσαι διαφοραὶ τῶν ἐν ταῖς νόσοις μεταβολῶν. ἢ γὰρ ἐξαίφνης εἰς ὑγείαν μεταπίπτουσιν, ἢ ἐξαίφνης ἀποκτείνουσιν, ἢ κατὰ βραχὺ τούτων ἑκάτερον, ἢ μικτῶς γίνεται. κατὰ βραχὺ μὲν ἤτοι τῆς νόσου

GALENI DE CRISIBVS LIBER III.

Cap. I. Propofitum noftrum eft, ficuti et prius dicebatur, omnis in morbo mutationis praefentis quidem dignotiones, futurae vero praecognitiones dicere. Quia vero fex modis iftae fiunt, tentandum eft de fingulis feparatim fcribere, hac prius facta memoratione, quod fex funt in morbis mutationum differentiae, vel enim fubito ad fanitatem veniunt, vel fubito interimunt vel paulatim horum utrumque contingit, vel mixtim. Paulatim quidem, vel fcilicet morbo

μαρανθείσης, ἢ τῆς τοῦ κάμνοντος δυνάμεως καταλυθείσης· μικτῶς δ', ἐπειδὰν ἀθρόα μέν τις ἐπὶ τὸ κρεῖττον ἢ χεῖρον γένηται μεταβολὴ, τοὐντεῦθεν δὲ ἕως παντελοῦς λύσεως, ἢ θανάτου, τὸ ὑπόλοιπον ἅπαν ἀπομαρανθῇ. περὶ πρώτης οὖν τῆς ἐξαιφνιδίου μεταβολῆς εἰς ὑγείαν εἴπομεν ὅτι τε πασῶν ἐστι τῶν εἰρημένων ἀρίστη, καὶ διὰ τοῦτ' αὐτὴν ἐξαιρέτως ὀνομάζουσιν κρίσιν, ὅτι τε τῆς φύσεως ἀκριβῶς κρατούσης ἁπάντων τῶν παρὰ φύσιν ἀποτελεῖται. τῶν δ' ἄλλων μεταβολῶν ἡ μὲν εἰς ὀξὺν θάνατον τελευτῶσα κακὴ κρίσις ἐστίν. αἱ δ' ἀξιόλογον μέν τινα ποιησάμεναι τὴν ῥοπὴν, οὐ μὴν τελείαν γε λύσιν, ἐλλιπεῖς κρίσεις ὀνομάζονται. ὥσπερ οὖν καὶ ὅσαι κατὰ βραχὺ μαρανθείσης ἢ τῆς δυνάμεως, ἢ τῆς νόσου γίνονται, καὶ αἵδε λύσεις ἁπλῶς, οὐ κρίσεις ὀνομάζονται.

Κεφ. β'. [429] Μόνη τοίνυν ἁπλῶς κρίσις ἡ εἰς ὑγείαν ὀξύῤῥοπος μεταβολὴ προσαγορεύεται, καὶ γίνεται μὲν πάντως ἐπὶ φανεραῖς τισιν ἐκκρίσεσιν, ἢ ἀξιολόγοις ἀποστάσεσιν. ὅσα γὰρ ἄλλως ἐῤῥαστώνησεν, ὑποτροπιάζει

marcescente, vel aegri viribus diffolutis, mixtim vero quando fubita quidem aliqua ad melius, vel deterius commutatio facta fuerit, deinceps vero usque ad perfectam folutionem, vel mortem reliquum totum emarcuerit. De prima igitur, quae repente fit, permutatione dicamus, quoniam omnium quas antea diximus optima eft, atque ideo ipfam per excellentiam crifim nominant, quoniam natura, quae praeter naturam funt, fuperante exquifite perficitur. Ex aliis autem mutationibus, quae quidem ad fubitam mortem mala crifis eft, quae vero aliquam effatu dignam faciunt mutationem, non tamen integram folutionem, imperfectae crifes vocantur, ficuti et quae fenfim marcescente, vel virtute, vel morbo contingunt, et hae folutiones fimpliciter, non crifes nominantur.

Cap. II. Sola igitur fubita ad fanitatem converfio fimpliciter crifis nominatur. Et quidem omnino fit per manifeftas quasdam excretiones aut effatu dignos abscelfus; qui-

κακοηθέστερον. ἡγεῖται δὲ τῶν ἐκκρίσεών τε καὶ τῶν ἀποστάσεων τούτων οὐ σμικρὰ ταραχὴ κατὰ τοῦ κάμνοντος σῶμα. καὶ γὰρ δυσφορίαι καὶ ἀγρυπνίαι καὶ παραφροσύναι καὶ κώματα καὶ δύσπνοιαι καὶ σκοτόδινοι καὶ δυσαισθησίαι καὶ ἀλγήματα κεφαλῆς καὶ τραχήλου καὶ στομάχου καὶ πολλῶν ἄλλων μορίων. ἐνίοις δὲ καὶ ὤτων ἦχοι καὶ μαρμαρυγαὶ πρὸ τῶν ὀφθαλμῶν φαίνονται καὶ δάκρυον ἀκούσιον ἐκρεῖ καὶ οὖρον ἴσχεται καὶ χεῖλος σείεται, καὶ ἄλλο τι τρομῶδες γίνεται καὶ λήθη καὶ ἄγνοια τῶν παρόντων καὶ ῥῖγος σφοδρὸν ἐμπίπτει, καὶ τοὐπίπαν ὁ παροξυσμὸς προεισβάλλει τῆς συνήθους ὥρας καὶ καῦμα πολὺ καὶ δῖψος ἀφόρητον ἕπεται καὶ βοῶσι καὶ ἀναπηδῶσιν, ὥσπερ ἔμπληκτοι, καὶ τὸ τῆς κατακλίσεως σχῆμα φυλάττειν οὐ δύνανται, κἄπειτ᾽ ἐξαίφνης ἱδρὼς ἐξέβρασε πολὺς, ἢ τις ἔμετος οὐκ ὀλίγος ἐπηκολούθησεν, ἢ γαστὴρ ἀθρόως κατέῤῥηξεν, ἢ καὶ λάβρως αἱμοῤῥαγοῦσιν, ἢ καὶ πάνθ᾽ ἅμα συμπίπτει, καὶ φόβος ἐπήρτηται τοῖς ὁρῶσιν οὐ μικρὸς, κἂν τούτῳ τις ἰδιωτῶν παρὼν ὑπ᾽ αὐτοῦ τοῦ

everint, malignius recurrunt. Antecedit autem hujusmodi excretiones et abscessus non mediocris perturbatio in corpore aegrotantis. Nam et difficiles tolerantiae et vigiliae et deliria et graves somni et difficiles anhelitus et vertigines tenebricosae et difficiles sensus, dolores capitis, colli et stomachi et multorum aliorum membrorum, nonnullis vero aurium sonitus et vani ante oculos apparent splendores et lacrimae involuntariae effluunt, et urina retinetur et labrum agitatur, aut aliquid aliud tremulum fit, oblivio et praesentium ignorantia et vehemens accidit rigor et plurimum accessio consuetam anticipat horam et multus aestus, sitisque intolerabilis sequitur, clamant et saliunt, sicuti furentes, neque possunt in eodem situ recumbere, deinde repente multus sudor erumpit, aut vomitus aliquis non paucus insequitur, aut venter subito solvitur, aut abundans fit fluxus sanguinis, aut haec omnia simul contingunt, unde non parvus invadit timor inspicientes. Et quispiam homo vulgaris quum istis adesset, ipse re cogente ita pronunciavit, quod

πράγματος ἀναγκασθεὶς ἐξεφώνησεν ὡς ὁ κάμνων κρίνοιτο περὶ τῆς ζωῆς. οὐ γὰρ δὴ ἰατρῶν γέ τις ἰδίως ἔθετο τῷ γινομένῳ τοὔνομα, ἀλλ' ἀνάγκη πᾶσα τὸν παραγενόμενον αὐτῷ ταραχθῆναί τε καὶ ῥῆξαι φωνὴν, καὶ κρίσιν ὀνομάσαι τὸ γινόμενον, ἰατροῦ γε μὴν ἐστι γενναίου μήτε ταράσσεσθαι μήτ' ἀγνοεῖν τὸ μέλλον ἀποβήσεσθαι. κάλλιον δὲ εἰ καὶ προγινώσκειν ἐσομένην κρίσιν ἀσκήσειεν. οὐδὲ γὰρ πόῤῥω που τὸ διαγινώσκειν τὴν ἤδη παροῦσαν ἐς ὅ τι τελευτήσει τοῦ προγινώσκειν ἐσομένην ἐστὶν, ἀλλ' ἐκ τῆς αὐτῆς θεωρίας ἄμφω κατορθοῦται.

Κεφ. γ'. Καὶ πάντ' ἤδη λέλεκταί μοι ταῦτα, τὰ μὲν ἐν τῷ πρώτῳ τῶν περὶ κρισίμων ἡμερῶν ὑπομνήματι, τὰ δ' ἐν τοῖς προηγουμένοις τοῦδε δυσί. λέξω δὲ καὶ νῦν αὐτὰ διὰ κεφαλαίων ἅπαντα, τά τε τὴν παροῦσαν ἤδη κρίσιν ὁποία τις ἔσοιτο δηλοῦντα καὶ τὰ τὴν μέλλουσαν ἔσεσθαι προδηλοῦντα. πρῶτον μὲν δὴ καὶ μέγιστον ἁπάντων τὸ ἐπισκέπτεσθαι τοὺς πεπασμοὺς, ἐξ οὔρων τε καὶ διαχωρημάτων καὶ πτυσμάτων, ὡς ἔγωγε μυρίαις ἤδη κρίσεσι παραγενόμενος οὐδέποτε ἐθεα-

judicium tunc de vita aegrotantis ageretur, neque enim medicorum aliquis primus invenit id nomen, ſed omnino neceſſarium fuit ut qui praeſens eſſet conturbaretur, atque ideo exclamaret et criſim rem ipſam nominaret. Decet autem medicum generoſum neque turbari, neque futurum eventum ignorare; melius autem fuerit, ſi ſe ad praenoscendam futuram criſim exercuerit; neque enim iſta dignotio, quae habetur de praeſentis criſis eventu, multum diſtat a praecognitione ejusdem futurae, ſed ex eâdem contemplatione utraque perficitur.

Cap. III. Et jam haec omnia dicta ſunt partim quidem in primo libro de diebus judicatoriis, partim in duobus libris qui iſtum antecedunt, dicam vero et nunc omnia ſummatim quae et praeſentem criſim, quo evaſura ſit, oſtendunt et futuram praemonſtrant. Primum quidem et maximum inter omnia eſt conſiderare coctiones ex urinis et alvi excrementis et ſputis, ſi quidem ego millies quum, dum criſes ſierent, intereſſem, neminem unquam vidi in-

σάμην ἀπολόμενον οὐδένα τῶν ἐπὶ πεπασμοῖς κριθέντων, οὐ μὴν τὴν ἴσην γε ἀξίαν ἀπονέμειν ἅπασι χρὴ τοῖς σημείοις, ἀλλ' ἐν μὲν τοῖς κατὰ θώρακά τε καὶ πνεύμονος πάθεσι προσέχειν μὲν μάλιστα τὸν νοῦν τοῖς πτύσμασι, μὴ μέντοι μηδὲ τῶν οὔρων τῆς ἐπισκέψεως ἀμελεῖν, προσεπιβλέπειν δὲ καὶ τὰ διαχωρήματα· πυρεττόντων δὲ μόνον ἄνευ σπλάγχνου τινὸς διαθέσεως, ἢ τινος τῶν καθ' ἧπαρ ἢ νεφροὺς ἢ κύστιν ἢ σπλῆνα φλεγμαινόντων, τοῖς οὔροις μάλιστα προσέχειν τὸν νοῦν, ὥσπερ εἰ καὶ τὰ κατὰ τὴν γαστέρα πεπόνθασι, [430] τοῖς διαχωρήμασι μὲν πρῶτον, οὐκ ἀμελητέον δὲ οὐδὲ τῶν οὔρων. ἀεὶ γὰρ ὁπόταν ἦ ὁ πυρετὸς, εἴτ' ἐπὶ χυμοῖς μόνοις σηπομένοις ἀναπτόμενος, εἴτ' ἐπὶ μορίῳ φλεγμαίνοντι συνεπόμενος, εἰς οὖρα μάλιστά σε βλέπειν ἀξιῶ, κἀντεῦθεν γνωρίζειν τοὺς πεπασμοὺς, ὡς ἔμπροσθεν εἴρηται. πρῶτον μὲν δὴ καὶ μέγιστον ἀγαθῆς κρίσεως σημεῖον ἐνεστώσης οἱ πεπασμοὶ, δεύτερον δὲ τὸ προδεδηλῶσθαι διά τινος τῶν ἐπιδήλων ἧ συνῆπται τῆς κρινούσης ἡμέρας ἡ δύναμις· ἐφεξῆς δὲ τὸ εἶδος τοῦ νοσήματος αὐτοῦ καὶ τὸ ἦθος· εἶδος μὲν, εἰ τριταῖος, ἢ ἀμφη-

tereuntem qui praecedentibus coctionibus crifim habuiffet. Non tamen aequa omnium fignorum dignitas exiftimanda eft, fed in morbis quidem thoracis atque pulmonis praecipue fputa funt animadvertenda, non tamen urinarum contemplatio negligenda, fed et alvi excrementa funt infpicienda. Si vero tantum febricitent fine alicujus visceris affectu, aut cum inflammatione hepatis, vel renum, vel veficae, vel fplenis, maxime urinis animum oportet adhibere, ficut fi circa ventriculum affectus fit, primum excrementis alvi, deinde neque urinae funt negligendae. Semper enim quum febris affuerit, vel ex fola humorum putredine accenfa, vel ex parte inflammationem fubeunte, praecipue urinas infpiciendas cenfeo, atque inde coctiones agnoscendas, ficuti et maximum inftantis bonae crifis indicium funt coctiones. Secundum autem, quod ab aliqua die indicatoria antea indicetur, cui annexa eft diei judicantis potentia. Deinceps autem infpicere oportet et fpeciem morbi et morem; fpeciem quidem, fi tertiana vel

μερινὸς, ἢ καῦσος, ἢ πλευρῖτις, ἢ περιπνευμονία· ἦθος δὲ, εἰ μέτριον καὶ ἐπιεικὲς, ἢ πονηρόν τε καὶ κακόηθες. ἐφεξῆς δὲ τούτοις, εἰ κατὰ τὴν τοῦ νοσήματος ἰδέαν ἡ ἔκκρισις εἴη. εἰ μὲν γὰρ καῦσος εἴη ὁ πυρετὸς, ἢ αἱμοῤῥαγείτω διὰ ῥινῶν, ἢ ῥιγώσας σφοδρῶς ἱδρούτω πολλῷ καὶ θερμῷ δι' ὅλου τοῦ σώματος, ἢ ἐμείτω τε καὶ διαχωρείτω χολώδη. παραπλησίως δὲ καὶ ὁ τριταῖος ἐμέτοις τε καὶ διαχωρήμασι χολώδεσι, καὶ ἱδρῶτι πολλῷ δι' ὅλου τοῦ σώματος κρινέσθω. φλέγμα δὲ συχνὸν ἐν ἀμφημερινοῖς ἐκκενούσθω, καὶ πολλοὶ γινέσθωσαν ἱδρῶτες ἐν ὅλῳ τῷ σώματι. κρίνει δὲ καὶ φρενῖτιν ἱδρὼς χρηστὸς καὶ μᾶλλον εἰ ἐκ τῆς κεφαλῆς πολὺς καὶ θερμὸς ἐκρέοι, σύμπαντος ἱδροῦντος τοῦ ἄλλου σώματος. ἀλλὰ καὶ δι' αἱμοῤῥαγίας τε τὰς ἐκ ῥινῶν ἔστιν ὅτε φρενῖτις ἐκρίθη βεβαίως, οὐ μὴν λήθαργος ἢ περιπνευμονία χαίρουσιν αἱμοῤῥαγίαις. ἐν μέσῳ δὲ αὐτῶν ἐστι πλευρῖτις. ἧττον μὲν γὰρ ἢ καῦσος καὶ φρενῖτις, μᾶλλον δὲ ἢ περιπνευμονία καὶ λήθαργος αἱμοῤῥαγίαις λυθήσεται. λύουσι δ' ἱκανῶς

quotidiana vel febris ardens vel pleuritis vel peripneumonia; morem, fi moderatus et mitis vel pravus atque malignus. Deinde fi formae morbi excretio refpondeat. Si enim fit febris ardens, vel fanguis e naribus profluet, vel poft vehementem rigorem fudor multus et calidus per totum corpus emanabit, aut per vomitum, aut per alvum biliofa excernentur. Ita et tertiana vomitibus et excrementis alvi biliofis et fudoribus multis toto corpore fluentibus judicabitur. Plurimum autem pituitae in quotidianis febribus excernetur et multi in toto corpore fudores fient. Judicat et phrenitidem fudor bonus et praecipue fi ex capite multus et calidus fluxerit, fudante fimul reliquo corpore; contingit autem aliquando, quod etiam per fanguinem e naribus fluentem phrenitis judicatur. Non tamen lethargus aut peripneumonia fluxum fanguinis amant. Inter ipfas autem pleuritis medium obtinet locum; minus enim quam febris ardens et phrenitis, magis autem quam peripneumonia atque lethargus profluvio fanguinis folvitur. Solvit autem

Ed. Chart. VIII. [430.] Ed. Bas. III. (413. 414.)

καὶ τὰς τοῦ ἥπατος καὶ τὰς τοῦ σπληνὸς φλεγμονὰς αἱμοῤῥαγίαι διὰ ῥινῶν, ἐπειδὰν ἅμα πυρετοῖς ὀξέσι φλεγμαίνῃ τὰ σπλάγχνα. καὶ πάσας δὲ τὰς καθ᾽ ὑποχόνδρια φλεγμονὰς τὰς θερμὰς καὶ ὀξείας (414) ἡ διὰ ῥινῶν αἱμοῤῥαγία κρίνει. χρὴ δὲ καὶ κατ᾽ εὐθυωρίαν αἱμοῤῥαγεῖν, ἐκ δεξιοῦ μὲν μυκτῆρος ἐφ᾽ ἥπατί τε καὶ τοῖς κατὰ τὸ δεξιὸν ὑποχόνδριον, ἐξ ἀριστεροῦ δὲ ἐπί τε σπληνὶ καὶ τοῖς ταύτῃ μορίοις. ὀνίνησι δὲ καὶ ἱδρὼς χρηστὸς ἁπάσας τὰς καθ᾽ ὑποχόνδρια φλεγμονὰς τὰς θερμὰς καὶ ὀξείας. ἥπατος δὴ τὰ μὲν κυρτὰ φλεγμαίνοντα τρισὶν ὑπακούει μάλιστα τρόποις ἐκκρίσεως, αἱμοῤῥαγίαις ἐκ μυκτῆρος δεξιοῦ καὶ ἱδρῶσι χρηστοῖς καὶ οὔροις πολλοῖς, τὰ δὲ σιμὰ διαχωρήμασί τε χολώδεσι καὶ ἱδρῶσιν, ἔστιν ὅτε δὲ καὶ ἐμέτοις. ἐκκαθαίρεσθαι δὲ δι᾽ οὔρων ἐθέλει πολὺ δὴ μᾶλλον ἔτι τῶν κυρτῶν τοῦ ἥπατος ἅπανθ᾽ ὅσα κατὰ νεφροὺς καὶ κύστιν ἐπόνησαν, ὥσπερ γε τὰ κατὰ θώρακα καὶ πνεύμονα πτύσμασιν. οἱ δὲ ἱδρῶτες ἅπασί τε πυρετοῖς οἰκεῖοι καὶ μᾶλλον τοῖς περικαέσιν. ἐπωφελοῦσι δ᾽ οὐ σμικρὰ

lienis et hepatis inflammationes ſanguis e naribus profluens, quum haec viscera una cum acutis febribus habent inflammationes. Et omnes quae in praecordiis fiunt calidae atque acutae inflammationes fluxu ſanguinis judicantur. Oportet autem per directum fluere ſanguinem, ex dextra quidem nare hepate affecto vel locis in dextris praecordiis poſitis, ex ſiniſtra autem liene et locis vicinis; juvat autem et ſudor bonus omnes quae ſunt in praecordiis inflammationes calidas et acutas. Hepatis vero gibbae quidem partes inflammationem patientes tribus praecipue modis criſis obediunt, fluxibus ſanguinis e nare dextra et ſudoribus bonis et urinis abundantibus. Simae autem partes excrementis alvi bilioſis atque ſudoribus, nonnunquam vero et vomitibus, magis autem expetunt per urinas expurgari, quam gibbae hepatis partes; omnia ea quae vel in partibus renum, vel veſicae laborant, ſicuti loca quae ad thoracem et pulmonem pertinent, ſputis. Sudores vero omnibus febribus proprii ſunt et praecipue ardentibus. Juvat autem non parum et

καὶ τὰς ζεούσας φλεγμονὰς, ὅτε, ὡς εἴρηται καὶ πρόσθεν, ἅμα πεπασμοῖς γίνονται. ἤδη δὲ καὶ τοὺς ἀμφημερινοὺς κρίνουσι σὺν ἐμέτοις τε καὶ διαχωρήμασι φλεγματώδεσι, καὶ τοὺς τεταρταίους, εἰ μέλανα σὺν αὐτοῖς ἐκκενοῖτο καὶ ποικίλα, καὶ τοὺς ἡμιτριταίους, εἰ χολώδη τε ἅμα καὶ φλεγματώδη. κρίνουσι δὲ καὶ παρωτίδες ληθάργους τε καὶ τὰ περὶ τὴν κεφαλὴν ἅπαντα· καὶ τἄλλα ἀποσκήμματα τοὺς χρονίζοντας ἅπαντας πυρετοὺς κρίνειν ἀσφαλῶς εἴωθεν· ἀλλ' οὔπω περὶ τῶν χρονιζόντων πρόκειται λέγειν. αἱ γὰρ ἐξαιφνίδιοι μεταβολαὶ, τῶν ὀξέων εἰσὶν, ὧν τὴν ἀρίστην ἐξηγοῦμαι νῦν ὁποία τίς ἐστιν, ὅτι γε πάντως οὐκ ἄνευ πεπασμοῦ, [431] ὅτι τε κατά τινα τῶν κρισίμων ἡμερῶν γινομένη, καὶ προσέτι διὰ τῆς ἐπιδήλου προδεδηλωμένη, καὶ μέντοι καὶ τὸ τῆς κρίσεως εἶδος οἰκεῖον τῷ νοσήματι ποιουμένη. προσεπιβλέπειν δ' ἐνταῦθα κελεύω σε καὶ τὴν ἡλικίαν τοῦ κάμνοντος καὶ τὴν φύσιν καὶ τὴν προγεγενημένην δίαιταν καὶ τὸ χωρίον ἐν ᾧ νοσεῖ καὶ τὴν ὥραν τοῦ ἔτους καὶ τὴν ἐνεστῶσαν κατάστασιν. εἰ μὲν γὰρ ὥσπερ τὸ νόσημα χολῶδες εἰ τύχοι, καὶ τούτων ἕκαστον ὁμοίως εἴη χολῶδες, ἐκκαθαίρεσθαι χρὴ χολὴν ἐν ταῖς

efferventes inflammationes, quando, ficut et antea diximus, una cum coctionibus emanaverint. Judicant autem et quotidianas febres, fimul vomitibus, atque excrementis alvi pituitofis adjunctis. Et quartanas etiam, fi atra fimul ac varia excernuntur. Semitertianas vero, fi biliofa fimul et pituitofa. Parotides autem judicant lethargos et reliquos omnes capitis affectus. Aliique decubitus omnes febres diuturnas fecure judicare confueverunt. Sed nondum de diuturnis morbis dicere propofuimus; nam repentinae mutationes acutorum fnnt, quarum optimam qualis fit, nunc enarramus, quod videlicet omnino fine coctione non eft, et quod in aliquo die judicatorio fit, ac praeterea ab aliquo indicatorio praejudicata fuit et etiam crifis motum facit morbo convenientem. Praeter haec autem hortor hoc loco ut aegrotantis aetatem atque naturam, nec non antecedentem victum, locumque in quo aegrotat et anni tempus atque praefentem temporis ftatum confideres. Si enim quemadmodum morbus forte eft biliofus, haec etiam fingula aeque biliofa fint, opor-

Ed. Chart. VIII. [431.] Ed. Baf. III. (414.)

κρίσεσι, ὥσπερ εἰ καὶ φλέγμα πλεονεκτεῖ, ἐκκενοῦσθαι προσήκει φλέγμα. ποικίλων δὲ ἐπικρατούντων χυμῶν ποικίλην εἶναι χρὴ καὶ τὴν κένωσιν. ἐπειδὰν δέ σοι ταῦτα σύμπαντα καλῶς ᾖ διηκριβωμένα, παρακολουθεῖν ἤδη σε χρὴ τοῖς ἀποβαίνουσι. εἰ μὲν γὰρ ὅ τε πυρετὸς λύοιτο κρινομένῳ τῷ κάμνοντι καὶ τῶν ἄλλων ἀπαλλάττοιτο συμπτωμάτων, εὐχρούστερός τε γίγνοιτο πρὸς λόγον τῆς κενώσεως, εὐσφυκτότερός τε καὶ ἰσχυρότερος ἐν ταῖς ἐξαναστάσεσιν, αὕτη μὲν ἡ ἀρίστη κρίσις ἐστίν· εἰ δέ τι τούτων λείποι, τοσοῦτον ἀποδεῖ τῆς ἀρίστης ἡλίκη τοῦ λείποντος ἡ δύναμις.

Κεφ. δ'. Οὕτω μὲν χρὴ διαγινώσκειν ἐνεστῶσαν ἀρίστην κρίσιν, ἔσεσθαι δὲ μέλλουσαν ὧδε. τὴν τοῦ νοσήματος ἐπισκέπτεσθαι φύσιν, εἴτε πικρόχολός ἐστιν, εἴτε φλεγματώδης, εἴτε μελαγχολικὴ, εἴτε μικτή τις. γέγραπται δ' ἐν τῷ πρὸ τούτου λόγῳ τὰ γνωρίσματα. δεύτερον δ' ἐπὶ τούτοις τήν τε ὥραν τοῦ ἔτους καὶ τὴν τοῦ κάμνοντος ἡλικίαν καὶ τὴν κρᾶσιν, ὅσα τ' ἄλλα τῆς αὐτῆς ἔχεται συστοιχίας,

tet bilem crifi expurgari, ficut fi pituita exuperavit, pituitam oportet evacuari; variis autem humoribus exuperantibus, variam etiam oportet effe evacuationem. Quum vero haec univerfa bene tibi fuerint explorata, tunc eventus jam tibi funt confiderandi. Si enim dum aegrotans judicatur, febris folvatur atque aliis fymptomatis liberetur et melius fuerit coloratus pro ratione evacuationis, cum melioribus pulfibus et ad furgendum robuftior, haec optima crifis eft; fi vero ex his aliquid defit, tantum ab optima deficit quanta eft ejus quod deficit vis.

Cap. IV. Sic quidem dignoscere oportet optimam crifim praefentem, futuram vero hoc modo. Morbi natura confideranda eft an ad amaram bilem pertineat vel atram, aut pituitam, vel mixtas habeat fignificationes. Scripta autem funt in libro praecedente horum indicia. Poft hoc autem tempus anni et laborantis aetas et temperamentum et quaecunque alia ejus ordinis funt, de quibus paulo ante fermonem habuimus, unde facta de uno mentione reliquorum

ὑπὲρ ὧν ὀλίγον ἔμπροσθεν εἴρηται. καὶ χρὴ κἂν ἐν ἐξ αὐτῶν ποτε ῥηθῇ, καὶ τῶν μὴ ῥηθέντων ἀναμιμνήσκεσθαι, μακρὸν γὰρ ἂν εἴη διέρχεσθαι σύμπαντα. μετὰ δὲ ταῦτα σκοπεῖσθαι τὰς περιόδους τῶν παροξυσμῶν, εἴτε διὰ τρίτης, εἴτε διὰ τετάρτης, εἴτε καθ' ἑκάστην ἡμέραν, εἴτε μηδ' ὅλως γίνονται, καθάπερ ἐπὶ τῶν συνόχων ἰδίως ὀνομαζομένων ἔστιν ἰδεῖν. εἰ μὲν γὰρ ἐπείγοιντο καὶ προλαμβάνοιεν ἀεὶ τῆς συνήθους ὥρας, καὶ σφοδρότεροι γίνοιντο πολλῷ, καὶ διὰ τρίτης ἀπαντῷεν, ἐν τάχει κριθήσεσθαι δηλοῦσι· εἰ δ' ἀργῶς κινοῖντο καὶ τὴν αὐτὴν ὥραν εἰσβάλλοιεν, ἐφ' ἑκάστη τε γίγνοιντο ἡμέρᾳ, μετὰ πλείονα χρόνον ἔσεσθαι σημαίνουσι τὴν κρίσιν. ἐπὶ δὲ τούτοις ἑξῆς, ὅπερ δὴ καὶ μέγιστόν ἐστι, τοὺς πεπασμοὺς ὁρᾷν, καὶ τούτων μάλιστα ταῖς ἀξιολόγοις μεταβολαῖς προσέχειν τὸν νοῦν. εἰ γὰρ ἐν ἐπιδήλοις ἡμέραις γίγνοιντο, τὰς ἐφεξῆς αὐτῶν κρισίμους ἀπαλλάξειν τῆς νόσου τὸν ἄνθρωπον ἐπαγγέλλονται. καθόλου γὰρ, ὡς κἂν τοῖς ἔμπροσθεν εἴρηται λόγοις, ἡ σύμπασα κατάστασις τῶν νοσημάτων διὰ τῶν εἰρημένων τεττάρων γενῶν γνωρίζεται, περὶ ὧν ἔφα-

etiam, fi vel filentio praetermittantur, meminiffe oportet, nam longum effet omnia femper percurrere. Poft haec autem acceffionum circuitus funt confiderandi, fi vel per tertium, vel per quartum, vel per fingulos dies eveniant, vel nullo modo eveniant, ficuti in iis accidit febribus, quae proprie fynochi nominantur. Si enim properaverint ac femper pro ratione anticipaverint horam et multo vehementius infeftaverint et per tertium occurfaverint, cito crifim fubfecuturam denunciant, fi vero lente moveantur, atque eadem invaferint hora et fingulis diebus fiant, poft longius tempus crifim futuram denunciant. Praeterea, quod fane maximum eft, coctiones infpicere oportet et harum praecipue effatu dignis transmutationibus mentem adhibere. Si enim in diebus indicatoriis fiant, indicia funt quod fequentes judicatorii dies aegrotum morbo liberabunt. Summatim enim, ut in praecedentibus fermonibus diximus, univerfa morbi conftitutio per quatuor dicta genera manifeftatur, de

μεν ἐν ἀφορισμοῖς διειλέχθαι τὸν Ἱπποκράτην τόνδε τὸν τρόπον. τοὺς δὲ παροξυσμοὺς καὶ τὰς καταστάσιας δηλώσουσιν αἱ νοῦσοι καὶ αἱ ὧραι τοῦ ἔτεος καὶ αἱ τῶν περιόδων πρὸς ἀλλήλας ἐπιδόσιες, ἤν τε καθ' ἡμέρην, ἤν τε παρ' ἡμέρην, ἤν τε καὶ διὰ πλείονος χρόνου γίνωνται. εἶτ' ἐφεξῆς φησι· ἀτὰρ καὶ τοῖσιν ἐπιφαινομένοισιν οἷον ἐν πλευριτικοῖσι πτύελον, αὐτίκα ἢν ἐπιφαίνηται, ἀρχομένου μὲν βραχύνει, ἢν δὲ ὕστερον ἐπιφαίνηται, μηκύνει. διηγησάμεθα δ' ἐπὶ πλεῖστον ἐν τῷ πρώτῳ γράμματι περί τε τῶν ἐπιφαινομένων τούτων σημείων, ἃ δὴ τὴν πέψιν ἐνδείκνυται τῆς νόσου, καὶ ὅπῃ διαφέρει τῶν κρισίμων ὀνομαζομένων σημείων τε καὶ συμπτωμάτων. [432] εἴπερ οὖν ἐκείνων μνημονεύεις, ἐλπίζω σε ῥᾳδίως ποιήσειν ἐν τῷδε τῷ λόγῳ προγνωστικόν τε καὶ διαγνωστικὸν ἀρίστης κρίσεως. αἱ μὲν γὰρ ἄλλαι στοχασμῷ τινι τεχνικῷ προγινώσκονται, τὴν δ' ἀρίστην κρίσιν, ἣν δὴ καὶ μόνην ἁπλῶς ὀνομάζεσθαι κρίσιν ἔφαμεν, οὐδὲ στοχαστικῶς ἄν τις, ἀλλὰ βεβαίως προγινώσκοι. πάντα γὰρ ἐπὶ τῶν τοιούτων νοσημάτων ἐξ ἀρχῆς εὐθὺς ἀκίνδυνα φαίνεται τὰ σημεῖα.

quibus diximus Hippocratem in aphorismis differuiffe in hunc modum: *Acceffiones autem et conftitutiones oftendunt morbi, et anni tempora, et circuituum adinvicem incrementa, five quotidie, five alternis diebus, five longiore tempore fiant.* Deinceps ita inquit: *Sed et ex poft apparentibus, veluti in pleuriticis, fputum fi ftatim superveniat, incipiente morbo quidem breviorem facit, fi vero mox apparuerit, longiorem.* In primo autem libro de fignis mox apparentibus, quae quidem figna morbi coctionem oftendunt, plurima diximus, et quo pacto ab iis quae figna et accidentia judicatoria vocantur differant explanavimus. Si igitur ea memoria retines, fpero te facilius praecognoscendi ac dignoscendi optimae crifis facultatem ex hoc fermone adepturum. Reliquae enim crifes conjectura quadam artificiofa praecognoscuntur. Optimam vero crifim, quam etiam folam crifim fimpliciter vocari diximus, non per conjecturam, fed firma praecognitione comprehendes; omnia enim figna in talibus morbis ftatim ab initio fecura

τελέως μὲν οὖν ὄντα τοιαῦτα κατὰ τὴν πρώτην τετράδα τὴν κρίσιν ἐπαγγέλλεται, καθότι καὶ Ἱπποκράτης ἐδίδαξεν ἐν τῷ προγνωστικῷ λέγων ὧδε· οἵ τε εὐηθέστατοι τῶν πυρετῶν καὶ ἐπὶ σημείων ἀσφαλεστάτων γινόμενοι τεταρταῖοι παύονται, ἢ πρόσθεν. οὐ γὰρ ἐνδέχεται πυρετὸν οὔτε τὸν ἀσφαλέστατα πάντα κεκτημένον οὔτε τὸν ὀλεθριώτατα μὴ οὐ κατὰ τὴν πρώτην τετράδα τὸν μὲν λυθῆναι, τὸν δὲ ἀποκτεῖναι, καθάπερ εἰ καὶ μικρὸν ἀποχωρήσειεν ὁ μὲν ἀπὸ τῶν ἐσχάτως ὀλεθρίων, ὁ δ᾽ ἀπὸ τῶν ἄκρως σωτηρίων, οὐκ ἐνδέχεται τοὺς πυρετοὺς τούτους ἐξωτέρω προβῆναι τῆς ἑβδόμης ἡμέρας. τὸ δὲ εἴτε σφοδρὰ καὶ ἀγωνιστικὴ γενήσεται κρίσις, εἴτε μετρία, εἴτ᾽ οὐδ᾽ ὅλως κρίσις, ἀλλὰ λύσις ἁπλῶς, οὐκέτ᾽ ἐκ τῶν ὀλεθρίων τε καὶ σωτηρίων σημείων, ἀλλ᾽ ἐξ ἄλλων προγινώσκεται. δύο δ᾽ ἐστὶ καὶ τούτων τὰ γένη, μέγεθός τε καὶ κίνησις νοσήματος. ἐν οἷς πρώτοις εὐθὺς ἀκριβῶς χρὴ γεγυμνάσθαι καὶ διακρίνειν αὐτὰ δύνασθαι ῥᾳδίως ἤθους τε καὶ ἰδέας νοσήματος. ἀλλὰ τὴν μὲν ἰδέαν ὡς χρὴ διαγινώσκειν ἐν τῷ δευτέρῳ τῶνδε τῶν ὑπομνημάτων εἴρηται.

videntur. Quum igitur talia integre fuerint, in primo quaternario crifim futuram denunciant, ficuti Hippocrates in prognoftico hisce verbis oftendit: *Mitiffimae enim febres quae cum fecuriffimis fignis fiunt, quarto die finiuntur vel prius.* Neque enim contingit febrem omnia figna fecuriffima habentem, neque illam in qua funt omnia maxime perniciofa, alteram quidem non folvi, alteram autem non occidere in primo quaternario aegrotantem, veluti fi haec quidem parum ab extreme perniciofis difcefferit, illa vero a maxime falubribus, hujusmodi febres feptimum diem non contingit transcendere. Si vero crifis vehemens et cum jactatione futura fit, aut potius moderata, vel neque crifis omnino, fed folutio fimpliciter, non amplius ex perniciofis fignis et falutaribus, fed potius ex aliis praecognoscitur. Duo autem funt et horum genera, magnitudo et motus morbi, in quibus primis diligenter oportet exercitari, ut ipfa noscamus et facile a more ac idea morbi diftinguere valeamus. Sed ideam ipfam quo quidem pacto dignoscamus,

Ed. Chart. VIII. [432.] Ed. Baf. III. (414. 415.)

τριταῖος γὰρ καὶ ἀμφημερινὸς καὶ τεταρταῖος καὶ ἡμιτριταῖος καὶ πλευρῖτις καὶ περιπνευμονία καὶ φρενῖτις εἴδη νοσημάτων εἰσίν. εἰ δ' εὔηθες, ἢ κακόηθες, ἐκ τῶν ἑπομένων αὐτοῖς συμπτωμάτων ἡ διάγνωσις, ἃ διεξῆλθεν ἅπαντα σχεδὸν Ἱπποκράτης ἐν τῷ προγνωστικῷ. τούτοις δὲ συγκαταριθμεῖν χρὴ καὶ τὰ τῆς ἀπεψίας τε καὶ τῆς (415) πέψεως σημεῖα. μέγεθος δὲ καὶ κίνησις νοσήματος ἕτερα τούτων ἐστίν. βληχροὶ γοῦν ἐνίοτε καὶ μικροὶ πυρετοὶ κακοήθεις εἰσὶ σφόδρα καὶ ἄλλοι θερμοὶ καὶ περικαεῖς, ὡς ἄσην τε ἅμα καὶ καῦμα καὶ δίψος ἀφόρητον ἐπιφέρειν, ὅμως οὐδὲν ἔχουσιν ἐνίοτε κινδυνῶδες. εἴρηται δὲ καὶ πρόσθεν ὡς εἴτε σφοδρότητά τις, εἴτε μέγεθος ὀνομάζει νοσήματος, οὐ διοίσει. τούτων δὲ ἁπάντων ἡ κίνησις διαφέρει, καὶ διαγινώσκεται τῷ χρόνῳ τῶν μερῶν τοῦ παροξυσμοῦ. τεττάρων γὰρ ἐν ἑκάστῳ παροξυσμῷ μορίων ὑπαρχόντων, ἀρχῆς τε καὶ ἀναβάσεως καὶ ἀκμῆς καὶ παρακμῆς, ἤτοι ταχέως τις ἅπαντα ταῦτα διεξέρχεται πυρετὸς, ἢ βραδέως, ἢ τινὰ μὲν αὐτῶν θᾶττον, τινὰ δὲ βραδύτερον.

in fecundo volumine diximus; nam tertiana et quotidiana et quartana et femitertiana et pleuritis et peripneumonia et phrenitis funt fpecies morbi. Si vero benignus aut malignus fit morbus, ex fubfequentibus ipfum fymptomatis noscitur, quae omnia fere Hippocrates in prognofticis enumeravit. In his autem annumerare oportet coctionis et cruditatis figna, magnitudo vero et motus morbi ab his diverfa funt. Debiles quidem et parvae febres quandoque valde malignae funt, et aliae calidae atque ardentes, ut anxietatem et aeftum et fitim intolerabilem afferant, nihil tamen habent nonnunquam periculofum. Dictum autem et prius eft quod five vehementiam, five magnitudinem morbi quispiam velit nominare, nihil differt. Ab hisce vero omnibus differt motus et ex tempore partium acceffionis comprehenditur. Quum enim unaquaeque acceffio quatuor habeat partes, principium, augmentum, ftatum et declinationem, vel has omnes brevi tempore febris percurrit, vel tardo, vel nonnullas quidem citius, nonnullas vero ferius: fi omnes igitur celeriter peragat, manifeftum inde fit quod

εἰ μὲν οὖν ἅπαντα ταχέως διανύοι, πρόδηλον ὡς ἐπὶ τὴν κρίσιν ἐπείγεται, καὶ πάντως ἐστὶ διαλείπων οὗτος. οὐ γὰρ ἐνδέχεται τὸν πάντα ταχὺ διεξιόντα μένειν ἔτι συνεχῆ, καθάπερ οὐδὲ εἰ μηκύνει, κατὰ πάντα τὰ μόρια διαλείπειν ἂν ἔτι δύναιτο. δῆλον δὲ ὡς τὸν μὲν εἰς ἀπυρεξίαν παυόμενον ὀνομάζω διαλείποντα, τοῦ δὲ συνεχοῦς πυρετοῦ πάντως μὲν ἕν γέ τι μεμήκυσται μόριον, ἔστι δ' ὅτε καὶ δύο καὶ τρία καὶ σύμπαντα. τοῦ μὲν ἰδίως ὀνομαζομένου πυρετοῦ συνόχου πολυχρόνιος ἡ ἀκμὴ, μᾶλλον δ' ἀκμὴ πᾶς ἐστιν ὁ τοιοῦτος πυρετός· τοῦ δὲ μὴ συνόχου μὲν, οὐ μὴν εἰς ἀπυρεξίαν γε παυομένου πολυχρονιωτέρας μὲν τῶν ἄλλων μερῶν τῆς ἀκμῆς γινομένης ὀξεῖα ἡ κίνησις, ὀλιγοχρονιωτέρας δὲ βραδεῖα. διωρισμένης οὖν ἰδέας νοσήματος καὶ μεγέθους καὶ κινήσεως καὶ ἤθους, καὶ τῆς μὲν ἰδέας ἐκ τῶν οἰκείων συμπτωμάτων γνωριζομένης, τοῦ δὲ μεγέθους ἐκ τοῦ κατὰ ταῦτα πηλίκου, τῆς δὲ κινήσεως ἐκ τοῦ χρόνου τῶν τοῦ παροξυσμοῦ μορίων, [433] τοῦ δὲ ἤθους ἐκ τῶν ἐπιγινομένων συμπτωμάτων, προσλαμβανομένων δὲ τούτοις ὥρας τε καὶ χώρας καὶ φύσεως

ad crisim properat. Et omnino hujuscemodi febris est de numero intermittentium, neque enim contingit ut illa quae omnes celeriter peragat, amplius continua permaneat, sicuti neque ut quae in omnibus partibus prolixitatem servat, fit intermittens. Liquet autem quod eam quidem quae ad infebricitationem desinit voco intermittentem. Continuae vero febris omnino convenit, ut pars aliqua aut duae, vel omnes longae sint. Ejus quidem quae proprie synochus nominatur longus est status, magis autem tota haec febris status est. Ejus vero quae non est synochus, non tamen desinit ad infebricitationem, quum status aliis temporibus longior existit, motus est velox: quod si brevior, tardus est motus. Quum igitur morbi idea et magnitudo et motus et mos fuerint distincti, et idea quidem ex propriis symptomatis cognita, magnitudo vero ex eorundem quantitate, motus vero ex tempore accessionis partium, mos autem ex symptomatis supervenientibus, his quoque adjuncta consideratione temporis, anni et naturae et regionis et similium,

Ed. Chart. VIII. [433.] Ed. Baf. III. (415.)

καὶ τῶν ὁμοίων. ὅτι μὲν σωθήσεταί τις, ἢ τεθνήξεται, πρὸς τρία ταῦτα ἀποβλέπων ἐξευρήσεις, ἰδέαν, ἦθος καὶ μέγεθος· μάλιστα δ᾽ ἐν τούτοις προσέχειν τῷ ἤθει τὸν νοῦν. ὅτι δὲ κριθήσεται, ἢ μὴ, πρῶτον μὲν ἐκ τῆς κινήσεώς τε καὶ τοῦ μεγέθους, ἔπειτα δ᾽ ἐκ τῆς ἰδέας, εἶτ᾽ ἐκ τῆς κατὰ τὰς ὥρας τε καὶ τὰς τοιαύτας συστοιχίας. ἐκ μέντοι τῶν ἐπιγινομένων οὐχ ἁπάντων, ἀλλ᾽ ὅσα μικρῷ πρόσθεν εἶπον, ἀρχομέναις ἤδη ταῖς κρίσεσι συνεισβάλλειν, ἢ βραχύ τι φθάνειν αὐταῖς, ἅπερ δὴ καὶ κρίσιμα σημεῖα καλοῦμεν ἰδίως. τριχῇ γὰρ τῶν ἐπιγινομένων νενεμημένων, εἴς τε τὰ δηλοῦν τὸ ἦθος πεφυκότα καὶ τὰ τὴν μέλλουσαν ἔσεσθαι κρίσιν ὑπόγυον, ἔτι τε πρὸς τούτοις ὅσα μὴ μόνον ὡς σημεῖα κρίσεως, ἀλλὰ καὶ ὡς αἴτια τιθέμεθα. τὸ μὲν πρῶτον ἐκ τῶν εἰρημένων γένος ἁπλοῦν ἐστιν. τὰ μὲν γὰρ αὐτῶν ἐστι μοχθηρὰ, τὰ δὲ χρηστὰ τετύχηκεν ὄντα διὰ παντός. τὸ δὲ δεύτερόν τε καὶ τρίτον οὐκ ἀεὶ ταὐτὸν οὔτε δηλοῦν οὔτε ποιεῖν πέφυκεν, ἀλλὰ τοῖς τῆς νόσου καιροῖς ὑπαλλάττεται. λέλεκται δ᾽ ἐπὶ πλεῖστον

nunquid morietur aeger aut salvabitur, ad haec tria respiciens invenies, ad ideam et morem et magnitudinem, sed maxime morem inspicere oportet. Utrum vero per crisim terminabitur morbus, aut non, primum quidem ex motu ac magnitudine inspicies, deinceps autem ex idea ipsius, deinde ex anni tempore et ex aliis quae ejusdem sunt ordinis, et ex supervenientibus quidem symptomatis non omnibus, sed iis quae paulo ante memoravi, quae vel una cum crisi ab initio invadunt, vel paululum anticipant, quae ipsa judicatoria signa proprie nominamus. Nam quum supervenientia symptomata trifariam dividantur, in ea scilicet, quae morem morbi natura ostendere apta sunt, et in ea quae affuturam proxime crisim denunciant, et quae non solum signa, sed etiam causas crisis posuimus, primum quidem ex his simplex est genus, nam quaedam ipsorum prava, quaedam vero bona perpetuo existunt, secundum vero et tertium non semper neque idem facere, neque ostendere aptum est, sed secundum morbi tempora variatur. Diximus au-

ὑπὲρ ἁπάντων τούτων ἐν τῷ πρώτῳ γράμματι. σαφηνείας γοῦν ἕνεκα προκεχειρίσθω τις ἄῤῥωστος ἐν τῇ πρώτῃ τῶν ἡμερῶν ἐναργέστατα σωτηρίας ἔχων σημεῖα. πάντως μὲν γὰρ τούτῳ κατὰ τὴν πρώτην τετράδα λυθήσεται τὸ νόσημα. πότερον δὲ κριθὲν, ἢ λυθὲν, μεγέθει τε καὶ σμικρότητι διορίζεται. τὰ μὲν γὰρ μεγάλα κρίνεται πάντως· ὅσα δὲ σμικρὰ, λύεται μόνον. ἡ δ᾽ ἡμέρα τῆς κρίσεως ἐκ τῆς κινήσεως εὑρεθήσεται. συνόχου μὲν γὰρ ὄντος τοῦ πυρετοῦ καὶ μηδενὸς πλημμεληθέντος, ἀεὶ γὰρ χρὴ τούτου μεμνῆσθαι, κατὰ τὴν τετάρτην ἡμέραν ἐλπίζειν ἔσεσθαι τὴν κρίσιν. εἰ δὲ συνεχὴς εἴη, τό τε μέγεθος ὁρᾷν χρὴ καὶ τὴν κίνησιν. ἐνδέχεται γὰρ κατὰ τὴν τρίτην ἢ πέμπτην ἡμέραν γενέσθαι τὴν κρίσιν, κατὰ μὲν τὴν τρίτην μεγάλου τε τοῦ νοσήματος ὄντος καὶ ταχέως κινουμένου, κατὰ δὲ τὴν πέμπτην, εἰ μὴ πάνυ μέγα μηδὲ ταχέως κινοῖτο. χρὴ γὰρ τὴν κρίσιν συνδραμεῖν τῷ παροξυσμῷ, καὶ οὕτω σπάνιόν ἐστι τὸ κατὰ τὴν τετάρτην κριθῆναι ὥστε Ἀρχιγένης μὲν δὶς ἔοικεν αὐτὸ παρ᾽ ὅλον αὐτοῦ τὸν βίον ἑωρακέναι, ἐγὼ δὲ μέχρι τοῦ νῦν ἅπαξ.

tem latius de omnibus his in primo libro. Doctrinae igitur manifestioris gratia ducatur ad exemplum aliquis aegrotus, qui primo die habeat signa manifestissima salutis, huic enim omnino in primo quaternario finietur morbus. Utrum vero per solutionem, vel crisim, magnitudine et parvitate distinguitur, siquidem magni judicantur omnino, qui autem parvi, solvuntur solum. Sed dies crisis ex motu invenietur. Nam si febris synochus fuerit ac nullus error acciderit, nam semper hujus oportet meminisse, in quarto die sperandum est crisim futuram. Si vero continua fuerit, magnitudinem ac motum inspicere oportet. Contingit enim in tertio, vel quinto die crisim fieri, in tertio quidem, si morbus sit magnus ac motum velocem habeat, in quinto autem, si neque valde magnus sit, neque velociter moveatur, oportet enim crisim in idem tempus concurrere cum accessione. Et ita raro accidit ut quarto die fiat crisis, ut videatur bis tantum Archigenes in toto tempore vitae suae id observasse, ego vero ad hanc horam semel solum. Et causa est, quemad-

καὶ τοῦτο αἴτιόν ἐστιν, ὡς κἀν τοῖς περὶ κρισίμων ἡμερῶν εἴρηται, τοῦ τὴν κρίσιν πολλάκις ἐκ τῆς τετάρτης εἰς τὴν τρίτην τε καὶ εἰς τὴν πέμπτην μεθίστασθαι. τὸ μὲν γὰρ οὕτως ταχέως κρινόμενον νόσημα πάντως κάτοξυ· τοῖς κατόξεσι δὲ πᾶσιν ἤτοι συνόχους ἔχειν πάντως ἀνάγκη τοὺς πυρετοὺς, ἢ συνεχεῖς μὲν, ἀλλὰ διὰ τρίτης παροξυνομένους. οἱ μὲν δὴ σύνοχοι σπανιώτεροί τέ εἰσι καὶ μηδενὸς πλημμεληθέντος ἐν τῇ τετάρτῃ κρίνονται, τῆς φύσεως ταῖς οἰκείαις περιόδοις ἐπὶ τὴν κρίσιν ἀφικνουμένης. ἔστι δὲ καὶ αὐτὸ τοῦτο τὸ μηδὲν πλημμεληθῆναι σπάνιον. οἱ δὲ συνεχεῖς ἐν τοῖς παροξυσμοῖς κρινόμενοι τῇ τρίτῃ τῶν ἡμερῶν εὐλόγως, ἢ τῇ πέμπτῃ λύονται. εἰ γὰρ καὶ τῇ τετάρτῃ κριθεῖέν ποτε, τῷ λόγῳ τοῦ κατὰ τὴν τρίτην ἡμέραν παροξυσμοῦ τοῦτο πάσχουσιν. ὁ γὰρ περὶ τὴν ἑνδεκάτην ὥραν, εἰ τύχοι, τῆς τρίτης ἡμέρας εἰσβαλὼν παροξυσμὸς, ἤτοι διὰ τρίτης νυκτὸς, ἢ διὰ τετάρτης ἡμέρας ἐπιφέρει τὴν κρίσιν. ὅταν οὖν ἐν τῇ πρώτῃ τῶν ἡμερῶν, αὖθις γὰρ ῥητέον ταῦτα, θεασάμενός τι πέψεως ἐναργὲς γνώρισμα, πάντων δὲ δηλονότι τῶν ἄλλων σημείων

modum diximus in libris De diebus judicatoriis, ut crisis saepius ex quarto die ad tertium et ad quintum transmutetur. Nam morbus qui tam subito crisim habet omnino peracutus est; in omnibus autem morbis peracutis necessarium est febres, vel synochos esse, vel continuas quidem, sed quae per tertium exacerbantur. Synochi quidem raro eveniunt, et ubi nullus sit error, in quarto finiuntur per crisim, natura propriis circuitibus ad crisim perveniente; rarum vero etiam est ut nullus sit error. Continuae autem febres, quae in accessionibus crisim habent, tertio die vel quinto rationabiliter finiuntur; nam si quandoque etiam quarto judicentur, ratione ejus accessionis quae tertio die fit, id patiuntur; quae enim circa horam undecimam, si ita contigerit, diei tertii accessio invadit, vel tertia nocte, vel quarto die invehit crisim. Quum igitur primo die, rursus enim eadem repetenda, signum aliquod coctionis manifestum apparuerit, reliquis etiam omnibus periculum nullum por-

ἀκινδύνων ὑπαρχόντων, εἰδείης μὲν ἤδη βεβαίως ὅτι περὶ τὴν πρώτην τετράδα τὴν λύσιν ἀνάγκη γενέσθαι τῷ νοσήματι, θεασάμενος δὲ τὸ μέγεθος αὐτοῦ προσεπιμάθοις ὅτι καὶ μετὰ κρίσεως. [434] ἐκ γοῦν τῆς κινήσεως χρή σε τοῦ νοσήματος ἢ τὴν τρίτην, ἢ τὴν τετάρτην ἢ τὴν πέμπτην ἐλπίζειν· εἰ μὲν πάνυ ταχέως κινοῖτο, τὴν τρίτην, εἰ δὲ βραδύτερόν πως, τὴν πέμπτην, εἰ δὲ σύνοχος ὁ πυρετὸς εἴη, τὴν τετάρτην. συνεπιλαμβάνεται δὲ τῷ μὲν τάχει τῆς κινήσεως τό τε μέγεθος τοῦ νοσήματος καὶ ἡ ὥρα τοῦ ἔτους καὶ ἡ ἡλικία καὶ ἡ χώρα καὶ τὰ ἄλλα ὅσα πολλάκις εἴρηται πικρόχολα τὴν φύσιν ὑπάρχειν, τῇ δὲ βραδύτητι τἀναντία. θέρους μὲν γὰρ νεανίσκος φύσει θερμότερος ἐξ ἐνδείας καὶ πόνου ἐδεσμάτων τε καὶ ποτῶν χολωδῶν συνεπιλήψεται τῇ τρίτῃ κρίσει, καὶ μᾶλλον εἰ αὐχμώδης ἱκανῶς ἥ τε προγεγενημένη κατάστασις εἴη καὶ ἡ νῦν ἐνεστῶσα καὶ τὸ χωρίον ἐν ᾧ νοσεῖ φύσει θερμόν. εἰ δὲ καὶ τριταῖαι κρίσεις ἐπιδεδημηκυῖαι τηνικαῦτα εἶεν, ἐστὶ βεβαιότερος ὁ στοχασμός. εἰ μέντοι τἀναντία πάντα συνέλθοι, βραδυτέρα μὲν ἡ κίνησις τοῦ νοσήματος, οὐ πάνυ

tendentibus, tunc proculdubio fciemus, quod in primo quaternario morbi folutionem fubfequi fit neceffarium. Quod fi etiam ejus magnitudo infpecta fit, ulteriorem habebis notitiam, quod cum crifi finietur. Ex morbi autem motu te fperare oportet, quod crifis vel tertio die fiet, vel quarto, vel quinto, fi quidem celer fit motus, tertio, fi vero quodammodo tardior, in quinto, fi vero febris fuerit fynochus, in quarto. Adjuvat motus celeritatem morbi magnitudo et anni tempus et regio et aetas et quaecunque alia amarae bili conveniunt, tarditati autem metus infunt contraria. Aeftate enim adolescens natura calidior, poft inediam et labores et cibos et potus biliofos, tertiana crifi occupabitur, et praefertim fi is qui antecefferit temporis ftatus admodum fqualidus extiterit et praefens etiam, et locus in quo aegrotat fuerit natura calidior, fi vero et tertianae crifes tunc populariter graffentur, adhuc certior eft conjectura. Quod fi omnia contraria convenerint et motus morbi tardior, neque magnitudo valde effatu digna et tem-

δέ τι τὸ μέγεθος ἀξιόλογον, ἡ δὲ ὥρα χειμὼν, ὁ δὲ νοσῶν ἤτοι φύσει φλεγματωδέστερος, ἢ παρακμάζων, εἰς τὸν τῆς πέμπτης ἡμέρας παροξυσμὸν ἐλπίζειν ἀφίξεσθαι τὴν κρίσιν, ἔτι δὲ μᾶλλον, εἰ καὶ τὸ χωρίον ὑγρὸν εἴη καὶ ψυχρὸν, ἥ τε παροῦσα κατάστασις ὁμοία καὶ αἱ κρίσεις ἐπιδεδημηκυῖαι πεμπταῖαι, καὶ τἄλλα δὲ τὰ τούτοις (416) ἀνάλογα, ἀργία τε καὶ πλησμονὴ, καὶ φλεγματώδη τὰ προεδηδεσμένα σιτία χρόνῳ πλείονι. πάλιν οὖν ἕτερος ἄῤῥωστος ὑποκείσθω, μήπω μὲν μηδὲν ἔχων ἐναργὲς πέψεως σημεῖον μήτ᾽ ἐν τῇ πρώτῃ τῶν ἡμερῶν μήτ᾽ ἐν τῇ δευτέρᾳ, μὴ μέντοι κινδυνῶδες, ἀλλὰ παντοίως ἀκίνδυνα πάντως. σωθήσεται μὲν δηλονότι καὶ οὗτος, ἀλλ᾽ οὐκ ἐν τῇ πρώτῃ τετράδι τελέως ἀπαλλαγήσεται. προσέχειν οὖν αὖ δεῖ σε τὸν νοῦν ἐπιμελῶς, εἴ τι πέψεως ἐναργοῦς ἐπιδείξει σημεῖον. εἰ γὰρ τοῦτο γένοιτο, κατὰ τὴν ἑβδόμην ἡμέραν ἀνάγκη λυθῆναι τὸ νόσημα, μηδενὸς ἐν τῷ μεταξὺ πλημμεληθέντος. εἰ δὲ μετὰ κρίσεως, ἢ μὴ, τῷ μεγέθει τοῦ νοσήματος διορίζεσθαι. πρόδηλον γὰρ ὡς

pus anni fuerit hibernum, aeger autem vel natura ſpituitoſior, vel jam declinantis aetatis, ſperandum eſt criſim ad quinti diei acceſſionem perventuram, adhuc autem magis, ſi locus natura frigidior atque humidior extiterit et praeſens temporis ſtatus conſimilis et quintanae criſes populariter graſſentur, et reliqua his proportione reſpondentia, veluti otium, repletio et eſus ciborum pituitoſorum a plurimo tempore. Rurſus igitur alius aegrotus ſubjiciatur, qui nullum habeat ſignum coctionis manifeſtum, neque in primo die, neque in ſecundo, neque tamen perniciofum, ſed omnino omnia ſint citra periculum, ſalvabitur quidem et hic, ſed in primo quaternario non liberabitur integre. Oportet igitur mentem diligenter adhibere, nunquid aliquod ſignum manifeſtum coctionis oſtendat; nam ſi hoc fiat, neceſſe eſt ut in ſeptimo die aeger liberetur, modo interim nullus error admittatur. Si vero per criſim, vel ſine criſi ſalus ſit ſecutura, hoc ex morbi magnitudine noſcitur. Liquet enim quod ſi magnus fuerit, omnino per criſim morbus finietur; quod

περ μέγα, πάντως μετὰ κρίσεως· εἰ δὲ καὶ κινούμενον ὀξέως, ἔτι δὴ καὶ μᾶλλον, ὥστε κἂν ἁμαρτηθῇ τι μὴ πάνυ μέγα περὶ τὸν κάμνοντα, πάντως μετὰ κρίσεως, καὶ οὕτως ἐλπίζειν ἑβδομαίαν ἀπαντήσεσθαι κρίσιν. εἰ μέντοι μὴ πάνυ ταχέως κινοῖτο, πλημμεληθείη δέ τι μεταξὺ περὶ τὸν ἄνθρωπον, εἰς τὴν ἐννάτην ἡμέραν ἡ κρίσις μεταπίπτειν ὀφείλει. πάλιν οὖν ἕτερος ἄῤῥωστος ὑποκείσθω τῶν ἀκινδύνως ἐχόντων ἐπὶ τῆς ἑβδόμης ἡμέρας πρῶτον ἐναργὲς ἴσχων τι πέψεως σημεῖον. οὗτος, εἰ μὲν μέγα τὸ νόσημα καὶ ταχέως εἴη κινούμενον, ἑνδεκαταῖος μᾶλλον ἢ τεσσαρεσκαιδεκαταῖος κριθήσεται· μικροτέρου δὲ ὄντος, ἢ μὴ πάνυ ταχέως κινουμένου, τεσσαρεσκαιδεκαταῖος μᾶλλον ἢ ἑνδεκαταῖος. ἐπιδιορίζεσθαι δὲ δεῖ τοῖς ἄλλοις, εἰ μὲν καὶ νέος εἴη καὶ φύσει χολώδης καὶ θέρος καὶ ἐν χωρίῳ φύσει θερμῷ καὶ τά τε τοῦ πρόσθεν βίου καὶ τὰ τῆς παρούσης καταστάσεως ἐπὶ τὸ θερμότερον ἅπαντα ῥέποι, πάντως ἐπὶ τῆς ἑνδεκάτης ἡμέρας κριθήσεται οὗτος, καθάπερ εἰ καὶ τἀναντία τῶν εἰρημένων ἅπανθ᾽ ὑπάρχει τῷ νοσοῦντι, κατὰ τὴν τεσσαρεσκαιδεκάτην.

si etiam motus velocitas adjungatur, multo magis id fiet, ut si etiam aliquis error, non magnus tamen, circa aegrotantem factus fuerit, omnino per crisim, et sic sperandum crisim in septimo eventuram. Quod si non multum velociter moveatur, aliquis vero error circa hominem interim fiat, ad nonum diem crisis transfertur. Rursus itaque supponamus aliquem salubri morbo laborare, qui die septima aliquod coctionis signum habeat manifestum; hic si morbus magnus extiterit et celeriter moveatur, undecimo potius quam decimoquarto die crisim patietur, quod si minor fuerit neque celerem motum habuerit, decimoquarto magis quam undecimo. Simul vero cum aliis est distinguendum, si et juvenis fuerit et natura biliosus et tempus aestivum et in loco calido aegrotaverit, et prior victus et quaecunque praesenti attinent statui, ad calidius declinaverint, omnino iste die undecimo crisim habebit, quemadmodum, si omnia contraria iis quae dicta sunt, assuerint aegrotanti, in quartodecimo.

εἰ δὲ τινὰ μὲν εἴη, τινὰ δὲ μὴ, πλημμεληθέντος δέ τινος ἐν τῷ μεταξὺ, κατὰ τὴν ἑνδεκάτην ἡμέραν οὐκ ἐνδέχεται κριθῆναι τὸ νόσημα. πολλάκις δὲ οὐδὲ κατὰ τὴν ιδ΄, ὅταν ᾖ μεῖζον τὸ ἁμαρτηθέν. εἰ μέντοι μηδὲν ἁμαρτηθείη, μικτὰ δ᾽ εἴη τὰ συμπτώματα, γεγυμνασμένου τε καὶ ὀξέος ἐν τῷδε χρεία τοῦ ἰατροῦ πρὸς τὸ διακρίνειν τὰ μείζονα τὴν δύναμιν ἔχοντα σημεῖα, καὶ τῇ κατ᾽ αὐτὰ προδηλουμένῃ κρίσει πιστεῦσαι μᾶλλον ἐπὶ τῶν οὕτως ἀμφιβόλων προγνώσεων. [435] εἰ δὲ καὶ μὴ κατὰ τὴν ζ΄ αὐτὴν, ἀλλὰ κατὰ τὰς ἄλλας γε τὰς μεταξὺ τῆς ἑβδόμης τε καὶ τῆς ια΄ ἔνεστιν ἀκριβῶς ἐξευρεῖν τὸ γενησόμενον. εἰ γὰρ ἤτοι τὸ μέγεθος ἢ τὸ τάχος τῆς τοῦ νοσήματος κινήσεως ἐπιταθείη κατὰ ταύτας τὰς ἡμέρας, ἀξιόλογός τε προσθήκη γίγνοιτο τοῖς τῆς πέψεως σημείοις, ἑνδεκαταῖος ὁ τοιοῦτος ἄῤῥωστος κριθήσεται, καθάπερ εἰ καὶ τἀναντία, τεσσαρεσκαιδεκαταῖος. ὑποκείσθω τοίνυν πάλιν ἄῤῥωστος ἐν ἀκινδύνῳ νοσήματι κατὰ τὰς προτέρας ἡμέρας, ἀργοτέραν τε τὴν κίνησιν ἔχων τοῦ πυρετοῦ καὶ μηδὲ περικαῶς πάνυ πυρέττων, ἀλλὰ καὶ σὺν τοῖς τῆς ἀπεψίας σημείοις·

Quod fi nonnulla quidem affuerint, nonnulla vero non, atque interim aliquis error inciderit, fieri non poteft ut crifis die undecimo fubfequatur, faepius vero nec die decimoquarto, quando magis fuerit erratum. Sed fi nullus error acciderit, mixta vero fuerint fymptomata, hic opus erit medico exercitato ac perfpicaci, ut ea quae vim majorem habent, figna diftinguat, et illi quae ab ipfis oftenditur crifi fidem adhibeat certiorem in hisce adeo ambiguis praecognitionibus. Si autem neque in ipfo feptimo die, in aliis certe inter feptimum et undecimum id quod futurum eft exquifite discere licet. Nam fi magnitudo vel velocitas motus morbi in eisdem diebus intendatur, ac coctionis fignis effatu digna acceffio facta fuerit, hujusmodi aegrotus die undecimo crifim patietur, ficuti fi contra fe habuerint, in quartodecimo. Subjiciatur rurfus aegrotus, qui in morbo falubri in primis diebus tardiorem febris motum habeat, neque cum nimis vehementi calore, veruntamen adfint cruditatis figna,

ὅτι μὲν ἐντὸς τῆς ιδ' ὁ τοιοῦτος οὐκ ἂν ἀπαλλαγείη τοῦ νοσήματος ἤδη δῆλον. εἴτε δὲ κατ' αὐτὴν ἐκείνην, εἴτε καὶ πο῾ῤῥωτέρω, τοῖς καιροῖς τῆς ὅλης νόσου διορίζεσθαι. τὰ μὲν γὰρ τῆς ἀρχῆς σημεῖα μέχρι πολλοῦ παραμένοντα χρόνιον εἶναι δηλώσουσι τὸ νόσημα, τὰ δὲ τῆς ἀναβάσεως, εἰ κατὰ τὴν δ' ἢ τὴν ζ' φανείη, περὶ τὴν ιδ' ἐλπίζειν τι, διορισθήσεται δὲ ἐπὶ τῆς ια'. εἰ γὰρ ἅμα τὰ τρία τάδε συνδράμοι κατὰ ταύτην τὴν ἡμέραν, ἥ τε τῆς κινήσεως ὀξύτης ἱκανὴν αὔξησιν εἰληφυῖα καὶ τὸ μέγεθος τοῦ πυρετοῦ, καὶ προσέτι πέψεως ἐναργὲς γνώρισμα, κατὰ τὴν ιδ' ἡ κρίσις· ἔτι δὲ δὴ μᾶλλον, εἰ καὶ τὰ τῆς ὥρας τε καὶ τὰ τῆς ἡλικίας, καὶ τὰ τῆς φύσεως τοῦ νοσοῦντος, ὅσα τ' ἄλλα τούτοις ἀνάλογον εἰς τάχος κρίσεως συντελεῖ. μόνου δὲ τοῦ τῆς πέψεως ἐναργῶς σημείου κατὰ τὴν ἑνδεκάτην ἡμέραν γινομένου, μὴ μέντοι μήτε τοῦ μεγέθους τοῦ νοσήματος μήτε τοῦ τάχους τῆς κινήσεως κατεπείγοντος, οὐκ ἂν ἐν τῇ ιδ' κριθείη. ἀλλ' εἰ μὲν καὶ τὰ τῆς ὥρας καὶ τὰ τῆς ἡλικίας τοῦ κάμνοντος, ὅσα τ' ἄλλα τούτοις ἐστὶ σύστοιχα, πρὸς τὸ ψυχρότερον ῥέποι, μὴ

quod quidem intra quartumdecimum diem hic non liberabitur morbo jam manifeſtum eſt. An vero in illa ipſa die, vel poſtea, ex morbi temporibus diſtinguendum eſt, nam principii quidem ſigna ſi diu permanſerint, diuturnum fore morbum ſignificant. Augmenti vero ſi in quarta vel in ſeptima die apparuerint, ſperandum eſt aliquid in quartodecimo, ſed in undecimo determinabitur. Nam ſi haec tria in eo die conjuncta fuerint, et motus velocitas, quae ſufficiens ſumpſerit incrementum et febris magnitudo, ac praeterea manifeſtum coctionis indicium, fiet criſis in quartadecima, adhuc autem magis, ſi et anni tempus et aetas et aegrotantis natura et quaecunque alia his proportionibus reſpondent, ad criſis celeritatem contulerint. Si vero ſolum manifeſtum coctionis ſignum die undecima appareat, neque tamen morbi magnitudo aut motus velocitas feſtinaverint, tunc ultra diem decimumquartum criſis differetur. Sed ſi quidem anni tempus et aetas aegrotantis et quaecunque alia his proportione reſpondentia, ad frigidius declinaverint,

πρὸ τῆς κ' ἐλπίζειν ἔσεσθαι τὴν λύσιν τοῦ νοσήματος. εἰ δὲ μικτά πως εἴη καὶ ἡ ιδ' τὰ σημεῖα τῆς πέψεως ἀξιολόγως αὐξήσειε, κατὰ τὴν ἑπτακαιδεκάτην ἡ κρίσις ἀπαντήσεται. εἰ δὲ μηδ' ἐπὶ τῆς ιδ' νεωτερισθείη μηδὲν, ἀκριβῶς πάνυ προσέχειν τὸν νοῦν τοῖς ἐπὶ τῆς ἑπτακαιδεκάτης ἐσομένοις. πιστότατον γὰρ ἔσται τὸ κατ' αὐτὴν φανὲν σημεῖον, εἰ καὶ πάνυ σμικρὸν εἴη, καὶ προδηλώσει τὴν ἐπὶ τῆς κ' ἡμέρας ἐσομένην κρίσιν.

Κεφ. ε'. Ὅτι δὲ αἱ τοιαῦται σύμπασαι κρίσεις, ἃς ἐξηριθμησάμεθα, πασῶν εἰσιν ἄρισται, τουτέστιν ἀκίνδυνοί τε καὶ τέλειαι καὶ ἀσφαλεῖς, εἰ τοῖς ἐξ ἀρχῆς εἰρημένοις ἅπασαν ἠκολούθησέ τις, οὐδεμιᾶς ἀποδείξεως ἔτι προσδεῖται. ὅταν γὰρ ἐπί τε σημείων ἀγαθῶν γίγνωνται καὶ πέψεως ἀκριβοῦς, ἀρίστας ἀναγκαῖον ὑπάρχειν αὐτὰς, ὅπου γε καὶ ὁ πεπασμὸς μόνος ταχύτητι κρίσεως καὶ ἀσφάλειαν ὑγιείας σημαίνει. οὐδὲ γὰρ ἐπινοῆσαι δυνατὸν ἐπ' ἀκριβεῖ πέψει νοσήματος ἀπαντῆσαί ποτε κρίσιν οὐκ ἀγαθὴν, ἀκριβὴς δὲ πέψις ἐν ταῖς ἀκμαῖς γίνεται, καὶ διὰ τοῦτο ἀπ' ἀρχῆς εὐθὺς ὑφ'

ſperandum non eſt morbi ſolutionem ante vigeſimum diem ſecuturam. Quod ſi mixta quoquo modo ſigna affuerint et dies decimusquartus coctionem inſigniter auxerit, die decimo ſeptimo criſis occurret. Si vero neque die quartodecimo aliquid novatum fuerit, tunc ad ſeptimum decimum diem eſt reſpiciendum, ſi enim in eo aliquod ſignum apparuerit, id fidiſſimum erit, quamvis valde exiguum fuerit, vigeſimoque die criſim futuram praemonſtrabit.

Cap. V. Quod vero hae criſes univerſae, quas numeravi, omnium optimae ſint, hoc eſt ſecurae atque perfectae et certae, ſi quis ea omnia quae a principio dicta ſunt, aſſequutus eſt, nulla amplius egebit demonſtratione. Quum enim poſt ſigna optima atque exquiſitam coctionem factae fuerint, neceſſe eſt ut optimae ſint, quoniam et ſola coctio criſis celeritatem et ſalubrem ſecuritatem oſtendit, neque enim vel animo concipi poteſt, quod poſt morbi exquiſitam coctionem criſis mala ſequatur. Exquiſita vero coctio ſit tempore ſtatus, atque idcirco ab initio ipſo nos admonui-

ἡμῶν παρῄνητο μηδὲν οὕτως ἀσκεῖν προγινώσκειν ὡς τὴν ἀκμὴν τοῦ νοσήματος. εἰ γὰρ καὶ τὸ σχῆμα τῆς διαίτης ὡς πρὸς ἐκείνην συντάττεται, καὶ κρίσις ἀρίστη κατ᾽ ἐκείνην γίνεται, καὶ πασῶν ἐστι τῶν κρίσεων αὕτη κανών. εἰ γὰρ ἡ ἐγγυτέρω ταύτης ἀεὶ τῆς ποῤῥωτέρω βελτίων, οὐδὲν οὕτως ἀσκεῖν χρὴ τὸν ἰατρὸν ὡς προγινώσκειν ἀκμήν. ἔστω γὰρ ἐπὶ τῆς ιδ΄ ἡμέρας ἐλπίζεσθαί σοι τὴν ἀκμὴν, ἤτοι δὲ διὰ μέγεθος τοῦ νοσήματος [436] ἢ διὰ τὸ τῆς κινήσεως τάχος, ἢ καὶ δι᾽ ἄλλόν τινα ἔξωθεν ἐρεθισμὸν, ἐπὶ τὴν ια΄ εἰσβάλλειν τὴν κρίσιν, οὐκέτ᾽ οὐδὲ τελείαν αὐτὴν, οὐδ᾽ ὅλως ἀγαθὴν ἐλπίσαι δυνατὸν, ἀλλ᾽ ἐν παντὶ δέει κατὰ τοῦτον τὸν καιρὸν ἀνάγκη εἶναι, καὶ μάλιστα, εἰ καὶ μὴ παντάπασιν ἀκίνδυνον ὑπάρχει τὸ νόσημα. σωτηρίου μέντοι φαινομένου, τὸ γοῦν ἤτοι μετὰ χαλεπῶν γενέσθαι συμπτωμάτων τὴν κρίσιν, ἢ μὴ τελείαν, ἢ πάντως ὑποτροπιάσειν ἀναγκαῖον ὑποπτεύειν. οὕτως ἄρα μεγίστη τις δύναμις ἐν τοῖς πεπασμοῖς ἐστι, καὶ διὰ τοῦτο καὶ ἐν ταῖς ἀκμαῖς. καὶ γὰρ οὖν καὶ εἴ τινα κατὰ ταύτας οὐκ ἐκρίθη νοσήματα, κριθῆναι τούτοις ἐπὶ τῶν

mus nulli alteri exercitationi tam esse intendendum quam ad morbi statum praenoscendum. Nam si forma victus ad illum instituitur et crisis optima in illo sit, atque omnium crisium ipsa est regula, quae enim huic proximior est altera magis distante potior semper est, in nulla re adeo exercitandus est medicus, quantum in status praecognitione. Esto igitur ut in die quartodecimo spes sit fore statum et aut ob morbi magnitudinem, vel motus velocitatem, vel propter aliquod aliud extrinsecum irritamentum, crisis die undecimo anticipet, neque ipsam perfectam, neque omnino bonam sperare possumus: sed hoc tempore omnino timendum est, praesertim si neque in totum morbus periculo vacat. Quod si salubris apparuerit, verendum est ne crisis vel cum gravibus fiat symptomatis, vel non perfecta, vel omnino revertatur, adeo magnam habent vim coctiones, ac propterea etiam morbi status. Et quidem si morbi in hoc tempore crisim non habuere, fieri non potest ut in declina-

Ed. Chart. VIII. [436.] Ed. Baf. III. (416. 417.)

παρακμῶν ἀμήχανον. ὅσα γὰρ ἂν ἅπαξ ὑπερβῆ τὸν τῆς ἀκμῆς καιρὸν, ἄκριτα μείναντα, κατὰ βραχὺ ταῦτα λύεται, καὶ μὲν δὴ καὶ κίνδυνος ἔτι θανάτου μετὰ τὸν τῆς ἀκμῆς καιρὸν οὐδείς ἐστιν. ἐμοὶ γοῦν κριτῆ, καίτοι δοκοῦσί τινες ἑωρᾶσθαι τεθνεῶτας ἐν ταῖς παρακμαῖς. ἀλλ' εἴτε τῆ πείρα χρὴ κρίνειν, εἴτε τῷ λόγῳ, κατ' ἄλλο τι τούτους ἀποθανόντας οἶδα, καὶ οὐ κατ' αὐτὸ τὸ νόσημα· πάντες γοῦν ἐφ' ἁμαρτήμασιν ἀπώλοντο, μάλιστα μὲν τοῖς ἑαυτῶν, ἐνίοτε δὲ καὶ τοῖς τῶν (417) ἰατρῶν. οὕτω μὲν ἡ πεῖρα μαρτυρεῖ τὸ μηδένα κατὰ τὰς παρακμὰς ἀποθανεῖν δι' αὐτὸ τὸ νόσημα, ταύτης δ' ἔτι πολὺ μᾶλλον ὁ λόγος. οὐ γὰρ ἐγχωρεῖ πεφθέντων τῶν νοσερῶν αἰτίων, οὐδὲ τῆς φύσεως ἐπικρατούσης ἔτι, ἀπολέσθαι τὸν ἄνθρωπον, ἄν γε θεραπεύηται καλῶς ὑπὸ τῶν ἰατρῶν. ὅπου γὰρ διήνεγκέ τε καὶ ἀπεμαχέσατο, καὶ ἀντήρκεσε τῷ σφοδροτάτῳ τῆς νόσου, καὶ κατηγωνίσατο τὰ λυποῦντα, τοῦτο γάρ ἐστιν ὁ πεπασμὸς, οὐκ ἐνδέχεται ταύτην οὐκέτι νικηθῆναι. καὶ μὴν εἴπερ ἀήττητος ἡ φύσις τοῦ νοσήματος εἴη, κατ' οὐδένα τρόπον ἐγχωρεῖ θάνατον ἀπαντῆσαι, εἴ γε δὴ

tione habeant, quicunque enim ſtatus tempus ſemel praeterierint, hi ſine criſi perſeverant et paulatim ſolvuntur. Et nullum eſt mortis periculum tempore ſtatus elapſo, quantum judicio aſſequi poſſum, et tamen quidam ſunt, qui putant ſe vidiſſe aegrotos in declinationibus periiſſe. Sed ſi experientiae vel rationi credere oportet, novi ipſos alia ratione quam morbi interiiſſe, omnes ſi quidem erroribus interiere, praecipue quidem ſuis ipſorum, ſed et aliquando medicorum. Sic quidem experientia teſtatur neminem unquam vi morbi in declinationibus periiſſe, ſed adhuc magis ratio; neque enim poſſibile eſt, coctis jam cauſis morbificis, ac jam natura victrice aegrum interire, modo recta curatio a medicis adhibeatur. Ubi enim natura ſuperior evaſit et debellavit et reſtitit vehementiori morbi conatui et quae infeſtabant, expugnavit, hoc enim eſt ipſa coctio, fieri non poteſt ut deinceps ſuccumbat. Quod ſi a morbo natura non vincatur, mortem ſubſequi nullo modo contingit, ſi-

μηδ' ἄλλό τι θάνατός ἐστι παρὰ τὴν παντελῆ τῆς φύσεως ἧτταν, διαρκούσης δὲ καὶ κρατούσης καὶ νικώσης ἀνάγκη σώζεσθαι τὸ ζῶον. ἐκ πάντων οὖν ὁ λόγος ἀναγκάζει τοῦτ' ἀσκεῖν μάλιστα, τῆς νόσου προγινώσκειν τὸ μέρος, ὃ καλοῦσιν ἀκμήν. καὶ γὰρ δὴ καὶ ἡ τοῦ τεθνήξεσθαι τὸν ἄνθρωπον, ἢ μὴ τεθνήξεσθαι πρόγνωσις, ἄνευ τοῦ προγνῶναι τὸν καιρὸν τῆς ἀκμῆς οὐκ ἄν ποτε γένοιτο. τότε γὰρ πρῶτον ἀποθανεῖν ἀναγκαῖον, ὅταν ἡ δύναμις ὑπὸ τοῦ νοσήματος ἡττηθῇ. χρὴ δὲ, εἴτε δύναμιν, εἴτε φύσιν εἴποιμι, ταὐτὸν ἀκούειν σε νῦν, καὶ μὴν οὐκ ἐγχωρεῖ σε γνῶναί ποτε, πότερον πρῶτον ἡττηθήσεται, τοῦ μέλλοντος ἀδήλου παντάπασιν ὑπάρχοντος. εἰ μὲν γὰρ ἐντὸς ἡμέρας μιᾶς ἡ κρίσις ἔσεσθαι μέλλει, φθάσει δηλονότι σωθεὶς ὁ νοσῶν, πρὶν τὴν δύναμιν ὑπὸ τοῦ νοσήματος νικηθῆναι. εἰ δ' οὐκ ἐνδέχεται πρὸ τῶν κ' ἡμερῶν, εἰ τύχοι, γενέσθαι τὴν ἀκμὴν, ἐνδέχεται φθάσαι καμεῖν ἐν τῷ χρόνῳ τὴν δύναμιν, ὥστε τῶν ὁμοίων πάντων φαινομένων ἀῤῥώστων ἐγχωρεῖ τὸν μὲν σωθῆναι, τὸν δ' ἀπολέσθαι διὰ τὸν καιρὸν τῆς μελλούσης ἀκμῆς. εἰ μὲν οὖν εἶχέ τις

quidem nihil aliud mors eſt niſi abſoluta naturae proſtratio, ubi vero ipſa perdurat, dominatur ac vincit, hominem neceſſe eſt liberari. Ex omnibus igitur nos ratio cogit in id maxime eſſe incumbendum, ut eam morbi partem praenoscamus, quam ſtatum vocant; nam ſi moriturus eſt aeger, aut non, nemo praecognoscet; niſi ſtatus tempus praecognoverit. Tunc enim primum mori aegrotantem eſt neceſſarium, quum vires morbo ſuccubuerint, ſive autem vires, ſive naturam dixero, idem te nunc intelligere oportet, et quidem utrum prius ſuperabitur, ſciri non poteſt, ſi futurum penitus fuerit incertum. Nam ſi criſis intra unum diem eſſe debeat, ſalvabitur aeger antequam vires a morbo proſternantur. Si vero ante viginti dies, ita enim contingat, non poſſit ſtatus advenire, ſieri poteſt ut interim natura ſatigetur adeo ut quum aegroti omnino ſimiliter habere videantur, alter quidem ſalvetur, alter moriatur, ob ſtatus futuri tempus. Si quis vero nos alium modum ſciret edocere,

ἄλλον ἡμᾶς διδάξαι διορισμὸν εἰς τὸ διακρίνειν δύνασθαι τούς τ' ἀπολεσθησομένους καὶ σωθησομένους, οὐδὲν ἂν ἴσως εἰς τοῦτο δεοίμεθα διαγινώσκειν ἀκμὴν μέλλουσαν, εἰ οὐκ ἐνδέχεται τῶν ὡσαύτως φαινομένων νόσων ὅστις ἐστὶν ὁ σωθησόμενος, ἢ τεθνηξόμενος, ἑτέρως ἢ ὡς ἐγὼ νῦν εἴρηκα, μεγίστη καὶ κατὰ τοῦτο χρεία τοῦ προγνῶναι τὴν ἀκμήν. Ἱπποκράτης μὲν οὖν συντεκμαίρεσθαί φησι χρῆναι τὸν νοσέοντα, εἰ ἐξαρκέσει πρὸς τὴν ἀκμὴν τῆς νόσου, καὶ πότερον ἐκεῖνος ἀπαυδήσει πρότερον, καὶ οὐκ ἐξαρκέσει τῇ διαίτῃ, ἢ ἡ νοῦσος ἀπαυδήσει πρότερον καὶ ἀμβλυνεῖται. φαίνεται δὲ καὶ Διοκλῆς καὶ Πλειστόνικος καὶ Πραξαγόρας καὶ Φιλότιμος καὶ πάντες ἁπλῶς εἰπεῖν οἱ δοκιμώτατοι τῶν ἰατρῶν οὐδὲν ἐξευρίσκοντες ἄλλο βέλτιον εἰς διάγνωσιν τοῦ τεθνήξεσθαι τὸν ἄνθρωπον, ἢ σωθήσεσθαι. [437] τοῖς δὲ πάντῃ τὰ καλὰ τῆς τέχνης λυμηναμένοις οὔτ' ἄλλό τι σοφώτερον ἐξεύρηται, καὶ τοῦτ' ἐσχάτως ἠμέληται. τίς γὰρ αὐτῶν ἢ μέγεθος νοσήματος, ἢ ῥώμην δυνάμεως ἀσκεῖ διαγινώσκειν, ἢ τὴν μέλλουσαν ἀκμὴν προγινώσκειν; καὶ μὴν ἄνευ τῆς τῶν τριῶν

quo morituros a falvandis poffemus diftinguere, non effet fortaffis ad hoc ftatus neceffaria praecognitio, fed quum aliam viam quam nuper dictam invenire nequeamus, aegrotis fimiliter habere apparentibus, quis falvabitur, quisve morietur, maxima ex hoc praecognoscendi ftatus neceffitas oritur. Hippocrates igitur ita inquit: *Conjectura affequi oportet, an aeger cum eo victu usque ad morbi ftatum perdurabit, et utrum ipfe prius deficiet, neque cum eo victu perdurabit, vel morbus antea finietur et obtundetur.* Videntur quidem et Diocles et Pliftonicus et Praxagoras et Philotimus atque omnes, ut ita dixerim, probatiffimi medici nihil aliud melius inveniffe ad judicandum, nunquid aeger falvabitur aut morietur: qui vero omnia bona artis deteriora fecerunt, ii neque aliquod aliud fapientius exogitaverunt et hoc maxime neglexerunt. Quis enim eorum eft, qui aut morbi magnitudinem aut naturae robur cognofcere ftudeat, aut futurum ftatum praecognoscere? Et quidem fine horum trium exacta dignotione nihil de fa-

τούτων ἀκριβοῦς διαγνώσεως οὐκ ἐνδέχεται περὶ σωτηρίας οὐδὲν ἐξευρεῖν, οὐ μᾶλλον ἢ εἰ φορτίον τις ἱκανὸς κομίζειν ἔσοιτο, χωρὶς τοῦ καὶ τὴν ῥώμην εἰδέναι τοῦ ἀνθρώπου καὶ τὸ μέγεθος τοῦ φορτίου καὶ τὸ μῆκος τῆς ὁδοῦ. ἀνάλογον γάρ ἐστιν ἡ μὲν δύναμις τῷ βαστάζοντι, τὸ δὲ νόσημα τῷ φορτίῳ, τὸ δὲ μῆκος τοῦ χρόνου τὸ μέχρι τῆς ἀκμῆς τῷ μήκει τῆς ὁδοῦ. πῶς οὖν οἷόν τέ ἐστι γνῶναι περὶ τοῦ κάμνοντος, εἰ ἐξαρκέσει, μηδεμίαν ἔχοντα πρόγνωσιν περὶ τῆς ἀκμῆς; ἐξ ἁπάντων οὖν ὁ λόγος ἀναγκάζει μηδὲν οὕτως ἀσκεῖν ὡς τῆς μελλούσης ἀκμῆς τὴν πρόγνωσιν. εἰ γὰρ καὶ διαιτῆσαι καλῶς οὐκ ἐγχωρεῖ χωρὶς τοῦ ταύτην προγνῶναι, καὶ περὶ σωτηρίας τοῦ νοσοῦντος, ἢ περὶ θανάτου, καθ' ἕτερον τρόπον οὐχ οἷόν τε σαφῶς ἐξευρεῖν. ἀλλ' οὐδὲ περὶ κρίσεως, εἴτε ὅλως, εἴτε μηδ' ὅλως ἔσται καὶ γινομένη πηνίκα καὶ ὁποία τις ἔσται, χωρὶς τῆς κατὰ τὴν ἀκμὴν προγνώσεως ἀδύνατον εἰδέναι. μέγιστον ἂν εἴη καὶ πρῶτον ἁπάντων τῶν κατὰ τὴν τέχνην ἀκμῆς μελλούσης ἀσκῆσαι πρόγνωσιν. ὅπως μὲν οὖν χρὴ τοῦτο ποιεῖν, ἔμπροσθεν εἴρηται.

lute inveſtigari contingit, non magis quam hoc, nunquid aliquis portando oneri ſufficiat ſciri poteſt, hominis robore, oneris magnitudine et viae longitudine antea non perſpecta; nam aegri vires portanti onus, morbus vero oneri, tempus autem quod usque ad ſtatum extenditur, longitudini viae reſpondet. Quo pacto igitur de aegrotante ſciri poteſt, nunquid ſufficiat, ſi nulla ſtatus praecognitio habeatur? Ex omnibus igitur ratio cogit nil tam ſtudioſe eſſe discendum quam futuri ſtatus praenotionem. Si enim neque conveniens victus adhiberi poteſt, ſi hic non praecognoscatur, neque de aegri ſalute, vel morte alio modo manifeſtam haberi notitiam contingit. Sed neque de criſi, nunquid futura ſit, aut omnino non erit, et ſi fiat, quando et qualis erit ſciri poteſt, ſi praecognitio ſtatus non habeatur. Quare maximum hoc erit artis opus et caeteris omnibus anteferendum ad praecognoscendum futurum ſtatum exercitatio. Sed quomodo hoc fieri poteſt, antea diximus.

Ed. Chart. VIII. [437.] Ed. Bas. III. (417.)

Κεφ. στ΄. Νυνὶ δ᾽ ὅπερ ἔμπροσθεν ἐλέγομεν ἀναληπτέον, ὡς ἐκ τοῦ γνῶναι μέγεθος τοῦ νοσήματος καὶ ἰσχὺν δυνάμεως καὶ ἀκμῆς καιρὸν, εἴτε σωθήσεται προγνόντες ὁ κάμνων, εἴτε μὴ, δυναίμεθ᾽ ἂν συλλογίζεσθαί τι περὶ τοῦ χρόνου καὶ τοῦ τρόπου τῆς κρίσεως. εἰ μὲν γὰρ ἀκίνδυνον εὑρίσκοιτο τὸ νόσημα πάντη, καὶ μήτ᾽ ὀξύτης αὐτοῦ κατεπείγοι μήτε μέγεθος, ἀλλὰ μηδὲ πλημμεληθείη τι περὶ τὸν κάμνοντα, τὸν τῆς ἀκμῆς καιρὸν ἡ κρίσις ἀναμένει, καὶ αὕτη μέν ἐστιν ἡ ἀρίστη κρίσις, ἤδη γὰρ πεπεμμένου τοῦ νοσήματος γίνεται. εἰ δέ γε ἤτοι διὰ τὸ μέγεθος, ἢ τὸ τῆς κινήσεως τάχος, ἢ διά τινα ἄλλον ἐρεθισμὸν, ἐντὸς τῆς ἀκμῆς ἀναγκασθείη τὸ νόσημα κριθῆναι, τοσοῦτον τῆς ἀρίστης κρίσεως ἡ νῦν ἔσται χείρων ὅσον ἔφθασε τὴν ἀκμήν. εἰ δὲ μηδ᾽ ἐξαρκέσαι δύναιτο μέχρι τῆς ἀκμῆς, ἀνάγκη μὲν ἀποθανεῖν ἐν τῷ τοιούτῳ νοσήματι τὸν ἄῤῥωστον, ἀλλ᾽ οὐ πάντως ἐγγὺς τῆς ἀκμῆς· ἐνδέχεται γὰρ καὶ πολὺ θᾶττον αὐτῆς καὶ κατ᾽ ἀρχὰς εὐθὺς ὅλης τῆς νόσου. κρίσις μὲν γὰρ ἤτοι κατὰ τὴν ἀκμὴν ἢ μικρὸν πρὸ αὐτῆς γίνεται, θάνατος δὲ ἐν τοῖς τρισὶ καιροῖς, ἀρχῇ καὶ ἀναβάσει καὶ ἀκμῇ.

Cap. VI. Nunc vero quod nuper dicebamus repetendum, si cognoverimus ex magnitudine morbi et viribus aegrotantis et tempore status, nunquid liberabitur aut morietur, colligere ita aliquid poterimus de crisis tempore et modo. Si quidem morbus salubris inveniatur et neque ejus acerbitas, neque magnitudo festinent, neque error aliquis circa aegrotum admittatur, status tempus crisis expectat, et haec quidem optima crisis est, fit enim morbo jam cocto. Si vero vel propter morbi magnitudinem, vel motus celeritatem, vel propter aliquod aliud irritamentum ante statum crisis venire cogatur, tanto haec optima deterior erit, quanto statum anticipaverit. Quod si neque usque ad statum sufficere possit, necessarium est aegrotantem ex hoc morbo interire, non tamen omnino prope statum, contingit enim et multo celerius et statim circa morbi totius initia. Crisis enim vel in statu, vel parum ante ipsum fit, mors autem in tribus temporibus, principio, augmento et statu.

Κεφ. ζ΄. Πλειόνων δὲ ὄντων πραγμάτων, ἵνα ὁ λόγος ᾖ σαφὴς, συγχωρησάτωσαν ἡμῖν οἱ σοφισταὶ καθ᾽ ἕκαστον αὐτῶν ἴδιον ὄνομα θέσθαι, κἂν εἰ μὴ συγχωροῖεν δὲ μακρὰν χαίρειν αὐτοῖς εἰπόντες, οὐ γὰρ ἐκείνοις, ἀλλὰ τοῖς τὴν ἀλήθειαν ἀσκοῦσιν ὁ λόγος ὅδε σύγκειται, σκοπῶμεν οὕτως. εἰ μὲν δή τις ἀθρόως ἀπηλλάγη τῆς νόσου, πάντως μὲν τούτῳ κένωσις ἀξιόλογος ἀπήντησε δι᾽ ἐμέτων ἢ γαστρὸς ἢ ἱδρώτων ἢ οὔρων ἢ αἱμοῤῥαγίας ἐκ ῥινῶν, ἢ αἱμοῤῥοΐδων ἐξ ἕδρας, [438] ἢ καταμηνίων φορᾶς ἐπὶ γυναικῶν, ἀλλὰ καὶ παρωτίδες ἀπήλλαξαν οὐκ ὀλίγους, ἐν καιρῷ τῷ δέοντι φανεῖσαι καὶ εἰς γόνατα καὶ εἰς πόδας καὶ εἰς ἄλλο τι καὶ ἄλλο τῶν ἀκύρων μορίων ἀπόσκημμα. καὶ μὲν δὴ καὶ προηγεῖταί τε καὶ συνεδρεύει τούτοις ἅπασιν οὐ σμικρὰ ταραχὴ κατὰ τὸ σῶμα τοῦ κάμνοντος, παραπαίουσί τε καὶ δυσπνοοῦσι καὶ ἀσώδεις εἰσὶ, καὶ τὰ ἄλλα ὅσα ἔμπροσθεν εἴρηται πάσχουσιν. εἷς μὲν δὴ τρόπος ὅδε λύσεως νοσημάτων, ὃν οὐχ ἡμεῖς μόνοι νῦν ἀξιοῦμεν ἕνεκα σαφοῦς διδασκαλίας ὀνομάζεσθαι κρίσιν,

Cap. VII. Quum vero res plures fint, concedant mihi fophiftae manifeftioris doctrinae gratia fingulis proprium nomen imponere. Et fi hoc ipfi non concefferint, longe eis valere juffis, neque enim ipfis, fed iis qui veritati ftudent, hic fermo componitur, ita confideremus. Si quis fubito morbo liberatur, omnino huic aliqua evacuatio effatu digna contingit vel per vomitum, vel ver ventris exonerationem, vel fudores, vel urinas, vel fanguinis e naribus profluvium, aut ex fede per haemorrhoidas, aut in mulieribus per purgationem menftruorum. Sed et parotides non paucos in tempore opportuno liberarunt et ad genua et ad pedes et ad aliam quampiam partem ignobilem decubitus. Et quidem antecedit his omnibus atque affidet non modica in aegrotantium corpore perturbatio, delirant enim et difficilem habent anhelitum et anxii funt atque alia quae prius diximus patiuntur. Unus quidem hic modus eft morborum folutionis, quem non modo nos crifim nominare inftituimus manifeftioris doctrinae gratia, fed omnes etiam qui nos

Ed. Chart. VIII. [438.] Ed. Baf. III. (417. 418.)

ἀλλὰ καὶ οἱ παλαιοὶ πάντες οὕτως ἐκάλουν. ἕτερος δὲ τὰ μὲν ἄλλα τῷδε σύμπαντ᾽ ἔχων τὰ αὐτὰ, μόνῳ δὲ διαφέρων τῷ μὴ τελέως ἀπαλλάττειν τῆς νόσου. ὀνομάζεται δὲ καὶ οὗτος ἐνίοτε μὲν ἁπλῶς κρίσις, ὥσπερ καὶ ὁ πρότερος, ἐνίοτε δὲ μετὰ προσθήκης ἀτελὴς κρίσις, ἢ ἐλλιπὴς κρίσις. ὅσα δὲ κατὰ βραχὺ παύεται νοσήματα, λύεσθαι μὲν ἐν τῷ παρόντι λεγέσθω, κρίνεσθαι δὲ μὴ λεγέσθω, καίτοι τοῦτο ἔφαμεν ὀνομάζεσθαί ποτε καταχρωμένων κρίσιν, ἀλλὰ νῦν ἐπὶ τρισὶ τοῖς εἰρημένοις ἴδιον ἑκάστῳ σαφηνείας ἕνεκεν ὄνομα κείσθω· κρίσις μὲν ἁπλῶς ἡ ὀξύῤῥοπος τῆς νόσου λύσις, ἐλλιπὴς δὲ κρίσις ἡ ὀξύῤῥοπος μείωσις· ἁπλῶς δὲ λύσις ἡ ἐν χρόνῳ τε πλείονι καὶ κατὰ μικρὸν γινομένη. ὥσπερ δὲ ταῖς κρίσεσιν ἐξ ἀνάγκης ἤτοι κένωσις ἀξιόλογος, ἢ πάν(418)τως γ᾽ απόσκημμα μετά τινος ὀξείας γίνεται ταραχῆς, οὕτως ταῖς λύσεσιν οὔτε σάλος οὐδεὶς οὔτε κένωσις οὔτε ἀπόσκημμα συμπίπτει. τρεῖς μὲν δὴ τρόποι μεταβολῆς νοσημάτων οἵδε, μέλλοντος σωθήσεσθαι τοῦ κάμνοντος· τρεῖς δὲ ἄλλοι τούτοις

antecefferunt eodem nomine crifim nominabant. Alter vero modus eft, qui haec quidem omnia fervat, uno autem tantum modo differt, quia non integre a morbo liberat. Nominatur vero et hic nonunquam quidem crifis fimpliciter, ficuti et prior, aliquando etiam cum additione crifis imperfecta, vel crifis defecta. Quicunque autem morbi paulatim finiuntur, folvi quidem in praefentia dicuntur, per crifim autem finiri nequaquam, quamvis aliquando per abufionem hoc etiam crifim nominari diximus. Sed nunc fingulis trium eorum quae diximus, claritatis caufa, fit proprium nomen impofitum: crifis quidem fimpliciter morbi folutio fubita, defecta vero crifis fubita morbi diminutio; folutio autem fimpliciter quae in longiori tempore et paulatim facta eft. Sicuti vero vel effatu digna evacuatio, vel omnino decubitus cum veloci perturbatione neceffario in crifibus fiunt, ita in folutionibus neque agitatio aliqua neque evacuatio neque decubitus accidunt. Tres quidem hi funt modi commutationis morborum, quum morbo liberari debet aegrotus. Tres vero alvi oppofiti iftis exiftunt, quum

ἀντίστροφοι μέλλοντος τεθνήξεσθαι. ἢ γὰρ ἀθρόως ἀποθνήσκει τις ἅμα ταραχῇ καὶ σάλῳ καί τισιν ἐκκρίσεσιν, ἢ ἀποσκήμμασιν ἀξιολόγοις, ἢ οὐκ ἀπέθανε μὲν ἐπὶ τοῖσδε, χείρων δ' ἀπεδείχθη μακρῷ. καλείσθω δὴ ταῦτα κοινῇ μὲν ἄμφω κρίσεις οὐκ ἀγαθαὶ, μηδὲν διαφέροντος εἴθ' οὕτως, εἴτε κακὰς κρίσεις ὀνομάζομεν αὐτὰς, ἰδίᾳ δ' ἑκατέρα τελεία μὲν ἡ προτέρα, ἐλλιπὴς δὲ ἡ δευτέρα. τὸ δὲ τρίτον εἶδος τῆς κακῆς μεταβολῆς, τὸ κατὰ βραχὺ γινόμενον ἄχρι θανάτου, μαρασμὸς ὀνομαζέσθω. ταυτὶ μὲν οὖν τρία τρισὶν ἀντίκειται. τέταρτος δὲ τρόπος ἐστὶν ὀξυῤῥόπου μεταβολῆς ἐπὶ τὸ χεῖρον, ἄνευ μεγάλων ἐκκρίσεων, ἢ ἀποσκημμάτων, ὃν οὐδὲ κρίσιν ὀνομάζω. ὅτι μὲν οὖν ἕτερον εἴπομεν εἶναι τόνδε τὸν τὸν τρόπον ἐκείνων, οὓς ἅμα σάλῳ τέ τινι καὶ ταραχῇ καὶ σὺν ἐκκρίσεσιν ἀξιολόγοις, ἢ ἀποσκήμμασιν ἐλέγομεν γίνεσθαι, πρόδηλον παντί. καὶ γὰρ καὶ τὸ χωρὶς ἐκείνων τῶν συμπτωμάτων, ἃ πρόσθεν ὠνομάσαμεν κρίσιμα καὶ τὸ χωρὶς ἐκκρίσεως, ἢ ἀποσκήμματος, ἕτερόν ἐστι τοῦ σὺν ἐκείνοις. εἰ δὲ ὀρθῶς, ἢ μὴ, τῷδε τῷ τρόπῳ τοῦ θανάτου τὸ τῆς κρίσεως

moriturus eft. Vel enim fubito moritur una cum turbatione et agitatione et quibusdam excretionibus vel decubitibus effatu dignis, vel mortem non fubiit quidem ex illis, fed multo deterius evafit. Vocentur autem hae duae crifes non bonae, quum nihil referat, five hoc modo, five malas crifes nominemus, feorfum vero prima quidem perfecta, fecunda vero imperfecta. Tertia vero fpecies malae permutationis, quae paulatim fit usque ad mortem, marasmus nominetur. Haec igitur tria aliis tribus oppofita funt. Quartus modus eft fubitae mutationis ad pejus fine magnis excretionibus vel decubitibus, quam neque crifim appello. Quod igitur hunc modum ab aliis differre dicimus, quos cum agitatione ac perturbatione et effatu dignis excretionibus, aut decubitibus fieri dicebamus, unicuique manifeftum eft; differt enim fine his fieri fymptomatis, quae prius judicatoria nominavimus, atque absque excretione vel decubitu, et fieri cum illis. An vero recte vel non, huic modo mortis nomen crifis detrahi-

οὐκ ἐπιφέρομεν ὄνομα, τοῦτ' ἤδη περὶ ὀνόματός ἐστιν, οὐ περὶ πράγματος ἀμφισβητεῖν. ἐγὼ μὲν γὰρ ἐδίδαξα τρόπους τέτταρας ἀλλήλων διαφέροντας, καὶ τοὔνομά γε ἑκάστῳ σαφοῦς ἕνεκα διδασκαλίας ἠξίωσα θέσθαι διάφορον. εἰ δέ τις ἔχει βέλτιον, ἢ σαφέστερον ὀνομάζειν, οὐκ ἀμφισβητήσαιμι ἂν αὐτῷ τῆς κλήσεως. ἔστι δὲ οὐκ ἐν τούτῳ τὸ διδάξαι τι χρηστὸν, ἀλλ' ἐν τῷ καὶ διαγινώσκειν ἕκαστον τῶν τρόπων παρόντα καὶ προγινώσκειν ἐσόμενον. οὐ μὴν οὐδ' εἰ τὰς αἰτίας ἐγχειρήσαιμι λέγειν ἐφεξῆς ἑκάστου τῶν τρόπων, εἶτά τις ἀντειπὼν αὐταῖς ὡς οὐκ ὀρθῶς ἐχούσαις οἴοιτο τοῖς τρόποις αὐτοῖς ἀντειρηκέναι, δεόντως ὑπολαμβάνει. [439] τὸ μὲν γὰρ καὶ τοσούτους εἶναι τοὺς τρόπους καθ' οὓς ὑγιάζονταί τε καὶ ἀποθνήσκουσιν οἱ νοσοῦντες, καὶ ὀνομάζεσθαι τοῖς εἰρημένοις ὀνόμασι καὶ διαγινώσκεσθαι παρόντας ἢ καὶ μέλλοντας ἔσεσθαι προγινώσκεσθαι, τὸ χρήσιμόν ἐστιν αὐτὸ πρὸς τὰς ἰάσεις, καὶ προσήκει τοῖς μὲν ὀνόμασι συγχωρεῖν, τὰς διαγνώσεις δὲ καὶ τὰς προγνώσεις τῇ πείρᾳ βασανίζειν.

mus, hoc eft de nomine, non autem de re ipfa contendere. Ego autem quatuor modos docui invicem differentes et fingulis proprium nomen manifeftioris doctrinae gratia imponendum cenfui. Si quis vero melius vel manifeftius fcit nominare, de ejus nuncupatione minime disceptaverimus. Docere vero utile aliquid haudquaquam in ifto confiftit, fed in dignoscendo hos fingulos modos, quum adfint, et futuros praenoscendo. Neque etiam fi horum modorum caufas explicare tentarem, deinde quispiam eisdem caufis tanquam non recte habentibus contradicens putaret fe adverfus ipfos modos differre, recte opinaretur. Cognoscere enim quod tot funt modi quibus fanentur aut moriantur aegrotantes, ac quod dictis nominibus nominantur atque ubi praefentes fuerint, ipfos dignoscere, futuros vero praecognoscere, hoc ipfum eft ad medendum utile, atque expedit quidem nomina concedere, dignotiones vero ac praenotiones experientia explorare.

Κεφ. η'. Εἰ δὲ καὶ πόθεν εὕροιμεν αὐτὰς ἐπιχειρούντων ἡμῶν διδάσκειν, ἠσκηκώς τις ἀντιλογικὴν ἕξιν, οἵαν καὶ ὁ θαυμάσιος Ἀσκληπιάδης ἤσκησεν, ἐμποδίζοι τε καὶ διακόπτοι τὸν λόγον, ἀναμιμνήσκειν χρὴ τοῦτον ὡς οὐ τὸ πρᾶγμα αὐτὸ διαβάλλει τοῦτο πράττων, ἀλλὰ τὸν ὑπὲρ αὐτοῦ λόγον. οὔτε γὰρ ὡς οὐ γίνονταί τινες ἐξαιφνίδιοι ταραχαὶ περὶ τὸ τοῦ κάμνοντος σῶμα δύναιτ' ἂν εἰπεῖν Ἀσκληπιάδης, οὔθ' ὡς οὐκ ἀκολουθοῦσιν αὐταῖς ἐκκρίσεις ἀξιόλογοι πολλάκις, οὔθ' ὡς οὐκ ἐγένετο μεγάλη μεταβολὴ τοῖς κάμνουσιν ἐπ' αὐταῖς, οὔθ' ὡς οὐ καλεῖται τὸ τοιοῦτον κρίσις· ἀλλ' ὅτι διαγωνιζομένης τῆς φύσεως τοῖς νοσεροῖς αἰτίοις οὐ γίνεται ταῦτα, τοῦτο πειράσεται δεικνύναι, ληρῶν μὲν κἀν τούτοις μακρὰ, καὶ διὰ τοὺς θαυμαστοὺς ὄγκους, καὶ πόρους οὓς ὑπέθετο, δι' οὓς οὔτε τὰς διοικούσας δυνάμεις ἔγνω τοῦ ζώου οὔθ' ἃς ἐπὶ σωτηρίᾳ πάντα ποιοῦσιν αἵδε, καὶ ὑγιαινόντων τε καὶ νοσούντων, οὔθ' ὡς αὗται κρίνουσι τὰς νόσους. ἀλλ' ὅμως ἔχων γέ τι φλυαρεῖν ἐν ἀδήλοις αἰσθήσει

Cap. VIII. Si vero conantibus nobis, unde haec inveniamus, edocere, quispiam in contradictionibus exercitatus, qualem habitum admirabilis Asclepiades acquifivit, impediat, ac fermonem meum interrumpat, meminiffe oportet quod hic iftud agens, non rem ipfam, fed quae de ea verba dicuntur, cavillatur. Neque enim quod nullae repentinae turbationes fiant aliquando circa corpus aegrotantis, poteft afferere Asclepiades, neque quod faepius poft ipfas effatu dignae excretiones non eveniant, neque quod magna ex ipfis non fit facta in aegrotantibus permutatio, neque quod hujuscemodi res non vocetur crifis, fed quod certante natura contra caufas morbos facientes, ifta non fiant, hoc demonftrare tentabit, non parum quidem etiam hac in parte delirans, propter admirabiles poros atque meatus quos ipfe fuppofuit. Quorum caufa neque novit potentias illas, quibus animal gubernatur, neque quod hae omnia ad falutem faciunt tam in fanis quam etiam in aegrotantibus, neque quod ipfae funt quae morbos indicant. Sed quum poffit quidem in rebus fenfui occultis hujuscemodi fermo

πράγμασιν, οὐδὲν μέντοι τῆς ἰατρικῆς αὐτῆς ὁ τοιοῦτος ἅπτεται λῆρος. οὔτε γὰρ διαγινώσκειν ἡμᾶς τοὺς τρόπους τῶν κρίσεων οὔτε προγινώσκειν τὰ σοφίσματα ταῦτα κωλύει. ληρήσει μὲν οὖν πολλὰ πολλάκις καὶ Ἀσκληπιάδης, καὶ πάντες ὅκοι μὴ γινώσκουσιν ὡς αἱ φύσιες τῶν νούσων ἰητροί. προγνῶναι δὲ θανάτου τρόπον, ἢ σωτηρίας οὐδέποτε δυνήσονται. καίτοι πῶς οὐκ αἰσχρὸν ὁμοίως τοῖς ἰδιώταις ἐκπεπλῆχθαι τὸν ἰατρὸν ἐνεστώσης κρίσεως, ὃν ἐχρῆν οὐ μόνον ὑπηργμένην ἤδη γνωρίζεσθαι, ἐς ὅ τι τελευτήσειν μέλλει, ἀλλὰ καὶ προγινώσκειν ἐσομένην κρίσιν; καὶ μὴν οὐκ ἐξ ἄλλων ἀρχῶν ἐγὼ ταῦτα σύμπαντα περὶ τῆς κρίσεως οὔτε μέλλοντα προγινώσκειν οὔτ' ἤδη παρόντα διαγινώσκειν ἐξεῦρον ἢ ὧν Ἱπποκράτης ὑπέθετο. καὶ γὰρ καὶ τὸ πέττεσθαι τὰ κατὰ τὸ σῶμα, καὶ τὸ μὴ πέττεσθαι τοῖς Ἱπποκρατείοις δόγμασιν, οὐ τοῖς Ἀσκληπιαδείοις προσήκει, καὶ τὸ τὴν φύσιν ἔχειν δυνάμεις πολλὰς, αἷς διοικεῖται τὸ ζῶον, ἕν τι τῶν Ἱπποκράτους δογμάτων ἐστὶν, καὶ τούτου χωρὶς οὐχ οἷόν τε τὴν ἐνεστῶσαν ἡμῖν θεωρίαν ἐπιστήμῃ περιλαβεῖν. οὐ γὰρ εἰς

nugari, nihil tamen quod ad artem medendi pertineat attingit. Neque enim dignoscere nos crifium modos, neque praenoscere talia fophismata prohibent. In multis quidem igitur faepius delirabit Asclepiades et quicunque non norunt naturas effe morborum medicatrices, at nunquam poterunt modum falutis aut mortis praecognoscere. Atqui quo pacto turpe non eft medico inftante crifi more vulgarium perterreri, quem decuit non folum praefentem crifim, quorfum evafura effet, intelligere, fed futuram praecognoscere? Equidem hic omnia quae ad crifim attinent, vel futura praenofcere, vel jam praefentia dignoscere, ex aliis principiis haud invenio quam ex iis quae fuppofuit Hippocrates. Etenim quod *ea quae funt in corpore, concoquantur, vel non concoquantur*, Hippocraticis, non autem Asclepiadicis dogmatibus congruit. Et *quod natura multas potentias habeat, per quas animal gubernetur,* unum quoddam eft Hippocraticum dogma et fine hoc praefentem contemplationem fcientia comprehendere minime poffumus. Neque

ἀπείρους τὸν ἀριθμὸν ἀποβλέπειν χρὴ σημείων συνδρομὰς, ὡς ἐφ᾽ ἑκάστης αὐτῶν ἰδίας εὐπορήσοντα τηρήσεως, ἀλλὰ τὰ κατὰ μέρος πάντα πρὸς ἕνα τοῦτον ἀνάγειν σκοπὸν, ὑπὲρ οὗ τὸν λόγον ποιούμενος ἠναγκάσθην ἐπιμνησθῆναι τῶν σοφιστῶν, ὅσοι σπουδάζουσιν οὐ μόνον οὐδὲν ἐξευρεῖν χρηστὸν, ἀλλὰ καὶ τοῖς καλῶς εὑρημένοις λυμαίνεσθαι. καὶ μὴν ἄμεινόν γε ἦν, ὅταν ἡμᾶς θεάσωνται, καὶ τὴν ἡμέραν ἐν ᾗ κριθήσεται τὸ νόσημα προγινώσκοντας, καὶ τὸν τρόπον τῆς κρίσεως προλέγοντας, καὶ παροῦσαν ἤδη [440] διαγινώσκοντας, ἐς ὅ τι τελευτήσει, σπουδάσαι μαθεῖν θεωρίαν, ἐξ ἧς τὰ τοιαῦτα εὑρίσκεται, καὶ μὴ τοῖς ἰδιώταις ὁμοίως ἐκπεπλῆχθαι, ποῖ ποτ᾽ ἀποβήσεται τὸ παρὸν ἀγνοοῦντας. ἐγὼ γοῦν καὶ τῶν τοιούτων ἰατρῶν ἐπειράθην οὐκ ὀλιγάκις, καὶ οἷον θαυμαζόντων μὲν τὴν πρόγνωσιν ἡμῶν, ὅταν ἐπὶ τῶν ἀῤῥώστων εὐδοκιμοῦσαν θεάσωνται καὶ σπουδαζόντων μαθεῖν, ἐπειδὰν δέ τις ἀρξάμενος αὐτοὺς διδάσκειν περὶ πέψεώς τι διεξέρχηται τῶν νοσημάτων, ἢ περὶ ῥώμης φύσεως, ἢ τῶν ἄλλων τινὸς ὧν χωρὶς οὐχ οἷόν τε τὴν περὶ τὰς κρίσεις θεωρίαν

enim numero infinitos expectare oportet signorum concursus, tanquam in singulis ipsorum propriam observationem assequi possimus, sed potius omnia particularia ad hanc unam redigere intentionem, de qua verba faciens coactus sum facere de sophistis mentionem, qui non modo nihil opportunum invenire student, sed etiam quae bene inventa sunt, conantur facere deteriora. Et tamen melius foret, quum nos intuentur, et diem ipsum, in quo crisim morbus subibit, praenoscentes, atque insuper crisis modum praedicentes, ac jam praesente etiam, quem finem sit habitura, dignoscentes, tali contemplationi discendae intendere, ex qua hujuscemodi facultas comparatur, neque more vulgarium perterreri, quorsum evasurus sit morbus ignorantes. Ego quidem saepius expertus sum tales medicos, qui praecognitionem nostram sunt admirati, quando in aegrotis illustrem inspexerunt atque discere satagentes; sed quando quispiam ipsos docere coeperit, aut quippiam de coctione, aut naturae robore differuerit, vel de re aliqua alia, sine qua de crisi con-

συστῆναι, καὶ, πῶς μὲν πείσεις, φασκόντων, ὡς ἔστι τις φύσις, ἢ ὡς ἐπὶ σωτηρίᾳ πάντα πράττει τῶν ζώων, ἢ ὡς ἐκείνης ἐκκρινούσης τὰ περιττώματα τῶν νόσων, ἀπαλλάττονταί τινες, ἢ ὡς τὸ θερμόν ἐστιν ἐν τοῖς ζώοις τὸ δραστικώτατον, ἢ ὡς ἐκ θερμοῦ καὶ ψυχροῦ καὶ ξηροῦ καὶ ὑγροῦ κέκραται τὰ σώματα; πρὸς οὓς αὖθις εἴωθα λέγειν, ἦρξω μὲν ὦ οὗτος ὡς μαθητὴς, ἀκούεις δὲ ὡς ἀντιλογικός. οὐ γὰρ ἀπόχρη σοι τῶν ἔργων τῆς τέχνης ὧν ἐθαύμασας αὐτὸς ἐκμαθεῖν τὴν μέθοδον, ἀλλὰ τὰς ἀρχὰς κρίνειν ἐπιχειρεῖς αὐτῆς, οὐκέθ᾽ ὡς ἰατρὸς μόνον, ἀλλ᾽ ἤδη καὶ ὡς φυσικός. καίτοι γε ἄμεινον ἦν σοι καὶ περὶ τῶν ἀρχῶν αὐτῶν ἔμπαλιν κρίνειν. πολὺ γάρ ἐστιν, οἶμαι, βέλτιον, ἔργα θαυμαστὰ ταῖς ἀρχαῖς ἐκείναις ἑπόμενα θεασάμενον ἔχειν τινὰ πίστιν ἐκ τούτων ἤδη καὶ περὶ τῶν ἀρχῶν αὐτῶν. ἀνάπαλιν γὰρ αἱ πίστεις τῶν τεχνῶν ἔχουσι ταῖς εὑρέσεσι. πιστεύονται μὲν γὰρ ἐκ τῶν ἔργων, εὑρίσκονται δ᾽ ἐκ τῶν ἀρχῶν. ἐμοὶ μὲν οὖν ἐξευρεῖν ἔργον τι τεχνικὸν ἀμήχανόν ἐστι μὴ χρησαμένῳ ἀρχαῖς

templatio consistere nequit, quomodo, inquiunt, mihi persuadebis quod sit natura quaedam? vel quod omnia agat ad animalium salutem? vel quod eadem natura expellente superfluitates, quidam a morbo liberantur? vel quod calidum in animalibus sit efficacissimum? vel quod ex calido, frigido, sicco et humido corpora animalium sint temperata? Adversus quos ego dicere soleo: tu quidem o vir coepisti tanquam discipulus, audis autem tanquam contradictor. Neque enim tibi sufficit artis operum quorum te coepit admiratio doctrinam perdiscere, sed etiam ejus principia judicare conaris non solum ut medicus, sed etiam ut physicus, et tamen tibi satius fuisset contrario modo de principiis judicare, multo enim praestare arbitror miranda opera, quae ex illis principiis sequuntur, inspicientem, ab eisdem operibus fidem aliquam de ipsis principiis assumere. Fides siquidem artium contra se habet quam inventiones, creduntur enim ex operibus, inveniuntur ex principiis. Mihi quidem opus aliquod artificiosum invenire est impossibile,

ἀληθέσιν, ὥστ' ἀναγκαῖόν μοι τὴν φυσικὴν θεωρίαν ἐκμαθεῖν ἀκριβῶς. σοὶ δ' ἤδη τῶν ἔργων εὑρημένων τῆς τέχνης, ἀπόχρη μαθεῖν τὴν ὁδὸν, ὥστ' εἴπερ οὐκ ἔχεις χρόνον ὡς φυσικὸς ἐκμαθεῖν ἅπαντα, τοσοῦτον (419) γοῦν σοι παραστήτω λογίσασθαι, διότι μήτ' ἄλλη τίς ἐστιν ὁδὸς παρὰ ταύτην ἡ τοῦ μέλλοντός σε προγνωστικὸν ἐργασαμένη, μήτ' ἀναγκαῖον ἔτι σοι τὰς ἀρχὰς ἐπιστήμη περιλαβεῖν, ἀπολαύειν ἤδη δυναμένῳ τῶν ἐκ τῆς ἐπιστήμης. τῷ μὲν γὰρ πρῶτον τὰ τοιαῦτα ἐξευρεῖν ἐπιχειροῦντι κίνδυνος ἦν οὐ σμικρὸς ἀπολέσαι ματαίως τὸν χρόνον. οὐδὲ γὰρ ἂν ἐξευρεῖν ἀληθὲς οὐδὲν ἐπὶ διεψευσμέναις ἀρχαῖς, σοὶ δὲ τοῦ μὲν ζητεῖν ἀπηλλαγμένῳ, τὰ δ' ἤδη καλῶς εὑρημένα μαθεῖν ὀρεγομένῳ, περιττόν ἐστι τὰς ἀρχὰς ἐπιστήμῃ περιλαμβάνειν, καὶ μάλιστα, εἰ μηδὲ χρόνον ἔχοις ἱκανὸν εἰς τοῦτο μήτε προσεξευρεῖν τι τῶν λειπόντων ἐπιθυμεῖς, ἀλλ' ἀρκεῖ σοι μόνον ὀρθῶς χρῆσθαι τοῖς εὑρημένοις. ὑποθέμενος οὖν τινα ζωτικὴν εἶναι δύναμιν, ἄσκησαν αὐτῆς γνωρίζειν τὴν ἐν ἀῤῥωστίᾳ τε καὶ ῥώμῃ διάθεσιν.

niſi veris utar principiis, quare mihi neceſſarium fuit naturalem ſcientiam diligenter perdiscere, tibi vero jam artis operibus adinventis viam discere ſufficit. Quare niſi tibi ſuppetat tempus ut tanquam phyſicus omnia discere poſſis, tantum ſaltem tibi ratiocinari adſit, quod nulla altera ſit praeter iſtam, quae te faciat futuri praecognitorem; at quod nulla neceſſitas urgeat ad principia ſcientiae comprehendenda, quum jam frui poſſis iis quae ex ſcientia proveniunt. Qui enim primus ſtuduit haec invenire, magno in periculo fuit ne fruſtra tempus contereret, neque enim verum aliquod ex falſis principiis contingit inveniri. Sed quum tu ab inquirendi labore ſis liber, et quae jam bene inventa ſunt, addiscere concupiscas, ſupervacaneum foret principiorum ſcientiam complecti, ſi praeſertim ad haec tempus minime ſuppetat, neque cupido te teneat aliquid eorum quae deſint inveniendi, ſed tibi ſolum ſufficit inventis recte uti. Tu itaque ſupponens aliquam eſſe vitalem facultatem, ſtude ut agnoscas ejus ita in robore, ſicuti in imbecillitate diſpoſi-

ἐπειδὰν δὲ ταῦτ' ἀσκήσῃς, αὖθις ἄσκησόν μοι σαυτὸν, ἑτοίμως διαγινώσκειν τὰς κατὰ τὸ μέγεθός τε καὶ τὸ ἦθος ἁπάντων τῶν νοσημάτων διαφορὰς, εἶθ' ἑξῆς τούτων ἀκμῆς μελλούσης πρόγνωσιν. ὅταν δ' ἤδη ταῦτα σύμπαντα ἐκμάθῃς, ἄσκησόν μοι σαυτὸν ἀκριβῶς στοχάζεσθαι πηλίκον νόσημα, πηλίκη ῥώμη δυνάμεως, ἐν πόσῳ χρόνῳ διενεγκεῖν ἱκανή. πολὺ δ' εἰς τοῦτο συντελέσει καὶ ἡ ἐπὶ τῶν ἔργων τριβή. πρὶν δ' ἕκαστον ὧν εἶπον ἀκριβῶς ἐκμαθεῖν, οὐδὲν ἂν εἴη σοι πλεῖον ἀνθρώπους νοσοῦντας θεωμένῳ. πῶς οὖν ἕκαστον αὐτῶν ἄρχεσθαι ἀκριβῶς χρὴ μανθάνειν; οὐκ ἄλλως ἢ ὡς ἔμπροσθεν εἴρηται. καὶ γὰρ ὡς χρὴ μέγεθος ἐξευρίσκειν νόσου καὶ ὡς ἦθος, ἔτι τε πρὸς τούτοις τὴν ἀκμὴν, ἀκριβῶς διελήλυθα. [441] τὴν δὲ καθ' ἑκάστην δύναμιν ἀῤῥωστίαν, ἢ ῥώμην, ἐν ἑτέρῳ φθάνω διῃρῆσθαι λόγῳ, τῷ περὶ πλήθους ἐπισκεπτομένῳ. μανθάνειν μὲν οὖν ἐκεῖθεν αὐτῶν τὰς διαγνώσεις ἀκριβῶς, χρῆσθαι δὲ πρὸς τὰς ἰάσεις, ὡς ἐν ἑτέροις διῄρηται καὶ νῦν οὐχ ἧττον εἰς τὴν περὶ τὰς κρίσεις θεωρίαν.

tionem. Ubi vero in his exercitatus fueris, ſtude deinceps omnes morborum tam in magnitudine quam etiam in more differentias prompte dignoscere et poſt haec futuri ſtatus praecognitionem perdiscere. Ubi vero haec omnia didiceris, tunc te exerceas in comprehendendo per exquiſitam conjecturam, quantum morbum quantum virtutis robur quanto tempore poſſit perferre; multum vero ad hoc te adjuvabit in operibus exercitatio. Prius vero quam ea omnia quae dixi diligenter didiceris, nihil aegrotos intuendo proficies. Sed quomodo haec omnia perdiscere oportet? non aliter quam ſicuti prius a nobis dictum eſt. Etenim quod oporteat et magnitudinem morbi invenire et morem, inſuper etiam ſtatum, exacte recenſui. In unaquaque autem facultate vel imbecillitatem, vel robur in alio libro, ubi de multitudine agitur, antea narravi. Ex illo igitur eorum dignotiones exquiſite discere oportet, uti vero ad medendum, ut in aliis edocui, neque minus et nunc ad eam quae habetur de criſibus contemplationem.

Ed. Chart. VIII. [441.] Ed. Baf. III. (419.)

Κεφ. θ'. Ὥσπερ γὰρ ὁ πάντα ἔχων ἀγαθὰ σημεῖα τῇ πρώτῃ τετράδι τελέως ὑγιασθήσεται, κατὰ τὸν αὐτὸν, οἶμαι, τρόπον ᾧ πάντα ἐστὶ μοχθηρὰ, τεθνήξεται πάντως καὶ οὗτος ἐντὸς τῆς πρώτης τετράδος. ἀλλ᾽ ὁ μὲν σωζόμενος ἅπαντας διέξεισι τῆς νόσου τοὺς καθόλου καιροὺς, ἀρχὴν καὶ ἀνάβασιν καὶ ἀκμὴν καὶ παρακμὴν, εἰ καί τισιν μὴ δοκεῖ γίγνεσθαι παρακμὴν κατὰ τὰς αἰφνιδίους κρίσεις. εἰρήσεται γὰρ ὀλίγον ὕστερον ὑπὲρ τούτων. τῷ τεθνηξομένῳ δὲ εἰς μὲν τὸν τῆς παρακμῆς καιρὸν ἀδύνατον ἐξικέσθαι, οὐ μὴν οὐδ᾽ ἐξ ἀνάγκης εἰς τὸν τῆς ἀκμῆς. ἐνδέχεται γὰρ αὐτὸν καὶ κατὰ τὸν τῆς ἀναβάσεως καὶ κατὰ τὸν τῆς ἀρχῆς χρόνον ἀπολέσθαι, κριθῆναι δὲ οὐκ ἀναγκαῖον αὐτῷ, καὶ μάλιστα εἰ κατὰ τὴν ἀρχὴν ἀποθνήσκει τῆς νόσου. γίνεται δὲ τοῦτο μεγάλως τῆς φύσεως ὑπὸ τοῦ νοσήματος κρατηθείσης. τηνικαῦτα γὰρ οὐδ᾽ ἐπιχειρεῖ διαγωνίζεσθαι πρὸς αὐτὸ, χωρὶς δὲ τοῦ διαγωνίζεσθαι κρίσις οὐ γίνεται. τέταρτος οὖν οὗτός ἐστιν ὁ τρόπος τοῦ θανάτου μηδενὶ τῶν τῆς σωτηρίας ἐοικώς. οὐδεὶς μὲν γὰρ ἀθρόως ἀπηλλάγη τοῦ νοσήματος ἄνευ κρίσεως, ἀθρόως δ᾽

Cap. IX. Sicuti enim qui omnia ſigna bona prae ſe fert, in primo quaternario integre liberabitur, eodem, ut arbitor, modo qui omnia mala, hic intra primum quaternarium morietur. Sed qui quidem liberatur, omnia morbi tempora univerſalia pertranſit, principium, augmentum, ſtatum et declinationem, quanquam nonnullis fieri non videatur declinatio, ubi repentinae criſes advenerint, nam paulo poſt de iſtis dicetur. Moriturus autem ad declinationis tempus pertingere minime poteſt, non tamen neceſſario etiam ad ſtatum perveniet, contingit enim ipſum in augmenti et principii etiam tempore mori, criſin vero ſubire non eſt neceſſarium, et maxime ſi in principio morbi moriatur. Hoc autem accidit, ubi natura plurimum a morbo ſuperatur; tunc enim neque certare adverſus ipſum aggreditur, ſine certamine autem criſis non fit. Hic igitur eſt quartus modus mortis, qui nulli ſalutarium aſſimilatur. Nemo ſiquidem ſubito morbum evaſit ſine criſi, multi vero ſine hac ſubito intere-

ἀποθνήσκουσιν οὐκ ὀλίγοι, μὴ κριθέντες, ἐν μὲν ταῖς ἀρχαῖς τῶν παροξυσμῶν οἱ πλεῖστοι, καὶ μάλιστα δ᾽ ὅσοι διὰ πλῆθος, ἢ πάχος ὕλης, ἢ μέγεθος φλεγμονῶν ὀλεθρίως ἔχουσιν. ἐν δὲ ταῖς παρακμαῖς, ἐφ᾽ ὧν ἄῤῥωστος ἡ δύναμις· χρὴ γὰρ καὶ τοῦτο γινώσκειν, ἅπαντος μᾶλλον ἀληθέστατον ὑπάρχον, ὡς κἀν ταῖς παρακμαῖς τῶν κατὰ μέρος παροξυσμῶν ἀπόλλυνται πάμπολλοι, καὶ τοῦτο θεασάμενοί τινες οἴονται ὡς καὶ ἐν τῷ καθόλου καιρῷ τῆς παρακμῆς ἐνδέχεταί τινα τελευτῆσαι, τὸ δ᾽ οὐχ οὕτως ἔχει. παρελθούσης μὲν γὰρ τῆς ἀκμῆς τοῦ νοσήματος ἡ μὲν φύσις ἤδη κεκράτηκεν, οὐδὲ γὰρ ἂν ἄλλως παρήκμασε τὸ νόσημα. τρόπος δὲ οὐδ᾽ εἷς οὐδ᾽ ἐπινοηθῆναι θανάτου δύναται τηνικαῦτα, πλὴν ἐξ ἁμαρτήματος, οὐ μὴν τοῦτό γε πρόκειται νῦν σκοπεῖν, ἀλλ᾽ εἰ τῷ λόγῳ τοῦ νοσήματος. οὔτ᾽ οὖν εἶδόν ποτε τοῦτο γινόμενον οὔθ᾽ ὁ λόγος ἐξευρίσκει. τῶν μέντοι κατὰ μέρος παροξυσμῶν ἐν ταῖς παρακμαῖς ἐθεασάμεθά τε παμπόλλους πολλάκις ἀποθνήσκοντας, ὅ τε λόγος οὐδὲν εἶναι θαυμαστόν φησιν ἄῤῥωστον δύναμιν ἐν μὲν τῷ χρόνῳ τῆς ἀρχῆς τοῦ παροξυσμοῦ

unt, plurimique in acceffionum principiis, illi praefertim qui propter materiae multitudinem, vel craffitiem, aut inflammationis magnitudinem, exitialiter laborant, in declinatione vero propter virium imbecillitatem moriuntur. Hoc fiquidem plus quam quicquam aliud pro veriffimo haberi oportet, quod in acceffionum particularium declinationibus plurimi pereunt; quod nonnulli videntes, idcirco opinantur etiam univerfalis declinationis tempore poffe aliquem mori. Verum non ita res fe habet; ubi enim morbi ftatus praeterierit, natura quidem jam fuperior evafit, neque enim aliter morbus declinaffet, nullus autem modus mortis tunc advenientis excogitari poteft, praeterquam ex errore. Sed de hoc haudquaquam nunc confiderare propofuimus, fed an morbi ratione mori contingat. Neque igitur hoc vidi unquam fieri, neque id invenit ratio, fed particularibus acceffionibus declinantibus multos faepiffime interire vidi. Neque rationem fequentibus mirum videtur, naturae vim in-

καὶ ἀναβάσεώς τε καὶ ἀκμῆς ἐξαρκέσαι, συνεχομένης ἔτι τηνικαῦτα καὶ οἷον ἐσφιγμένης τῆς ἕξεως, ἐν δὲ τῷ τῆς παρακμῆς, ἀνάπαλιν κινουμένης τῆς θερμασίας, ἐκ μὲν τῶν μέσων, νῦν ἐπὶ τὰ πέρατα διαφορεῖσθαί τε καὶ διαλύεσθαι τὴν ἕξιν. ἔνιοι μὲν οὖν τῶν τοιούτων ἐξαιφνίδιον ἀποθνήσκουσιν, ὡς δοκεῖν τοῖς παροῦσιν λειποψυχεῖν μᾶλλον αὐτοὺς ἢ ἀπόλλυσθαι, τινὲς δὲ κατὰ βραχὺ καὶ οὐκ ἐξαίφνης ἀπέθανον, ἀρξάμενοι μὲν πάντες ἐπὶ τῆς ἀκμῆς τοῦ παροξυσμοῦ, λανθάνοντες δὲ τοὺς πολλοὺς οὕτως ὥστε καὶ πάνυ ταχέως αὐτοῖς καὶ θᾶττον ἢ κατὰ τὴν ἐλπίδα δοκοῦσιν οἱ τοιοῦτοι μεταπίπτειν ἐκ τῆς ἀκμῆς εἰς τὴν παρακμήν· ἀλλ᾽ ἥ γε γνώρισις σαφεστάτη διὰ τῶν σφυγμῶν. οὐ γάρ τί που βραχὺ τοὐν μέσῳ τῶν τε θανάτου λόγῳ [442] θᾶττον τῆς ἐλπίδος εἰς φαντασίαν ἡκόντων παρακμῆς καὶ τῶν ὄντως παρακμαζόντων. ἐπ᾽ ἀμφοτέρων μὲν γὰρ ἀθροώτερον ἡ πυρεκτικὴ θερμασία διαφορεῖται. γίνεται δ᾽ ὑπὸ τῶν ἐναντιωτάτων αἰτίων, εἴ γε δὴ ῥώμη φύσεως ἐναντιωτάτη ἐστὶν ἀῤῥωστία, σφοδρότερος μὲν οὖν ἀεὶ καὶ μᾶλλον ὁ σφυγμὸς, εὐτακτότερός

becillam in principio quidem accessionis et augmento et statu posse perdurare, quum adhuc habitus ipse in unum veluti compressus contineatur, tempore vero declinationis a contrario se movente calore, hoc est a medio ad extrema retrocedente, naturae habitum spargi atque dissolvi. Horum itaque nonnulli subita morte opprimuntur, ut praesentes existiment deficere animo eos potius quam mori, quidam vero paulatim, non subito interierunt, incipientes quidem omnes a statu accessionis, ita vero latent multos, ut admodum celeriter ac citius quam sperassent a statu ad declinationem transire videantur. Sed manifestissime ex pulsibus cognoscuntur; neque enim parvo interstitio differunt qui mortis ratione citius quam sperabatur ad quandam falsam declinationem perveniunt ab iis qui vere declinant; in utrisque enim subito febrilis calor dissolvitur, fit vero hoc ex caussis maxime contrariis, siquidem naturae robori maxime contraria est imbecillitas. Vehementior igitur fit continue magis pulsus et aequalior atque ordinatior in bona

τε καὶ ὁμαλώτερος ἐπὶ χρησταῖς γίνεται παρακμαῖς. ἀπωθεῖται γὰρ ἡ φύσις εὐρωστότερον ἅπασαν ἀθρόως ἔξω τὴν πυρεκτικὴν θερμασίαν. ἀμυδρότερος δὲ καὶ ἀτακτότερος καὶ ἀνώμαλος ἐν ταῖς ὀλεθρίοις παρακμαῖς. διαῤῥεῖ γὰρ ἅμα τοῖς ἄλλοις καὶ ἡ πυρεκτικὴ θερμασία, κἀντεῦθεν ἡ φαντασία τοῦ βελτίονος, εἶτ᾽ ὀλίγον ὕστερον ἢ ἀποπατῆσαι διαναστάντες ἐλειποψύχησάν τε καὶ μικρὸν ἔνιοι καὶ γλίσχρον ἐφιδρώσαντες ἀπέθανον, ἢ καὶ χωρὶς τοῦ διαναστῆναι, κατὰ μὲν τὰς παρακμὰς τῶν παροξυσμῶν οὕτως ἀποθνήσκουσιν ἄνευ κρίσεως, κατὰ δὲ τὰς ἀρχὰς ὑπὸ τῆς ἀθροωτέρας ἔσω τῶν χυμῶν ῥοπῆς, οἷον καταπνιγείσης καὶ ἀποσβεσθείσης τῆς φύσεως, ὡς εἰ καὶ πλῆθός τις χλωρῶν ξύλων ἀθρόως ἐπισωρεύσειε φλογί. λοιπὸς δέ ἐστιν ἄνευ κρίσεως ἐν τοῖς ὀλεθρίοις νοσήμασιν ὁ κατὰ τὰς ἀκμὰς θάνατος, τῇ σφοδρότητι τοῦ παροξυσμοῦ νικηθείσης τῆς φύσεως. οὕτω δὲ κἀν ταῖς ἀναβάσεσιν αὐτῶν ἀπόλλυνται πολλάκις, οὐ κατ᾽ ἄλλον τινὰ τρόπον ἢ λόγῳ τῆς ἀκμῆς. ὅλως γὰρ ὅταν ὑπὸ σφοδρότητος νοσήματος ἡ δύναμις νικηθῇ, λόγῳ μὲν ἀκμῆς ἀπόλ-

declinatione, expellit enim natura fortius omnem fubito febrilem calorem. Debilior vero atque inordinatior et inaequalis eft pulfus in lethalibus declinationibus; nam una cum aliis tunc calor febrilis expirat, atque hinc fpecies melioris exoritur, deinde paulo poft vel quum ad levandum ventrem furrexerint, animi defectum incurrunt, et nonnulli pauco ac tenaci fudore effufo moriuntur, vel etiam fine furrectione. Sic quidem in particularium acceffionum declinationibus fine crifi moriuntur, in principiis vero propter fubitum humorum ad interiora motum veluti fuffocata atque extincta natura non aliter quam fi lignorum viridium acervum fuper flammas paucas affatim conjicias. Reliquus eft igitur mortis fine crifi modus, exitialibus morbis, tempore ftatus a vehementia acceffionis natura fuperata. Sic et in augmentis plerumque moriuntur, non alio modo quam ftatus ratione; omnino enim quando a vehementia morbi natura fuperatur, ratione ftatus moriuntur.

λυνται, συμβαίνει δὲ ἐνίοτε καὶ κατὰ τὰς ἀναβάσεις τῶν παροξυσμῶν, ἀλλὰ καὶ σπανιώτερον τοῦτ᾽ ἔστι καὶ ὁ τρόπος ὁ αὐτὸς τῷ κατὰ τὴν ἀκμήν. τρεῖς οὖν οἱ πάντες τρόποι θανάτου τοῖς χωρὶς τοῦ κριθῆναι θνήσκουσι. πρῶτος μὲν ὁ κατὰ τὰς εἰσβολὰς τῶν παροξυσμῶν ἐν ταῖς φλεγμοναῖς τοὐπίπαν μεγάλαις, ἐν κυρίοις μορίοις γινομέναις, ἢ πλήθει καὶ πάχει καὶ γλισχρότητι τῶν χυμῶν, ἀθρόως εἴσω ῥυέντων, ὡς ἀποφράξαι τελέως τὰς διεξόδους τοῦ πνεύματος. ἕτερος δὲ (420) ὁ κατὰ τὰς ἀκμὰς, τῇ βίᾳ τοῦ νοσήματος ἡττηθείσης τῆς φύσεως. ἄλλος δὲ καὶ λοιπὸς ἐν ταῖς παρακμαῖς σπανιώτατος, τοῦ τόνου τοῦ ζωτικοῦ λυθέντος, τούτων οὐδεὶς ἅμα κρίσει γίνεται. τὴν ἀρχὴν γὰρ οὐδὲ ἐπεχείρησεν ἀποτρίψασθαι τὸ νόσημα κατὰ τοὺς τοιούτους θανάτους ἡ φύσις, ἡνίκα δ᾽ ἐπιχειροίη μὲν, ἡττᾶται δὲ, κρίσιν ἤδη κακὴν ὀνομάζω τὸ τοιοῦτον καὶ γίνεται πάντως ἢ σὺν ἐκκρίσεσιν, ἢ σὺν ἀποστήμασιν ἀξιολόγοις ἅμα τῇ λοιπῇ πάσῃ ταραχῇ τῇ πρόσθεν εἰρημένῃ.

Κεφ. ι΄. Αἱ προγνώσεις δὲ τῶν τοιούτων κρίσεων

Contingit vero aliquando et in augmentis acceffionum, fed rarius hoc accidit, atque idem eft modus cum illo qui fit tempore ftatus. Tres igitur funt omnes mortis modi iis qui fine crifi moriuntur. Primus quidem in principiis acceffionum, qui in magnis inflammationibus plurimum contingit, quae partes obfident principes, vel ob humorum multitudinem, craffitiem ac tenacitatem, qui fubito intro confluunt, ut fpiritus meatus exacte obferent. Alter vero jam tempore ftatus a morbi vi natura fuperata. Alius vero jam reliquus in declinationibus, qui rariffime accidit, vigore vitali foluto. Horum vero nullus contingit cum crifi; neque enim morbum depellere in hujusmodi mortis modis ab initio natura tentavit; ubi vero tentaverit, fed fuccubuerit, malam crifim talem eventum appello, et fit omnino vel cum excretionibus, vel cum abfceffibus effatu dignis, fimul cum reliqua omni perturbatione de qua diximus.

Cap. X. Hujuscemodi vero crifium praecognitiones

ἥττόν εἰσι βέβαιοι καὶ πάνυ συνετοῦ τε ἅμα καὶ τεχνίτου καὶ γεγυμνασμένου δέονται τοῦ ἰατροῦ, πρῶτον μὲν εἰ γενήσονται, δεύτερον δὲ εἰ κατὰ τήνδε τὴν ἡμέραν· ἔπειτ᾽ εἰ παραχρῆμα τὸν ἄνθρωπον ἀναιρήσουσιν, ἢ βλάψουσι μόνον. ἀλλὰ γυμνάζεσθαι χρὴ πρότερον ἐπὶ τὴν τῶν ἀρίστων κρίσεων πρόγνωσιν, ὑπὲρ ὧν ἔμπροσθεν εἶπον, εἶθ᾽ ἑξῆς ἐπὶ τῶν οὐκ ἀρίστων μὲν, ἀγαθῶν δὲ, κἄπειθ᾽ οὕτω μεταβαίνειν ἐπὶ τὰς κακάς. ὥσπερ γὰρ ἐν ταύταις τὸ ἀβέβαιόν τε καὶ στοχαστικὸν πλεῖστον, οὕτως ἐν ταῖς ἀγαθαῖς τὸ ἐπιστημονικόν τε καὶ βέβαιον. ὡρισμέναι γάρ εἰσι καὶ τεταγμέναι, τῆς φύσεως αἱ κινήσεις, ὅταν εὐρωστῇ τε καὶ κρατῇ τῆς ὕλης, καὶ τοῖς οἰκείοις λόγοις ἐνεργῇ· ἀόριστοι δὲ καὶ ἄτακτοι, καὶ διὰ τοῦτο [443] ἄγνωστοι κρατουμένης. ἀλλ᾽ εἰ μὲν τελέως κρατοῖτο, τὴν ἀρχὴν οὐδ᾽ ἐγχωρεῖ κρίνειν, οὐδ᾽ ὅλως ἀντέχειν κἂν βραχὺ, διανίσταται μὲν ὡς εἰς μάχην, ἡττᾶται δ᾽ εὐθύς. αἰτία δὲ ταύτης τῆς ἀκαίρου ἐπαναστάσεως ἡ βία τοῦ νοσήματος, ἐρεθιστική τις οὖσα καὶ ὀξεῖα. φαίνεται γὰρ ἡ φύσις οὐδενὸς ἀνεχομένη τῶν τοιούτων, ἀλλ᾽ εὐθὺς ἀποτρίβεσθαι σπεύδουσα τὸ

minus stabiles sunt et valde prudenti et arte instructo atque exercitato medico indigent, primum quidem nunquid futurae sint, secundo an hoc die certo, deinde si statim hominem interficient, vel tantummodo nocebunt. Sed prius exercitari oportet in optimarum crisium praecognitione, de quibus prius locutus sum; deinde in iis quae non sunt optimae, bonae tamen, ac deinceps ad malas descendere. Sicuti enim in his est plurima inconstantia et conjectura, ita in bonis scientia et firmitas praevalet. Determinati siquidem sunt, atque ordinati naturae motus, quum valida fuerit et materiae dominatur et suis propriis rationibus operatur, indeterminati vero atque inordinati atque ideo incogniti, quando succumbit. Sed siquidem integre superatur, neque ab initio crisim facere tentat, neque omnino resistere, et si paulum omnino surgat ad pugnam, statim succumbit. Causa vero hujus intempestivi insultus est morbi violentia, irritatrix quaedam existens et acuta, videtur siquidem natura nihil hujusmodi posse tolerare, sed statim properare ad expellen-

διοχλοῦν, ὡς κἀν τοῖς κατὰ τὴν γαστέρα τε καὶ τὸν στόμαχον ἰδεῖν ἔστιν ἐναργῶς ὅσα δάκνει καὶ στροφεῖ καὶ βαρύνει καὶ ὁπωσοῦν ἄλλως ἐρεθίζει. τὰ μὲν γὰρ ἐπιπολάζοντα δι' ἐμέτων ἀπωθεῖται, τὰ δ' ἐν τοῖς κατωτέροις χωρίοις δι' ἕδρας ἐκκρίνει. καὶ μέγιστον ἄρα τοῦτο σημεῖόν ἐστι κρίσεως ἀκαίρου. τὰς μὲν γὰρ ἐν καιρῷ γινομένας, ὅπερ ἐστὶν ταὐτὸν τῷ κατὰ τὴν ἀκμὴν, κἀν τοῖς πεπασμοῖς, εἰ καὶ μηδὲν ἐρεθιστικὸν εἴη, συμπιπτούσας ὁρῶμεν τοῖς θερμοῖς καὶ μεγάλοις νοσήμασιν. ὅσα δὲ προεκρήγνυται, καλεῖ δ' οὕτως Ἱπποκράτης ἅπαντα τὰ πρὸ τῆς ἀκμῆς ἐπὶ κρίσιν ὁρμῶντα, δι' ἐρεθισμόν τινα τοῦτο πάσχει, καὶ χείρων ἡ κρίσις γίνεται τῆς ἐν ἀκμῇ τοσοῦτον ὅσον προὔλαβεν ἡ κρίσις. ὡσαύτως δ' ἐπὶ τῶν ὀλεθρίων ἔχει νοσημάτων. οὐ γὰρ ἀναμένει τὴν ἀκμὴν, ἢ πάνυ σπανίως, ἀλλ' ἐν ταῖς ἀναβάσεσιν ἀναιρεῖ τοὐπίπαν, ἢ καὶ κατ' ἀρχάς. εἰ μὲν δὴ προδηλώσειέ τις ἐπίδηλος ἡμέρα τὴν μέλλουσαν ἔσεσθαι κρίσιν, ἅμα τε προδηλοῖ καὶ κακήν. φέρε γὰρ ἐν τῇ τετάρτῃ τῶν ἡμερῶν ὀφθῆναι πρῶτον ἐν τοῖς οὔροις νεφέλην μέλαιναν, ἢ ἐναιώρημα μέλαν, ἤ τι τῶν ἀλ-

dum id quod infeftat, ficut et ex iis quae ventrem aut ftomachum mordent, torquent, refrigerant et gravant, five quovis alio modo ftimulant, licet aperte infpicere: quae enim fupernatant, per vomitus expellere tentat, quae vero inferiora occupant loca, per fedem excernit, et hoc eft quidem maximum fignum crifis intempeftivae. Quae enim in tempore opportuno fiunt, quod fane idem eft ac in ftatu et coctionibus, etiam fi nullum adfit irritamentum, in calidis et magnis morbis videmus accidere. Quaecunque vero praerumpunt, vocat autem fic Hippocrates omnia, quae ante ftatum ad crifim ruunt, ob aliquod irritamentum id patiuntur, et tanto deterior fit crifis quam illa quae in ftatu fit, quanto magis anticipavit. In exitialibus autem morbis eodem modo res fe habet; neque enim crifis ftatus tempus expectat, aut admodum raro, fed maxima ex parte in augmentis interficit vel in principiis. Et fi aliqua dies indicatrix futuram crifim praeoftendit, fimul malam futuram praeoftendit. Age enim in quarto die vifa fit primum nebula in urinis nigra, vel fufpenfum nigrum, vel

λων τῶν τοιούτων, εἶναι δὲ καὶ τὰ ἄλλα σύμπαντα σημεῖά τε καὶ συμπτώματα ὀλέθρια, τεθνήξεται μὲν πάντως ὁ τοιοῦτος ἄῤῥωστος. ἀλλ᾽ εἰ μὲν ἐν περιτταῖς οἱ παροξυσμοὶ γίνοιντο, κατὰ τὴν ζ΄ ἡμέραν κριθήσεται. εἰ δ᾽ ἐν ἀρτίαις, κατὰ τὴν στ. βεβαιοτέραν δέ σοι ποιήσει τὴν προσδοκίαν ἡ κίνησις τοῦ νοσήματος. εἰ μὲν γὰρ ὀξέως κινοῖτο, συνεπιμαρτυρήσει τῇ ταχείᾳ κρίσει, τουτέστι τῇ κατὰ τὴν στ΄· εἰ δὲ βραδέως, τῇ κατὰ τὴν ζ΄. ὅταν δὲ μηδὲν ἡ ἐπίδηλος ἡμέρα προδηλώσῃ περὶ τῆς μελλούσης ἔσεσθαι κακῆς κρίσεως, οὐδ᾽ ἡ πρόγνωσις αὐτῆς εὐπετής. ὅμως δεῖ κἀνταῦθα προσέχειν τὸν νοῦν οἷς ἐρῶ σημείοις. ἔστι δὲ αὐτῶν πρῶτον μὲν καὶ μέγιστον ἐν τοῖς ὀλεθρίοις νοσήμασι τοῦ χωρὶς κρίσεως τεθνήξεσθαι σημεῖον ἡ ἀῤῥωστία τῆς δυνάμεως. οὐ γὰρ ἐπεγείρεται πρὸς διαμάχησιν τοῦ νοσήματος ἡ τοιαύτη δύναμις. δεύτερον δ᾽, εἰ καὶ μηδὲν ὅλως εἴη, μηδὲ τοὐλάχιστον σημεῖον πεπασμοῦ, κἀπὶ τούτοις, εἰ μέγα μὲν εἴη καὶ κακόηθες τὸ νόσημα καὶ μέντοι ταχέως κινοῖτο· ἢν γὰρ ταῦτα οὕτως ὑπάρχῃ, πάντως τεθνήξεται πρὶν κριθῆναι ὁ ἄνθρωπος. τὴν δ᾽ ἡμέραν τοῦ θανάτου προ-

tale aliquid hujusmodi, sint vero et omnino alia signa et accidentia perniciosa, morietur quidem omnino hic aegrotus. Sed si in imparibus quidem accessio facta fuerit, septimo die crisis accidet, si vero in diebus paribus, in sexto. Certiorem vero tibi expectationem faciet morbi motus, si enim acute moveatur, crisim accelerantem consignificat, hoc est in sexta venturam, si vero tarde, ad septimum differetur. Quum vero dies indicatrix nullum de mala crisi futura signum ostenderit, neque ejus praecognitio facilis est, oportet tamen hic animadvertere ea quae a me dicentur signa. Est autem primum et maximum in morbis lethalibus signum, quod sine crisi mors sit subsecutura, virium imbecillitas; nam virtus ita prostrata, ad pugnam contra morbum non excitatur, secundum vero, si nullum adsit signum vel minimum coctionis, et praeter haec si magnus sit morbus atque malignus, atque etiam celeriter moveatur; quum enim haec affuerint, omnino absque crisi mors subsequetur. Mortis autem diem praecognosces tum quanto superet mor-

γνώσῃ ἔκ τε τοῦ πόσον ὑπερέχει τὸ νόσημα τῆς δυνάμεως ἐπισκέψασθαι κἀκ τῶν βαρυτέρων παροξυσμῶν. εἰ μὲν γὰρ ἀξιόλογος ἡ ὑπεροχὴ, καὶ σμικρὸν ἀντέχειν ἡ δύναμις ἔτι φαίνοιτο, ταχὺς ὁ θάνατος· εἰ δὲ τἀναντία, βραδύτερος. ἔστω δὴ παραδείγματος ἕνεκα πολλὴ μὲν ἡ ὑπεροχὴ, μὴ μέντοι σαφὴς ὑπαρχέτω, πότερα μίαν ἡμέραν, ἢ δύο παρατεῖναι δυνήσεται. διορισθήσεται δὲ τοῦτο ταῖς παροξυσμῶν περιόδοις. ἐν ᾗ γὰρ ὁ παροξυσμὸς ἡμέρᾳ μέλλει γίνεσθαι, κατ᾽ ἐκείνην τεθνήξεται, καὶ τῆς ἡμέρας αὐτῆς τὴν ὥραν ἐν ᾗ τοῦτ᾽ ἔσται ῥᾷστον ἤδη διαγνῶναι, μεμνημένων ἐν μὲν τῷ καθόλου τῶν ὀλίγον ἔμπροσθεν εἰρημένων, ἡνίκα ἐδίδασκον, ἐν ὁποίοις μὲν νοσήμασιν ἀρχαὶ τῶν παροξυσμῶν μάλιστα φέρουσι τὸν θάνατον, ἐν ὁποίοις δὲ αἱ ἀκμαί τε καὶ παρακμαὶ, κατὰ μέρος δὲ ἐφ᾽ ἑκάστου τῶν ἀῤῥώστων ἡ τῶν προγεγενημένων ἡμερῶν μνήμη συνενδείξεταί σοι πάμπολυ. καὶ γὰρ εἰ μὴ κατ᾽ αὐτὴν τοῦ νοσήματος τὴν ἰδέαν οἷός τε εἴης προγινώσκειν ἐν ὁποίῳ μάλιστα μέρει τοῦ παροξυσμοῦ τεθνή[444]ξεται, τῶν γε ἐν ταῖς ἔμπροσθεν ἡμέραις ἀναμνησθεὶς, ὁποίῳ μάλιστα μέρει σφῶν αὐτῶν βαρύτατοί τε καὶ σὺν ὀλεθρίοις

bus naturam confiderando, tum graviores acceffiones infpiciendo. Si enim effatu dignus fuerit exceffus et parum refiftere adhuc vis naturae videatur, mors cito fubfequetur, fi vero contraria affuerint, tardius. Sit igitur gratia exempli multus quidem exceffus, non tamen manifeftus, an ad unum diem, vel duos extendi poterit, hoc vero diftinguetur acceffionum circuitibus; quo enim die debet acceffio fieri, in illo morietur. Et qua ejusdem diei hora accidet, jam eft dignoscere facile, fi meminerimus in univerfum eorum quae paulo ante diximus, in quibus morbis principia acceffionum maxime afferunt mortem, in quibus vero ftatus et declinationes. Particulatim vero in fingulis aegrotantibus praecedentium dierum recordatio tibi plurima commonftrabit. Si enim ex ipfa morbi idea quispiam nequeat praenoscere, in qua parte maxime acceffionis morietur, ea quae in prioribus diebus contigere ad memoriam revocans, qua maxime

ἐγένοντο συμπτώμασιν, οὕτως ἂν ἔχοις τι καὶ περὶ τῶν μελλόντων εἰκάζειν. ἔστω δὴ πάλιν ἀληθῶς ἐγνωσμένον, ὀλέθριον μὲν εἶναι τὸ νόσημα, μὴ πολλὴ δὲ ἡ τῆς δυνάμεως ἧττα. πρῶτον μὲν ἤδη δῆλον ὡς οὐκ ἐγγὺς ὁ θάνατος, ἔπειτα δὲ ζητητέον εἰ δύναται γενέσθαι κρίσις. ἡ δὲ εὕρεσις ἔκ τε τοῦ τὴν δύναμιν, ὅπως ἔχοι ῥώμης, ἐπισκέψασθαι, καὶ τοῦ νοσήματος αὐτοῦ τὴν κίνησιν, ἔτι τε πρὸς τούτοις τὰ σημεῖα τῶν πεπασμῶν. εἰ μὲν γὰρ ἥ τε δύναμις εὔρωστος ὑπάρχῃ καὶ τὸ νόσημα ταχέως κινοῖτο, καί τι σημεῖον παρείη πέψεως, οὐκ ἀπεικός ἐστιν ἐπιθέσθαι κρίσει τὴν φύσιν. εἰ δὲ ἥ τε δύναμις ὀκλάζοι πῃ καὶ τὸ νόσημα μὴ ταχέως κινοῖτο, καὶ μηδὲν εἴη σημεῖον πέψεως, οὐκ ἐνδέχεται κριθῆναι τοῦτον. ὅτι δὲ οὐ πάντως, εἰ τὸ νόσημα τῆς δυνάμεως ἰσχυρότερον, ἐξ ἀνάγκης ἄῤῥωστος ἡ δύναμις, ἐν ἑτέρῳ μοι δέδεικται λόγῳ καὶ χρὴ μανθάνειν ἐκεῖθεν ἴδια γνωρίσματα δυνάμεως ἀῤῥώστου πάντα μὲν γὰρ ἅμα διεξέρχεσθαι παντελῶς ἐστιν ἀδύνατον, μεμνῆσθαι δὲ πάντων ἅμα καὶ μηδὲν ὧν ἔμαθέ τις ἰδίᾳ παραλείπειν. ἀλλ᾽ ἐφ᾽ ἑκάστου τῶν νοσούντων ἅπαντα περιλαμβά-

eorum parte gravissima atque exitialia symptomata sustinueriut, hic etiam poterit de futuris conjicere. Sit rursus vere cognitum quod morbus sit exitialis et non multa virium prostratio, primum ex hoc constat mortem non esse propinquam, deinde inquirendum est, si possit fieri crisis. Hujus vero inventio habetur ex contemplatione virtutis, quomodo se habeat atque ipsius morbi motus, ac praeterea signorum coctionis. Si enim virtus robusta fuerit et morbus velociter moveatur et aliquod signum coctionis affuerit, non extra rationem est quod natura tentabit crisim. Quod si virtus quodammodo langueat ac morbus tardum motum habuerit, nullumque affuerit coctionis signum, in hoc subsequi crisim non contingit. Quod autem, si morbus sit fortior virtute, non necessario virtus ipsa sit debilis, nos alio ostendimus libro, atque inde discere oportet propria signa virtutis imbecillis, omnia enim simul exponi non possunt, omnium autem meminisse simul et nihil praetermittere ex iis quae separatim aliquis didicit. Sed omnia in singulis aegrotantibus memoria complecti nihil dif-

νειν, οὐχ ὅπως ἀδύνατόν ἐστιν, ἀλλ᾽ οὐδὲ χαλεπὸν οὐδέν. ἀναμνησθέντες οὖν πάλιν ὧν ἐν τοῖς ἔμπροσθεν διελεγόμεθα, τῶν ἐφεξῆς ἐχώμεθα. τὰς ἀρίστας κρίσεις ἔφαμὲν ἐν ταῖς ἀκμαῖς γίνεσθαι. κατὰ δὲ τὰς ἀναβάσεις ἐπὶ μὲν τῶν σωθησομένων ἢ ἐλλιπεῖς, ἢ οὐκ ἀσφαλεῖς· ἐπὶ δὲ τῶν τεθνηξομένων, ἢ εὐθὺς ἀναιρεῖν, ἢ μεγάλην ἐπὶ τὸ χεῖρον ποιεῖσθαι μεταβολὴν, ἐν ἀρχῇ δὲ τοῦ νοσήματος οὐκ ἂν γενέσθαι κρίσιν. εἶναι δὲ τῶν μὲν ἀρίστων ἀκριβεῖς τὰς προγνώσεις, τῶν δ᾽ ἄλλων μετὰ τοῦ στοχάζεσθαι, καὶ μᾶλλον ὅταν ἄσημοι τυγχάνωσι γινόμεναι. καλεῖσθαι δὲ οὕτως ἔφαμεν ὅσαι μὴ προδηλοῦνται διὰ τῶν ἐπιδήλων ἡμερῶν, ἀλλά τοι καὶ ταύτας, εἰ καὶ μὴ πρὸ πολλοῦ, μελλούσας γοῦν ὅσον οὔπω γενή(421)σεσθαι, προγινώσκειν ἐλέγομεν δεῖν, ἔσεσθαι δὲ τὴν πρόγνωσιν ἔκ τε τοῦ κατεπείγεσθαί τε καὶ σφοδρῶς ἐρεθίζεσθαι τὴν φύσιν ὑπὸ τοῦ νοσήματος, ἔκ τε τῆς παρὰ λόγον αἰφνιδίου ταραχῆς περὶ τὸ σῶμα. πάντως γάρ τι νεωτερίζεται μελλούσης κρίσεως, ἢ κατὰ τὴν ἀναπνοὴν, ἢ κατὰ τὴν διάνοιαν, ἢ τὴν ἀκοὴν, ἢ τὴν ὄψιν, ἢ τὴν εὐφορίαν, ἢ κατ᾽

ficile, nedum non impoſſibile. Rurſus igitur memoria repetentes ea de quibus in praecedentibus diſſeruimus, ad ſequentia transeamus. Diximus optimas criſes in ſtatibus fieri, in augmentis vero ſi ſalus ſit ſubſecutura, vel imperfectas, vel non ſecuras; in morituris autem vel ſubito interimere, vel magnam ad pejus facere mutationem. In principio autem morbi non ſieri criſim. Eſſe vero optimarum criſium exquiſitas praecognitiones, aliarum quidem cum conjectura et maxime cum ſuerint criſes ſigno carentes; ita autem nominari diximus quaecunque a nullo dierum indicantium antea fuerint indicatae. Sed et has, etſi non multo prius tempore, ſaltem paulo poſt futuras praecognosci oportere aſſeruimus, futuram autem praecognitionem ex eo, quod urgeatur ac vehementer irritetur natura a morbo, atque ex ſubita praeter rationem circa corpus ſacta perturbatione. Omnino enim ſit aliqua novitas, quando criſis ſutura eſt, vel circa reſpirationem, vel circa mentem, vel auditum, vel viſum, vel ferendi facilitatem, vel circa ali-

ἄλλό τι τῶν ἤδη πολλάκις εἰρημένων, ἅπερ ἑνὶ περιλαβόντες ὀνόματι κρίσιμα συμπτώματά τε καὶ σημεῖα προσαγορεύομεν. καὶ μὲν δὴ καὶ τὸ διὰ τῶν ἀφορισμῶν εἰρημένον ὑφ᾽ Ἱπποκράτους· ὁκόσοισι δὲ κρίσις γίνεται, τουτέοισι νὺξ δύσφορος, ἡ πρὸ τοῦ παροξυσμοῦ, τοῦτ᾽ ἔστιν αὐτὸ νῦν τὸ λεγόμενον. ἐὰν οὖν ἐπὶ τῷ νοσήματι κρίσιν ἐμφαίνοντι καὶ ἡ νὺξ γένηται δύσφορος, καὶ ἐπ᾽ αὐτῇ ὁ παροξυσμὸς εἰσβάλλῃ θᾶττον, ἅμα νεωτέροις τισὶ συμπτώμασιν, ἐν ἐκείνῳ τῷ παροξυσμῷ γενέσθαι τὴν κρίσιν ἀναγκαῖον.

Κεφ. ια΄. Ὁποία δέ τις ἔσται, τουτέστιν εἰ δι᾽ αἱμοῤῥαγίας, ἢ ἐμέτων, ἢ ἱδρώτων, ἤ τινος ἄλλου τῶν πολλάκις ἤδη προειρημένων, ἐφεξῆς πειράσομαι διηγεῖσθαι, τὴν ἀρχὴν κἀνταῦθα τῷ λόγῳ ποιησάμενος ἀπὸ τοῦ συμπάντων ἡμῖν τῶν ἀρίστων μαθημάτων ἡγεμόνος, ἐν μὲν τῷ πρώτῳ τῶν ἐπιδημιῶν ὧδέ πως εἰπόντος· τὰ περὶ τὴν κεφαλὴν [445] καὶ τὸν τράχηλον ἀλγήματα καὶ βάρεα σὺν πυρετοῖς καὶ ἄνευ πυρετῶν φρενιτικοῖσι μὲν σπασμοὶ, καὶ ἰώδεα ἐπὰν ἐμέωσιν, ἔνιοι ταχυθάνατοι τουτέων. ἐν καύσοισι δὲ καὶ τοῖ-

quod eorum quae jam faepe diximus, quae fane uno nomine fummatim judiciaria fymptomata et figna appellamus. Quinetiam quod ab Hippocrate in aphorismis dicitur: *Quibuscunque crifis fit, his nox moleftar quae antecedit acceffionem,* eft ipfum quod nunc nos dicimus. Quando igitur in morbo crifim oftendente etiam nox molefta fuerit et poft ipfam acceffio citius invaferit cum quibusdam infolitis fymptomatis, neceffe eft in eadem acceffione fieri crifim.

Cap. XI. Qualis autem erit, hoc eft utrum per fanguinis fluxum, vel vomitum, vel fudores, vel per aliquod aliud ex iis quae faepe antea enumeravimus, deinceps explanare tentabo. Hic quoque initium faciemus ab eo qui nobis omnium fuit dux atque auctor optimarum disciplinarum, qui primo libro epidemiorum fcribit in hunc modum: *Circa caput et collum et dolores et gravitates cum febribus et fine febribus. In phreniticis quidem nervorum dis-*

σιν ἄλλοισι πυρετοῖσιν, οἷσι μὲν τραχήλου πόνος καὶ κροτάφων βάρος, καὶ σκοτώδεα τὰ περὶ τὰς ὄψιας, ἢ καὶ ὑποχονδρίου σύντασις οὐ μετ᾽ ὀδύνης, αἱμοῤῥαγέουσι διὰ ῥινῶν. οἷσι δὲ βάρεα μὲν ὅλης τῆς κεφαλῆς, καρδιωγμοὶ δὲ καὶ ἀσώδεές εἰσιν, ἐπανεμέουσι χολώδεα καὶ φλεγματώδεα. τὸ πολὺ δὲ παιδίοισιν ἐν τοῖσι τοιουτέοισιν οἱ σπασμοὶ μάλιστα, γυναιξὶ δὲ καὶ ταῦτα καὶ ἀπὸ ὑστερέων πόνοι, πρεσβυτέροισι δὲ καὶ ὁκόσοισιν ἤδη τὸ θερμὸν κρατέεται παραπληγικὰ, ἢ μανικὰ, ἢ μελαγχολικὰ, καὶ στέρησις ὀφθαλμῶν. ἐν δὲ αὐτῷ προγνωστικῷ Ἱπποκράτης ὧδέ πως πάλιν φησίν· ὅστις δ᾽ ἂν τῶν πυρετῶν μηκύνῃ περιεστικῶς διακειμένου τοῦ ἀνθρώπου, μήτε ὀδύνης ἐχούσης διὰ φλεγμονὴν μήτε δι᾽ ἄλλην πρόφασιν ἐμφανέα, τουτέῳ προσδέχεσθαι ἀπόστασιν μετὰ οἰδήματός τε καὶ ὀδύνης εἴς τι τῶν ἄρθρων, καὶ οὐχ ἧσσον τῶν κάτω. μᾶλλον δὲ γίνονται καὶ ἐν ἐλάσσονι χρόνῳ αἱ τοιαῦται ἀποστάσιες τοῖσι νεωτέροισι τριάκοντα ἐτέων. ἐπισκέπτεσθαι δὲ εὐθὺς χρὴ τὰ περὶ τῆς ἀποστάσεως εἰ κ' ἡμέρας ὁ πυρετὸς ὑπερβάλλῃ. τοῖσι δὲ γεραιτέροισιν ἧσσον γίνεται, πολυχρο-

tentiones, ſed et aeruginoſa evomunt et quidam ex his cito intereunt. In febribus autem ardentibus atque aliis quibus adeſt colli dolor et temporum gravitas et tenebrae oculis oboriuntur, vel praecordia intenduntur absque dolore, his profluvia ſanguinis fiunt e naribus. Qui vero totius capitis gravitates et oris ventriculi morſus ac anxietates habent, iſti bilioſa et pituitoſa evoment. Magna vero ex parte pueris in hujusmodi affectibus accidunt nervorum diſtentiones, mulieribus vero et haec et ex vulvis labores, ſenioribus vero et in quibus jam ſuperatur calor, paraplegiae atque furores et melancholia et oculorum privatio. In libro autem qui Prognoſtica inſcribitur rurſus Hippocrates in hunc modum ſcribit: *Quaecunque autem febres protrahuntur, ut ſuperſtes futurus ſit, neque dolores ex inflammatione aegrum habent, neque ex alia occaſione manifeſta, huic expectandus eſt abſceſſus cum oedemate atque dolore ad unum aliquem ex articulis et praecipue ex iis qui in inferioribus locis ſunt. Magis vero fiunt et in*

νιωτέρου ἐόντος τοῦ πυρετοῦ. χρὴ δὲ τὴν μὲν τοιαύτην ἀπόστασιν προσδέχεσθαι, ξυνεχέος ἐόντος τοῦ πυρετοῦ, εἰς δὲ τεταρταῖον καταστήσεσθαι, ἢν διαλείπῃ καὶ ἐπιλαμβάνῃ πεπλανημένον τρόπον. καὶ ταῦτα πάντα ποιέων τῷ φθινοπώρῳ πελάσῃ. ὥσπερ δὲ τοῖσι νεωτέροισι τριάκοντα ἐτέων ἀποστάσιες γίνονται, οὕτως οἱ τεταρταῖοι μᾶλλον τοῖσι τριάκοντα ἔτεσι καὶ γεραιτέροισι. τὰς δὲ ἀποστάσιας εἰδέναι χρὴ μᾶλλον τοῦ χειμῶνος γενομένας, χρονιώτερον δὲ παυομένας, ἧσσόν τε παλινδρομεούσας. ἱκανὰ μὲν καὶ ταῦτα καὶ πάνυ σαφῆ τὰ περὶ τῶν ἀποστάσεων εἰρημένα. συνάπτων δ᾽ αὐτοῖς ἐφεξῆς τὰ περὶ τῶν ἐκκρίσεων ᾧδέ πώς φησιν· ὅστις δ᾽ ἂν ἐν πυρετῷ μὴ θανατώδει, φησὶ, κεφαλὴν ἀλγεῖν, ἢ καὶ ὀρφνῶδές τι πρὸ ὀφθαλμῶν φαίνεσθαι, ἢν καρδιωγμὸς τουτέῳ προσγένηται, χολώδης ἔμετος παρέσται· ἢν δὲ καὶ ῥῖγος ἐπιλάβῃ, καὶ τὰ κάτω τοῦ ὑποχονδρίου ψυχρὰ ᾖ, ταχύτερον ἔτι ὁ ἔμετος παρέσται. ἢν δέ τι καὶ πίῃ, ἢ φάγῃ ὑπὸ τοῦτον τὸν χρόνον, κάρτα ταχέως ἐμέσεται. τουτέων δὲ οἷς ἂν ἄρξη-

minori tempore hujusmodi abſceſſus junioribus nondum xxx annos natis. Statim autem attendere oportet ad absceſſum, ſi vigeſimum diem febris transgreſſa ſit. Senioribus vero minus fiunt; febre etiam diuturniore exiſtente. Oportet autem expectare talem abſceſſum, quum febris continua fuerit, in quartanam vero finituram, ſi intermittens fuerit et more erraticae invaſerit, atque omnia haec agens autumno appropinquaverit. Sicuti vero iis qui ſunt juniores xxx annis abſceſſus fiunt, ſic iis qui xxx annos habent, vel etiam ſenioribus, quartanae accidunt. Abſceſſus vero ſcire oportet magis hieme fieri, ac tardius deſinere et minus reverti. Sufficiunt quidem haec et valde manifeſta ſunt quae de abſceſſibus dicta. Adjungenda autem ſunt ipſis ea deinceps quae de excretionibus inquit in hunc modum: *Quicunque autem in febre non lethali dixerit ſe dolere caput aut aliquod tenebroſum apparere ante oculos: ſi oris ventriculi morſus huic acciderit, vomitus bilioſus ſubſequetur. Si vero rigor invaſerit et*

ται ὁ πόνος τῇ πρώτῃ ἡμέρᾳ, τεταρταῖοι πιέζονται μᾶλλον ἢ πεμπταῖοι, εἰς δὲ τὴν ζ ἀπαλλάσσονται. οἱ μέντοι πλεῖστοι αὐτῶν ἄρχονται μὲν πονέεσθαι τριταῖοι, χειμάζονται δὲ πεμπταῖοι μάλιστα, ἀπαλλάσσονται δ' ἐνναταῖοι ἢ ἑνδεκαταῖοι· οἳ δ' ἂν ἄρξωνται πεμπταῖοι πονέεσθαι, καὶ τἄλλα κατὰ λόγον αὐτοῖσι τῶν πρόσθεν γίνεται, εἰς τεσσαρεσκαιδεκάτην. γίνεται δὲ ταῦτα τοῖσι μὲν ἀνδράσι καὶ τῇσι γυναιξὶν ἐν τριταίοις μάλιστα, τοῖσι δὲ νεωτέροισι γίνεται μὲν καὶ ἐν τούτοισι, μᾶλλον δὲ ἐν τοῖς συνεχεστέροισι πυρετοῖσι καὶ ἐν τοῖσι γνησίοισι τριταίοισιν. οἷσι δὲ ἂν ἐν τοιουτοτρόπῳ πυρετῷ κεφαλὴν ἀλγέουσιν ἀντὶ μὲν τοῦ ὀρφνῶδές τι πρὸ τῶν ὀφθαλμῶν φαίνεσθαι ἀμβλυωγμὸς γίνηται, ἢ μαρμαρυγαὶ προφαίνωνται· ἀντὶ δὲ τοῦ καρδιώσσειν ἐν τῷ ὑποχονδρίῳ ἐπὶ δεξιά, ἢ ἐπ' ἀριστερὰ συντείνηταί τι μήτε σὺν ὀδύνῃ μήτε σὺν φλεγμονῇ, αἷμα διὰ τῶν ῥινῶν τουτέοισι ῥυῆναι προσδέχεσθαι ἀντὶ τοῦ ἐμέτου, μᾶλλον δὲ ἐνταῦθα τοῖσι νεωτέροισι τριάκοντα ἐτέων τοῦ αἵματος τὴν ῥύσιν προσδέχεσθαι·

partes quae funt infra praecordia, frigida fuerint, celerius adhuc aderit vomitus. Si vero etiam aliquid biberit, aut comederit circa hoc tempus, multo etiam citius evomet. Ex iis vero qui primo die dolere coeperint, quarto die gravantur magis quam quinto, feptimo vero die liberantur, plurimi vero ipforum dolere incipiunt tertio die, conflictantur autem quinto maxime, liberantur autem nono, aut undecimo die. Quicunque vero quinto die dolere coeperint et alia fecundum rationem priorem ipfis affuerint, quartodecimo evadunt. Fiunt autem haec viris quidem ac mulieribus in tertianis praecipue, junioribus vero fiunt quidem et in his, magis vero in febribus continuis et legitimis tertianis. Quicunque vero in hujusmodi febre caput doluerint, loco autem tenebrofae alicujus ante oculos apparitionis vifus hebetetur, vel quidam fplendores ante oculos videantur: pro oris ventriculi vero morfu in praecordiis aliqua fiat extenfio vel ad dextram partem vel finiftram, neque cum dolore, neque cum inflammatione: his

τοῖσι δὲ τριάκοντα ἔτεσι καὶ γεραιτέροισιν ἧσσον, ἀλλὰ τοὺς ἐμέτους τούτοισι προσδέχεσθαι χρή. καὶ ταῦτα μὲν οὖν ἱκανά. πρὸς τούτοις δ' οὐδὲν ἧττον κἀκείνων μεμνῆσθαι προσήκει τῶν ἐν αὐτῷ βιβλίῳ γεγραμμένων ὑπὸ Ἱπποκράτους· κεφαλῆς δὲ ὀδύναι ἰσχυραὶ καὶ συνεχέες σὺν πυρετῷ. [446] εἰ μέν τι τῶν θανατωδέων σημείων προσγένοιτο, ὀλέθριον κάρτα· εἰ δὲ ἄτερ σημείων τοιουτέων, ὑπερβάλλει ἡ ὀδύνη κ' ἡμέρας, προσεπισκέπτεσθαι χρὴ αἵματος ῥῆξιν διὰ ῥινῶν, ἢ ἄλλην ἀπόστασιν ἐς τὰ κάτω χωρία. ἔστ' ἂν δὲ ἡ ὀδύνη νεαρὰ ᾖ, προσδέχεσθαι χρὴ αἵματος ῥῆξιν διὰ ῥινῶν, ἢ ἐμπύησιν. ἄλλως τε καὶ ἢν ἡ ὀδύνη περὶ τοὺς κροτάφους ᾖ καὶ τὸ μέτωπον. μᾶλλον δὲ χρὴ τοῦ μὲν αἵματος προσδέχεσθαι τὴν ῥῆξιν τοῖσι νεωτέροισι πέντε καὶ τριάκοντα ἐτέων, τοῖσι δὲ γεραιοτέροισι τὴν ἐμπύησιν. καὶ μὲν δὴ κἀν τῷ τῶν περιπνευμονικῶν λόγῳ· οἷσι δ' ἂν ἀποστάσιες, φησὶ, γίνονται ἐκ τῶν περιπνευμονικῶν περὶ τὰ ὦτα, καὶ ἐκπυέουσιν, ἢ ἐς τὰ κάτω χωρία, καὶ συῤῥιγοῦνται, οὗτοι περιγίνονται. εἶτα ἐπιφέρων

ſanguinis fluxus e naribus pro vomitu eſt expectandus. Id magis junioribus xxx annis, minus vero in iis qui jam xxx annos habent et ſeniores ſunt, quum in iis vomitus ſint expectandi. Et haec quidem ſufficiunt. Praeter haec autem et illorum nihilominus meminiſſe oportet quae in eodem libro ſcribuntur ab Hippocrate: *Capitis autem dolores vehementes atque continui cum febre, ſi quidem aliquod ſignum mortale affuerit, valde eſt exitiale. Si vero ſine his ſignis dolor ultra xx diem progrediatur et febris detineat, expectare oportet ſanguinis fluxum e naribus vel alium abſceſſum ad inferiores partes. Sed dum recens dolor fuerit, expectare oportet ſanguinis fluxum per nares, vel ſuppurationem, multoque magis, ſi dolor circa tempora et frontem appareat. Magis vero expectare oportet ſanguinis fluxum in iis qui juniores ſunt xxxv, annis, in ſenioribus vero ſuppurationem.* Et etiam in ſermone de peripneumonicis ita inquit: *Quibuscunque abſceſſus fiunt ex pulmonis morbis circa aures, et ſuppurantur, vel ad inferiora*

ἐρεῖ· ὑποσκέπτεσθαι δὲ χρὴ καὶ τὰ τοιάδε ὧδε· ἢν ὅ τε πυρετὸς ἔχῃ καὶ ὀδύνη μὴ πεπαυμένη ᾖ καὶ τὸ πτύελον μὴ χωρέῃ κατὰ τὸν λόγον, μηδὲ χολώδεες αἱ διαχωρήσεις τῆς κοιλίας, μηδὲ εὔλυτοι καὶ ἄκρητοι γίνονται, μηδὲ οὖρον πολύ τε καὶ κάρτα, καὶ ὑπόστασιν ἔχον πολλὴν, ὑπηρετεῖται δὲ περιεστικῶς ὑπὸ τῶν λοιπῶν σημείων πάντως, τούτοισι χρὴ τὰς τοιαύτας ἀποστάσιας ἐλπίζειν ἔσεσθαι. γίνονται δὲ αἱ μὲν ἐς τὰ κάτω χωρία οἷς ἂν περὶ τὸ μὲν ὑποχόνδριον τοῦ φλέγματός τι ἐγγένηται, αἱ δὲ ἄνω οἷς ἂν τὸ μὲν ὑποχόνδριον λιπαρόν τε καὶ ἀνώδυνον διατελέῃ, δύσπνους δέ τινα χρόνον γενόμενος παύσηται ἄτερ προφάσιος ἄλλης. καὶ μὲν δὴ καὶ περὶ τῶν κατὰ τὰ ὑποχόνδρια οἰδημάτων διαλεγόμενος ὧδέ πως εἶπε· σημαίνει δὲ τὰ τοιαῦτα οἰδήματα ἐν ἀρχῇ μὲν κίνδυνον θανάτου ὀλιγοχρονίου ἔσεσθαι· εἰ δὲ ὑπερβάλλει κ' ἡμέρας ὅ τε πυρετὸς ἔχων καὶ τὸ οἴδημα μὴ καθιστάμενον, εἰς διαπύησιν τρέπεται. γίνεται δὲ τουτέοισι ἐν τῇ α' περιόδῳ καὶ αἵματος ῥύσις διὰ ῥινῶν καὶ κάρτα ὠφελέει. ἀλλ' ἐπανερέσθαι,

loca et ad fistulam perveniunt, isti evadunt. Deinde fubinferens inquit: *Confiderare autem oportet et talia hoc modo. Si febris detinuerit et dolor non ceffaverit et fputum non procefferit fecundum rationem, neque alvi excrementa biliofa fuerint, neque facile diffolubilia et impermixta fuerint, neque urina multa valde et multum habens fedimentum, reliqua autem figna falutem fignificaverint, his oportet et tales abfceffus futuros fperare. Fiunt autem nonnullis quidem ad loca inferiora, quibus aliquid phlegmones affuerit circa praecordia, quibusdam vero in fuperioribus, quibus praecordia et mollia et fine dolore perfeveraverint. Ubi vero aliquod tempus difficilem refpirationem habuerit, absque alia occafione quiefcet.* Quin etiam de oedematibus circa praecordia verba faciens ita inquit: *Significant autem hujusmodi oedemata in principio quidem mortis non multo poft fecuturae periculum; fi vero procefferit ultra xx dies, et febris detinens et oedema non fubfidens ad fuppurationem convertitur. Fiunt autem his in prima periodo et flu-*

μὴ κεφαλὴν ἀλγέουσιν ἢ ἀμβλυωπέουσιν. εἰ γὰρ εἴη τι τοιουτέων, ἐνταῦθα ἂν ῥέ(422)ποι. μᾶλλον δὲ τοῖσι νεωτέροισι πέντε καὶ τριάκοντα ἐτέων τοῦ αἵματος τὴν ῥῆξιν προσδέχεσθαι. καὶ μὲν δὴ καὶ ταῦτα κατὰ τὸ προγνωστικὸν εἴρηται Ἱπποκράτει, δηλωτικὰ τρόπων κρίσεως· ὅσοι δ᾽ ἂν οὖρα λεπτὰ καὶ ὠμὰ οὐρέουσι πολὺν χρόνον, ἢν τὰ ἄλλα ὡς περιεσομένοισι σημεῖα ᾖ, τουτέοισιν ἀπόστασιν δεῖ προσδέχεσθαι εἰς τὰ κάτω τῶν φρενῶν χωρία. ἐν μὲν δὴ τῷ προγνωστικῷ ταῦτα διὰ συντόμων εἴρηται πρὸς αὐτοῦ, τὸν τῆς μελλούσης τρόπον κρίσεως, ὁποῖός τις ἔσοιτο διδάσκοντος· προστίθησι δ᾽ αὐτοῖς οὐκ ὀλίγα κατὰ μέρος κατά τε τὸ προῤῥητικὸν καὶ τὰ τῶν ἐπιδημικῶν, οἷον καὶ ὅτι πρὸ ῥίγεος ἐπισχέσιες τῶν οὔρων, καὶ ὅτι τὰ ἐξέρυθρα ὄμματα αἱμοῤῥαγικά. κατὰ ταὐτὰ δὲ καὶ περὶ τῶν δακρυόντων ὀφθαλμῶν καὶ τῶν μήλων τῶν ἐρυθρῶν καὶ τῆς ῥινὸς αὐτῆς. καὶ μὲν δὴ καὶ ὡς τὸ κάτω χεῖλος σειόμενον ἔμετον ἔσεσθαι προδηλοῖ, καὶ ὡς μετὰ κεφαλαλγίαν κῶμα καὶ κώφωσις ἐξαίφνης γενόμενα παρωτίδων

fluxus sanguinis ex naribus et fortiter juvant. Sed interrogere oportet an doleant capite aut oculi caligent; si quid enim horum affuerit, huc vergit. Magis vero fluxum sanguinis e naribus expectare oportet in iis qui juniores sunt xxxv annis. Et haec quidem etiam in prognosticis ab Hippocrate dicta sunt, indicantia modus secundum quos crisis fit: *Quicunque autem mejunt urinam tenuem ac crudam multo tempore, si quidem alia ipsis signa salubria affuerint, his abscessum expectare oportet ad loca quae sub septo transverso sunt.* Haec quidem in prognosticis breviter dicta sunt ab ipso futurum crisis modum praedocente. Addit vero ipsis multa particulatim et libro praedictionum et epidemiorum, veluti quod urinarum suppressiones ante rigorem, et quod oculi praerubri sanguinis fluxum monstrant. Eodem modo et de oculis lachrymantibus et de malis rubris et de ipsa nare. Ac praeterea quod labrum inferius agitatum futurum vomitum significat, et quod somnus gravis cum dolore capitis et surditas statim adveniens sunt signa

ἐστὶ σημεῖα, καὶ ἄλλα πολλὰ τοιαῦτα κατὰ μέρος, ἃ δυνάμει περιέχεται πάντα διὰ τῶν κατὰ τὸ προγνωστικὸν εἰρημένων. ὅλως γὰρ οὐδὲν ἄλλο χρὴ σκοπεῖν ἐπὶ τοῦ τρόπου τῆς κρίσεως, ἀλλὰ τὴν ῥοπὴν τῆς φύσεως ἣν ἐνεδείξατο σαφῶς ὁ Ἱπποκράτης ἐν τῷ προγνωστικῷ, τοῦτο μὲν καρδιωγμοῦ καὶ ῥίγους μνημονεύσας, ἐφ᾽ ὧν ἔμετος ἔσεσθαι μέλλει, τοῦτο δὲ δυσπνοίας καὶ μαρμαρυγῶν, ἐφ᾽ ὧν αἱμοῤῥαγία διὰ ῥινῶν, ἔτι τε πρὸς τούτοις διοριζόμενος ὑπέρ τε τῶν διαχωρημάτων καὶ τῶν οὔρων, ἐν οἷς φησι· μηδὲ χολώδεες αἱ τῆς κοιλίης διαχωρήσιες, μηδὲ εὔλυτοί τε καὶ ἄκρητοι γίνονται, μήτ᾽ οὖρον πολὺ κάρτα καὶ ὑπόστασιν ἔχον πολλήν. εἰ γὰρ δή τι τούτων γένηται, δῆλον ὡς ἐνθάδε ῥέποι τὸ νόσημα, καὶ διὰ τούτων ἐκκαθαίρεται· μὴ ῥέποντος δὲ ἐνταῦθα καὶ μηκύνοντος περιστικῶς, ἀπόστασιν ἔσεσθαι προσδοκᾶν· τεκμαίρεσθαι δὲ καὶ περὶ τούτων τὴν ῥοπὴν τῆς φύσεως. εἰς μὲν γὰρ τὰ κάτω χωρία φησὶν ἔσεσθαι αὐτοὺς [447] οἷς ἂν περὶ τὸ ὑποχόνδριόν τι φλέγματος ἐγγένηται, τουτέστι τῆς φλογώσεώς τε καὶ

parotidum, et multa hujuscemodi alia particulatim fcribit, quae omnia potentia continentur in iis quae in libro prognofticorum fcribuntur. Summatim enim nihil aliud oportet confiderare in modo crifis praeter naturae inclinationem, quam manifefte oftendit Hippocrates in prognofticis, partim quidem oris ventriculi morfum atque rigorem memorans in quibus vomitus fubfequuturus eft, partim fpirandi difficultatem et oculorum hallucinationes, in quibus profluvium fanguinis e naribus expectatur; ac praeter ifta diftinguens de urinis et alvi excrementis, in quibus inquit: *Neque biliofa fuerint alvi excrementa, neque facile folubilia et impermixta, neque urina multa valde et multum habens fedimentum.* Si quid enim tale fuerit, manifeftum eft quod huc repit morbus, et per ifta expurgatur; quum vero huc non repit et protrahitur morbus cum fignis tamen falubribus, futurum abfceffum expectare oportet. Conjicere autem in his oportet naturae motum. Ad loca fiquidem inferiora futuros abfceffus inquit iis, quibus circa praecordia aliquid phlegmones, id eft inflammationis atque caloris affuerit, quoniam ad inferiora repant ii qui peri-

θερμασίας, ἐπειδὴ κάτω ῥέπουσιν οἱ τὴν περιπνευμονίαν ἐργαζόμενοι χυμοί. σύμπαντα γὰρ τοῦτον τὸν λόγον ὡς ἐπὶ παραδείγματι ἐπὶ τῶν περιπνευμονικῶν ἐποιήσατο. μὴ ῥεπόντων δ' αὐτῶν κάτω τὸ μὲν ὑποχόνδριον λιπαρόν τε καὶ ἀνώδυνον ἔσται διὰ παντὸς, ὁ δὲ ἄνθρωπος δύσπνους ἐπί τινα χρόνον γενήσεται χωρὶς προφάσιος φανερᾶς, καὶ δῆλον ὡς ἄνω τούτῳ τὰς ἀποστάσιας ἀναγκαῖον ἀκολουθεῖν, τουτέστιν εἰς τοὺς περὶ τὰ ὦτα ἀδένας. εὐθὺς δ' ἂν αὐτῷ καὶ τῶν ἄλλων τι σημείων προσγένοιτο τῶν κατ' αὐτὴν τὴν κεφαλὴν συμβαινόντων, οἷον κῶμα καὶ κώφωσις αἰφνίδιός τε καὶ παράλογος καὶ βάρος τῆς κεφαλῆς, ἢ καὶ τῶν κροτάφων, ἤ τι τοιοῦτον ἕτερον. οὐδὲν οὖν λείπει γνώρισμα τρόπου κρίσεως, ἀλλ' εἴρηται πάντα χωρὶς τῶν σφυγμῶν πρὸς Ἱπποκράτους. ἔπεσθαι δ' οἱ πολλοὶ βραχυλογίᾳ παλαιᾷ μὴ γεγυμνασμένοι λείπειν οἴονταί τινα. λέγωμεν οὖν ἡμεῖς αὐτοῖς ἑτέρᾳ λέξει σαφεῖ τὰ αὐτά· τάχα γὰρ ἂν οὕτω γε μαθόντες οὔτ' ἀδύνατον οἰήσονται προγνῶναι τὸν τρόπον τῆς ἐσομένης κρίσεως οὔτε ῥαθυμήσουσι ἔτι περὶ τὴν ἄσκησιν. ὅταν

pneumoniam humores efficiunt, huc fiquidem fermonem veluti ad exemplum in peripneumonicis Hippocrates tranfigit. Ubi vero non repunt ad inferiora, praecordia quidem mollia et fine dolore erunt femper, aeger vero ad aliquod tempus difficilem habebit refpirationem fine occafione manifefta. Et manifeftum quod huic in fuperioribus abfceffus fubfequi eft neceffarium, hoc eft circa glandulas, quae funt poft aures; ftatim enim ipfi et aliquod aliud fignum aderit ex iis quae in ipfo capite accidunt, veluti gravis fomnus et furditas repentina ac praeter rationem, aut gravitas capitis et temporum, aut tale aliquid aliud. Nullum igitur indicium deficit modi futurae crifis, fed omnia ab Hippocrate exceptis pulfibus dicta funt. Multi vero prifcam brevitatem affequi minime confueti quaedam deficere arbitrantur. Nos igitur altero fermone manifefte eadem ipfis dicamus, forte enim fi hoc modo didicerint, neque impoffibile effe arbitrabuntur praecognofcere modum futurae crifis, neque adhuc erunt circa exercitationem fegnes. Quum igitur quod

οὖν, ὅτε κρίσις ἔσται, προγνώσῃς ἐξ ὧν ἔμπροσθεν εἰρήκαμεν, ἐφεξῆς ὁποία τίς ἔσται διορίζεσθαι κατὰ τάδε. πρῶτον μὲν εἰ ὀξὺ καὶ θερμὸν τὸ νόσημα καὶ ἡ κρίσις ἐν ταῖς πρώταις περιόδοις. ἀναγκαῖον γὰρ ἐν ταῖς τοιαύταις κρίσεσιν οὐκ ἀπόστασιν, ἀλλ' ἔκκρισιν ἀπαντῆσαι. δεύτερον δ' εἰ χρόνιον καὶ βραδύ· σὺν ἀποσκήμμασι γὰρ εἰώθασι τὰ τοιαῦτα καθίστασθαι, καὶ μάλισθ' ὅταν οὖρα λεπτὰ καὶ ὠμὰ πολὺν χρόνον οὐρῶσιν. εἰ γὰρ πολλὴν καὶ χρηστὴν ὑπόστασιν ἔχοντα, πεφθῆναι μᾶλλον εἰκὸς κατὰ βραχὺ τὴν νόσον, οὐκ εἰς ἀπόστασιν ὁρμῆσαι. τούτων δὲ διωρισμένων ἐφεξῆς σκεπτέον, εἰ μὲν ἐκκρίσει μέλλει κριθήσεσθαι, πότερον αἱμοῤῥαγία τις, ἢ ἱδρὼς, ἢ ἔμετος, ἢ διαχώρησις ἔσται γαστρός· εἰ δ' ἀποσκήμματι, ποῖον μόριον, ἢ ἄρθρον ὑποδέξεται τὴν ἀπόστασιν. ἐπὶ δὲ τῶν ἐκκρίσει μελλόντων κρίνεσθαι χρὴ διχῶς διορίζεσθαι, τοῖς τε τῆς ἐσομένης τῆς ἐκκρίσεως σημείοις, εἰ παρείη, καὶ τοῖς τῶν ἄλλων, εἰ μὴ παρείη. βεβαιότερον γὰρ ἐλπίσεις τὸν ἑκάστοτε προδηλούμενον τρόπον τῆς κρίσεως, ἂν μηδεὶς τῶν ἄλλων περιέλκῃ. χρὴ τοίνυν ἐμὲ μὲν ἐφ' ἑκάστου τὸν ἴδιον εἰ-

crisis aderit ex iis quae diximus praecognoveris, deinceps qualis futura sit, hoc modo distinguendum est. Primum quidem si acutus et calidus sit morbus, etsi crisis fiat in primis periodis, necesse est enim in talibus crisibus non abscessum, sed excretionem subsequi. Secundo autem loco si diuturnus et tardus, nam hi per abscessus quiescere consueverunt tum praecipue quum urinae tenues et crudae longo tempore exierint. Si enim multae et multum sedimentum habuerint, rationabile est morbum potius paulatim debere coqui, non per abscessum terminari. His praefinitis deinceps considerandum est, siquidem per excretionem debet judicari, numquid profluvium aliquod sanguinis, vel vomitus, vel sudor, vel alvi fluxus erit; si vero per abscessum, quae pars, vel quis articulus abscessum suscipiet. In iis ergo qui per excretionem debent judicari, dupliciter distinguere oportet, et futurae excretionis signis, si affuerint, et aliorum, si non affuerint; certius enim superabis eum qui semper praeostenditur modum excretionis, si nullum te aliud distraxerit. Me igitur oportet proprium uniuscujusque dicere, te

πεῖν, σὲ δὲ ἐπὶ τῶν ἀῤῥώστων μὴ μόνον τοῦτον ὁρᾷν, ἀλλὰ καὶ τῶν ἄλλων ἕκαστον ἐπισκοπεῖν. εἰ γοῦν ἀλόγως γαστὴρ ἐπισχεθῇ, ἢ οὖρα, τῆς κρίσεως ἐγγὺς οὔσης, ἐλπίζειν χρὴ ῥῖγος· εἰ δὲ τοῦτο, διορίζεσθαι πότερον ἱδρὼς ἐπ' αὐτῷ γένοιτο, ἢ ἔμετος, ἢ διαχώρησις γαστρὸς, ἤ τινα τούτων, ἢ πάντα. καὶ πρῶτον μὲν εἰς τὴν τοῦ νοσήματος ἰδέαν ἀποβλέπειν. εἰ γὰρ ἀκριβῶς εἴη περικαὲς, εὐθὺς ἂν καὶ ἡ τοῦ ῥίγους πρόγνωσις βεβαιοτέρα, χολῶδες γὰρ τὸ περικαές. εἴρηται δὲ ἐν τοῖς ἔμπροσθεν ὡς ὁ χυμὸς οὗτος, ἐπειδὰν σφοδρότερον κινηθῇ, ῥῖγος ἐργάζεται. μετὰ δὲ ταῦτα προσεπισκέπτεσθαι, πότερον τῶν οὔρων μόνον, ἢ καὶ τῆς γαστρὸς ἐπισχεθείσης ἐῤῥίγωσαν. εἰ μὲν γὰρ ἀμφοῖν, ἱδρὼς ἐξ ἀνάγκης ἔσται πολύς· εἰ δὲ τῶν οὔρων μόνων, ἐπισκέπτεσθαι χρὴ τὰ κατὰ τὴν γαστέρα, πότερον πλείω τῶν πρόσθεν, ἢ ἐλάττω πρὸ τῆς κρίσεως ἐπῆλθεν. εἰ μὲν γὰρ πλείω, ἐπισημότερον τὴν ἐνταῦθα ῥοπὴν γνωρίζειν, εἰ δὲ ἐλάττω, τὴν εἰς ἱδρῶτας, εἰ δὲ καὶ τὰ τῶν ἐμέτων παρείη σημεῖα, δι' ἀμφοτέρων τῶν κρίσεων ὁ τοιοῦτος κριθήσεται, καὶ ἤτοι μᾶλλον κατὰ τὴν ἑτέραν

vero in aegrotantibus non hoc solum inspicere, sed et singula alia considerare. Si igitur practer rationem alvus supprimitur, vel urina, jam prope crisi existente, rigorem sperare oportet. Si is adveniat, distinguendum est, nunquid sudor post ipsum sequatur, vel vomitus, vel subductio ventris, vel aliqua horum, vel omnia. Et primum quidem ad morbi ideam est inspiciendum. Si enim exquisite ardens fuerit, statim certior erit et rigoris praecognitio; quod enim incendit, biliosum est. Dictum est autem in praecedentibus quod humor iste, quando vehementius movetur, rigorem facit. Post haec autem et illud considerandum est, nunquid urinis tantum, vel etiam alvo suppressa riguit. Si enim ambobus, necessario sudor multus subsequitur: si vero urinis solis, considerare oportet, nunquid alvi excrementa plura quam priora vel pauciora ante crisim exierint; si enim plura, manifestius motus naturae ad hunc locum est agnoscendus, si pauciora, ad sudores. Si vero et vomitus signa affuerint, per has ambas excretiones judicabitur, et vel magis per earum alteram, quae magis praevalebit, vel aeque per utram-

αὐτῶν, ἥτις ἂν ἐπικρατήσῃ μᾶλλον, ἢ ὁμοίως ἑκατέρωθεν, ὅταν ἴσα πως ᾖ τὰ γνωρίσματα. μὴ παρόντων δὲ τῶν ἐμετικῶν σημείων, ἱδρῶτας μόνον προσδέχεσθαι, καὶ μᾶλλον, ἐπειδὴ παραπαίωσιν οἱ κάμνοντες ἐπιδιδόντος τοῦ παροξυσμοῦ καὶ θερμότερα τὰ ἐκτὸς καὶ ἐρυθρότερα γίνεται [448] καί τις ἀτμὸς ἀνίησι θερμὸς, οἷος οὐ πρόσθεν. εἰ δὲ καὶ κυματώδης ὁ σφυγμὸς γίνοιτο καὶ μαλακὸς ἐπισήμως, ἔτι μᾶλλον ἐλπίζειν ἱδρῶτας. ὁ σκληρὸς δὲ σφυγμὸς ἐμέτους μᾶλλον ἢ ἱδρῶτας προδηλοῦν εἴωθεν· ὁ μὲν γὰρ ὑψηλὸς ἁπάσης ἐκκρίσεώς ἐστι γνώρισμα, καθάπερ καὶ ὁ σφοδρός. μέγας δὲ εἴπερ εἴη, τῆς ἔξω κινήσεως μᾶλλον ἢ τῆς ἔσω σημεῖόν ἐστι. διττῆς δ' οὔσης ἑκατέρας, τῆς μὲν ἔξω δι' αἱμοῤῥαγίας καὶ ἱδρώτων, τῆς δ' εἴσω ῥοπῆς διὰ γαστρὸς καὶ στομάχου, κυματώδης μὲν σφυγμὸς ἱδρῶτας, μέγας δὲ ἁπλῶς αἱμοῤῥαγίας προδηλώσει. τῆς δ' εἴσω ῥοπῆς ἐπικρατούσης, ὅταν μὲν ἀπῇ τὰ τῶν ἐμέτων σημεῖα, διαχωρήσει γαστρὸς ὁ τοιοῦτος κριθήσεται· παρόντων δὲ δι' ἐμέτων μᾶλλον. εἰ δὲ καὶ ταῦτα παρείη, καὶ ἡ γαστὴρ ἐπισήμως ὑπίῃ, δι' ἀμφοτέρων. ἀνώμαλος δὲ

que, quum aequalia quodammodo indicia affuerint. Si vero ſigna vomitus non affueriut, ſolos ſudores expectare oportet, et magis, quum aegrotantes deliraverint increscente acceſſione, et partes exteriores calidiores ac rubidiores extiterint et vapor quidam calidus exeat, qualis antea non aderat. Quod ſi pulſus undoſus fiat et inſigniter mollis, adhuc amplius ſudores expectare oportet. Durus autem pulſus vomitus magis quam ſudores praeoſtendere ſolet, altus enim omnis excretionis indicium eſt, ſicuti et vehemens. Si vero magnus fuerit, motus ad exteriora potius quam ad interiora ſignum exiſtit. Quum vero uterque duplex ſit, hic quidem qui ad exteriora per fluxum ſanguinis atque ſudores, alter autem ad interiora per alvum et ſtomachum, undoſus quidem pulſus ſudores, magnus autem ſimpliciter fluxum ſanguinis praeoſtendet. Motu vero ad interiora ſuperante, quum non aderunt ſigna vomituum, per ventris excrementa criſis fiet; ſi vero affuerint, per vomitum potius; ſi vero ea affuerint et venter inſigniter ſubducatur, per utraque fiet

ὁ σφυγμὸς ἐπὶ τῶν πλείστων μὲν γίνεται κρίσεων, καὶ μάλιστα ἐπειδὰν ἀγωνιστικόν τι καὶ περικινδυνευτικὸν ἔχωσιν. πολὺ δὲ μᾶλλον τῶν χολωδῶν εἰς τὴν γαστέρα συῤῥεόντων χυμῶν, ἅμα τῷ καὶ τὰ ἄλλα παρεῖναι τῶν ἐμέτων σημεῖα τὰ πρὸς Ἱπποκράτους εἰρημένα. καὶ οἱ σφυγμοὶ παντοίως ἀνώμαλοι γίνονται δακνομένου καὶ βαρυνομένου τοῦ στομάχου. ἀλλὰ τὰ μὲν ἀπὸ τῶν σφυγμῶν ἢ ὡς οὐ γινώσκων ὁ Ἱπποκράτης ἢ ὡς οὐκ ἀξιόλογα νομίζων οὐκ ἐξειργάσατο· τὰ δὲ τῶν ἐμέτων σημεῖα καρδιωγμοί τέ εἰσιν ἅμα πόνῳ κεφαλῆς καὶ (423) σκοτόδινοι σὺν τοῖς προφαινομένοις τῶν ὄψεων ὀρφνώδεσι καὶ τῷ κάτω χείλει σειομένῳ καὶ πολλῷ καὶ λεπτῷ παραῤῥέοντι σιέλῳ. πάντα δὲ ταῦτα συμπίπτει χολώδους τε καὶ δακνώδους χυμοῦ κατά τε τὴν γαστέρα καὶ τὸν στόμαχον ἠθροισμένου καὶ δάκνοντός τε ἅμα τὸ στόμα τῆς γαστρὸς, ὃ δὴ καρδίαν ἐκάλουν οἱ παλαιοὶ, καὶ σὺν αὐτῷ καὶ τὸν στόμαχον ὅλον ἔσω καὶ κάτω κατασπῶντος, ὅθενπερ καὶ τὸ χεῖλος αὐτοῖς σείεται καὶ σίελον παραῤῥεῖ λεπτόν. ὀρφνώδη δέ τινα πρὸ τῶν ὀφθαλμῶν φαίνονται καὶ ἰλιγγιῶσι καὶ σκο-

crifis. Inaequalis autem pulfus in pluribus quidem crifibus fit, et praecipue, quum non fiunt fine pugna et periculo: multo vero magis quum biliofi humores ad ventriculum confluunt, perftantibus etiam aliis vomitus fignis, quae fcripfit Hippocrates, tunc et omnino pulfus fiunt inaequales, quum ftomachus jam mordetur ac gravatur. Sed figna ex pulfibus fumpta Hippocrates, vel quia non noverat, vel quia non magni momenti exiftimavit, idcirco non eft exequutus. Vomituum autem figna funt oris ventriculi morfus, fimul cum dolore capitis, et vertigines obortae, cum iis quae objiciuntur oculis, tenebrofis et cum agitatione labri inferioris et multo ac tenui fputo defluente. Haec vero omnia accidunt quum biliofus et mordax humor in ventre ac ftomacho collectus fuerit et ventriculi os momorderit, quod etiam prisci cor nominabant, et cum ipfo totum ftomachum intus atque infra diftraxerit, unde et labrum in ipfis agitatur, et fputum tenue defluit et tenebrofa quaedam oculis obverfantur et hallucinantur et vertiginem patiuntur

τοδινιῶσι καὶ κεφαλαλγοῦσι, ἀναθυμιωμένου τινὸς ἐκ τοῦ χολώδους χυμοῦ, καὶ προσέτι τῇ κατὰ νεῦρα συμπαθείᾳ. τὰ δὲ τῶν αἱμοῤῥαγιῶν ἴδια μαρμαρυγαὶ μὲν, ὅτι ξανθὸς ὁ χυμὸς, ἀμβλυωγμοὶ δὲ, ὅτι πολὺς ἀθρόως ἀναφερόμενος ἐμφράττει τὰς ὁδοὺς τοῦ πνεύματος. οὕτω δὲ καὶ οἱ ὀφθαλμοὶ δακρύουσι τῷ πλήθει τοῦ ῥεύματος, ὥσπερ κἀν ταῖς ὀφθαλμίαις. κατὰ δὲ τὸν αὐτὸν τρόπον ἐρυθροὶ φαίνονται σὺν τοῖς μήλοις ἐνίοτε καὶ ταῖς ῥισίν. ἴδιον δὲ τῶν αἱμοῤῥαγιῶν καὶ ἡ τῶν ὑποχονδρίων σύντασις, οὐ μετ᾽ ὀδύνης. ἔστι γὰρ καὶ τοῦτο τῆς ἄνω ῥοπῆς τοῦ αἵματος οὐ σμικρὸν γνώρισμα, καθάπερ οὖν καὶ ἡ δύσπνοια· καὶ γὰρ ἥδε διεξερχομένου τοῦ αἵματος εἰς τὸν θώρακα γίνεται, σὺν ὀδύνῃ δὲ εἴπερ ἐκταθείη τὸ ὑποχόνδριον, οὐχ αἱμοῤῥαγίας ἐσομένης σημεῖα, ἀλλὰ φλεγμονῆς τινος αὐτόθι γεγενημένης ἐστὶ σύμπτωμα. καὶ μὲν δὴ καὶ τὸ τῆς κεφαλῆς ἄλγημα, κἂν εἰ κοινὸν ἐμέτων τε καὶ αἱμοῤῥαγιῶν εἴη σημεῖον, ἀλλά τοι κἀνταῦθα τὸ μὲν οἷον δακνῶδες ἐμέτου, τὸ δὲ οἷον βαρὺ καὶ διατεῖνον καὶ σφύζον καὶ

et caput dolent, expirante rem aliquam humore biliofo, et praeterea facta in nervis fympathia. Propria vero figna profluvii fanguinis quidam fulgoris motus oculis apparentes, quoniam humor eft flavus, hebetudines autem quoniam multus et totus fimul elatus ad fuperiora fpiritus meatus obfervat. Ita autem et oculi lachrymantur ob fluxus multitudinem, quod etiam accidit in inflammationibus oculorum. Eodem modo rubidi aliquando videntur cum malis nonnunquam et naribus. Proprium vero fignum fanguinis fluxus e naribus eft etiam praecordiorum tenfio fine dolore, nam et hoc non parvum indicium eft fanguinis ad fuperiora tendentis, ficuti etiam difficultas anhelitus, nam et haec fanguine transeunte in thoracem fit. Si vero praecordia cum dolore extendantur, non fluxum fanguinis futurum, fed aliquam ibi adeffe inflammationem fignificant. Sed et dolores capitis, quamvis commune fignum exiftant vomituum et fluxus fanguinis, qui tamen velut mordaces funt, vomituum, qui vero quodammodo gravantes atque extendentes pulfantesque et calidi, fanguinis fluxum proprie figni-

θερμὸν αἱμοῤῥαγίας ἴδιον. οὕτω δὲ καὶ τῶν κατὰ τὰ ὑποχόνδρια σπλάγχνων αἱ φλεγμοναὶ τῶν αἱμοῤῥαγιῶν εἰσιν αἴτιά τε ἅμα καὶ σημεῖα, μέλλοντός γε κριθήσεσθαι τοῦ νοσήματος ἐκκρίσεσιν. εἰ δὲ τὸ μὲν ἀνάπαλιν αἱμοῤῥαγοῖ, οὐκ ἀγαθόν ἐστιν. τὸ δὲ κατ' ἴξιν ἀγαθὸν, ὡς Ἱπποκράτης λέγει καὶ ἡ πεῖρα διδάσκει, ῥᾷστον ἤδη σοι καὶ τὸν αἱμοῤῥαγήσοντα προειπεῖν μυκτῆρα, ἀφορμὴν τῆς αἱμοῤῥαγίας ἐξευρόντα. δεξιὸν μὲν γὰρ ὑποχόνδριον ἐκ δεξιοῦ μυκτῆρος ἀγαθὴν ἐπιφέρει τὴν κρίσιν, ἀριστερὸν δὲ ἐξ ἀριστεροῦ. μεμάθηκας δ' ἔμπροσθεν ἤδη τά τε τῶν κακῶν καὶ τὰ τῶν ἀγαθῶν κρίσεων σημεῖα. [449] τί δὴ οὖν ἔτι χαλεπὸν εἰπεῖν τὸν αἱμοῤῥαγήσοντα μυκτῆρα, καὶ τοῦ μέρους τοῦ πεπονθότος ἀκριβῶς γνωρισθῆναι δυναμένου, καὶ τοῦ τῆς κρίσεως ἤθους οὐκ ἂν λαθόντος καὶ τῶν αἱμοῤῥαγικῶν σημείων ἐναργῶς φαινομένων; ἐπὶ τούτοις ἅπασι καὶ τὰ παρὰ τῆς ἡλικίας καὶ τῆς ὥρας καὶ τῆς χώρας καὶ τῆς φύσεως τοῦ κάμνοντος ἱκανὰ προδηλοῦν τὴν ἐσομένην αἱμοῤῥαγίαν. αἱμοῤῥαγίας μὲν δὴ καὶ ἐμέτων ἀκριβῆ τε καὶ ἴδια τὰ γνωρίσματα, δευτέρων δ' ἐπὶ τούτοις τῶν ἱδρώτων. εἰ δέ γε διὰ γαστρὸς κρίσις ἔσεσθαι μέλλει, πρό-

ficant. Sic etiam viscerum in praecordiis exiſtentium inflammationes cauſae ſunt una ac ſigna ſanguinis fluxuum, quando morbus per excretionem debet terminari. Quod ſi ad latus diverſum fluere non eſt bonum, ſecundum directum vero eſt bonum, ut docet Hippocrates et experientia monſtrat, jam tibi facillimum eſt narem ex qua fluxurus eſt ſanguis praedicere, ubi cauſam jam fluxuri ſanguinis inveneris. Dextra enim praecordia ex dextra nare bonam criſim afferunt, ſiniſtra vero ex ſiniſtra. Didiciſti vero prius et bonarum et malarum criſium ſigna. Quid igitur difficile eſt narem ex qua profluet ſanguis praenoscere, quum partem affectam poſſis exquiſite dignoscere, et criſis morem non ignores, et ſigna quae fluxum ſanguinis indicant, ſint evidenter manifeſta? Praeter haec omnia et aetas et tempus anni et regio et aegrotantis natura futurum ſanguinis fluxum poſſunt manifeſtare. Sanguinis igitur fluxus et vomitus propria et manifeſta ſunt ſigna, poſt haec vero ſudorum. Si vero per excretionem alvi criſis ſit ſub-

δῆλον μὲν οὐδὲν οὕτως οὐδὲ ἴδιον, ἀλλ' ἐκ τοῦ παρεῖναι μὲν τὰ τῆς κρίσεως σημεῖα, μὴ παρεῖναι δὲ τῶν ἐμέτων, ἢ τὰ τῆς αἱμοῤῥαγίας, ἢ τὰ τῶν ἱδρώτων, ἔνεστι συλλογίσασθαι. καίτοι κἂν εἰ μηδὲν ἐκείνων παρείη, οὔπω τοῦτο μόνον, ἀλλὰ καὶ δὴ αἱμοῤῥοΐδος ἐγχωρεῖ γενέσθαι τὴν κρίσιν, ἢ γυναιξὶν ἐπιμηνίων, οὐ μὴν ἀδύνατον οὐδὲν διορίζεσθαι. βάρος μὲν γὰρ ἐπίσημον ὀσφύος καὶ ἄλγημα καὶ τάσις ἐνταῦθα προηγεῖται τῶν ἐπιμηνίων. αἱμοῤῥοΐς δὲ οὐ πᾶσι σύνηθές ἐστιν, ὅσοις οὖν ἐστι, τούτοις μόνοις οὐκ ἄν τις ῥᾳδίως διορίσειε. τοῖς δ' ἄλλοις ἅπασιν, ἐπειδὰν μὲν παρῇ πέψεώς τε καὶ κρίσεως σημεῖα, μὴ παρῇ δὲ ἐμέτων ἢ αἱμοῤῥαγίας ἢ ἱδρώτων, ἐκταραχθήσεται πάντως ἡ γαστήρ. οὕτω μὲν δεῖ διακρίνειν ἴδιά τε καὶ κοινὰ τρόπων κρίσεως γνωρίσματα τῶν ἐκκρίσει δηλονότι μελλόντων κριθήσεσθαι νοσημάτων. εἰ δὲ εἰς ἀπόσκημμα τρέποιτο, κοινὰ μὲν ἅπαντα γνωρίσματα, σωτηρίως τοῦ κάμνοντος ἔχοντος, τὸ μήτε λύεσθαι τὸ νόσημα μήτε οὖρον πολὺ καὶ πολλὴν ὑπόστασιν ἔχον, ἀλλ' ὠμὸν καὶ λεπτὸν

ſequutura, manifeſtum quidem nullum eſt ſignum nec proprium, ſed ex eo quod adſunt quidem criſis ſigna, deſunt autem vomituum, vel fluxus ſanguinis, vel ſudorum colligere licet. Quanquam etiamſi nullum horum ſignorum adſit, nondum hoc tantum, ſed etiam per haemorrhoidas criſes fieri contingit et mulieribus per menſtrua. Non tamen eſt impoſſibile omnino diſtinguere. Gravitas enim lumborum effatu digna et dolor et tenſio hic menſtrua antecedit. Haemorrhoides vero non omnibus conſuetae ſunt, quibus autem ſunt conſuetae, in his ſolis non facile quis diſtinguet. Aliis autem omnibus, quando aſſuerint ſigna coctionis et criſis, vomitus vero ſigna non aſſuerint, vel fluxuum ſanguinis, vel ſudorum, omnino venter perturbabitur. Ita quidem diſtinguere oportet tum propria tum communia modorum criſium indicia, in hisce ſcilicet morbis qui per excretiones judicandi ſunt. Si vero ad abſceſſus convertantur, communia quidem omnium indicia ſunt, ſalutariter ſe habente aegro, quod neque morbus ſolvatur, neque urina multa et multum habens ſedimentum, ſed cruda et tenuis

φαίνεσθαι· τὰ δ' ἴδια τῶν μὲν μὴ λίαν κεχρονικότων, εἰ δυσπνούστερος ὁ κάμνων ἐξαίφνης γινόμενος ἀποπαύσαιτο μὲν ἐν τάχει τῆς δυσπνοίας, διαδέξαιτο δ' ἂν αὐτὸν ὀδύνη, καὶ βάρος τῆς κεφαλῆς καὶ κῶμα καὶ κώφωσις, εἰς τοὺς ὑπὸ τοῖς ὠσὶν ἀδένας ἀνάγκη τούτῳ γενέσθαι τὴν ἀπόστασιν. εἰ δ' εἴη πολυχρόνιον ἤδη τὸ νόσημα, καὶ μήτε τούτων παρείη μηδὲν, ἐμφαίνοιτο δέ τινι τῶν κάτω χωρίων ἢ βάρος, ἢ τάσις, ἢ φλόγωσις, ἢ ὀδύνη, κάτω τούτῳ τὴν ἀπόστασιν ἔσεσθαι προσδοκᾷν. παράδειγμα δ' ἑκατέρας τῆς ἀποστάσεως ἓν νόσημα ποιησάμενος ὁ Ἱπποκράτης ἐν τῷ προγνωστικῷ τοῖς δυναμένοις συνορᾷν τὸν λόγον ἐδίδαξε καὶ ὡς χρὴ καθόλου περὶ πασῶν ἀποστάσεων συλλογίζεσθαι, διό μοι κἀγὼ δοκῶ καταπαύειν ἐνταῦθα τὸν ἐνεστῶτα λόγον. εἰ γάρ τις τοῖς ὑφ' Ἱπποκράτους εἰρημένοις προσθεὶς ταυτὶ τὰ ἡμέτερα μήπω τεχνικὸς γέγονεν, ἢ προγνωστικὸς κρίσεων, ἐν τῷ μετὰ τούτου συγγράμματι, τελευταίῳ τῆς προκειμένης ἡμῖν ἐσομένῳ πραγματείας, ἐλπίζω τὸ λεῖπον αὐτῆς ἐπιμαθήσεσθαι, τοῖς μὲν γὰρ συνετοῖς, ἐξαρκεῖ καὶ ταῦτα καὶ οὐδὲν ἔτι τετάρτου λόγου προσδεῖ.

appareat; propria vero, ubi morbus non fuerit valde diuturnus, fi fubita difficultas refpirationis laboranti fuperveniens mox quiescat, eamque gravitas capitis ac dolor fubfequatur et gravis fomnus ac furditas, huic in glandibus poft aures neceffe eft abfceffus fieri. Si vero morbus jamdiu duravit, neque ullum ex his fignis affuerit, fed in aliquo ex locis inferioribus vel gravitas, vel tenfio, vel inflammatio, vel dolor apparuerit, huic abfceffus ad partes inferiores eft expectandus. Exemplum vero utriusque abfceffus ex uno morbo affumens Hippocrates in prognoftico, qui poffunt ejus fermonem diligenter infpicere edocuit quo pacto oporteat de omnibus abfceffibus ratiocinari. Quare mihi vifum eft hoc in loco facere praefentis fermonis finem. Si quis enim dictis ab Hippocrate haec quae modo fcripfimus addiderit, nondum vero artem habet praenoscendi crifes, in libro fequenti qui ultimus erit propofitae tractationis fpero ipfum id quod deficit cogniturum; prudentibus enim et haec poffunt fufficere, neque quarto egent tractatu.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΚΡΙΣΙΜΩΝ ΗΜΕΡΩΝ ΒΙΒΛΙΟΝ Α.

Ed. Chart. VIII. [450.] Ed. Bas. III. (423.)

Κεφ. α'. Τῶν νοσημάτων αἱ λύσεις, ὅσαι μὴ κατὰ βραχὺ μειωθέντων, ἀλλ' ἐξαίφνης παυσαμένων γίνονται, δέονται πάντως, ἵν' ὦσι πισταὶ, δαψιλοῦς τινος ἐκκρίσεως, ἢ ἀποστάσεως οὐκ ἀφανοῦς, ὡς ὅσα γε χωρὶς τούτων ἐῤῥαστώνησαν, ὑποτροπιάζειν φιλεῖ. προσέχειν οὖν χρὴ τὸν νοῦν ἀκριβῶς, καὶ διὰ φυλακῆς ἁπάσης ἔχειν τὸν ἄῤῥωστον, μηδὲν ὧν τοῖς πιστῶς ὑγιασθεῖσι συγχωροῦμεν ἐπιτρέποντες πράττειν, μήτ' ἐν ἐδέσμασιν, ἢ πόμασι, μήτ' ἐν λουτροῖς, μήτε κινήσεσιν, ἢ ὅλως ἔν τισι τῶν ἄλλων. εἰ μὲν γὰρ μικρὸν εἴη τὸ ῥαστωνη-

GALENI DE DIEBVS DECRETORIIS LIBER I.

Cap. I. Quo solutiones morborum qui non paulatim imminuti fuerunt, verum subito finierunt, fidae sint, excretio quaedam copiosa vel abscessus insignis requiritur; nam qui morbi citra haec quieverunt, in iis recidiva timenda est. Quare animum diligenter adhibere convenit, aegrumque in omni custodia tenere, nihil eorum, quae iis qui fideliter sanati sunt, vel in cibo, vel in potu, vel balneis, vel motu, vel denique in aliis quibuslibet concedimus, agere ipsum permittentes. Si namque morbus qui quievit,

σαν νόσημα, τάχα ἂν ἐφ᾽ οὕτως ἀκριβεῖ διαίτῃ κατασταίη παντάπασιν, ὡς μηκέτ᾽ αὖθις ἐπανελθεῖν· εἰ δέ τι τῶν καὶ κοηθεστέρων, ἐπανέλθοι μὲν ἂν καὶ οὕτω διαιτωμένων, ἀλλ᾽ οὐχὶ σὺν ἐσχάτῳ κινδύνῳ. ἀμεληθὲν δὲ καὶ παροφθὲν ὡς πιστῶς λελυμένον πολὺ χαλεπώτερον ἢ ἐξ ἀρχῆς ἐπιφαίνεται. χρὴ τοίνυν, εἰ μέλλοι βεβαίως παύεσθαι μέγα τι καὶ ἰσχυρὸν νόσημα, προηγεῖσθαι τῆς λύσεως αὐτοῦ τὰ πρὸς Ἱπποκράτους ὀνομαζόμενα λυ(424)τήρια σημεῖα, τοῦτο μὲν ἱδρῶτας χρηστοὺς δι᾽ ὅλου τοῦ σώματος γενομένους, ἢ οὔρων πλῆθος, ἢ διαχωρημάτων, ἢ ἐμέτων, τοῦτο δ᾽ αἱμοῤῥαγίαν ἐκ ῥινῶν, ἤ τινα ἄλλην αἵματος κένωσιν, οἷον ἐξ αἱμοῤῥοΐδων, ἢ ὑστερῶν, τοῦτο δ᾽ εἰς τοὺς ὑπὸ τοῖς ὠσὶν ἀδένας, ἢ εἰς ἄλλό τι τῶν ἀκύρων μορίων, ἢ ἄρθρων ἀπόσκημμα. ὅσοις δὲ μηδενὸς τῶν τοιούτων σημείων ἐπιφανέντος ἔδοξε πεπαῦσθαι τὸ νόσημα, [451] περὶ τούτων ὁ πάντα θαυμαστὸς Ἱπποκράτης ἑνὶ μὲν καθόλου λόγῳ τόνδε τὸν τρόπον ἀπεφήνατο· τὰ ἀσήμως ῥαστωνήσαντα φιλυπόστροφα· κατὰ μέρος δὲ διά τε

exiguus fuerit, forſan ob tam exactam victus rationem prorſus ſubſederit, ut poſtea nunquam revertatur; ſi vero malignior exiſtat, etiam tunc quum hoc vivendi modo uſus fueris redibit, non tamen cum ſummo discrimine. At ſi neglexeris parumque ſtudioſe animum advertas tanquam fideliter ſoluto, multo gravior quam a principio evadet. Itaque morbi cujusdam magni et vehementis ſolutionem firmam ſigna, quae ſolutoria vocat Hippocrates, praecedere oportet, partim ſudores bonos ex toto corpore manantes, vel urinarum copiam, vel alvi recrementorum, vel vomituum, partim ſanguinis ex naribus profuſionem, vel aliam quandam ejus evacuationem, velut ex haemorrhoidibus fluorem, vel ex utero, partim in glandulis quae auribus ſubjacent, abſceſſus, aut in alia quadam ignobili parte, aut in articulis. Caeterum quibus nullo hujusmodi ſigno apparente morbus finiſſe videtur, de his Hippocrates undequaque admirabilis communi quidem ſermone hunc in modum pronunciavit: *Quae ſine ſignis finita ſunt fere rever-*

τῶν ἀφορισμῶν αὐτῶν καὶ διὰ τοῦ προγνωστικοῦ γράμματος· οὐχ ἥκιστα δὲ καὶ διὰ τῶν ἐπιδημιῶν ἐδίδαξε τίνα μὲν ὀλέθρια τῶν ὑποστρεφόντων ἐστὶ, τίνα δ' αὐτῶν τούτῳ μόνον ἁπλῶς ὑποστρέφει, χωρὶς ὀλέθρου, τίνα δὲ καὶ δυνατὸν ἡμῖν ἐστιν ἐξιᾶσθαί τε καὶ κωλῦσαι παλινδρομῆσαι. περὶ μὲν δὴ τούτων ἐν ἑτέροις ὑπομνήμασιν ἐξηγούμεθα τὴν γνώμην αὐτοῦ· περὶ δὲ τῶν ἅμα τοῖς λυτηρίοις σημείοις παυσαμένων, ἃ δὴ καὶ κεκρίσθαι λέγεται, νῦν ἡγοῦμαι χρῆναι διελθεῖν, ἀναγκαίων ὄντων γινώσκεσθαι τοῖς μέλλουσιν περὶ κρισίμων ἡμερῶν ἐπίστασθαί τι χρηστόν. ἡγεῖται γὰρ ἤδη τῶν ἐν τούτοις ἐκκρίσεων ἢ ἀποστάσεων οὐ μικρὰ ταραχὴ κατὰ τὸ τοῦ νοσοῦντος σῶμα, πολλάκις μὲν ἐξαιφνίδιον ἢ δυσπνοοῦντος, ἢ παραπαίοντος, ἢ σκοτοδινιῶντος, ἢ μαρμαρυγὰς ὁρῶντος, ἢ δακρύοντος, ἢ τοὺς ὀφθαλμοὺς ἐρυθροὺς ἴσχοντος, ἢ τοὺς κροτάφους βαρεῖς, ἢ τὸν τράχηλον ἐπώδυνον, ἐνίοτε δ' ἤτοι τὴν κεφαλὴν ἀλγοῦντος ἢ ὀρφνῶδές τι τῶν ὀφθαλμῶν προφαίνεσθαι νομίζοντος, ἢ καρδιώσσοντος, ἢ τὸ κάτω χεῖλος οἱονεὶ κλονούμενόν τε καὶ εἴσω σπώμενον ἔχοντος, ἢ ῥίγει

tuentur; membratim vero in aphorismis et opere prognoſtico, nec minus in epidemiis perdocuit quorumnam recidiva exitialis ſit, quorum vero ſimpliciter fiat ſolum recidiva ſine morte; item quae nobis curare licet et prohibere, ne revertantur. De his ſane in aliis commentariis ſententiam ipſius explicavimus. At nunc de iis morbis qui ſimul cum ſignis ſolutoriis deſierunt, qui ſane et judicati eſſe dicuntur, verba facienda eſſe cenſeo illis qui boni quippiam de decretoriis diebus intellecturi ſunt cognitu neceſſaria. Etenim nunc in his excretiones, vel abſceſſus non mediocris praecedit in aegri corpore perturbatio. Hic ſiquidem frequenter ſpiritum ſubito difficilius trahit, vel delirat, vel caliginem, vel ſplendores ob oculos verſari putat, vel lachrymas fundit, vel oculos rubentes habet, vel tempora gravia, vel in cervice dolores percipit, interim vel capite dolet, vel nigra quaedam, ſeu obſcura oculis offundi queritur, vel cardiogmo laborat, vel inferius labrum quaſi tremulum ac intro contractum habet, vel rigore vehementi conquaſſatur.

Ed. Chart. VIII. [451.] Ed. Baf. III. (424.)
σφοδρῷ τινασσόμενον· καὶ μὲν δὴ καὶ ὑποχόνδριον ἀνασπᾶται πολλοῖς, καὶ δυσφοροῦσι καὶ ἀναπηδῶσι καὶ ψυχρὸν αἰτοῦσι καὶ διακαίεσθαί φασιν ἐπισημότερον ἢ πρόσθεν. ἐνίοις δ' αὐτῶν καὶ ὁ παροξυσμὸς πρωϊαίτερος ἄρχεται καὶ μακρότερος καὶ σφοδρότερος γίνεται καὶ κῶμα συνεδρεύει, καὶ ἄλλο τι καὶ ἄλλο σύμπτωμα, καὶ δὴ καὶ θεάσασθαι τοὺς παρόντας ἅπαντας ἔστιν ἐν μεγίστῳ τηνικαῦτα καθεστῶτας φόβῳ καὶ λεγόντων ἀκοῦσαι πάρεστιν ὡς οὐδὲν ὁ κάμνων ἀποδεῖ τῶν ἐν δικαστηρίῳ περὶ θανάτου κρινομένων. ὅθεν οὐδὲ παραγεγονέναι μοι δοκοῦσιν ἔνιοι τῶν ἰατρῶν οὐδεπώποτε τοιαύταις ταραχαῖς ἀῤῥώστων, ἢ οὐκ ἂν ἐζήτουν οὔτε τὸ σημαινόμενον ὑπὸ τοῦ τῆς κρίσεως ὀνόματος οὔτ' εἰ δυνατὸν ὑπάρχει τὸ πρᾶγμα. πότερον γὰρ ὡς οὐ γίνονταί τινες ἀθρόαι λύσεις ἐν νόσοις μετά τινος ἐκκρίσεως ἢ ἀποστάσεως ἀμφισβητοῦσιν, ἢ τοῦτο μὲν ὁμολογοῦσιν ἑωρακέναι, τὰ δὲ ἄλλα συμπτώματα τὰ μικρῷ πρόσθεν εἰρημένα συνεδρεύειν αὐταῖς ἀγνοοῦσιν; ἢ καὶ ταῦτα γινώσκοντες οὔ φασι χρῆναι καλεῖν τὸ γινόμενον κρίσιν; εἰ γὰρ δὴ τοῦτο, περὶ ὀνόματος, οὐ περὶ πράγματος

Quinetiam plerisque hypochondrium attrahitur, iidem implacidi sunt, exiliunt, frigidam expetunt et uri se magis quam antea dicunt. Nonnullis ipsorum accessio quoque maturior incipit et longior vehementiorque evadit. Ad haec cŏma aut aliud quoddam atque aliud symptoma occupat. Atque hic jam universos qui adsunt in metu esse maximo videre licet, audireque dicentes quod aeger nihil ab iis, qui in foro de morte judicantur differat. Unde mihi quidam medicorum ne adfuisse quidem hujusmodi aegrotantium perturbationibus videntur, vel non inquirerent quid judicationis vocabulo significaretur, neque an res ita fieri posset, vel minus. Utrum enim morborum quasdam subitas solutiones cum excretione aliqua vel abscessu fieri dubitant, an hoc quidem vidisse se profitentur, alia vero symptomata, quae paulo ante recensui, adesse ipsis ignorant? An haec quoque intelligunt, non autem id quod accidit judicationem appellandam esse praedicant? quod si est, non de re, sed de nomine disceptatio est. Nam fateri non cognoscere

ἀμφισβητοῦσιν· ὡς τό γε μήθ᾽ ὅτι γίνονταί τινες ἐξαιφνίδιοι περὶ τὸν νοσοῦντα ταραχαὶ, καρδιώσσοντα καὶ ἀναπηδῶντα καὶ παραπαίοντα καὶ τἄλλα τὰ τοιαῦτα πάσχοντα, μήθ᾽ ὅτι μικρὸν ὕστερον ἐπ᾽ αὐταῖς, ἢ ἱδρῶτος, ἢ αἱμοῤῥαγίας, ἤ τινος ἑτέρου τοιούτου γενομένου, λύσις ἀσφαλὴς ἠκολούθησε γινώσκειν ὁμολογεῖν ἢ φιλονεικίας, ἢ ἀμαθίας ἐσχάτης οὐδὲν ἀποδεῖ· οὐ γὰρ δὴ τῶν σπανίως γινομένων τὰ τοιαῦτά ἐστιν, ἀλλὰ τῶν ὁσημέραι φαινομένων. ἡμεῖς μὲν δὴ τὴν ὀξεῖαν οὕτως ἐν νοσήματι ταραχὴν ὀνομάζομεν κρίσιν, καὶ τελευτᾷν γε αὐτὴν τὰ πολλὰ μὲν εἰς σωτηρίαν, ἔστι δ᾽ ὅτε καὶ εἰς ὄλεθρον τοῦ κάμνοντος φαμέν. εἰ δέ τις ἄλλό τι καὶ οὐ τοῦτο τὴν κρίσιν εἶναι λέγων, ἔπειτ᾽ ἀμφισβητεῖ τε καὶ καταβάλλει τὸν λόγον, τὴν οἰκείαν ὑπόνοιαν ὁ τοιοῦτος, οὐχ ἡμᾶς ἐξελέγχει. βέλτιον δ᾽ ἦν ἄρα τί ποτε ἐκ τῆς προσηγορίας δηλοῦται γνόντας περὶ πράγματος αὐτοῖ ποιεῖσθαι τὸν λόγον. ἀλλὰ τὴν μὲν τούτων ἀμαθίαν τε καὶ φιλονεικίαν οὐδ᾽ ἂν αὐτὸς ὁ Ζεὺς ἐξιάσαιτο, καί μοι καὶ ταῦτα πλείω τοῦ δέοντος εἴρηται πρὸς αὐτούς. ὅσοις δ᾽ ἐστὶ

turbationes quasdam fubitas oboriri aegro cardiogmo laboranti, vel exilienti, defipienti, aliaque id genus patienti, tum paulo poft in eis vel fudore, vel fanguinis profluvio, vel alio quodam fimili eveniente, fecuram morbi folutionem confequutum effe, hoc vel a contentione, vel a dementia extrema nihil diftat, fiquidem haec non inter ea numerantur quae raro contingunt, fed quae potius quotidie apparent. Nos fane turbationem in morbo adeo fubitam crifim appellamus, atque terminari ipfam plerumque ad falutem, interim ad exitium aegrotantis, affirmamus. Si porro quis aliud quippiam, non hoc judicium effe dicat, et deinde contentiofus fermoni meo obftrepat, is opinionem fuam, non me reprehendit. Praeftabat igitur fcientes quid tandem fibi velit ipfum vocabulum de re fermonem eos inftituere. Sed horum infcitiae ac contentioni ne Aesculapius quidem ipfe mederi poffit. Atque haec mihi plura quam decebat

τῶν ἔργων τῆς τέχνης φροντὶς, ἐκείνοις ἤδη διαλέξομαι περὶ τοῦ προτεθέντος ἐν τῷδε τῷ γράμματι σκέμματος.

Κεφ. β΄. [452] Αἱ γὰρ δὴ κρίσεις αὗται γίνονται μὲν ἐν πάσαις ἡμέραις, ἀλλ᾽ οὔτ᾽ ἴσαις τὸν ἀριθμὸν οὔθ᾽ ὁμοίως πισταῖς. διαφέρουσι δὲ καὶ τῷ τὰς μὲν ἀγαθὰς αὐτῶν γίνεσθαι, τὰς δὲ κακὰς, καὶ τὰς μὲν μετὰ πλειόνων τε καὶ χαλεπωτέρων συμπτωμάτων καὶ σὺν ἀγῶνι μείζονι, τὰς δ᾽ εὐθὺς ἐξ ἀρχῆς εἰσβάλλειν ἀσφαλῶς. ἀτὰρ οὖν οὐδὲ τῷ τὰς μὲν ἐλλιπεῖς γίνεσθαι, τὰς δὲ τελείας, μικρά τις ἡ διαφορά· μεγάλη δὲ κἀν τῷ τὰς μὲν ὅτι γενήσονται διὰ τῶν ἐπιδήλων ἡμερῶν προδεδηλῶσθαι, τὰς δ᾽ ἐξαιφνίδιόν τε καὶ ἀδοκήτως οὐ τοῖς ἰδιώταις μόνον, ἀλλὰ καὶ τοῖς τεχνίταις ἐπιφαίνεσθαι. τοσαῦται μὲν αἱ τῶν κρίσεων διαφοραὶ, τοσαῦται δὲ καὶ αἱ τῶν κρισίμων ἡμερῶν· κατὰ τὴν δωδεκάτην μὲν γὰρ καὶ ἑκκαιδεκάτην ἐγὼ μὲν οὐδένα ποτὲ γινώσκω κριθέντα, κατὰ δὲ τὴν ἑβδόμην οὐδ᾽ ἀριθμεῖν ἔτι ἐγχωρεῖ. κατὰ δὲ τὴν ἕκτην κρίνονται μὲν, ἀλλὰ καὶ μετὰ χαλεπῶν συμπτωμάτων καὶ κινδύνων μεγίστων καὶ ἀπίστως καὶ ἀτελῶς

adverfus illos dicta funt. Caeterum quibus artis opera curae funt, cum illis jam de propofita hic confideratione differam.

Cap. II. Crifes enim ipfae omnibus diebus accidunt, fed neque pares numero, neque ex aequali fide. Hoc intercedit discriminis inter illas, quod aliae bonae, aliae malae eveniunt, quaedam cum pluribus et difficilioribus fymptomatis et majore certamine, nonnullae ftatim initio tuto invadunt. Quin etiam in hoc plurimum differunt, quod hae deficientes, illae perfecta funt, nec minus quod aliae certis ftatutisque diebus indicatae prius fiunt, aliae repente et ex improvifo non idiotis modo, fed etiam artificibus eveniunt. Tot funt judiciorum differentiae, tot etiam dierum decretoriorum. In duodecimo enim et decimofexto nullum unquam judicatum vidi. In feptimo ne vel enumerare omnes adhuc poffum. In fexto judicantur, fed cum difficilibus fymptomatis et periculo maximo, ad haec absque fide,

καὶ ἀσαφῶς καὶ ἀσήμως καὶ πρὸς κακοῦ. ὅταν οὖν μὴ μόνον ἐμοὶ, τῷ τοσούτοις ἔτεσι παραφυλάττοντι, τοιαύτη τις εὑρίσκηται διαφορὰ τῶν ἡμερῶν, ἀλλὰ καὶ τοῖς περὶ τὸν Ἀρχιγένην, πάνυ δή τι τοῖς ἔργοις τῆς τέχνης προσεδρεύσασι, καὶ τούτων ἔτι ἀνωτέρω τοῖς περὶ Ταραντῖνον Ἡρακλείδην, ἐκ τῆς πείρας ἀθροίσασι τὴν θεωρίαν· ἔτι τε τοῖς περὶ τὸν Φιλότιμόν τε καὶ Διοκλέα καὶ τοὺς ἄλλους παλαιοὺς καὶ πρὸ τούτων ἁπάντων τοῖς περὶ τὸν θειότατον Ἱπποκράτην, πῶς οὐκ ἄν τις δικαίως ἡγοῖτό τινα διαφορὰν ἐν τῷ τῶν ἡμερῶν ἀριθμῷ; τὸ γὰρ ἐν τοσούτοις ἔτεσι καὶ τὴν ἑβδόμην ἑωρᾶσθαι κρίνουσαν, πολλάκις τε ἅμα καὶ τελείως καὶ πιστῶς καὶ ἀκινδύνως καὶ σαφῶς καὶ προδήλως καὶ χρηστῶς, καὶ τὴν ἕκτην τὰ τούτων ἐναντία, μεγάλης τινὸς ἔχεται διαφορᾶς. τὸ δ' ἐμοὶ μὲν μηδέποτε τὴν δωδεκάτην ὦφθαι κρίνουσαν, ἄλλῳ δέ τινι σπανίως τε ἅμα καὶ ἀτελῶς καὶ ἀβεβαίως καὶ μετὰ κινδύνου καὶ ἀσαφῶς καὶ ἀσήμως καὶ κακῶς, οὐδ' αὐτὸ σμικρὰν ἐνδείκνυται τὴν ἐν ταῖς ἡμέραις διαφοράν. πολλαὶ μὲν γὰρ αἱ κατὰ τὴν ἑβδόμην κρινόμεναι νόσοι τελέως τε ἅμα

imperfecte, obſcure, ſine notis et ad malum. Quum igitur non ſolum mihi tot annis obſervanti hujusmodi, quaedam dierum differentia, ſed Archigeni etiam in artis operibus diligenter admodum verſato, inventa ſit, inſuper hoc ſuperiori Tarentino Heraclidi, qui ex experientia ſpeculationem collegit, poſtremo etiam Philotimo et Diocli aliisque veteribus, tum ante hos univerſos Hippocrati diviniſſimo, quomodo non quis jure in dierum numero differentiam quandam ſtatuat? Nam quod in tot annis ſeptimum judicantem ſubinde ſimul et abſolute, fideliter, tuto, manifeſte, conſpicue, et ſalubriter, ſextum e contrario viderim, non parvum quoddam discrimen oſtendit. Porro quod ego quidem nunquam duodecimum viderim judicantem, alius autem quispiam raro ſimul et imperfecte, infirmiter, cum periculo, obſcure, ſine ſignis et male, neque hoc exiguam dierum differentiam indicat. Multi ſiquidem morbi ſunt, qui in ſeptimo die judicantur abſolute, pariter et ſecure, tuto, aperte, cum bonis ſignis et bene; in duodecimo rari

καὶ ἀσφαλῶς καὶ ἀκινδύνως καὶ σαφῶς καὶ εὐσήμως καὶ ἀγαθῶς· αἱ δ' ἐν τῇ δωδεκάτῃ σπάνιαι μὲν οὕτως ὡς ἡμῖν ὤφθαι μηδέπω, κἂν εἴ τῳ δέ ποτε ἑώραται πρὸ ἡμῶν ἐν τῇ δωδεκάτῃ τῶν ἡμερῶν ἐπιφανεῖσά ποτε κρίσις, ἢ ἀτελὴς, ἢ ἄπιστος, ἢ κινδυνώδης, ἢ ἀσαφὴς, ἢ ἄσημος, ἢ πάντως γ' ἅπτεαι πρὸς κακοῦ γινομένη. καλῶ δ' ἀτελῆ μὲν κρίσιν, ὅταν ὑπολείπηταί τι τοῦ νοσήματος· ἄπιστον δὲ, ὅταν ὑποτροπιάζῃ, κινδυνώδη δὲ τὴν μετὰ συμπτωμάτων σφαλερῶν, ἀσαφῆ δὲ τὴν χωρὶς ἐκκρίσεως, (425) ἤ τινος ἀποστάσεως ἐπιφανοῦς, ἄσημον δὲ τὴν ὑπὸ μηδεμιᾶς τῶν ἔμπροσθεν ἡμερῶν προδηλωθεῖσαν. ἡ κακὴ δὲ ὅτι πάντως εἰς ἀπώλειαν τελευτᾷ τοῦ κάμνοντος οὐ δέομαι λέγειν. ἔμπαλιν δὲ τελείαν μὲν καλῶ τὴν μηδὲν ὑπολείπουσαν τοῦ νοσήματος, πιστὴν δὲ καὶ βεβαίαν καὶ ἀσφαλῆ τὴν μηκέτι ἐπανερχομένην, ἀκίνδυνον δὲ τὴν ἄνευ συμπτωμάτων σφαλερῶν, οὕτω δὲ καὶ σαφῆ τὴν μετά τινος ἐκκρίσεως, ἢ ἀποστάσεως φανερᾶς, εὔσημον δὲ τὴν προδηλωθεῖσαν ὑπὸ τῆς ἐπιδήλου, ἀγαθὴν δὲ ὅτι τὴν εἰς ὑγείαν τελευτῶσαν χρὴ νοεῖν οὐκ ἄν τινα οἶμαι λαθεῖν.

quidem adeo ut nobis visi sint nondum, et si cui aliquando ante nos in duodecimo die crisis evenisse visa est, vel imperfecta, vel infida, vel periculosa, vel obscura, vel sine signis, vel omnino ad malum accidere visa est. Voco imperfectam judicationem, quum ex morbo quippiam relinquitur, infidam seu incertam, quum morbi recidiva contingit, periculosam, quae cum symptomatis gravibus accidit, obscuram, quae citra excretionem, vel abscessum quempiam evidentem, evenit. Sine signis fieri dicitur quae a nullo priore die indicata est; mala quod in aegri perniciem omnino desinat, non opus est ut dicam. Rursus absolutam voco quae nihil relinquit morbi, fidam, firmam, securam, quae non amplius redit. Tutam quae sine periculosis symptomatibus accidit. Sic manifestam cui excretio quaedam, vel abscessus insignis ac conspicuus adest; cum bonis signis accidit quae a contemplatorio prius indicata est; bonam esse quae ad sanitatem desinit non puto quem-

ἀλλ' ὅτι μὲν, εἴπερ ταῦθ' οὕτως φαίνεται, μεγίστη διαφορὰ τῶν ἡμερῶν ἐστι πρὸς ἀλλήλας οὐδεὶς ἀντιλέξει.

Κεφ. γ'. [453] Φήσει δ' ἴσως τις μηδὲν ἀληθὲς εἶναι τῶν εἰρημένων, ἀλλ' ἡμᾶς ἀργύριον εἰληφότας παρὰ τῶν κρισίμων ἐπεισάγειν αὐτὰς τοῖς κατ' ἰατρικὴν πράγμασιν ὥσπερ τινας νόθους παῖδας εἰσποιοῦντας γένει γνησίῳ. τί γὰρ ἂν καὶ παθόντες καταψευδοίμεθα τῶν φαινομένων ἄλλό γε ἢ ἀργυρίῳ δελεασθέντες; οὐ γὰρ δὴ κατὰ γένος γε ἡμῖν αἱ κρίσιμοι προσήκουσιν, ἢ πολίτιδες, ἢ συνήθεις εἰσὶν, ἵν' αὐταῖς χωρὶς μισθοῦ βοηθῶμεν. τί γὰρ ἂν εἴη καὶ βέλτιον ἢ ἐκείναις κρισίμοις εἶναι νομισθείσαις, ἢ ἡμῖν, ὡς εἰσὶν, ἀποδείξασιν; ἀλλ' ὥσπερ καὶ τἄλλα τὰ διὰ τῆς πείρας γνωσθέντα δηλοῦμεν ἀδεκάστως, ἀδικώτατον εἶναι νομίζοντες ἐγκαλύπτειν τἀληθὲς, οὕτω καὶ τὰς τῶν ἡμερῶν διαφορὰς, ἃς πολλάκις ἐθεασάμεθα, λέγομεν ὡς εἴδομεν. ὅταν δὲ καὶ τοὺς ἀρίστους ἰατρούς τε ἅμα καὶ ἀνθρώπους, ἄμφω γάρ ἐστον οἱ περὶ τὸν Διοκλέα τε καὶ Ἱπποκράτην καὶ τοὺς ἄλλους ὧν ὀλίγον ἔμπροσθεν ἐμνημόνευσα, τὴν αὐτὴν ὑπὲρ τῶν αὐτῶν εὑρίσκωμεν

piam latere. Verum fi haec ita apparent, maximam effe dierum inter fe differentiam nullus reclamabit.

Cap. III. Dicet forfan aliquis nihil verum effe eorum quae diximus, fed nos argentum a judiciariis diebus accipientes, ipfos in res medicas introducere tanquam nothos quosdam pueros germano veroque generi affimilantes. Qua enim re moti alia quam argento contra evidentia mentiremur? non enim genere judicarii nobis conveniunt, neque cives aut familiares funt, ut ipfis fine mercede fubveniamus. Quid namque melius effet vel illis ut decretorii effe putentur, vel nobis, fi ut funt oftenderimus? At quemadmodum alia quoque per experientiam cognita indicamus libere, iniquiffimum effe putantes veritatem occultare, fic et dierum differentias, quas crebro fpectavimus, dicimus, uti vidimus. Quum autem optimos medicos fimul et homines, ambo enim funt Diocles et Hippocrates, item alios, quorum prius mentionem fecimus, eadem de ipfis pronunciaffe inveniamus; adhuc etiam magis, ut puto, con-

ἀπόφασιν πεποιημένους, ἔτι καὶ μᾶλλον, οἶμαι, θαῤῥοῦμεν ὡς ἀληθεύοντες. ἀλλ᾿ οὐχ ὁμολογοῦσι, φασὶν, ἅπαντες οὗτοι περὶ τῶν κρισίμων ἡμερῶν; ἀλλ᾿ οἱ μὲν πλείους, οἱ δὲ ἐλάττους αὐτὰς εἶναι λέγουσιν, καὶ τὰς μὲν ὅδε τίς φησιν εἶναι κρισίμους, τὰς δ᾿ ὅδε τις, οὐ τὰς αὐτὰς ἅπαντες, ἀλλ᾿ ὡς ἂν ἑκάστῳ παραστῇ τις γνώμη. τί οὖν ὦ πρὸς θεῶν εἴποι τις ἂν οἶμαι πρὸς αὐτούς; εἴ τι διαπεφώνηται, τοῦθ᾿ ὅλως οὐκ εἶναί φατε; καὶ μὴν οὐκέτ᾿ ἂν ὁμολογήσετε, τὸ μὲν γὰρ ἐπιμελεστέρας πείρας ἐξετάσεώς τε καὶ κρίσεως δεῖσθαι τὰ τοιαῦτα πρὸς ἁπάντων ὡμολόγηται, τὸ δ᾿ ὅλως ἀληθεύειν μηδένα τῶν διαφερομένων οὐχ ὅπως ὑμεῖς οἱ δεινοὶ τῶν κρισίμων κατήγοροι, ἀλλ᾿ οὐδ᾿ οἱ τὴν Πυῤῥώνειον ἀπορίαν πρεσβεύοντες ἀποδέχονται. τὴν γὰρ ἀνεπίκριτον οὗτοι διαφωνίαν, οὐχ ἁπλῶς ἅπασαν ἡντιναοῦν, ἀγνοίας τοῦ πράγματος εἶναί φασι σημεῖον. ἆρ᾿ οὖν ἀδύνατον ἐπικρῖναι τίς ἀληθεύει περὶ τῶν κρισίμων ἡμερῶν καὶ τίς ψεύδεται; ἢ δυνατὸν μὲν, ἀλλ᾿ οὐ ῥᾴδιον, εἴ γε καὶ χρόνου δεῖται παμπόλλου καὶ ἀκριβείας ἱκανῆς; αἵ τε γὰρ ἀρχαὶ τῶν νοσημάτων ἀσαφεῖς ἐνίοτε καὶ

fidimus tanquam vera dicentes. Verum non consentiunt universi hi, inquiunt, de judiciariis diebus, sed hi plures, illi pauciores esse dicunt, item quidam hos, quidam illos judiciarios esse pronunciant, non eosdem universi, sed ut cuique sua est opinio. Quid igitur per deos quaeso ad illos dicas? num in quo dissensum est, hoc omnino non esse dicitis? Atqui nondum conveneritis, nam quod accuratiore experientia, inquisitione et judicio hujusmodi opus habeant, apud omnes in confesso est. At quod nullus eorum qui dissentiunt vera nunciet, non modo non vos, o eximii decretoriorum calumniatores, sed ne Pyrrhoneam quidem dubitationem professi recipiunt, quoniam hi dissensionem quae dijudicari nequeat, non simpliciter universam quamlibet, ignoratae rei signum esse ajunt. An igitur impossibile est dijudicare, quis de diebus decretoriis vera, quis falsa dicat? An possibile quidem, sed non facile, siquidem et tempus longum et diligentiam accuratam desiderat? Nam morborum initia quandoque sunt obscura, et utrum in quo

πότερον ἐν ᾗ τις ἡμέρᾳ τῆς κρίσεως ὑπήρξατο, ταύτην εἶναι τὴν κρίσιμον ὑποληπτέον, ἢ καθ' ἣν πρῶτον ἐλύθη τὸ νόσημα, δεῖταί τινος ἐπισκέψεως. ὁ μὲν γάρ τις, οἶμαι, θάτερον αὐτῶν, ὁ δὲ θάτερον ὑπολήψεται, καί τις ἴσως οὐδέτερον, ἀλλ' εἰς ἣν ὁ πλεῖστος χρόνος τῆς κρίσεως ἀφίκετο, ταύτην εἶναι φήσει τὴν κρίσιμον. ὅταν οὖν πρὸς τοῦτο καὶ τοῦ πολλάκις αὐτὰ θεάσασθαι χρήζωμεν, ἦν δὲ τοῦτο ἐπί τινων ἡμερῶν ἀδύνατον, ὅσαι σπανίως κρίνουσιν, ἢ κατά τινα τύχην, οὐ γὰρ ἀδύνατος ἡ ὑπόθεσις, εἰ ἐντύχοι τις ταῖς σπανίαις ἡμέραις πρώταις· ἔπειτα πρὶν ἀναμεῖναι τὴν μακρὰν κρίσιν, ἀποφαίνοιτο περὶ αὐτῶν ὡς κρισίμων, ἐκ τῶν τοιούτων ἁπάντων ἀναγκαῖον ἐπιθολοῦσθαι τὴν ἀληθῆ τῶν κρισίμων ἡμερῶν ἱστορίαν. εἰ μὲν γὰρ ἐν ᾗ τις ἐκρίθη, κρίσιμον εἶναι ταύτην ἐλέγομεν, ῥᾴστη τ' ἂν οὕτως ἡ γνῶσις αὐτῶν ἐγίνετο καὶ σχεδὸν ἁπάσαις ὑπῆρχεν ἂν εἶναι κρισίμοις. ἐπεὶ δ' οὔ τι τὸ σπάνιον ἱκανὸν, ἀλλὰ χρὴ πολλάκις ὦφθαι κρίνουσαν, ἔτι τε προσεῖναι τῇ κρίσει τὰ μικρῷ πρόσθεν ῥηθέντα, τό τε καλῶς καὶ τὸ τελείως καὶ τὸ ἀσφαλῶς καὶ τὸ σαφῶς καὶ προσ-

quis die crisim inchoavit, hunc esse decretorium suspicandum sit, an in quo primum solutus est morbus, considerationem quandam desiderat. Alius enim quispiam alterum ipsorum, arbitror, alius alterum suspicabitur, forsan etiam aliquis neutrum, sed in quem plurimum judicii tempus pervenit, eundem esse decretorium dicet. Quando igitur ad hoc etiam nobis opus est, ut frequenter ipsa inspexerimus, erat autem hoc in diebus quibusdam impossibile, qui raro judicant, vel casu quopiam, non enim impossibilis est hypothesis, si quis raris diebus incidat primis, dein prius quam longum judicium expectarit, de ipsis tanquam decretoriis ferat sententiam, ex hujusmodi universis necessarium est veram dierum judicii historiam turbari. Si etenim in quo quis judicatus est, eum decretorium diceremus, facillima sic eorum cognitio evaderet et prope omnibus esse decretoriis liceret. Quoniam vero non satis est raro judicantem vidisse, verum crebro, tum ut crisis sit, quemadmodum recensui, bona, perfecta, secura, manifesta, ad haec tuta

ἔτι τὸ ἀκινδύνως, [454] καὶ τὸ μετὰ τοῦ προδεδηλῶσθαι, δῆλον ὡς εἰς σωριτικὴν ἀπορίαν ἐμπίπτει τὸ σύμπαν. εἰ γάρ τινὰ μὲν ὧν εἶπον προσείη, τινὰ δ' ἀπείη, καὶ ἰσάζοι γε τὰ παρόντα τοῖς μὴ παροῦσιν, ἢ βραχεῖά τις εἴη τῶν ἑτέρων ὑπεροχὴ, δῆλον ὡς ἐν ἀμφιβολίᾳ καταστησόμεθα περὶ τῆς τοιαύτης ἡμέρας, εἴτε χρὴ ταύτην κρίσιμον καλεῖν εἴτε μή. τὸ μὲν γὰρ ἤτοι πάντων ὑπαρχόντων ὧν εἶπον ἢ τῶν πλείστων τε καὶ μεγίστων ἔτ' ἀμφιβάλλειν ὡς οὐκ οὔσης κρισίμου παντελῶς ἠλίθιον, ὥσπέρ γε καὶ εἰ μηδὲν αὐτῶν, ἢν παντάπασιν ὀλίγα καὶ μικρὰν ἔχοντα δύναμιν ὑπάρχῃ· καὶ γὰρ καὶ ταύτην ἐκ τῶν οὐ κρισίμων ἀριθμητέον. εἰ δ' εἴη τῶν ὑπαρχόντων αὐτῇ βραχεῖά τις ἡ διαφορὰ, πρόδηλον ὡς εἰς ἀπορίαν καταστησόμεθα, πότερον ἐκ τῶν κρισίμων αὐτὴν ἀριθμητέον ἐστὶν ἢ μή. ἐγὼ γ' οὖν αὐτὸς ἐκ μειρακίου μὲν ὑπηρξάμην παραφυλάττειν τὰς κρισίμους ἡμέρας, ἵνα τι κἀκ τῆς ἐμαυτοῦ πείρας ἐπικρίναιμι περὶ τῆς διαφωνίας αὐτῶν, οὐ μὴν ἤδη γε δύναμαι περί τινων ἀποφήνασθαι σαφῶς, ὅσον ἐπὶ τῇ προγεγονυίᾳ μνήμῃ. δοκεῖ δέ μοι καὶ Ἱπποκράτης, ὡς ἂν ἀληθὴς

et prius indicata, constat universum in soriticam dubitationem incidere. Si enim quaedam ex his quae dixi adsint, quaedam absint, et praesentia aequentur absentibus, vel exiguus aliorum sit excessus, liquet nos de hujusmodi die addubitaturos esse, decretorium, an non, appellare oporteat, siquidem omnibus quae dixi praesentibus vel plurimis et maximis, adhuc dubitare summa est stultitia, quemadmodum si nullum ipsorum, vel omnino pauca levique potentia praedita adfuerint; etenim hic ex non decretoriis numerandus est. Quod si parva quaedam eorum quae ei adsunt et non adsunt differentia sit, manifestum est nos in dubitationem venturos, utrum ex decretoriis hic referendus sit, an minus. Ego itaque ipse ab adolescentulo quidem dies decretorios observare incepi, ut ex mea ipsius experientia de ipsorum dissensione dijudicarem, non tamen jam sane possum de quibusdam clare pronunciare, quantum ad praeteritam memoriam spectat. Tale etiam Hippocrati, viro nimirum veraci, diu admodum acci-

ἀνὴρ, ἄχρι πολλοῦ χρόνου καὶ αὐτὸς τὸ τοιοῦτον παθεῖν, εἴ τι χρὴ τεκμήρασθαι ἐκ τῶν ἐν τῷ πρώτῳ τῶν ἐπιδημιῶν, ἐν ᾧ παμπόλλας ἤθροισεν ἡμέρας εἰς ταὐτὸν, ἃς ἐν τῷ προγνωστικῷ κἂν τοῖς ἀφορισμοῖς περικόπτειν φαίνεται. δέδεικται δ' ἡμῖν ἤδη μὲν καὶ δι' ἑτέρων, ἀλλὰ καὶ νῦν οὐδὲν ἧττον ἔσται δῆλον ἐκ τῶν ἐφεξῆς εἰρησομένων ὡς πρότερον αὐτῷ τὰ τῶν ἐπιδημιῶν γέγραπται βιβλία, βασανίζοντι διὰ τῆς πείρας ἔτι τὰ θεωρήματα καὶ μὴ τολμῶντι καθόλου τισὶν ἀποφάσεσιν ἐπ' αὐτῶν χρῆσθαι· διό μοι καὶ δοκοῦσιν οἱ τὰς κρισίμους ἡμέρας ἀναιροῦντες ὡς οὐκ οὔσας, ὅτι διαπεφώνηται περὶ αὐτῶν τοῖς ἰατροῖς, οὐ πάνυ τι τοῖς ἔργοις τῆς τέχνης προσεσχηκέναι τὸν νοῦν· ὡς εἴ γε προσεσχήκεσαν, οὐ μόνον ὅτι διαφέρονται περί τινων ἡμερῶν οἱ γράψαντες περὶ αὐτῶν, ἀλλ' ὅτι καὶ συμφωνοῦσιν ἐν ταῖς πλείσταις ἐννοήσαντες, ἔπειτα τῆς ἑαυτῶν πείρας ἀναμνησθέντες, ἐξεῦρον ἂν, οἶμαι, ῥᾳδίως ἑτέρας μὲν εἶναι φύσεως τὰς ὁμολογουμένας, ἑτέρας δ' ὑπὲρ ὧν διαφέρονται. τίς γὰρ ἢ τὴν ἑβδόμην, ἢ τὴν ἑνδεκάτην, ἢ τὴν τεσσαρεσκαιδεκάτην, ἢ τὰς ἄλλας τὰς ὁμοίας οὐκ εἶπε κρισίμους; οὐδεὶς ὁστισοῦν. φαίνονται γοῦν ἅπαντες ὥσπερ ἐξ

diſſe videtur, ſi quid ex primo epidemiōn conjicere oportet, ubi multos dies in unum congeſſit, quos in prognoſtico et aphorismis circumcidere videtur. Demonſtratum autem nobis eſt alibi, nec jam minus ex ſequentibus clarum evadet, prius epidemiōn libros Hippocratem ſcripſiſſe, dum theoremata adhuc experimentis exploraret, nec generatim ſententiam de eis proferre auderet. Quamobrem ii qui dies judiciarios tollunt tanquam non exiſtentes, quoniam de illis inter medicos non conveniat, non adeo in artis operibus animum advertiſſe mihi apparent. Nam ſi advertiſſent, non ſolum in quibusdum diebus discordare ſcribentes de iis, ſed etiam in plurimis convenire ubi conſiderarint, et deinde experientiae ſuae meminerint, invenirent nimirum alterius eſſe naturae illos, in quibus conſentiunt, alterius illos, in quibus diſſentiunt. Quis enim vel ſeptimum, vel undecimum, vel decimumquartum, vel alios quosdam ſimiles, non dixerit eſſe judiciarios? nemo, opinor; apparent enim om-

ἑνὸς στόματος ἀποφαινόμενοι περὶ αὐτῶν. καὶ μὴν εἴπερ ὑπὲρ ἁπασῶν ὡμολόγουν ἀλλήλοις, ἴσως ἂν παρέστη ὑπολαμβάνειν χωρὶς τοῦ κρῖναι καὶ βασανίσαι τἀληθὲς ἅπαντας αὐτοὺς ἑξῆς ἀκολουθῆσαι τῷ πρώτως περὶ κρισίμων ἡμερῶν ἀποφηναμένῳ. διαφερομένων δ' ἐν ταῖς πλείσταις, οὐκέτ' ἐνδέχεται τοιοῦτον οὐδὲν ὑπονοεῖν. ἀλλ' ἐμοὶ μὲν καὶ (426) θαυμάζειν ἐπέρχεται τοὺς ἄνδρας ἐπὶ τῇ περὶ τὴν ἀλήθειαν σπουδῇ. τὸ γὰρ μήτε τὰς αὐτὰς ἅπαντας εἰπεῖν, ἀλλ' ἔστιν ἐν αἷς διενεχθῆναι, μήτε εἰκῇ τοῦτο καὶ ἀλόγως παθεῖν, ἀλλ' ὅσαι μὲν ἅπαντα διαφυλάττουσι τὰ τῶν κρίσεων γνωρίσματα τὰ μικρῷ πρόσθεν ὑπ' ἐμοῦ λελεγμένα, ταύτας μὲν ὡσαύτως ἀναγράψαι σύμπαντας, ὅσαι δ' ἀμφιβολίαν ἔχουσί τινα καὶ ἀπορίαν ἐκ τοῦ τινὰ μὲν ὑπάρχειν αὐταῖς γνωρίσματα, τινὰ δ' οὐχ ὑπάρχειν, οὐκέθ' ὡσαύτως ἅπαντας ἀναγράψαι, τεκμήριον οὐ μικρόν ἐστι τοῦ φύσιν εἶναί τινα τῶν κρισίμων ἡμερῶν ἰδίαν ἐξαίρετον. ἃς γὰρ καὶ καθ' ἑαυτὸν ἕκαστος ἡμῶν ἐπὶ τὴν τῶν τοιούτων πεῖραν ἀφικόμενος ἀποφήναιτ' ἂν εἶναι κρισίμους ἐκ τοῦ διαφυλάττειν ἅπαντα τῶν κρίσεων τὰ γνωρί-

nes tanquam uno ore de ipsis pronunciare. Atqui si de omnibus inter scriptores conveniret, forsan ipsis omnibus ordine liceret sine judicio et inquisitione veritatis imitari aliquem, qui primus de judiciariis diebus disseruit, quum autem in plurimis dissentiant, non adhuc hujusmodi quid cogitare licet. Sed mihi mirari subit viros ob veritatis acquirendae studium, nempe quod non eosdem universi dicant, sed in quibusdam dissentiant, neque temere, neque sine ratione mihi facere videntur. At qui dies notas criseωn universas conservant paulo ante a me scriptas, in iis universi pari modo conscribunt, qui vero ambiguitatem aliquam ac dubitationem habent inde, quod nonnullae eis notae adsunt, quaedam non, haud ita simili modo ab omnibus scribuntur. Unde conjicere non est obscure decretoriorum dierum naturam quandam esse propriam[1], eximiam. Quos enim seorsum unusquisque nostrum ad talium experientiam deveniens judiciarios pronunciaverit, ex eo quod universas criseωn notas conservent, eosdem apud illos quoque in con-

σματα, ταύτας καὶ παρ᾽ ἐκείνοις ἔστιν εὑρεῖν ὁμολογουμένας, ὥσπερ αὖ καὶ ὅσας ἄπορον ἐκ πείρας κρῖναι, καὶ ταύτας διαπεφωνημένας. [445] οὐδὲν οὖν ἔγωγε τούτου μεῖζον ἕτερον ἡγοῦμαι τεκμήριον ὑπὲρ τῶν κρισίμων ἡμερῶν τῆς φύσεως, ὡς τὸ περὶ μὲν τῶν ἅπαντ᾽ ἐχουσῶν τὰ κριτικὰ γνωρίσματα, ταῦτα καὶ παρ᾽ ἐκείνοις ἔστιν εὑρεῖν συμφωνῆσαί τε πάντας, ὑπὲρ ὧν δέ τις καὶ αὐτὸς ἠπόρησεν, ὑπὲρ τούτων διενεχθῆναι. ἡ γὰρ ἐν ταῖς τοιαύταις διαφωνία πίστιν βεβαίαν προσνέμει ταῖς ὁμολογουμέναις. ἄμεινον δ᾽ ἦν ἄρα τοῖς σοφισταῖς ἤδη ποτὲ μισήσασι τὰ σοφίσματα, περὶ μὲν δὴ τῶν καὶ πάντ᾽ ἐχουσῶν τὰ γνωρίσματα καὶ πρὸς ἁπάντων ὁμολογουμένων ἑτοίμως ἀποφήνασθαι, σκοπεῖσθαι δὲ ὑπὲρ τῶν λοιπῶν, ὡς τό γε διὰ τὴν ἐν ταύταις ἀπορίαν ὀλιγίσταις οὔσαις ἀνατρέψαι τὴν ἐν ταῖς πλείσταις εὐπορίαν ἐσχάτως ἄλογον. φέρ᾽ οὖν ἡμεῖς εἴπερ δὴ σπουδάζομεν ἀληθείας, ἐπιχειρήσωμεν ἀδεκάστως αὐτῶν τῇ κρίσει. καὶ πρώτας μὲν προστησώμεθα καθάπερ τινὰς κανόνας τὰς ἅπαντ᾽ ἐχούσας τὰ κριτικὰ γνωρίσματα· δευτέρας δὲ τάξωμεν τὰς τούτων πλησίον, εἶτά τινα καὶ τρίτον καὶ τέταρτον στοῖχον ἐφεξῆς ποιησώμεθα, καὶ

feſſo eſſe invenias, ſicut etiam quos experientia nemo poteſt judicare, de his eſſe diſſenſionem. Nullum igitur ego his majus judicium de judiciariorum dierum natura exiſtimo quam quod de iis qui omnes criticas uotas habent, has quoque apud illos reperias omnesque convenire, de quibus quis dubitet, de iis diſſentire. Nam in talibus controverſia fidem iis, qui in conſeſſo ſunt, firmam aſtruit. Praeſtaret ergo ſophiſtis ſi aliquando cavillationes oderint, de illis qui omnes habent criticas notas omnibusque in conſeſſo ſunt, prompte ſententiam dicere et de reliquis conſiderare, quandoquidem propter dubitationem, quae in pauciſſimis eſt, certitudinem in plurimis adeo conſpicuam evertere maxime eſt abſurdum. Age igitur nos ſi veritati ſtudemus, ipſorum judicio integre manum admoliamur, et primos ſane tanquam regulas quasdam omnes criticas notas habentes apponamus, ſecundos his proximos, deinde tertium quendam et quartum ordinem ſtatuamus et cujusque

δείξωμεν ἑκάστου τὴν ἀξίαν. ἡ γὰρ τοιαύτη γνῶσις εἰς τὰς ἰάσεις τε καὶ λύσεις μέγα διαφέρει, μήτε τοὺς ἐν πισταῖς ἡμέραις κριθέντας δι' ὑποψίας ἡμῶν ἑξόντων ἂν ἢ λεπτῶς διαιτησόντων, μήτε τοὺς ἐν ταῖς ἀπίστοις ἀφυλάκτως.

Κεφ. δ'. Πρώτην μὲν τοίνυν ἁπασῶν τῶν κρισίμων ἡμερῶν τὴν ἑβδόμην εἴπωμεν, οὐκ ἀριθμῷ δηλονότι καὶ τάξει πρώτην, ἀλλὰ δυνάμει τε καὶ ἀξιώματι, πάντα γὰρ ἔχει συλλαβοῦσα τὰ τῶν κρισίμων γνωρίσματα· καὶ γὰρ καὶ πλείστους κρίνει καὶ τελείως καὶ μετὰ σαφοῦς ἐκκρίσεως, ἢ ἀποστάσεως καὶ χωρὶς κινδύνου σφοδροῦ, καὶ τοὐπίπαν αὐτὴν ἡ τετάρτη προδηλοῖ. ἤτοι γὰρ τῶν οὔρων τις ἐν ἐκείνῃ πάντως, ἢ τῶν πτυσμάτων, ἢ τῶν διαχωρημάτων, ἢ ὀρέξεως, ἢ νοήσεως, ἢ αἰσθήσεως, ἤ τινος ἄλλου τοιούτου σαφὴς ἐγένετο μεταβολὴ, καὶ τῇδε τῇ μεταβολῇ τὸ μὴ οὐχ ὁμοίαν ἀπαντῆσαι τὴν ἐν τῇ ἑβδόμῃ κρίσιν ἀμήχανον, ἀγαθὴν μὲν, εἰ ἐπὶ τὸ χρηστὸν, πονηρὰν δὲ, εἰ ἐπὶ τὸ φαῦλον μεταβάλλοι. τὰ πολλὰ μὲν οὖν ἀγαθαὶ κρίσεις αἱ κατὰ τὴν ἑβδόμην ἡμέραν. καὶ γὰρ αὖ καὶ

dignitatem judicemus. Etenim hujusmodi cognitio ad curationes morborum et ſolutiones non leve momentum adfert, ne videlicet iis timeamus, qui fidis diebus judicati ſunt, aut tenuem victum praebeamus, neve infidis diebus judicatos parum diligenter obſervemus.

Cap. IV. Primum itaque omnium dierum decretoriorum ſeptimum dicimus, non numero videlicet et ordine primum, ſed potentia et dignitate; omnes enim ſummatim decretoriorum notas obtinet. Etenim plurimos judicat et abſolute, item cum manifeſta excretione vel abſceſſu, ſine periculo vehementi, et ut plurimum quartus eum praenunciat. Nam ſi urinae in illo plane, vel ſputi, vel dejectionis, vel appetitus, vel mentis, vel ſenſus, vel alterius cujusdam ſimilis manifeſta contingit mutatio, illam ut non ſimilis in ſeptimo judicatio comitetur quomodo fieri poſſet, bona, ſi ad ſalutem, mala, ſi ad pejora portendat? Plerumque igitur bona judicia eveniunt in die ſeptimo, etenim hoc ei praeter caeteros accedit, quanquam nonnulli etiam in eo moriuntur et evidenti converſione ad pejora pergentes in

τοῦτο ἐξαίρετον αὐτῇ πρόσεστιν. οὐ μὴν ἀλλὰ καὶ θνήσκουσί τινες ἐν αὐτῇ, καὶ τροπὴν ἀξιόλογον ἐπὶ τὸ χεῖρον ἔνιοι λαβόντες ἔν τινι τῶν ἐφεξῆς κρισίμων ἀπόλλυνται. τὴν δὲ ἕκτην ἡμέραν ὅσον ἀπολείπεται τῆς ἑβδόμης τῷ πλήθει τῶν ἐν αὐτῇ κρινομένων, τοσοῦτον πλεονεκτοῦσαν εὑρίσκω κακοηθείᾳ, καθάπερ ἐκ διαμέτρου τὴν φύσιν ἔχουσαν τῇ ζ. καὶ γὰρ καὶ τῶν ἐν τῇ τετάρτῃ μεταβαλλόντων ἐπὶ τὸ χεῖρον οἱ πλεῖστοι κατὰ τὴν ἕκτην ἀπόλλυνται. τοὐναντίον δὲ αὖ πάλιν εἰ χρηστὴ γένηται τροπὴ, τὴν ἑβδόμην ἀναμένει. κἂν εἰ σπανίως δέ ποτε μεταβολὴν ἀγαθὴν ἐν τῇ τετάρτῃ γενομένην ἡ ἕκτη παραλαβοῦσα κρίνειν ἐπιχειρήσειεν, ἀμήχανον ὅσην ἐπιφέρει ταραχὴν καὶ κίνδυνον καὶ φόβον οὐ μικρὸν, ὡς αὐτίκα δὴ μάλα τεθνήξομένου τἀνθρώπου. καὶ γὰρ εἰ καταφέροιντο, κάρῳ τι παραπλήσιον αὐτοῖς γίνεται καὶ κεῖνται τελείως ἀναίσθητοί τε καὶ ἄφωνοι. καὶ εἴ τις ἔκκρισις ἐν αὐτοῖς γίνοιτο, λειποψυχοῦσί τε καὶ ἀσφυκτοῦσι καὶ ἀχροοῦσι καὶ τρέμουσι καὶ καταπίπτουσι, τῆς ἑβδόμης ἡμέρας ἀεὶ πρὸς λόγον τῆς ἐκκρίσεως τὴν εὐφορίαν ἐπαυξούσης. ἀτὰρ οὖν καὶ κακοήθη καὶ δριμέα καὶ δυσώδη τὰ πολλὰ διαχωροῦσί τε καὶ ἐμοῦσι κατὰ τὰς ἐκ-

ſequenti quodam decretorio intereunt. Sextum autem diem quanto pauciores in eo judicantur quam in ſeptimo, tanto quoque maligniorem invenio, ut qui fere e diametro naturam ſeptimo oppoſitam babeat. Etenim qui in quarto ad pejorem ſtatum recidunt, plerique ſexto moriuntur. E contrario rurſus, ſi bona converſio contingat, ſeptimum criſis expectabit. Et ſi raro interdum ad meliora converſionem in quarto die evenientem ſextus excipiens judicarit, incredibile eſt quanta cum perturbatione, periculo et metu hoc fiat, quaſi aeger ſtatim adeo fato ſit functurus. Nam ſi in cataphoram incidant, caro ſimile quid ipſis obvenit, fiuntque tum omnis ſenſus tum vocis expertes, et ſiquae excretio proveniat, animo conſternuntur, pulſus ipſorum concidunt, color abit, tremunt, collabuntur. At ſeptimus dies ſemper pro excretionis portione reficit ipſos magis ac recreat. Atque igitur ſexto die maligna, acria, foetida magna ex parte tum dejiciunt tum vomunt. Sudores rari quidem,

ταίας ἐκκρίσεις. ἱδρῶτες δὲ σπάνιοι μὲν οἱ ὁμαλοὶ καὶ δι᾽ ὅλου τοῦ σώματος καὶ θερμοί· [456] κἂν εἰ γένοιντο δέ ποτε τοιοῦτοι, διακόπτονται τὰ πολλὰ καὶ φόβος ἐπήρτηται τοῖς ὁρῶσι μὴ στῶσιν. ἔστι δ᾽ ὅτε παρωτίδας οὐκ εὐήθεις, ἢ καὶ ἰκτέρους ἐπήνεγκεν, ἤ τινα ἄλλην ἀπόστασιν ἀγῶνος ἑτέρου δεομένην εἰς λύσιν. εἰ δὲ καὶ δι᾽ οὔρων ποτὲ κρίνοιεν, οὐδὲ ταῦτα ἂν εὕροις χρηστά· καὶ γὰρ ὠμὰ καὶ ἄχροα καὶ λεπτὰ καὶ μηδεμίαν ἀγαθὴν ὑπόστασιν ἔχοντα, ἀλλ᾽ ἐνίοτε μὲν οἷον ὀστρακώδη, ἐνίοτε δὲ ψαμμώδη, πάντως δὲ ἀνώμαλόν τε καὶ ἄπεπτον, αὐτῷ τῷ πλήθει μόνον ὠφελοῦντα κατὰ τὴν ἕκτην ἡμέραν οἷς ἐπιφαίνεται. ταῦτα μὲν αὐτῆς τὰ μετριώτατα τῶν ἔργων, εἴ τις μέλλει σωθήσεσθαι. τοὺς πλείστους δὲ τοὺς μὲν αὐτίκα συνέκοψεν, ἢ ἀπέπνιξεν αἱμοῤῥαγίαις λάβροις, ἢ κενώσεσιν ἀμέτροις, ἢ καὶ κατοχαῖς τισιν ἢ μανίαις, τοὺς δ᾽ εἰς προῦπτον ὄλεθρον ἐνέβαλεν, ἰκτέρους ἐπαγαγοῦσα καὶ παρωτίδας οὐ χρηστὰς ἐγείρασα καὶ μαρασμοῖς ἀνιάτοις ἐνίοτε περιβάλλουσα, καὶ τί γὰρ οὐ κακὸν ἐπιφέρει; καί μοι πολλά[illegible] ἐπῆλθε τὴν μὲν τῆς ἑβδόμης ἡμέρας φύσιν εἰκάζειν βασιλεῖ,

qui aequales et toto manantes corpore et calidi, quales fi quando oboriuntur, faepenumero intercipiuntur, timor invadit fpectantes ejus rei ignaros. Interdum parotides malignae, vel etiam arquatus, vel alius quidam abfceffus alterum certamen quo discutiatur requirens emergit. Si vero et per urinas quandoque judicet, nec ipfas bonas inveneris; etenim crudae, decolores, tenues, boni nihil quod fubfidet habentes, fed nunc quafi teftaceum, nunc arenofum, in totum inaequale, crudum, ipfa copia tantum in fexto die quibus apparet conducens. Atque haec hujus diei moderatiffima leviffimaque funt opera, fi quis falvari debet; plurimos autem confeftim in fyncopen conjecit, vel fuffocavit largo fanguinis profluvio, vel evacuatione parum moderata, item vel quadam catoche, vel mania, alios in manifeftam perniciem injecit, icteros inducens, parotidas non bonas excitans et marcoribus infanabilibus interdum involvens, demum quod mali genus non adfert? Mihi quidem frequenter in mentem venit feptimi diei naturam regi

τὴν δὲ τῆς ἕκτης τυράννῳ. προνοεῖται γὰρ ἡ μὲν οἷον ἀγαθός τις ἄρχων τοῖς ὑπ' αὐτὴν κρινομένοις, ἢ τῆς κολάσεως ὑφεῖναι τοῦ μεγέθους, ἢ τὴν νίκην ἐπιλαμπρῦναι. τὴν δὲ τῆς ἕκτης ἡμέρας ἔμπαλιν εἰκάσαις ἂν ἢ τοῖς ὀλεθρίοις αὐτὴν ἐπιχαίρειν, ἢ ταῖς σωτηρίαις ἄχθεσθαι καὶ ζητεῖν ὅποι τὸν θυμὸν ἐκπλήσει καὶ κακῶς δρᾶσαι τὸν εἰς αὐτὴν ἐμπεσόντα καὶ μακρᾷ κολάσει περιβάλλουσα διαχειρώσεται. φέρ' οὖν, ἐνταῦθα γὰρ ὁ λόγος ἤδη μοι στήτω, πρὶν τῶν ἄλλων ἁπασῶν ἡμερῶν διέρχεσθαι τὴν φύσιν, εἴ τις ἔροιτό μου περὶ τῆς ἑβδόμης ἡμέρας, εἰ κρίσιμος ὑπάρχει, κἄπειθ' ἑτοίμως ἀποκριναμένου μου περὶ τῆς ἕκτης ἐπανερωτῴη, τί ἂν ἀποκριναίμην αὐτῷ; εἰ μὲν γὰρ αὐτὴν προσηγορίαν ἐπιφέροιμι καὶ τῇδε, τάχ' ἄν τις δόξειέ με καὶ τὴν φύσιν αὐτῆς ὁμοίαν ὑπολαμβάνειν· εἰ δ' ὅτι τὴν φύσιν ἐναντία, διὰ τοῦτο ταύτην ἐξαιροίμην τῶν κρισίμων, ἴσως ἄν τις ὑπονοήσειεν ἐκ ταὐτοῦ γένους ὑπάρχειν αὐτὴν τῇ δωδεκάτῃ τε καὶ ἑκκαιδεκάτῃ, περὶ ὧν ἔμπροσθεν εἶπον ὡς οὐκ εἶδον αὐτὰς κρινούσας οὐδεπώποτε. περὶ μὲν δὴ τούτων ἑτοίμως ἀποφανοῦμαι, καθάπερ εἶπον καὶ περὶ

aſſimilare, ſexti vero tyranno. Ille ſiquidem providet tanquam bonus aliquis princeps iis quos judicat, ut vel ſupplicii partem adimat, vel illuſtret victoriam. Sextum vero diem e contrario finxeris vel pernicie illius quem judicandum accepit gaudere, vel ſalute dolere, quaerereque ubi animum expleat et male aegrum, qui in ipſum incidit tractet et longa punitione involvens exerceat. Age igitur, ſermo enim hic mihi ſiſtat priusquam aliorum dierum decretoriorum naturam explicem, ſi quis roget me de ſeptimo die an decretorius ſit, dein ubi hoc affirmarim ex parato, de ſexto rurſus quaerat, quid ei reſpondero? Nam ſi eandem huic quoque appellationem imponam, putabit forſan aliquis natura ipſum ſeptimo aſſimilem me exiſtimare, ſi vero natura contrarium, ideoque ex decretoriis diebus exemerim, forſan opinabitur, eodem genere cum duodecimo et decimoſexto comprehendi, de quibus antea dixi nunquam me videlicet vidiſſe ipſos judicantes. De his ſane quid ſentiam, prompte, ut de ſeptimo dixi, enunciabo. Illos enim,

τῆς ἑβδόμης. τὰς μὲν γὰρ, ὅτι μηδὲν ἔχουσι τῶν κριτικῶν γνωρισμάτων, οὐκ εἶναι κρισίμους ἐρῶ· (427) τὴν δ', ὅτι πάντα, διὰ τοῦτο κρίσιμον ὑπάρχειν. ἁπλῆν δ' οὕτως ὑπὲρ τῆς ἕκτης ἀπόφασιν οὐκ ἔχω ποιήσασθαι. κρίνει μὲν γὰρ πολλάκις, ἀλλ' ἐπιβούλως τε καὶ πονηρῶς, ὥστ' εἴπερ ἀναγκάζει μέ τις ἀποκρίνασθαι περὶ αὐτῆς, οὐ λόγῳ μακρῷ χρησάμενος ὥσπερ ὀλίγον ἔμπροσθεν, ὅτε διῄειν αὐτῆς ἅπασαν τὴν φύσιν, ἀλλ' ἐν κεφαλαίῳ περιλαβὼν κακὴν ἂν εἴποιμι κρίσιμον εἶναι τὴν ἕκτην ἡμέραν, ὥσπερ τὴν ἑβδόμην ἀγαθήν. οὐ μὴν οὕτω γε προσήκει κατακλείειν ἑαυτὸν εἰς ἁπλῆν καὶ στενὴν ἀπόφασιν ὑπὲρ πράγματος οὐχ ἁπλοῦ. τά τε γὰρ ἄλλα καὶ περὶ ὀνόματος ἁμιλλώμενοι λελήθασιν οἱ πολλοὶ τῶν ἰατρῶν. οἱ μὲν γὰρ τὴν ἀθρόαν ἐν νόσῳ μεταβολὴν ἡγοῦνται κρίσιν, οἱ δ', εἰ μὴ προσείη τὸ ἐπ' ἀγαθῷ, κρίσιν οὔπω τὸ τοιοῦτον ὀνομάζουσιν, ἔνιοι δὲ τούτων μὲν ἑκάτερον ἀποτέλεσμα κρίσεως εἶναί φασιν, τὴν κρίσιν δὲ αὐτὴν τὸν μεταβλητικὸν ἐπιφανῶς ἐν ὀξεῖ καιρῷ σάλον ὑπάρχειν οἴονται, ἐξ αὐτῆς δηλονότι τοῦ νοσήματος τῆς φύσεως γινόμενον, οὐκ ἔξωθεν· εἶτ' ἐρίζουσι

quod nullam criticam notam habent, non decretorios dicam; hunc, quia omnes habet, decretorium eſſe; de ſéxto non tam abſolutam enunciationem ſtatuere poſſum, decernit etenim frequenter de morbis, ſed doloſe et prave. Quapropter, ſiquis me cogat de ipſo ferre ſententiam, non longa oratione uſus, ut paulo ante quum univerſam ejus naturam recenſerem, ſed ſummam complectens, ſextum diem malum eſſe decretorium dixero, quemadmodum ſeptimum bonum. Non tamen ſic convenit ſimpliciter atque anguſta oratione de re non ſimplici pronunciare. Nam praeter alia medicorum plerique rei ipſius obliti de nomine contendunt, nonnulli ſubitam in morbo mutationem criſim exiſtimant, quidam, niſi bene aegro ceſſerit, tale criſim non vocitant, aliqui horum utrumque criſeos opus eſſe ajunt. At criſim ipſam perturbationem, quam jactationem dicunt, facientem conſpicue mutationem in morbo acuto, ex ipſa videlicet morbi natura provenientem, non extrinſecus eſſe

περὶ τοῦ σημαινομένου μακρὰ, μηδ᾽ αὐτὸ τοῦτο γινώσκοντες, ὡς ἀποχωρήσαντες τῶν ἰατρικῶν πραγμάτων ἢ διαλεκτικοῖς, ἢ γραμματικοῖς, ἢ ῥήτορσι πρέπουσαν ἐπαναιροῦνται σκέψιν. διαλεκτικοῦ μὲν γὰρ ὑπὲρ ὀνομάτων ὀρθότητος σκοπεῖσθαι, ῥητόρων δὲ καὶ γραμματικῶν, εἰ σύνηθες τοῖς Ἕλλησι τοὔνομα. [457] καὶ ταῦτα ποιοῦσιν ἔνιοι τῶν ἰατρῶν εἰς τοσοῦτον ἢ διαλεκτικῆς, ἢ γραμματικῆς, ἢ ῥητορικῆς ἐπαΐοντες εἰς ὅσον ὄνοι λύρας. οὗτοι μὲν οὖν καὶ τὰ τῶν ἰατρῶν ἀφέντες καὶ τὰ τῶν ἄλλων κακῶς μεταχειρισάμενοι καθ᾽ ἑκάτερα πλημμελοῦσιν. ἡμεῖς δὲ ὅπως μὲν ἄν τις ἄριστα χρῷτο τοῖς ἰατρικοῖς ὀνόμασιν, ἑτέρωθι δεδηλώκαμεν· ἐν δὲ τῷ παρόντι λόγῳ τῶν ἡμερῶν τὴν φύσιν ἐξηγήσασθαι προὐθέμεθα, τοὺς σοφιστικοὺς λήρους ἑτέροις παρέντες, οἷς οὐ τῶν ἔργων τῆς τέχνης φροντὶς, ἀλλὰ τοῦ φλυαρεῖν, ὥσπερ ἐπὶ μειρακίων διατριβαῖς. εἰρήσεται μὲν οὖν τι κἀν τοῖς ἑξῆς ὑπὲρ τῶν προειρημένων ὀνομάτων, ἵν᾽ ἔχῃ τις αὐτῶν λύειν τὰ σοφίσματα, διαστελλόμενος τὰς ὁμωνυμίας. ἐν δέ γε τῷ νῦν λόγῳ

arbitrantur. Deinde multum ac diu de ſignificato contendunt: neque id ipſum intelligentes, tanquam a rebus medicis deſciſcentes, vel dialecticis, vel grammaticis, vel rhetoribus convenientem ſpeculationem recipiunt, ſiquidem dialectici munus eſt de nominum rectitudine diſputare, rhetorum et grammaticorum eſt inſpicere nomen, an Graecis in uſu ſit. Atque haec nonnulli medicorum factitant, tantam vel dialectices, vel grammatices, vel rhetorices cognitionem ac intelligentiam habentes quantam aſinus lyrae. Hi ergo medicorum res omittentes et aliena male tractantes utrobique graviter peccant. Nos ſane quomodo quis medicis nominibus optime utatur, alibi monſtravimus. In praesenti commentario dierum naturam interpretari ſtatuimus, ſophiſtarum nugas aliis relinquentes, qui artis opera parum curant, ſed nugantur velut in adolescentium exercitationibus. Dicetur tamen nonnihil in ſequentibus etiam de praedictis nominibus, ut illorum cavillationes quis poſſit diluere, homonymias diſtinguens. Nunc autem prius ipſam

τῷ ἐνεστῶτι τὸ χρήσιμον αὐτὸ διέλθωμεν πρότερον, ὥσπερ ἐν ἁπάσαις ἐποιησάμεθα ταῖς πραγματείαις, ἵν' ἤδη τις ἔχων τοῦτο καὶ καρπούμενος ἐκ περιουσίας ἐλέγχειν μάθῃ τοὺς λήρους τῶν σοφιστῶν. τά τε γὰρ ἄλλα καὶ ὡς ἄνευ τῆς φλυαρίας αὐτῶν τῆς μακρᾶς ἔνεστιν ἐκμαθεῖν τοῖς εἰσαγομένοις εἰς τὴν τέχνην ἅπασαν ἀκριβῶς τῶν ἡμερῶν τὴν φύσιν ἐξ αὐτῆς τῆς διδασκαλίας ἔργῳ μαθεῖν ἔστι, καίτοι γε παντάπασιν ἀπέχεσθαι τῆς φλυαρίας αὐτῶν οὕτω δεδημοσιευμένης ἀδύνατον. ἀμέλει καὶ ἡμεῖς ἐν τοῖς ἔμπροσθεν λόγοις, καίπερ ἄκοντες, ὅμως αὐτῆς ἐφηψάμεθα.

Κεφ. ε'. Νόμιζε τοίνυν ἐκεῖνα μὲν οἷον προοίμιόν τί μοι διὰ τὸ τῆς θεωρίας ἔνδοξον γεγονέναι, τὸ δὲ χρήσιμον αὐτὸ καὶ διαφέρον εἰς τὰ τῆς τέχνης ἔργα νῦν λέγεσθαι πᾶν ἐφεξῆς, ὅτι μὲν χρήσιμον ὑπάρχει, καὶ χωρὶς συνηγορίας ἐνδεικνύμενον, ὅτι δὲ καὶ ἀληθὲς, οὐκ εὐθὺς φαινόμενον, ἀλλὰ τὴν ἐξ αὐτῶν τῶν πραγμάτων κρίσιν ἀναμένον. ὥστε καὶ τοὺς ἀναλεξομένους αὐτὸ παρακαλέσαι καιρὸς, ἐπειδὰν, ὥσπερ ἡμεῖς ἐκρίναμεν ἅπαντα τὰ τῇδε γεγραμμένα παμπόλλῳ χρόνῳ,

utilitatem explicemus, quemadmodum in omnibus commentariis fecimus, ut hunc jam tenens, eoque fruens ex abundantia, ſophiſtarum nugas reprehendere condiscas. Nam ut alia ſine longa ipſorum nugacitate artis candidati poſſunt discere, omnem adamuſſim dierum naturam ex ipſa doctrina opere poſſunt conſequi. Atqui in totum ab eorum loquacitate tam vulgata abſtinere impoſſibile eſt; poſtremo quoque in priore ſermone vel inviti ipſam attigimus.

Cap. V. Puta itaque illa vice prooemii alicujus propter ſpeculationis celebritatem mihi eſſe praelibata, utilitatem autem ipſam et praeſtantiam ad artis opera nunc deinceps dicere univerſam tempus poſtulat. Quod quidem utilitas ſit, etiam ſine appellatione oſtenditur: quod autem veritas, non ſtatim apparet, ſed ex ipſis rebus judicationem expectat. Quare lectores hoc adhortari opportunum eſt, ut poſtquam, quemadmodum et nos omnia hic ſcripta multo tempore ju-

καὶ αὐτοὶ βασανίσωσιν ἐπὶ τῶν ἀῤῥώστων αὐτὰ, τότ' ἀποφαίνεσθαι τολμᾷν ὑπὲρ τῆς ἐν τοῖς εἰρημένοις ἀληθείας, πρότερον δὲ μή. πάλιν οὖν αὖθις ἀρκτέον ἡμῖν ἐστιν ἀφ' ὧν περ ἐξ ἀρχῆς τοῦ γράμματος ὑπηρξάμεθα, καὶ λεκτέον ὅσα μὲν εἴρηται καὶ πρόσθεν διὰ κεφαλαίων ἀναλαμβάνουσιν, ὡς ὑπομνῆσαι μόνον, ὅσα δ' οὔπω λέλεκται, κατὰ διέξοδον ἑρμηνεύουσιν. εἴρητο μὲν δὴ ταῦτα, τὰς λύσεις τῶν νοσημάτων ὅσαι ἀθρόαι γίνονται, δεῖσθαί τινος ἐκκρίσεως, ἢ ἀποστάσεως ἐπιφανοῦς, εἶναι δὲ τῶν ἡμερῶν ἐν αἷς γίνονται τὰς φύσεις διαφερούσας· τὴν μὲν γὰρ ἑβδόμην καὶ πολλάκις λύειν καὶ τελέως καὶ πιστῶς καὶ ἀγαθῶς καὶ ἀκινδύνως καὶ σαφῶς καὶ εὐσήμως, τὴν δ' ἕκτην πολλάκις μὲν καὶ αὐτὴν, ἀλλ' οὐχ ὁμοίως τῇ ἑβδόμῃ. καὶ γὰρ καὶ τῇ ποσότητι τῶν λυομένων ἀπολείπεσθαι καὶ τῷ τρόπῳ τῆς λύσεως πάμπολυ διαφέρειν. οὔτε γὰρ ἀγαθὰς ὑπάρχειν αὐτὰς, ἀλλὰ τὰς πλείστας μοχθηρὰς, οὔτ' εἴπερ ἀγαθὰς, πάντως καὶ τελείας, ἀλλ' οὐδ' εἰ τελείας, εὐθὺς καὶ πιστάς· ὑποτροπιάζει γὰρ ἐνίοτε τὸ νόσημα, κἂν ἀκριβῶς δόξῃ λελύσθαι. καὶ μὲν δὴ καὶ ὅτι τὸ

dicavimus, ipfi quoque in aegris eadem exploraverint, tum audeant de dictorum veritate fententiam proferre, prius autem non. Rurfus igitur initium faciamus ab iis quae a principio libri incepimus, dicamusque quaecunque quidem prius dicta funt, per capita refumentes, ut folum memoria teneantur, quaecunque vero nondum diximus, enarratione fufa interpretemur. Haec autem dicta funt, morborum folutiones quae fubito univerfimque fiunt excretionem quandam vel abfceffum evidentem requirere. Dierum vero in quibus eveniunt naturas effe differentes, etenim feptimum et frequenter folvere et perfecte et cum fide et falubriter et fine periculo et clare et cum bonis fignis, fextum frequenter quidem et ipfum, fed non feptimo fimiliter, nam et pauciores ipfum judicare et folutionis modo plurimum differre, neque enim bonas falubresque ipfas effe, verum malas plurimas, neque, fi bonas folutiones, omnino et perfectas, imo neque, fi perfectas, ftatim etiam cum fide, quia

μετὰ κινδύνων τε καὶ ἀσαφῶς ἰδιαίτατόν ἐστι τῆς ἕκτης ἡμέρας, καὶ τοῦτο εἴρηται. τό γε μὴν ἀσήμως οὐ πάνυ τι τῆς ἕκτης ἴδιον, ἀλλ᾽ ἔστιν αὐτῆς ὥσπερ καὶ τῆς ἑβδόμης ἐπίδηλος ἡ τετάρτη. ταῦτα μὲν οὖν εἴρητο, προστιθέσθω δὲ τὰ λείποντα. [458] τῆς ἑβδόμης τὴν φύσιν ἡ τεσσαρεσκαιδεκάτη μάλιστα μὲν μιμεῖται, πλησίον δ᾽ αὐτῶν ἐστιν ἐννάτη τε καὶ ἑνδεκάτη καὶ εἰκοστή. καὶ ταύταις ἐγγὺς ιζ´ καὶ ε´ καὶ μετὰ ταύτας ἡ τετάρτη καὶ μετὰ ταύτην ἡ τρίτη τε καὶ ἡ ιη´. τῆς δ᾽ ἕκτης τὴν φύσιν οὐδεμία μὲν ἀκριβῶς ἐμιμήσατο τῶν ἄλλων ἡμερῶν. εἴ ποτε δ᾽ εἰς τὴν ὀγδόην ἡμέραν ἢ τὴν δεκάτην ἐμπέσῃ λύσις ἀθρόα νοσήματος, ὁμοιοῦταί πως τῇ κατὰ τὴν ἕκτην, ἀλλὰ καὶ σπανίως ἐν ταύταις λύεται καὶ οὔτε πιστῶς οὔτε ἀγαθῶς οὔτε τελείως, ἔτι τε πρὸς τούτοις ἀσαφῶς τε ἅμα καὶ ἀσήμως, ὥσθ᾽ ἑτέρας εἶναι φύσεως αὐτὰς πρὸς τὰς ἔμπροσθεν εἰρημένας. ὥσπερ δ᾽ ἐν ταύταις οὐ λύεται νόσημα ἀθρόως, οὕτως οὐδ᾽ ἐν ταῖς ἐφεξῆς εἰρησομέναις δωδεκάτῃ καὶ ἑκκαιδεκάτῃ καὶ ἐννεακαιδεκάτῃ. μεταξὺ δέ πως

nonnunquam morbus revertitur, exacte licet solutus esse videatur. Quinetiam cum periculo et obscure sextum diem judicare, idque ei maxime proprium esse, hoc quoque diximus. Attamen sine signis judicium non omnino sexti proprium est, sed quartus ipsius, ut etiam septimi index est. Haec igitur praefati sumus; quae restant nunc adjiciamus. Septimi naturam decimusquartus maxime imitatur. Proximi his sunt nonus, undecimus et vigesimus. Prope hos vero decimusseptimus et quintus, post hos quartus, hunc sequuntur tertius et decimusoctavus. At sexti naturam nullus exacte aliorum dierum imitatur. Si aliquando autem in octavum diem, vel decimum subita morbi solutio incidat, similis fere ei est, quae in sexta accidat, verum raro in his solvitur, nec cum fide, nec bene, nec perfecte, insuper ad haec obscure simul et citra notas, unde alterius esse naturae ipsi cum supra dictis ostenduntur. Quemadmodum in his morbus subito non solvitur, ita nec in iis quos statim recensebimus, duodecimo, sextodecimo et nonodecimo. Medius

τούτου τοῦ στοίχου τοῦ νῦν εἰρημένου πάντως, τῶν μὴ λυουσῶν ἀθρόως ἡμερῶν, τῆς ὀγδόης λέγω καὶ τῆς δεκάτης καὶ τῆς δωδεκάτης καὶ τῆς ἑκκαιδεκάτης καὶ τῆς ἐννεακαιδεκάτης, καὶ τοῦ πρόσθεν εἰρημένου τῶν λυουσῶν, τῆς τε τρίτης καὶ τετάρτης καὶ πέμπτης καὶ ἕκτης καὶ ἑβδόμης καὶ ἐννάτης καὶ ἑνδεκάτης· καὶ τεσσαρεσκαιδεκάτης καὶ ἑπτακαιδεκάτης καὶ ὀκτωκαιδεκάτης καὶ εἰκοστῆς, ἡ τρισκαιδεκάτη μάλιστά μοι φαίνεται τετάχθαι, μήθ' ὁμοίως ἀπόβλητος οὖσα ταῖς ἐν τῷ δευτέρῳ στοίχῳ μήθ' ὁμοίως ταῖς ἐν τῷ πρώτῳ λύειν πεφυκυῖα. τοιαύτη μέν τις ἡ τῶν εἰρημένων ἡμερῶν ἄχρι τῆς εἰκοστῆς διαφορά· τὰς δ' ἐφεξῆς ἁπάσας ὕστερον ἐρῶ, πρότερόν γε τοῦτ' ἀναμνήσας ὅπερ ὑπεσχόμην ὀλίγον ἔμπροσθεν, ὡς ὅσον εἰς τὰ ἔργα τῆς τέχνης διαφέρει, μακροῦ μὲν εἰς εὕρεσιν δεῖται χρόνου, βραχυτάτου δ' εἰς διδασκαλίαν. τὸ δ' ἄλλο πᾶν ἤτοι λῆρός ἐστι σοφιστῶν ἢ πρὸς τούτους ἀντιλογία, λῆρος μὲν οὖσα καὶ αὐτὴ, κάλλιον γὰρ ἦν αὐτῶν καταφρονεῖν, ἀλλὰ διὰ τοὺς νέους ἐνίοτε τοὺς ὑπὸ τῶν σοφισμάτων ἐξισταμένους τῶν κατὰ φύσιν λογισμῶν χώραν ἀναγκαίαν λαμβάνουσα. τὸ οὖν προκείμενον ἤδη δέ-

vero quodammodo est omnino inter ordines nunc dictos, ordo dierum subito non solventium, octavi dico, decimi, duodecimi, decimisexti, decimi noni, quos jam retulimus, et tertii, quarti, quinti, sexti, septimi, noni, undecimi, decimiquarti, decimi septimi, decimioctavi, vigesimi, decimustertius maxime videtur mihi esse positus, nec scilicet ita rejiciendus, sicut hi qui secundae sunt notae, nec ita solvere morbos natus sicut ii qui primae sunt notae. Hujusmodi quaedam dictorum dierum ad vigesimum usque differentia est. Reliquas ordine deinceps dicturus sum, hoc primum in memoriam revocato, quod ante paulum promisi. Nam quantum ad artis opera attinet, longo ad inventionem tempore opus est, brevissimo autem ad doctrinam, quicquid est aliud reliquum, vel sophistarum nugae, vel adversus hos controversia est, etsi haec quoque deliramentum sit; praestaret enim ipsos despicere; propter juvenes tamen et qui aliquando cavillationibus circumventi a naturali ratiocinatione recedunt, necessario locum habet. Igitur quid pro-

δεικται σαφῶς, ὡς καὶ χωρὶς τῶν ὀνομάτων τοῦ τε (428) κρίνεσθαι καὶ κεκρίσθαι καὶ κρίσεως καὶ κρισίμου τὴν διήγησιν ἐποιησάμην τῆς τῶν ἡμερῶν διαφορᾶς, οὐκ ἐκ λόγου τινὸς ἢ δόγματος τῶν ἀποῤῥήτων εἰσηγησάμενος, ἀλλ' ἐκ μόνης τῆς πολυχρονίου πείρας ἀθροίσας τὴν θεωρίαν. ὅστις δὲ ταύτην καταλιπὼν, ἢ πῶς ὁρίζεσθαι χρὴ τὴν κρίσιν, ἢ τίς λόγος ἐστὶ δι' ὃν οὐχ ὁμοίως ἐν ἁπάσαις ταῖς εἰρημέναις ἡμέραις αἱ κρίσεις γίνονται ζητεῖ, σοφισταῖς ἀφορμὴν ἀντιλογίας παρέξει, οἳ τοῖς τοιούτοις λόγοις ἀντιλέγοντες οἴονται τὸ πρᾶγμα διαβαλεῖν αὐτό· καθάπερ εἴ τις ταῖς ὀπτικαῖς αἰτίαις, ἃς οἱ φιλόσοφοι λέγουσιν, ἀντειπὼν ἀνῃρηκέναι νομίζει τὴν ὄψιν, ἢ εἴ τις ἀπορήσας τοὺς περὶ τῆς κινήσεως λόγους, ἢ τοὺς περὶ τόπου καὶ χρόνου καὶ γενέσεως καὶ φθορᾶς, οἴοιτο σὺν τοῖς λόγοις ἀνῃρηκέναι καὶ τὰ πράγματα. τοιαύτη γάρ ἐστι καὶ ἡ τῶν σοφιστῶν κατά τε κρίσεως καὶ κρισίμων ἡμερῶν ῥητορεία, τὸ μὲν φαινόμενον αὐτὸ μὴ δυναμένων ὑπαλλάξαι, τὰ σημαινόμενα δὲ μετατιθέντων, καὶ πρὸς ὁρισμούς τινας ἀντιλεγόντων, καὶ τὰ περὶ τῆς φύσεως τῶν ἀριθμῶν δόγματα δια-

posuerimus, manifeste jam liquet. Nam sine nominibus etiam his judicari, judicatum esse, crisim et decretorium differentias dierum interpretatus sum, non a ratione quadam, vel dogmate abditorum eas introducens, verum ex solo diuturno usu speculationem constituens. Porro quicunque hoc omisso, vel quomodo crisim definire conveniat, vel quae ratio sit, cujus occasione non aeque in universis praedictis diebus crises fiunt, disquirit, sophistis controversiae ansam praebebit, qui hujusmodi sermonibus contradicentes, rem ipsam se subvertere putant, veluti siquis videndi causis, quas philosophi dicunt, reclamans, se visum sustulisse eredat, vel siquis de motu quid dicat non habeat, vel de loco, tempore, generatione et corruptione, cum sermonibus res quoque sustulisse arbitretur. Talis est enim de crisi et decretoriis diebus sophistarum dicendi facultas, qui evidens ipsum sane amovere non possunt, significata vero transponunt et ad definitiones quasdam reclamant, postremo placita de natura numerorum proscindunt. Quan-

σειόντων. ἀλλ' ἥ γ' ὑφ' ἡμῶν ἄρτι γεγραμμένη διδασκαλία τούτων μὲν οὐδενὸς ἐφήψατο, καὶ διὰ τοῦτο ἀποφράττει τὸ τῶν σοφιστῶν στόμα· τὸ χρήσιμον δ' αὐτὸ διὰ ταχέων ἐκδιδάσκει. ὡσαύτως δ' ἂν καὶ διὰ ταχέων ἐμήνυσα τὰς μετὰ τὴν εἰκοστὴν ἡμέραν διαφοράς, εἰ μή τίς γε κατεῖχεν ἀναγκαῖος λόγος, ὃν καὶ αὐτὸν οἱ μὲν ἐκ τῆς ἐμπειρίας ὁρμώμενοι καὶ μηδὲν τοῖς ἐναργῶς φαινομένοις προσδοξάζοντες ἀκριβῶς ἴσασιν, οὐ μὴν οἵ γε πρῶτον ἀναλαμβάνοντες τὴν τέχνην.

Κεφ. στ'. [459] Ἔστι δ' οὗτός τις ὁ ζητῶν ἥτις ποτὲ τῶν νοσημάτων ἡ ἀρχή· καὶ γὰρ ἀγρυπνοῦσι καὶ ἀνορεκτοῦσι καὶ κεφαλὰς βαρύνονται καὶ νωθροὶ καὶ δυσκίνητοι καὶ κοπώδεις γίνονται καὶ μυρία τοιαῦθ' ἕτερα πάσχουσιν οἱ πλεῖστοι τῶν μελλόντων νοσήσειν. καὶ ταῦτ' εἰσβάλλει μὲν αὐτοῖς τὴν πρώτην σμικρὰ, παραύξεται δ' ἀεὶ καὶ μᾶλλον κατὰ βραχὺ περιερχομένοις ἤδη καὶ τὰ συνήθη πράττουσιν. ἐπειδὰν δὲ πρῶτον νικηθῶσιν ὑπὸ τοῦ δυσαρεστήματος, τηνικαῦτα κατακλίνονται. τίνα δ' οὖν ἀρχὴν τῷ νοσήματι θέσθαι προσήκει, χαλεπὸν εἶναι δοκεῖ. τὴν μὲν γὰρ ἀκριβῶς πρώτην

quam a nobis nuper fcripta doctrina nihil horum attigit, atque hujus rei gratia fophiftarum os obturat, utilitatem ufumque breviter edocet. Pari modo dierum poft vigefimum differentias compendiofe tractaffem, nifi ratio quaedam neceffaria obftitiffet, quam et ipfam empirici, qui nihil aliud recipiunt nifi evidenter apparentia, accurate noverunt, non tamen qui primum artem recipiunt.

Cap. VI. Haec autem ipfa ratio ea eft quae inquirit, quodnam tandem fit morborum principium. Etenim vigilant, cibos faftidiunt, capite gravantur, fegnes et ad motum pigri fiunt, toto corpore laffitudinem fentiunt, aliaque id genus infinita patiuntur plurimi aegrotaturi. Atque haec primo adveniunt modice, verum femper magis augescunt paulatim, obambulantibus jam et confueta facientibus. Pofteaquam vero nimis quam displicere fibi coeperint, ac ab affectu victi primum fuerint, tunc decumbunt. Unde perfpicuum evadit morbi principium ftatuere conveniens non levioris effe negotii, quippe ad amuffim primum infenfibile

σχεδὸν ἀναίσθητον ὑπάρχειν, τὴν δ', ὅτε κατεκλίθη, κατακλίσεως μὲν ἀρχὴν εἶναι, νόσου δ' οὐκ εἶναι. καὶ γὰρ καὶ τὸ καρτερικοὺς ὑπάρχειν καὶ ἀταλαιπώρους καὶ τὸ κατέχεσθαι πρός τινος ἐπὶ πολιτικῆς πράξεως, ἢ καὶ βαδίζειν ὁδὸν μακροτέραν καὶ πόῤῥω τῆς τοῦ οἴκου καταγωγῆς εἶναι, καὶ δι' ἄλλας τοιαύτας αἰτίας δύναταί τις οὔπω μὲν κατακεκλίσθαι, κεκακῶσθαι δέ· καὶ μέν γε καὶ μαλακός τις τὴν γνώμην καὶ ταλαίπωρος καὶ δειλὸς καὶ ὕποπτος ἐπὶ μικραῖς προφάσεσιν εὐθὺς κατακλίνεται. τὴν τίνος οὖν κατάκλισιν ἀρχὴν τοῦ νοσήματος ὑποληπτέον, οὐκ ἄν τις ἐξεύροι ῥᾳδίως. καὶ μὴν εἰ μήτε τὴν πρώτην ἀκριβῶς ἀρχὴν οἷόν τε λαβεῖν ἐστι μήτε τὴν κατάκλισιν εὔλογον ὑποθέσθαι τοῦ νοσήματος ἀρχὴν ὑπάρχειν, δῆλον ὡς οὐδ' ἄλλον τινὰ χρόνον ἢ τὸν πρὸ τῆς κατακλίσεως, ἢ τὸν μετ' αὐτήν. οἱ μὲν γὰρ ἔμπροσθεν ἅπαντες ἀδίκως ληφθήσονται τῆς πρώτης ἀρχῆς παροφθείσης· οἱ δ' αὖ μετὰ τὴν κατάκλισιν ἔτ' ἀδικώτερον, εἰ μηδ' ὁ ταύτης χρόνος ἀρχὴ τοῦ νοσήματος ὑπάρχει. τοιαῦται μὲν αἱ ἀπορίαι, λύσεις δ' αὐτῶν πολυειδεῖς. ἡ μὲν πρώτη καὶ μεγίστη τὸ πολλὰς νόσους ἐξαίφνης εἰσβάλλειν ἢ ἅμα ῥίγεσιν, ἢ σὺν

esse, ubi jam decubuerit, non morbi, sed decubitus esse principium. Etenim quod fortiores quidam sunt malique patientes, item quod detinentur aliquo civili negotio, longiusque eunt et procul a domo deducuntur, atque ob alias hujusmodi causas possit quis nondum decumbere, sed male affectus quidem esse, si mollis quispiam animo, imbecillis, timidus et de qualibet levi causa suspiciosus, statim decumbit. Cujus igitur decubitus morbi initium putandus, nemo facile invenerit. Atqui si neque primum exacte principium capere licet, neque decubitum, morbi initium constituere sit aequum, constat neque aliud tempus aliquod vel ante decubitum vel post eum. Siquidem priora omnia inique capientur, primo principio neglecto, quae post decubitum sunt, multo iniquius, si neque hujus tempus morbi exordium est. Hujusmodi quidem sunt dubitationes. Porro ipsorum solutiones diversae sunt. Prima et maxima multos morbos repente invadere, vel simul cum rigore, vel dolore vehementi, nullo

ἀλγήμασιν ἰσχυροῖς, μηδενὸς ὅλως αἰσθητοῦ συμπτώματος αὐτῶν προηγησαμένου. τὰς οὖν ἄλλας ἐάσας νόσους, ἐν αἷς ἀσαφεῖς αἱ ἀρχαὶ, τὴν πεῖραν τῶν κρινουσῶν ἡμερῶν ἐπὶ τῶν σαφεστάτων ποιοῦμαι. καὶ γὰρ καὶ δειπνήσασιν εὐφορώτατα πολλοῖς καὶ γυμνασαμένοις καὶ λουσαμένοις ἐξαίφνης εἰσέβαλε νοσήματα, καθάπερ καὶ Ἱπποκράτης ἐπὶ πολλῶν ἀῤῥώστων ἔγραψεν· ὥσπερ αὖ πάλιν ὁ αὐτὸς Ἱπποκράτης ἐφ᾽ ἑτέρων ἀῤῥώστων εἴωθε γράφειν ὅτι πρὶν ὑπάρξασθαι νοσεῖν ὀρθοστάδην ἠνωχλοῦντο. καίτοι καὶ αὐτὸ τοῦτο λέγοντες, τὸ πρὶν ἄρξασθαι νοσεῖν, λελήθαμεν ἡμᾶς αὐτοὺς ἐξομολογούμενοι τἀληθές. ἀρχὴν γὰρ τοῦ νοσεῖν ἐκεῖνον εἶναι νομιστέον αὐτοῖς τὸν χρόνον ἡνίκα σαφῶς ἀρξάμενοι πυρέττειν κατεκλίθησαν. οὐ γὰρ δὴ ταὐτόν γέ ἐστι κεφαλῆς ἄλγημα καὶ πυρετὸς, ὥσπερ οὐδ᾽ ἀγρυπνία καὶ ἀνορεξία καὶ βάρος ὅλου τοῦ σώματος, ἢ κοπώδης αἴσθησις, ἀλλ᾽ ἕκαστον τούτων ἕτερόν τι τοῦ πυρέττειν ὑπάρχον ἀγγέλλει πυρετόν. σὺ μὲν οὖν ὦ σοφιστὰ τὸν νοῦν τούτοις πρόσεχε. πυρετὸς δ᾽ εἰσβαλὼν καὶ μάλιστ᾽ ὀξὺς οὔθ᾽ ἡμᾶς λαθεῖν οὔτ᾽ ἰδιώτην

plane ſenſibili ſymptomate eos praegreſſo. Morbis itaque aliis, in quibus obſcura principia ſunt, omiſſis decretorios dies in manifeſtiſſimis experiamur. Etenim et quum coenaverint facillime plerisque et ſe exercuerint, laverintque, ſubito morbus advenit, quemadmodum Hippocrates quoque de multis aegris ſcriptum reliquit. Ut idem auctor de aliis aegrotis ſcribere conſuevit, quod priusquam aegrotare inciperent, ſtantes ſatigabantur. Et quidem hoc ipſum dicentes, antequam morbus incepiſſet, inſcii ac imprudentes veritatem confitemur, nam morbi initium tempus illud ipſis putandum eſt, quum manifeſto febricitare incipientes decubuerint. Non enim idem ſunt capitis dolor et febris, ſicut nec vigilia et cibi faſtidium et totius corporis gravitas, vel laſſitudinis ſenſus, verum ſingula haec diverſa quaedam a frebre exiſtentia febrem denunciant. Tu igitur o ſophiſta mentem his adverte. Febris invadens maximeque acuta, neque nos neque idiotam quemlibet latere poteſt. Finge autem, ſi vo-

οὐδένα δύναται. θὲς δ᾽, εἰ βούλει, καὶ λαθεῖν, ἀλλὰ θαυμάζοιμ᾽ ἂν εἰ πλέον ὥρας λήσει τὸν κάμνοντα, κἂν ἀναισθητότατος ᾖ. νομιζέσθω τοίνυν εἰσβεβληκέναι δεκάτης ὥρας, ἔστω δ᾽ ἡ κατὰ ἀλήθειαν ἀρχὴ μὴ δεκάτης, ἀλλὰ θ᾽ ὥρας γεγενημένη, τί τοῦτο πρὸς τὰς κρισίμους ἡμέρας; πάνυ γοῦν, ὡς ὁρᾷς, παρὰ τοῦτο τὰ τῆς ἰατρικῆς τέχνης ἔργα διαφθείρεται, παρ᾽ ὅσον τῶν νοσούντων ἐνίους ἔλαθεν ὥρα μία. ὅ γέ τοι πάντων ἰατρῶν ἀκριβέστατος σύμπαντα τὰ τοιαῦτα παραφυλάξας Ἱπποκράτης, [460] ὥσπερ ὅτι πολλοὶ μὲν ἐξαίφνης ἤρξαντο πυρέττειν, οὐδενὸς ἔμπροσθεν αὐτοῖς γενομένου συμπτώματος, ἔνιοι δ᾽ ὀρθοστάδην ἐνοχληθέντες, ἐνέγραψεν, οὕτω καὶ τὰς κρίσεις ἐτήρησε γινομένας ἀφ᾽ ἧς πρώτης ἡμέρας ἐπύρεξεν ὁ ἄνθρωπος, οὐκ ἀφ᾽ ἧς ἤλγησε κεφαλὴν, ἤ τι τοιοῦτον ἕτερον ἠνωχλήθη. ἐπὶ ταῖς τοιαύταις γὰρ ἀρχαῖς ἡ τῶν κρινουσῶν ἡμερῶν ἐμπειρία τοῖς ἰατροῖς. σὺ δ᾽ εἰ τὰς λόγῳ θεωρητὰς ἀρχὰς ἐπισκοπεῖσθαι βούλει, τάχα τοῦ τῆς ἀειπαθείας ἐφάψῃ δόγματος. ἀλλ᾽ οὐχ ἥ γε τῶν Ἀσκληπιαδῶν ἰατρικὴ τοιαύτη, λόγῳ γὰρ θεωρητοὺς ἐκεῖνοι πυρετοὺς οὔτε

les, latere nos quoque, fed mirarer fi diutius hora aegrotantem, licet omnino fenfus expers fit, latuerit. Putet itaque invafiffe hora decima, fit autem verum initium quod non decima, fed nona hora contigerit, quid hoc ad dies decretorios? In hoc artis medicae opera nimis, uti vides, pereunt, quod aegrotantium nonnullos hora una latuit. Hippocrates fane medicorum omnium diligentiffimus, univerfa haec quum obfervaffet, quemadmodum quod complures repente nullo prius oborto fymptomate, quidam *ftantes recti fatigati febricitare inceperunt*, memoriae prodidit, ita judicationes evenientes a primo die, quo febricitavit homo, non ab illo quo capite doluit, vel hujusmodi aliud quippiam paffus eft, accurate infpexit, quoniam in hujusmodi principiis decretoriorum dierum experientia medicis eft. Porro tu, fi principia ratione contemplabilia vis infpicere, forfan perpetuae invaletudinis placitum attinges, at non Asclepiadarum medicina talis eft. Ratione fiquidem contempla-

διαγινώσκειν οὔτε θεραπεύειν ἠξίουν· οἱ δ᾽ αἰσθητοὶ καὶ σαφεῖς, καὶ μάλισθ᾽ ὅταν ὀξεῖς ὦσιν, ἐφ᾽ ὧν δὴ καὶ μάλιστα τῆς τῶν κρισίμων ἡμερῶν θεωρίας χρήζομεν, οὔτ᾽ ἰδιώτην οὐδένα λαθεῖν οὔτε ἰατρὸν δύνανται. τί δὴ καὶ βούλει; πότερον ἐκ τῶν ἐξαίφνης κατακλιθέντων ποιήσασθαι τὴν τήρησιν, ἢ τῶν ὀρθοστάδην ἐνοχληθέντων; Ἱπποκράτης μὲν γὰρ ἐπ᾽ ἀμφοτέρων ποιησάμενος τὰς αὐτὰς ἐπ᾽ ἀμφοῖν ἀπεφήνατο κρισίμους, οὐχ ὅτε πρῶτον ἤλγησε τὴν κεφαλὴν, ἀλλ᾽ ὅτε πρῶτον ἐπύρεξε, τὴν ἀρχὴν τοῦ νοσήματος ὑποθέμενος. οὕτω δὲ καὶ τῶν ἄλλων ἕκαστος οἷς τῆς τέχνης ἐμέλησεν, οὐ λόγων ψευδῶν πιθανῶς συγκεκροτημένων. ἡ μὲν δὴ τῶν νοσημάτων ἀρχὴ παντὸς μᾶλλον εὔγνωστος ἰατροῖς. εἰ δέ τις ἑαυτὸν ἐξαιρεῖ τῆς προσηγορίας τῆσδε καὶ μήπω πείθεται καὶ ληρεῖν οὐ μόνον ἡμᾶς, ἀλλὰ καὶ Ἱπποκράτην καὶ Διοκλέα καὶ τοὺς ἄλλους ὧν ὀλίγον ἔμπροσθεν ἐμνημόνευσα νομίζει, νικάτω νίκην οὗτος Καδμείαν.

Κεφ. ζ. Ἐμοὶ γὰρ οὐ σοφιστὰς ἐξελέγχειν πρόκειται νῦν, ὅ τι μὴ πάρεργον, ἀλλὰ τοῖς ἀλήθειαν σπουδάζουσιν ἧς

biles illi febres neque dignoscere neque curare dignati funt, fenfiles autem et manifeftas et potiffimum dierum contemplationem requirimus, neque idiotam quemlibet, neque medicum) latere poffunt. Quid jam tibi vis? an iis qui ftatim decubuerunt, obfervationem facere, vel qui recte obambulantes defatigati funt? Hippocrates etenim in utrisque faciens, eosdem de ambobus decretorios pronunciavit, non ubi primum capite doluit, fed quum primum febricitavit, morbi initium conftituens. Ita etiam finguli alii quibus ars curae eft, non fermonibus falfis probabiliter contextis. Jam quidem morbi principium medicis facillime cognoscitur. Si quis vero fe ipfum ab hac appellatione eximit, nondumque perfuafum habet, tum nugari non folum nos, fed etiam Hippocratem, Dioclem reliquosque alios quorum prius mentionem fecimus exiftimat, is Cadmeam victoriam vincat.

Cap. VII. Nos enim fophiftas reprehendere nunc non inftituimus, quoniam fupervacuum, verum iis qui ve-

γινώσκω κοινωνῆσαι θεωρίας. ἔστω δή τις τοιοῦτος ἡμῖν ἄῤῥωστος ἐξ ὑποθέσεως εἰς σαφήνειαν τῆς (429) διδασκαλίας προκείμενος, τῇ δεκάτῃ τῆς ἡμέρας ὥρᾳ πυρέττειν ὀξέως ἀρξάμενος, ἐφ᾽ οὗ ζητεῖν ἐπιτρέψαντες τοῖς σοφισταῖς τὴν λόγῳ θεωρητὴν ἀρχὴν, αὐτοὶ τὴν δευτέραν ἡμέραν, ἢ εἴ τιν᾽ ἀρχὴν ἑτέραν ἐν αὐτῇ ποιεῖται παροξυσμὸς ἕτερος, αἰσθητὴν καὶ σαφῆ παραφυλάξομεν· εἶθ᾽ οὕτω καὶ τὴν τρίτην, ἵν᾽ εἴτε διὰ τρίτης, εἴτε καὶ καθ᾽ ἑκάστην ἡμέραν οἱ παροξυσμοὶ γίνονται, γινώσκωμεν· ἔτι δὲ τούτου μᾶλλον, εἴτ᾽ ἐν ταῖς ἀρτίαις, εἴτ᾽ ἐν ταῖς περιτταῖς ἡμέραις παροξύνεται σφοδρότερον. ἔστω δὴ συνεχὴς μὲν ὁ πυρετὸς, διὰ τρίτης δ᾽ οἱ παροξυσμοί· καὶ τῇ τρίτῃ μὲν τῶν ἡμερῶν ἑνδεκάτης ὥρας, τῇ πέμπτῃ δὲ νυκτὸς ὥρας πρώτης παροξυνέσθω, τῇ δὲ ἑβδόμῃ νυκτὸς ὥρας τρίτης· ἀεὶ γὰρ ὑποκείσθω δυοῖν ὥραιν ὑστερίζειν τὸν παροξυσμὸν, ὥστε καὶ τῆς ἐννάτης νυκτὸς ὥρᾳ πέμπτῃ παροξυνθήσεται καὶ τῆς ἑνδεκάτης ἑβδόμῃ. ἔστω δὴ τούτῳ τὰ μὲν ἄλλα παραπλήσια δι᾽ ὅλου τοῦ νοσήματος ἀπὸ τῆς ἀρχῆς ἕως τῆς ἑνδεκάτης νυκτὸς, κατὰ δὲ τὴν ἑνδεκάτην εὐχρούστερά τε ἅμα γινέσθω τὰ οὖρά καί τινα καὶ λευκὴν

ritatem ſectantur ſpeculationem noſtram impertimus. Ponamus jam hujusmodi quendam aegrum, clarioris doctrinae gratia, qui decima diei hora acuta febre conflictari incipiat, unde ſophiſtis quaerere jubentes principium ratione contemplabile, ipſi ſecundum diem an aliquod aliud initium acceſſio altera in ipſo faciat ſenſibile et clarum, obſervabimus. Dein eodem modo tertium, ut ſive per triduum ſive quotidie fiant acceſſiones, cognoscamus, hoc autem magis, ſive in paribus, ſive in imparibus diebus vehementius intendatur. Eſto febris continua, per triduum vero acceſſiones, tertio quidem die hora undecima, quinto noctis hora prima acceſſionem habet, ſeptimo noctis hora tertia; ſemper enim acceſſionem duabus horis poſt venire ſtatuamus, quapropter etiam noni diei noctis hora quinta, undecima ſeptima fiet acceſſio. Sunto jam huic alia ſimilia per univerſum morbi decurſum a principio ad usque noctem undecimam. Undecimo vero die coloratiores ſimul urinae reddantur et quaſi albae nubeculae in iis

νεφέλην ποιείσθω πρότερον οὐ γεγενημένην. ἐνταῦθα πρῶτον μὲν ἐλπὶς οὐ σμικρὰ τοῖς γε ὄντως ἰατροῖς ἐν τῇ ιδ΄ λυθήσεσθαι τὸ νόσημα, συμβαίνει μὴν πολλάκις ὑπερεκπίπτειν τὴν λύσιν εἴς τινα τῶν ἐφεξῆς ἡμερῶν. ἀλλὰ τοῦτο μὲν ὅπως γίνεται τοῦ περὶ κρίσεών ἐστιν ἴδιον λόγου, καὶ διὰ τοῦτο ἐν ἐκείνῳ ῥηθήσεται. [461] τὸ δέ γε νῦν εἶναι πρόκειται μὲν ὁ περὶ τῶν κρισίμων ἡμερῶν λόγος. οὗ δ' ἕνεκα τοῦ παραδείγματος ἐδεήθην, ἐγγὺς ἥκειν ἔοικεν. εἰσβαλλέτω γὰρ ὁ τῆς τρισκαιδεκάτης νυκτὸς παροξυσμὸς οἱαδηποτοῦν ὥρᾳ μετὰ ῥίγους. ἐνδέχεται γὰρ αὐτὸν καὶ προλαβεῖν τὴν ὥραν τὴν συνήθη καὶ μὴ προλαβεῖν, ἄμφω γὰρ γίνεται, καὶ πλέον γε θάτερον, τὸ προλαβεῖν, ὅταν μέλλῃ γενήσεσθαι κρίσις. ἔστω δ', εἰ βούλει, καὶ δύσφορος ἡ τρισκαιδεκάτη νὺξ ἅπασα γεγενημένη πρὸς τὸ βεβαιότερον ἡμᾶς ἐλπίσαι τὴν κρίσιν. οὐ γὰρ ἐνδέχεται τὸν οὕτω νοσήσαντα μὴ κριθῆναι κατὰ τὸν ἐπὶ τῆς τρισκαιδεκάτης νυκτὸς ἀρξάμενον παροξυσμόν. ἵν' οὖν μηδὲν ἀδιόριστον εἴη, κείσθω μὲν ἡ νὺξ δύσφορος, εἰσβαλλέτω δὲ ὁ παροξυσμὸς ὥρας ὀγδόης μετὰ ῥίγους σφοδροῦ, καὶ μηδὲν

innatent prius non visae. Hic non mediocris spes est vere medicis morbum in decimoquarto die solutum iri, evenit tamen subinde solutionem in dierum quendam sequentium incidere. At hoc quo pacto fiat sermonis de judiciis proprium exiftit, eaque de causa in illo dicemus, nunc autem de decretoriis diebus differere proposuimus. Cujus autem gratia exemplum requirebam, propius venire apparet. Invadat enim quotacunque hora decimae tertiae noctis accessio cum rigore, fieri siquidem potest ut horam consuetam praeoccupet, aut non praeoccupet, ambo enim eveniunt, magis tamen alterum, ut praeoccupet, quum crisis futura est. Sit jam quoque molesta gravisque, si placet, tota nox decimatertia facta, quo certius firmiusque crisim fore speremus, quoniam impossibile est eum qui tam graviter laborarit in accessione quae decimatertia nocte incepit non judicari. Jam vero ut nihil indefinitum sit, fingamus noctem gravem, invadat accessio hora octava cum vehementi rigore, nullum-

ἄλλο τῶν ταῖς κρίσεσι προσεδρευόντων παρέστω σύμπτωμα· γινέσθω δὲ καὶ ὁ σφυγμὸς ἄτακτος μὲν καὶ ἀνώμαλος, ἀλλ' αἱ πλείους κινήσεις ὑψηλαὶ καὶ μεγάλαι φαινέσθωσαν· ὁ τοιοῦτος ἄῤῥωστος, ἐπειδὰν ὁ μετὰ τοῦ ῥίγους γενόμενος παροξυσμὸς ἀπολάβῃ τὴν οἰκείαν ἀκμὴν, ἱδροῦν εὐθὺς ἄρχεται κρισίμως ἐν τῇ ιδ' δηλον'τι τῶν ἡμερῶν. οὕτως γὰρ συμβαίνει τῆς ιγ' νυκτὸς ὀγδόης ὥρας εἰσβάλλοντος τοῦ παροξυσμοῦ. γινέσθω τοίνυν πρὸς λόγον ἀεὶ τῆς κενώσεως εὐπνούστερός τε καὶ εὐκινητότερος καὶ εὐσφυκτότερος καὶ εὐφορώτερος, καὶ δι' ὅλης γε τῆς ἡμέρας ἱδρούτω πολλῷ καὶ θερμῷ διὰ παντὸς τοῦ σώματος ὁμαλῶς, εἶτ' εἰς ἑσπέραν ἀκριβῶς ἀπύρετος γινέσθω· ὁ τοιοῦτος ἄῤῥωστος ἀσφαλῶς κέκριται. καὶ χρὴ λοιπὸν ἀνατρέφειν αὐτὸν κατὰ βραχὺ μηδὲν δεδιότας· ἥ τε γὰρ ἡμέρα πιστὴ καὶ πάντα τὰ κριτικὰ γνωρίσματα συνέδραμεν. ὅτι μὲν ἐπὶ τῆς ια' ἡμέρας τὸ κρίσιμον ἐν τοῖς οὔροις ἐφάνη, σημεῖον εὐσήμου τῆς κρίσεως εὐλόγως ῥηθείσης, ὅτι δ' ἥ τε νὺξ δύσφορος ἡ πρὸ τοῦ παροξυσμοῦ καὶ ἡ εἰσβολὴ μετὰ ῥίγους, καὶ ὁ τῶν σφυγμῶν σάλος ὁ κριτικὸς καὶ οἱ ἱδρῶτες οἱ

que aliud ex iis quae in crifibus superveniunt fymptoma adfit, pulfus fiat inordinatus, inaequalis, fed motus plures elati et magni appareant; hujusmodi aeger, ubi acceffio cum rigore invadens vigorem fuum receperit, fudare ftatim decretorio modo in decimoquarto videlicet die incipit; fic enim evenit, fi decimatertia nocte hora octava acceffio invadat. Itaque jam facilius pro evacuationis ratione fpiret moveatque fefe et pulfus edat meliores, tum facilis tolerantia ifta comitetur, et toto die univerfum corpus aequaliter fudet, dein ad vefperam in totum febri levetur, talis aeger tuto judicatus eft. Procedente tempore paulatim ipfum recreare cibis et reficere convenit, nihil etiam timere; dies enim fida fuit omnesque decretoriae notae concurrerunt. Nempe quod undecimo die in urinis quid judicatorium apparuit, fignum eft crifeos, quae cum bonis fignis merito nuncupatur, item nox gravis, quae acceffionem praecedit, et infultus cum rigore, pulfuum commotio decreto-

χρηστοὶ, διὰ τοῦτο σαφοῦς δικαίως ἂν ὀνομασθείσης, ὅτι δὲ ἄνευ συμπτωμάτων φοβερῶν, διὰ τοῦτ᾽ ἀκινδύνου· καὶ μὲν δὴ καὶ τελείας μὲν, ὅτι τὸν πυρετὸν ἀπήλλαξε τελείως, ἀγαθῆς δὲ διά τε ταὐτὸ τοῦτο καὶ ὅτι χωρὶς κινδύνου. τί δὴ οὖν ἔτι λείπει μαρτυρῆσαι τῇ κρίσει; τούτῳ μοι τὸν νοῦν ἤδη προσέχειν, ὅτι πιστὴ καὶ ἀσφαλὴς καὶ φόβος οὐδεὶς ὑποτροπιάσαι τὸ νόσημα. πόθεν οὖν ἐλάβομεν τοῦτο; τῶν μὲν γὰρ ἄλλων ἕκαστον ἐξ ἑνός τινος, ἢ καὶ δυοῖν, ἢ πλειόνων μὲν, ἀλλ᾽ οὐκ ἐξ ἁπάντων γε τῶν γεγενημένων. τὸ δ᾽ ὅτι πιστὴ, πάντων δεῖται συναριθμουμένων, ἐν οἷς ἐστι καὶ ἡ τῆς ἡμέρας φύσις. εἰ γὰρ καὶ τῶν ἄλλων ἁπάντων ὧν εἴρηκα γεγενημένων εἰς τὴν πεντεκαιδεκάτην ἐξέπεσεν ἡ κρίσις, οὐκ ἂν ὁμοίως ἦν ἀσφαλής. τὸ τοίνυν ἀκριβῶς πιστὸν ἐπισφραγίζεται παρὰ τῆς ἡμέρας, καὶ αὕτη τῶν κρισίμων ἡμερῶν ἡ χρεία. εἰ δέ τις ἡγεῖται μόνας αὐτὰς δύνασθαι τὸ πᾶν, οὗτος οὐ μόνον ἀγνοεῖ πλέον ἢ οὐ γινώσκει, ἀλλὰ καὶ τοῖς σοφισταῖς ἀφορμὴν ἀντιλογίας παρέχει. ἐροῦσι γοῦν εὐθέως, εἰ τὸ πιστὸν ἐν ταῖς τῶν νοσημάτων λύσεσιν ἡ τῆς ιδ΄ ἡμέρας παρείχετο

ria, sudores boni, atque ob hoc clarum judicium merito nominatur, quod siue symptomatis horrendis evenerit, tutum, quinetiam perfectum, quod febrem perfecte discussit, bonum ob hoc ipsum et quod sine periculo. Quod igitur judicio testimonium afferendum relinquitur? huc mihi animum adhibeas, quod fidele est judicium, securum et a metu de morbi recidiva remotum. Unde hoc accepimus? nempe quod alia singula ex uno quopiam, vel etiam duobus, vel pluribus quidem, sed non ex universis factis oriuntur: verum quod cum fide, omnibus quae commemorantur indiget, in quibus diei quoque natura est; nam si aliis omnibus quae retuli evenientibus, crisis in decimumquintum incidisset, non perinde secura esset. Fides igitur exquisita judicii a die sigillatur ac obsignatur, atque hic decretoriorum dierum est usus. At si quis solos ipsos omne posse existimet, is non solum plus ignorat quam cognoscit, imo sophistis etiam contradicendi occasionem praebet. Dicunt igitur statim, si fidem in morborum solutionibus deci-

φύσις, ἐχρῆν, εἴ γε καὶ χωρὶς ἱδρώτων πολλῶν καὶ χρηστῶν ἀπήντησε, πιστὴν ὑπάρχειν αὐτήν. ὅπως δ' ἐστὶ ληρώδης ὁ λόγος, ἐγὼ μὲν οὐδ' ἐπιδεικνύναι τὴν ἀρχὴν ἠβουλήθην, ἀλλ' ἕκαστον τῶν εἰς ἰατροὺς φοιτώντων εἰς τοσοῦτον προπεπαιδεῦσθαι πρὶν φοιτᾷν, ὡς τὰ γοῦν οὕτω πρόδηλα σοφίσματα διαγινώσκειν δύνασθαι. ταχὺ γὰρ ὁ τοιοῦτος λῆρος ἀνατρέπει πᾶν βοήθημα, μήτε φλεβοτομίαν ποτὲ βοηθεῖν ἀποφαίνων· εἴπερ γὰρ ἐβοήθει, τί δή ποτ' οὖν οὐκ εὐθέως εἰς βαλανεῖον ἀπολύομεν τοὺς φλεβοτομηθέντας ἀδεῶς τε διαιτᾶσθαι κελεύομεν, [462] ἀλλ' ἐπὶ τῆς κλίνης συνέχομεν καὶ λεπτῶς διαιτῶμεν; ἀλλὰ μηδὲ κατάπλασμα· καὶ γὰρ ἂν καὶ τοῦτο καὶ τοὺς ἐμπιπλαμένους τε καὶ λουομένους καὶ μεθυσκομένους ὠφελεῖ· ἀλλὰ μηδὲ κλυστῆρα μηδ' ἄλλο τῶν πάντων οὐδέν· ὅμοιος γὰρ ὁ λῆρος. ἀλλ' ἐπειδὴ τέχνην οὕτω θαυμαστὴν καὶ μεγάλην ἀντὶ τῶν Ἀσκληπιαδῶν τῶν πάλαι νῦν ἐριουργοί τε καὶ τελῶναι μετέρχονται, χρὴ δή που καὶ ἡμᾶς ἐπαμύνειν αὐτῇ προπηλακιζομένῃ καὶ λέγειν ὡς εἴτε αἴτιον, εἴτε σημεῖον ὁτιοῦν, εἰ μὲν ἓν ἑνὸς ἢ ποιητικὸν, ἢ δηλωτικὸν

miquarti diei natura praeberet, fidum ipsum esse vel sine multis sudoribus et salubribus oporteret. Quomodo autem sermo nugax sit, ego ne vel ostendere prorsus volui, sed singulos medicorum scholam frequentantes tantum prius eruditos esse quam frequentarent ut saltem cavillationes ac captiones adeo manifestas possint cognoscere. Hujusmodi si quidem nugacitas omne pervertit auxilium, neque venae sectionem nonnunquam auxiliari demonstrans; si namque auxiliaretur, cur tantem non statim eos quibus vena incisa est in balneum dimittimus, audacterque nutrimus, verum in lecto continemus et tenui victus ratione fovemus? quid quod nec cataplasma apponimus? etenim hoc repletos, lotos et ebrios juvat; quin nec clysterem, neque ex omnibus aliud quodlibet? similis namque loquacitas est. Sed quoniam artem tam mirabilem ac magnam pro Asclepiadibus qui olim, lanifices nunc et telonae tractant, oportet videlicet nos quoque eam oppugnatam vindicare dicereque, si una quaevis causa unius rei efficiens esse et unum quodvis signum unius

εἶναι λέγοιτο, δείξαι τις ἀσθενοῦν αὐτὸ περὶ τὴν ἐπαγγελίαν καὶ δεόμενον ἀεὶ παρουσίας ἑτέρου, καλῶς ἐξελέγχει τὴν δόξαν· εἰ δ' ἤτοι ποιεῖν ἢ δηλοῦν ἅμα πλείω συνιόντα τόδε τι λέγοιτο, ληρώδης ὁ καταμόνας ἕκαστον αὐτῶν προχειριζόμενος. οὐ γὰρ ἓν ἕκαστον αὐτῶν ἰδίᾳ προσήκει διαβάλλειν ὡς οὐχ ἱκανὸν, ἀλλ' ἅμα σύμπαντα. φαίης γὰρ ἂν οὕτως, οἶμαι, κἂν εἰ δέκα μέν τινες οἷοί τ' εἶεν ἐπαίρειν βάρος ὁτιοῦν, ἕκαστος δ' ἰδίᾳ μὴ δύναιτο, μηδὲν εἰς τὴν τοῦ παντὸς ἔργου συντέλειαν εἰσφέρεσθαι τὸν ἕνα. τί δὴ βούλει; πότερον αἰτίας εἶναι τὰς κρισίμους ἡμέρας τῆς πιστῆς λύσεως τῶν νοσημάτων, ἢ σημεῖα; κατ' ἄμφω γὰρ ἑτοίμως ἐξελέγχεται τὸ σόφισμα. βούλει πρότερον αἰτίας ὑποθώμεθα, καθάπερ καὶ τὴν φλεβοτομίαν καὶ τὸν κλυστῆρα καὶ τὸ κατάπλασμα καὶ τῶν ἄλλων ἕκαστον βοηθημάτων αἴτιον ὑγείας εἶναί φαμεν; ἀλλ' ὥσπερ ἐκείνων οὐδὲν οὕτως ἦν ἰσχυρὸν ὡς ἄνευ τῶν ἄλλων ὑγιάζειν, οὕτως οὐδ' ἡ κρίσιμος ἡμέρα. πάλιν οὖν, εἰ βούλει, μηκέτ' αἰτίας αὐτὰς, ἀλλὰ σημεῖα λέγωμεν, οἷα κἂν τοῖς οὔροις καὶ

rei index effe dicatur, ac quispiam oftendat hanc ipfam caufam et hoc ipfum fignum minime praeftare poffe id quod de ipfis enunciatum fuerat, ut quae alterius praefentiam femper requirant, pulchre opinionem reprehendet; fi vero aut facere, aut indicare fimul plura coëuntia hoc aliquid dicatur, nugax eft qui feorfum unumquodque aggreditur; non enim unumquodque ipforum privatim tanquam non fufficiens, fed univerfa fimul fubvertere convenit. Dixeris equidem fic, puto, etfi decem aliqui pondus quodlibet attollere poffint, finguli vero privatim tanquam non poffint, ad operis totius abfolutionem nihil unum conferre. Quid jam vis? utrum decretorios dies fidae morborum folutionis effe caufas, an figna? in utrisque fiquidem fophisma prompte deprehenditur. Vis prius caufas ftatuamus, quemadmodum et venae fectionem et clyfterem et cataplasma aliaque fingula praefidia caufas fanitatis effe dicimus? verum ut illorum nullum adeo validum erat ut fine aliis reftituat fanitatem, ita nec decretorius dies. Rurfus igitur, fi tibi videtur, non caufas, fed figna dicamus qualia in urinis, alvi de-

διαχωρήμασι καὶ πτύσμασι καὶ τοῖς ἄλλοις ἅπασι τοῖς τοιούτοις ἐστίν. ἀλλ᾽ οὐδ᾽ ἐκείνων οὐδὲν ἱκανὸν ἦν μόνον (430) σωτηρίαν, ἢ θάνατον ἐνδείξασθαι. καὶ μὴν εἰ μήθ᾽ ὡς αἴτια μήθ᾽ ὡς σημεῖα τὰς κρισίμους ἡμέρας ἀξιώσαιμεν ἀεὶ μόνας ἢ δρᾷν, ἢ δηλοῦν ταὐτὸν, ἀλλὰ μετὰ συνόδου πλειόνων, οὐκέτι οὐδένα λόγον ἕξει τὸ σόφισμα αὐτῶν. οὐ γὰρ αὕτη βάσανος ὀρθὴ τῶν κριτικῶν εἶναι πιστὰς, ἀλλ᾽ ἄλλη τις, ἥπερ δὴ καὶ ὄντως ἐστίν. εἰ γὰρ δὴ τῶν ἄλλων ἁπάντων ὡσαύτως ἐχόντων ὑπαλλαχθείη μόνον ἡ κρίσιμος ἡμέρα, πολὺ τοῦ πιστοῦ τῆς κρίσεως ἀφαιρεῖται. κἂν εἰ τῶν ἄλλων δὲ κριτικῶν σημείων μὴ πάνυ συμπεπληρωμένων προσθείης αὐτοῖς ἡμέραν κρίσιμον, ἕξεις τινὰ ἐλπίδα λύσεως ἀσφαλοῦς. καίτοι κἂν εἰ τοῦθ᾽ ὑπῆρχε μόνον ταῖς κρισίμοις ἡμέραις, τὸ συντρέχειν αὐταῖς πολλάκις ἤτοι τὰ πλεῖστα καὶ μέγιστα τῶν κρισίμων σημείων ἢ καὶ σύμπαντα, δίκαιον δήπου ἦν διά γε τοῦτο μόνον ἰδίαν τινὰ φύσιν ὑπολαβεῖν εἶναι ἡμερῶν κρισίμων. ὁπότ᾽ οὖν πρὸς τούτῳ καὶ παρ᾽ ἑαυτῶν τι συνεισφέρουσιν, πολὺ δήπου μᾶλλον

jectionibus, ſputo atque hujusmodi aliis univerſis cernuntur, ſed nec illorum ullum ſolum poterat vel ſalutem vel mortem indicare. Atque ſi neque ut cauſas, neque ut ſigna decretorios dies cenſeam ſemper ſolos aut facere, aut indicare idem; verum cum plurium congreſſu, nullam adhuc rationem ſophisma ipſorum habebit. Non enim haec decretoriorum dierum recta exploratio, quod etiam ſine aliis ſignis decretoriis fidi ſint, verum alia quaedam quae ſane re vera eſt. Nam ſi aliis univerſis indiciis eodem modo habentibus decretorius dies ſolum fuerit immutatus, multum a criſeos fide tolletur. Quod ſi vero aliis decernendi ſignis non admodum completis decretorium ipſis diem appoſueris, ſolutionis ſecurae ſpes quaedam affulget. Jam vero ſi hoc etiam ſolum decretoriis diebus adſit, nempe cum ipſis frequenter vel plurima et maxima decretoria ſigna, vel etiam univerſa concurrere, aequum videlicet eſſet hujus tantum occaſione propriam quandam decretoriorum dierum naturam eſſe putare. Quum igitur ad hoc a ſe ipſis quoque aliquid adferunt in medium, non multo ſane magis ipſos ab

αὐτὰς τῶν μήτε συνεισφερουσῶν τι μήτε τοῖς πολλοῖς τῶν κριτικῶν σημείων συντρεχουσῶν ἀποκρινοῦμεν ὡς ἰδίαν μὲν ἐκείνων τὴν φύσιν, ἰδίαν δὲ τούτων ἐχουσῶν; ἐμοὶ μὲν καὶ πάνυ δοκεῖ. πάλιν οὖν ἀποχωρήσαντες τῶν λυμαινομένων τοῖς καλλίστοις τῆς τέχνης σοφιστῶν, ἀναμνησθέντες τε τῆς προγεγραμμένης ὑποθέσεως ὀλίγον ἔμπροσθεν, ἕνεκα σαφοῦς διδασκαλίας, τὸν ἄῤῥωστον ἐκεῖνον, ὃν συνεχῶς μὲν πυρέσσοντα, διὰ τρίτης δὲ παροξυνόμενον, εἰς τὴν ἑνδεκάτην ἡμέραν ἀγαγόντες τῷ λόγῳ, κριτικὸν ἐν τοῖς οὔροις ὑπεθέμεθα σημεῖον ἐσχηκέναι, κἄπειτα διὰ τῆς τεσσαρεσκαιδεκάτης κεκρίσθαι, νῦν μηκέθ᾽ οὕτως, ἀλλ᾽ ἔτ᾽ ἂν ἄκριτον εἰς τὴν πεντεκαιδεκάτην ἀγαγόντες νύκτα, τὸν ἐν ταύτῃ παροξυσμὸν [463] ὁμοίως μὲν εἰσβαλόντα μετὰ ῥίγους, ὡσαύτως δὲ ἱδρῶτι κρινόμενον ὑποθώμεθα κατὰ τὴν ἑκκαιδεκάτην ἡμέραν, ἵν᾽ ἐναργῶς μάθωμεν ὅσην τινὰ δύναμιν ἡμέρα κρίσιμος ἔχῃ. πρῶτον μὲν γὰρ οὐδ᾽ ἂν καλῶς ὁ τοιοῦτος ἱδρώσειεν, οὐδ᾽ ἂν τελέως ἀπύρετος γένοιτο κατ᾽ ἐκείνην τὴν ἡμέραν. εἰ δ᾽ ἄρα τι καὶ παράδοξον

illis qui nihil inferunt, neque multis judicandi ſignis concurrunt, ſeparabimus ceu propriam illi, propriam et hi naturam habeant? mihi quidem etiam admodum videtur. Itaque rurſus a ſophiſtis, qui artis optima conſpurcant, recedentes, memores praeſcriptae paulo ante hypotheſeos, claritatis doctrinae gratia, aegrum illum quem continue febricitantem per triduum acceſſionem experiri ad diem undecimum deducentes ſermone decretorium in urinis poſuimus ſignum habuiſſe, deinde quartodecimo judicatum eſſe, nunc haud ita ſic, ſed non judicatum adhuc, in decimamquintam noctem acceſſionem, quae in ea accidit, deducentes, ſimiliter cum rigore invadentem, pari modo ſudore judicari ſingamus in die ſextodecimo, ut evidenter cognoscamus quantam virtutem dies decretorius obtineat. Primum etenim neque probe ſudaverit hic aegrotus, neque perfecte in illo die febris eum dimiſerit. Quod ſi aliquid utique prae-

ἀπαντήσειεν, ἀλλ' ἄπιστός γε πάντως ἡ κρίσις, καί τι μικρὸν ἁμαρτόντος τοῦ κάμνοντος, ὑποστρέψει πάλιν τὸ νόσημα.

Κεφ. η'. Πάλιν οὖν προχειρισάμενοι τὸν αὐτὸν ἄῤῥωστον, ἐν τῇ τετάρτῃ τῶν ἡμερῶν ὑποθώμεθα τὸ κριτικὸν ἐσχηκέναι σημεῖον, ὡς ὀλίγον ἔμπροσθεν ἐπὶ τῆς ἑνδεκάτης ὑπεθέμεθα, τούτῳ τὴν κρίσιν ἑβδομαίῳ προσδέχεσθαι. θεωρητὴ γὰρ ἐν μὲν τῇ δευτέρᾳ τῶν ἑβδομάδων ἡ ἑνδεκάτη, κατὰ δὲ τὴν πρώτην ἡ τετάρτη, καὶ δηλοῖν πέφυκεν ὥσπερ ἡ ἑνδεκάτη τὴν τεσσαρεσκαιδεκάτην, οὕτως ἡ δ' τὴν ζ' ὁποία τις ἔσται. γινέσθω δὲ κατὰ τὴν ἑβδόμην νύκτα περὶ τὴν τρίτην ὥραν ὁ παροξυσμὸς, ὡς ἔμπροσθεν ὑπέκειτο, καὶ τὰ τοῦ ῥίγους καὶ τὰ τῶν σφυγμῶν ὡσαύτως ἀπαντάτω, καὶ νυκτὸς ἤδη παυομένης ἱδροῦν ἀρχέσθω, κἄπειτα δι' ὅλης τῆς ἑξῆς ἡμέρας τῆς ὀγδόης ἱδρούτω καλῶς, εἶτ' ἀπύρετος εἰς τὴν ἑσπέραν γινέσθω. πρόσεχε δή μοι πάλιν ἐνταῦθα τὸν νοῦν· οὗ γὰρ ἕνεκα προὐχειρισάμην τὸν ἄῤῥωστον οὐ μικρόν ἐστι. κατὰ μὲν γὰρ τὴν πρώτην ὑπόθεσιν ἐν τῇ ιγ' νυκτὶ παροξυνθεὶς κρισίμως, εἶτ' ἐν τῇ ιδ' γενόμενος ἀπύρετος, οὐ τρισκαιδεκαταῖος, ἀλλὰ τεσσαρεσκαιδεκαταῖος ἐλέγετο κεκρίσθαι. νυνὶ δὲ

ter opinionum evenerit, fine fide omnino crifis eft, item fi aeger quid peccet, morbus denuo revertetur.

Cap. VIII. Iterum ergo protrahentes eundem aegrotum, quarto die fignum decretorium habuiffe ponamus, quemadmodum paulo fupra de undecimo ftatuimus, huic crifis feptimo expectanda eft. Contemplabilis enim in fecunda feptimana undecimus, in prima quartus, et indicare natus eft ficut undecimus quartumdecimum, ita quartus feptimum qualisnam erit. Fiat autem acceffio in feptima nocte hora tertia, ficut prius ftatutum eft; item rigor, pulfuum mutationes eveniant, nocte jam finiente fudare incipiat, poftea toto deinceps die octavo pulchre fudet, poftremo febri levetur ad vefperam. Hic rurfus animum mihi advertas; cujus enim gratia aegrum produxerim non parvum eft. Siquidem in prima hypothefi decimatertia nocte acceffionem expertus more decretorio, deinde quartodecimo febre liberatus, non decimotertio, fed decimoquarto judicatus effe di-

καίτοι τῶν ἱδρώτων καὶ τῆς λύσεως τοῦ νοσήματος εἰς τὴν ὀγδόην ἡμέραν ὅλην ἐκπεσόντων, ὅμως ἑβδομαῖος ἂν ὁ τοιοῦτος κεκρίσθαι λέγοιτο. προσέχειν γὰρ χρὴ τὸν νοῦν οὔθ' ἁπλῶς τῶν παροξυσμῶν ταῖς ἀρχαῖς, εἰ καὶ μετὰ κριτικῶν εἰσβάλλουσι σημείων, οὔθ' ὅταν πρῶτον ἱδροῦν, ἢ ἄλλως πως ὑπάρξωνται κρίνεσθαι. καὶ γὰρ καὶ τοῦτο μόνον οὐ πιστὸν, ἀλλ' οὐδ' ὅτε πρῶτον ἀπύρετοι γίνονται. οὐ μὴν οὐδὲ τὰ δύο συνιόντα πλείονα τοῦ λοιποῦ τὴν δύναμιν ἐξ ἀνάγκης ἔχει. τὰ μὲν γὰρ τρία συνερχόμενα δῆλον ὡς ἐξαιρεῖ πᾶν ζήτημα. λέγω δ' εἰ κατά τινα μίαν ἡμέραν ὅ τε παροξυσμὸς εἰσβάλλοι μετὰ τῶν κρινόντων σημείων ἥ τε κρίσις ὑπάρξαιτο καὶ ἡ τελεία λύσις ἀκολουθήσειεν. εἰ μέντοι μερισθείη, διοριζέσθω πρῶτον μὲν καὶ μάλιστα ταῖς ἐπιδήλοις τε καὶ θεωρηταῖς ἡμέραις ὀνομαζομέναις. ἂν γὰρ ἤτοι τῆς τετάρτης ἢ τῆς ἑνδεκάτης ἐπιδήλου γενομένης ἡ κρίσις ἐφάψηται καθ' ὀντιναοῦν τρόπον ἤτοι τῆς ἑβδόμης ἢ τῆς ιδ', ἐκείνων εἶναι χρὴ νομίζειν αὐτήν. εἰ δ' ἐκπέσοι τελέως αὐτῶν, ὡς μήτ' ἄρξασθαι κατ' αὐτὰς μήτε συμπληρωθῆναι, δῆλον ὡς οὐκέτι μὲν ἐγ-

cebatur. Nunc autem ſudores licet ex morbi ſolutione in octavum diem totum exciderint, tamen ſeptimo die hic judicatus dici queat. Adhibendus enim animus eſt, neque ſimpliciter acceſſionum principiis, etiamſi cum decretoriis ſignis invadant, neque quum primum ſudare, vel alio quovis pacto inceperint judicari; etenim ſolum fidem non habet, imo nec quum primum febris deceſſit, quin nec duo coëuntia reliquo majorem potentiam neceſſario habent, etenim tria convenientia omnem quaeſtionem tollere conſpicuum eſt. Dico autem, ſi in uno aliquo die acceſſio cum ſignis decretoriis invadat et judicium incipiat et perfecta ſolutio ſequatur, ſi quidem partitionem fecerimus, diſtinguetur primum et maxime diebus quos indices et contemplabiles appellant. Si namque vel quarto vel undecimo indice facto, criſis quolibet modo attigerit vel ſeptimum vel decimumquartum, illorum ipſam criſim eſſe arbitrari oportet. Porro ſi perſecte judicium extra illos dies cadat, ut neque in illis incipiat, neque compleatur, conſtat non adhuc eſſe dicendum morbum

χωρεῖ λέγειν ἑβδομαῖον, ἢ τεσσαρεσκαιδεκαταῖον κεκρίσθαι νόσημα, κατ᾽ ἄλλην δέ τινα τῶν ἡμερῶν, ἥτις ἂν ὅλην τὴν κρίσιν ἐν αὐτῇ περιλάβοι. εἰ μέντοι μηδεμιᾶς ἐπιδήλου προγεγενημένης ἐξαίφνης γένοιτο κρίσις ἐφαπτομένη δυοῖν ἡμερῶν, εἰς ταῦτα ἀποβλέπων τὰ γνωρίσματα διορίζεσθαι ποτέρας αὐτῶν ἐστ᾽ εἰς τὴν τῶν παροξυσμῶν ἀναλογίαν, εἰς τὴν τῶν ἡμερῶν φύσιν, εἰς τὸν ἀριθμὸν τῶν κριτικῶν καιρῶν, εἰς αὐτὸν τὸν χρόνον τῆς κρίσεως. εἰς μὲν τὴν τῶν παροξυσμῶν ἀναλογίαν ὧδε· ταῖς μὲν περιτταῖς ἡμέραις μᾶλλον πονοῦντος τοῦ κάμνοντος οἰκειοτέρα τῆς περιττῆς ἡμέρας ἡ κρίσις, ὥσπερ εἰ καὶ ταῖς ἀρτίαις, ἐκείνης ἴδιος· ἐν γὰρ τοῖς παροξυσμοῖς αἱ κρίσεις γίνονται τοὐπίπαν. εἰς [464] δ᾽ αὐτὴν τῶν ἡμερῶν τὴν φύσιν ὧδέ πως· εἴπερ ἀμφισβητοῖτο πότερον ἐννάτης ἐστὶν ἡμέρας, ἢ δεκάτης ἡ κρίσις, εἰ μὲν γὰρ ἀγαθὴ καὶ τελεία καὶ ἀκίνδυνος, ἐννάτης μᾶλλόν ἐστιν· εἰ δ᾽ ἀτελὴς καὶ φαύλη καὶ κινδυνώδης, δεκάτης. εἰς δὲ τὸν ἀριθμὸν τῶν κριτικῶν καιρῶν, ἐπειδὴ τρεῖς ἦσαν οὗτοι, ἡ ἀρχὴ τοῦ κριτικοῦ παροξυσμοῦ, ἡ ἀρχὴ τοῦ κριτικοῦ κινήματος, τὸ τέλος αὐτὸ τῆς κρίσεως,

in feptimo, aut decimoquarto judicatum, verum in alio quopiam die, qui totam crifim in fe comprehendat. Et fi tamen nullo indice prius habito crifis fubito contingat duos attingens dies, ad notas has refpiciens diftingues utriusnam fit, nempe ad acceffionum analogiam, ad dierum naturam, ad decernendi temporum numerum, ad ipfum judicii tempus. Ad acceffionum analogiam fic: imparibus diebus fi aeger magis laborarit, proprium magis diei imparis judicium, quemadmodum fi paribus, illius proprium; nam in acceffionibus plurimum judicia contingunt. Caeterum ad dierum naturam hoc pacto: fi ambigas utrum noni diei, vel decimi fit judicium, fi enim falubre ac bonum, perfectum, fine periculo, noni magis eft, fi imperfectum, malum et periculofum, decimi. Ad numerum decernendi temporum, quoniam haec tria erant, decretoriae acceffionis initium, decretoriae motionis principium, finis ipfe judicii, qui dies tempora duo accipit in fefe magis judicium fibi vendi-

Ed. Chart. VIII. [464.] Ed. Baf. III. (430.)

ἡ τοὺς δύο δεξαμένη καιροὺς εἰς ἑαυτὴν ἡμέρα σφετερίζεται μᾶλλον τὴν κρίσιν. οὕτω δὴ καὶ αὐτὸς ὁ χρόνος ὁ κρίσεως ὁποτέρας ἂν ᾖ τῶν ἡμερῶν μακρότερος, ἐκείνῃ μᾶλλον προσνέμειν τὴν κρίσιν. εἰ μὲν δὴ τὰ τέτταρα ταῦτα γνωρίσματα μίαν ἡμέραν εἰσηγοῖτο, ταύτῃ καί σοι προσνέμειν τὴν κρίσιν· εἰ δ' ἓν ἐξ αὐτῶν ἀπολείποιτο, προσνέμειν ἔτι καὶ οὕτως, ἀλλ' ἤδη καὶ τὴν ἑτέραν αὐτῆς μεμερίσθαι νομιστέον. εἰ δ' ἴσα τὰ γνωρίσματα εἴη, καὶ τὴν κρίσιν οὕτω κοινὴν ἀμφοτέρων εἶναι τῶν ἡμερῶν ὑποληπτέον. ἐνίοτε δ' οὐ δυοῖν μόνον, ἀλλὰ καὶ τριῶν ἡμερῶν ἡ κρίσις ἐφάπτεται. πάλιν οὖν ἐνταῦθα τὴν μέσην μὲν ὅσον ἐπὶ τῷ μήκει τοῦ χρόνου προκριτέον, οὐ μὴν αὐτῇ γε τὸ σύμπαν δοτέον, ἀλλὰ πρῶτον μὲν εἰ χωρὶς ἐπιδήλου τε καὶ θεωρητῆς ἡμέρας ἡ κρίσις ἐγένετο σκεπτέον· εἴρηται γὰρ ὅτι μεγίστην δύναμιν ἔχει τοῦτο· δεύτερον δὲ καὶ τοῖς ἄλλοις κανόσι προσχρηστέον, οὓς νῦν ἤδη πέπαυμαι λέγων, ἀναλογίαν παροξυσμῶν καὶ φύσιν ἡμερῶν καὶ ἀριθμὸν κριτικῶν καιρῶν καὶ αὐτὸν τὸν τῆς κρίσεως χρόνον.

Κεφ. θ'. Ἐπειδὴ δὲ καὶ περὶ τούτων αὐτάρκως διώρισται, πάλιν ἐπανελθόντες ὥσπερ ἔμπροσθεν ἄχρι τῆς κ'

cat. Sic et ipfum tempus judicii utra die fuerit longius, illi magis judicium attribuendum eft. Si igitur quatuor quidem hae notae uno die introducantur, huic tu quoque judicium attribues, et fi una ex his relinquatur, fic quoque adhuc adfcribes, fed jam et alterum ipfius crifis participem fieri putabis; fi vero aequales notae fuerint, judicium quoque utriusque diei commune effe cenfebis. Interim vero non duos modo, fed tres etiam dies judicium attingit. Iterum igitur hic mediam, quantum ad temporis longitudinem attinet, praepones, non tamen univerfum ei concedes, fed primum quidem, fi absque indice et contemplabili die crifis fuerit, confiderandum eft, quoniam diximus maximam hoc potentiam habere. Secundo regulis quoque aliis, quas modo enarrare defii, utendum eft, nempe acceffionum collatione, dierum natura, decernendi temporum numero et ipfo judicii tempore.

Cap. IX. Quoniam vero de his abunde fatis definitum eft, reverfi denuo uti prius usque ad diem vigefimum,

ἡμέρας, οὕτως ἤδη τὰς μετ᾽ ἐκείνην ἐξαριθμήσομεν κρισίμους, τοσοῦτον μόνον ἔτι τοῖς ἔμπροσθεν εἰρημένοις ἤδη προσθέντες, ὅσον εἴς τε τὰ νῦν εἰρημένα χρήσιμον ὑπάρχει καὶ μηδὲν ἐν τοῖς ἤδη (431) λελεγμένοις ἀπολείψει ζήτημα. τί δ᾽ ἐστὶ τοῦτο; περὶ τῆς πρώτης ἡμέρας ἐν τοῖς νοσήμασι καὶ τῆς δευτέρας οὐδὲν εἴπομεν ἐν τῷ πρόσθεν λόγῳ, καίτοι τοῖς γε περὶ τὸν Διοκλέα καὶ αὗται κρίνειν ἔδοξαν. ὅπως οὖν χρὴ καὶ περὶ τοῦδε γινώσκειν διοριστέον. εἰ μὲν γὰρ ἡ προηγουμένη τῆς λύσεως τοῦ νοσήματος ὀξεῖα ταραχὴ κατὰ τὸ τοῦ κάμνοντος σῶμα κρίσις ὀνομάζεται, μήτε τὴν πρώτην ἡμέραν μήτε τὴν δευτέραν ὑποληπτέον εἶναι κρισίμους· ὁ γὰρ οἷον σάλος ὁ προηγούμενος τῆς λύσεως οὐδαμῶς ἐπιφανὴς ἐν ταύταις γίνεται· εἰ δὲ τὴν λύσιν ἁπλῶς ὀνομαστέον ἐστὶ κρίσιν, εἶεν ἂν καὶ αἵδε κρίσιμοι. πάντες γοῦν οἱ ἐφήμεροι προσαγορευόμενοι πυρετοὶ τὴν λύσιν οἱ μὲν ἐν τῇ πρώτῃ τῶν ἡμερῶν εὐθὺς, οἱ δ᾽ ἐν τῇ δευτέρᾳ ποιοῦνται. περὶ σημαινομένου τοίνυν ἡ ζήτησις κἀνταῦθα μᾶλλον ἢ περὶ πράγματος. αὐτὸ γὰρ τὸ πρᾶγμα, τὸ λύεσθαι πολλοὺς τῶν πυρετῶν εὐθὺς ἐν ταῖς

ita jam post illum decretorios enumerabimus, tantummodo prius relatis jam adjicientes quantum ad praesentem disputationem conducit, item ne ulla jam commemoratis quaestio desit. Quid autem hoc est? De primo die in morbis et secundo non diximus in superiore sermone, etsi Diocli hi quoque decernere de morbis visi sunt. Quomodo igitur de hoc intelligendum sit distinctione docebimus. Nam si praeceps ac subita in aegrotantis corpore perturbatio morbi solutionem praecedens crisis nominatur, neque primum diem, neque secundum decretorios esse censebimus, quia illa velut jactatio quae solutionem praecedit, nequaquam in his est conspicua; si vero solutionem simpliciter judicium voces, hi quoque erunt decretorii. Certe omnes febres diariae solutionem partim in primo statim die, partim in secundo nanciscuntur. De significatu igitur quaestio hic magis est quam de re ipsa; ipsam enim rem, liberari videlicet plerosque febribus in primis statim diebus, nemo ignorat. Ad hoc

πρώταις ἡμέραις, οὐδεὶς ἀγνοεῖ. τῆς δ᾽ αὐτῆς ἔχεται ζητήσεως κἀκεῖνο, πότερον ἐπειδὰν εἰς λύσιν τοῦ νοσήματος ἡ γενομένη ταραχὴ τελευτήσῃ κεκρίσθαι λεκτέον, ἢ κἂν ἀξιόλογός τις γένηται μεταβολή. καὶ μὲν δὴ καὶ αὐτὸ τῆς λύσεως τοὔνομα πότερον ἐπειδὰν εἰς ὑγείαν ὁ κάμνων μεταστῇ μόνον ἐπανεκτέον ἐστὶν, ἢ κἀπειδὰν ἀκολουθήσῃ θάνατος ἔτι λελύσθαι καὶ οὕτω λεκτέον τὸ νόσημα, πολλὴν ἔσχηκε ζήτησιν. ὅτῳ δὲ καὶ τὰ τοιαῦτα σχολὴ ζητεῖν, αὖθις εἰρήσεται. νυνὶ δὲ ἐν τούτῳ τῷ πρώτῳ λόγῳ πρόκειταί μοι τὸ χρήσιμον αὐτὸ δεῖξαι μόνον, ὃ καὶ χωρὶς ἀποδείξεων λογικῶν ἐξ ὑποθέσεως περαίνεσθαι δύναται. [465] ὑποκείσθω γὰρ ἡμῖν ἡ μὲν πρὸ τῆς ἀκριβοῦς λύσεως ταραχὴ κρίσιν ἁπλῶς ὀνομάζεσθαι, τῶν δ᾽ ἄλλων οὐδεμία κρίσις ἁπλῶς, ἀλλ᾽ ἡ μὲν εἰς ὄλεθρον τελευτῶσα κακὴ κρίσις ὅλον τοῦτο καλείσθω, ἡ δ᾽ ἀξιόλογον μὲν τὴν ῥοπὴν ποιησαμένη, μὴ λύσασα δὲ τὴν νόσον τελείως, ἐλλιπὴς κρίσις ὀνομαζέσθω, ἡ λοιπὴ δ᾽ ἡ ῥοπὴν ἀξιόλογον ἐπὶ τὸ χεῖρον ἀτελής τε ἅμα καὶ κακὴ προσαγορευέσθω κρίσις. οὕτω μὲν, ἐπειδὰν τελέως τε καὶ σαφῶς δηλῶσαι βουληθῶμεν

genus quaeſtionis pertinet illud quoque, an, quum perturbatio facta in morbi ſolutionem ſinierit, criſim eſſe factam dicendum, an quum inſignis quaepiam mutatio acciderit. Quinetiam ipſum ſolutionis nomen utrum, quum ad ſanitatem aeger reciderit, duntaxat inferendum ſit, an etiam ubi mors ſecuta, adhuc morbum ſic quoque ſolutum fuiſſe dicendum ſit; magnam inquiſitionem obtinet. Quum vero hujusmodi disquirendi otium ſuppetet, rurſus exponemus. Nunc autem in hoc priore commentario ſolam ipſam utilitatem commonſtrare propoſuimus, quam et ſine demonſtrationibus logicis ex hypotheſi colligere poſſum. Fingamus enim perturbationem ante exactam ſolutionem criſim ſimpliciter appellari; aliarum nulla criſis abſolute, verum quae ad perniciem tendit, mala criſis totum hoc nominetur; quae inſigne quidem momentum attulit, morbum vero non ſolvit perfecte, deficiens appelletur; alia quae inſigniter ad pejora declinat, imperfecta ſimul et mala. Sic quidem, quum ſingulas res pri-

ἕκαστον ἰδίᾳ τῶν πραγμάτων· ἐνίοτε δὲ ταῖς ὀνομαζομέναις ἐλλειπτικαῖς ἑρμηνείαις χρώμενοι κρίσεις ὀνομάζομεν ἁπάσας τὰς τέσσαρας διαφορὰς, παραλιπόντες προσθεῖναι τὸ κακὴν ἢ ἀτελῆ. καὶ ὡς τοῦτο τὸ τῆς ἐλλιποῦς ἑρμηνείας ἱκανῶς ἐστι σύνηθες ἅπασιν ἀνθρώποις εἴρηται μὲν ἐπὶ πλέον ἐν ἑτέροις, εἰρήσεται δὲ καὶ νῦν, ὅσον ἐξαρκεῖ πρὸς τὰ παρόντα. χοίνικα γοῦν καὶ πῆχυν καὶ πόδα καὶ τῶν ἄλλων τι μέτρων, οὔτ' ἐπειδὰν ᾖ τι μεῖζον τοῦ δέοντος οὔτ' ἐπειδὰν ἔλαττον, οὕτως ὀνομάζειν προσῆκεν, ἐπειδὴ ποσοῦ τινος ὡρισμένου τῶν ὀνομάτων τῶν τοιούτων ἕκαστόν ἐστι δηλωτικόν. ἀλλ' ὅμως καὶ τὴν ἐλάττονα καὶ τὴν μείζονα τοῦ δέοντος ἔστιν ὅτε χοίνικα προσαγορεύομεν. ὡσαύτως δὲ καὶ τὸν πῆχύν τε καὶ τὸν πόδα καὶ τῶν ἄλλων ἕκαστον. ἀλλ' ὅταν ἀκριβῶς ἑρμηνεύωμεν, οὐ πῆχυν ἁπλῶς, ἀλλὰ μέγαν πῆχυν καὶ μικρὸν ὀνομάζομεν, ἁπλῶς δὲ τὸν δίκαιον μόνον. ἔστι δ' ὅτε καὶ ἐξόχως καθ' ὑπεροχὴν ἔνια τὴν τοῦ γένους ὅλου προσηγορίαν σφετερίζεται, ὥσπερ καὶ παρὰ τῷ ποιητῇ λέγεσθαί φαμεν τόδε τι, οὐκ ἂν οὐδενὸς

vatim abfolute clareque indicare voluerimus. Interdum vero interpretationibus defectivis appellatis utentes, judicia nominamus univerfas quatuor differentias, citra appofitionem mali, vel imperfecti. Atque hanc deficientem interpretationem apud omnes homines fatis in ufu effe alibi declaratum eft copiofius; fed nunc quoque dicemus quantum ad praefens inftitutum eft. Choenicem fane et cubitum et pedem, aut aliam quandam menfuram, neque quum major quam par fit exiftat, neque quum minor jufto, eodem appellaffe vocabulo convenit, quoniam quantitatem aliquam certam unumquodque tale nomen indicat; attamen eft quum choenicem minorem majoremque ac convenit nuncupamus; fimiliter cubitum, pedem et alias quasdam menfuras. At quum exacte interpretamur, non cubitum fimpliciter, fed magnum cubitum, aut parvum nominamus; abfolute vero folum juftum. Aliquando nonnulla fecundum vehementem exceffum generis totius appellationem fortiuntur; quemadmodum etiam apud poëtam fcribi dicimus, alium

ἄλλον παρὰ τὸν Ὅμηρον ἀκουομένον, καίτοι μυρίοι γ' εἰσὶν ἄλλοι ποιηταί. τοιοῦτον δ' ἐστὶ καὶ τὸ παρὰ τῷ Κωμικῷ· καὶ σπάνιόν ἐστ' ἄνθρωπος ὅτ' ἄνθρωπος. τὸν γὰρ ἄγριον καὶ τὸν θηριώδη καὶ τὸν ἀνόητον καὶ τὸν σκαιὸν οὐ κατὰ τὴν ἀνθρώπου φύσιν ὑπάρχειν νομίζοντες ἐπὶ τοὺς κατορθοῦντας ἐν τῇ φύσει τὸ ὄνομα φέρομεν. εἴτ' οὖν οὕτω καθ' ὑπεροχήν τινα τὸ τῆς κρίσεως ὄνομα λέγομεν, εἴτε κατὰ τὸν πρότερον λόγον, ἑτέρου διαστείλασθαι καιροῦ. τὸ δ' εἰς τὰ ἔργα τῆς ἰατρικῆς διαφέρον ἤδη περαίνεσθαι δύναται κατὰ τὴν τῶν προγεγραμμένων ὀνομάτων ὑπόθεσιν. ἡ μὲν γὰρ πάντ' ἔχουσα τὰ τῶν κρίσεων γνωρίσματα κρίσις ἁπλῶς, αἱ δ' ἄλλαι μετὰ προσθήκης ὀνομασθήσονται. καὶ μὲν δὴ κἂν εἰ μὴ τὴν τῆς ἀθρόας μεταβολῆς ταραχὴν, ἀλλ' αὐτὴν μόνην μεταβολὴν ἀξιώσειέ τις ὀνομάζεσθαι κρίσιν, ἡ μὲν ἀγαθή τε ἅμα καὶ τελεία λύσις ἁπλῶς ἂν ὀνομάζοιτο κρίσις, αἱ δ' ἄλλαι μετὰ προσθήκης ἅπασαι.

Κεφ. ι'. Τίνες μὲν οὖν αἱ μετὰ τὴν εἰκοστὴν ἡμέραν κρίσιμοι; τοῦτο γὰρ καὶ ἔτι πρόκειται διελθεῖν. τὴν μὲν εἰκο-

praeter Homerum neminem intelligentes, infiniti licet alii poëtae fint. Ejusmodi eft quod dicitur apud comicum: *Et rarum eft ut qui homo fit homo.* Nam agreftem, belluinum, amentem, rufticum non fecundum hominis naturam effe putantes, ad integros in ea natura et confummatos nomen transferimus. Sive igitur fic per exceffum quendam judicii nomen dicimus, five juxta priorem rationem, alterius temporis eft difputatio. Quod autem ad medicinae opera momenti afferat, jam colligere eft ex praefcriptorum nominum hypothefi. Quod enim omnes judiciorum notas habet, judicium abfoluto fermone vocatur; alia cum appofitione nominis appellabuntur. Jam fi non fubitae mutationis perturbationem, verum folam ipfam mutationem voluerit quispiam crifim nominare, bona quidem fimulque perfecta folutio fimplici fermone crifis vocabitur, reliquae cum appofitione omnes.

Cap. X. Proinde qui poft vigefimum diem decretorii? hoc enim una mihi propofitum eft percenfere. Archi-

στὴν πρώτην οἱ περὶ τὸν Ἀρχιγένην τε καὶ Διοκλέα πρώτην πασῶν μάλιστα προσίενται· καὶ γὰρ ὁ Ἀρχιγένης καὶ τῆς εἰκοστῆς αὐτὴν προκρίνει. ἐμοὶ δ' οὐχ οὕτως ἐφάνη, καθάπερ οὐδ' Ἱπποκράτει. δειχθήσεται δὲ τοῦτο διὰ τῶν ἑξῆς. ὡσαύτως δὲ καὶ περὶ τῆς κζ' ἔχει. καὶ γὰρ ἐγὼ μὲν καὶ ταύτην προτάττω τῆς κη', ἐκεῖνοι δ' ὑποτάττουσιν. ἔχει δὲ καὶ ἡ λδ' δύναμιν ἀξιόλογον καὶ ταύτης ἔτι μᾶλλον ἡ τεσσαρακοστή. τούτων δ' ἧττον κρίνουσιν ἥ τε κδ' καὶ ἡ λα' καὶ πολὺ τούτων ἔθ' ἧττον ἡ λζ', ὡς ἐν μεθορίῳ τετάχθαι δοκεῖν τῶν κρινουσῶν ἡμερῶν τε καὶ μὴ καὶ μᾶλλον ἐκ τῶν μὴ κρινουσῶν εἶναι. [466] τὸ δ' ἄλλο πᾶν πλῆθος τῶν ἡμερῶν τὸ μεταξὺ τῆς εἰκοστῆς καὶ τῆς τεσσαρακοστῆς ἄκριτον ἅπαν ἐστίν. ἄκουσον δ' αὐτὰς ἤδη λεγομένας ἑξῆς, εἰκοστῆς δευτέρας καὶ εἰκοστῆς τρίτης καὶ εἰκοστῆς πέμπτης καὶ εἰκοστῆς ἕκτης καὶ εἰκοστῆς ἐννάτης καὶ τριακοστῆς καὶ τριακοστῆς δευτέρας καὶ τριακοστῆς τρίτης καὶ τριακοστῆς πέμπτης καὶ τριακοστῆς ἕκτης καὶ τριακοστῆς ὀγδόης καὶ τριακοστῆς ἐννάτης. αἱ σύμπασαι δώδεκα. φέρουσι δὲ μεγάλους μὲν σάλους αἱ μέχρι τῆς τεσσαρεσ-

genes fane Dioclesque 21 ante omnes potiffimum primo loco dignantur; etenim Archigenes ipfum 20 praeponit, mihi tamen aliter vifum eft, ficut et Hippocrati; oftendetur autem id in fequentibus. Simili modo etiam de vigefimofeptimo habet, fiquidem ego hunc etiam vigefimooctavo antepono, illi poftponunt. Habet autem trigefimusquartus potentiam infignem atque hoc magis quadragefimus. His minus decernunt vigefimusquartus et trigefimusprimus; et multo his adhuc minus trigefimusfeptimus, ita ut in dierum decernentium et eorum qui non decernunt medio collocatus effe videatur et magis ex non decernentibus effe. Porro alia tota dierum multitudo inter vigefimum et quadragefimum, decernendi omnino expers eft; audi ipfos jam tibi referuntur; vigefimusfecundus, vigefimustertius, vigefimusquintus, vigefimusfextus, vigefimusnonus, trigefimus, trigefimusfecundus, trigefimustertius, trigefimusquintus, trigefimusfextus, trigefimusoctavus, trigefimusnonus; univerfi duodecim funt. Et usque ad quartumdecimum quidem magnas

καιδεκάτης· ἔγγιστα δὲ αὐτῶν εἰσιν αἱ μέχρι τῆς εἰκοστῆς, αἱ δὲ ἀπὸ τῆσδε σύμπασαι αἱ μέχρι τῆς τεσσαρακοστῆς ἐκλύουσι κατὰ βραχὺ τὸ ἀγωνιστικόν. ὡς αἵ γε μετὰ τὴν τεσσαρακοστὴν ἅπασαι τελέως εἰσὶν ἔκλυτοι, πέψεσι μᾶλλον καὶ ἀποστάσεσι τὰς λύσεις τῶν νοσημάτων ἢ ἐκκρίσεσι ποιούμεναι. γίνονται μὴν κἀν ταύταις ἐνίοτε δι᾽ ἐκκρίσεων αἱ κρίσεις, ἀλλὰ σπάνιοί εἰσι καὶ οὐ μέγαν ἔχουσι τὸν ἀγῶνα. καὶ τὰ πολλὰ πλείοσιν ἡμέραις αἱ κρίσεις συμπληροῦνται, καὶ μάλισθ᾽ ὅταν εἰς ἀπόσκημμα τρέπωνται. τῶν μὲν οὖν ἄλλων τῶν μετὰ τὴν τεσσαρακοστὴν ἡμέραν τελέως ἔοικεν ὁ Ἱπποκράτης καταφρονεῖν· ἑξηκοστὴν δὲ καὶ ὀγδοηκοστὴν καὶ ἑκατοστὴν εἰκοστὴν ἐν λόγῳ τίθεται. μετὰ δὲ ταύτας τὰς μὲν ἐν ἑπτὰ μησὶ, τὰς δ᾽ ἐν ἑπτὰ ἔτεσι κρίνεσθαί φησι, τὰς δ᾽, ὡς ἔοικεν, ἐν διτταῖς ἐτῶν ἑβδομάσι καὶ τριτταῖς. εἰσὶ δ᾽ οἳ καὶ τῆς τεσσαρακοστῆς δευτέρας καὶ τῆς τεσσαρακοστῆς πέμπτης, καὶ προσέτι τῆς τεσσαρακοστῆς ὀγδόης καί τινων ἑτέρων μνημονεύουσιν, ὑπὲρ ὧν ἁπασῶν ὁ λόγος ἡμῖν ἐφεξῆς ἔσται.

funt perturbationes in morbis. Proximo loco fuccedunt quae usque ad vigefimum habentur. Quae poft hunc ad quadragefimum fuccedunt paulatim vehementiam efficacitatemque remittunt, adeo ut qui poft quadragefimum funt omnes, prorfus langueant concoctione potius et abfceffibus quam excretionibus morbos finientes. Accidunt in his quoque per excretiones interdum judicia, fed raro, nec magnam habent vehementiam; et frequenter pluribus diebus judicia complentur, maxime quum in abfceffum convertuntur. Atque alios quidem qui poft quadragefimum habentur Hippocrates plane contemnere videtur, fexagefimi tamen et octogefimi et centefimivigefimi rationem habet. Ab his alios quidem feptem menfibus, alios feptem annis finiri ait; alios vero, ut verifimile eft, in binis annorum hebdomadis et ternis. Non defunt qui etiam quadragefimifecundi et quadragefimiquinti, infuper quadragefimioctavi et quorundam aliorum dierum meminerunt, de quibus univerfis fermo nobis futurus eft.

Κεφ. ια΄. Τοῖς μὲν οὖν πλείστοις ἰατροῖς ἀδύνατον εἶναι δοκεῖ προγνῶναι τὴν ἡμέραν ἐν ᾗ κριθήσεται τὸ νόσημα· ταῖς δ' ἀληθείαις οὐκ ἀδύνατόν ἐστιν, εἴ τις ἐπιμελῶς ἀναλεξάμενος τὴν Ἱπποκράτους θεωρίαν ἐργάζεσθαι τὴν τέχνην σπουδάσειε. εἰ δ' ἤτοι πρὶν ἐκμαθεῖν ταύτην ἐπὶ τῶν ἀῤῥώστων τρίβοιτο, πλέον οὐδὲν ἕξει τοῦ κατατρίβεσθαι μάτην ἢ εἰ μάθοι αὐτὴν ἐπιμελῶς, ὀλιγωρήσειε δ' ἐργάζεσθαι. μακρῷ μὲν γὰρ ὅδε θατέρου τοῦ μηδὲν προμεμαθηκότος ἀμείνων, ἐνδεῖ δ' οὐκ ὀλίγον οὐδ' αὐτὸς πρὸς τὸ τέλειον. ὅστις οὖν βούλεται προγνωστικὸς εἶναι τῆς μελλούσης ἡμέρας κρῖναι τὸ νόσημα, τούτῳ πρῶτα μὲν ἁπάντων ἀκριβῶς ἐστι γνωστέα τὰ διὰ τοῦ προγνωστικοῦ γράμματος ὑφ' Ἱπποκράτους εἰρημένα· δεύτερα δὲ τὰ περὶ τῶν καταστάσεων ἐν ἑτέροις βιβλίοις (432) γεγραμμένα, κἄπειτα τὰ περὶ τῶν ἡλικιῶν τε καὶ φύσεων καὶ ὡρῶν καὶ χωρῶν ὧν εἴρηταί τινα καὶ κατ' αὐτὸ τὸ προγνωστικόν. ἐπειδὰν δὲ ταῦτ' ἐκμάθοι, τὴν κατὰ τοὺς σφυγμοὺς τέχνην ἐπιμαθὼν οὐκ ἂν χαλεπῶς προγινώσκοι τὴν ἡμέραν τῆς κρίσεως. αὐτίκα γέ τοι νοσήματος ὀξέος μηδὲν τῶν κινδυνωδῶν σημείων ἔχοντος, εἰ κατ' αὐτὴν τὴν τετάρτην ἡμέ-

Cap. XI. Itaque plurimis medicis impoſſibile videtur praeſagiri diem quo de morbo decernetur; re vera tamen impoſſibile non eſt, ſi quis accurate Hippocratis ſpeculatione lecta artem tractare ſtudeat. At vel ſi prius quam edidicerit, apud aegrotos verſetur, nihil amplius aget quam operam fruſtra ludet; vel ſi ipſam diligenter didicerit, operari vero neglexerit, longe quidem altero qui non antea didicit melior, abeſt tamen permultum is quoque a perfectione. Quapropter qui praeſcius eſſe cogitat diei de morbo judicaturi, huic in primis ex amuſſi cognoſcenda ſunt quae Hippocrates in opere prognoſtico tradidit; deinde quae de conſtitutionibus in aliis libris memoriae prodidit; poſtea de aetatibus, naturis, anni temporibus et locis, quorum nonnulla etiam in prognoſtico perdocuit; ubi jam haec didicerit, pulſuum cognitionem adjungens, facili negocio judicii diem praenoſcet; ubi ſiquidem morbus acutus nullum periculoſum

ραν φανείη τι πέψεως ἀξιόλογον γνώρισμα, κατὰ τὴν ἑβδόμην ἡ κρίσις ἀπαντήσεται. καὶ τοῦτ' εἴρηται μὲν ἤδη οὑτωσὶ διὰ ταχέων ἀληθὲς ὑπάρχον ἐν τοῖς μάλιστα. τῷ δὲ ἀγνοοῦντι διαγινώσκειν ὀλέθρια σημεῖα καὶ κινδυνώδη καὶ σωτήρια, πλέον οὐδὲν ἐκ τοῦ λόγου. καίτοι κἂν εἰ ταῦτα πάντα διαγινώσκοι, τὰ δὲ τῆς πέψεως ἀγνοεῖ, καὶ τῷδε πλέον οὐδὲν ἐκ τοῦ λόγου. τούτου δὴ χάριν [467] ἠξίωσα τὸ προγνωστικὸν Ἱπποκράτους ἀναλέξασθαι σύγγραμμα. κινδυνωδῶν μὲν γὰρ συμπτωμάτων παρόντων, ἅμα τῷ τῆς πέψεως γνωρίσματι, τῷ κατὰ τὴν τετάρτην ἡμέραν φανέντι, τὴν κρίσιν, εἰ μὲν ἐν ἀρτίαις ὁ παροξυσμὸς γένοιτο, κατὰ τὴν ἕκτην ἔσεσθαι προσδοκᾷν· εἰ δὲ ταύτην ὑπερβάλλοι, κατὰ τὴν ὀγδόην· εἰ δὲ ἐν περιτταῖς, κατὰ τὴν ἑβδόμην. ἀγαθῶν δὲ σημείων παρόντων, κατὰ τὴν ἑβδόμην ἡμέραν λυθήσεται τὸ νόσημα. τὰ μὲν γὰρ ὀλέθρια σημεῖα σὺν τοῖς τῆς πέψεως γνωρίσμασιν οὐδ' ἂν γένοιτό ποτε, χρὴ δ' οὐχ ἧττον καὶ ταῦτα σκοπεῖσθαι τῶν κινδυνωδῶν τε καὶ σωτηρίων. εἰ γὰρ ἐν τῇ τετάρτῃ πρῶτον φαίνοντο, κατὰ τὴν ἑβδόμην ὁ θάνατος. εἴρηται δ' ὡς καὶ τοῦτο κρίσις ὀνομάζεται κακή. προσέχειν δὲ χρὴ ἐνταῦθα τῷ

fignum referat et quarto die evidens quoddam concoctionis fignum comparuerit, feptimo crifis futura eft. Atque haec paucis jam explicata funt, longe veriffima. Porro fi quis lethalia figna, periculofa et falutaria, nihil ex hoc fermone promovebit; quanquam fi haec quoque cognofcat, coctionis autem figna ignoret, etiam nihil hinc frugis relaturus eft. Hujus rei gratia Hippocratis praefagiorum opus relegendum praecepi. Nam periculofis fymptomatis praefentibus una cum aliquo coctionis figno quarto die apparente judicium, fi paribus diebus acceffio fiat, fexto expectandum eft; quod fi hunc excefferit, octavo; fi in imparibus, feptimo; bonis fignis apparentibus, feptimo die morbus folvetur; etenim lethalia figna cum fignis coctionis nunquam evenerint. Haec autem non minus quam periculofa et falutaria infpicienda funt; quia fi quarto apparuerint, feptimo aderit mors. Dictum autem eft hoc nominari crifim malam. Animum hic

μεγέθει τε καὶ πλήθει τῶν ὀλεθρίων σημείων. εἰ μὲν γὰρ πολλὰ καὶ μεγάλα γίνοιτο κατὰ τὴν τετάρτην ἡμέραν, τοῖς παροξυσμοῖς διορίζεσθαι περὶ τοῦ μέλλοντος θανάτου, καὶ γινώσκειν μὲν ἑκταῖον τεθνήξεσθαι τὸν ἄνθρωπον ἐν ἀρτίαις παροξυνόμενον, ἑβδομαῖον δ' ἐν περιτταῖς. ἐνίοτε δὲ καίτοι τῶν περιττῶν παροξυνουσῶν ἡ ἕκτη προαπέκτεινε τὸν οὕτως ἔχοντα διά τε τὴν ὀξύτητα τῆς νόσου καὶ τὸ μέγεθος καὶ τὸ πλῆθος τῶν ἐν τῇ δ' γενομένων συμπτωμάτων, διόπερ ἀκριβῶς χρὴ διαγνωστικὸν εἶναι τοῦ κατὰ δύναμιν μεγέθους τῶν συμπτωμάτων. ἀλλ' ὅπως μὲν χρὴ τοῦτο διορίζεσθαι τοῦ κατὰ φαντασίαν ἐν τοῖς περὶ κρίσεων λέγεται. πάντα δὲ ἐν πᾶσιν οὐ χρὴ συγχεῖν καὶ ταράσσειν, ἀλλ' ὅσον αὐτῶν ἐστιν ἴδιον μόνον τῶν κρινουσῶν ἡμερῶν, ἐνταυθοῖ διεξέρχεσθαι. πάνυ γὰρ ἀκριβῶς παραφυλάξαντες ἐπὶ τῶν ὀξέως νοσούντων, εὕρομεν ἐπίδηλον ἀεὶ τὴν τετάρτην τῆς ἑβδόμης, ὅσον ἐφ' ἑαυτῇ. τὸ δ' ὅσον ἐφ' ἑαυτῇ τοιόνδ' ἐστὶ, μηδενὸς σπανίου καὶ μεγάλου παρεμπεσόντος ἢ ἔξωθεν, ἢ ἐξ αὐτῆς τοῦ νοσήματος τῆς φύ-

advertas necesse est lethalium signorum tum magnitudini tum multitudini. Si namque multa magnaque die quarto evenerint, accessionibus distinguendum erit de morte futura; ad haec cognoscendum hominem sexto die moriturum esse, modo accessio diebus paribus facta sit; si imparibus, septimo. Interdum sextus hominem jugulat, etiam si accessio contigerit in imparibus, propter morbi celeritatem et magnitudinem et symptomatum in quarto die evenientium copiam. Quamobrem symptomatum magnitudo, quae ex potentia sumitur, exacte dignoscenda est. Verum quomodo haec ab illa, quae ab imaginatione aestimatur, distinguenda veniat, in libris de crisi narratur. Omnia in omnibus confundere et conturbare non oportet, sed quantum ad dies tantum decretorios proprie pertinet, huc transferendum est. Quum enim accurate admodum acutos morbos observassemus, quartum diem septimi esse indicem ex sua natura deprehendimus. Ex sua natura, inquam, hoc est, si nullum rarum et magnum incidat vel extrinsecus, vel ex ipsa morbi condi-

σεως, ἢ καὶ τῆς τοῦ κάμνοντος ἕξεως, ἡ τετάρτη πάντως προδηλοῖ τὴν ἑβδόμην. εἰ δέ τι τῶν ἔξωθεν ἀδόκητον προσγένοιτο, περὶ ὧν ἐφεξῆς ἐροῦμεν, ἢ καὶ τὸ νόσημα σφοδρῶς ἐπὶ τὴν κρίσιν ἢ ἀμυδρῶς κινοῖτο, καὶ ἡ τοῦ κάμνοντος δύναμις ἰσχυρὰ ἢ ἄῤῥωστος ὑπάρχοι, προσέχειν ἐνταῦθα τὸν νοῦν καὶ διορίζεσθαι πότερον ἀπολέσθαι φθάσει πρὸ τῆς ἑβδόμης ἡμέρας, ἢ μετὰ ταύτην κριθήσεται. κακοῦ μὲν γάρ τινος ἔξωθεν ἀδοκήτου προσγενομένου καὶ τοῦ νοσήματος οὐκ ὀξέος ἁπλῶς, ἀλλὰ κατόξεος ὑπάρχοντος καὶ τῆς τοῦ κάμνοντος δυνάμεως ἀσθενοῦς οὔσης, οὐκ ἀναμένει τὴν ἑβδόμην ἡμέραν τὸ κατὰ τὴν τετάρτην γινόμενον κακὸν σημεῖον, ἀλλ᾽ ἑκταῖος ὁ τοιοῦτος ἄῤῥωστος τεθνήξεται, καὶ μάλιστα εἰ παροξύνοιτο κατὰ τὰς ἀρτίας. εἰ δὲ μήτε ἔξωθεν ἁμαρτηθείη μηδὲν ἥ τε τοῦ νοσήματος κίνησις εἴη μὴ πάνυ τι κάτοξυς, ὅ τε κάμνων ἰσχυρὸς, εἰ μὲν σαφὲς ἐν τῇ τετάρτῃ τὸ κακὸν σημεῖον ἐγένετο, κατὰ τὴν ἑβδόμην ὁ θάνατος, εἰ δ᾽ ἀμυδρὸν, ὑπερβάλλει καὶ τήνδε. καὶ τῶν παροξυσμῶν ἐν ἀρτίαις μὲν γινομένων ὀγδο-

tione, vel etiam aegrotantis habitu, quartus omnino feptimum indicat. Caeterum fi quid extrinfecus praeter opinionem accidat, quo de poftea mentionem facturi fumus, vel morbus vehementer, vel obfcure ad judicium propellatur, et aegrotantis vires aut validae, aut imbecilles extiterint, attendendum eft diftinguendumque, aeger periturusne fit ante diem feptimum, an poft hunc de ipfo decernetur. Siquidem ubi malum aliquod extrinfecus praeter fpem evenerit, et morbus non fimpliciter acutus, verum peracutus fit, ad haec vires aegri imbecillae, fignum malum, quod in quarto die apparuit, feptimum diem non expectat, verum fexto aeger hujusmodi morietur, praefertim fi paribus diebus acceffiones acceperit. Quod fi nihil extrinfecus erratum fit, et morbi motus haud ita praeceps ac velox et aeger validus, fi quidem manifeftum in quarto die malum judicium fuit, feptimo interitus comitabitur, fi vero obfcurum, excedet hunc quoque. Jam vero fi acceffiones paribus diebus contigerint, octavo, fi imparibus, nono aeger decedet.

αῖος, ἐν περιτταῖς δὲ ἐνναταῖος τεθνήξεται. τίνα δὲ σαφῆ καὶ τίν᾽ ἀμυδρὰ καλῶ σημεῖα, ἐν τοῖς περὶ κρίσεων εἴρηται, ἀλλὰ κἀν τῷδε τῷ λόγῳ προϊόντι δηλωθήσεται, πρότερον δὲ περὶ τῶν λειπόντων διορισμῶν ἐπάνειμι. χρηστὸν γάρ τι κατὰ τὴν τετάρτην ἡμέραν ἐναργῶς γινέσθω σημεῖον καὶ μηδεὶς κίνδυνος ὑποπτευέσθω περὶ τὸν κάμνοντα, ἀδύνατον ἐνταῦθα τὸ μὴ οὐ τὴν ἑβδόμην ἡμέραν κρῖναι τὴν νόσον, ἄν γε μηδὲν τῶν ἔξωθεν ἁμαρτάνηται. τίνα δέ ἐστι τὰ ἁμαρτανόμενα τὰ μὲν ὑπ᾽ αὐτοῦ τοῦ κάμνοντος δηλονότι, τὰ δ᾽ ὑπὸ τῶν θαυμαστῶν τούτων ἰατρῶν τῶν οἰομένων, εἰ μή τις εἰσελθὼν ἐπὶ τὸν ἄῤῥωστον, εἶτα περιζωσάμενος, ἢ καταπλάσειεν, ἢ καταιονήσειεν, ἢ κλύ[468]σειεν, ἢ φλεβοτομήσειεν, ἢ σικυάσειεν, ἢ τρίψειεν, ἢ θρέψειεν, ἤ τι τοιοῦτον ἕτερον ἐργάσαιτο, μηδὲν αὐτῷ πεπρᾶχθαι τεχνικόν. οὗτοι γὰρ ὁποσάκις ἂν εἰσέλθωσι πρὸς τὸν νοσοῦντα, τοσαυτάκις ἁμαρτάνουσιν. οὔκουν ἐνδέχεται τὴν εἰς τὴν ἑβδόμην ἡμέραν παρασκευαζομένην κρίσιν ἐν ἐκείνῃ γενέσθαι, τοσούτων ἐν τῷ μεταξὺ πλημμεληθέντων. ἡ γάρ τοι τῆς φύσεως κίνησις γίνεται μὲν ἐν περιόδοις τεταγ-

Quae porro manifesta, quae obscura indicia vocitem, in libris de crisi exactius monstratum est, quinetiam in hoc sermone procedente indicaturi sumus, prius autem ad reliquas distinctiones revertor. Appareat enim evidenter bonum aliquod in quarto die signum, et nullius periculi circa aegrotum sit supicio, fieri non potest quo minus septimo die fiat judicium, si nihil extrinsecus peccatum fuerit. Quaenam igitur sunt quae committuntur peccata? quaedam sane ab ipso aegroto videlicet, quaedam a medicis his admirandis, putantibus, si quis ingressus ad aegrum, deinde succingens se, vel cataplasma imposuerit, vel perfuderit, vel clysterem indiderit, vel venam inciderit, vel cucurbitulas adjunxerit, vel confricuerit, vel nutriverit, aut hujusmodi aliud factitaverit, nihil ab ipso gestum esse artificiosum; hi enim quoties ad aegrum accedunt, toties peccant. Non igitur judicium in septimo die, ad quem paratum erat, fieri potest, tot interea erroribus admissis, quandoquidem na-

μέναις κατά γε τὸν ἴδιον λόγον, κωλύεται δὲ ἐνίοτε φυλάττειν τὰς περιόδους ὑπὸ τῶν ἔξωθεν εἰς αὐτὴν ἁμαρτανομένων. οὕτω γοῦν καὶ ὁ πᾶν θαυμαστὸς Ἱπποκράτης ἔλεγε, φύσις ἐξαρκεῖ παντάπασιν. εἰς δὲ ταύτην ἔξωθεν μὲν κατάπλασμα, κατάχρισμα, ἐμβροχὴ ὅλου τε καὶ μέρεος. οὕτω δὲ καὶ τὸν ἰατρὸν ὑπηρέτην φύσεως ὀνομάζει τὸν ὄντως ἰατρὸν, οὐ φαρμακοπώλην τινὰ ἐκ τριόδου. τοσοῦτον γὰρ οὗτος ἀποδεῖ τοῦ φύσεως ὑπηρέτης δικαίως ὀνομάζεσθαι ὥστε τὰς ἐναντιωτάτας αὐτῷ μᾶλλον πρέπειν προσηγορίας, ἐχθρῷ καὶ πολεμίῳ τῆς φύσεως αὐτῆς καὶ τῶν καμνόντων εὐλόγως ἂν ὀνομασθέντι. δεόντως οὖν καὶ ἡμεῖς, ἐπειδάν τις ἀξιώσει ἡμᾶς προειπεῖν ἐπί τινος ἀῤῥώστου τὸ μέλλον ἀποβήσεσθαι, μετὰ διορισμοῦ τὴν πρόῤῥησιν ποιούμεθα, κριθήσεσθαι τόνδε τινὰ λέγοντες ἐν τῇδε τῇ ἡμέρα, πρῶτον μὲν ὑφ᾽ ἡμῶν διαιτώμενον, οὐχ ὑπ᾽ ἄλλου τινὸς ἰατροῦ· ἔπειτα δὲ αὐτὸν οὐδὲν ἐξαμαρτόντα καὶ πράξαντα πάντα τὰ προστιττόμενα, καὶ τρίτον εἰ μηδὲν τῶν ἔξωθεν ἁμαρτηθείη τι μέγα. τίνα δὴ ταῦτά ἐστι τὰ ἔξωθεν, ὑπηγγειλάμην γὰρ οὖν καὶ τοῦτο διορίσασθαι,

turae motus ftatutis periodis pro fui ratione contingit, interim ab exterioribus peccatis circuitus fervare prohibetur. Sic itaque Hippocrates undequaque admirabilis inquit: *Natura omnino fufficit.* Peccatur in hanc extrinfecus cataplasmate, inunctione, et totius et partis infperfione. Sic etiam *medicum naturae miniftrum* appellat, re vera medicum, non pharmacopolam quendam ex trivio, tantum enim hic a jufta naturae miniftri appellatione abeft ut etiam maxime contrarium nomen ipfi magis conveniat, inimico videlicet et naturae ipfius et aegrotantium hofti jure appellato. Quapropter nos merito, quum quispiam de aegro aliquo eventum jubet praedicere, cum diftinctione id facimus, dicentes, huic morbus folvetur ifto die, primum fi victus ratione a nobis, non alio quodam medico regatur, deinde fi nihil ipfe peccet et faciat quae injunguntur omnia, poftremo fi nullus magnus extrinfecus error admiffus fuerit. Quae jam exteriora peccata fint, quoniam hoc quoque definire

καιρὸς ἂν εἴη λέγειν. εἰ δή τις ἐμπρησμοῦ κατὰ τὴν οἰκίαν, ἢ ληστῶν ἐπελθόντων, ἢ ποταμοῦ κατακλύσαντος, ἐξαίφνης ἀναγκασθείη φυγεῖν, ὁπόση ἂν αὐτῷ βλάβη προσγένοιτο τί δεῖ καὶ λέγειν; οὕτω δὲ κἂν εἰ καταπίπτοντος ὀρόφου τινὸς ἢ τοίχου γνοὺς ἐξαιφνίδιον ἐκπλαγῇ τε ἅμα καὶ φεύγειν ἐπιχειρήσειεν, εἰ δὲ καὶ διὰ τοῦ κεράμου τι καταῤῥυῇ, ἢ πλείονος ὑετοῦ γενομένου, κἄπειτα τοῦτ' ἐπιχυθῇ τῇ κεφαλῇ τοῦ κάμνοντος, ἢ εἰ καὶ ἄλλος αὐτὸν ὁπωσοῦν βρέξειεν, ὡς ἀναγκάσαι μεταστῆναί τε καὶ ἀγρυπνῆσαι καὶ φοβηθῆναι, καὶ τοῦτ' ἂν μεγάλως τὸν νοσοῦντα βλάψειεν. οὕτω δὲ καὶ θόρυβος γειτόνων, ἤ τι τοιοῦτον ἕτερον ἀγρυπνίας αἴτιον αὐτῷ γινόμενον, ἢ καί τις ἀγγελία λυπηρὰ, κατὰ τὸ μέγεθος τῆς ἑαυτοῦ βλάβης καὶ τὴν τῆς προῤῥήσεως ἀκρίβειαν διαφθείρει. ὅσα μὲν γὰρ δι' αὐτὸ τὸ νόσημα μεταξύ τε τῆς προῤῥήσεως καὶ τῆς κρίσεως οἱ νοσοῦν(433)τες ἀγρυπνοῦσιν, οὐδὲν ταῦτα βλάπτει τὴν πρόῤῥησιν· ὅσα δ' ἔξωθεν ἀδόκητα προσγίνεται, τούτων οὐδενός ἐστι προγνωστικὸς ὁ ἰατρός. ὅθεν οὐδὲ τὴν μέλλουσαν ἀπ' αὐτῶν ἔσεσθαι βλάβην ὑπολογίσασθαι δυνα-

pollicitus sum, opportunum erit dicere, ut si aeger incendio domus accidente, aut latronibus invadentibus, aut fluvio inundante, subito cogatur fugere, quanta ei noxa advenerit, quorsum attinet referre? Simili modo si tegmen aliquod delapsum, vel parietem sentiens extimescat simul et fugam repente moliatur; item si per tegulam quippiam decidit, vel pluvia copiosior oborta capiti aegrotantis incidat, vel alius etiam quomodocunque ipsum irrigaverit, ut locum mutare, vigil esse et timere cogatur, et hoc non mediocrem ipsi offensam inducit. Eodem pacto vicinorum tumultus, vel alia quaedam talis vigiliae causa eveniens, aut nuncium aliquod triste, pro noxae ipsius magnitudine etiam praedictionis perfectionem corrumpit, vigiliae siquidem propter ipsum morbum intra praedictionem et crisim aegris advenientes nihil praesagia offendunt, quae vero extrinsecus inopinata veniunt, horum nihil medicus praecognoscit, unde nec futuram inde offensam conjicere potest, nec praedictioni

τὸν αὐτῷ καὶ προσθεῖναι τῇ κατὰ τὸν τοῦ νοσήματος λόγον ὑπαγορευομένῃ προῤῥήσει. ταῦτ᾽ οὖν αὐτὰ καὶ Ἱπποκράτης εὐθὺς κατ᾽ ἀρχὰς τῶν ἀφορισμῶν παραινεῖται λέγων· δεῖ δὲ οὐ μόνον ἑωυτὸν παρέχειν τὰ δέοντα ποιέοντα, ἀλλὰ καὶ τὸν νοσέοντα καὶ τοὺς παρεόντας καὶ τὰ ἔξωθεν. εἰ γὰρ, φησὶν, ἐξετάζειν τι καὶ βασανίζειν ἔγνωκας τῶν ἡμετέρων, αὐτός γε σὺ πρῶτον ἅπαντα ποίει τὰ δέοντα, καὶ δεύτερον δὲ καὶ ὁ νοσῶν εὐπειθὴς ἔστω σοι τὰ πάντα καὶ μηδὲν ὑπ᾽ ἀκολασίας ἁμαρτανέτω· καὶ τρίτον οἱ παρόντες αὐτῷ μηδὲν πλημμελείτωσαν, ὡς ἤτοι θυμὸν ἐγείρειν ἐφ᾽ οἷς ἁμαρτάνουσιν, ἢ λύπην ἐφ᾽ οἷς ἀκαίρως ἀγγέλλουσιν, ἢ βλάβην ἐφ᾽ οἷς ἐλλιπῶς παρασκευάζουσιν. ἀλλ᾽ ἡ μὲν παρασκευὴ πᾶσα πρὸ τοῦ τῆς κρίσεως ἑτοιμαζέσθω καιροῦ, τὰ δ᾽ ὄψα καλῶς ἐσκευάσθω, τὰ δὲ τῆς διακονίας ἄμεμπτα πάντα ἔστω. καὶ πρὸς τούτοις ἔτι τὸ τέταρτον γένος ὧν ὑπολο[469]γίζεσθαι προσέταξεν, ὀνομάζει δὲ αὐτὸ περιλαβὼν ἑνὶ ῥήματι τῷ τῶν ἔξωθεν, καίτοι πολυειδὲς ὑπάρχον, ἄμεμπτον ἔστω καὶ αὐτό. καὶ γὰρ ὑεταὶ καὶ βρονταὶ καὶ ἀστραπαὶ καὶ θόρυβοι γειτόνων καὶ κυ-

fecundum morbi rationem factae adjicere. Haec itaque ipfa Hippocrates ftatim in aphorismorum principio praecipit inquiens, *Oportet non folum ipfum quae res poftulat facere, verum etiam aegrum, affidentes et exteriora.* Si namque, ait, disquirere quippiam et indagare ex noftris cogitas, ipfe primum opportuna facito univerfa. Deinde aeger in omnibus praecipienti obtemperet, nihilque ex intemperantia peccet; poftea ii qui adfunt ei, nihil erroris committant, ut vel iram ob delicta concitent, vel triftitiam ex intempeftivis nunciis afferant, vel offenfam, quod imperfectius in re adminiftranda fe gerant, fed apparatus omnis ante judicii tempus prompte ftatuatur, obfonia pulchre parentur, minifterium inculpate exhibeatur. Infuper quartum genus eorum de quibus rationem habendam juffit appofuit, nominat ipfum uno complexus nomine exteriora, multiforme licet exiftat, atque hoc culpa vacet, etenim pluviae, tonitrua, fulgura, vicinorum tumultus, canum latratus, infultus la-

νες ὑλακτοῦντες, ἔφοδοί τε λῃστῶν καὶ κατάπτωσίς οἰκίας καὶ καταῤῥυὲν ὕδωρ καὶ ποταμὸς ἐπελθὼν, ἐμπρησμοί τε καὶ πληγαὶ καὶ πάνθ' ὅσα τοιαῦτα, τῶν ἔξωθέν ἐστιν ἅπαντα. ταῦτ' οὖν τὰ γένη τὰ τέσσαρα καὶ πολυειδῆ κατὰ μέρος ὑπάρχοντα ταῖς τῆς φύσεως κινήσεσιν ἐμποδὼν ἱστάμενα διαφθείρει πολλάκις τὴν τάξιν τῶν περιόδων. ἐπεί τοι τῆς τετάρτης ἐναργὲς σημεῖον ἐνεγκούσης κριτικὸν, εἰ μήθ' ὁ ἰατρὸς ἁμάρτοι τι μήθ' ὁ κάμνων μήτε τῶν ὑπηρετουμένων μηδεὶς, ἀλλὰ μηδὲ τῶν ἔξωθέν τι πλημμεληθείη, κατὰ τὴν ἑβδόμην ἡμέραν ἐξ ἀνάγκης ἡ κρίσις ἀπαντήσεται. δῆλον οὖν ἐστιν ὡς οὐκ ἄλλος μέν τίς ἐστιν ὁ ἀκριβῶς προγνωσόμενος, ἄλλος δέ τις ὁ διαιτήσων ὀρθῶς, ἀλλ' εἰς τὸν αὐτὸν ἀναγκαῖον ἄμφω συνελθεῖν, εἰ μὴ μέλλοι διαφθείρεσθαι θάτερον ὑπὸ θατέρου. ὅτι μὲν γὰρ ἁμαρτηθὲν ὁτιοῦν τῶν κατὰ τὴν δίαιταν, οὕτω δὲ ὀνομάζω νῦν ἅπασαν τῆς νόσου τὴν ἐπιμέλειαν, ἐμποδίζει τὴν κρίσιν ἱκανῶς ἐπιδέδεικται· ὅτι δ' οὐδὲ διαιτῆσαι καλῶς οἷόν τε χωρὶς τοῦ προγνῶναι τήν τ' ἀκμὴν τῆς νόσου καὶ τὴν κρίσιν ἐν τοῖς τῆς θεραπευτικῆς μεθόδου δείκνυται γράμμασιν. εἴπερ οὖν ἀλλήλων δεῖται ταῦτα διὰ παντὸς, οὐκ ἄλλος μέν τις

tronum, domus ruina, defluens aqua, fluvius irruens, incendia, ictus atque ejus generis universa exterioribus attribuuntur. Haec igitur quatuor genera, quorum partes etiam sunt diversae, dum naturae motus impediunt, subinde periodorum ordinem corrumpunt, quoniam ubi quartus dies evidens judicii signum attulerit, si neque aeger, neque ministrorum quispiam, imo si neque extrinsecus error admissus sit, septimo die necessario crisis futura est. Ex quo innotescit non alium quendam esse qui exacte praesagierit, alium qui rectam victus rationem instituet, sed in eundem utraque convenire necessarium, nisi alterum ab altero corrumpendum sit. Quod sane peccatum in victus modo quodlibet, sic autem nunc nomino universam morbi curam, judicium impediat abunde ostendimus; quod autem nec victus ratio proba sine status morbi et crisis praesagio instituі possit, in medendi methodo declaratur. Si igitur haec mutua opera perpetuo indigent, non alius quispiam medicus

ἰατρὸς ὀρθῶς θεραπεύσειε, προγνώσεται δὲ ἀκριβῶς ἄλλος, ἀλλ᾽ ὅστις ἂν ἄριστος ᾖ προγνωστικός τέ ἐστιν ἅμα καὶ θεραπευτικὸς ὁ τοιοῦτος. ἀλλὰ περὶ μὲν τῶν τοιούτων ἐπιπλέον ἑτέρωθι λέγεται, νυνὶ δὲ εἰς ὅπερ ἐξ ἀρχῆς προὔκειτο, πάλιν ἐπανίωμεν. ἡ γάρ τοι τετάρτη τῶν ἡμερῶν, ἐπειδὰν ἐνέγκῃ σαφές τι σημεῖον ἀγαθὸν, εἰς τὴν ἑβδόμην ἡμέραν προδηλοῖ τὴν κρίσιν ἀπαντήσεσθαι, μηδενὸς ὧν εἴρηται πλημμεληθέντος ἐν τῷ μεταξύ. γενομένου δέ τινος ἁμαρτήματος, ἐπισκεπτέον αὐτοῦ τὸ μέγεθος. εἰ μὲν γὰρ σμικρὸν εἴη, ἔσται μὲν καὶ οὕτως ἡ κρίσις ἑβδομαία, λείπει δ᾽ αὐτήν τι τῶν τῆς κρίσεως ἀγαθῶν. εἴρηται δ᾽ ἐν τοῖς ἔμπροσθεν ὅτι τὸ τελέως καὶ ἀσφαλῶς καὶ ἀκινδύνως καὶ πάνθ᾽ ὅσα τοιαῦτα ταῖς ἀγαθαῖς ὑπάρχει κρίσεσιν· εἰ δ᾽ εἴη μεῖζον τὸ πλημμεληθὲν, οὐδ᾽ ἂν τὴν κρίσιν ἔτι κατὰ τὴν ἑβδόμην ἡμέραν ἐπιτρέψειε γενέσθαι. προσέχειν οὖν δεῖ πᾶσιν ἐνταῦθ᾽ ἀκριβῶς τὸν νοῦν, καὶ τεκμαίρεσθαι τῆς βλάβης τὸ μέγεθος. ἑρμηνεῦσαι μὲν γὰρ αὐτὸ μὴ ὅτι χαλεπὸν, ἀλλὰ καὶ τελέως ἀδύνατον, τεχνικὸν δὲ ἐργάσασθαι τὸν μαθητὴν, ὥστε καὶ διαγινώσκειν τὰ τοιαῦτ᾽ ἀκριβῶς δυνατόν. ἀλλ᾽ οὐ νῦν ὁ καιρὸς, οἰκειότερος γάρ ἐστι

recte curaverit, alius exacte praeſagiet, verum quicunque optimus fuerit, is praeſagiet una et curabit. Sed de hujusmodi in aliis commentariis plenius tractamus. Nunc quod ab initio ſtatueramus, ad id revertemur. Quartus dies quum evidens aliquod indicium bonum afferat, ſeptimo die judicium fore innuit, nullo, ut diximus, errore interea commiſſo. At ſi quis contingat, magnitudo ejus inſpicienda eſt. Si etenim exiguus extiterit, erit etiam ſic judicium ſeptimanum, verum aliquid de judiciorum bonitatibus ipſi deerit: dictum eſt autem in prioribus quod perfecte, ſalubriter, ſine periculo et ſimilia, bonis adſunt judiciis, ſi majus ſit erratum, in ſeptimo die criſim fieri adhuc non permiſerit. Animus itaque diligenter adhibendus eſt hic omnibus et offenſae magnitudo ſignis colligenda, nam interpretari ipſam non ſolum difficile, ſed prorſus etiam impoſſibile, artificioſum vero diſcipulum reddere, ut haec quoque ex amuſſi perdiſcat, poſſibile; ſed hujus temporis non

τῆς περὶ κρίσεως θεωρίας. πάλιν οὖν ἐπὶ τὰ συνεχῆ τοῦ λόγου μεταβῶμεν, ἀναμνησθῶμέν τε τῆς προκειμένης ὑποθέσεως. ὑπέκειτο μέντοι σημεῖον κριτικὸν καὶ σαφὲς, καὶ ἰσχυρὸν ἐν τῇ δ' γεγενημένον ἡμέρᾳ τοῦ νοσήματος ὀξέος τε καὶ περιεστηκότος τὴν φύσιν ὑπάρχοντος, εἶτα ὅτι μηδενὸς πλημμεληθέντος μὲν ἀγαθὴ τὰ πάντα κρίσις εἰς τὴν ἑβδόμην ἡμέραν προδηλοῦται, βραχέος δὲ παντελῶς ἁμαρτηθέντος, εἰς τὴν ζ μὲν ἡμέραν καὶ οὕτως, οὐ μὴν ἀγαθὴ τελέως. εἰ δ' εἴη μέγα τὸ ἁμαρτηθὲν, ὡς ἀφελέσθαι μὲν τῆς ζ τὴν κρίσιν, εἰς δέ τινα τῶν ἐφεξῆς μετατιθέναι, προσέχειν ἐνταῦθα χρῆναι παρακελευόμεθα τῷ ποσῷ τῆς βλάβης. ὁ γὰρ ἀκριβὴς τούτου γνώμων εἴσεται σαφῶς· εἴτ' εἰς τὴν θ' ἡμέραν, εἴτ' εἰς τὴν ια' ἡ κρίσις μεταπεσεῖται. τὰ μὲν οὖν ἀκίνδυνα τελέως νοσήματα χρονίζειν εἴωθεν ἐπὶ τοῖς ἁμαρτήμασι, τὰ περιεστηκότα μὲν, οὐ μὴν ἄνευ κινδυνωδῶν συμπτωμάτων, ὀλέθρια γίνεται ἐπὶ τοῖς ἁμαρτήμασι. καίτοι καὶ τὰ τελέως ἀκίνδυνα, πολλῶν καὶ μεγάλων ἐφεξῆς γεγενημένων [470] ἁμαρτημάτων, εἰς τὴν τῶν ὀλεθρίων μεταπίπτει φύσιν· καὶ οὐδὲν οἶμαι θαυ-

eſt, magis ad ſpeculationem de criſi pertinet. Quare rurſus ad ſermonis reliquum redeamus, primam hypotheſim in memoriam revocantes. Quippe poſitum erat decernendi ſignum manifeſtum et validum in quarto die morbi et acuti et natura ſalubris eveniſſe, deinde nullo quidem errore commiſſo, bonam omnino criſim ad ſeptimum diem futuram indicari; ſi porro levis plane contigerit, ita quoque in ſeptimo eventuram, non tamen exacte bonam, ſi vero fuerit magnus, ut a ſeptimo in ſequentium aliquem criſis recidat, attendendum eſſe noxae magnitudini jubemus; nam exacta hujus regula deprehendet clare an in nonum diem, ſive undecimum criſis incidat. Itaque morbi qui prorſus ſine periculo ſunt, ob delicta diuturni eſſe ſolent. Qui incolumitatem pollicentur, non tamen periculoſis ſymptomatis, ob errata lethales fiunt. Quinetiam illi qui omni periculo vacant, multis magnisque deinceps erroribus commiſſis, in lethalium naturam incidunt. Nec mirum eſſe puto. Quum

μαστόν. ὅπου γὰρ καὶ τοῖς ὑγιαίνουσι τὰ μεγάλα τῶν ἁμαρτημάτων αἴτια νοσημάτων ὀλεθρίων γίνεται, τί χρὴ προσδοκᾷν ἐπὶ τῶν νοσούντων; ὥστ' ἤδη δῆλον ὡς ὁ τῶν ἐπιδήλων τε καὶ κρισίμων ἡμερῶν λόγος, ὃν Ἱπποκράτης ἡμᾶς ἐδίδαξεν, οὐδ' ἐξετασθῆναι πρὸς ἄλλου τινὸς εἰ τοῖς φαινομένοις ὁμολογεῖ δύναται, πλὴν ὅστις ἂν ὁμοίως ἐκείνῳ τεχνικὸς ὑπάρχει περὶ δίαιταν. οὗτος γὰρ μόνος ἐξεταστικὸς καὶ διαγνωστικός ἐστι τῆς τῶν ἁμαρτανομένων δυνάμεως, καὶ μόνος δύναται γνῶναι τῆς τε βλάβης τὸ μέγεθος καὶ τῆς μελλούσης κρίνειν ἡμέρας τὴν μετάπτωσιν. ὥσπερ δὲ ἐν τοῖς ἀκινδύνοις νοσήμασιν ὑστερίζουσι τοσοῦτον αἱ κρίσεις ὅσον ἂν ὑπὸ τῶν ἐν τῷ μεταξὺ πλημμεληθέντων οἱ κάμνοντες βλαβῶσιν, οὕτως ἐν τοῖς ὀλεθρίοις προλαμβάνουσιν. εἰ γὰρ τῆς δ' ἡμέρας ἐν θανατώδει νοσήματι θανατῶδες σημεῖον προδειξάσης, εἰς τὴν ἑβδόμην ἡμέραν ἡ κακὴ προδηλωθείη κρίσις, ἁμαρτηθείη δέ τι μεταξὺ μὴ πάνυ τι σμικρὸν, οὐκ ἀναμένει τὴν ζ' ἡμέραν ἡ κρίσις, ἀλλ' ἐν τῷ μεταξὺ τὸ νόσημα κριθήσεται κακὴν δηλονότι κρίσιν. πότερον δὲ κατὰ τὴν ε' ἢ τὴν στ', ἔκ τε τῆς αὐτοῦ τοῦ νοσήματος ὀξύτητος διορισθήσεται κἀκ τοῦ τῆς

enim in fanis delicta grandia morborum lethalium caufae fiant, quid in aegrotis expectandum eft? Proinde jam clarum eft indicum et decretoriorum dierum fermonem, quem Hippocrates nos docuit, non examinari ab alio quodam in apparentium confenfu poffe quam qui ex aequo par illi victus inftituendi artifex eft. Hic enim folus errorum vim disquirit pernofcitque, tum folus offenfae magnitudinem et diei judicaturi delapfum intelligere poteft. Quemadmodum vero in morbis periculo vacantibus judicia tantum remorantur quantum ex peccatis interim offenduntur aegri, ita in lethalibus praeveniunt. Si enim quum dies quartus in lethali morbo fignum lethale indicarit, in feptimum diem male praedicetur crifis, peccatum vero non ita exiguum interea temporis contigerit, feptimum diem crifis non expectabit, fed interdum morbus judicio malo videlicet finietur. Sed an quinto vel fexto, tum ex ipfius morbi celeritate

βλάβης μεγέθους κἀκ τοῦ σχήματος τῶν παροξυσμῶν. ἐν περιτταῖς μὲν γὰρ γινομένων αὐτῶν καὶ τοῦ νοσήματος ὄντος κατόξεος καὶ τῶν ἁμαρτηθέντων οὐ πάνυ σμικρῶν, ἐν αὐτῇ τῇ τετάρτῃ δηλονότι, θαυμαστὸν οὐδὲν ἐν τῇ πέμπτῃ τὸν ἄνθρωπον ἀποθανεῖν. εἰ δ' ἐν ἀρτίαις μὲν παροξύνοιτο, μὴ κάτοξυ δ' εἴη τὸ νόσημα, μηδ' ἡ τῶν ἁμαρτημάτων βλάβη μεγάλη, τὴν στ' ἀναμένει. τὰ δὲ τοιαῦτα πάντα συγχεῖ τῶν ἐπιδήλων τε καὶ κρισίμων ἡμερῶν τὴν θεωρίαν, ὀλίγων μὲν ἰατρῶν ὀρθῶς διαιτώντων, ὀλίγων δ' ἀῤῥώστων εὐπειθῶν ὑπαρχόντων, ὀλίγων δὲ καὶ τῶν τὴν οἰκείαν ὑπηρεσίαν ἄμεμπτον ἐχόντων, ἔτι δ' ἐλαττόνων οἷς οὐδὲν τῶν ἔξωθεν ἠναντιώθη. δεῖ τοίνυν ἀκριβῶς μὲν εἶναι θεραπευτικὸν καὶ προγνωστικὸν τὸν ἰατρὸν, ἀκριβῶς δὲ καὶ τοῦ τῆς βλάβης μεγέθους διαγνωστικὸν, ἵνα εἰ καὶ προείποι (434) ποτὲ τὴν ἡμέραν τῆς κρίσεως, εἶτ' ἐν τῷ μεταξύ τι βλαβῆναι τὸν κάμνοντα συμβαίη, μεταθεῖναι καὶ αὐτὸς ἀκριβῶς δυνηθείη τὴν πρόῤῥησιν. ἀλλ' ἐν τούτῳ πρόδηλον ὡς ὅστις μὲν μικρὸς καὶ ταπεινὸς τὴν γνώμην ᾖ οὐχ ὅπως ἀσκῆσαι διαγινώσκειν

tum ex offenfae magnitudine tum ex acceffionum figura definietur. Quippe quando in imparibus ipfae fiunt, morbus peracutus eft et peccata non admodum exigua, in ipfo quarto videlicet, miraculum non eft in quinto hominem interire. Quando in paribus acceffiones eveniunt, nec morbus peracutus fit, nec erratorum magna offenfa, fextum expectat. Hujusmodi autem omnia indicum et decretoriorum dierum fpeculationem confundunt, quum pauci medici recte victum praefcribant, pauci aegri obtemperent, pauci fuum minifterii munus legitime obeant, pauciores adhuc quibus nihil externi adverfatum fit. Quapropter medicum tum accurate curandi tum praefagiendi peritum effe convenit, accurate vero etiam laefionis magnitudinem difcernere, ut et fi aliquando judicii diem praedicat, fed interea temporis offendi aegrum contingat, mutare ipfe praedictionem exacte poffit. Hinc perfpicuum evadit quod quicunque animo pufillus humilisque fuerit non folum non fingula quae recenfui-

Ed. Chart. VIII. [470. 471.] Ed. Baſ. III. (434.)

ἕκαστον τῶν εἰρημένων ἐπὶ τῶν ἀῤῥώστων, ἀλλ' οὐδ' αὐτὴν τὴν θεωρίαν ἐκμαθεῖν ὑπομένοι.

Κεφ. ιβ'. Γενναῖος δέ τις καὶ ἀληθείας ἑταῖρος καὶ ταλαιπωρεῖν ἐπὶ τοῖς καλοῖς οὐκ ὀκνῶν, οὔτε τῶν θεωρημάτων τὸ χαλεπὸν οὔτε τοῦ χρόνου τὸ μῆκος οὔτε τῆς ἀσκήσεως τὸν πόνον ὑπειδόμενος, ἐπὶ τὸ τέλειον ἀφίξεται τῶν εἰρημένων, ὡς μὴ μόνον ἡμέραν ἔχειν εἰπεῖν βεβαίως ἐνίοτε, ἀλλὰ καὶ τὴν ὥραν αὐτὴν ἐν ᾗ κριθῆναί τινα τῶν νοσούντων, ἢ ἀποθανεῖν ἀναγκαῖον. ἐπειδὰν γὰρ προγνῷς τὴν ἡμέραν ἐνίοτε εἰ οὕτως ἔτυχε τὴν τοῦ θανάτου, σκοπεῖσθαι χρὴ τοὐντεῦθεν ἐν τίνι μάλιστα καιρῷ τοῦ παροξυσμοῦ βαρύνεται μεγάλως ὁ κάμνων. εἰ μὲν γὰρ εὐθὺς εἰσβάλλοντος αὐτοῦ καταψύχοιτό τε σφοδρῶς καὶ δυσεκθέρμαντος καὶ ἄχρους μέχρι πλείστου μένοι καὶ μικρόσφυκτος, ἢ ἄσφυκτος καὶ κακόσφυκτος γένοιτο καὶ κινηθῆναι νωθρὸς, ἢ ἀδύνατος, ἢ καὶ [471] κωματώδης, ἤ τι τοιοῦτον ἕτερον πάσχει, τοῦτον ὑφορᾶσθαι μάλιστα τὸν καιρόν. εἰ δ' οὗτος μὲν μέτριος εἴη, περὶ δὲ τὴν ἀκμὴν ἤτοι παραπαίοντα τὸν ἄῤῥωστον, ἢ κα-

mus in aegris cognoſcere ſtudet, ſed ne ſpeculationem quidem ipſam ediſcere ſuſtinet.

Cap. XII. At generoſus aliquis verique amator, tum qui labores in optimis quibusque rebus non refugiat, neque theorematum difficultatem, neque temporis prolixitatem, neque exercitii laborem veritus, ad commemoratorum perfectionem veniet, ut non ſolum diem firmiter aliquando poſſit praedicere, ſed etiam horam ipſam in qua aegrum quempiam liberari, vel mori neceſſarium eſt. Poſteaquam enim diem aliquando, verbi gratia, mortis cognoveris, conſiderandum eſt inde in quo potiſſimum acceſſionis tempore aeger maxime gravetur. Si enim ſtatim invadente ea refrigeretur vehementius, ut vix ad calorem reduci poſſit, calor diutiſſime abſit, pulſus exiguus, aut nullus, aut malus appareat, motus pigritia, vel etiam ſomnus veternoſus, aut aliud quippiam, hoc maxime tempus conſiderandum eſt. Quod ſi hoc quidem moderatum fuerit, in ſtatu autem vel delirantem, vel co-

ταφερόμενον, ἢ ἀλύοντα βλέποις, ἢ τοῦ πυρετοῦ τὸ μέγεθος οὐχ ὑπομένοντα, διακαιόμενον δὲ σφοδρῶς καὶ σκοτοδινιῶντα καὶ κεφαλὴν ἀλγοῦντα καὶ καρδιώσσοντα καί τι τοιοῦτον ἕτερον πάσχοντα, τοῦτον ὑποπτεύειν μάλιστα τὸν καιρόν. εἰ δὲ καὶ τῆς ἀρχῆς τοῦ παροξυσμοῦ καὶ τῆς ἀκμῆς μετρίως γινομένων ἡ παρακμὴ λειποψυχίας τινὰς καὶ ἱδρῶτας ἀνωμάλους καὶ ψυχροὺς, ἢ περὶ κεφαλὴν μόνον, ἢ τράχηλον, ἢ στέρνον ἐπιφέροι καὶ τοὺς σφυγμοὺς ἀμυδρούς τε καὶ μικροὺς ἐργάζοιτο καὶ τὰ τούτοις ὅμοια, τοῦτον ὑφορᾶσθαι μάλιστα τὸν καιρὸν, εἰδέναι τε σαφῶς ἐν τῷ χειρίστῳ τοῦ παροξυσμοῦ καιρῷ τεθνήξεσθαι τὸν ἄνθρωπον. καὶ μὴν εἰ τοῦτο διορισθείη τε καὶ γνωσθείη σαφῶς, οὐδὲν ἔτι χαλεπὸν οὐδὲ τὴν ὥραν εἰπεῖν τοῦ θανάτου. εἰ γὰρ καὶ τῆς δευτέρας ἡμέρας εἰ τύχοι καὶ τῆς τετάρτης τὸν σφοδρότατον παροξυσμὸν ἐνεγκούσης ἤπερ τῆς πρώτης τε καὶ τρίτης καὶ πέμπτης, εἰς τὴν ἕκτην ἡμέραν ὁ θάνατος προδηλωθείη, φαίνοιτο δὲ καὶ τὸ χαλεπώτατον μέρος τοῦ παροξυσμοῦ κατὰ τὴν εἰσβολὴν αὐτοῦ, καὶ τοῦτο ὥραν ἕκτην γένοιτο, οὔ τι χαλεπὸν ἐν ἐκείνῳ τῷ καιρῷ τεθνήξεσθαι τὸν ἄνθρωπον εἰπεῖν καὶ τοῦτ' ἔστιν ὅ

matofum, vel anxium videas, aut febris magnitudinem non tolerantem, fed vehementer inardefcentem, vertigine laborantem, capite dolentem, cardiogmo laborantem vel id genus aliis, hoc maxime tempus obfervare convenit. Porro fi in principio acceffionis vigoreque mediocriter evenientibus, declinatio quaedam animi deliquia, fudores inaequales, frigidos, vel circa caput folum, vel cervicem, vel pectus inferat, pulfus obfcuros exiguosque efficiat et his fimilia, hoc praecipue tempus obfervandum eft fciendumque manifefto in peffimo acceffionis tempore hominem moriturum. Atqui fi hoc definitum cognitumque aperte fit, nullum adhuc eft negotium mortis horam dicere, quippe quum fecundus dies exempli gratia et quartus vehementiorem acceffionem adferat quam primus, tertius et quintus, ad fextum diem mors praemonftrabitur, appareat vero pars acceffionis graviffima in ipfius infultu, eaque fexta hora, in hac moriturum hominem non

πειρῶμαι κατασκευάζειν νῦν, ὅπερ ἂν ἴσως οἰηθείη τις, ὡς οὐκ ἐνδέχοιτό ποτε σφαλῆναι τὸν ἐκ τοιαύτης θεωρίας ὁρμώμενον, ἀλλ' ὅτι τὰ πλείω τεύξεσθαι τἀληθοῦς, οὐ πιθανοῖς λόγοις, ἀλλ' αὐτοῖς τοῖς ἔργοις διεδειξάμην. ἐκεῖνο δὲ βέβαιον οἶδα ποιοῦντας ἐνίους τῶν βασκαινόντων τοῖς ἀρίστοις. ἀξιοῦσι γὰρ ἀεὶ προλέγειν ἡμᾶς τὸ μέλλον, κἂν μηδὲν ἔχωμεν ἐνίοτε βέβαιον σημεῖον, καίτοι τοῖς ἱεροσκόποις τε καὶ τοῖς οἰωνισταῖς ἐπεκθύεσθαι καὶ ἐπεξοιωνίζεσθαι συγχωροῦσιν, ὅταν ἀσαφῆ γένηται τὰ μαντεύματα, εἶθ' ἅμα μὲν ἀντιλέγουσιν ἡμῖν ὡς μείζονος ἢ κατ' ἄνθρωπον θεωρίας ἐφιεμένοις, ἅμα δ' ἐπὶ τῶν ἔργων οὕτω πικρῶς ἐξετάζουσι τὰς προῤῥήσεις ὡς οὐδένα τῶν μάντεων. ἀλλὰ γὰρ οὐ πρὸς τούτους ἀποβλέπειν, ἀλλ' εἰς αὐτὴν χρὴ τὴν ἀλήθειαν καὶ τῶν σημείων τὰς δυνάμεις ἀκριβῶς ἀσκήσαντας διαγινώσκειν, ἐπειδὰν ἀσφαλῶς οἷόν τε ᾖ διορίζεσθαι, προλέγειν τηνικαῦτα διατεινόμενον, εἰ δ' ἀσαφές εἴη τι, τὴν ἑξῆς ἡμέραν ἀναμένειν. εἰ δὲ καὶ μὴ κατ' αὐτήν τι δυνάμεθα βεβαίως προειπεῖν, ἄμεινον ἡσυχάζειν ἢ προπετῶς ἀποφηνάμενον σφαλῆναι. ἔγωγ' οὖν ἐκ τῆς τοι-

est operosum dicere. At hoc non dico ut quis putet nunquam tali speculatione fretum falli posse, verum majore ex parte veritatem assequi, non probabili sermone, sed re ipsa ostendimus. Illud autem novi certo, quosdam qui optimis invident, facere; volunt enim futurum nos semper praedicere, licet nullum interdum signum firmum habeamus, quanquam aruspicibus auguribusque denuo augurari immolareque concedant. Deinde simul quidem obstrepunt nobis tanquam majorem quam hominibus conveniat speculationem appetentibus; simul vero in operibus tam acerbe praedictiones inquirunt ut nulli vates ita inquirant. Atqui non illos respicere, sed veritatem ipsam et signorum facultates diligenti exercitio pernoscere oportet, et ubi hae tuto definiri possunt, praedicere conator; si autem quid obscurum fuerit, sequentem diem expectare oportet. Porro si nihil in ipso firmiter praesagire possimus, satius est tacere quam temere pronunciantem falli. Ego sane ex tali se-

αὐτῆς ἀσφαλείας ὁρμώμενος οὐκ οἶδα σφαλεὶς ἐν προῤῥήσει χρόνου πολλοῦ, καίτοι κατὰ τὴν πρώτην εὐθὺς ἀρχὴν τοῦ πυρετοῦ πολλάκις ὑπὲρ ὅλης ἀπεφηνάμην αὐτοῦ τῆς φύσεως, ἢ τριταῖον εἰπὼν εἶναι τὸν εἰσβάλλοντα τοῦτον πυρετὸν, ἢ τεταρταῖον, ἢ ἀμφημερινὸν, ἢ τούτων μὲν οὐδένα, συνεχῆ δέ τινα καὶ ὀξὺν, οὐκ ἂν ὑπερβάλλοντα τὴν δ΄ ἡμέραν. ἀλλ' ἐπὶ πάσης ἀρχῆς οὐχ οἷόν τε διαγνῶναι τὸ μέλλον, ἀλλ' εἴ τις ἂν ἀκριβῶς ἐμφανίζει τὴν τοῦ νοσήματος ἰδέαν, καὶ τοῦτο δὲ τῆς περὶ κρίσεών ἐστιν ἤδη πραγματείας.

Κεφ. ιγ΄. Πάλιν οὖν ἐπὶ τὸ προκείμενον ἐπανιτέον καὶ ῥητέον ὡς εἴ τις κατὰ τὴν πρώτην ἡμέραν ὀξέως μὲν πυρέττοι, μηδὲν δ' αὐτῷ προσείη κινδυνῶδες σημεῖον, εὑρεθείη δέ τι κἂν τοῖς οὔροις πέψεως γνώρισμα τῆς δ΄ ἡμέρας, οὐκ ἂν ἐξωτέρω λυθείη τὸ νόσημα. καὶ μὲν δὴ κἂν εἰ πάντα ὀλέθρια κατὰ τὴν α΄ ἡμέραν εὐθὺς εὑρίσκοιτο, [472] τεθνήξεται πάντως οὐκ ἐξωτέρω τῆς δ΄: εἰ δέ γε πυρέττοι μὲν ὀξέως, μηδὲν δὲ αὐτῷ παρείη τῶν ὀλεθρίων, ἀλλὰ μηδέ τι τῆς πέψεως γνώρισμα, τοῦτον οὐκ ἐνδέχεται τεταρταῖον παύσασθαι

curitate motus, haud novi me in praedictionem longo tempore erraffe, etfi in primo ftatim febris initio fubinde de tota ipfius natura pronunciaverim, vel tertianam effe hanc invadentem febrem inquiens, vel quartanam, vel quotidianam, vel harum quidem nullam, continuam vero et acutam aliquam, quartum diem non excedentem. Verum in omni principio futurum cognofcere non licet, nifi quis ex amuffi morbi fpeciem perfpectam referat, et hoc ad opus de crifi pertinet.

Cap. XIII. Iterum igitur ad inftitutum reverfi dicamus, fi quis primo die acuta febre infeftetur, nullum autem periculofum fignum ipfi adfuerit, fed in urinis aliqua coctionis nota inventa fuerit, non extra quartum diem morbus folvetur. Quinetiam fi multa lethalia primo die ftatim deprehendantur, morietur plane non extra quartum diem. At fi acute febricitet, nullum vero lethale adfit, imo nec aliqua concoctionis nota, fieri non poteft ut hic quartanus

Ed. Chart. VIII. [472.] Ed. Bas. III. (434.)

διορίζεσθαι δεῖ πάλιν ἐνταῦθα πότερον ὥσπερ οὐδὲν ὑπάρχει γνώρισμα πέψεως αὐτῷ, κατὰ τὸν αὐτὸν τρόπον οὐδὲ χρόνου γνώρισμα πολλοῦ, ἢ πρὸς τῷ τὰ τῆς πέψεως ἀπεῖναι σημεῖα καὶ τὰ τοῦ χρόνου πρόσεστιν. εἰ μὲν γὰρ ὥσπερ τὰ τῆς πέψεως, οὕτω καὶ τὰ τοῦ χρόνου τελέως σημεῖα ἀπείη, περὶ τὴν δευτέραν τετράδα τὴν ἀκμὴν ἀπολήψεται τὸ νόσημα· εἰ δὲ καὶ χρόνου μακροῦ σημεῖον παρείη, πάντως μὲν ὑπερπεσεῖται τὴν δευτέραν τετράδα, τουτέστι τὴν ἑβδόμην ἡμέραν. εἰς δὲ πόσον ἐκταθήσεται, τοῦτο οὐκ ἐγχωρεῖ γινώσκειν εὐθὺς κατ' ἀρχὰς, ἀλλ' ἐν ταῖς ἐφεξῆς ἡμέραις διορισθήσεται. τοσοῦτον δ' ἂν ἤδη πρὸς τῷ καλῶς διαιτᾷν ἀπολαύσεις ἐκ τῆς εἰρημένης προγνώσεως, γινώσκειν ὅτι χρὴ τρέφειν ἤδη τοσοῦτον ὡς ἂν ἐξ ὑστέρου μελλούσης ἔσεσθαι τῆς ἀκμῆς. ὅκου μὲν γὰρ κάτοξυ τὸ νόσημα, αὐτίκα καὶ τοὺς ἐσχάτους πόνους ἔχει, καὶ τῇ ἐσχάτως λεπτοτάτῃ διαίτῃ ἀναγκαῖον χρέεσθαι· ὅκου δὲ μὴ, ἀλλ' ἐνδέχεται ἁδροτέρως διαιτᾷν, τοσοῦτον ὑποκαταβαίνειν ὁπόσον ἂν ἡ νοῦσος μαλθακωτέρα τῶν ἐσχάτων ῇ· δηλονότι τὰ ἔσχατα τὴν ἀκμὴν λέγει τοῦ νοσήματος,

decedat. Distinguendum hic rursus est utrum sicut nulla concoctionis nota adest ei, eodem modo neque temporis longi ulla, an praeter quod coctionis indicia desunt, etiam temporis signa adsunt. Si namque ut concoctionis, ita temporis omnino signa absint, in secundo quaternario morbus statum accipiet. Quod si longi temporis indicium adfuerit, excedet omnino secundum quaternarium, hoc est diem septimum. Caeterum quantum extendetur, hoc non licet statim ab initio cognoscere, sed in sequentibus diebus distinguetur. Tantum autem ex hac praenotione ad probam victus rationem praecipiendam acquires, quod cognosces scilicet tantum alimenti morbo convenire quantum statu post futuro. *Quum enim morbus peracutus est, statim etiam extremos labores habet, in quo extreme tenuissima victus ratione utendum est; quum autem secus est, paulo pleniorem victum tantum admittere convenit quanto morbus extremis mitior clementiorque sit.* Extrema statum

εἴ γε δὴ καὶ τὸ κάτοξυ τοὺς ἐσχάτους πόνους ἔχειν αὐτίκα φησὶ, τουτέστι τοὺς παροξυσμοὺς καὶ τὰ συμπτώματα, τοῦτο δὲ οὐδὲν ἄλλο ἢ ἀκμάζειν ἐστὶ τὸ νόσημα. τὸ δὴ τοιοῦτον νόσημα τὸ κατὰ τὴν ἀρχὴν εὐθέως ὅτι τὴν δευτέραν ὑπερβήσεται τετράδα δηλοῦν, ἐν τῇ δευτέρᾳ καὶ τρίτῃ τῶν ἡμερῶν ἐπιγνοίης ἂν ἀκριβέστερον εἰς ὅσον ἂν ἐκταθήσεται χρόνου μῆκος. ἐν δὲ τῇ δ' κἂν ἐγγυτάτω στοχάσαιο τὴν μέλλουσαν ἀκμήν τε καὶ κρίσιν. εἰ μὲν γὰρ τά τε τῆς ἀπεψίας σημεῖα καὶ τὰ τοῦ χρόνου μηδὲν ἀξιόλογον ὑφιέντα φαίνοιτο καὶ τῆς τρίτης τετράδος ἐπὶ πλεῖον ἡ νόσος ἐκταθήσεται. εἰ δέ τινα σαφῆ ποιοῖτο μεταβολὴν, οὐ μὴν ἤδη γέ τι σημεῖον πέψεως ἐν τῇ πρώτῃ τετράδι φαίνοιτο, περὶ τὴν τρίτην τετράδα προσδέχεσθαι τὴν κρίσιν. εἰ δ' ἄπεπτον ἔτι δὴ φαίνοιτο κατὰ τὴν ἑβδόμην ἡμέραν, οὐ μὴν ἐξαίρετόν τι καὶ μέγα χρόνου σημεῖον ἔχον, ἐλπίζειν μὲν εἰς τὴν τετάρτην τετράδα, τουτέστιν εἰς τὴν τεσσαρεσκαιδεκάτην ἡμέραν ἐκταθήσεσθαι τὴν κρίσιν αὐτοῦ, διορίζεσθαι δ' ἀκριβῶς ἐπὶ τῆς ἑνδεκάτης. ὡς γὰρ ἡ

morbi appellat, siquidem peracutum quoque morbum extremos labores statim habere dicit, hoc est accessiones et symptomata; id autem aliud nihil est quam morbum vigere. Talis sane morbus qui statim a principio secundum quaternarium excessurum se indicat, secundo et tertio die accuratius a te intelligetur, in quantam temporis prolixitatem extendetur; in quarto vel proxime conjeceris futurum statum et crisim; nam si cruditatis signa et temporis nihil essatu dignum referunt, etiam tertio quaternario longius aegritudo extendetur. Enimvero si claram aliquam mutationem faciat, non tamen jam signum aliquod concoctionis in primo quaternario appareat, in tertio quaternario crisis expectanda est. At si crudus adhuc videatur in septimo die, non insigne quoddam et magnum temporis indicium habens, sperandum in quartum quaternarium, hoc est in decimumquartum diem crisim ejus extensum iri; definiendum vero est exacte in undecimo; ut enim quartus septimi, sic undecimus decimiquarti index est; ubi enim clarum aliquod et fidum ad amussim signum concoctionis jam eo die antea inno-

Ed. Chart. VIII. [472.] Ed. Baſ. III. (434. 435.)

δ' τὴν ἑβδόμην, οὕτω καὶ ἡ ἑνδεκάτη τὴν τεσσαρεσκαιδεκάτην προδηλοῖ· σαφές μὲν δή τι καὶ ἀκριβῶς [435] πιστὸν ἤδε προδείξασα πέψεως σημεῖον ἐν τῇ ιδ' τὴν κρίσιν ἔσεσθαί φησι· ἀμυδρὸν δ' εἰ γένοιτο, προσέχειν ἤδη τὸν νοῦν τοῖς ἄλλοις. εἰ μὲν γὰρ ὀξέως τε κινοῖτο τὸ νόσημα καὶ μηδὲν τῶν ἄλλων κωλύοι, τάχ' ἄν που καὶ ἡ ιδ' κρίνειεν· εἰ δὲ μὴ, περὶ τὴν ιζ' ἡ κρίσις. εἰ δ' ὅλως μηδὲν ἐπὶ τῆς ια' προδηλωθείη, τὴν μὲν ιδ' οὐκ ἐνδέχεται κρίνειν. σκοπεῖσθαι δὲ κἀνταῦθα τήν τε τοῦ νοσήματος ὅλου κίνησιν καὶ τὰ ἄλλα πάντα συμπτώματά τε καὶ σημεῖα, πότερον περὶ τὴν ιζ' ἢ καὶ ιη' ἐλπίζειν χρὴ κρίσιν, ἢ προσωτέρω γενέσθαι. ἐνίοτε μὲν γὰρ καὶ κατὰ ταύτας κρίνεται, τὰ πολλὰ δὲ καὶ κατὰ τὴν εἰκοστὴν, ἔνια δὲ καὶ κατὰ τὴν κα'. ἐπίδηλος δ' ἀμφοῖν μὲν ἡ ιζ' καὶ μᾶλλον τῆς κ', ἡ δὲ ιη' μόνης τῆς κα'. εἰ δέ τι καὶ κατ' ἀρχὰς εὐθὺς νόσημα μὴ σφόδρα ταχέως κινούμενον, ἀλλ' οἷον ἐνδόμυχον εἰσβάλλοι, καὶ τἄλλα αὐτῷ σημεῖα προσείη μακροτέρου χρόνου, τούτου τοῦ νοσήματος οὐχ οἷόν τε κατ' ἀρχὰς προγνῶναι τὴν ἀκμήν. ἀλλ' ὅτι μὲν οὐκ ἐντὸς τῆς ιδ' κριθήσε-

tuerit, in decimoquarto judicium fore ait, obſcurum ſi eveniat, aliis jam attendendum eſt. Si namque morbus celerem motum obtineat et aliorum nullum obſtet, forſan etiam decimusquartus decernet, ſin minus, in decimoſeptimo criſis erit, at ſi nihil in undecimo prorſus ante fuerit indicatum, in decimoquarto judicium eſſe nequit. Conſiderandum autem hic totius morbi motus aliaque ſymptomata omnia et indicia, utrum decimoſeptimo, vel etiam decimooctavo criſis ſperanda ſit, an longius progreſſura; interdum enim in his quoque judicatur, plerumque vigeſimo, interdum vigeſimoprimo, index autem amborum eſt decimusſeptimus et magis vigeſimi, decimusoctavus autem ſolius vigeſimiprimi. Porro ſi morbus quispiam mox ab initio non adeo celeriter moveatur, ſed velut occultus et latens invadat, et alia ſigna longioris temporis adſint, hujus ſtatum praeſagire in principiis nemini licet. Verum quod non intra decimumquartum diem criſim accipiet, liquido conſtat; quousque vero exten-

ται δῆλον· εἰς ὅσον δέ γε ἐκταθήσεται μῆκος [473] οὐδέπω δῆλον, ἀλλὰ χρὴ διορίζεσθαι πρῶτον μὲν εἰ κινδυνῶδές ἐστιν, ἢ ἀκίνδυνον. κινδυνώδους μὲν γὰρ ὄντος καὶ σὺν τούτῳ τῆς δυνάμεως ἀῤῥώστου, φθάσειεν ἂν ὁ ἄνθρωπος ἀποθανεῖν πρὶν εἰς μακρὸν ἐκταθῆναι χρόνον· ἀκινδύνου δὲ πόῤῥω πάντως ἡ κρίσις., οὐ γὰρ ἐνδέχεται ταχέως κριθῆναι τὸ χρόνου μακροῦ προδεῖξαν γνώρισμα. πόσος οὖν χρόνος ἀκριβῶς αὐτῷ γενήσεται μὴ ὅτι κατὰ τὴν πρώτην ἡμέραν, ἢ τὴν δευτέραν, ἢ τὴν τρίτην, ἀλλὰ μηδὲ κατὰ τὴν τετάρτην, ἐλπίζειν ἐξευρίσκειν ἀκριβῶς, ἀλλ᾽ ἐν ταῖς ἐφεξῆς περιόδοις τῶν κρισίμων ἡμερῶν ἔσται δῆλον. ἐπὶ μὲν τῆς δευτέρας τετράδος ἔστι που στοχαζομένῳ πλατύτερον, ἀκριβέστερον δ᾽ ἐπὶ τῆς τρίτης. εἰ μὲν γὰρ ἕως τῆς ζ ἡμέρας τὰ τῆς ἀπεψίας τε καὶ τοῦ χρόνου σημεῖα φαίνοιτο σφοδρότερα, πρὸ τῆς κ οὐκ ἐνδέχεται κριθῆναι, μετριωτέρων δὲ γενομένων ἢ ἴσων διαμενόντων ἐνδέχεται. ἐὰν οὖν ὅτι πρὸ τῆς κ οὐκ ἐνδέχεται κριθῆναι σαφῶς ἂν εἰδείης, εἰ δ᾽, ὡς εἴρηται, σφοδρῶν τῶν γνωρισμάτων τοῦ χρόνου γενομένων, ἐπισκέπτου τὴν τρίτην τετράδα, κἂν ἔτι καὶ κατὰ ταύτην ἐπιτείνηται, τά τε τοῦ χρόνου

detur, non conftat, fed diftinguere oportet prius periculofusne fit, an non. Si periculofus eft et praeterea vires aegri imbecillae, mors ante quam in longum extendatur tempus, praevertet; fi periculo vacat, procul omnino crifis eft, non enim fieri poteft ut celeriter judicetur morbus qui praemonftrarit notam longi temporis. Quantum igitur tempus ad amuffim ei accedet, non modo non primo die aut fecundo aut tertio, fed ne quarto quidem invenire abfolute fperandum, verum in decretoriorum dierum fequentibus periodis perfpicuum fiet. In fecundo quidem quaternario latior eft conjectura, in tertio accuratior. Quod fi enim ad feptimum usque diem cruditatis et temporis indicia vehementiora compareant, ante vigefimum diem crifis effe non poteft; fi moderatiora eveniunt, aut permanent aequalia, poteft. Itaque fi ante vigefimum diem decerni non poffe manifefto noveris, idque temporis notis vehementibus, infpice tertium quaternarium, et fi adhuc temporis cruditatisque

καὶ τὰ τῆς ἀπεψίας σημεῖα πόῤῥω που τῆς κ' ἐκταθήσεσθαι τὴν κρίσιν ἔλπιζε. μενόντων δ' ἴσων, ὅτι μὲν κἀνταῦθα μετὰ τὴν εἰκοστὴν ἤδη καὶ τοῦτο λέγειν ἐγχωρεῖ, τὴν δ' ἡμέραν αὐτὴν οὐχ οἷόν τε γινώσκειν ἤδη. δηλώσει δὲ αὐτὴν ἡ τρίτη τε καὶ τετάρτη τετράς. εἰ γὰρ ἀεὶ καὶ μᾶλλον ἐκλύοιτο τὰ τῆς ἀπεψίας σημεῖα, τῇ μετὰ τὴν τρίτην ἑβδομάδα πρώτῃ τετράδι κριθήσεσθαι τὴν νόσον ἔλπιζε. μὴ πάνυ δ' ἀξιολόγου γενομένης τῆς μεταβολῆς, εἰς τὴν τετάρτην ἑβδομάδα προβήσεται. τὰ δ' ἕως τῆς ιδ' ἡμέρας ἄπεπτά τε παντάπασιν ὑπάρχοντα καὶ βραδύτερόν πως κινούμενα νοσήματα τῆς μ' οὐκ ἂν ἐγγυτέρω κριθείη. μετὰ δὲ τὴν μ' ὅτι τὰ τῶν κρίσεων ἐκλύεται καὶ μάλιστα ταῖς κατὰ βραχὺ πέψεσιν, ἢ ταῖς ἀθρόαις μεταβολαῖς τὰ νοσήματα λύεται καὶ ἡμῖν μὲν ἔμπροσθεν εἴρηται, καὶ τοῖς ἄλλοις δὲ πᾶσιν ὅσοις τῶν ἔργων τῆς τέχνης φροντὶς οὕτω δοκεῖ, καθάπερ οὖν καὶ Ἀρχιγένει. γίνονται μὲν ποτε καὶ κατὰ ταύτας ὀξεῖαι μεταβολαὶ, ὥσπερ κἀν τοῖς ἐφ' Ἱπποκράτους γεγραμμένοις ἀῤῥώστοις ἔστιν εὑρεῖν. ἡ δὲ τῆς προγνώσεως αὐτῶν μέθοδος αὕτη. καθόλου γὰρ χρὴ τὰς

ſigna in hoc intendantur, procul a vigeſimo die criſim productum iri ſpem habeto, aequalibus ſignis manentibus, hic quoque poſt vigeſimum venturam dicere licet, diem vero ipſum cognoſcere jam non eſt, tertius autem et quartus quaternarius eum indicabit. Si namque ſemper magisque cruditatis ſigna exolvantur, primo poſt tertiam ſeptimanam quaternario criſim morbi ſperato, ſi nulla inſignis mutatio fiat, in quartam hebdomadem progredietur. Qui autem morbi ad decimumquartum crudi omnino ſunt et tardius quodammodo moventur, non citius quadrageſimo judicantur. Poſt quadrageſimum vero judicia diſſolvi, et lentis concoctionibus magis quam ſubitis mutationibus morbos ſolvi, et nobis quidem prius dictum eſt et aliis omnibus quibus artis opera curae ſunt ſic videtur, ut etiam Archigeni. Accidunt quidem aliquando in his quoque praecipites mutationes, quemadmodum in aegris ab Hippocrate deſcriptis invenias; praeſagiendi autem ipſarum methodus haec eſt. In ſumma

δυνάμεις ἐπίστασθαι τῶν σημείων, ὥσπερ οὖν καὶ Ἱπποκράτης ἐκέλευεν, εἰ μέλλοι τις ἔσεσθαι προγνωστικὸς ἀκριβῶς. οἱ πολλοὶ δὲ τῶν ἰατρῶν, ὅσοι γε τολμῶσιν ἅπτεσθαι τῆς τοιαύτης θεωρίας, εἰς τὸν ἀριθμὸν ἀποβλέπουσι τῶν σημείων, οὐκ εἰς τὰς δυνάμεις. ἀλλὰ περὶ μὲν τούτων κἂν τοῖς περὶ κρίσεων ὑπομνήμασι λέγεται. καιρὸς δ' ἂν εἴη μοι τοῦ τῆς διαφωνίας ἅπτεσθαι λόγου καὶ κρίνειν αὐτὴν πειρᾶσθαι διά τε τῆς ἐμπειρίας καὶ τοῦ λόγου. ταῦτα γὰρ δὴ καὶ δι' ἑτέρων ἐδείκνυμεν εἶναι κριτικὰ πάντων τῶν ἐν ἰατρικῇ ζητουμένων.

enim fignorum vires cognofcere oportet, ficut Hippocrates etiam praecepit, fi quis praefagiendi peritus exacte futurus eft. Plerique medici qui hujusmodi fpeculationem audent attingere, ad fignorum numerum, non poteftates refpiciunt. Sed haec et in opere de crifi tractantur. Tempus autem fuerit discordiae fermonem aggredi et experientia ac ratione eum explorare, has fiquidem alibi etiam oftendimus omnium quae in medicina disquiruntur effe judices.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΚΡΙΣΙΜΩΝ ΗΜΕΡΩΝ ΒΙΒΛΙΟΝ Β.

Ed. Chart. VIII. [474.] Ed. Baf. III. (435.)

Κεφ. α'. Ὅσον μὲν εἰς τὰ τῆς ἰατρικῆς ἔργα χρήσιμον ἐν τῷ πρὸ τούτου λόγῳ σύμπαν εἴρηται. διὰ τί δ' οὐχ ἅπαντες ὑπὲρ ἁπασῶν ὡσαύτως ἔγραψαν, εἴρηται μὲν καὶ τοῦτ' ἔμπροσθεν. ἀλλ' ὅπῃ σφαλῆναι μέν τισιν αὐτῶν, κατορθῶσαι δ' ἑτέροις ὑπῆρξεν, οὐκέτ' εἴρηται. τοῦτο οὖν ἀναληπτέον ἐν τῷδε τῷ λόγῳ πρῶτον, ἔπειτα καὶ τὴν αἰτίαν ῥητέον δι' ἣν οὔθ' ἁπασῶν ἡμερῶν ἀριθμός ἐστι κριτικὸς οὔθ' ὅσαι κρίνειν πεφύκασιν ἴσην ἅπασαι ἔχουσι δύναμιν, ἀλλ' ἐπειδὴ πάντα τὰ κατὰ τὴν ἰατρικὴν τέχνην εὑρίσκεταί τε

GALENI DE DIEBVS DECRETORIIS LIBER II.

Cap. I. Quantum fane ex diebus decretoriis medicinae operibus utilitatis adveniat fuperiori commentario univerfum oftendimus; cur autem non omnes eodem modo de omnibus fcripferint, dictum eft hoc quoque antea, at quo pacto nonnulli ipforum erraverint, alii recte fenferint, nondum expofuimus. Hoc itaque primum nunc repetendum, deinde caufa explicanda erit, ob quam neque omnium dierum numerus eft decretorius, neque decernere nati eandem habent omnes potentiam. Porro quum univerfae medicae

καὶ δοκιμάζεται, τὰ μὲν ἐμπειρίᾳ, τὰ δὲ λόγῳ, τὰ δὲ συναμφοτέρῳ, πειρατέον κἀνταῦθα δι᾽ ἀμφοτέρων ὀργάνων ἐξελέγξαι μὲν τὸ ἡμαρτημένον, ἐπαινέσαι δὲ καὶ προσίεσθαι τὸ κατωρθωμένον. ὅτι μὲν οὖν ἡ πεῖρα τὰς εἰρημένας ἡμέρας πρεσβεύει, τοὺς μὲν ὑπ᾽ ἐμοῦ παρατηρηθέντας ἀῤῥώστους εἰ γράψαιμι, τάχ᾽ ἄν τῳ ψεύδεσθαι δόξαιμι, τοὺς δ᾽ ὑφ᾽ Ἱπποκράτους, ὃν ἀληθέστατόν γε πάντων καὶ κρίνειν ἱκανώτατον ἅπαντες εἶναι πεπιστεύκαμεν, ἄμεινον εἶναί μοι δοκεῖ παραθέσθαι τῷ λόγῳ, καὶ πρῶτον μὲν τοῦ συγκεχυμένου τε καὶ ἀδιορίστου κατὰ τὴν πεῖραν, οὗ καὶ πρόσθεν ἐμνημόνευσα, πρὸς τοὺς διορισμοὺς ἀναμνήσω.

Κεφ. β΄. Λέλεκται δ᾽ ἐν αὐτοῖς πρῶτον ἓν μὲν τὸ μὴ δεῖν ἐπὶ πάντων ἑξῆς τῶν ἀῤῥώστων τὴν ἐξέτασιν τῶν κρισίμων ἡμερῶν ποιεῖσθαι, μόνους δ᾽ ἐκλέγειν ἐκείνους καὶ ἀναλαμβάνειν εἰς τὴν βάσανον, ἐφ᾽ ὧν μήτ᾽ αὐτὸς ὁ ἰατρὸς ἥμαρτέ τι μήθ᾽ ὁ κάμνων, ἀλλὰ μήθ᾽ οἱ παραμένοντες, ἢ καί τι τῶν ἔξωθεν ἀπήντησε βλαβερόν. ἔπειτα δὲ καὶ τὸ τὰς ἀρχὰς τῶν νοσημάτων οὐκ ἐκ λόγου τινὸς, ἀλλ᾽ ἐξ αὐτῆς τῆς ἐναργείας

artis ſpeculationes aliae experientia, aliae ratione, aliae utroque inveniantur probenturque, conabimur hic quoque ambobus inſtrumentis erratum deprehendere, recte ſcriptum laudare approbareque. At quoniam mentiri forte cuipiam videar, ſi ex aegris a me obſervatis praedictos dies ab experientia commendari tibi perſuadere coner, ſatius eſſe duco illos quos Hippocrates, vir ut caeteris fide dignior, ita omnium conſenſu decernendi peritiſſimus, animadvertit, ſermoni apponere, et primum quidem confuſionem ac indefinitum experimento, cujus et ante memini, ad definita reducam.

Cap. II. Dictum eſt in ipſis primum unum certe, dierum puta decretoriorum inquiſitionem in omnibus deinceps aegrotis fieri non eſſe neceſſarium, illos tantum numerandos probandosque in quibus nec ipſe medicus nec aeger quid peccaverit, imo nec aſſiſtentes, aut etiam extrinſecus offenſa quaepiam obvenerit, deinde morborum initia non ratione quapiam, ſed ex ipſa evidentia capienda, quum pri-

λαμβάνειν, ὁπότε πρῶτον ὁ κάμνων αὐτὸς ᾔσθετο σαφῶς, οὕτως εἰσβάλλοντος αὐτῷ τοῦ νοσήματος ὡς κοινώσασθαι βούλεσθαί τινι τῶν παρόντων ἰατρῶν, καὶ τρίτον, ἐπειδὰν εἰς πλείονας ἡμέρας ἐφεξῆς ἀλλήλων οὔσας ἡ κρίσις μερισθῇ, τίνος ἐστὶν οἰκεία δύνασθαι διαγινώσκειν. εἰ μὴ γὰρ διορισάμενός τις ὑπὲρ τούτων ἐπὶ τῇ πείρᾳ τὰς κρισίμους ἡμέρας ἐξετάζειν ἀφίκοιτο, πάμπολυ σφαλήσεται. τὸ μὲν δὴ κατὰ τὴν πεῖραν αὐτὴν τοιόνδε τί ἐστι. τὸ δὲ κατὰ τὸν λόγον, ὡς χρὴ κρίνεσθαι τὴν πεῖραν, ἐφεξῆς δίειμι. φυσικὸν εἶναι χρὴ τὸν ταῦτα κρινοῦντα καὶ πεπεισμένον ἀκριβῶς ὅτι φύσις ἐξαρκεῖ παντάπασιν καὶ ὡς προνοεῖται τοῦ σώματος ἡμῶν ἄκραν τινὰ πρόνοιαν, ὅτι τε ταῖς οἰκείαις κινήσεσιν, εἴπερ τι καὶ ἄλλο, τεταγμέναις οὕτως καὶ ἡ φύσις χρῆται. τούτων δὲ τὰ μὲν ἐκ τῶν περὶ χρείας μορίων ἔνεστι συλλογίσασθαι. δέδεικται γὰρ ἀκρι(436)βῶς ἄκρα τις ἐν τῇ διαπλάσει τοῦ ζώου τέχνη τῆς φύσεως, τὰ δ᾽ ἐν ταῖς τῶν κυημάτων αὐξήσεσίν τε καὶ τελειώσεσι καὶ ἀποκυήσεσι. καθ᾽ ἕκαστον γὰρ ζῶον ἡ τοῦ γένους οἰκεία προθεσμία τοῖς κυουμένοις ἅπασιν ἀκριβῶς φυλάττεται,

mum aeger ipse manifesto sensit morbum sic eum invadentem ut praesentem quempiam medicum de hoc consulere desiderarit; tertium quum in plures se ordine consequentes dies crisis partita sit, cujus propria dicatur, posse dignoscere. Nisi enim quispiam his definitis experimento decretorios dies disquisiverit, vehementer errabit, et quidem in experientia ipsa judicium tale est, ratione vero quemadmodum judicari experientiam convenit, post haec enarrabo. Physicum esse convenit qui haec judicet, et persuasum habere, naturam prorsus sufficere et summa quadam providentia corpori nostro prospicere, item propriis etiam motibus ordinatis, si quid aliud, et ipsam uti. Horum quaedam ex libris de partium usu ratiocinari licet, ostensum enim est ibidem summum naturae in animali fingendo artificium, quaedam in conceptuum incremento, perfectione et partu. Nam cujusque animantis conceptui suum generis statutum tempus exacte servatur, natura videlicet ordinatos motus semper ha-

τεταγμένας δηλονότι τῆς φύσεως ἀεὶ τὰς κινήσεις ἐχούσης. οὕτω δὲ καὶ ἡ μετὰ τὴν ἀποκύησιν αὔξησις ἑκάστου ζώου γίνεται. ἡ τελείωσις δὲ καὶ ἡ παρακμὴ ἐν χρόνοις ὡρισμένοις γίνεται. καὶ μὲν δὴ καὶ ὅστις τοῖς περὶ τῶν φυσικῶν δυνάμεων ὑπομνήμασιν ὡμίλησε καὶ τοῖς ἄλλοις ἅπασιν ὅσα κατὰ μέρος ἡμῖν ὑπὲρ ἑκάστης γέγραπται τῶν φυσικῶν ἐνεργειῶν, οἶμαι πεπεῖσθαι τοῦτον εἰς ὅσον ἥκουσι προνοίας τε ἅμα καὶ τάξεως αἱ τῆς φύσεως κινήσεις. εἰ δή τις ὑπὸ τούτων πέπεισται καὶ θαυμάζει τὴν τέχνην θ᾽ ἅμα καὶ τὴν τάξιν τῆς φύσεως, ἀναμνησθεὶς αὖθις ὅσον ἀπολείπεται καὶ προνοίᾳ καὶ τάξει τῶν κατ᾽ οὐρανὸν, ἀταξίαν τινὰ, οἶμαι, δώσει σύμφυτον τῇ τῆς ἐνταῦθα οὐσίας κινήσει. καὶ τὸ μὲν καλὸν ἅπαν, ὅσον ἂν ᾖ καλὸν ἐνταῦθα, καὶ μέντοι καὶ τὸ τεταγμένον τε καὶ τεχνικὸν ἄνωθεν ἐγγίνεσθαι φήσει, τὸ δ᾽ ἄτακτόν τε καὶ πεπλανημένον ἐκ τῆς ἐνταῦθα ὕλης ὁρμᾶσθαι. καὶ ταῦθ᾽ Ἱπποκράτης πρῶτος ἁπάντων ὧν ἴσμεν ἐπείσθη Ἑλλήνων, μετ᾽ αὐτὸν δὲ ἅπαντες οἱ ἄριστοι τῶν φιλοσόφων. εἰ δὲ μὴ μακρὸς ἔμελλεν ὁ λόγος ἔσεσθαι, τάχ᾽ ἂν ὧν λέγουσιν ἀποδείξεων εἰς

bente. Sic enim poft partum unumquodque animans increfcit, abfolvitur et declinat praefinitis temporibus. Jam vero qui libros de naturalibus facultatibus perlegerit, item alios univerfos, quos particulatim de fingulis naturalibus actionibus confcripfimus, perfuafum, opinor, habebit, quantum providentiae fimul et ordinationis naturae motus habeant. Si jam haec crediderit, mireturque artificium pariter et ordinem naturae, recordatus iterum quantum ipfa fuperetur providentia et ordine a caeleftibus, inordinationem quandam, puto, fubftantiae noftrae motui connatam tribuet. Atque pulchrum omne quod hic pulchrum fit, atque etiam ordinatum et artificiofum, ex fupernis innafci dicet, inordinatum et erraticum ex materia, quae hic verfatur, provenire. Atque haec primus omnium quorum memoria ad nos pervenit Graecorum Hippocrates credidit, poft eum philofophorum praecipui. At nifi fermo in longum proveheretur, demonftrationes forfan, quas di-

Ed. Chart. VIII. [475. 476.] Ed. Baf. III. (436.)
πίστιν τῶν εἰρημένων δογμάτων ἐμνημόνευσα. ἀλλὰ γὰρ ἀρκεῖ τῷ παρόντι λόγῳ καὶ ταῦτα. χρὴ τοίνυν τὸν ἰατρὸν ὅστις ἂν ἄξιος ἔσεσθαι μέλλῃ τῆς Ἱπποκράτους τέχνης, εἴπερ τι ἄλλο, καὶ τοῦτο πεπεισμένον ἥκειν ἐπὶ τὸ κρίνειν τὴν πεῖραν, ὡς τεταγμένον τι χρῆμά ἐστιν ἡ φύσις, κἀπειδὰν κρατῇ τῆς ὕλης, ἀναλογίαις τισὶν ὡρισμέναις καὶ περιόδοις τεταγμέναις αἱ κινήσεις αὐτῆς γίνονται. τὰ δ᾽ ἀλόγως παρεμπίπτοντά ποτε καὶ συγχέοντα τὴν τάξιν, ἐπειδὰν μὴ πάντῃ κρατῇ τῆς ὕλης, ἀλλ᾽ ἐμποδίζοιτό ποτε καὶ κωλύοιτο τοῖς ἑαυτῆς λόγοις κινεῖσθαι, τότ᾽ αὐτῇ συμπίπτει. τοῦτο γὰρ εἴπερ εἴη πεπεισμένος, ἔπειτα ἐκ τῆς ἐμπειρίας ἐπιμάθοι τό τε τῆς ζ´ ἡμέρας ἐν ταῖς κρίσεσιν ἀσφαλές θ᾽ ἅμα [476] καὶ τέλειον καὶ ἀκίνδυνον καὶ εὔσημον καὶ πολὺ τότε τῆς τεσσαρεσκαιδεκάτης ταύτῃ παραπλήσιον, ἐπιμάθοι δὲ καὶ ὡς ἡ μὲν τετάρτη τῆς ἑβδόμης ἐστὶν ἐπίδηλος, ἡ δὲ ἐνδεκάτη τῆς τεσσαρεσκαιδεκάτης, εὐθὺς αὐτοῦ παραστήσεται σκοπεῖσθαί τι περὶ τῆς ἑβδόμης. ὅπου γὰρ καὶ τῆς πρώτης ἑβδομάδος διχῇ διαιρεθείσης ἡ τετάρτη δεξαμένη τὴν τομὴν ὁποῖόν τι τὸ τέλος ἔσται προδηλοῖ καὶ τῆς δευτέ-

cunt, ad finem praedictorum dogmatum adduxissem. Verum haec praesenti sermoni sufficiunt. Expedit igitur medicum, qui Hippocratis arte dignus futurus est, si quid aliud, hoc certe persuasum habere, experientiam judicare, naturam rem quandam esse ordinatam, et quum materiam superaverit, proportionibus quibusdam definitis et periodis ordinatis motiones ipsius fieri. At quae praeter rationem incidunt aliquando ordinemque confundunt, tunc ipsi obveniunt, quum non plane materiam vicerit, sed impeditur prohibeturque suis proportionibus moveri. Hoc enim si tibi persuaseris ac dein experientia perdidiceris septimo die crisim esse tutam simul et perfectam, sine periculo, cum bonis signis et crebram, ad haec ei quae decimoquarto evenit, assimilem, insuper quartum diem septimi esse indicem, undecimum vero decimiquarti, subibit statim de septimo considerare quippiam. Ubi enim prima hebdomade bifariam divisa quartus sectionem recipiens, qualis finis futurus erit,

ρας ὡσαύτως, πῶς οὐκ ἄν τις εἰς ἔννοιαν ἀφίκοιτο τοῦ τελείαν μέν τινα εἶναι περίοδον ἑκάστην τῶν ἑβδομάδων, ἐπειδὴ τὸ μέσον ἑκατέρου τῶν ἄκρων ἴσον ἀφέστηκε; καὶ διὰ τοῦτο καὶ τὴν πρὸς ἄμφω κοινωνίαν ὁμοίαν ἔχει, τὴν μὲν τετάρτην ὁπόσα διὰ τῆς πρώτης ἡμέρας οὐκ ἐπαύσατο πειρᾶσθαι λύειν αὐτήν· τὴν ια´ δ᾽ αὖ πάλιν ὁπόσα διὰ τῆς ζ´. εἰ δ᾽ εἴη μεῖζον ἢ ὥστε μὴ διὰ τῆς τετάρτης ἡμέρας κριθῆναι τὸ νόσημα, προεργάζεσθαι μὲν ταύτην, τὸ τέλος δὲ ἐπιτιθέναι τὴν ἑβδόμην. ὡσαύτως δὲ καὶ ὅσα κατὰ τὴν ἑβδόμην οὐκ ἐπαύσατο, τὴν ια´ αὐτοῖς ἐπιχειρεῖν, καὶ οὕτως ἢ αὐτὴν κρίνειν, ἢ προεργάζεσθαι τῇ ιδ´ καὶ κατ᾽ αὐτὴν εὐθὺς εἰς τὴν θεωρίαν ἵστασθαι. καὶ τὸ μὲν εἴτ᾽ αὐτοὶ πεφύκασιν οἱ ἀριθμοὶ δρᾷν, εἴτε ἕπονται τεταγμέναις κινήσεσιν οὐκ αὐτοὶ δρῶντες, ἀλλὰ ταῖς ἐν χρόνῳ τινὶ δρώσαις οὐσίαις ἑπόμενοι, τοῖς φιλοσόφοις σκοπεῖσθαι παρίημι· τὸ δ᾽ ἀμφοτέροις ὁμολογούμενον κοινῇ λαβών τις, τὸ φαίνεσθαι τάς τε κατ᾽ οὐρανὸν οὐσίας ἀεὶ ταῖς οἰκείαις ἀναλογίαις τῆς κινήσεως κεχρημένας, ἤδη δὲ καὶ ἐν

praenunciat, et fecunda fimiliter, quomodo non quis intelliget feptimanam quamque perfectam quandam effe periodum, quum medium ab utroque extremo ex aequo diftet et propterea quoque ad ambo conjunctionem fimilem obtineat? Nam quartus morbos, qui primo die non cefſarunt, folvere conatur, undecimus rurfum quos feptimus non difcuffit. Quod fi morbus major fit quam ut quarto die crifim accipiat, dies quidem quartus praeparat, finem vero imponit feptimus. Pari modo qui feptimo non defierunt, undecimus dies folvere molitur, atque fic vel ipfe decernit, vel ipfi decimoquarto praeparet. Ego quidem hic in fpeculatione fifto. Numeri vero an ipfi agere nati fint, an ordinatos motus fequantur non agentes ipfi, verum fubftantias quae in temporis quodam fpacio agunt comitantes, philofophis confiderandum relinquo. Quum ergo id quis ceperit, quod utrisque communiter in confeffo eft, videlicet caeleftes fubftantias femper fuis motus proportionibus ufas apparere,

τοῖς ἐπιγείοις ζώοις, ἐπειδὰν ἀκριβῶς ὑγιαίνωσιν, ἄλλην ἄλλῳ καὶ κυήσεως εἶναι καὶ ἀποκυήσεως καὶ αὐξήσεως καὶ τελειώσεως καὶ ἀκμῆς καὶ παρακμῆς καὶ διαλύσεως ἀναλογίαν ἀριθμοῦ, πιστεύσειε δήπου καὶ τὰς κρινούσας ἡμέρας ἀριθμόν τέ τινα τεταγμένον ἔχειν, συγχεῖσθαί τε τοῦτον ἔστιν ὅτε κατὰ τὰς νόσους ὑπὸ τῶν παρὰ φύσιν διαθέσεων. εἰ δή τις, ὡς καὶ πρόσθεν ἔφην, ἐπὶ τὴν πεῖραν ἀφίκοιτο, πάμπολυ μὲν τὰς ἑβδομάδας εὑρήσει δυναμένας, ἐφεξῆς δ' αὐταῖς τὰς τετράδας. ἐπισκέψεται δὲ περὶ τῶν παρεμπιπτουσῶν ἡμερῶν, οἷον τρίτης, ε', στ', θ', ἐκ τίνος ποτὲ λόγου τὸ κρίνειν ἐσχήκασιν. ἔτι δὲ μᾶλλον ἐπιζητήσεται καὶ διερευνήσεται περὶ τῆς ἑπτακαιδεκάτης καὶ ὀκτωκαιδεκάτης καὶ εἰκοστῆς καὶ εἰκοστῆς πρώτης ἁπασῶν τε τῶν ταύταις ἀνάλογον ἑπομένων. εἰ μὲν γὰρ εἰς τὴν εἰκοστὴν ἡμέραν αἱ τρεῖς ἑβδομάδες τελευτῶσιν, ὡς Ἱπποκράτης οἴεται, χρὴ δήπου τὴν μὲν ἑπτακαιδεκάτην ἐπίδηλον εἶναι τῆς εἰκοστῆς, ἐκπίπτειν δὲ τοῦ πρώτου λόγου τῶν κρισίμων ἡμερῶν τὴν ὀκτωκαιδεκάτην τε καὶ εἰκοστὴν πρώτην. εἰ δ' ὁλοκλήρους χρὴ συναριθμεῖσθαι τὰς ἑβδομάδας, ἐπίδηλος

jam vero et in terrenis animantibus, quando exacta fruuntur valetudine, aliud aliam impraegnationis, partus, incrementi, perfectionis, vigoris, inclinationis et dissolutionis numeri proportionem possidere, crediderit nimirum et decretorios dies numerum quendam ordinatum habere, interdum hunc in morbis ex dispositionibus naturae contrariis confundi. Nam si, ut ante dixi, ad experientiam devenerit, septimanas nimis quam potentes inveniet, proxime his quaternarios, inspiciet autem dies intercalarios, tertium puta, quintum, sextum, nonum, qua ratione fiat ut decernere possint. Ad haec magis inquiret investigabitque diem septimumdecimum, decimumoctavum, vigesimum, vigesimumprimum, omnesque deinceps his respondentes. Si etenim in vigesimum diem tres septimanae finiunt, ut Hippocrates arbitratur, oportet certe decimum septimum vigesimi esse indicem, excidere autem e primo dierum decretoriorum ordine decimumoctavum et vigesimumprimum. Porro si integrae hebdomades connumerandae sunt, decimus-

μὲν ἡ ὀκτωκαιδεκάτη τῆς εἰκοστῆς πρώτης γενήσεται, λόγον δ' οὐδένα κρίσιμον ἕξουσιν ἥ θ' ἑπτακαιδεκάτη καὶ κ'.

Κεφ. γ'. Πρῶτον οὖν ὅπως ἡ πεῖρα περὶ τούτων ἀποφαίνεται διέλθωμεν, εἶθ' οὕτως ἐπὶ τὸν λόγον μεταβῶμεν. ἔστω δὲ ἡ τῆς πείρας ἀνάμνησις ἐξ ὧν Ἱπποκράτης ἔγραψεν, ἀρξαμένοις ἡμῖν ἀπὸ τοῦ πρώτου τῶν ἐπιδημιῶν. ἐν μὲν οὖν τῇ δευτέρᾳ καταστάσει τάδε γράφων· οἱ μὲν οὖν καῦσοι ἐλαχίστοισί τε ἐγένοντο καὶ ἥκιστα τῶν καμνόντων οὗτοι ἐπόνησαν. οὔτε γὰρ αἱμοῤῥαγία εἰ μὴ πάνυ σμικρὰ καὶ ὀλίγοισιν, οὔτε παράληροι, τά τ' ἄλλα πάντα εὐφόρως. ἐκρίνετο δὲ τούτοισι πάνυ εὐτάκτως, τοῖσι πλεί[477]στοισι σὺν τοῖσι διαλείπουσιν ἐν ἑπτακαίδεκα ἡμέρῃσιν. εἶτα ἐπὶ τῇ τελευτῇ τῆς τρίτης καταστάσεως ἐπιμελέστερον ἔτι περὶ τῶν κατὰ τὴν ἑπτακαιδεκάτην κριθέντων γράφει τόνδε τὸν τρόπον· τὰ δὲ περὶ τὰς κρίσιας, ἐξ ὧν γινώσκομεν εἰ ὅμοια ἢ ἀνόμοια· οἷον οἱ δύο ἀδελφοὶ ἤρξαντο ὁμοῦ τὴν αὐτὴν ὥρην· κατέκειντο παρὰ τὸ θέατρον Ἐπιγένεος ἀδελφεοὶ, τουτέων τῷ πρεσβυτέρῳ ἔκρινεν ἑκταίῳ, τῷ δὲ νεωτέρῳ ἑβδομαίῳ, ὑπέστρεψεν

octavus vigefimiprimi index erit, rationem vero nullam decretoriam habebunt decimusfeptimus et vigefimus dies.

Cap. III. Primum itaque quo modo experientia hos commendet, percenfeamus, deinde fic ad rationem veniamus. Caeterum experientiae mentionem ab Hippocratis fententia fumemus, aufpicati a primo libro de morbis vulgaribus. Scripfit itaque de morbis, qui ex fecunda aëris mutatione provenerunt, hunc in modum: *Febre ardentes pauciffimae ortae funt, minimeque his obnoxii laborarunt; neque enim fanguinis profluvium, nifi exiguum adeo, idque paucis accidit, neque deliria, reliqua omnia facile tulerunt.* Crifis convenienti admodum ordine plurimis his contingit decimofeptimo die cum remittentibus. Dein ad finem tertiae conftitutionis exquifitius adhuc de iis qui decimofeptimo die judicati funt ita pronunciat: *Quae circa judicia unde cognofcimus, fimilia aut diffimilia, funt. Quippe fratres duo Epigenis eadem fimul hora febricitare inceperunt, decubuerunt juxta theatrum. Natu majoris*

ἀμφοτέροις ὁμοῦ τὴν αὐτὴν ὥραν. διέλιπεν ἡμέρας ε΄, ἐκ δὲ τῆς ὑποστροφῆς ἐκρίθη ἀμφοτέροισιν ὁμοῦ τὸ σύμπαν ἑπτακαιδεκαταίοισιν. ἀλλ' οὔπω τοῦτο ἴσως ἀξιόπιστον, εἰς τὸ κρίσιμον ἀποφήνασθαι τὴν ἑπτακαιδεκάτην ἡμέραν, εἰ δύο τινὲς ἐκρίθησαν ἐν αὐτῇ. προσέχωμεν οὖν τὸν νοῦν τοῖς ἐφεξῆς λεγομένοις. ἔκρινε δὲ τοῖς πλείστοισι πέμπτῃ, διέλιπεν ἑβδόμῃ, ἐκ δὲ τῶν ὑποστροφῶν ἔκρινε πεμπταίοισιν. ἤδη τοῦτο ἀξιόλογον, εἰ καὶ κατὰ τὴν δευτέραν κατάστασιν ἑπτακαιδεκαταίοις οἶδε κριθέντας πολλούς. καὶ κατὰ τὴν τρίτην οὐ μόνον τοὺς δύο ἀδελφοὺς, ἀλλὰ καὶ παμπόλλους ἄλλους, οὓς ἑκταίους μέν φησι κριθῆναι τὸ πρῶτον, ἔπειτα ἓξ διαλιπόντας, αὖθις πεμπταίους, ὅπερ ἐστὶν ἑπτακαιδεκαταίους ἀπὸ τῆς ἀρχῆς. ἀλλὰ καὶ τούτοις ἐπιφέρων ἐρεῖ· οἷσι δ' ἔκρινεν ἑβδομαίοισι, διέλιπεν ἑπτά· ἐκ δὲ τῆς ὑποστροφῆς ἔκρινε τριταίους, τουτέστι καὶ τούτους τὸ σύμπαν ἑπτακαιδεκαταίους. εἶτ' ἐφεξῆς πάλιν, οἷσι δὲ πεμπταίοισι διέλιπεν ἑπτά. ἐλάμβανε δὲ

morbus fexto, junioris feptimo die judicatus eft, eadem utrisque hora fimul reverfus eft. Remifit dies quinque, atque ex recidiva utrique morbus decimofeptimo fimul omnino judicatus eft. At hoc nondum fidei fatis forfan habet, quo decimumfeptimum diem ordini decretorio numerendum effe credamus, quod duos judicaverit. Adhibeamus igitur animum iis quae deinceps dicuntur: *Plurimis quinto die judicium de morbo evenit. Septimo intermifit. A recidiva quinto die crifis fubfequuta eft.* Hoc jam memoratu dignum eft, fi et in fecunda aëris conftitutione feptimodecimo novit permultos ad judicium perveniffe. Item in tertia non folum fratres duos, verum etiam alios complures fexto die crifim fuftinuiffe primum ait, deinde febrem eis fex diebus remififfe poftea, crifim acceffiffe die quinto, hoc eft decimofeptimo a morbi exordio. Sed his fubjungit: *Quibus feptimo die crifis advenit, feptem quoque diebus remiffiones habuerunt, poft recidivam tertio judicati funt, hoc eft hi quoque in univerfum decimofeptimo.* Poft haec rurfus: *Quibus judicium quinto die obvenit et febris feptem diebus remifit, deinde reverfa triduum eos exercuit,*

τρεῖς, διέλιπε μίαν, ἐπελάμβανε μίαν, ἔκρινε δηλονότι καὶ τούτοις τὸ σύμπαν ἑπτακαιδεκαταίοισι. καὶ μὲν δὴ καὶ ἄλλους τινὰς ἑκταίους μὲν κριθῆναί φησι, διέλιπε δὲ ἕξ. ἐλάμβανέ φησι γ', εἶτα διέλιπε α', καὶ α' ἐλάμβανε τὴν ἑπτακαιδεκάτην αὐτὴν δηλονότι καθ' (437) ἥν περ καὶ ἔκρινεν. ἄλλους δέ τινας ἑκταίους μὲν κριθῆναί φησι, διαλείπειν δ' ἑπτά. ἐκ δὲ τῆς ὑποστροφῆς ἔκρινέ, φησι, τεταρταίοις, τουτέστι τὸ σύμπαν ἑπτακαιδεκαταίοις. οὐκ ἀρκεσθεὶς δὲ τῷ λόγῳ τούτῳ παντὶ, καίτοι μεγάλως ἐνδείκνυσθαι δυναμένῳ τῆς ἑπτακαιδεκάτης ἡμέρας τὸ πρὸς τὴν κρίσιν ἰσχυρὸν, ἐπήνεγκεν· οὐδὲ τῶν διανοσησάντων οὐδενὶ διὰ τούτου τοῦ τρόπου οἶδα ὑποστροφὴν γενομένην πάλιν. ὥστ' οὐ μόνον κρίνειν πολλάκις πέφυκεν ἡ ἑπτακαιδεκάτη, ἀλλὰ καὶ βεβαίως. οὔκουν τῶν παρεμπιπτουσῶν ἐστι κρισίμων, ἀλλὰ τῶν ἰσχυρῶν τε καὶ πρώτων. καὶ μὴν εἴπερ ἐξ ἐκείνων ἐστὶν, εὔλογόν τε αὐτὴν ἀναλογίαν τινὰ πρὸς τὴν τεσσαρεσκαιδεκάτην ἀποσώζειν. εἰ μὲν οὖν συνημμένην τὴν τετράδα διανοήσαιμεν καὶ σωζομένην, ὡς ἄρχεσθαι μὲν ἐν τῇ

rurſus die uno remiſit, altero rediit, et his decimoſeptimo die de morbo judicium contigit. Quinetiam alios quosdam ſexto die criſim paſſos ſcribit, ſex item diebus morbum remiſiſſe, dein reverſum tribus diebus occupaſſe, poſtea remiſiſſe rurſus die uno, altero ipſius recidivam accidiſſe, id eſt decimoſeptimo, in quo judicium factum fuit. Verum alios quosdam ſexto die judicatos eſſe commemorat, ſeptem diebus morbum ceſſaſſe, poſt haec repetiiſſe, et quarto die, hoc eſt in ſumma decimoſeptimo, criſi ſuiſſe discuſſum. Caeterum non contentus toto hoc ſermone Hippocrates, etſi eo ipſo poſſet magnopere oſtendere decimiſeptimi diei vim in judicando validam, intulit: *Nulli aegroto hac ratione recidivam eſſe factam cognovi.* Quare non ſolum frequenter decernere decimusſeptimus, ſed etiam ſirmiter idoneus eſt. Non igitur eſt ex decretoriis coincidentibus, ſed validis et primis. Atqui ſi ex illis eſt, proportionem quandam ad decimumquartum ſervare rationi eſt conſentaneum. Si itaque conjunctum quaternarium cogitaveris et conſervatum, ut in decimoquarto incipiat, in decimumſeptimum deſinat

Ed. Chart. VIII. [477. 478.] Ed. Bas. III. (437.)

τεσσαρεσκαιδεκάτῃ, τελευτᾷν δὲ εἰς τὴν ἑπτακαιδεκάτην, ἔχοιμεν ἂν οὕτω σωζομένην τὴν περίοδον· εἰ δὲ διαζεύξαιμεν, ὡς τὴν τεσσαρεσκαιδεκάτην ἡμέραν τέλος εἶναι τῆς δευτέρας ἑβδομάδος, ἄρχεσθαι δὲ ἀπὸ τῆς πεντεκαιδεκάτης τὴν τρίτην, οὐκ εἰς τὴν ἑπτακαιδεκάτην οὕτως, ἀλλ' εἰς τὴν ὀκτωκαιδεκάτην ἡ πρώτη τῆς τρίτης ἑβδομάδος ἀφίξεται τετράς. ἀλλ' εἴπερ τοῦτ' ἀληθὲς, εἰς τὴν εἰκοστὴν πρώτην ἀναγκαῖον ἔσται τὴν τρίτην ἑβδομάδα τελευτᾷν, ὥσπερ γε εἰ καὶ τὴν ἑπτακαιδεκάτην ὑποθοίμεθα πέρας εἶναι τῆς πρώτης κατὰ τὴν τρίτην ἑβδομάδα τετράδος, εἰς τὴν εἰκοστὴν ἡμέραν ἀφίξεται τὸ πέρας ταύτης τῆς ἑβδομάδος. εὔλογον οὖν ἐνόμισεν ὁ Ἱπποκράτης, ὥσπερ τὴν ιζ' ἡμέραν ἐβασάνισε διὰ τῆς πείρας, οὕτω καὶ τὴν κ' βασανίσαι διὰ τῆς πείρας. [478] κρίσιμος μὲν γὰρ εὑρεθεῖσα μέγιστον ἔμελλεν ἔσεσθαι τῆς ἑπτακαιδεκάτης μαρτύριον· ἐκπεσοῦσα δὲ τῶν κρισίμων ἡμερῶν, ἢ ὅλως τῆς εἰκοστῆς πρώτης ἐλαττωθεῖσα, ζήτημα κινήσειεν οὐ σμικρόν. εὔλογον γὰρ εἶναι δόξει τὴν μὲν ἑπτακαιδεκάτην ἰσχυροτέραν ὑπάρχειν τῆς ὀκτωκαιδεκάτης, τὴν δ' εἰκοστὴν ἀσθενεστέραν τῆς εἰκοστῆς πρώτης· διὰ τοῦτ' οὖν ἐφεξῆς τοῖς περὶ τὴν ἑπτακαιδε-

habuerimus sic conservatam periodum. Si porro disjunxerimus, ut decimusquartus secundae hebdomadis finis sit, incipiat autem a decimoquinto tertia, non ad decimumseptimum sic, verum ad decimumoctavum primus tertiae hebdomadis quaternarius perveniet. Atqui si hoc verum est, tertia septimana in vigesimumprimum necessario finiet, quemadmodum, si etiam decimum septimum statuerimus primi in tertia septimana quaternarii finem esse, ad vigesimum diem hujus septimanae finis producetur. Merito igitur Hippocrates putavit, sicut decimumseptimum experientia investigavit, ita et vigesimum experientia explorandum. Quum enim decretorius inventus sit, maximum decimiseptimi diei testimonium erit, ubi ex decretoriorum dierum numero deciderit, vel plane a vigesimoprimo superetur, quaestionem non exiguam movebit. Rationi siquidem minime consonum esse videtur xvii quidem fortiorem decimooctavo, vigesimum vero imbecilliorem vigesimoprimo esse. Quapropter

κάτην γεγραμμένοις ἐν τῷ πρώτῳ τῶν ἐπιδημιῶν, ὑπὲρ τῆς εἰκοστῆς ὡδί πως γράφει· οἷσι δὲ περὶ τὰ ὦτα ἐγένετο, ἔκρινε μὲν εἰκοσταίοισι, κατέσβη δὲ πᾶσι καὶ οὐκ ἐξεπύησεν, ἀλλ' ἐπὶ κύστιν ἐτράπετο· καὶ τοῦτο μὲν ἱκανόν. ἀλλ' ἐφεξῆς πάλιν ἐρεῖ· οἷσι δ' ἔκρινεν ἑβδομαίοισι, διέλιπεν ἐννέα, ὑπέστρεψεν, ἔκρινεν ἐκ τῆς ὑποστροφῆς τεταρταίοισι, δηλονότι τὸ σύμπαν εἰκοσταίοισι. εἶτ' ἐφεξῆς πάλιν· οἷσι δ' ἔκρινεν ἑβδομαίοισι, διέλιπεν ἕξ, εἶθ' ὑπέστρεψε, φησὶ, κἄπειθ' ἑβδομαίοις ἔκρινεν, ὅπερ ἐστὶν εἰκοσταίοισι τὸ σύμπαν, εἶτα βραχὺ προελθών· ἔστι δὲ οἷσιν ἔκρινεν ἑνδεκαταίοισι, φησὶ, ὑποστροφὴ τεσσαρεσκαιδεκαταίοισιν, ἔκρινε τελέως εἰκοσταίοισι. εἶτ' ἐφεξῆς συνάπτων· εἰ δέ τινες, φησὶ, ἐπεῤῥίγουν περὶ τὴν εἰκοστὴν, τουτέοισιν ἔκρινε τεσσαρακοσταίοισιν.

Κεφ. δ'. Ὁρᾷς σύ μοι πάλιν ἐνταῦθα τὴν ἀκρίβειαν τοῦ ἀνδρός· οἶδεν ὅτι τῶν ἰσχυρῶν κρισίμων, τουτέστι τῶν κατὰ τετράδας τε καὶ ἑβδομάδας αὐξανομένων, ἄν τέ τις τὴν ἑπτακαιδεκάτην θῇ καὶ τὴν εἰκοστὴν, ἀναγκασθήσεται θέσθαι

post illa quae de xvii in primo libro epidemiωn fcripfit, de xx hunc in modum ait: *Quibus parotides ortae funt xx die, crifim habuerunt. Extinctae autem funt omnibus ac in pus verfae non funt, verum ad vefìcam declinaverunt.* Atque de hoc fatis. Iterum deinde ait: *Quibusdam feptimus dies judicium attulit, novem diebus remiffiones fuerunt, poft recidivam quarto die crifis advenit, in univerfum videlicet xx.* Ad hos deinceps addit nonnullos, *quibus vii die crifis apparuit, fex diebus remiffiones, mox recidiva, deinde feptimo judicium, fummatim xx.* Poftea paululum progreffus: *Sunt*, ait, *qui xi die crifim abfolute xx.* His deinde fubnectit: *Si vero*, inquit, *nonnulli fuperriguerunt circa vigefimum, his judicium quadragefimo contingit.*

Cap. IV. Vides hic, arbitror, rurfus viri diligentiam. Novit enim quod fi quis validis decretoriis, hoc eft qui in quaternariis et feptimanis augentur, xvii adfcribat, cogetur ftatim xx et quadragefimum attribuere, quemadmodum et

καὶ τὴν τεσσαρακοστὴν, καὶ ὥσπερ τὴν εἰκοστὴν τετάρτην καὶ τὴν τριακοστὴν πρώτην, ἄν τε τὴν εἰκοστὴν, εὐθὺς δηλονότι καὶ τὴν τεσσαρεσκαιδεκάτην, ἑπτακαιδεκάτην τε καὶ τὴν τεσσαρακοστήν. καὶ μὲν δὴ καὶ τὴν τεσσαρακοστὴν εἴ τις ἐν ταῖς ἰσχυρῶς κρινούσαις τιθεῖτο, δῆλον ὡς καὶ τούτῳ τὴν ἑπτακαιδεκάτην καὶ τὴν εἰκοστὴν ἀναγκαῖον ἔσται προϋποθέσθαι. μέχρι μὲν γὰρ τῆς τεσσαρεσκαιδεκάτης οὐδεμία διαφωνία· τὸ δὲ ἀπὸ τῆσδε συγκέχυται πᾶν, οὐ πάνυ τι τῇ πείρᾳ προσχόντων τὸν νοῦν ἐνίων, ἀλλὰ τῷ λόγῳ μόνῳ, ὡς ὁλοκλήρους ἑβδομάδας οἴεσθαι δεῖν ἐπιπλέκειν, εἶθ' οὕτω τὴν πρώτην καὶ εἰκοστὴν ἐν ταῖς ἰσχυραῖς κρισίμοις ἀριθμούντων. ἐξ ἀνάγκης δὲ διὰ ταῦτα καὶ τὴν ὀκτωκαιδεκάτην καὶ τὴν τεσσαρακοστὴν δευτέραν, τὴν μὲν ὡς ἐπίδηλον τῆς εἰκοστῆς πρώτης, τὴν δ' ὡς ἓξ ἑβδομάδας συμπληροῦσαν. εὐχερεστέρα δὲ κατὰ τοῦτο ἡ βάσανος γίνεται τῶν κρισίμων ἡμερῶν. εἰ μὲν γὰρ ὁ ἀπὸ τῆς ἑπτακαιδεκάτης στοῖχος ἅπας ἰσχυρότερος φαίνοιτο, διχόθεν ἑκάστη τῶν ἡμερῶν ἕξει τὴν πίστιν ἔκ τε τῆς ἰδίας πείρας κἀκ τῆς τῶν ἄλλων μαρτυρίας. εἰ δ' αὖ πάλιν ὁ ἀπὸ τῆς ιη' πλεονάκις κρίνων εὑρίσκοιτο καὶ τελέως καὶ βεβαίως,

xxiv et xxxi, fi vigefimum apponat, ftatim nimirum cogetur et xiv, xvii et XL adjicere, quinetiam XL fiquis valide judicantibus attribuat, liquet etiam xvii et xx effe annumerandum. Etenim usque ad xiv nulla de diebus eft inter medicos diffenfio, verum fequentium hos ordo totus ab illis confunditur, quia nonnulli non adeo experientiae mentem, fed rationi foli adhibent, quo factum eft ut integras hebdomadas putent effe complicandas. Poftea quum dic xxj fortibus decretoriis adjungant, neceffe eft ideo xviii quoque et XLii eos adfcribere, hunc quidem ut feptimanas fex complentem, illum ut xxi indicem. Porro hac ratione decretoriorum dierum exploratio magnam operam non defiderat. Si namque totus dierum a xvii ordo validior appareat, bifariam finguli dies fidem habebunt, ex propriis experimentis et aliorum teftimonio. At fi rurfus a xviii numerus frequenter decernere inveniatur et perfecte et firmiter, tum qui feptimumdecimum[*] fequitur, imbecillior appa-

ἀσθενέστερος οὗτος ὁ ἀπὸ τῆς ιζ΄ φανεῖται. ταῦτ᾽ ἐννοήσας ὁ Ἱπποκράτης ἁπάσας ἁπάσαις παρέβαλε, τὴν μὲν ιζ΄, ἐνταῦθα γὰρ ἡ ἀρχὴ τῆς διαφωνίας, τῇ ιη΄· τῇ δὲ κ΄ τὴν κα΄. κατὰ ταὐτὰ δὲ καὶ τὴν κδ΄ τῇ κε΄, τὴν δ᾽ αὖ κζ΄ τῇ κη΄, καὶ τὴν μὲν λα΄ τῇ λβ΄, τῇ δὲ λδ΄ τὴν λε΄, τὴν δ᾽ αὖ μ΄ τῇ μβ΄. ὁποτέρῳ δὲ τῶν στοίχων ἡ ἐμπειρία μαρτυρεῖ, διὰ τῶν ἐπιδημιῶν ἐδήλωσεν, αὐτά τε ταῦτα γράψας ἃ παραθέμην ὀλίγον ἔμπροσθεν, ἔτι τε πρὸς τούτοις ἐπὶ μὲν τῆς τρίτης καταστάσεως ὧδέ πως· [479] ἔκρινε δὲ τουτέοισιν ὡς τὸ πολὺ ἑνδεκαταίοισιν, ἔστι δὲ οἷσιν εἰκοσταίοισιν. ἐφεξῆς δὲ τῶν ὀνομαστὶ γραφέντων ὑπ᾽ αὐτοῦ ἀῤῥώστων τὸν μὲν τρίτον τῇ τάξει μετὰ τὰς τρεῖς καταστάσεις γεγραμμένον, Ἡροφῶντα, κατὰ τὴν ἑπτακαιδεκάτην ἡμέραν κριθῆναί φησι· τὸν δὲ τέταρτον, ἡ Φιλίνου δὲ ἦν αὕτη γυνὴ, κατὰ τὴν εἰκοστὴν ἀποθανεῖν. ἐφεξῆς δὲ αὐτῇ τῆς Ἰφικράτους γυναικὸς μνημονεύει, περὶ ἧς ἐπὶ τέλει τῆς ὅλης διηγήσεως ὧδέ πως γράφει· τεσσαρακοστῇ ἤμεσεν ὀλίγα, χολώδεα, ἐκρίθη τελέως, ἄπυρος ὀγδοηκοστῇ. μετὰ δὲ ταύτην

rebit. Quod quum intellexisset Hippocrates, omnes omnibus contulit, decimumseptimum, hinc enim discordiae initium inter medicos subortum est, decimooctavo, vigesimo vigesimumprimum, pari modo vigesimumquartum vigesimoquinto, rursus vigesimumseptimum vigesimooctavo et trigesimumprimum trigesimosecundo, trigesimumquartum trigesimoquinto, quadragesimum quadragesimosecundo. Quem vero ordinem experientia probet, in epidemiis indicavit, ut qui tum haec ipsa scripserit quae paulo ante citavi, tum vero praeter haec in tertia quidem constitutione hoc fere modo: *His frequenter undecimo die crisis advenit, sunt quibus vigesimo contigit.* Dein aegris nominatim citatis, Herophontem ordine tertium post tres aëris status scriptum, decimo die judicium accepisse ait. Quartum Philini uxorem vigesimo die mortem oppetiisse. Post hanc Epicratis uxoris meminit, de qua ad finem totius historiae haec verba apponit. Quadragesimo bilem modicam vomuit, octogesimo die perfecte judicata est et febre liberata. Sextum ordine Cleo-

ἕκτου τῇ τάξει μνημονεύει Κλεανακτίδου, γράφων ἐπὶ τῷ τέλει τοῦ λόγου τουτί· ὀγδοηκοστῇ ἐῤῥίγωσε, πυρετὸς ὀξὺς ἔλαβεν, ἵδρωσε πολλῷ, οὔροισιν ὑπόστασις ἐρυθρὴ, λείη, τελείως ἐκρίθη. δέκατος δέ ἐστιν ἄῤῥωστος ὁ Κλαζομένιος, ὃν καὶ αὐτὸν ἐν τῇ μ΄ κριθῆναί φησι. καὶ μὴν ἡ μ΄ τοῦ στοίχου τῆς ἑπτακαιδεκάτης ἐστὶν, ὥσπερ οὖν ἡ π΄· ἔδει δὲ τὴν μ΄ δευτέραν εἶναι κρίσιμον, εἰ καθ᾽ ἑβδομάδας ὁλοκλήρους ἡ συναρίθμησις ἐγίνετο τῶν ἡμερῶν. οὕτω καὶ τὴν πδ΄ ἐχρῆν εὑρίσκεσθαι κρίνουσαν. οὐ μόνον τοίνυν ἐξ ὧν διηγεῖται κριθέντας πολλοὺς ἐν τῷ κατὰ τὴν ἑπτακαιδεκάτην ἡμέραν στοίχῳ πρόδηλόν ἐστιν ὡς ἰσχυρότερος οὗτος θατέρου ὑπάρχει, ἀλλὰ κἀξ ὧν οὔτε τῆς ὀκτωκαιδεκάτης ἐμνημόνευσεν οὔτε τῆς κα΄ οὔτε τῆς κε΄ οὔτε τῆς κη΄, ἀλλ᾽ οὔτε τῆς τριακοστῆς δευτέρας οὔτε τῆς λε΄ οὔτε τῆς μβ΄ οὔτε τῆς ξγ΄ οὔτε τῆς πδ΄, ἐν γὰρ τοσούτων ἀῤῥώστων καταλόγῳ, τῶν τ᾽ ἰδίᾳ γραφέντων αὐτῷ κατ᾽ ὄνομα καὶ τῶν δι᾽ ἑνὸς ἑκάστου κεφαλαίου περιλαμβανομένων ἐν ἑκάστῃ καταστάσει, τὸ μὴ πώποτε τῶν εἰρημένων ἡμερῶν μη-

nactidem recenſet, et de ipſo ſub finem ſermonis ita ſcribit: Octogeſimo rigore infeſtatus eſt, febris acuta eum prehendit, ſudor multus ſubſequutus, in urinis rubrum et laeve ſedimentum, perfecte judicatus eſt. Decimus aeger eſt Clazomenius, quem et ipſum quadrageſimo die liberatum per criſim eſſe ſcribit. Atqui dies quadrageſimus ex ordine decimiſeptimi eſt, quemadmodum octogeſimus, conveniebat autem quadrageſimumſecundum eſſe decretorium. Quod ſi dierum computatio ſecundum ſeptimanas integras fieret, non quadrageſimus, verum quadrageſimusſecundus dies decretorius inveniendus erat, ſic non octogeſimus, ſed octogeſimusquartus. Quare decimiſeptimi diei ordinem altero longe fortiorem eſſe nemo ignorat, non ſolum quod multos in eo criſim accepiſſe recenſet Hippocrates, ſed quod nec decimioctavi, nec vigeſimiprimi, nec vigeſimiquinti, nec vigeſimioctavi, imo nec trigeſimiſecundi, nec trigeſimiquinti, nec quadrageſimiſecundi, nec ſexageſimitertii, nec octogeſimiquarti meminit Nam in tot aegrorum catalogo, quos partim nominibus propriis adduxit, partim ſumma quadam

δεμίαν εὑρεθῆναι κρίνουσαν, ἐναργῆ τὴν θατέρου τῶν στοίχων ὑπεροχὴν ἐνδείκνυται. ὅταν γὰρ ἐξ ἐκείνου μὲν καὶ πολλαὶ καὶ πολλάκις καὶ τελείως καὶ βεβαίως καὶ ἀγαθῶς καὶ ὀρθῶς εὑρίσκωνται κεκρικυῖαι, θατέρου δὲ τῶν στοίχων μηδεμία καθ' ὅλον τὸ α΄ τῶν ἐπιδημιῶν ἀσφαλῆ κρίσιν ᾖ πεποιημένη, τὸ μὴ ὅτι τελείως ἢ ἀγαθῶς, ἀλλὰ μηδ' ὥστε ἀποκτεῖναι, παμπόλλην τινα τὴν ὑπεροχὴν εἶναι νομιστέον. ἆρ' οὖν ἐν τῷ πρώτῳ μὲν οὕτως, ἐν τῷ τρίτῳ δ' ἑτέρως; ἢ κἀκεῖ τοὺς μὲν ἐν τῇ καταστάσει διηγημένους ἑνὶ κεφαλαίῳ περιλαμβάνων εἶπεν ἅπαντας σχεδὸν τοὺς διασωθέντας τῇ π΄ κριθῆναι· τῶν δὲ κατὰ μέρος ὧν ἐμνημόνευσεν ὀνομαστὶ, τοὺς μὲν ἐν τῇ μ΄ κριθῆναί φησι, καὶ ναὶ μὰ Δία γέ τινας ἐξ αὐτῶν οὐκ ἀγεννῶς οὐδὲ ἀσήμως, καθάπερ τὸν τρίτον ἀπὸ τῆς ἀρχῆς τοῦ βιβλίου γεγραμμένον, τὸν ἐν τῷ Δεάλκους κήπῳ κατακείμενον. τί γάρ φησι; μ΄ διεχώρησε φλεγματώδη, λευκὰ, ὑπόσυχνα, ἵδρωσε πολλῷ, διόλου τελέως ἐκρίθη. τοὺς δέ τινας εἰς πάνυ μακρὸν ἐμπεσόντας, ὁμοίως καὶ αὐτοὺς κριθῆναι (438) τῷ τῆς εἰκοστῆς ἡμέρας

comprehendit, in uno quoque aëris ſtatu, nullum ex commemoratis diebus decretorium eſſe inventum, alterius ordinis evidentem excellentiam indicat. Quum enim ex hoc ordine multi ſaepe perſecte, firmiter, bene et recte inveniantur judicaſſe, ex altero ne unus quidem in uno primo epidemiωn libro, qui tuto decreverit, nedum perſecte, vel ſalubriter, ut non occidat, inſignem alterius eminentiam eſſe putabimus. An igitur in primo ſic, in tertio aliter ſcriptum reliquit? Certe et illic aegrotos quidem in conſtitutione enarratos una ſumma complectens, dixit omnes ſere, qui ſuperſtites fuere, octogeſimo judicatos, ex particularibus autem, quorum nominatim meminit, aliquos quidem in quadrageſimo judicatos eſſe dicit et per Jovem nonnullos ipſorum haud ignobiliter, nec ſine ſignis, ut tertium ab initio libri ſcriptum, in Dealcis horto decumbentem. Quid enim dicit? Quadrageſimo die pituotoſa recrementa, alba et copioſa dejecit, largiter ſudavit per totum, abſolute judicatus eſt. Quosdam vero qui in longum nimis morbum inciderant, ſimiliter et ipſos ratione vigeſimi diei multiplicati cri-

πολλαπλασιαζομένης λόγῳ, καθάπερ καὶ τὸν ἔννατον ἀπὸ τῆς καταστάσεως γεγραμμένον, Ἡρόπυθον, ὃν κ΄ τε καὶ ἑκατοστῇ ἡμέρᾳ κριθῆναι τελέως φησίν. οὕτω δὲ καὶ κατὰ τὴν κδ΄ καὶ κατὰ τὴν κζ΄ καὶ προσέτι κατὰ τὴν λδ΄ ἀνέγραψέ τινας κριθέντας ἀγαθῶς θ᾽ ἅμα καὶ ἀσφαλῶς καὶ τελέως. ἐν μὲν τῇ κδ΄ τὸν δέκατον ἀπὸ τῆς καταστάσεως ἄῤῥωστον ὧδέ πως γράφων, τετάρτη καὶ κ΄ οὔρησε πολὺ λευκὸν, πολλὴν ἔχον ὑπόστασιν, ἵδρωσε θερμῷ, διόλου ἀπύρετος. ἐν ἑβδόμῃ καὶ εἰκοστῇ τὴν ἐν Ἀβδήροις παρθένον, ἀλλὰ καὶ ταύτην ἱδρώσασαν πολλῷ, τελέως ἀπύρετον γενέσθαι φησί. γέγραπται δ᾽ αὕτη μετὰ τὴν κατάστασιν ἑβδόμη. ἐν δ᾽ αὖ τῇ δ΄ καὶ λ΄ τὸν ὄγδοον ἀπὸ τῆς αὐτῆς καταστάσεως, Ἀναξίωνα, καὶ αὐτὸν ἱδρώσαντα, τελέως ἀπύρετον διόλου γενέσθαι φησὶ καὶ κριθῆναι πιστῶς. [480] οὐδεὶς δὲ οὐδ᾽ ἐν τούτῳ τῷ βιβλίῳ κέκριται κατά τινα τῶν ἐκ θατέρου στοίχου κρισίμων ἡμερῶν. ἀλλὰ τὴν μὲν Δεάλκους γυναῖκα κατὰ τὴν κα΄ ἀποθανεῖν φησι, σωθῆναι δ᾽ οὐδένα κατ᾽ οὐδεμίαν ἡμέραν τῶν ἐκ τοῦ κατὰ τὴν ὀκτωκαι-

sim accepisse, quemadmodum nonum aegrum ex aëris statu, Heropython, centesimo et vigesimo die perfecte judicatum suisse refert Hippocrates. Sic aliquos vigesimoquarto die et vigesimoseptimo, item trigesimoquarto, judicatos esse bene simul et tuto et perfecte memoriae prodidit, in vigesimoquarto sane decimum ex aëris statu aegrotum, hoc fere modo scribens: *Vigesimoquarto die urinam minxit copiosam, albam multum habentem sedimentum, sudores calidi e corpore toto manabant, sine sebre suit.* Vigesimo septimo die puellam in Abderis, sed et ipsam sudore largo prorsus sebre liberatam esse refert, hanc autem post aëris constitutionem aegrotasse septimam commemorat. Porro trigesimoquarto die octavum ex aëris statu aegrum, Anaxionem, sudore quoque ipsum sebre prorsus levatum suisse percenset, fidamque ei crisim obtigisse. Caeterum nullus hoc libro in altero quodam decretoriorum dierum ordine judicatus est, verum Dealcis uxorem in vigesimoprimo decessisse commemorat, nec ullum in aliquo die, qui in decimioctavi secta continetur,

δεκάτην στοίχου. λέγεται μὲν οὖν κατὰ τὸ δεύτερον, ὡς καὶ πρόσθεν εἴρηται, σημαινόμενον οὐχ ὁ σωθεὶς μόνον, ἀλλὰ καὶ ὁ ἀποθανὼν κεκρίσθαι, ἀλλ' ὡς εἶπον, οὐ μόνον οὐδεὶς ἐσώθη κατ' ἐκείνας τὰς ἡμέρας, ἀλλ' οὐδ' ἀπέθανε, χωρὶς τῆς Δεάλκους γυναικός. ἐν δέ γε θατέρῳ στοίχῳ πάμπολλοι μὲν οἱ σωθέντες, οὐ μὴν ἀλλὰ καὶ ἀπέθανόν τινες, ὥσπερ ἑπτακαιδεκαταία μὲν ἡ ἐν Κυζίκῳ τεκοῦσα τὰς διδύμους θυγατέρας. ἐν τετάρτῃ τε καὶ εἰκοστῇ ὁ ἐν Μελιβοίῃ νεανίσκος, ὁ πάντων ὕστατος ἀναγεγραμμένος. ἑβδόμῃ δὲ καὶ εἰκοστῇ ὁ τρίτος ἀπὸ τῆς ἀρχῆς Ἑρμοκράτης. πρώτῃ δὲ καὶ τριακοστῇ ὁ ἐν Ἀβδήροις Ἀπολλώνιος, ὁ τρισκαιδέκατος ἀπὸ τῆς καταστάσεως γεγραμμένος, τριακοστῇ τετάρτῃ ἀπέθανε. ὡς οὖν ἑβδομαίους πολλοὺς ἀποθανόντας εἶδε καὶ εἰκοσταίους κατὰ τοῦτο τὸ βιβλίον, ὡς ἂν τῶν ἰσχυρὰν δύναμιν ἐχουσῶν ἡμερῶν οὐ μόνον σωζουσῶν, ἀλλὰ καὶ ἀπολουσῶν ἐνίοτε, κατὰ τὸν αὐτὸν τρόπον ἑκάστην τῶν εἰρημένων ἐθεάσατο καὶ σώζουσαν πολλοὺς ἐνίοτε καί τινας ἀποκτείνουσαν. καὶ γὰρ οὖν καὶ τὸν δεύτερον ἀπὸ τῆς καταστάσεως ἄῤῥωστον ὀγδοη-

fuperftitem manfiffe. Dicitur itaque fecundo fignificatu, uti prius interpretati fumus, non folum fuperftes, verum mortuus etiam judicatus fuiffe. Sed ut retuli, non modo in eis diebus nemo fervatus eft, fed ne mortuus quidem, fi Dealcis uxorem excipias. In altero ordine complures fervati, quamvis nonnulli etiam vita defuncti, quemadmodum mulier quae Cyzico binam foemininam prolem peperit, decimofeptimo die periit. Adolefcens autem in Meliboea, omnium poftremus ab Hippocrate citatus, vigefimoquarto interiit. At Hermocrates tertius a principio vigefimofeptimo die fatis conceffit. Apollonius autem in Abderis decumbens decimustertius ab aëris conftitutione aegrotus fcriptus, trigefimoquarto periit. Ut igitur feptimo die et vigefimo complures interire vidit, quippe quum dies ii qui validam virtutem habent, non modo fervent, fed etiam interimant interdum, fic unumquemque eorum quos recenfui confpexit nunc fervantem aliquos, nunc occidentem. Jam vero fecundum ab ambientis aëris flatu aegrum octogefimo

κοστῇ φησιν ἀποθανεῖν, καὶ τὸν πρῶτον ἐν εἰκοστῇ καὶ ἑκατοστῇ, ὥσπερ, οἶμαι, καὶ τῆς πρώτης καταστάσεως τεσσαρεσκαιδεκαταῖον, τοὺς δὲ τρεῖς τοὺς πρὸς αὐτοῦ ἑβδομαίους. καὶ τί δεῖ πολλὰ λέγειν; οὐδεὶς γὰρ ἄλλος οὔτε ἐν τῷ πρώτῳ τῶν ἐπιδημιῶν οὔτε ἐν τῷ τρίτῳ σωθεὶς ἢ ἀποθανὼν εὑρίσκεται κατὰ τὸν ἀπὸ τῆς ὀκτωκαιδεκάτης ἡμέρας στοῖχον, ἀλλὰ καὶ πάντες οἱ μὲν ἐντὸς τῶν ἑπτακαίδεκα, κατὰ τὰς ὁμολογουμένας κρισίμους ἡμέρας, ὑπὲρ ὧν οὐδεὶς τῶν περὶ ταῦτα ἐχόντων διαφέρεται· τῶν δὲ ἐξωτέρω προελθόντων εἷς μόνος ἄῤῥωστος εὑρίσκεται κατὰ τὴν πρώτην ἡμέραν καὶ εἰκοστὴν ἀποθανών. ἤρκει μὲν οὖν καὶ ταῦτα εἰς ἐπίδειξιν τοῦ μὴ λόγῳ τινὶ πεισθέντα τὸν Ἱπποκράτην τὴν ιζ ἡμέραν ὑποθέσθαι εἶναι κρίσιμον, τῆς δὲ εἰκοστῆς πρώτης ἀφελέσθαι τὸ δραστήριον, ἀλλ᾽ ὑπὸ τῆς πείρας διδαχθέντα τηνικαῦτα ζητῆσαι τὴν αἰτίαν. ἀλλ᾽ ἐπειδὴ καὶ τὸ δεύτερον καὶ τὸ τέταρτον καὶ τὸ ἕκτον τῶν ἐπιδημιῶν ἢ αὐτοῦ τοῦ Ἱπποκράτους ἐστὶν, ἢ τοῦ υἱοῦ αὐτοῦ Θεσσαλοῦ γράμματα, καὶ τούτων ἐπὶ βραχὺ μνημονεύσωμεν. εὑρεθήσεται δὲ κἀνταῦθα

interiiſſe ait et primum centeſimo vigeſimo, ſicut, arbitror, et ultimum laborantem ante peſtilentem conſtitutionem, decimoquarto die mortuum eſſe, tres ante ipſum, ſeptimo die periiſſe. Quid opus eſt multis verbis? nullum enim alium nec in primo, nec tertio epidemiων libro, vel ſuperſtitem, vel mortuum in ordine dierum, qui a decimooctavo numerantur invenies, ſed omnes qui intra ſeptimumdecimum judicati ſunt, judicium habuere in diebus, qui communi conſenſu decretorii habentur. Porro qui decimumſeptimum exceſſerunt, illorum unus tantum vigeſimoprimo interiit. Proinde haec ſufficiunt ad demonſtrandum, Hippocratem non ratione quadam perſuaſum ut decimumſeptimum decretorium eſſe ſtatueret, vigeſimo autem primo efficaciam adimeret, ſed uſu et experientia doctum cauſam inquiſiviſſe. At quoniam ſecundus, quartus et ſextus epidemiων liber vel ipſius Hippocratis eſt, vel ejus filii Theſſali, pauca etiam inde ſumemus. Inveniemus ſiquidem et hic in ſecundo

κατὰ μὲν τὸ δεύτερον τὴν κ´ τε καὶ μ´ ἡμέραν ἀναγράφων κεκρικυῖαν, οὔτε δὲ τὴν κα´ οὔτ᾽ ἄλλην τινὰ τῶν ἀπ᾽ αὐτῆς. κατὰ δὲ τὸ τέταρτον τῶν ἐπιδημιῶν οὕτως ὀξέων μνημονεύων, ὡς ὀλιγάκις μὲν ἕως τῆς εἰκοστῆς ἀφικέσθαι, προελθεῖν δ᾽ ἅπαξ ἐξωτέρω μέχρι τῆς κδ´, ὥστε κἀνταῦθα τὴν μὲν κ´ ὡσαύτως ἔστιν καὶ τὴν κδ´ ἐπίστασθαι κεκρικυῖαν, οὐ μὴν τῶν θατέρου στοίχου τινά. καὶ μὴν καὶ κατὰ τὸ ἕκτον τῶν ἐπιδημιῶν ὀλίγων μὲν ἀῤῥώστων καὶ καταστάσεων μέμνηται, φαίνεται δ᾽ οὐδ᾽ ἐνταῦθα γινώσκων τινὰ κατὰ τὰς ἐκ θατέρου στοίχου κεκριμένον. εἰ δέ τι δεῖ καὶ τοῦ πέμπτου τῶν ἐπιδημιῶν μνημονεῦσαι, ὅτου περ ἂν ᾖ, κἀνταῦθα πεντήκοντα μέν εἰσιν οἱ σύμπαντες ἄῤῥωστοι, κέκριται δ᾽ οὐδεὶς αὐτῶν οὔτε κατὰ τὴν ιη´ οὔτε κατὰ τὴν κα´ οὔθ᾽ ὅλως ἐν ἄλλῃ τινὶ τῶν ἐκ τοῦδε τοῦ στοίχου. τῆς πείρας οὖν ἀκριβῶς προεισαγούσης εἰς τὰς κρισίμους ἡμέρας τὴν ιζ´ καὶ τὴν εἰκοστὴν, ἔτι δὲ καὶ τὰς ἀπ᾽ αὐτῶν πάσας, [481] ἔνιοι τῶν ἰατρῶν οὐ πάνυ τι τῷ φαινομένῳ προσέχοντες τὸν νοῦν, ὡς ἐφ᾽ ἕτοιμον ἀφίκοντο τὸν ἐκ τῆς τελείας ἑβδομάδος ἀριθμὸν, εἶτά που καὶ κριθέντα

vigeſimum et quadrageſimum decretoriis eſſe ab illo poſitos, ſed nec vigeſimumprimum, nec alium quemvis ei reſpondentem. In quarto morborum adeo acutorum mentionem facit, ut raro videlicet ad vigeſimum pervenerint, proceſſerint autem ſemel ulterius usque ad vigeſimumquartum. Unde jam vigeſimum et vigeſimumquartum judicaſſe de morbis licet intelligere, non tamen alterius ordinis quenquam. Quinetiam in ſexto epidemiωn paucos tum aegros tum aëris ſlatus commemorat, neque hic quenquam in alterius ſectae diebus judicatum eſſe novit. Si jam et quinti libri meminiſſe convenit, cujuscunque fuerit, hic etiam quinquaginta ſunt univerſi aegri, nullus autem ipſorum vel decimooctavo, vel vigeſimoprimo, vel ut ſummatim dicam, in alio quodam hujus generis die judicatus eſt. Quum igitur ipſa experientia decimumſeptimum et vigeſimum diem, inſuper qui ipſis reſpondent, univerſos decretoriis apponat, nonnulli medici, qui non adeo evidentibus animum adhibent, ad perſectae hebdomadis numerum tanquam ad faci-

τινὰ κατὰ τὴν πρώτην καὶ εἰκοστὴν θεασάμενοι, πολὺ δὴ μᾶλλον ἐβεβαίωσαν τὴν ὑπόληψιν.

Κεφ. ε'. Καὶ γὰρ οὖν καὶ τὸ διαγνῶναι ποίας ἐστὶν ἡμέρας ἴδιος ἡ κρίσις, ἐπειδὰν εἰς πλείονας τύχῃ μερισθεῖσα, διορισμοῦ δεῖται, καθότι κἀν τῷ πρώτῳ δέδεικται λόγῳ. συμβαίνει δὲ καὶ χρονιζόντων τῶν νοσημάτων τὰς κρίσεις ἀποτίθεσθαι μὲν τὸ τῆς ταραχῆς σφοδρὸν καὶ τῆς ἀλλοιώσεως τὸ σύντομον, καὶ εἰς δύο δὲ πολλάκις ἡμέρας, ἢ τρεῖς ἐκτείνεσθαι. πρόχειρον οὖν ἐν τούτῳ προσνέμειν τὴν κρίσιν τῶν τριῶν ἡμερῶν ᾗ τις ἂν βουληθῇ. πολλοὶ μὲν γὰρ τῶν ἰατρῶν οὐδ' ἀριθμοῦσιν ἔτι μετὰ τὴν ιδ' ποσταῖος ὁ κάμνων ἐστὶ, καὶ μάλιστα ἢν ἐν τῷ μεταξὺ δόξας ἀπύρετος γεγονέναι πάλιν ἀναπυρέξειεν. ἔνιοι δὲ κἂν ἀριθμήσωσι τὸ μερίζεσθαι τὰς κρίσεις εἰς πλείους ἡμέρας, ἀδιορίστως τε καὶ προπετῶς ᾗ βούλονται τῶν ἡμερῶν ἀνατιθέασι. διὰ ταῦτα γοῦν αὐτὰ καὶ ὁ Ἱπποκράτης ἐπὶ τῶν ἀῤῥώστων ἐνίοτε μὲν ζ φησὶν, ἢ ἑνδεκάτῃ, ἢ τεσσαρεσκαιδεκάτῃ κριθῆναι τὴν νόσον, ἐνίοτε δὲ

liorem viam devenerunt. Deinde quum etiam judicatum aliquem in vigefimoprimo confpexerint, multo fane magis opinionem fuam confirmarunt.

Cap. V. Etenim ut difcernas cujusnam diei proprium fit judicium, quum in plures partitum fuerit, diftinctione opus eft, quemadmodum in fuperiore libro demonftratum eft. Contingit autem morbis inveterafcentibus et judicia vehementiam perturbationis et alterationis brevitatem remittere et ad duos faepe dies, vel tres extendi. Promptum eft igitur in hoc crifim cuicunque ex tribus diebus volueris attribuere. Multi fiquidem medicorum ne vel numerare quidem poft xiv dignantur, quot jam diebus aeger decumbat, praefertim fi dum febris foluta interea effe videatur, denuo repetat. Nonnulli vero etfi numeraverint, judiciorum in plures dies partitionem indiftincte et temere cui dierum volunt annumerant. Quapropter etiam Hippocrates in aegrotis aliquando quidem feptimo dicit, vel undecimo, vel decimoquarto, judicatum effe morbum, inter-

περὶ τὴν εἰκοστὴν, ἢ μ', ἤ τινα ἄλλην, ὥσπερ εὐθὺς ἐν τῇ πρώτῃ καὶ δευτέρᾳ καταστάσει τοῦ πρώτου τῶν ἐπιδημιῶν. ἐν μὲν γὰρ τῇ πρώτῃ φησίν· ἔκρινε δὲ τούτων οἷσι τὰ βραχύτατα γένοιτο περὶ τὴν εἰκοστὴν, τοῖσι δὲ πλείστοισι περὶ τὴν μ', πολλοῖσι δὲ περὶ τὴν ὀγδοηκοστήν. ἐν δ' αὖ τῇ δευτέρᾳ καταστάσει, ἔστι δ' οἷσι, φησὶν, ἔκρινεν αὐτῶν ὀλίγοισιν, οἷσι τὰ βραχύτατα γένοιτο περὶ εἰκοστήν. ἐν δὲ τῇ τρίτῃ αἱμοῤῥαγέειν, φησὶ, μικρὸν ἤρξατο περὶ τετάρτην καὶ εἰκοστὴν, καὶ ἐγένοντο εἰς αἱμοῤῥαγίην αἱ ἀποστάσιες Ἀντιφῶντι Κριτοβούλου. ἀπεκρίθη καὶ ἐπαύετο τελείως περὶ τὴν τεσσαρακοστήν. οὐκ ἐμνημόνευσα δὲ κατ' ἀρχὰς εὐθὺς τούτων τῶν ῥήσεων, ὁπότε κἀκ τοῦ πρώτου τῶν ἐπιδημιῶν παρετιθέμην, ἄμεινον εἶναι νομίσας ἁπάσας πρότερον ἐκθέσθαι τὰς ἡμέρας ἐν αἷς ἀκριβῶς μόναις ἐθεάσατο τὰ νοσήματα κρινόμενα. διὰ τοῦτό οὐδὲ γέγραπται τοὐπίπαν οὐδαμόθι τῶν συγγραμμάτων αὐτοῦ περὶ τὴν ε' ἢ τὴν ἑβδόμην, ἢ τὴν θ' κριθεὶς οὐδεὶς, ἀλλ' ἁπλῶς ἢ πεμπταῖος, ἢ ἑβδομαῖος, ἢ

dum vero circa XX vel XL vel alium quempiam, ficuti exempli gratia in prima et fecunda conftitutione primi epidemiorum. In prima enim ait: *Judicabantur autem quibus inter hos breviffimi effent circa vigefimum, plurimis circa gradragefimum, multis circa octogefimum.* In fecunda vero conftitutione, *Quibusdam vero,* inquit, *ipforum judicabantur, iisque paucis, quibus breviffimi effent, circa vigefimum.* In tertia autem, *Sanguinis,* inquit, *parum erumpere coepit circa vigefimumquartum, et in fanguinis eruptionem fiebant abfceffus Antiphonti Critobuli filio; quievit et perfecte judicatus eft circa* XL. Sed horum verborum ab initio ftatim non memini, quum ex primo epidemiῶn quoque apponerem, melius effe ratus omnes dies qui exacte foli de morbis decernere vifi funt, prius exponere. Hujus rei gratia nec in ipfius usquam commentariis in totum fcriptum eft, circa quintum, aut feptimum aut nonum diem, ullum judicatum effe, fed fimpliciter vel quinto, vel feptimo, vel nono die; fubito enim et univerfim hi judi-

ἐνναταῖος. ἀθρόως γὰρ αὗται κρίνουσιν. ὅσῳ δ᾽ ἂν ἐξωτέρω προΐῃ τὰ νοσήματα καὶ χρονίζῃ, παύεται μὲν ἡ πρὸ τῆς ὀξείας ἀλλοιώσεως ταραχὴ, κατὰ βραχὺ δὲ αἱ κρίσεις γινόμεναι δύο που ἢ τρεῖς ἡμέρας ἐπιλαμβάνουσι τοὐπίπαν. ὡς γὰρ οὐδὲ μετὰ ἐκκρίσεως εἴωθε λύεσθαι τὰ πλεῖστα τῶν χρονισάντων, ἀλλ᾽ ἤτοι δι᾽ ἀποστάσεων, ἢ πέψεων, οὕτως οὐδ᾽ ὅταν ἐπὶ σαφέσιν ἐκκρίσεσιν, ἢ ἀποστάσεσιν ἡ λύσις αὐτῶν γίνηται, διὰ μιᾶς ἡμέρας τελειοῦται μόνης. ὅθεν, οἶμαι, τῶν ἰατρῶν ἔνιοι τὴν ἀρχὴν οὐδὲ κρίνεσθαί φασι τὰ χρονίζοντα τῶν νοσημάτων. οὐ γὰρ τὴν λύσιν ἁπλῶς (439) εἶναι κρίσιν, ἀλλ᾽ ἤτοι τὴν ἀθρόαν ἢ τὸν πρὸ ταύτης σάλον. ἀλλ᾽ ὅτι γε τὸ σημαινόμενον τῆς κρίσεως οὐκ ἀπηκριβωμένον φυλάττεται διὰ παντὸς, ἀλλὰ τὴν λύσιν αὐτὴν μόνην, ὅπως ἂν γένηται, κρίσιν ὀνομάζουσιν οἱ πλεῖστοι τῶν ἰατρῶν, ἔξ αὐτῶν τε τῶν Ἱπποκράτους ἔνεστι μαθεῖν γραμμάτων, οὐχ ἥκιστα δὲ κἀξ ὧν οἱ ἄλλοι παλαιοὶ γράφουσιν. [482] οὕτως οὖν καὶ Διοκλῆς τὴν πρώτην ἡμέραν ἐν ταῖς κρινούσαις ἀριθμεῖ, σαφῶς ἐνδεικνύμενος ὡς οὐδὲν ἄλλο τὴν κρίσιν ὅ τι μὴ τὴν λύσιν

cant. Quanto autem ulterius morbi excedunt diuturnioresque fiunt, perturbatio fane quae praecipitem alterationem praecedit, conquiefcit. Judicia vero paulatim venientia duos, aut tres dies maxima ex parte occupant. Sicut enim plurimi longi affectus neque cum excretione diffolvi confueverunt, fed vel abfceffu vel concoctione, ita nec ubi cum manifeftis excretionibus, vel abfceffibus ipforum folutio contigerit, uno duntaxat die perficitur. Unde medicorum quidam diuturnos morbos nequaquam judicari inquiunt, fiquidem non folutionem fermone abfoluto crifim effe, fed vel fubitam, vel quae ipfam praecedit commotionem. Verum quod judicii fignificatum non exacte disquifitum perpetuo fervatur, fed folutionem ipfam tantum, quomodocunque fiat, complures medici judicium appellant, ex Hippocratis libris difcere cuivis eft integrum, maxime vero et ex iis quae veteres alii pertractant. Sic igitur et Diocles primum diem decretoriis annumerat, manifefto indicans nihil

ὀνομάζει τοῦ νοσήματος. ἔσται δὲ δῆλον ἐξ αὐτῆς τῆς λέξεως ἐχούσης ὧδε· αὐτῶν δὲ τῶν πυρετῶν, ὧν τὰ αἴτια μήτ' ἐν αὐτῷ τῷ σώματι διαλύεται κενούμενα καὶ μειούμενά πως μήτ' ἐξικμάζεται μήτ' ἀθρόως ὠμὰ ἐξάγεται· κατὰ δέ τινας χρόνων περιόδους πεφθέντα φαίνεται, ὁ μὲν ἐπιπολαιότατος ἐν νυκτὶ καὶ ἡμέρᾳ κρίνεται, ἐν ἐλαχίστῳ γὰρ χρόνῳ τούτῳ τὰ αἴτια αὐτῶν διαλύεται. καὶ γὰρ τὰ σηπόμενα καὶ πῦον γινόμενα, ἔτι δὲ καὶ γάλα καὶ σὰρξ πᾶσα ἀποτελουμένη καὶ ὅλως τὰ πολλὰ τῶν κατὰ τὸ σῶμα γινομένων καὶ κινουμένων καὶ ἀλλοιουμένων κατ' εἶδος, ἐν τούτῳ τῷ χρόνῳ φαίνεται πρῶτον. καὶ ταυτὶ μὲν ὁ Διοκλῆς. ὁ δ' Ἱπποκράτης οὐχ ἅπαξ οὐδὲ δὶς, ἀλλὰ πάνυ πολλάκις ἔν τε τῷ πρώτῳ τῶν ἐπιδημιῶν καὶ μάλιστα κἀν τῷ τρίτῳ τὴν λύσιν μόνην τοῦ νοσήματος ὀνομάζει κρίσιν, οὐδεμιᾶς οὔτ' ἐκκρίσεως οὔτ' ἀποστάσεως σαφῶς προγεγενημένης. οὐ μὴν τούτου γ' ἕνεκεν ἡγητέον ἄνευ ἐκκρίσεως πάσης φανερᾶς κρίνεσθαι τὰς χρονιζούσας νόσους, ὥσπερ οὐδὲ τὸ πλείους ἡμέρας ἐξ ἀνάγκης ἐπιλαμβάνειν. ὀγδοηκοστῇ γοῦν κριθῆναί τινα γράφων ὁ

se aliud judicium quam morbi solutionem nominare. Fiet autem perspicuum ex ipsius verbis, quae hunc in modum habent: *Quarum febrium causae neque in ipso corpore vacuatae ac imminutae dissolvuntur, neque exiccantur, neque subito crudae educuntur, temporum vero periodis quibusdam coctae apparent, per summa quidem extantes, nocte et die judicantur. Nam paucissimo tempore causae ipsarum discutiuntur, quippe putrescentes et in pus conversae, ad haec lac et caro omnis absoluta, breviter omnia, quae in corpore tum fiunt, tum moventur et speciatim alterantur, in hoc tempore primum apparent.* Atque haec Diocles. Hippocrates autem non semel neque bis, sed frequenter admodum in primo epidemiōn et potissimum in tertio morbi solutionem crisin vocat, nulla neque excretione, neque abscessu evidenter praegresso. Non tamen hujus gratia putandum est diuturniores morbos sine quavis manifesta excretione judicari, quemadmodum neque plures dies necessario assumere. Itaque octogesimo crisim quendam ac-

Ἱπποκράτης ἐν τῷ τρίτῳ τῶν ἐπιδημιῶν, ῥιγῶσαί τέ φησιν αὐτὸν καὶ ὀξέως πυρέξαι καὶ ἱδρῶσαι πολλῷ. παρεθέμην δὲ τὴν λέξιν ὀλίγον ἔμπροσθεν, ὁπότε τοῦ Κλεονακτίδου, κατὰ τὸ πρῶτον τῶν ἐπιδημιῶν ἕκτου τὴν τάξιν γεγραμμένου, τὴν διήγησιν ἐποιούμην. εὕροις δ' ἂν καὶ ἄλλους ἀῤῥώστους, οὕς τ' ἤδη παρεθέμην ἐν τῷδε τῷ λόγῳ καὶ ὧν οὐδ' ὅλως ἐμνημόνευσα κεκριμένους ἐναργῶς ἡμέρᾳ μιᾷ δι' ἐκκρίσεως ἐπὶ προήκοντι καὶ χρονίῳ νοσήματι. ταύταις οὖν μάλιστα προσέχειν χρὴ τὸν νοῦν ὡς ἀκριβῶς διδασκούσαις τὴν τάξιν τῶν κρισίμων ἡμερῶν. εἰ γὰρ ὁ Κλεονακτίδης οὗτος ὀγδοηκοστῇ ῥιγώσας τε καὶ ὀξέως πυρέξας ἐκρίθη ἱδρώσας, δῆλον ὡς μεγάλην τινὰ δύναμιν ὁ τῆς εἰκοστῆς ἀριθμὸς ἔχει. τούτου γὰρ πολλαπλασιαζομένου τὴν ὀγδοηκοστὴν, ὥσπερ καὶ τὴν μ' καὶ τὴν ἑξηκοστὴν καὶ τὴν ἑκατοστὴν εἰκοστὴν γενέσθαι συμβέβηκεν. εὑρήσεις δὲ καὶ ἄλλους ἀῤῥώστους ἐξωτέρω τῆς ιδ' κεκριμένους δι' ἐκκρίσεως ἐν τοῖς τῶν ἐπιδημιῶν βιβλίοις, ὧν ἐνίους ἤδη παρεθέμην, οἵ γε τοὺς μὴ νομίζοντας ἀθρόαν γε-

cepiffe in primo De morbis popularibus Hippocrates commemorat, aitque rigore ipfum fuiffe correptum, acuteque febricitaffe et fudaffe largiter. Appofui autem paulo ante fententiam, quum Cleonactidae, in primo epidemiῶn fexti ordine fcripti, mentionem facerem. Invenias autem alios quoque aegros hoc fermone jam mihi citatos, item quos nequaquam appofui, judicatos evidenter die uno per excretionem in procedente diuturnoque morbo. His igitur maxime advertendum eft, ut quae dierum decretoriorum ordinem exacte doceant. Si enim Cleonactides hic, poftquam octogefimo quum rigore fuiffet infeftatus acuteque febricitaffet, per fudorem judicatus eft, liquet vigefimi numerum non mediocrem quandam potentiam obtinere. Hoc enim multiplicato octogefimum, ficut et quadragefimum et fexagefimum, ad haec contefimum et centefimum vigefimum fieri contingit. Reperies autem alios aegros decimumquartum egreffos per excretionem in epidemiῶn libris judicatos fuiffe, quorum nonnullos jam protulimus. Qui autem eos,

νέσθαι κρίσιν ἐξωτέρω τῆς μ' ἐξελέγχουσι καὶ τῶν κρισίμων ἡμερῶν ἐνδείκνυνται τὴν τάξιν. ὅτι μὲν γὰρ ἐκλύεται κατὰ βραχὺ τὸ δι' ἀγῶνός τε καὶ σάλου παύεσθαι τὰ νοσήματα χρονίζοντα καλῶς εἴρηται· τὸ δὲ μηδεπώποτε διὰ μιᾶς ἡμέρας ὀξεῖαν αὐτῶν γενέσθαι μεταβολὴν, οὐκέτ' ὀρθῶς. ὅταν γὰρ καὶ ῥῖγος εἰσβάλλῃ σφοδρὸν, ἅμα τῷ παροξυσμῷ τέως οὐ γεγενημένον, ὅ τε πυρετὸς ὀξύτατός τε καὶ σφοδρότατος καὶ θερμότατος καὶ δύσφορος ἐπιγένηται, καὶ μετὰ ταῦθ' ἱδρὼς ἐξεκρίθη πολὺς, ἀπύρετον ἀκριβῶς τὸν ἄνθρωπον ἐργαζόμενος, εἴ τις οὐ φήσει τοῦτο κρίσιν εἶναι, προδήλως ἐρίζει. ἐγὼ δ' οὐκ εἴωθα τοῖς ἐριστικοῖς ἐπὶ πλέον ἀντιλέγειν, ἀλλ' ἐκεῖνο χρὴ μᾶλλον εἰδέναι γινόμενον. ὡς ἡμῖν τε γὰρ παραφυλάττουσιν ἐφάνη πολλάκις ἔν τε τοῖς ὑφ' Ἱπποκράτους ἀναγεγραμμένοις ἀῤῥώστοις ἔστιν εὑρεῖν, τὸ τὰς τοιαύτας λύσεις τῶν χρονιζόντων νοσημάτων, οὐχ ὅταν ἐφεξῆς εἴη μηδαμόθεν διακοπτόμενα, συμπίπτειν, ἀλλ' ἐπειδὰν λελύσθαι δοκοῦντα, πάλιν δευτέρας ὑποστροφῆς ἐνάρξηται. συμβαίνει δὲ πολλά-

qui fubitam fieri crifim ultra quadragefimum non putant, arguunt, etiam decretoriorum dierum ordinem oftendunt. Quod etenim folutio quae per certamen et commotionem fit, in morbis diuturnis paulatim exolvatur, pulchre dictum eft, at non amplius fubitam eorum mutationem uno die fieri, non recte dictum eft. Quum enim rigor vehemens fimul cum acceffione antea non factus invadat et febris acutiffima, vehementiffima, calidiffima et toleratu difficilis accedat, fudorque copiofus e corpore manarit, febre hominem prorfus liberans, fi quis hoc crifim non effe dicet, manifefte contentiofus eft. Ego fane id genus hominibus contradicere diffufius non confuevi, fed illud, quod accidit, magis cognofcendum effe mihi propofui. Hoc enim nobis obfervantibus plerumque apparuit, atque in aegris ab Hippocrate fcriptis invenire licet hujusmodi morborum longiorum folutiones non, quum deinceps nulla ex parte interfecantur, incidere, at quum, ubi foluti effe videntur, iterum fecundo recidivam incipiunt. Contingit autem faepe diebus quibus-

κις καὶ αὐτὰς τὰς κατὰ μέρος ὑποστροφὰς ἐν ἡμέραις τέ τισι κρισίμοις ἄρχεσθαι καί τινα κρισίμων ἡμερῶν ἀριθμὸν προελθούσας, αὖθις ἐν ἑτέρᾳ τινὶ τῶν κρισίμων ἡμερῶν κρίνεσθαι, [483] καὶ οὕτω γίνεται τὰ μὲν κατὰ μέρος ἅπαντ' ὀξέα, τὸ σύμπαν δὲ χρόνιον. ἐνίοτε δὲ καὶ τὰ διαλείμματα αὐτῶν ἀριθμῷ τινι τῶν κρισίμων ἡμερῶν περιγράφεται, καθάπερ εἴ τις ἑνδεκαταῖος κριθεὶς ἀτελῆ κρίσιν, ὑποστρέψειε τεσσαρεσκαιδεκαταῖος, εἶτ' αὖθις εἰκοσταῖος κριθεὶς ἐλλιπῶς ὑποστρέψειεν ζ καὶ κ, κᾄπειτ' ἐντεῦθεν ὀξέως πάλιν διανοσήσας αὖθις ἐν μ' κριθείη. ταῦτα μὲν οὖν αὐτὸς ἕκαστος ἐπί γε τῶν νοσούντων ὄψεται, προσεδρεύειν αὐτοῖς ἐπιμελῶς ἐθελήσας ἔν τε τοῖς ὑφ' Ἱπποκράτους γεγραμμένοις ἀῤῥώστοις ἐπισκοπούμενος. ὅτι δὲ καὶ τὴν ἑπτακαιδεκάτην μὲν τῆς ιη' καὶ τὴν εἰκοστὴν τῆς κα' ἰσχυροτέραν ἡγητέον εἶναι δέδεικται σαφῶς ἤδη τῆς πείρας ἕνεκεν τῆς Ἱπποκράτους. εἰ δὲ καὶ τῆς ἐμῆς πείρας ἐφεξῆς ἀναμνημονεύσαιμι, μακρότερος μὲν ὁ λόγος ἔσται, πιστότερος δ' οὐδὲν μᾶλλον. εἰ μὲν γάρ τις καὶ αὐτὸς παραφυλάττειν τὰ συμβαίνοντα τοῖς νοσοῦσιν ἐθέλοι καὶ πιστεύειν τοῖς ὑφ' Ἱπποκράτους εἰρημένοις, οὐδὲν ἔτι τῆς

dam decretoriis recidivas incipere, et quum numerum aliquem decretoriorum excesserint, denuo in alio quodam decretorio die judicari. Hac ratione omnes particulares acuti fiunt, postquam vero omnes coierint, diuturni. Interdum intervalla ipsorum numero quodam decretorio circumscribuntur, veluti si quis undecimo die judicatum imperfecte, decimoquarto morbus repetat, deinde vigesimo rursum die judicato parum integre, recidiva vigesimo septimo adveniat, inde postea acute aegrotans, quadragesimo iterum judicetur. Haec igitur quisque in aegris ipse videbit, qui diligenter eis assidere voluerit, ad haec in aegrotis ab Hippocrate citatis contempletur. Porro quod decimusseptimus decimooctavo et vigesimoprimo vigesimus fortior sit aestimandus, per Hippocratis experimenta demonstratum est. Si autem mea quoque deinceps recensuerim, longior quidem sermo erit, caeterum fidei nihil magis habebit; si etenim quispiam et ipse quae aegris accidunt observare velit et ab Hippocrate dictis cre-

ἡμετέρας πείρας ὁ τοιοῦτος δεήσεται. εἰ δ᾽ ἤτοι πιστότερα τῶν ἐναργῶς φαινομένων τὰ σοφίσματα νενόμικεν ἢ μηδὲν φροντίζει τῶν ὑφ᾽ Ἱπποκράτους εἰρημένων, οὐ μόνον οὐδὲν ἕξει πλέον ἐκ τῆς ἡμετέρας ἱστορίας ὁ τοιοῦτος, ἀλλὰ καὶ διαπαίζειν αὐτὴν ἐπιχειρήσει. τῶν μὲν δὴ τοιούτων εἴρηται πολλάκις ὡς χρὴ καταφρονεῖν· εἰ δέ τις ἀληθείας ἐρᾷ, τὸν μὲν λῆρον τῶν σοφιστῶν ἀφεὶς, ἐπὶ δὲ τὴν πεῖραν αὐτὸς ἀφικόμενος, ὅταν ὀκτακοσίους, ἢ χιλίους ἀῤῥώστους θεάσηται, σαφῶς οἶδα τοῦτον οὐκ ἄλλα τὰ περὶ κρισίμων ἡμερῶν ἀποφανούμενον ὧν Ἱπποκράτης ἐδήλωσεν.

Κεφ. ε΄. Οὔσης γὰρ καὶ χρείας καὶ φύσεως διττῆς τῶν κρισίμων ἡμερῶν, καὶ τὴν διδασκαλίαν αὐτῶν διπλῆν Ἱπποκράτης ἐποιήσατο, ἐν μὲν τοῖς ἀφορισμοῖς καὶ τῷ προγνωστικῷ τῶν κατὰ τετράδας τε καὶ ἑβδομάδας ἐπιπλεκομένων ἀλλήλαις μνημονεύσας, ἐν δὲ τῷ πρώτῳ τῶν ἐπιδημιῶν οὐ τούτων μόνον, ἀλλὰ καὶ τῶν ἄλλων ἁπασῶν τῶν παρεμπιπτουσῶν, ὧν τὴν μὲν αἰτίαν τῆς παρεμπτώσεως ἐν τοῖς

dere, is nihil adhuc nostra experientia indigebit. At si vel sophismata evidenter apparentibus digniora esse quibus credatur existimet, vel Hippocratis dictorum nullam rationem curamque habet, talis non modo nihilo plus frugis ex nostra narratione reportabit, sed etiam irridere ipsam conabitur, hujusmodi vero frequenter dixi despiciendos esse. Si vero veritatis studiosus quis existat, sophistarum nugis relictis ad experientiam ipse veniens, quum octoginta, vel mille aegros conspexerit, hunc indubie novi non alia de diebus decretoriis pronunciaturum quam Hippocrates indicavit.

Cap. V. Quum enim decretoriorum dierum tum usus tum natura duplex sit, Hippocrates quoque duplicem eorum doctrinam instituit, in aphorismis quidem et prognostico eorum qui secundum quaternarios et hebdomadas invicem complexi sunt mentionem faciens, in primo autem epidemiorum non horum modo, sed etiam aliorum omnium coincidentium. Quorum causam coincidentiae in sequenti-

ἐφεξῆς ἐρῶ, τὸ δὲ ὅτι καὶ φύσει καὶ χρείᾳ διαφέρουσιν ἀλλήλων ἤδη δηλώσω· φύσει μὲν, ὅτι καλῶς ἁπάντων γινομένων, εἰς τὰς κατὰ τετράδα περιόδους αἱ κρίσεις ἀφικνοῦνται τοὐπίπαν, πλημμεληθέντων δέ τινων εἰς τὰς παρεμπιπτούσας μεθίστανται· τῇ χρείᾳ δὲ, διότι πρὸς μὲν τὸ γνῶναι τὴν μέλλουσαν ἔσεσθαι κρίσιν ἡ κατὰ τετράδα περίοδος αὐτάρκης, εἰς δὲ τὸ κρῖναι τὴν ἤδη γεγενημένην ἁπασῶν οἷον ἀεὶ γινωσκομένων, ἵνα εἰ οὕτως ἔτυχεν ἀσφαλεστέραν μὲν τὴν κρίσιν τὴν ἐνναταίαν τῆς ὀγδοαίας, ἀπιστοτέραν δὲ τὴν ὀγδοαίαν τῆς ἐνναταίας ἡγούμεθα. τὸ μὲν οὖν πιστὸν ἢ ἄπιστον τῆς κρίσεως εἰς τὸ καλῶς διαιτᾶν τοὺς ἤδη κεκριμένους διαφέρει· τὸ δ' ὁπηνίκα μάλιστα κριθήσεται προγινώσκειν εἰς τοὺς μήπω κεκριμένους διαφέρειν ἀναγκαῖον. εἰρήσεται μὲν οὖν τι κἀν τοῖς ἐφεξῆς ὑπὲρ τούτου, ἀλλ' ὁ σύμπας λόγος ἐκ τῆς θεραπευτικῆς ἐστι μεθόδου, καὶ νῦν ἡμεῖς οὐ περὶ χρείας κρισίμων ἡμερῶν ἥκομεν ἐροῦντες, ὅ τι μὴ πάρεργον, ἀλλὰ τὴν δύναμιν αὐτῶν ἅπασαν ἐξηγήσασθαι σπεύδομεν. ἀπόχρη τοίνυν εἴς γε τὸ παρὸν ἀναμνήσαντας τῶν

bus dicturi fumus, nunc autem quod et natura et ufu inter fe mutuo differunt oftenfuri fumus: natura fane, quod omnibus pulchre evenientibus, ad quaternarios circuitus judicia maxima ex parte perveniunt, erratis autem quibusdam in coincidentes recidunt: ufu, quod ad futurae crifis cognitionem quaternarii circuitus fufficit. Ad jam factam vero crifim judicandam omnes femper funt cognofcendi, ut verbi gratia tutiorem effe crifim quae nono quam quae octavo die accidit, minus fidam quae octavo quam quae nono contingit, judicemus. Proinde fides judicii vel fallacia ad bonam victus rationem judicatis praefcribendam conducit, praecognofcere vero quando potiffimum accidet, ad nondum judicatos neceffarium eft. Dicetur itaque in procedente fermone de hoc etiam nonnihil, fed univerfus fermo ex curandi methodó pendet. At nunc de decretoriorum dierum ufu nihil nifi obiter dicemus, fed omnem eorum potentiam interpretari feftinamus. Satis eft ideo ad praefentem difpu-

Ἱπποκράτους ῥήσεων ἐπὶ τὰ ἐφεξῆς ἤδη μετιέναι. κατὰ μὲν δὴ τὸ προ(440)γνωστικὸν οὕτω φησίν· [484] οἱ δὲ πυρετοὶ κρίνονται ἐν τῇσιν αὐτῇσι ἡμέρῃσι τὸν ἀριθμὸν ἐξ ὧν τε περιγίνονται οἱ ἄνθρωποι καὶ ὧν ἀπόλλυνται. οἵ τε γὰρ εὐηθέστατοι τῶν πυρετῶν καὶ ἐπὶ σημείων ἀσφαλεστάτων βεβεῶτες τεταρταῖοι παύονται, ἢ πρόσθεν, οἵ τε κακοηθέστατοι καὶ ἐπὶ σημείων δεινοτάτων βεβεῶτες τεταρταῖοι κτείνουσιν, ἢ πρόσθεν. ἡ μὲν πρώτη ἔφοδος αὐτέων οὕτω τελευτᾷ, ἡ δὲ δευτέρα τετρὰς εἰς τὴν ἑβδόμην περιάγεται, ἡ δὲ τρίτη εἰς τὴν ιά, ἡ δὲ τετάρτη εἰς τὴν τεσσαρεσκαιδεκάτην, ἡ δὲ πέμπτη εἰς τὴν ἑπτακαιδεκάτην, ἡ δὲ ἕκτη εἰς τὴν εἰκοστήν. αὗται μὲν οὖν ἤδη διὰ τεσσάρων εἰς τὴν εἰκοστὴν ἐκ πολλαπλασιασμοῦ ἐκ προσθέσιος ἀφικνέονται. οὐ δύναται δ' ὅλῃσι ἡμέρῃσι ἀριθμέεσθαι οὐδὲν τουτέων ἀτρεκέως. οὐδὲ γὰρ ὁ ἐνιαυτός τε καὶ οἱ μῆνες ὅλῃσι ἡμέρῃσι ἀριθμέεσθαι πεφύκασιν. μετὰ δὲ ταύτας ἤγουν τὰς κ' τὰς ἐν τῷ αὐτῷ τρόπῳ καὶ κατὰ τὴν αὐτὴν πρόσθεσιν ἡ πρώτη περίοδος διὰ τεσσάρων καὶ τριάκοντα ἡμερῶν, ἡ δὲ δευτέρα μ' ἡμερῶν, ἡ δὲ τρίτη ξ'. αὕτη μὲν ἡ ἐκ τοῦ προγνωστικοῦ ῥῆσις.

tationem, ſi Hippocratis verba commemorans ad ſequentia jam deſcendam. In prognoſtico ſane hoc modo ſcribit: *Febres, ſive ſanus ab his quis evadat, ſive pereat, aequali dierum numero judicantur. Ut enim ſaluberrimae febres, quae videlicet tutiſſimis fulciuntur ſignis, die quarto vel antea judicari ſolent, ita maligniſſimae quaeque et quibus periculoſiſſima ſigna adſunt, die quarto vel citius interficiunt. Primus itaque earum inſultus ita finitur, ſecundus quaternarius in ſeptimum diem producitur, tertius in undecimum, quartus in decimumquartum, quintus in decimumſeptimum, ſextus in vigeſimum. Hi autem ex acutiſſimis morbis per quatuor in viginti ex additione perveniunt.* Verum hujusmodi ſupputatio per dies integros nimirum fieri non poteſt, quippe quum nec annus nec menſes ipſi integris numerantur diebus, deinde eadem ratione atque additione primus circuitus ad quatuor et triginta, alter ad quadraginta, tertius ad ſexaginta dies perveniet. Haec quidem ex pro-

ἐν δ' αὖ τοῖς ἀφορισμοῖς προειπὼν ὡς τὰ ὀξέα τῶν νοσημάτων κρίνεται ἐν τεσσαρεσκαίδεκα ἡμέρῃσιν, ἑξῆς ἐπιφέρει· τῶν ἑπτὰ ἡ τετάρτη ἐπίδηλος. ἑτέρας ἑβδομάδος ἡ ή ἀρχή. θεωρητὴ δὲ πάλιν ἡ ια΄. αὕτη γάρ ἐστι τετάρτη τῆς δευτέρας ἑβδομάδος. θεωρητὴ δὲ πάλιν ἡ ἑπτακαιδεκάτη. αὕτη γάρ ἐστι τετάρτη μὲν ἀπὸ τῆς τεσσαρεσκαιδεκάτης, ἑβδόμη δὲ ἀπὸ τῆς ια΄. ἐν μὲν δὴ τούτοις ἀμφοτέροις τοῖς συγγράμμασιν ἑβδόμασί τε καὶ τετράσιν ἀνατίθησιν ἁπάσας τῶν κρισίμων ἡμερῶν τὰς περιόδους· ἐν δ' αὖ τῷ πρώτῳ τῶν ἐπιδημιῶν ἁπασῶν ἐφεξῆς μνημονεύει γράφων ὧδε· ἔστι δὲ πρώτη κρίσιμος τῶν περιόδων τῶν ἐν ἀρτίῃσι κρινουσῶν τετάρτη, στ΄, ι΄, ιδ΄, ιη΄, κ΄, κδ΄, κη΄, λ΄, λδ΄ μ΄, ξ΄, π΄, ρ΄, ρκ΄, τῶν δὲ ἐν τῇσι περισσῇσι περιόδοισι κρινουσῶν πρώτη γ΄, ε΄, ζ΄, θ΄, ια΄, ιζ΄, κα΄, κζ΄, λα΄. δῆλος οὖν ἐστιν ὁ Ἱπποκράτης ἁπάσας ἐν τούτῳ τῷ λόγῳ τὰς κρινούσας περιλαβὼν ἡμέρας· ὑπομνήματι

gnostico verba sunt. In aphorismis quum praedixisset acutos morbos in quatuordecim diebus judicari, mox infert: *Septimorum quartus index est, alterius septimanae octavus initium. Contemplabilis autem rursum undecimus, hic enim quartus secundae septimanae. Contemplabilis iterum decimusseptimus, hic enim quartus est a decimoquarto, septimus autem ab undecimo.* Atque in his duobus commentariis omnes dierum decretoriorum circuitus hebdomadis et quaternariis adscribit. At in primo epidemiorum omnium deinceps meminit hisce verbis: *Est autem primus decretorius circuituum, qui paribus diebus decernunt, quartus, sextus, decimus, decimusquartus, decimusoctavus, vigesimus, vigesimusquartus, vigesimusoctavus, trigesimus, trigesimusquartus, quadragesimus, sexagesimus, octogesimus, centesimus, centesimus vigesimus.* Eorum qui imparibus circuitibus judicant primus est tertius, quintus, septimus, nonus, undecimus, decimusseptimus, vigesimusprimus, vigesimusseptimus, trigesimusprimus. Hippocrates igitur omnes hoc sermone decretorios dies manifesto comprehendit, recordationi siquidem ac memoriae praepa-

γὰρ ἡ τοιαύτη παρασκευὴ προσήκουσα. δέδεικται γὰρ ἡμῖν πολλάκις ὡς πρότερον γέγραπται τῶν ἐπιδημιῶν βιβλία τοῦ τε προγνωστικοῦ καὶ τῶν ἀφορισμῶν, ὅτι δύναμιν ὑπομνημάτων ἔχει. κατὰ λόγον οὖν ἐνταῦθα ἁπάσας μὲν ἔγραψε τὰς κρισίμους ἡμέρας. ἐν ἐκείνοις δὲ μόνας τὰς μεγίστην δύναμιν ἐχούσας καὶ τῷ λόγῳ τῆς αὐτῶν φύσεως ἀποτελουμένας, ὡς ἐν τοῖς ἐφεξῆς ἀποδείξομεν, ἔτι τε πρὸς τούτοις οὐ σμικρὰν χρείαν εἰς τὴν τῆς μελλούσης ἀκμῆς τε καὶ κρίσεως πρόγνωσιν παρεχομένας. διὰ τίνα μὲν οὖν αἰτίαν ὁ Ἱπποκράτης οὐ μίαν ἐν ἅπασι τοῖς βιβλίοις ἐποιήσατο κρισίμων ἡμερῶν διδασκαλίαν ἤδη δέδεικται σαφῶς. οὐκ ἄδηλον δὲ οὐδὲ διότι τοῖς ἄλλοις ἰατροῖς εἰς διαφωνίαν ἀφικέσθαι συνέβη περὶ τῶν κρισίμων ἡμερῶν. οἱ μὲν γὰρ ὅτι διττὴ φύσις αὐτῶν ἐστιν οὐδ᾽ ὅλως ἐνόησαν, οἱ δὲ τὴν ἀρχὴν οὐδὲ παρεφύλαξαν, ἀλλὰ τῷ λόγῳ τὸ σύμπαν ἐπέτρεψαν. ἔνιοι δὲ ἐπὶ μὲν τὸ διὰ τῆς πείρας ἐξευρεῖν αὐτὰς ἧκον, ἀλλ᾽ ἐσφάλησαν διττῶς, ἢ τῷ μηδὲν ὅλως διορίζεσθαι πρὸ τῆς πείρας, ἢ τῷ προπετέστερον ἀποφαίνεσθαι.

ratio haec convenit. Demonftratum enim nobis faepius eft epidemiorum libros prognoftico prius et aphorismis fcriptos effe, quod memoriam rerum prius obfervatarum fuggerant. Itaque in hoc commentario omnes decretorios dies per feriem confcripfit, in illis eos tantum qui maximam virtutem habent et naturae fuae ratione perfecti funt, ficut in fequentibus oftendetur, et infuper mediocrem ufum ad futuri ftatus judiciique praenotionem exhibent. Cur igitur Hippocrates non unam in omnibus libris decretoriorum dierum doctrinam tradiderit, jam liquido conftat. Nec obfcurum cur aliis medicis de hisce diebus controverfia fuscepta fit. Alii etenim quod duplex eorum natura fit, non plane cogitarunt, alii nequaquam obfervarunt initium, fed rationi totum conceffere, nonnulli ufu ipfos deprehendere conati funt, verum duplici nomine falfi funt, vel quod nihil omnino ante experientiam definierint, vel infultius fententiam protulerint.

Ed. Chart. VIII. [484. 485] Ed. Baf. III. (440.)

Κεφ. ζ. Ἀλλ' ἡμῖν γε καὶ τίνα χρὴ διορίζεσθαι πρὸ τῆς πείρας εἴρηται, καὶ οὐ χρὴ σπεύδειν ἀποφήνασθαι περὶ κρισίμων ἡμερῶν οὐδὲν, ἄχρις ἂν ἐπὶ πολλῶν ἀῤῥώστων ἔτεσι πολλοῖς ἀκριβῶς τις παρα[485]φυλάξῃ· τά τε γὰρ ἄλλα καὶ τῶν ἐπετείων καταστάσεων αἱ διαφοραὶ πάμπολλαί τινες ὑπάρχουσιν. ἐν γοῦν ὅλῳ θέρει ποτὲ πλέον ἢ τετρακοσίους ἀνθρώπους ὀξέως νοσήσαντας ἐθεασάμην ἅπαντας ἢ ἑβδομαίους, ἢ ἐνναταίους κριθέντας. ἐν ἑτέρῳ δ' αὖθις ἔτει τοὺς μὲν τεσσαρεσκαιδεκαταίους, τοὺς δ' εἰκοσταίους, τοὺς πλείστους δ' ἐξ ὑποστροφῶν. ἐν ἄλλῳ δὲ πεμπταίους μὲν αἱμοῤῥαγήσαντας παμπόλλους, τελέως δ' ἑβδομαίους, ἢ ἐνναταίους κριθέντας. οἶδα δὲ καὶ φθινοπώρῳ ποτὲ πάντας ἑνδεκαταίους κριθέντας. ἀλλὰ τοῦτο μὲν ἀγαθὴν τὴν κρίσιν ἤνεγκεν, ἕτερον δὲ φθινόπωρον ἑκταίους ἔκρινεν ἅπαντας οὐκ ἀγαθῶς. διὸ καὶ μᾶλλον ἐπήει μοι θαυμάζειν τοὺς ὅλως οὐδεμίαν ἐν ταῖς ἡμέραις ἡγουμένους εἶναι διαφορὰν, ἀλλ' ὁμοτίμους ἁπάσας ὑπάρχειν. ὅλαι γὰρ καταστάσεις πολλάκις ἢ

Cap. VII. Porro nobis quae diflinguenda veniant ante experimenta, dictum eft, item de diebus decretoriis ferre judicium non properandum elle, donec in multis aegris annis compluribus accurate quis obfervaverit; nam praeter alia etiam annalium conflitutionum permultae quaedam differentiae funt. Ergo in tota aeftate interim plures quam quadringentos homines acute aegrotantes univerfos vel feptimo, vel nono die crifim habuiffe confpexi, in alio rurfus anno quosdam decimoquarto, quosdam vigefimo, plurimos poft morbi reverfionem, in alio permultos fanguinis fluorem quinto habuiffe, perfecte feptimo, vel nono die judicatos effe. Vidi etiam in autumno aliquando omnes undecimo judicatos, fed hic quidem autumnus bonam crifim attulit, in alio autem omnibus fexto die non bonum judicium accidit. Quapropter etiam magis fubit mihi mirari eos qui plane nullum in diebus discrimen, verum ejusdem omnes dignitatis effe arbitrantur. Toti fi quidem ftatus frequenter, vel aeftivorum, vel autumnalium morborum

θερινῶν, ἢ μετοπωρινῶν νοσημάτων ἓν εἶδος ἔχουσι κρίσεων, ὡς κἀν ταῖς ὑφ' Ἱπποκράτους γεγραμμέναις ἐστὶ δῆλον, ἐν αἷς εἴ τις μὴ παντάπασίν ἐστι ῥᾴθυμος, ἄλλοτε μὲν ἄλλην τῶν κρισίμων ἡμερῶν ὄψεται πλεονάζουσαν, οὐ μὴν ὀγδόην τε καὶ ιβ' ἢ ἑκκαιδεκάτην, ἤ τινα τῶν τοιούτων. ἐοίκασιν οὖν εἰς ἄμφω τὰ συνεστῶτα τὴν ὅλην ἰατρικὴν οἱ σοφισταὶ παρανομεῖν, τήν πεῖράν τε καὶ τὸν λόγον. οὔτε γὰρ ἐν οἷς τῆς πείρας ἐστὶ χρεία, ταύτην ἀναμένουσιν, ἀλλ' ὡς ἂν ἑκάστῳ παραστῇ, ληροῦσιν, οὔτε τῶν ἐναργῶς φαινομένων ἐξευρίσκουσι τὰς αἰτίας. διὰ τοῦτο τοίνυν ὁ μέν τις αὐτῶν οὔτε κρίσιμόν ἡμέραν οὐθ' ὅλως κρίσιν ὑπάρχειν φησὶν, ὁ δὲ κρίσιν μὲν εἶναί τινα, οὐ μὴν καὶ κρισίμους ἡμέρας, ὥσπερ δέον λόγῳ μᾶλλον, ἀλλ' οὐ πείρᾳ τὰς κρισίμους ἡμέρας καὶ τὰς κρίσεις ἐξευρίσκειν, ἢ φαυλοτέρων ὄντων τῶν ὅσοι διὰ τῆς πείρας ἄμφω μεμαθηκέναι φασίν. ἡμῖν μὲν τοίνυν ὅσοι μεθ' Ἡρόφιλόν τε καὶ Ξενοφῶντα καὶ Ἀσκληπιάδην ἐγενόμεθα τάχ' ἂν εἴη τις εἰς τοὺς ἄνδρας ἐκείνους ἢ φθόνος, ἢ φιλονει-

unam judiciorum speciem obtinent, quemadmodum in his quos Hippocrates conscripsit manifestum est. In quibus, si quis non omnino segnis est, interdum sane alium decretoriorum dierum saepius judicantem videbit quam alium, non tamen octavum, duodecimum, aut decimumsextum, aut hujus notae aliquem. Apparent igitur sophistae in utrisque, quae universam medicinam constituerant, errare, experientia nempe et ratione. Neque enim in quibus experientiae usus est ipsam expectant, sed ut cuique in mentem venerit, nugantur; neque evidenter apparentium causas inveniunt. Hujus rei gratia alius ex eis nec decretorium diem nec omnino judicium esse confirmat, alius judicium quidem esse quoddam, non tamen etiam dies decretorios concedit, tanquam ratione magis quam experientia decretorios dies et judicia invenire conveniat, vel quasi pejores existant illi qui per experientiam utraque se didicisse confitentur. Nobis sane qui post Herophilum, Xenophontem et Asclepiadem nati sumus, forsan in viros illos vel invidia, vel conten-

κία· τῷ πρώτως δ' ἀκριβῶς αὐτὰς ἐξευρόντι διὰ τῆς πείρας, ὡς τὰ τῶν ἐπιδημιῶν ἐνδείκνυται γράμματα, πόθεν ἂν ἐπῆλθε τὸ προγνῶναί τινας ἔσεσθαι ἐξ ὑστέρου τοιούτους σοφιστάς; οὐδὲ γὰρ ἐν τοῖς καθ' Ἱπποκράτην χρόνοις ἦσάν πώ τινες ὅμοιοι τούτοις, ἀλλ' ἕκαστος ἐκείνων ἐξευρεῖν τι καὶ συντελεῖν εἰς τὴν τέχνην ἔσπευδεν, οὐ λυμαίνεσθαι τοῖς ὀρθῶς εὑρημένοις. καὶ μὴν καὶ τοὺς ἐμπειρικοὺς ὀνομαζομένους ἰατροὺς ἔστι μὲν ἰδεῖν ὥσπερ τινὰς κοινοὺς ἐχθροὺς τῶν δογματιζόντων ἁπάντων ἐπιτηροῦντας ὃ καταμέμψονται, μὴ μέντοι μήτε κρισίμους ἡμέρας μήτε κρίσεις ἀναιροῦντας, ἀλλ' ὡς ἂν καὶ ἄλλο τι τῶν ἐναργεστάτων καὶ ταῦτα ἄμφω τιθέντας. ἅλις ἤδη μοι σοφιστῶν ληρούντων.

Κεφ. η'. Ἀλλ' ἐπὶ τὰ συνεχῆ τῶν εἰρημένων αὖθις ἐπάνειμι, πρότερόν γε κεφαλαιώσας εἰς ἓν ἅπαντα τὰ προειρημένα. κρίσιμος μὲν γὰρ ἰσχυροτάτη πασῶν ἡ ζ. προδηλοῖ δ' αὐτὴν ἡ τετάρτη δύο ταῦτ' ἔχουσα, τό τε κρίσιμος εἶναι μακροτέρα καὶ τὸ τῆς ἑβδόμης ἐπίδηλος. ἐφεξῆς δ' ἑνδεκάτη

tio quaedam effe poffit. Sed quaefo undenam in mentem venit ei, qui primo accurate ipfos per experientiam invenerit, quemadmodum epidemiorum libri teftantur, ut praecognofceret fophiftas tales quosdam in pofterum futuros, quum nondum ulli his fimiles Hippocratis temporibus extiterint, verum finguli pro viribus artem juvare invenireque aliquid, non depravare recte inventa ftuderent? Quinetiam medicos, qui ab experientia empirici nominantur, videre licet tanquam communes quosdam omnium dogmaticorum hoftes, inquirentes quod mentiantur, non tamen aut decretorios dies, aut judicia tollentes, fed veluti et aliud quippiam maxime evidens, haec quoque ambo ftatuentes. Satis mihi jam eft de fophiftis nugantibus.

Cap. VIII. Quin magis ad dictorum cohaerentiam denuo revertor, prius univerfis quae praediximus in fummam unam redactis. Decretorius itaque fortiffimus omnium eft dies feptimus, praenunciat eum dies quartus haec duo habens, ut decretorius minor fit et feptimi index. Deinde undeci-

τε καὶ ιδ', τὴν αὐτὴν ἀναλογίαν τε καὶ φύσιν ἀποσώζουσαι πρὸς ἀλλήλας ἥνπερ ἡ δ' πρὸς τὴν ζ, κἄπειθ' ἑξῆς πολλάκις μὲν ἡ ιζ πρὸς τὴν κ', ὀλιγάκις δὲ ἡ ιη' πρὸς τὴν κα' [486] τὸν αὐτὸν ἔχει λόγον ὅνπερ ἡ τετάρτη πρὸς τὴν ἑβδόμην καὶ ἡ ιά πρὸς τὴν ιδ'. αὗται μὲν οὖν, ὡς Ἱπποκράτης ἔλεγε, διὰ τεσσάρων εἰς τὴν κ' ἐκ προσθέσιος ἀφικνέονται, παρεμπίπτουσι δ' αὐταῖς ἐννάτη καὶ πέμπτη καὶ τρίτη, πλείστους μὲν ἡ θ' κρίνουσα, δευτέραν δὲ ἔχουσα δύναμιν ἡ ε', καὶ μετὰ ταύτην ἡ γ'. περὶ δὲ τῆς στ' εἴρηταί μοι καὶ πρόσθεν ὡς κακὴ κρίσιμός ἐστιν. ἡ μέντοι τρισκαιδεκάτη πασῶν μὲν τῶν κρινουσῶν ἀσθενεστάτη, πασῶν δὲ τῶν μὴ κρινουσῶν ἰσχυροτάτη, καθάπερ ἐν μεθορίῳ τινὶ τεταγμένη τῆς ἑκατέρων δυνάμεως. ἀγωνιστικώταται μὲν οὖν κρίσεις, ὡς καὶ πρόσθεν εἶπον, αἱ μέχρι τῆς ιδ' ἡμέρας, ἧττον δὲ αὐτῶν αἱ μέχρι τῆς κ'. ἐντεῦθεν δ' ἄχρι τῆς μ' ἔτι δὴ καὶ μᾶλλον ἐκλύεται τὸ σφοδρὸν, ἀπ' ἐκείνης δὲ (441) τελέως ἔκλυτος γίνεται.

Κεφ. θ'. Ἡ δ' ἀναλογία τῶν κρινουσῶν ἡμερῶν ἄχρι

mus et xiv eandem proportionem et naturam invicem confervant quam cum feptimo quartus. Deinde frequentes quidem decimusfeptimus ad vigefimum, raro autem decimusoctavus ad vigefimumprimum eandem rationem habet quam cum feptimo quartus et undecimus cum decimoquarto. Hi ergo, ut Hippocrates dixit, per quatuor aucti ad viginti perveniunt. Coincidunt eis nonus, quintus et tertius. Plurimos quidem nonus judicat, fecundam vim obtinet quintus et poft hunc tertius. De fexto prius diximus ut malo decretorio. Decimustertius certe omnium decretoriorum imbecillimus, omnium vero qui non decernunt fortiffimus, tanquam in medio quodam utrorumque virtutis fitus. Cum vehementiffima itaque pugna funt crifes, ficut etiam antea diximus, quae usque ad decimumquartum diem veniunt, cum minori quae ad vigefimum usque pertingunt, inde usque ad quadragefimum adhuc etiam magis earum vehementia exolvitur, ab illo autem die perfecte exoluta redditur.

Cap. IX. Proportio autem dierum decretoriorum

παντὸς διαφυλάττεται. καθάπερ γὰρ ἡ ιδ' καὶ πέρας ἐστὶ τῆς δευτέρας ἑβδομάδος καὶ ἀρχὴ τῆς γ', οὕτω καὶ ἡ λδ' πέρας θ' ἅμα τῆς πέμπτης ἐστὶ καὶ ἀρχὴ τῆς στ', ὥστε ἀεὶ τὰς τρεῖς ἑβδομάδας εἴκοσιν ἡμέραις περιγράφεσθαι, καὶ διὰ τοῦτο τὴν ξ', ὡς καὶ πρόσθεν ἔφαμεν, οὐ τὴν ξγ' γενέσθαι κρίσιμον· ὡσαύτως δὲ καὶ τὴν π' τε καὶ ρκ'. ὡς γὰρ τὸ τῶν κρίσεων ἀγωνιστικὸν ἐκλύεσθαι κατὰ βραχὺ τοῦ χρόνου προϊόντος, οὕτω καὶ τὰς ἀσθενεῖς κρισίμους ἀμαυροῦσθαι καὶ τελέως συμπίπτειν· μόνας δ' ἄχρι παντὸς διαρκεῖν ὅσαι περιγράφουσι τελείαν περίοδον ἀριθμῶν κρισίμων. ἔοικε δ', ὅσα γε διὰ τῆς πείρας ἔνεστι μαθεῖν, πρώτη περίοδος τελεία ἡ τῶν εἴκοσιν ἡμερῶν ὑπάρχειν. εἰ μὲν γὰρ ἀεὶ κατὰ διάζευξιν ὁ τῆς ζ' ἀριθμὸς προὐχώρει, καθάπερ ἐπὶ τῶν πρώτων ἔχει δυοῖν, ἦν ἂν οὕτω γε καὶ αὐτὴ ἡ ζ' τελεία πρώτη περίοδος. ἐπεὶ δ' ἡ μὲν δευτέρα τῆς πρώτης διέζευκται, συνῆπται δ' ἡ τρίτη τῇ β', δῆλον ὡς οὐκ ἔτι φυλάττεται μετὰ τὴν ιδ' ἡμέραν ἡ ἐξ ἀρχῆς ἀναλογία. μετὰ μέντοι τὴν κ' ἡ αὐτὴ τῶν περιόδων τάξις ἄχρι παντὸς

perpetuo ſervatur. Ut enim decimusquartus et ſecundae ſeptimanae finis eſt et tertiae principium, ita trigeſimusquartus quintae terminus eſt ſimul et ſextae initium. Quare tres ſeptimanae viginti diebus ſemper deſcribuntur, ideoque ſexageſimus, uti prius declaratum eſt, non ſexageſimustertius decretorius fiet. Pari modo octogeſimus et centeſimus vigeſimus. Ut enim judiciorum vehementia paulatim procedente tempore exolvitur, ita et imbecilles decretorios obſcurari plane accidit, ſolos autem ſemper perſiſtere qui perfectum decretoriorum numerorum circuitum deſcribunt. Videtur autem, ut per experientiam licet condiſcere, circuitus perfectus eſſe qui viginti diebus conſtat. Si etenim ſemper per conjugationem ſeptimi numerus procederet, ut in primis duobus habet, eſſet hac quoque ratione hic ſeptimus perfectus primus circuitus. Quoniam vero ſecundus a primo disjunctus eſt et tertius ſecundo cohaeret, liquet proportionem quae ab initio ſtatuebatur, non adhuc poſt decimumquartum diem conſervari, attamen poſt vigeſimum diem idem circuituum ordo perpetuo conſiſtit. Reſpondebit ergo

διαμένει, τῆς μὲν λδ' ἀνάλογον τῇ τεσσαρεσκαιδεκάτῃ γενομένης ἐκ δυοῖν ἑβδομάδων διεζευγμένων, τῆς δ' αὖ τεσσαρακοστῆς ἀνάλογον τῇ κ' τὴν τρίτην ἑβδομάδα τὴν συνημμένην πληρούσης. τοῦτ' οὖν αὐτὸ διδάσκων ἡμᾶς Ἱπποκράτης ἐν τῷ προγνωστικῷ μετὰ τὸ περὶ τῆς εἰκοστῆς ἡμέρας διελθεῖν ἐφεξῆς ἐρεῖ· μετὰ δὲ ταύτας ἐν τῷ αὐτέῳ τρόπῳ καὶ κατὰ τὸν αὐτὸν κόσμον ἡ πρώτη διὰ τεσσάρων καὶ τριάκονθ' ἡμερῶν. πρώτην γὰρ εἶπε μετὰ τὴν εἰκοστὴν ἡμέραν εἶναι τὴν λδ' ὡς περίοδον, οὐχ ὡς ἡμέραν κρίσιμον, ἐπεὶ καὶ κδ' καὶ κζ' καὶ τὴν λα' μετὰ τὴν εἰκοστήν ἐστι κρίσιμος. ἀλλ' ἐπειδὴ περί τε τῶν μικροτέρων περιόδων, αἳ δὴ τετράδες εἰσὶν, αὐτάρκως ἐδίδαξεν καὶ περὶ τῶν ἑβδομάδων αὐτῶν ἱκανῶς διεξῆλθεν, εὐθὺς ἐβουλήθη ἑξῆς τὰς ὑπολοίπους δύο περιόδους ἐπιδιδάξαι, τήν τε ἐκ τῶν δύο ἑβδομάδων συγκειμένην καὶ τὴν ἐκ τῶν τριῶν, ἀλλὰ τὴν μὲν ἐκ τῶν δύο οἷον ἡμιτελῆ τινα, τὴν δ' ἐκ τῶν τριῶν ἀκριβῶς τελείαν. εἴ γε δὴ καὶ τὴν τεσσαρακοστὴν καὶ τὴν ξ' καὶ τὴν π' καὶ τὴν ρκ' ἐκ τῆς εἰκοστῆς πολλαπλασιαζομένης γίνεσθαι συμβέβηκε. τοῦτο οὖν αὐτὸ καὶ οὐκ ἄλλο

trigeſimusquartus decimoquarto, quippe qui ex duabus ſeptimanis disjunctis fiat, et quadrageſimus vigeſimo, ut qui tertiam hebdomadem conjunctam expleat. Quare hoc ipſum Hippocrates nos docens in prognoſtico, ubi de vigeſimo die verba fecerit, deinceps inquit: Poſt *hos eadem ratione eademque additione primus ad quatuor et triginta dies pervenit.* Primum enim dixit trigeſimumquartum poſt vigeſimum, ut circuitum, non ut diem decretorium, quoniam et vigeſimusquartus et vigeſimusſeptimus et trigeſimusprimus poſt vigeſimum eſt decretorius. Sed quoniam de minoribus periodis, ſunt autem quaternarii, abunde ſatis docuit, ad haec ſeptimanas ipſas expoſuit, reliquos ſtatim duos circuitus voluit ſimul doctrinae cauſa adjicere, nempe et ex duabus ſeptimanis compoſitum et illum qui tribus conſtat, verum qui duas continet, velut imperfectum quendam, qui tres, exacte perfectum. Siquidem jam quadrageſimum, ſexageſimum, octogeſimum, centeſimum vigeſimum ex vigeſimo ſaepius aucto fieri contingit. Hoc igitur ipſum et non aliud

γνώρισμα τελείας ἐστὶ περιόδου, ἤτοι συντεθειμένης ἀεὶ καὶ πολυπλασιαζομένης αὐτῆς ἐφ᾽ ἑαυτὴν, ἄλλης μηκέτι δεῖσθαι περιόδου. [487] καὶ μὴν οὐδεμιᾷ τῶν πρὸ τῆς εἰκοστῆς ὑπάρχει τοῦτο. ἥ τε γὰρ ζ εἴπερ ἑαυτὴν ἐπολυπλασίαζε διὰ παντὸς, εἴς τε τὴν εἰκοστὴν πρώτην ἂν ἐξέπιπτε καὶ τὴν κη' καὶ τὴν λε' καὶ τὴν μβ', ἡ τεσσαρεσκαιδεκάτη τήν τε κη' ὡσαύτως ἂν ἐποίει καὶ τὴν μβ'. ἀλλὰ καὶ ἡ τετρὰς, καὶ ἥδε, εἰ τὴν σύνθεσιν αὐτῆς πρὸς ἑαυτὴν ἂν ἐποιεῖτο, τὴν ὀγδόην ἂν ἀπειργάσατο καὶ τὴν ιβ' καὶ ιστ' ἰσχυρὰς κρισίμους, ὥστ᾽ αὐτὴ μὲν ἡ τετάρτη ἐναργῶς οὐδὲ περίοδός ἐστιν, ἀλλ᾽ οἷον ἥμισυ περιόδου. τῆς γὰρ ἑβδομάδος διχῇ τμηθείσης ἡ τετάρτη δεξαμένη τὴν τομὴν πέρας μέν ἐστι τῆς πρώτης τετράδος, ἀρχὴ δὲ τῆς δευτέρας ἐγένετο. τάχα δ᾽ ἂν ἡ ἑβδομὰς αὕτη δόξειεν ἤδη τελεία περίοδος ὑπάρχειν. οὐ γὰρ δὴ κἀπὶ ταύτης γε τὴν ἑβδόμην ἡμέραν ἀρχὴν τῆς δευτέρας ἑβδομάδος εἶναι συμβέβηκεν. οὕτω γὰρ ἂν εἰς τὴν τρισκαιδεκάτην, οὐκ εἰς τὴν ιδ' ἐνέπιπτε τὸ τέλος αὐτῆς. ἀλλ᾽ ἐπεὶ πάλιν ἡ ιδ' πέρας θ᾽ ἅμα τῆς δευτέρας ἑβδομάδος ἀρχή τε τῆς τρίτης ἐστὶν, οὐκέτ᾽ ἂν οὕτως γε τελεία πε-

perfecti circuitus est indicium, vel compositi semper et saepius in se aucti, quod alium non magis requirat. Atqui nec unus eorum qui vigesimum praecedunt, hoc obtinet; nam septimus si per se semper auctus sit, ad vigesimumque primum, vigesimum octavum et trigesimumquintum et quadragesimumsecundum excideret, decimusquartus pari modo vigesimumoctavum faceret et quadragesimumsecundum. Sed et ipse quaternarius, si ejus compositionem in se faceret, octavum, duodecimum et decimum sextum sortes decretorios efficeret. Quapropter ipse quartus ne periodus quidem evidenter est, sed periodi velut dimidium; etenim septimana dupliciter divisa quartus sectionem accipiens primi quaternarii terminus est, secundi initium. Forsan quis septimanam hanc jam perfectum circuitum esse putaverit, non enim et in hac septimum diem secundae septimanae initium esse contingit; sic enim ad decimumtertium, non decimumquartum, terminus ejus perveniret. Sed quum rursus decimusquartus terminus simul secundae septimanae et tertiae princi-

ρίοδος ἡ ἑβδομὰς ὑπάρχῃ. δὶς μὲν γὰρ ἑαυτὴν ἐπολυπλασίαζε, τὸ τρίτον δὲ οὐκ ἠδυνήθη. καὶ μὴν εἰ διὰ μὲν τὰς δύο τὰς πρώτας ἑβδομάδας ἐν διαζεύξει γενομένας ὁλόκληρόν τινα περίοδον ὑπολαμβάνειν χρὴ τὴν ἑβδομάδα, διὰ δὲ τὴν γ' συναφθεῖσαν οὐκέθ' ὁλόκληρον, ἤτοι τελείως εἰς ἀπορίαν καταστῆναι ἀνάγκη τὸν λόγον ἢ τὴν ἑβδομάδα πρώτην γέ τινα τῇ τάξει καὶ ἁπλῆν περίοδον ἡγητέον εἶναι, τὴν δὲ ἐκ τῶν κ' ἡμερῶν συγκειμένην δευτέραν τε ἅμα καὶ σύνθετον καὶ τελείαν.

Κεφ. ι'. Ἅπτεται δή πως οὗτος ὁ λόγος τοῦ σκοπεῖσθαι, τίς τούτων ἐστὶ τῶν ἡμερῶν ἡ κρίνουσα τὰς ὀξείας νόσους. Ἱπποκράτους γὰρ εἰπόντος ἐν ἀφορισμοῖς, τὰ ὀξέα τῶν νοσημάτων κρίνεται ἐν ιδ' ἡμέρῃσιν, ἀφορμὴν ἐντεῦθεν ἐσχήκασιν οἱ σοφισταὶ λήρων μακρῶν, ὧν ἁπάντων χωρὶς οἷόν τέ ἐστι καὶ προγνῶναι τὰς μελλούσας ἔσεσθαι κρίσεις καὶ δοκιμάσαι τὰς ἤδη γεγενημένας. εἰ γὰρ εἰκοσταῖον εἰ τύχοι προγνοὺς, κριθήσεσθαι τὸ νόσημα τὴν δίαιταν ὁμολογοῦσαν αὐτῷ

pium fit, non adhuc perfectus circuitus feptimana fic fuerit, bis enim fe ipfum multiplicavit, ter non potuit. Atqui fi propter duas priores hebdomadas ex disjunctione factas, integrum quendam circuitum putare feptimanam convenit, propter tertiam vero conjunctam, non etiam integrum, vel omnino in dubitationem fermonem incidere neceffe eft, vel feptimanam primum quendam ordine et fimplicem circuitum putandam effe, qui vero ex viginti diebus componitur, fecundum fimul et compofitum et perfectum.

Cap. X. Monet jam hic fermo nos confiderare, quis horum dierum de acutis morbis decernat. Quum enim Hippocrates in aphorismis *acutos morbos in quatuordecim diebus judicari dicat,* magnam inde nugandi occafionem fophiftae arripuerunt; atqui fine illorum nugis omnibus et judicia omnia praefagire et jam facta explorare potes. Nam fi morbum exempli gratia vigefimo die judicandum effe perfagiens, victus rationem ei congruam inftituas, magnum

Ed. Chart. VIII. [487.] Ed. Baf. III. (441.)

συστήσαιο, μέγιστα μὲν ἂν ὠφελήσῃς τὸν κάμνοντα, καλεῖν δ' ἐξέσται σοι καὶ ὀξὺ καὶ χρόνιον αὐτὸ, μηδεμιᾶς ὠφελείας ἢ βλάβης ἐκ τῆς προσηγορίας εἰς τὸν νοσοῦντα γινομένης. ἔστω γὰρ ὀξὺ καλεῖσθαι τὸ τοιοῦτον νόσημα, πάντων ὀρθῶς τῶν κατὰ τὴν δίαιταν ἐπὶ τοῦ κάμνοντος γεγενημένων· τί παρὰ τοῦτο χεῖρον, ἢ βέλτιον ἔσται; πάλιν οὖν εἰ βούλει, χρόνιον αὐτὸ προσαγόρευσον, ἵν' εἰδῇς ὅτι μηδὲν ἐκ τούτου βελτίων, ἢ χείρων ὁ κάμνων γίνεται. καθάπερ οὖν καὶ ἄλλα πολλὰ περὶ ὀνομάτων ἐρίζοντες οἱ σοφισταὶ τῶν μανθανόντων κατατρίβουσι τὸν χρόνον, οὕτω κἀν τῷ περὶ τῶν ὀξέων καὶ χρονίων διορίζεσθαι. εἰ γὰρ δεῖ τἀληθὲς εἰπεῖν, οὐ δύο μόνας οἴεσθαι χρὴ νοσημάτων διαφορὰς, ἀλλὰ πάνυ πολλὰς, εἴ γε καὶ τεταρταῖος πυρετὸς εἰς ἐτῶν ἀριθμὸν ἐξέπεσε τοσοῦτον, ἐν ὅσαις ἡμέραις ἕτερος ἐκρίθη καί τις ἄλλη νόσος εἰς μῆνας ἐξικνεῖται πολλούς. αὕτη μὲν οὖν ἡ πρώτη διαφορὰ τριττὴ, τῶν μὲν ἐν ἡμέραις, τῶν δὲ ἐν μησὶν, τῶν δὲ ἐν ἔτεσιν ὅλοις κρινομένων. κατὰ μέρος δὲ πάλιν ἐν μὲν τοῖς εἰς μῆνας ἐκπίπτουσι νοσήμασιν οὐχ ὅμοιον δήπουθέν ἐστι δυοῖν μη-

aegro praesidium adferes. Licebit autem tibi et acutum et diuturnum ipsum vocare, quum nulla vel commoditas, vel offensa ex appellatione aegro adveniat. Fingamus enim acutum hujusmodi morbum vocari, omnibus quae ad victum aegri pertinent, recte administratis, quid inde pejus, vel melius erit? Rursus diuturnum ipsum, si placet, appella, ut nihil ex hoc, vel juvari, vel offendi aegrum intelligas. Quemadmodum igitur et in aliis pluribus sophistae de nominibus contendentes dissentiunt tempusque discentium conterunt, sic quoque in acutorum longorumque morborum distinctione. Nam si verum fateri oportet, non duae tantum morborum differentiae, sed permultae admodum putandae sunt, si quidem quartana febris in tot annos incidit, quot alia diebus judicata est, ad haec alius quidam morbus in menses multos duravit. Haec igitur prima differentia triplex; partim enim morbi diebus, partim mensibus, partim annis totis judicantur. Membratim rursus in morbis, qui ad menses perveniunt, non simile existit, duorum videlicet

νῶν γενέσθαι τὴν λύσιν ἢ ἑπτά. οὕτω δὲ κἀπειδὰν ἡμερῶν, ἢ ἐτῶν ἀριθμῷ λύεται τὰ νοσήματα, παμπόλλη διαφορά. τί γὰρ ὅμοιον [488] ἢ τριταῖον, ἢ εἰκοσταῖον κριθῆναι, τί δ' ὅμοιον εἰκοσταῖον, ἢ μ'; εἰ μὲν δὴ τὴν φυσικὴν αὐτῶν ἐθέλεις ἐξευρίσκειν διαφορὰν, ὅσαι περ αἱ τῶν κρινουσῶν ἡμερῶν εἰσι περίοδοι, τοσαύτας ἀναγκαῖον ἔσται σοι ποιεῖσθαι καὶ τὰς νόσους. ἑτέρας μὲν οὖν φύσεως ὑποθεμένῳ, ὥσπερ οὖν δὴ καὶ ἔστιν ἑτέρας τὸ μὴ δυνάμενον ὑπερβαλεῖν τὴν πρώτην τετράδα, ἑτέρας δὲ τὸ τὴν ζ' μὴ ὑπερβαῖνον, οὕτω δὲ καὶ τῆς ια' καὶ τῆς ιδ' καὶ τῆς ιζ' καὶ τῆς κ' ἁπασῶν τε τῶν ἐφεξῆς κρισίμων ἴδιον ἑκάστης ἡγήσασθαι νόσημα.

Κεφ. ια'. Πρὸς μέντοι τὴν διδασκαλίαν ἄμεινον ἐν μείζοσιν ὅροις αὐτὰ περιλαμβάνειν, ὅπως μὴ πάμπολλα γίνοιντο· μὴ μέντοι μηδὲ πάλιν οὕτω μακροῖς ὡς ἐφεξῆς ἀλλήλων τάττειν τὰ πάμπολυ διαφέροντα, ὅθεν οὐδὲ τοὺς δύο τὰ πάντα τῶν νοσημάτων εἴδη τιθεμένους, εἶτ' ἄτμητον αὐτῶν ἑκάτερον φυλάττοντας ἐπαινῶν, οὔτε τοὺς τοσαύτην εἶ-

menfium, vel feptem folutionem fieri. Ita quum dierum, vel annorum numero morbi folvuntur, permagnum difcrimen exiftit. Quid enim fimilitudinis vel tertio, vel vigefimo die judicinm fubiiffe, itidem vigefimo, vel quadragefimo? Jam vero fi naturalem ipforum differentiam invenire moliaris, quot dierum decretoriorum circuitus funt, tot quoque morbi ftatuendi erunt. Itaque fi alterius naturae effe dicas, quemadmodum fane eft, non poffe primum quaternarium fuperare, alterius, feptimum non excedere, ita et undecimi, decimiquarti, decimifeptimi, vigefimi, omniumque deinceps decretoriorum proprius cujusque morbus exiftimandus eft.

Cap. XI. Praeftat tamen doctrinae gratia majoribus eos terminis comprehendere, ne plurimi fiant, verum non ita magis rurfus, ut multum differentes inter fe mutuo collocentur. Unde nec eos laudo qui duas univerfas morborum fpecies ponunt, neque utramque deinde dividunt, nec illos probo qui tot effe dicunt quot dierum decretoriorum

ναι λέγοντας ὅσαι περ αἱ τῶν κρινουσῶν ἡμερῶν εἰσι περίοδοι. τίς ἂν οὖν ἡ ἀρίστη διδασκαλία γίνοιτο καὶ μάλιστα τῇ χρείᾳ τῆς τέχνης ἐπιτήδειος; εἴ τις τῶν σοφιστῶν ἰατρῶν ἐπιχειρήσειεν ἰατρεύειν ἐπιμελῶς, ἐάσας τὸν ὑψηλὸν ἐκεῖνον θρόνον ἐφ᾽ οὗ καθεζόμενος ὥσπερ τις μέγας βασιλεὺς ἐπιτρίβει τὰ μειράκια, τοῦτον εὖ οἶδ᾽ ὅτι πρὸς αὐτοῦ τοῦ πράγματος ἐκδιδαχθήσεται τὸ χρήσιμον. ὥσπερ οὖν καὶ ὁ πάντα θαυμαστὸς Ἱπποκράτης ἀπὸ τῶν ἐναργῶν αὐτῶν ὁρμώμενος ποτὲ μὲν οὕτω γράφει· ὅκου μὲν κάτοξυ τὸ νόσημα, (442) αὐτίκα καὶ τοὺς ἐσχάτους ἔχει πόνους καὶ τῇ ἐσχάτως λεπτοτάτῃ διαίτῃ ἀναγκαῖον χρέεσθαι· ποτὲ δ᾽ οὕτω· τὰ ὀξέα τῶν νοσημάτων κρίνεται ἐν τεσσαρεσκαίδεκα ἡμέρῃσιν. εἶτ᾽ αὖθις· αὗται μὲν οὖν διὰ τεσσάρων εἰς τὰς κ΄ ἐκ προσθέσιος ἀφικνέονται. εἶτ᾽ αὖθις δὲ πάλιν· εὔπνοιαν δὲ χρὴ νομίζειν κάρτα μεγάλην δύναμιν ἔχειν εἰς σωτηρίην ἐν πᾶσι τοῖσιν ὀξέσι νοσήμασιν, ὁκόσα σὺν πυρετοῖς ἐστι καὶ ἐν μ΄ ἡμέρῃσι κρίνεται. καὶ μὲν δὴ καὶ τῆς ξ΄ καὶ τῆς π΄ καὶ τῆς ρκ΄ αὖθις μέμνηται καὶ ταύτας πάλιν καταλιπὼν τὰς μὲν θερινὰς νόσους χειμῶνος λύε-

cirtuitus. Quae igitur praeftantiffima doctrina fuerit, maximeque artis ufui idonea? puta fiquis fophiftarum medicorum accurate medicinam tractare conetur, fublimi illa fede relicta; in qua magni regis cujuspiam inftar fedens adolefcentes moratur, hunc fatis novi ex ipfa re utilitatem edoctum iri. Sicut igitur et Hippocrates in omnibus admirandus ab ipfis evidentibus fermonem capiens haec aliquando fcribit: *Ubi peracutus morbus eft, ftatim etiam labores extremi adfunt et extreme tenuiffimo victu utendum eft.* Interdum ita fcribit: *Acuti morbi quatuordecim diebus judicantur.* Deinde rurfus: *Hi ergo per quatuor aucti ad viginti perveniunt.* Iterum poftea: Spirandi facilitas maximam vim ad falutem habere exiftimanda eft in omnibus morbis acutis, quibus febris copulatur, quique quadraginta diebus judicantur. Quin etiam fexagefimi, octogefimi et centefimi vigefimi rurfus meminit; atque his denuo relictis aeftatis morbos hieme folvi ait, hibernos aeftate. Quin et hoc modo inquit: *Plurimi puerorum affectus diebus qua-*

σθαί φησι, τὰς δὲ χειμερινὰς θέρους. λέγει δὲ καὶ οὕτως· τὰ δὲ πλεῖστα τοῖσι παιδίοισι πάθεα κρίνεται μὲν ἐν μ' ἡμέρῃσι, τὰ δὲ ἐν ἑπτὰ μησὶ, τὰ δὲ ἐν ἑπτὰ ἔτεσι τὰ δὲ πρὸς τὴν ἥβην προσάγουσιν αὗται πᾶσαι πρός τε διδασκαλίαν ἅμα σαφῆ καὶ πρὸς τὴν τῶν ἀῤῥώστων χρείαν ἱκανῶς ὠφέλιμοι διαφοραί. καὶ γὰρ οὖν καὶ τὸ τῆς διαίτης εἶδος ἕτερος ἐφ' ἑκάστης ἐστίν. γνοίης δ' ἂν μάλιστα τὸν αὐτὸν ἄῤῥωστον ἐν ἁπάσαις αὐταῖς ἐξ ὑποθέσεως ὑποβαλὼν τῷ λόγῳ. νεανίσκος δή τις ἰσχυρὸς ἑαλωκέτω νοσήματι κατὰ τὴν πρώτην τετράδα κριθήσεσθαι μέλλοντι, τὸν ἀφορισμὸν ἐπὶ τούτου μάλιστα προχειρισάμενος ἐκεῖνον. ὅκου μὲν οὖν κάτοξυ τὸ νόσημα αὐτίκα καὶ τοὺς ἐσχάτους πόνους ἔχει καὶ τῇ ἐσχάτως λεπτοτάτῃ διαίτῃ ἀναγκαῖον χρέεσθαι, μήτε τροφήν τινα δῷς τούτῳ μήτε μελίκρατον ἢ ἄλλο τι τοιοῦτον, ἀλλὰ καὶ τοῦ ὕδατος ὅσον οἷόν τε φείδεσθαι κέλευε. τὸν αὐτὸν τοῦτον νεανίσκον ὑποθέμενος ἑβδομαῖον κριθήσεσθαι, βραχύ τι τῆς προειρημένης διαίτης ὑπάλλαξον, ἤτοι μελίκρατον διδοὺς ἤ τι τοιοῦτον ἕτερον πόμα τῇ φύσει τοῦ νοσήματος οἰκεῖον, ὡς Ἱπποκράτης ἐδίδαξε. προσδιοριεῖς δὲ καὶ ταῦτα τὰ μὲν αὐτὸς ἀπό τινων

draginta judicantur, quidam ſeptem menſibus, aliqui ſeptem annis, nonnulli ad pubertatem usque perveniunt. Hae omnes ad doctrinam ſimul clariorem et aegrorum uſum admodum utiles ſunt differentiae; etenim ſua cujusque victus ſpecies eſt. Cognoveris autem maxime aegrum ipſum in his omnibus, ſi hypotheſin ſermoni adjecero. Adoleſcens ergo quis valido morbo correptus ſit, qui in primo quaternario judicabitur, aphorismum in hoc maxime illum imitandum puta: *Quum peracutus morbus fuerit, ſtatim etiam extremi dolores adſunt et extreme tenuiſſimo omnium victu utendum eſt, neque alimentum quodvis huic adhibueris, nec melicratum aut huic ſimile, imo etiam ab aqua quantum poteſt, abſtinere jubeto.* Hunc ipſum adoleſcentem, ubi ſeptimo die criſim habiturum ſtatueris, paululum praedictam victus rationem immuta, vel mulſam exhibens, vel aliam hujusmodi quandam potionem morbi naturae familiarem, ut Hippocrates praecepit. Ipſe autem et haec invo-

σημείων, οἷον κράσεως, ἔθους καὶ ἡλικίας ἀνευρίσκων, ἔνια δὲ καὶ τοῦ νοσοῦντος ἀναπυνθανόμενος, εἰ στόμαχον ἰσχυρὸν ἔχει μακρὰς ἀσιτίας φέρειν δυνάμενον, ἢ κακούμενον ἑτοίμως καὶ ῥᾳδίως διαλυό[489]μενον. οὕτω δὲ καὶ τὴν ἕξιν ἐπισκοπῶν τἀνθρώπου τὰ μὲν αὐτὸς ἐξ ὧν ἔμαθες ἐν τοῖς περὶ κράσεων ἐξευρίσκων, ἔνια δὲ καὶ τοῦ νοσοῦντος ἀναπυνθανόμενος. εἰσὶ γάρ τινες ἱκανῶς εὐδιαφόρητοι καὶ διὰ τοῦτο μακροτέρας ἀσιτίας οὐ φέρουσιν, οὐδ᾽ ἂν ἰσχυροὶ τὴν δύναμιν ἔμπροσθεν ὦσιν. εἰ δή σοί τι τοιοῦτον ἀνερωτῶντι καὶ αὐτῷ στοχαζομένῳ φαίνοιτο καὶ ῥᾳδίως μὲν ὁ κάμνων διαφοροῖτο, ῥᾳδίως δ᾽ ὁ στόμαχος αὐτοῦ πάσχοι, πτισάνης χυλὸν ἀκριβῶς διηθημένον ἑκάστης ἡμέρας ὀλίγον διδόναι καὶ μνημονεύων πάλιν ἐνταῦθα τοῦ πρὸς Ἱπποκράτους εἰρημένου, ὅσον ἕνεκα τοῦ ἔθους εἰσιέναι τι καὶ κεναγγείην μὴ γίνεσθαι πολλὴν, αὐτῆς δὲ ἑβδόμης ἐπιστάσης μηκέτι τρέφειν, ἀλλὰ πρὸ μιᾶς, ἢ πρόσθεν ἔλαττον διδόναι. καὶ γὰρ οὖν καὶ περὶ τούτων ἀκριβῶς ἡμᾶς ἐδίδαξεν ὁ παλαιὸς ἐν τῷ περὶ διαίτης ὀξέων. εἰ μέντοι τριταῖος ἢ τεταρταῖος ὁ τοιοῦτος νεανίσκος ἐλπίζοιτο κριθήσε-

nies partim a fignis quibusdam, velut temperamento, confuetudine et aetate, quaedam etiam aegrum interrogabis, an valido fit ventriculo, qui longam inediam ferre poffit, an cito offendatur et facile diffolvatur. Sic etiam habitum hominis confiderans, quaedam ipfe ex iis, quae in opere De temperamentis didicifti invenies, alia ex aegro rogando, funt enim quidam ad refolutionem faciles, atque ideo diuturniorem inediam non ferunt, licet viribus validi antea fuerint. Si jam tibi tale quippiam interroganti et per te ipfum conjicienti appareat et aeger facile diffolvatur, facileque ftomachus ejus offendatur, ptifanae cremorem exacte percolatum quotidie modice exhibebis, memor rurfus hic ejus, quod Hippocrates dixit: *Sed aliquid tum confuetudinis gratia, tum etiam ne vaforum magna fiat inanitio, ingerere convenit.* At ubi feptimus dies inftet, nequaquam aegrum nutriri convenit, fed ante unum diem vel antea, minus exhibendum eft. Atque haec nos adamuffim fenex ille in opere de victus ratione in morbis acutis perdocuit. Si quidem

σθαι, μήτε τοῦ στομάχου τὴν κάκωσιν μήτε τῆς ἕξεως τὴν κένωσιν ὑπόπτευε. πρὸς μέντοι τῷ νέος ὑπάρχειν ἅμα καὶ ἰσχυρότατος εἶναι καὶ ῥᾳδίως ἀσιτιῶν ἀνέχεσθαι μακρῶν οὗτος ὁμολογήσει καὶ δυσδιαφόρητός σοι φαίνοιτο καὶ μηδὲν εἴη νόσημα νοσῶν τοιοῦτον ὡς ὀξυμέλιτος ἢ μελικράτου δεῖσθαι, τελέως ἀσιτεῖσθαι τοῦτον ἐγχωρεῖ μέχρι τῆς ζ΄· εἰ δ᾽ εἰς τὴν γ΄ ἢ δ΄ τετράδα κρίσιν ἔσεσθαι προσδοκήσειεν, οὐκέτ᾽ ἐγχωρεῖ τὸν τοιοῦτον οὔτ᾽ ἐπ᾽ ἀσιτίας φυλάττειν οὔτ᾽ ἐπὶ μόνου πόματος· ὥστε οὐ σμικρά τις ἡ μεταβολὴ τῆς διαίτης, οὔκουν οὐδὲ τῶν νοσημάτων ἡ διαφορὰ σμικρά.

Κεφ. ιβ΄. Καλείσθω δὴ τὸ μὲν ἄχρι τῆς ἑβδόμης ἐκτεινόμενον κάτοξυ, τὸ δὲ καὶ περαιτέρω που προϊὸν ἁπλῶς ὀξὺ, μεμνημένων ἡμῶν καὶ τῆς ἐν τῷ κατόξει διαφορᾶς. ἀκριβῶς μὲν γὰρ κάτοξυ τὸ μέχρι τῆς τετάρτης ἡμέρας, οὐκ ἀκριβῶς δὲ τὸ μέχρι τῆς ἑβδόμης ἐκτεινόμενον. οὕτω δὲ καὶ τῶν ὀξέων ἀκριβῶς μὲν ὀξὺ τὸ μέχρι τῆς τεσσαρεσκαιδεκάτης, οὐκ ἀκριβῶς δὲ τὸ μέχρι τῆς εἰκοστῆς, ὀξὺ μέντοι καὶ αὐτό. γένος

adolescenti tertio aut quarto die morbum judicatum iri spes sit, nullum stomachi vitium, aut habitus inanitionem suspicare. Ad haec si praeterquam quod juvenis sit, etiam validissimas vires habeat, longam facile inediam tolerare fateatur et aegre dissolvi tibi appareat, insuper nullus ejusmodi morbus adsit, ut oxymeli aut mulsam requirat, is omnino ad septimum usque diem a cibis abstinere potest. Quod si ad tertium, vel quartum quaternarium crisis futura videatur, non ita abstinere potest, nec sola potione servari. Quapropter non parva quaedam victus mutatio, nec morborum ideo exigua differentia.

Cap. XII. Vocetur jam peracutus morbus qui ad septimum usque diem extenditur, qui longius procedit, simpliciter acutus. At hic quoque differentiae in peracuto memoria tenendae sunt; etenim exacte peracutus is est, qui quartum diem attingit, non exacte, qui ad septimum usque producitur. Eadem ratione inter acutos alius exacte acutus, qui ad usque decimumquartum porrigitur; non exacte vero, qui ad vigesimum usque durat, quanquam et ipse acutus sit.

δ' ἄλλο νοσημάτων ἐπὶ τῷδε ἐκ μεταπτώσεως ὀξὺ μέχρι τῆς τεσσαρακοστῆς. καλεῖν γὰρ ἄμεινον οὕτως αὐτὸ, διότι τῶν ὀξέων τινὸς ἐλλιπῶς κριθέντος ἐντὸς τῆς εἰκοστῆς ἡμέρας, εἶτα θραυσθείσης τῆς σφοδρότητος, τὸ καταλειπόμενον ἐντὸς τῆς τεσσαρακοστῆς εἴωθε λύεσθαι. ἔνια δ' εὐθὺς ἐξ ἀρχῆς οἷον κωλυόμενά τε καὶ βραδέως κινούμενα καὶ μηδεμίαν ἀθρόαν ἐν τῷ μεταξὺ ποιησάμενα μεταβολὴν εἰς τὴν τεσσαρακοστὴν ἐκτείνεται. διττὴ δὲ καὶ τούτων ἡ φύσις· ἢ γὰρ εἰς ἀπυρεξίαν ἀκριβῆ τὰς παρακμὰς τῶν παροξυσμῶν ἔχει τελευτώσας, ἢ συνεχὴς ὁ πυρετὸς ἀεὶ διαμένει. τὰ μὲν δὴ τοιαῦτα τῆς τῶν ὀξέων φύσεως ἔχεσθαι δοκεῖ, τὰ δὲ ἕτερα σαφῶς ἐστιν ἤδη χρόνια. πολλαχῇ μὲν δὴ καὶ ἄλλοθι τὸν Ἀρχιγένην δίκαιον ἐπαινεῖν, οὐχ ἥκιστα δὲ καὶ ταύτην ἄν τις γνωρίσειεν αὐτοῦ τὴν περὶ τὰ τῆς τέχνης ἔργα σπουδὴν, ὅτι μὴ τοῖς χρόνοις μόνοις ψιλοῖς, ἀλλὰ καὶ τῇ κινήσει τε καὶ φύσει μᾶλλον ὀξὺ ἢ κάτοξυ προσαγορεύει νόσημα. τὸ γὰρ ἀργῶς τε καὶ βραδέως καὶ μετὰ διαλειμμάτων ἀπυρέτων ἕως τῆς μὲν τεσσαρακοστῆς ἐκτεινόμενον οὐκ ἄν τις εὖ φρονῶν ἔτι καλέσειεν ὀξὺ, φησί.

Adhuc aliud morborum genus, quod ex decidentia acutum, ad quadragefimum usque diem pervenit; fatius enim eft ita vocare ipfum, quod acuto quodam imperfecte judicato intra diem xx, deinde vehementia ejus obtufa, reliquum ejus intra xL diem folvi confuevit. Nonnulli autem ftatim ab initio velut prohibiti, tardeque moti et nullam interea fubitam mutationem moliti ad quadragefimum producuntur. Duplex autem horum quoque natura eft; vel enim acceffionum remiffiones in exactam integritatem finiunt, vel continua febris femper perdurat. Atque hujusmodi morbi de acutorum natura obtinere videntur; alii vero manifefto jam funt diuturni. Porro Archigenes multis nominibus et diverfis laudandus eft, maxime vero fi ftudium ejus artis tractandae medicae cognoveris, quoniam non temporibus folis nudis, fed et motu et natura magis acutum vel peracutum morbum appellaverit. Nam quum fegni lentoque motu cum intervallis a febre liberis ad quadragefimum usque extendi-

καὶ γὰρ εἰ θᾶττον τῆς μʹ παύοιτο τοιοῦτον ὑπάρχον, ἤδη χρόνιόν ἐστιν. ἕτερα δὲ νοσήματα βραχυχρόνια μὲν ὀνομάζει, δίκαιον δ᾽ εἶναί φησι μήτ᾽ ὀξέα μήτε χρόνια προσαγορεύεσθαι, [490] καθάπερ τοὺς μικροὺς τούτους καὶ ἀκινδύνους πυρετούς. οὗτοι γὰρ ὅτι μὲν οὐκ εἰσὶ χρόνιοι πρόδηλον, ἀποκεχωρήκασι μέντοι τῆς τῶν ὀξέων φύσεως. ὀξὺ γὰρ δὴ τοῦτ᾽ εἶναί φησιν ὃ ᾖ διὰ ταχέων κινδυνῶδες. ὁρᾷς οὖν ὅτι καὶ λύσεως ἐνίοτε τὴν αὐτὴν ἐχούσης προθεσμίαν ἢ ὀξὺ τὸ νόσημα καλέσομεν ἢ οὐκ ὀξύ. κατὰ δὲ τὸν αὐτὸν τρόπον ἐνίοτε τὸ μὲν ὀξὺ, τὸ δὲ χρόνιον, αὐτῇ τῇ κινήσει μόνῃ διορίζοντες. οἶδα γοῦν πολλοὺς ἕως τῆς τεσσαρακοστῆς ἡμέρας ἐν συνεχεῖ πυρετῷ γινομένους, οὕτω δὲ καλῶ δηλονότι τὸν μὴ παυόμενον εἰς ἀπυρεξίαν, ὥσθ᾽ ὅτι μὲν οὐκ ἦν χρόνιος ἡ τοιαύτη νόσος ἔχειν εἰπεῖν, οὐ μὴν οὐδ᾽ ἁπλῶς γ᾽ ὀξεῖαν αὐτὴν ὀνομάζειν εὔλογον. ἀλλὰ γὰρ ἐπειδὴ τά τ᾽ ἐκ μεταπτώσεως ὀξέα τῆς ἀκριβοῦς λύσεως ὅρον ἔχει τὸν ἐξωτάτω τὴν τεσσαρακοστὴν ἡμέραν, ἔνια δὲ διὰ παντὸς ἐν συνεχείᾳ πυρετοῦ μέχρι ταύτης

tur, nemo fanae mentis acutum, inquit, nominaverit; etenim fi ante XL ceffet, hujusmodi exiftens, jam diuturnus eft. Alios vero morbos breves quidem vocat, aequum autem effe dicit nec acutos nec diuturnos appellari; quemadmodum parvas has et a periculo remotas febres, quas non diuturnas effe nemo ignoret, etfi ab acutorum natura receffferint; nam acutum eum effe ait qui cum velocitate periculofus eft. Vides igitur nos, quum folutio interdum eandem temporis praefinitionem habet, vel acutum morbum, vel non acutum nuncupare; eodem modo quandoque alium acutum, alium diuturnum ipfo motu folo diftinguentes. Novi igitur complures ad quadragefimum usque diem continua febre conflictatos effe; ita voco eam, quae nunquam ad integritatem definit, ita ut hujusmodi morbum non fuiffe diuturnum dicere poffimus; non tamen fimpliciter acutum nominare ratio eft. Sed enim quoniam ex decidentia acuti exactae folutionis terminum habent longiffimum diem quadragefimum, nonnulli vero continua femper febre ad hunc

ἐξετάθη· κείσθω καὶ οὕτως ὁ χρόνος ἐνίοτε μὲν ἤδη χρονίων σαφῶς νοσημάτων, τῶν ἐχόντων διάλειμμα, ὡς ἔμπροσθεν εἶπον, ἐνίοτε δ᾽ ὀξέων εἶναι κριτικός. οὕτως οὖν ὁ Ἱπποκράτης ἔλεγεν ἐν τῷ προγνωστικῷ· εὔπνοιαν δὲ χρὴ νομίζειν κάρτα μεγάλην δύναμιν ἔχειν εἰς σωτηρίην ἐν πᾶσι τοῖσιν ὀξέσι νοσήμασιν ὁκόσα σὺν πυρετοῖς ἐστι καὶ ἐν τεσσαράκοντα ἡμέρῃσι κρίνεται· οὐ γὰρ ἁπλῶς ὀξέων εἶπε καίτοι δυνάμενος εἰπεῖν, ἀλλὰ μετὰ προσθήκης τοῦ ἐν τεσσαράκοντα ἡμέρῃσι κρίνεται, ὡς ὄντων τινῶν ὀξέων, ἃ τῆς παντελοῦς λύσεως ἕνεκα εἰς αὐτὴν ἐκτείνεται τὴν ἡμέραν. τὰ μὲν οὖν ἁπλῶς ὀξέα τῆς τεσσαρεσκαιδεκάτης οὐκ ἂν ἐξωτέρω προβαίη μὴ κριθέντα, τὰ δὲ εἰς μ᾽ ἐκπίπτοντα ποτὲ μὲν αὐτὰ τοιαῦτά ἐστι, τὰ ἐντὸς τῆς τεσσαρεσκαιδεκάτης ἐλλιπῶς κριθέντα, ποτὲ δὲ ὧν ὀλίγον ἔμπροσθεν ἐμνημόνευσα μὴ πάνυ τι πολλάκις γινόμενα. καὶ μὲν δὴ καὶ τρίτα τὰ σαφῶς ἤδη βραδέα τὰ τοῖς ὀξέσιν ἀντιδιαιρούμενα τὴν τεσσαρακοστὴν ἡμέραν ἔχει κρίσιμον. ἀλλὰ

usque extenfi funt, ponatur et hoc tempus aliquando jam diuturnorum manifesto affectuum, eorum, inquam, qui intervallum habent, ficut antea diximus, aliquando acutorum esse decretorium. Itaque Hippocrates in prognostico his verbis utitur: *Facilis autem spiratio in omnibus acutis morbis, quibus febris copulatur, quique intra quadraginta dies judicari solent, admodum magnum ad salutem momentum habere putanda est;* non enim fimpliciter acutis dixit, quamvis dicere potuisset, fed cum additione hac, nempe, *qui intra quadraginta dies judicari folent,* tanquam acuti quidam fint, qui perfectae folutionis gratia ad eum diem prolongentur. Acuti ergo fimpliciter, non utique ultra decimumquartum diem progrediantur non judicati. Qui vero in quadragefimum excidunt, interdum hi ipfi funt, qui intra decimumquartum diem imperfecte prius judicati fuerant; interdum, quorum paulo ante memini, non frequenter adeo evenientes; quinetiam tertium genus illorum eft, qui manifesto jam tardi, acutis oppofiti, quadragefimum diem habent decretorium. Sed de his paulo poft dicturi fu-

περὶ μὲν τούτων ὀλίγον ὕστερον ἐροῦμεν. ὅλον δὲ τὸ προειρημένον γένος (443) τῶν ἐκ μεταπτώσεως ὀξέων ὀνομαζέσθω. δέδεικται μὲν οὖν ἡμῖν καὶ δι᾽ ἑτέρων καὶ μάλιστα ἐν τῷ τρίτῳ τῶν περὶ δυσπνοίας ὡς ἐν τῷ προγνωστικῷ γράμματι περί τε τῶν ἁπλῶς ὀξέων διαλέγεται καὶ προσέτι τῶν ἐκ μεταπτώσεως ἐκείνων ἀποτελουμένων. ὅταν οὖν ἐπὶ τῇ τελευτῇ μὲν τοῦ βιβλίου καθόλου ποιούμενος τὴν ἀπόφασιν εἴποι· ταῦτα δὲ λέγω περὶ τῶν ὀξέων νοσημάτων καὶ ὅσα ἐκ τουτέων γίνεται· κατὰ μέρος δὲ περὶ μὲν ὑδρώπων ὧδέ πως· οἱ δὲ ὕδρωπες οἱ ἐκ τῶν ὀξέων νοσημάτων γινόμενοι πάντες κακοί· κατὰ δὲ τὸν αὐτὸν τρόπον καὶ ὅταν περὶ τῶν ἐμπύων τε καὶ φθισικῶν ὀνομαζομένων καὶ τῶν ἐξ ἀποστήματος εἰς χρόνον ἐμπιπτόντων μακρότερος ὁ λόγος αὐτῷ γίνηται, σαφῶς δηλοῖ ὡς οὐκ ἐπελάθετο μὲν τοῦ προκειμένου, τὰ δὲ ἐκ τῶν ὀξέων νοσημάτων γινόμενα, κἂν ᾖ χρόνια, διέρχεται. οὕτως οὖν κἀκεῖνα εἴρηται· αἱ δ᾽ ἄλλαι ἐκπυήσιες αἱ πλεῖσται ῥήγνυνται, αἱ μὲν εἰκοσταῖαι, αἱ δὲ τριακοσταῖαι, αἱ δὲ τεσσαρακοσταῖαι, αἱ δὲ πρὸς ἑξήκοντα ἡμέρας ἀφικνέονται. καὶ μὲν δὴ κἂν τῷ καταλόγῳ τῶν κρισίμων ἡμερῶν τῶν κατὰ τὸ προγνωστικὸν

mus. Caeterum universum praedictum genus acutum nominetur ex decidentia. Ostensum nobis est tum alibi tum in tertio de spirandi difficultate potissimum quod in prognostico et de simpliciter acutis differit, et ad haec de iis, qui ex illorum decidentia fiunt. Quum igitur in universum quidem ad calcem libri pronunciet: *Haec autem dico de acutis morbis et qui inde proveniunt;* singillatim de hydrope hunc sermonem proferens: *Hydrops si ex acuto morbo coepit, omnis malus est;* pari modo, quum de purulentis tabidisque vocatis affectibus, item de iis qui ex abscessu in longum tempus porriguntur verba faciat, clare innuit propositi se non oblitum esse, morbos qui ex acutis diuturni fiunt commemorans. Sic ergo et illa dicta sunt: *Reliquae autem vomicae magna ex parte rumpuntur, sed aliae in die vigesimo, aliae trigesimo, aliae quadragesimo, nonnullae ad sexagesimum usque perveniunt.* Quinetiam in dierum decretoriorum enumeratione, qui in prognostico recensentur,

ἕως τῆς ἑξηκοστῆς ἡμέρας προέβη δεόντως. ἐπεὶ γὰρ οὐ περὶ τῶν ὀξέων μόνον, ἀλλὰ καὶ τῶν ἐκ τούτων γινομένων ὁ λόγος ἦν αὐτῷ, προσηκόντως, οἶμαι, κἀν ταῖς κρισίμοις αὐταῖς, κἀν τῇ περὶ ῥήξεως τῶν ἀποστημάτων διδασκαλίᾳ τῆς ἑξηκοστῆς ἡμέρας ἐμνημόνευσε. ταύτην οὖν τὴν διδασκαλίαν οἱ μὴ νοήσαντες εἰκῆ καὶ μάτην ἐν τούτοις πλέκουσι ζητήματα, μάχεσθαι νομίζοντες τῷδε τῷ λόγῳ τῷ κατὰ τοὺς ἀφορισμοὺς εἰρημένῳ τῷ φάσκοντι, τὰ ὀξέα τῶν νοσημάτων ἐν τεσσαρεσκαίδεκα ἡμέρῃσι κρίνεται, [491] ὥσπερ οὐκ αὐτοῦ τοῦ Ἱπποκράτους ἀκριβῶς ἐνδειξαμένου τῷ λόγῳ τῶν ἐκ μεταπτώσεως ὀξέων τὴν φύσιν ἑτέραν τῆς τῶν ἁπλῶς ὀξέων. αὐτὸ γὰρ δὴ τοὔτ᾽ ἐναντίον ἐστὶν ἢ ἐκεῖνοι νομίζουσιν. εἰ μὴ γὰρ διττὴν ἠπίστατο τῶν ὀξέων τὴν φύσιν, ἑτέραν μὲν τῶν ἁπλῶς ὀξέων, ἑτέραν δὲ τῶν ἐκ μεταπτώσεως, οὐκ ἂν διωρίσατο τῇ προσθήκῃ τὴν ἀπόφασιν, ἀλλ᾽ ἁπλῶς εἶπεν ἄν, εὔπνοιαν δὲ χρὴ νομίζειν κάρτα μεγάλην δύναμιν ἔχειν εἰς σωτηρίαν ἐν πᾶσι τοῖσιν ὀξέσι νοσήμασι. νυνὶ δὲ ἐπειδὴ τὴν τοιαύτην λέξιν ἠπίστατο τῶν ἁπλῶς ὀξέων ἐσομένην ἐνδεικτικὴν, οὐ μὴν ἐβούλετό γ᾽ οὕτως, ἀλλὰ σὺν

ad fexagefimum usque diem non abs re proceffit. Quoniam enim non de acutis folum, verum etiam de iis qui inde progrediuntur, fermonem inftituit, nec inepte, puto, tum in ipfis decretoriis tum in doctrina de abfceffuum ruptione fexagefimi diei meminit. Qui ergo hanc doctrinam non intellexerunt, ii nequicquam ac fruftra quaeftiones in his texunt, diffentire putantes cum iis quae in aphorismis tradiderit, morbos inquiens acutos quatuordecim diebus judicari, quafi ipfe Hippocrates non accurate fermone indicaffet naturam acutorum ex decidentia aliam effe a natura abfolute acutorum. Longe enim fecus eft quam illi putant, quoniam fi non acutorum duplicem naturam cognoviffet, aliam abfolute acutorum, aliam ex decidentia, non fane diftinxiffet appofitione fuam fententiam, verum fimpliciter dixiffet: *Facilis fpiratio in acutis morbis valde magnum ad falutem momentum habere putanda eft.* Nunc autem quum hujusmodi dictionem fimpliciter acutos indicaturam fciret, non tamen ita, verum cum his etiam alia

αὐτοῖς καὶ τἄλλα περιλαβεῖν, εὐλόγως προσέθηκε πρῶτον μὲν τὸ ὁπόσα σὺν πυρετοῖς εἰσι, μηκέτι προσγράψας τοῖσι συνεχέσιν, ὅπερ ἴδιον ἦν τῶν ἁπλῶς ὀξέων· ἔπειτα δὲ καὶ τὸ ἐν τεσσαράκοντα ἡμέρῃσι κρίνεται, ὡς ἂν ἄλλων τινῶν ὄντων ὀξέων, ἃ οὐκ ἐν μ' ἡμέρῃσι κρίνεται. πανταχόθεν οὖν αὐτῷ διώρισταί τε καὶ δέδεικται σαφῶς ἡ φύσις τῶν νοσημάτων, ὑπὲρ ὧν ὁ σύμπας ἐστὶ κατὰ τὸ προγνωστικὸν λόγος. οἱ δ' ἐξηγηταὶ τὰ σαφῶς εἰρημένα ζητοῦσιν ἀσαφῆ ποιῆσαι. τὸ μὲν οὖν ὀνόματος προσθήκῃ λύειν ἐπιχειρεῖν ὃ πλέκουσι ζήτημα συγγνωστὸν, ἀλλὰ τοῦτο μὲν ποιήσουσιν οἱ οὕτω γράφοντες· εὔπνοιαν δὲ χρὴ νομίζειν κάρτα μεγάλην δύναμιν ἔχειν εἰς σωτηρίαν ἐν πᾶσι τοῖσιν ὀξέσι νοσήμασιν, ὁκόσα σὺν πυρετοῖς ἐστι καὶ ἐν τεσσαράκοντα ἡμέρῃσι κρίνεται. τινὲς δὲ καὶ μὴ προσγράφοντες ἐν τῇ ῥήσει τὸ καὶ ὁκόσα, συνυπακούειν δεῖ, φασὶν, ἵν' ὁ λόγος αὐτῷ γένηται διπλοῦς, ὁ μὲν ἕτερος περὶ τῶν ὀξέων νοσημάτων, ὑπὲρ ὧν ἀπεφήνατο κατὰ τοὺς ἀφορισμοὺς, ὁ δ' ἕτερος ὑπὲρ τῶν ἄλλων, ὅσα σὺν πυρετοῖς ἐστι καὶ ἐν τεσσαράκοντα ἡμέρῃσι κρίνεται. τὸ

complecti vellet, non fine ratione appofuit, primum quibus febris copulatur, non adfcribens, continua, quod abfolute acutorum erat proprium; deinde, qui intra quadraginta dies judicantur, perinde ac fi alii quidam acuti fint, qui diebus quadraginta non judicentur. Quare undequaque morbi naturam, quo de in prognoftico tota difputatio eft, clare diftinxit Hippocrates et demonftravit. At interpretes luculenter dicta obfcura reddere moliuntur. Quod ergo nominis appofitione quaeftionem quam contexunt folvere conentur condonandum eft, at hoc faciunt qui ita fcribunt: *Facilis fpiratio in omnibus acutis morbis, quibus febris copulatur, quique intra quadraginta dies judicantur, magnam fane vim ad falutem obtinere cenfenda eft.* Nonnulli etiam non adfcribunt, *quique*, inaudiendum effe dicentes, ut fermo ejus duplex fiat, alter de acutis morbis, quos in aphorismis expofuit, alter de aliis, qui febrem junctam habent et quadraginta diebus judicantur. Quod vero

δὲ μηδὲ ἐν τοῖς ἀφορισμοῖς οἴεσθαι τὴν ιδʹ ἡμέραν κρίσιμον, ἀλλὰ κἀκεῖ δεκατέσσαρας τὰς πάσας ὑπολαμβάνειν ἀποφαίνεσθαι τὸν Ἱπποκράτην κρισίμους ἡμέρας ὑπάρχειν, εἶναι γὰρ τοσαύτας, εἴ τις ἀπὸ τῆς τρίτης, ἣ πρώτη πασῶν κρίνειν πέφυκεν, ἀριθμήσειεν ἄχρι τῆς μʹ, οὐ μικρᾶς καταγνώσεως ἄξιον· οὔτε γὰρ ὡς ἰατροὶ τοῦτο λέγουσιν οὔθ᾿ ὡς ἀριθμεῖν γινώσκοντες οὔθ᾿ ὡς ἀναγινώσκειν εἰδότες. ἰατροὶ γὰρ ὄντες ἠπίσταντό τε ἂν πρῶτον μὲν ὡς οὐδὲν τῶν ἀκριβῶς ὀξέων εἰς τὴν μʹ ἡμέραν ἀφικνεῖται μὴ προκριθέν· ἔπειτα δὲ καὶ ὡς οὐδὲ τεσσαρεσκαίδεκα τὸν ἀριθμόν εἰσιν αἱ μέχρι τῆς μʹ κρίσιμοι. κατὰ τοῦτο δὲ οὐδὲ ἀριθμεῖν ἄν τις αὐτοὺς ἐπίστασθαι φαίη. πλείους γάρ εἰσι τῶν δεκατεσσάρων τό τε ἀληθὲς αὐτὸ καὶ τὸ φαινόμενον ἐπὶ τῶν ἔργων σκοπουμένοις καὶ μέντοι καὶ τὸ πρὸς Ἱπποκράτους ἐν τῷ πρώτῳ τῶν ἐπιδημιῶν εἰρημένον. ἔμπροσθεν δὲ παρέγραψα τὴν λέξιν ἐκείνην, ἐν ᾗ διδάσκει τὰς κρισίμους ἡμέρας ἁπάσας, εἴ τις ἀριθμεῖν ἐπίσταται, πλείους εὑρήσει τῶν ιδʹ μέχρι τῆς μʹ γενομένας. εἰ δὲ τὰς

nec in aphorismis decimumquartum diem decretorium, fed illic quatuordecim omnes decretorios dies Hippocratem pronunciaffe arbitrentur, effe enim tot, fi quis a tertio, qui primus omnium decernere natus eft, ad quadragefimum usque numeraverit, non parvam reprehenfionem merentur. Neque enim ut medici hoc dicunt, nec ut qui numerare fciant aut legere. Nam fi medici effent, primum fane nullum exacte acutum morbum ad quadragefimum diem non prius judicatum pervenire fcirent, deinde ne quatuordecim quidem numero effe ad quadragefimum decretorios. In hoc autem ne vel numerare ipfos noviffe quis jure dixerit, plures namque funt ac quatuordecim, iis fane qui veritatem ipfam rerumque evidentiam infpiciunt, item id quod Hippocrates in primo epidemiῶn fcriptum reliquit. Superius verba ipfius appofui, quibus decretorios dies univerfos edocet, ubi fi quis numerare didicit, plures indubie ad quadragefimum diem evenientes quam quatuordecim inveniet. Si quis autem folos eos, qui per quaternarium

κατὰ τετράδα μόνας ἀριθμεῖ τις, ἴσως γὰρ ἐπὶ τούτῳ ἐξελεγχόμενοι πάλιν μεταβήσονται, ἐλάττους εἰσὶν, αἱ δὲ τῶν ιδ΄. ὅτι δ᾽ οὐδ᾽ ἀναγινώσκειν ἴσασιν οἱ τὰ τοιαῦτα λέγοντες ᾧδ᾽ ἂν μάλιστα γνοίης. εἰ μὲν οὖν ἐν τῷ προγνωστικῷ τὴν μ΄ ἡμέραν κρίσιμον εἶπεν εἶναι τῶν ὀξέων, ἔπειτα ἐν τοῖς ἀφορισμοῖς ἐν τεσσαρεσκαίδεκα ἡμέρῃσι ταῖς πάσαις ἔλεγεν αὐτὰ κρίνεσθαι, τότε γ᾽ ἐνεχώρει τι τοιοῦτον οἷον ἐκεῖνοι λέγουσιν ἐπινοεῖν. ἐπεὶ δὲ κἀν τῷ προγνωστικῷ ἐν τεσσαράκονθ᾽ ἡμέρῃσιν ἔφησιν αὐτὰ κρίνεσθαι, κἀν τοῖς ἀφορισμοῖς ἐν τεσσαρεσκαίδεκα, γελοιότατόν ἐστι τῆς αὐτῆς λέξεως ἄλλοτ᾽ ἄλλως ἀκούειν. ἀμείνους δὲ τούτων οἱ μὴ ζητοῦντες τοὺς λόγους ἀποδεῖξαι, ὁμολογοῦντες ἄλλου μὲν εἶναι τοὺς ἀφορισμοὺς ἀνδρὸς, ἄλλου δὲ τὸ προγνωστικὸν, ἀλλ᾽ οὗτοι θαυμαστοὶ τῆς μεγαλοψυχίας. [492] ὅτι δὲ τὸ χρήσιμον εἰς τὴν τοιαύτην διδασκαλίαν ὁ Ἱπποκράτης ἐπισκοπούμενος ἀεὶ τὰ μὲν ἁπλῶς ὀξέα τὴν ιδ΄ ἡμέραν ὅρον ὀρθῶς ἔφησεν ἔχειν, τῶν δ᾽ ἐκ μεταπτώσεως ὀξέων τὰ μὲν τὴν μ΄, τὰ δὲ τὴν ξ΄, αὐτάρκως ἐπιδέδεικται.

computantur, numeret, forsan enim errare deprehensi ad hoc rursus devenient, pauciores sane hi sunt ac quatuordecim. Quod autem ne legere quidem noverint qui hujusmodi effutiunt, sic maxime disces. Si igitur in prognostico quadragesimum diem decretorium esse acutorum dixisset, deinde in aphorismis quatuordecim diebus summatim eos judicari, nunc nimirum tale quippiam ac illi considerare licebat; at quum in opere prognostico quadraginta diebus judicari eos dicat et in aphorismis quatuordecim, maxime ridiculum est sententiam ejus alibi aliter inaudire. Meliores his sunt qui non sermones demonstrare conantur, concedentes alterius quidem hominis aphorismos esse, alterius prognosticon, sed hi ob animi magnitudinem sunt nobis miraculo. Quod jam utilitatem hujus doctrinae semper inspiciens Hippocrates, simpliciter quidem acutos xiv dierum terminum habere recte dixit, ex decidentia vero acutos nunc XL nunc LX diem assequi, abunde ostendimus.

Κεφ. ιγ'. Χρὴ δὲ εἰδέναι καθόλου περὶ τῶν τοιούτων ἁπάντων ὡς ὅσα ποσοῦ τινος εἰς μόρια διαιρουμένου γίνεται, ἔχει τὴν σωριτικὴν ἀπορίαν ἑπομένην. δεῖ τοιγαροῦν οὕτω τέμνειν ἐπιχειρεῖν ὡς μήτε τὰ πολὺ διαφέροντα μόρια συνάπτειν ἀλλήλοις, ὅπερ εἰς ὀλίγα τεμνομένου τοῦ παντὸς ποσοῦ γίνεται, μήθ' οὕτω πολλὰ ποιεῖν ὡς τὸ τῆς διδασκαλίας χρηστὸν ὑπερεκπίπτειν. ὡς οὖν ἐνδέχεται τὰ κάλλιστα διελεῖν, οὕτω μοι φαίνεται τέμνεσθαι τὰ πρὸς Ἱπποκράτους. πρῶτον μὲν γὰρ τὰ κατόξεα μέχρι τῆς ἑβδόμης ἐνδείκνυται προϊέναι, δι' ὧν, ὡς ἔφην, ἐν ἀφορισμοῖς εἶπεν ἐσχάτως χρῆναι λεπτῶς διαιτᾷν αὐτά. εἶτα μετὰ ταῦτα ἐν τῷ περὶ διαίτης ὀξέων, ἄχρι τῆς ἑβδόμης τινὰς ἐν ἀσιτίᾳ φυλάττειν παντελεῖ. ἔπειτα δὲ καὶ τὴν ιδ' τῶν ἁπλῶς ὀξέων τέλος ἔθετο, κἄπειτα μέχρι τῆς κ' προὔβη. αὖθις δὲ καθ' ἑκάτερον εἶδος νόσου, ἄχρι τῆς μ', καὶ αὖθις δὲ καθ' ἑκάτερον ἕως τῆς ξ', εἶτ' αὖθις ὅρον ἔσχατον τῶν κρινουσῶν ἡμερῶν τὴν ρ' τε καὶ εἰκοστὴν ἐποιήσατο, τεττάρων δηλονότι μηνῶν ὑπάρχοντα

Cap. XIII. Sciendum autem eft communiter de omnibus ejusmodi, quod quae ex quantitatis ejusdem in particulas divifione fiunt, foriticam dubitationem comitem habent. Itaque fic dividendum eft, ut nec particulae multum alioqui differentes fibi mutuo conjungantur, quod dum quaevis in pauca fecatur quantitas accidit, nec adeo multas feceris, ut doctrinae utilitas excidat. Quamobrem fiquid optime dividi poffit, Hippocrates praeter caeteros hoc mihi fecisse videtur. Primum peracutos ad feptimum usque diem pervenire demonftrat, in quibus, ut dixi, in aphorismis tenui admodum victu tractandos effe praecipit, deinde in commentario de victus ratione in morbis acutis, quosdam in abfoluta inedia fervandos effe usque ad diem feptimum, poftea vero xiv abfolute acutis terminum ftatuit, poft haec ad xx procedit, rurfus alterius fpeciei morbum ad XL, alterius itidem ad LX, poftremo decretoriorum dierum fupremum finem centefimum et vigefimum diem conftituit, quatuor videlicet menfium tempus, deinceps alios menfium decretoriorum nu-

χρόνον. ἑξῆς δὲ τὰ μὲν ἐν μηνῶν ἀριθμῷ κριτικῶν, τὰ δὲ ἐν ἐτῶν λύεσθαι λέγει. τὸ μὲν οὖν εἰς τὴν διδασκαλίαν χρήσιμον τοῦτ᾽ ἔστι. παρεμπίπτει δέ τινα λογικὰ ζητήματα παραμυθίαν ἐπιζητοῦντα, καθάπερ, οἶμαι, καὶ τόδε, τῶν ὀξέων ὁμολογουμένων εἶναι νοσημάτων, ἔνια τὴν ιδ΄ ἡμέραν ὑπερβαίνοντα φαίνεται, καὶ διὰ τοῦτο καὶ Διοκλῆς οὐ τὴν ιδ΄, ἀλλὰ τὴν εἰκοστὴν ὅρον αὐτῶν ἐτίθετο, κατὰ (444) τοῦτο μὲν ἁμαρτάνων, ὅτι μὴ τὴν κ΄ μᾶλλον, ἀλλὰ τὴν κα΄ ὅρον αὐτῶν ἔτι ἐτίθετο, οὐ μὴν ἐκεῖνός γε πάντως σφαλλόμενος ἐν τῷ ιδ΄ ὑπερβαίνειν. ἴσμεν γάρ τινας τῶν ὀξέως διανοσησάντων ἑπτακαιδεκαταίους τε καὶ εἰκοσταίους κριθέντας, ὥσπερ ἀμέλει καὶ παρ᾽ αὐτῷ τῷ Ἱπποκράτει ἐν αὐτοῖς τοῖς ἐπιδημίοις ἔστιν εὑρεῖν. πῶς οὖν, εἴπερ τοῦτο οὕτως ἔχει, καὶ φαίνεταί τινα τῶν ὀξέων νοσημάτων ὑπερβαίνοντα τὴν ιδ΄ ὅρον αὐτῶν, τήνδε τὴν ἡμέραν ἐν ἀφορισμοῖς ἐποιήσατο; πρόχειρον μὲν ἦν φάναι σπάνιον μὲν εἶναι τοῦτο, πλειστάκις δὲ θάτερον ἀποβαίνειν εἴωθεν. ἔστι δ᾽ ὅτε τὸν Ἱπποκράτην μόνον ἀποφαίνεσθαι τὸ πλειστάκις ὀφθὲν, ἐν οὐδενὶ λόγῳ τὸ σπάνιον

mero, alios annorum, folvi fcribit. Atque haec doctrinae utilitas eft. Coincidunt autem nonnullae quaeftiones logicae, quae caftigationem requirunt, ficut et haec, opinor, quod morborum, qui apud omnes acuti habentur, nonnulli xiv diem excedere videantur, ideoque Diocles etiam non xiv, fed vigefimumprimum terminum eorum pofuit. Atque hic quidem erravit xxi magis quam xx terminum ipfis praeftituens, quamquam non omnino falfus fit quartumdecimum excedendo, nam quosdam qui acuto morbo laborant, xvii et xx judicatos effe cognovimus, uti apud Hippocratem quoque in ipfis epidemiis invenire licet. Quomodo igitur fi hoc ita habet et quidam acuti morbi decimumquartum diem excedere videntur, terminum ipfis hunc diem in aphorismis conftituit? promptum quidem erat dicere hoc raro, illud faepiffime accidere confuevit. Quin etiam Hippocrates aliquando folum id quod creberrime oculis ufurpatum eft, pronunciat, id quod raro evenit, nullo in libro fcribit.

Ed. Chart. VIII. [492. 493.] Ed. Baf. III. (444.)

τιθέμενον. ἀλλὰ καὶ βαθυτέρας τινὸς ἔχεται γνώμης ἡ ἀπόφασις, ἄν τις αὐτὴν ἐξετάζῃ προσηκόντως. ὅσα γὰρ εἰς τὴν ιζ΄ ἡμέραν, ἢ τὴν εἰκοστὴν ἐξέπεσεν ἀκριβῶς ὀξέα νοσήματα, πάντως ἤρξατο ταῦτα καθάπερ ὑποβρύχια βραδέως τε καὶ οἷον μεμολυσμένως κινεῖσθαι. κἄπειτα τὰ μὲν ἐν τῇ πρώτῃ τετράδι, τὰ δὲ ἐν τῇ δευτέρᾳ τὴν τῶν ἀκριβῶς ὀξέων ἀπολαμβάνοντα κίνησιν, εἰς τὴν ιζ΄ τε καὶ κ΄ ἐξέπεσεν, ἐντὸς τῆς ιδ΄ καὶ ταῦτα τῆς ἑαυτῶν κριθέντα. τὰ γὰρ ἐν τῇ τετράδι τῶν ἡμερῶν ἀπαρξάμενα τῆς ὀξύτητος, ἔπειτα ἑπτακαιδεκαταῖα κριθέντα, δῆλον ὡς οὐχ ὑπερέβη τὴν ἑαυτῶν τεσσαρεσκαιδεκάτην. οἶδε δὲ τοῦτο καὶ αὐτὸς μὲν ὁ Διοκλῆς καὶ οἱ ἄλλοι σχεδὸν ἅπαντες οἱ παλαιοί. φρενιτικοὺς γοῦν εὐθὺς ἀπὸ τῆς πρώτης ἡμέρας οὐ πάνυ τι γίνεσθαί φησιν. εἰ τοίνυν τις ἀρξάμενος φρενιτίζειν, ἤτοι πεμπταῖος, ἢ ἑβδομαῖος, ἢ ἑπτακαιδεκαταῖος, ἢ εἰκοσταῖος κριθείη, [493] πρόδηλον ὡς ἐντὸς τῆς ἑαυτοῦ ιδ΄ ἐκρίθη. κατὰ τοῦτο δὴ καὶ μάλιστα νομίζω τὴν κ΄ ἡμέραν εἰς ἀμφιβολίαν ἐμπεσεῖν, ἐπαμφοτερίζουσαν τῇ δυνάμει τῷ πολλάκις μὲν τὰ μετὰ τὰς πρώτας ἡμέρας, ὀξέα

At profundiorem quandam habet fententiam pronunciatum, fi quis ipfum commode disquifierit. Qui namque ad xvii diem aut xx prorfus acuti morbi exciderunt, hi plane inceperunt tanquam fubmerfilento motu graviquc moveri, deinde alii in primo quaternario, alii in fecundo exacte acutorum motum recipientes ad xvii et xx exciderunt, quanquam et hi intra xiv fuum judicati fint, nam in dierum primo quaternario vehementiam incipientes, deinde decimofeptimo judicati, decimumquartum fuum diem non excefferunt. Novit hoc quoque Diocles ipfe et alii prope omnes veteres. Phreniticos fane a primo die ftatim non adeo fieri ait. Igitur fi quis phrenitide quinto die laborare coeperit et xvii judicatus fuerit, vel inceperit feptimo die et judicatus fuerit vigefimo, nulli dubium hunc intra xiv fuum diem judicatum fuiffe. In hoc jam maxime etiam xx diem ambiguitatem adferre puto, quippe qui potentiae ancipitem naturam habeat, tum quod faepe poft primos dies morbos acutos factos judi-

νοσήματα γενόμενα κρίνειν, ἐνίοτε δὲ ἐπικρίνειν τὰ προκριθέντα. τῶν γὰρ ἀπὸ τῆς πρώτης ἡμέρας ὀξέων οὐδὲν εἰς ταύτην ἐμπίπτει μὴ προκριθέν. εἰ δ᾽ ἔν τινι τῶν ἔμπροσθεν ἡμερῶν ἐλλιπῶς κεκριμένον αὕτη τελείως ἀπαλλάξειεν, οὐκ ἀναιρεῖ τὸ τῶν ὀξέων νοσημάτων τὴν ιδ᾽ εἶναι πέρας. ὅσα δὲ κατὰ τὴν ἀρχὴν ὑποβρύχιά τε καὶ μολυνόμενα φανεῖται καὶ μετὰ ταύτην ἕως τῆς μ᾽ τοιαῦτα μείναντα, πάλιν ἐπιταθῇ, ταῦτα χρόνια δικαίως ἄν τις ὀνομάσειεν. ὥσπερ γε τῶν ὀξέων μὲν σαφῶς παθῶν, ἀλλ᾽ ἔν τινι τῶν πρὸ τῆς κ᾽ κριθέντων οὐκ ἀσφαλῶς, εἶτα διαλιπόντων, κἄπειθ᾽ ὑποστρεψάντων, εἶτ᾽ αὖθις ὀξέων γινομένων, κἄπειτ᾽ ἐν τῇ μ᾽ κριθέντων, διαπορήσειεν ἄν τις, εἴθ᾽ ἁπλῶς ὀξέα καλεῖν αὐτὰ προσήκει, εἴτ᾽ ἐκ μεταπτώσεως ὀξέα, πολὺ δὲ μᾶλλον εἰ χρόνια. ἐν μὲν δὴ τοῖς ἀμφιβόλοις τε καὶ ἀσαφέσιν οὐ χρὴ ζητεῖν ἀπόφασιν ἀσφαλῆ. κατὰ γὰρ τὴν τῶν πραγμάτων φύσιν ἀεὶ χρὴ γίνεσθαι τὰς ἀποφάσεις ἀσφαλεῖς. ἐν οἷς δέ ἐστιν ἡ τῶν πραγμάτων φύσις ἀκριβῶς ἁπλῆ, σαφῆ καὶ ἁπλῆν ἐνταῦθα χρὴ ποιεῖσθαι τὴν ἀπόφασιν. ἐπεί τοι καὶ κατ᾽ αὐτοὺς τοὺς ἀφορισμοὺς ὁ Ἱπποκράτης, ἡνίκα τὴν ιδ᾽ ἡμέραν ὅρον ἔθετο τῶν

cet, interdum de prius judicatis iterum decernat, nullus enim a primo die acutus in hunc illabitur, qui non prius judicatus fit. Sin autem in priore quodam die imperfecte judicatus, ipfe quum prorfus liberaverit, non impedit quo minus acutorum morborum xiv dies terminus exiftat. Qui vero ab initio fubmerfi lentique appareant et inde ad XL tales perdurantes rurfus intendantur, hos jure diuturnos appellaveris. Quemadmodum acutos quidem manifefto, fed qui ante xx non fecure judicati funt, deinde remiferint, poft haec reverfi mox rurfus acuti facti fuerint, noviffime XL die judicati, dubitaveris abfolutene an ex decidentia acuti nominandi veniant, imo magis an diuturni. Quippe in ambiguis et obfcuris certum judicium quaerere non oportet, nam pro rerum natura fententiam femper pronunciare convenit, ubi vero rerum natura fimplex prorfus eft, ibi et manifefto et fimpliciter pronunciandum eft, quoniam et Hippocrates in ipfis aphorismis, quum xiv diem acutis morbis

Ed. Chart. VIII. [493.] Ed. Baf. III. (444.)

ὀξέων νοσημάτων, εὐθὺς καὶ τῆς ιζ' ἐμνημόνευσε γράφων ὠδί· θεωρητὴ πάλιν ἡ ιζ· αὕτη γάρ ἐστι δ' μὲν ἀπὸ τῆς ιδ', ζ' δὲ ἀπὸ τῆς ια'. ἐμφαίνει γὰρ κἀνταῦθα περὶ τῆς κ' ὡς ἂν δευτέρου τινὸς ὅρου τῶν ὀξέων. ἀλλ' ἐπεὶ καὶ τοῦτο τὸ βιβλίον αὔταρκες ἤδη μῆκος ἔχει, καταπαύσω τῇδε τὸν ἐνεστῶτα λόγον. ὅσον δ' ὑπόλοιπόν ἐστι τῆς περὶ κρισίμων ἡμερῶν θεωρίας ἐν τῷ μετὰ τοῦτο σύμπαν εἰρήσεται.

finem ftatuiffet, ftatim etiam decimifeptimi his verbis meminit: *Contemplabilis rurfus decimusfeptimus eft; hic enim quartus a decimoquarto, feptimus ab undecimo eft;* fignificat namque hic vigefimum tamquam fecundum quendam acutorum terminum. Quoniam vero hic liber magnam fatis prolixitatem modo habet, finire ipfum jam cogito. Quod de dierum decretoriorum fpeculatione reliquum eft, id univerfum in tertio exequar.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΚΡΙΣΙΜΩΝ ΗΜΕΡΩΝ ΒΙΒΛΙΟΝ, Γ.

Ed. Chart. VIII. [493. 494.] **Ed. Baſ. III. (444.)**

Κεφ. α'. Ὅτῳ δὲ καὶ τὰς αἰτίας ἐσκέφθαι κάλλιον εἶναι δοκεῖ δι' ἃς οὐκ ἐν ἁπάσαις ἡμέραις αἱ νόσοι κρίνονται, τούτῳ καὶ τάδε σύγκειται. χρὴ μέντοι καὶ τὰς ἀρχὰς τῆς εὑρέσεως τῶν κρινουσῶν ἡμερῶν αὐτῶν ὁμολογεῖσθαι, [494] καθότι κἀν τῷ πρὸ τούτου γράμματι λέλεκται. διτταὶ δ' εἰσὶν αὗται κατὰ γένος, ὑπὸ μὲν τῆς πείρας ἐναργῶς μαρτυρούμεναι, τῷ τε μὴ πᾶσαν ἡμέραν ὁμοίως εἶναι κρίσιμον, ἰσχυροτάτην δὲ δύναμιν ὑπάρχειν ταῖς καθ' ἑβδομάδα περιόδοις, δευτέραν δὲ ταῖς κατὰ τετράδα, παρεμπίπτειν δέ τινας

GALENI DE DIEBVS DECRETORIIS LIBER III.

Cap. I. Qui jam cauſas cur non in omnibus diebus morbi judicentur conſiderare melius eſſe duxerit, is haec ſibi compoſita eſſe cenſeat. Et quidem inventionis dierum decretoriorum principia fateri convenit, quemadmodum etiam ſuperiore commentario dictum eſt. Sunt autem genere duplicia, nempe experimentum et ratio. Experimentum ſane quod non omnes ſimiliter dies de morbis decernant, evidens affert teſtimonium, quodque circuitus ſeptimani validiſſima ſint virtute praediti, poſt hos quaternarii,

ἔξω τούτων. ἀλλὰ καὶ τὸ μήτε πάσας ἀλλήλων διεζεῦχθαι τὰς ἑβδομάδας, ἀλλά καί τινας ἐξ αὐτῶν καὶ συνάπτεσθαι, μήτε πάσας τὰς τετράδας, ἀλλὰ καὶ τούτων τὰς μὲν διαζεύγνυσθαι, τὰς δὲ καὶ συνάπτεσθαι καὶ τὸ τὰς κρίσεις γίνεσθαι τοὐπίπαν ἐν μὲν τοῖς ὀξέσι νοσήμασιν ἐν περιτταῖς ἡμέραις, ἐν δ' αὖ τοῖς χρονίοις ἐν ταῖς ἀρτίαις, ἅπαντά γε τὰ τοιαῦτα περὶ ὧν ἔμπροσθεν εἴρηται, πρὸς τῆς ἐμπειρίας ἱκανῶς μαρτυρεῖται. τῷ λόγῳ δ' ἐξιχνεύουσιν ἡμῖν τὰς τούτων αἰτίας ἐφαίνετο δύο ἀρχὰς θέσθαι χρῆναι τὰς πρώτας ἁπάντων τῶν γινομένων, ἄτακτον μὲν τὴν ἐκ τῆς ἐνταῦθ' ὕλης ὁρμωμένην, ἐν τάξει δέ τινι καὶ κόσμῳ προϊοῦσαν ἀεὶ τὴν ἐκ τῶν κατ' οὐρανὸν, ἅπαντα γὰρ τὰ τῇδε πρὸς ἐκείνων κοσμεῖται. καὶ δὴ καὶ νῦν ἐπὶ συναμφοτέροις, τοῖς τε ἐκ τῆς πείρας γνωσθεῖσι καὶ οἷς ὁ λόγος ὑφηγήσατο, πειρᾶσθαι χρὴ πάντων τῶν κατὰ τὸν λόγον, καὶ κατ' αὐτὴν πεῖραν τῶν κατὰ τὰς κρισίμους ἡμέρας ἐξευρίσκειν τὰς αἰτίας ἐνθένδε ποθὲν ἀρχομένους.

Κεφ. β'. Πάντων μὲν τῶν ἄνωθεν ἄστρων ἀπολαύο-

quidam vero extra hos coincidant, imo quod nec omnes feptimanae invicem feparentur, fed aliquae ipfarum etiam conjungantur, nec omnes quaternarii, fed ex iis quoque alii fejungantur, alii conjungantur, infuper quod acutis morbis impari dierum numero, longis pari, judicia maxima ex parte accidant. Omnia hujusmodi quae prius recenfui, experientia fatis approbat. Porro caufas horum ratione nobis indagantibus, duo prima omnium quae fiunt, primordia effe ftatuenda videntur: inordinatum videlicet, quod ex hac mundi materie proficifcitur, ordine vero quodam ornatuque procedens femper, quod caeleftibus originem refert acceptam, omnia fiquidem in hoc orbe ab illis decus ornamentumque capeffunt. Atque jam et nunc ex his duobus principiis, quae ex experientia cognita funt et ratio fuppeditavit, omnium quae ratione et experientia ipfa, in diebus decretoriis intelliguntur, caufas invenire conabimur, hinc facto fermonis exordio.

Cap. II. Omnium certe fuperiorum aftrorum po-

μεν τῆς δυνάμεως, ἀλλ' ὁ μάλιστα κοσμῶν τὰ τῇδε καὶ ῥυθμίζων καὶ διατάττων ὁ ἥλιός ἐστιν. οὐ γὰρ δὴ ἄλλος γέ τις ἦρος καὶ θέρους, φθινοπώρου τε καὶ χειμῶνος αἴτιος, οὐδ' ἄλλος ἐπιφανῶς οὕτως οὔτ' ἐξ ἰλύος γηΐνης ζῶα γεννᾷν πέφυκεν, οὔτε καρποὺς τελειοῦν, οὔτ' εἰς ὀχείαν τε καὶ τὴν τοῦ γένους διαμονὴν ἐκκαλεῖσθαι τὰ ζῶα. μεγάλα μὲν καὶ τὰ τῆς σελήνης ἔργα περὶ τὴν ἐνταῦθα οὐσίαν, ἀλλὰ τῶν ἡλίου δεύτερα. καὶ γὰρ ἀεὶ τοὺς μῆνας αὕτη διατάττει, καὶ μάλιστ' ἐπιφανῶς ἐν τοῖς θαλαττίοις ζώοις. ἀλλά τοι καὶ αὐτὸ τοῦτο δι' ἥλιον ἔχει. νέον μὲν γὰρ αὐτῇ τὸ φῶς, ὅταν ἡλίου πρῶτον ἀπολαύει, τοσοῦτον δὲ αὐτῆς ἀεὶ πεφώτισται μέρος, ὁπόσον ὁ ἥλιος ὁρᾷ. τελέως δ' ἐκλείπει καὶ ἀφώτιστος γίνεται τῆς γῆς ἐπισκοτούσης αὐτῇ, ὥστε ἐκ τῶν πρὸς ἥλιον ἀποστάσεων ἁπάσας ἔχει τὰς μεταβολάς. καὶ γὰρ καὶ πλήρης ἐστὶν, ἐπειδὰν διάμετρος ᾖ, καὶ διχότομος, ἐπειδὰν τετράγωνος· καὶ ἀμφίκυρτος, ἐπειδὰν τρίγωνος, καὶ μηνοειδὴς, ἐπειδὰν ἑξάγωνος, καὶ νέα τότε πρῶτον, ὅταν ἀπὸ συνόδου

tentia fruimur, verum qui maxime hunc orbem exornat et concinnat et disponit est sol, quippe veris, aestatis, autumni et hiemis auctor alius nemo extat, nec alius tam manifesto vel ex terrestri limo animalia generare potest, neque fruges maturare, neque ad coitum et generis propagationem animantia provocare. Magna sane et lunae opera in hanc rerum substantiam apparent, verum solis effectibus posteriora. Etenim menses haec perpetuo disponit, idque evidenter adeo in marinis animalibus, quanquam et hoc ipsum solis beneficio habet. Novum enim ipsa lumen sortitur, quum sole primum fruitur. Tanta vero ejus portio semper illuminata est, quantam sol aspicit. Prorsus autem deficit lucisque expers redditur, ubi terra suo interventu ipsam obtenebrat. Quapropter ut illa distat a sole omnes mutationes suscipit, etenim plena est, quum diametra est, aequa proportione divisa, seu semilunaris, quum quadrangula est, utrinque gibba, quum triangula, et falcatam speciem refert, ubi sexangula est, atque tunc primum nova est, quum post solis

φαίνηται καὶ ἀφανὴς παντάπασιν, ἐπειδὰν ὑπ᾽ ἐκείνου περιλάμπηται. καὶ καρποὺς οὖν παχύνει καὶ τὰ ζῶα πιαίνει καὶ τὰς τῶν καταμηνίων ταῖς γυναιξὶ προθεσμίας διαφυλάττει καὶ τὰς τῶν ἐπιλήπτων τηρεῖ περιόδους, ἐξ ὧν ἡλίου πλέον, ἢ ἔλαττον μεταλαμβάνει. πάντα μὲν γὰρ ἃ δρᾷν πέφυκεν, ἀμυδρὰ γίνεται, μηνοειδοῦς γενομένης αὐτῆς· (445) ἅπαντα δὲ ἰσχυρὰ πεπληρωμένης, ὥστε καὶ τοὺς καρποὺς ἐν τῷδε πεπαίνει καὶ αὐξάνει τάχιστα καὶ τὰ νεκρὰ σώματα διασήπει καὶ τοὺς ὑπὸ τὴν αὐγὴν αὐτῆς κοιμηθέντας, ἢ καὶ ἄλλως ἐπιπλέον διατρίψαντας, ὠχροὺς καὶ καρηβαρικοὺς ἀπεργάζεται. [495] ὡς μὲν οὖν ἡλίου σελήνη τὰ πάντα δεῖται, οὕτω δ᾽ ἥλιος εἰς οὐδὲν τῶν μεγίστων οὔτ᾽ ἄλλου τινὸς ἄστρων οὔτ᾽ αὐτῆς τῆς σελήνης. οὐδεὶς γὰρ ὁ κωλύσων αὐτὸν οὐ θέρος δημιουργεῖν, ἡνίκα κατὰ κορυφὴν ἡμῶν ἵστηται, οὐ κρύος ἐπιφέρειν, εἰ ταπεινὸς ἐπιφέρηται, οὐκ ἰσημερίας διατάττειν ἑκατέρας, εἰ συμμέτρως ᾖ λοξός· ἀλλ᾽ αὐτὸς μὲν οἷον βασιλεύς τις μέγιστός ἐστιν, ἡ σελήνη δ᾽ ὕπαρχος οὐ σμικρός. ἐν μέσῳ τε γὰρ ἐκείνου καὶ ἡμῶν τεταγμένη τὸν περίγειον εἰκό-

congreſſum apparet, obſcurata omnino, quum ſolis lumine circumvallatur. Igitur fructus auget incraſſatque, animantia implet, ad haec menſtruorum ſtatum tempus mulieribus conſervat, item comitialium circuitus cuſtodit, inde quod ſolis plus vel minus participat. Omnia ſiquidem haec facere nata eſt, ubi falcis figuram repraeſentat, languida fiunt, valida omnia, quum plena ſuerit. Quapropter et fructus interea adauget maturatque celerrime, mortua corpora putrefacit, ſomnoque ſopitis ſub ejus lumine, vel aliter diutius immoratis, pallorem et capitis gravitatem conciliat. Ut igitur luna ſolis auxilio in omnibus indiget, ita ſol ad nullam rem maximam vel alterius cujusdam aſtri, vel ipſius lunae operam deſiderat. A nullo enim impeditur, quo minus aeſtatem ſaciat, quum in vertice noſtro conſtiterit, aut frigus adducat, ſi humilis feratur, aut aequinoctium utrumque disponat, ſi mediocriter obliquus ſit, ſed ipſe velut rex quispiam maximus eſt, luna vero ut hyparchus non exiguus; inter illum enim et nos media conſtituta, ter-

τως ἐπιτροπεύει τόπον, οὐ δυνάμεως ὑπεροχῇ παρὰ τοὺς ἄλλους πλανήτας, ἀλλ' ἐγγύτητι πλεονεκτοῦσα. διὰ τοῦτο πάντως μὲν κρύος κατέχει τὸν παρ' ἡμῖν τόπον, ἐπειδὰν ὁ ἥλιος εἰς τὰ χειμέρια τρέπηται, καὶ πάντως θάλπος, ἐπειδὰν κατὰ κορυφὴν ἡμῶν ἢ πλησίον τε ταύτης φέρηται. τὰς κατὰ μέρος δ' ἐν ἑκάστῳ τῶν μηνῶν ἡμέρας ἡ σελήνη διατάττει, σμικρᾶς μεταβολῆς ἐξουσίαν ἔχουσα. καὶ ταύτην οὐχ ἁπλῶς, ἀλλ' ἐξ ὧν ὑφ' ἡλίου βλέπεται.

Κεφ. γ'. Σφοδρότεραι μὲν οὖν αἱ μεταβολαὶ κατὰ τὰς πρὸς ἥλιον αὐτῆς εἰσι συνόδους καὶ προσέτι τὰς πανσελήνους φάσεις ὀνομαζομένας· ἐλάττους δὲ τούτων ἐν ταῖς διχοτόμοις, ἀμυδραὶ δ' ἐν ταῖς ἀμφικύρτοις τε καὶ μηνοειδέσιν. ἰσχυροτάτων μὲν γὰρ εἰς ἀλλοίωσιν τῶν ἔμπροσθεν ὄντων τῷ συνεῖναί τε καὶ καταλάμπεσθαι, φαινομένη γὰρ τέως, ἀφανὴς νῦν ἐστιν, ἐφεξῆς δ' ἡ διάμετρος στάσις, ὡς ἂν διορίζουσα καὶ δίχα τέμνουσα τὰς ἐναντιωτάτας τῆς σελήνης διαθέσεις, ἰσχυροτάτη τῶν ἄλλων ἐστίν. ὅτι δ' ἐναν-

reftrem regionem merito gubernat, non potentia caeteros planetas, fed vicinitate exuperans. Hujus rei gratia omnino frigus locum noftrum occupat, quum fol ad hiemalem plagam declinaverit, tunc calor omnino nos exercet, ubi fupra verticem noftrum aut prope ipfum fertur. Luna vel particulares cujusque menfis dies difponit, parvae mutationis facultatem habens, eamque non fimpliciter ex fe, verum ex folis afpectu confequitur.

Cap. III. Vehementiores itaque mutationes eveniunt ubi ipfa cum fole coit, infuper in apparitionibus plenilunii, minores his contingunt dum dimidia apparet, imbecillae, dum utrinque gibba et falcata videtur. Nam validiffima eorum quae prius erant mutatio committitur dum luna cum fole coit ac ejus lumine circumvallatur, quippe quae prius apparebat, nunc nulli confpicitur. Dein diametra lunae ftatio tanquam diftinguens in binasque partea fecans contrarias maxime lunae difpofitiones, aliarum omnium eft validiffima; quod vero incrementum diminutioni maxime fit

τιωτάτη διάθεσις αὔξησις μειώσει, οὐδὲν δέομαι δεικνύειν. ἐφεξῆς δὲ ταύτης τῆς συνόδου τε καὶ τῆς πανσελήνου αἱ διχότομοι εἰς δύο μέσον ἑκάτερα τέμνουσα, τὸν μὲν τῆς αὐξήσεως χρόνον ἡ προτέρα, τὸν δ' αὖ τῆς μειώσεως ἡ δευτέρα. πάντων δ' ἔσχαταί τε καὶ ἀμυδρόταται τροπαὶ τοῦ περιέχοντος ἡμᾶς ἀέρος ἐν ταῖς μηνοειδέσι καὶ ταῖς ἀμφικύρτοις φάσεσι γίνονται, καὶ μᾶλλόν γε ἐν ταῖς ἀμφικύρτοις· οὐδεμία γὰρ ἐν αὐταῖς μεγάλη μεταβολὴ, καθάπερ ἐν ταῖς μηνοειδέσιν. ὥστε οὐδὲ Ἄρατος κακῶς αὐτῶν κατεφρόνησεν, ὡς ἂν ἀμυδρῶν ὑπαρχουσῶν, ἐπαινεῖν τε χρὴ τοὺς γράψαντας ὑπὲρ αὐτῶν ὡς οὐδὲ τὸ σμικρότατον παραλιπόντας. ἴδιον δ' ἐξαίρετον αἵ τ' ἐν ταῖς πανσελήνοις τροπαὶ καὶ τούτων ἔτι μᾶλλον αἱ κατὰ τὰς συνόδους ἴσχουσιν, αἱ μὲν γὰρ ὀξυτάτας εὐθὺς ποιοῦνται τὰς μεταβολὰς, αἱ σύνοδοι δ' ἀνωμάλους τε καὶ χρονίας. οὐδὲν γὰρ ἔχεις σαφῶς ἀποφῆναι, πρὶν φανῆναι τὴν σελήνην. πολὺς δ' οὗτος ὁ χρόνος ὁ τῆς κρύψεώς ἐστιν ὅλου σχεδὸν τοῦ ζωδίου. τὴν δ' ἐκ τῆς αὐξήσεως εἰς τὴν μείωσιν μεταβολὴν ἀκριβῶς διορίζει στιγμὴ, καὶ ταύτην ἡ σελήνη

contraria dispofitio, oftendere non eft opus. Deinde poft hunc congreffum et plenilunium duae dichotomi medium utraque fecans, augmenti tempus, prior, diminutionis altera. At omnium extremae imbecillimaeque aëris nos ambientis converfiones in falcatis et in utrinque gibbis apparitionibus fiunt, magis autem in utrinque gibbis, nulla fiquidem in eis magna mutatio ficut in falcatis apparet. Quare nec Aratus male ipfas neglexit, tanquam imbecillas exiftentes, convenitque eos laudare, qui de eis fcripferint, tanquam ne vel minimum quidem omittentes. At in pleniluniis converfiones et his adhuc magis in congreffibus, proprium hoc praeter caeteras habent, illa fiquidem celerrimas ftatim mutationes faciunt, congreffus vero inaequales et diuturnas; quid enim ante lunam apparentem manifefto pronuncies non eft. Longum autem hoc tempus occultationis eft, integri fere figni fpatium explens, mutationem vero ex incremento ad diminutionem punctum exacte definit, liquetque hoc lunam mo-

δῆλον ὡς ἐν ἀκαρεῖ χρόνῳ παραλλάττει. κατὰ λόγον μὲν οὖν ὀξεῖαι μὲν αἱ πανσέληνοι καὶ χρόνιαι δὲ αἱ συνοδικαὶ μεταβολαί. καὶ γὰρ ὁ τῆς κρύψεως χρόνος ὅμοιος ἑαυτῷ καὶ ὁ τῆς πρώτης φάσεως ἐγγὺς κρύψεως, καὶ τῇ σμικρότητι τοῦ φαινομένου τῆς πανσελήνου μορίου, καὶ τῇ τῆς αὐγῆς ἀμυδρότητι, καὶ τῷ βραχυχρονίῳ τῆς ὑπεργείου φορᾶς.

Κεφ. δ'. [496] Ἀσφαλὴς οὖν ἡ κρίσις ἀποτελεῖται τῆς ἐν ὅλῳ τῷ μηνὶ γενησομένης καταστάσεως ἐν τῇ δευτέρᾳ τῶν ἡμερῶν, ἐν ᾗ πρώτῃ καὶ σαφὴς ἡ σελήνη καὶ χρόνον ἀξιόλογον ὑπὲρ γῆς ἤδη φαίνεται καὶ φῶς αἰσθητὸν ἀποπέμπει καὶ σκιὰν ἐναργῶς δείκνυσιν. ἡ πρώτη δ' ἡμέρα μέχρι τοσούτου τὴν σελήνην ὑπὲρ γῆς ἔχει φερομένην, μέχρις ἂν ἔτι καὶ τὸ τοῦ ἡλίου φῶς ἐπέχῃ τὸ μετὰ τὴν δύσιν, ὥστ' ἐν ταύτῃ μὲν τῷ τοῦ ἡλίου συγκαταδύεται φωτὶ, πολλάκις δὲ καὶ προκαταδύεται. πρῶτον δὲ σαφὴς ἐν τῇ δευτέρᾳ τῶν ἡμερῶν φαίνεται, καὶ ποτὲ μὲν μᾶλλον, ποτὲ δ' ἧττον. καὶ τοῦτο δ' αὐτῇ συμπίπτει παρὰ τὸ ποσὸν τῆς πρὸς ἥλιον ἀποστάσεως. αὐτὸ δὲ τὸ ποσὸν τῆς ἀποστάσεως διά τε τὴν ἰδίαν τῆς

mentaneo tempore pertranfire. Itaque vere celeres plenilunii mutationes funt, diuturnae conjunctionales, nam occultationis tempus fibi ipfi fimile eft et primae apparitionis tempus occultationi vicinum eft, tum propter parvitatem ejus particulae, quae de tota luna apparet, tum ob luminis imbecillitatem, tum ob brevitatem temporis, quo fupra terram fertur.

Cap. IV. Tuta igitur crifis evadat, quum in toto menfe ftatus in fecundo die accidet, quo primo et manifefto luna et longo fatis tempore fuper terram jam apparet et lumen fenfile de fe mittit, ad haec umbram evidenter. Primus autem dies tamdiu lunam fupra terram vagantem habet, quamdiu is adhuc quoque folis lumen, quod poft occafum eft, retinet; quare in hoc luna fimul cum folis lumine occidit, faepe vero et prior eft occidiva; primum vero manifefta in fecundo die apparet, nunc quidem magis, nunc vero minus. Atque hoc ei accidit pro quantitate diftantiae a fole, haec autem ipfa quantitas diftantiae tum propter pe-

σελήνης γίνεται κίνησιν, οὐ γὰρ ἴσον ἀεὶ κινεῖται, καὶ διὰ τὴν τοῦ πλάτους ἐξάλλαξιν, καὶ διὰ τὴν τῶν ζωδίων δύσιν οὐκ ἰσόχρονον οὖσαν, καὶ πρὸς τούτοις ἔτι διὰ τὸν τῆς προγεγονυίας συνόδου καιρὸν, ὥστ' οὐκ ἀεὶ μὲν εἷς ὁ χρόνος ἐστὶν ἐν ᾧ φαίνεται σαφῶς ἡ σελήνη. τοὐπίπαν δὲ τρεῖς ἡμέρας τὰς περὶ σύνοδον ἢ ἀόρατος γίνεται τελέως, ἐν αἷς οὔπω τὰ παρ' ἡμῖν ἀλλοιοῦν ἱκανή. καί πως εἰς ταὐτὸν ὁ χρόνος αὐτῆς συμβαίνει τῆς τ' οἰκείας περιόδου τῆς τ' εἰς ἡμᾶς ἐνεργείας. ἡ μὲν γὰρ περίοδος ἑπτὰ καὶ εἴκοσιν ἡμερῶν ἐστιν, ἐπιλαμβανουσῶν τρίτον ἔγγιστα μέρος· ἐν τῷ τοσούτῳ γὰρ χρόνῳ τὸν τῶν ζωδίων κύκλον ἅπαντα διέρχεται· ἡ δὲ τῆς πρὸς ἡμᾶς φάσεως, ὅτι καὶ ἥδε πρὸς τὸν αὐτὸν ἀριθμὸν ὁμολογεῖ, σαφῶς εἴσῃ, τοῦ παντὸς χρόνου μηνιαίου τὸν τῆς κρύψεως ἀφελών. ὅτι δ' ὁ μηνιαῖος χρόνος οὐ τελέως τριάκοντά ἐστιν ἡμερῶν, ἀλλ' ἥμισύ που, καὶ τούτῳ προσδεῖ μιᾶς ἡμέρας, Ἱππάρχῳ μὲν ἀποδέδεικται δι' ἑνὸς ὅλου βιβλίου, γινώσκεται δὲ ἤδη καὶ τοῖς ἰδιώταις σχεδὸν ἅπασιν ὡς τῶν μηνῶν ὁ μὲν ἕτερος ὁ κυλλὸς ὑπ' αὐτῶν ὀνομαζόμενος ἐννέα καὶ κ'

liarem lunae motum fit, non enim ex aequo femper movetur, tum propter latitudinis immutationem, tum propter fignorum occafum non aequali tempore evenientem, infuper ob praeteriti congreffus tempus. Unde non femper unum tempus eft, quo clare luna confpicitur, ut plurimum tamen tribus diebus, qui circa congreffum funt, plane invifibilis fit, in quibus nondum haec terrena immutare poteft. Et quodam modo tempus tum peculiaris ejus circuitus tum in nos actionis in idem recidit; etenim circuitus vicenis diebus feptenisque et tertia fere diei parte peragitur, in tanto enim tempore totum figniferi circulum percurrit; at quo nobis lucefcit, circuitus quod is quoque eidem conveniat numero, plane intelliges, fi occultationis tempus de toto menftruo eximas. Quod autem menftruum tempus non omnino triginta diebus conftet, fed minus unius diei fere dimidio, Hipparchus integro uno libro demonftravit. Quin et vulgus jam prope univerfum novit menfium alium, quem Graeci nominant mutilum et imperfectum, dies vigintinovem

ἡμερῶν ἐστιν, ὁ δ' ἕτερος ὁ πλήρης τριάκοντα. χρὴ γὰρ ἀμφοτέρων ἐννέα καὶ πεντήκοντα γίνεσθαι τὰς πάσας, εἴπερ ὅλως ἐστὶν ἑκάτερος ἡμίσους ἀποδέων τριάκοντα.

Κεφ. ε'. Ὥσπερ οὖν τὸν ὅλον ἐνιαυτὸν ὁ ἥλιος, οὕτως ἡ σελήνη διατάττει τὸν μῆνα, καθ' ἑβδομάδας τῆς ἀλλοιώσεως ἐν αὐτῇ γιγνομένης. ἀπό τε γὰρ τῆς πρώτης φάσεως ἐπὶ τὴν διχότομον, ἀπό τε ταύτης ἐπὶ τὴν πανσέληνον ἑκάτερος μὲν ὁ χρόνος ἡμερῶν ἐστιν ἑπτὰ, συναμφότερα δὲ τεσσαρεσκαίδεκα. κατὰ ταὐτὰ δὲ κἂν εἰ μετὰ τὴν διχοτομηνιαίαν ἕως τῆς δευτέρας διχοτόμου συναριθμήσῃς, ἑπτὰ καὶ ταύτας εὑρήσεις τὰς ἡμέρας, καὶ τὰς λοιπὰς δὲ τὰς μέχρι τοῦ παντελῶς ἀφανισθῆναι τὴν σελήνην ἑπτά. τὸ δ' ὅτι μεταβάλλει μεγάλας μεταβολὰς ὁ περιέχων ἡμᾶς ἀὴρ ἔν τε τῷ πρώτως κρύπτεσθαι καὶ πάλιν αὖ πρώτως φαίνεσθαι τὴν σελήνην, οὔτ' ἄλλος τις τῶν ἀνθρώπων ἀγνοεῖ καὶ μάλιστα πάντων οἷσπερ δὴ καὶ μάλιστα μέλει τούτων, γεωργοῖς τε καὶ ναύταις, καὶ στάσιν γε καλοῦσι τηνικαῦτα τοῦ ἀέρος, ἐπειδὰν ἡ σελήνη πρώτως φανεῖσα κατά τινα τῶν

obtinere, alium nempe abfolutum, triginta. Nam univerfos amborum dies quinquaginta novem effe oportet, fiquidem uterque omnino triginta minus dimidia diei parte continet.

Cap. V. Quemadmodum igitur annum integrum fol disponit, ita luna menfem mutatione per feptimanas ei accidente. Nam a prima apparitione ad dichotomum et ab hac ad plenilunium utrumque quidem per fe tempus dierum eft feptem, ambo vero fimul quatuordecim. Simili modo fi inde, ubi ipfa aequali portione menfem dividit, usque ad fecundam dichotomum connumeraveris, feptem et hos invenies dies, reliquos etiam qui usque ad abfolutam lunae occultationem funt, feptimum. Caeterum aëra nos ambientem magnas fufcipere mutationes, dum luna primum occultatur et rurfus primum apparet, nemo mortalium ignorat, maxime ii quibus hoc ftudii eft, agricolae et nautae, qui ftatum aëris tunc vocant, quum luna primum apparens fecundum aliquem ventum ftet. Quamobrem Aratus quo-

ἀνέμων ἵστηται. λέγει γοῦν που καὶ ὁ Ἄρατος ἀληθέστατα λέγων, ἀπὸ τῆς πρῶτον ἀπὸ συνόδου φανείσης σελήνης·

[497] Εἰ δέ κεν οἱ κεράων τὸ μετήορον εὖ ἐπινεύοι,
Δειδέχθαι Βορέω, ὅτε δ' ὑπτιά εἰσι, Νότοιο.
Αὐτὰρ ἐπὴν τριτόωσαν ὅλην περὶ κύκλος ἑλίσσῃ,
Πάντῃ ἐρευθόμενος, μάλα κεν τότε χείμερος εἴη.

καὶ μὲν δὴ καὶ ταῦτα λέγει κατὰ τὴν αὐτὴν βίβλον·

Σήματα δ' οὔτ' ἄρα πᾶσιν ἐπ' ἤμασι πάντα τέτυκται.
Ἀλλ' ὅσα μὲν τριτάτῃ τε τεταρταίῃ τε πέληται,
Μέσφα διχαιομένης, διχάδος γε μὲν ἄχρις ἐπ' αὐτὴν
Σημαίνει διχόμηνον. ἀτὰρ πάλιν ἐκ διχομήνης
Ἐς διχάδα φθιμένην. ἔχεται δέ οἱ αὐτίκα τετράς,
Μηνὸς ἀποιχομένου, τῇ δὲ τετάρτῃ ἀπιόντος.

οὐκ εἰς ἅπαντά φησι τὸν ἐξ ἀρχῆς χρόνον ἐξαρκεῖν τὰ σημεῖα τῆς πρώτης φάσεως, μεταβολάς δέ τινας φέρειν τάς (446) τε

dam loco veriffime fcribit de luna, ubi primum poft coitionem apparuerit, modo inquiens:

Cynthia fi cornu, quod fi fuftollit in altum,
Incurvum fpecie velut annuat, adfore caelo
Saeva procellofi praedicet flabra aquilonis.
Rurfus eo veniet pluvius Notus, hanc ubi partem
Pone fupinari confpexeris, inque reclivem
Sponte habitum, verum fi lumen tertius ortus
Proferat, atque Deae convolvat circulus oras
Suffufus rutilo, mox tempeftate fonora
Spumofum late pelagus canefcere cernes.

Quinetiam haec in eodem libro fcribit:

Non unum deprehenfa diem tibi figna loquuntur.
Sed quae figna novo dederit nox tertia motu
Quartave, fuftollat medios dum Cynthia vultus,
Durabunt caelo, medio quae edixerit ore,
Altera provifae fignantur tempora Luna.
Illa dehinc donec germani luminis igneis
Accedat Phoebe, menfis poftrema notabunt.

Non ad omne tempus quod ab initio eft usque ad finem primae apparitionis figna fufficere ait, fed dichotomos

διχοτόμους καὶ πανσελήνους. ἅπασα δ' ὀξύῤῥοπος μεταβολὴ κρίσις ὀνομάζεται. καὶ τήν γε σύστασιν ἐπὶ τῆς μηνοειδοῦς σελήνης μάλιστα λέγουσιν, ἐφεξῆς μεταφέρουσιν ἐπὶ τὴν πανσέληνον, ὡσαύτως ὀνομάζοντες. ἰσχυρὰς ἂν γὰρ καὶ ἥδε δυνάμεις ἔχῃ, ταύτης δ' ἀσθενέστεραι μὲν, ἀλλὰ κρίνουσαι μὲν καὶ αὗται τὸ περιέχον αἱ διχότομοι στάσεις εἰσὶν, ὥσθ' ὅτι μὲν ὁ μὴν ὑπὸ σελήνης ἀλλοιοῦται καθ' ἑβδομάδας ἤδη πρόδηλον, ὅτι δὲ καὶ τὰ ἄλλα σύμπαντα πράγματα, τοῦτο μὲν οὐκέτι ὁμοίως ἅπασι γνώριμον, ἀλλὰ καὶ τοῖς τὰ τοιαῦτα παραφυλάξασιν ἐπιμελῶς ὁμολογεῖται· καὶ ἡ μετὰ τὴν σύλληψιν τοῦ σπέρματος ἅπασα κύησις, οὐδὲν δ' ἧττον αὐτῆς καὶ ἡ μετὰ τὴν ἀποκύησιν αὔξησις, ἅπασά τε πράξεως ἀρχὴ τὰς μεγάλας ἀλλοιώσεις εἰς ἑβδομαδικὰς ἴσχει περιόδους. ὅσα γὰρ ἐφήμερα συμπίπτει πᾶσι τοῖς οὖσι, τούτων ἡ σελήνη τετήρηται τὴν αἰτίαν ἔχειν, καὶ μάλιστα ἀλλοιοῦσα αὐτὰ κατὰ τὰς τετραγώνους καὶ διαμέτρους στάσεις. εἰ γὰρ ἐν ταύρῳ τῆς σελήνης οὔσης ἐγένετο σύλληψις τοῦ σπέρματος, ἢ ἀποκύησις, ἢ τινος ὅλως ἀρχὴ πράγματος, ἐπειδὰν ἐν λέοντι καὶ σκορπίῳ καὶ ὑδροχόῳ περι-

et plenilunia mutationes quasdam affere. Omnis autem velox mutatio crisis appellatur, et statum quidem in luna falcata potissimum dicunt, deinde ad plenilunium transferunt similiter vocantes, hoc enim validas vires etiam obtinet, hoc autem imbecilliores quidem sunt semilunares stationes, attamen et hae quoque de aëre decernunt. Quare mensem a luna immutari secundum septimanas jam est perspicuum. Quod autem aliae res universae inde quoque mutantur omnibus non perinde constat, sed iis qui hujusmodi accurate observarint, in confesso est. Ad haec post seminis conceptionem omnis impraegnatio. Insuper nihilo minus hac et post partum adauctio. Item omne actionis initium magnas alterationes in septimanos circuitus obtinet. Quae namque quotidie omnibus quae subsistunt, incidunt, horum causam luna habere observata est, maximeque tetragonis et diametris stationibus ea immutans. Nam si luna in tauro existente semen concipiatur, vel partus, vel omnino alterius cujusdam principium contigerit, magnas ejus muta-

ερχομένη τοῦ ζωδιακοῦ γίνηται, τὰς μεγάλας αὐτοῦ ποιήσεται μεταβολάς. ἀλλ' ἡ μὲν ἐν τῷ λέοντι τετράγωνος στάσις ἑβδομάδος ἐστὶ μιᾶς· ἡ δὲ διάμετρος ἡ ἐν τῷ σκορπίῳ δυοῖν. οὕτω δὲ καὶ ἡ κατὰ τὸν ὑδροχόον, ἡ δευτέρα τετράγωνος στάσις εἰς τὴν τρίτην ἑβδομάδα προήκει καὶ τοῦτ' ἐξ ἀνάγκης γίνεται διὰ τὸ τὴν σελήνην, ὡς εἴρηται καὶ πρόσθεν, ὅλον τὸν ζωδιακὸν ἑπτὰ καὶ εἴκοσιν ἡμέραις διεξέρχεσθαι, μετά τινος ἐπικειμένου μορίου, τρίτου μάλιστα μιᾶς ἡμέρας. εἰ γὰρ δεῖ τὸν ὅλον κύκλον ἐν τοσούτῳ χρόνῳ διέρχεσθαι, πρόδηλον ὡς τὸ τέταρτον αὐτοῦ μέρος ὀλίγου δεῖν ἐν ἡμέραις ζ' διανύσει. τούτου μὲν οὖν καὶ πάνυ χρὴ μεμνῆσθαι πρὸς τὰ μέλλοντα, τοῦ μὴ τελείας ἡμέρας ζ' περιγράφεσθαι τὴν εἰς τὸ τετράγωνον τῆς σελήνης μετάστασιν.

Κεφ. στ'. Ἐκεῖνο δ' αὖθις ἀναληπτέον, ὅπερ καὶ ἡμεῖς παραφυλάξαντες ἀληθέστατον εὕρομεν ἀεὶ τὸ πρὸς τῶν Αἰγυπτίων ἀστρονόμων εὑρημένον, ὡς ἡ σελήνη τὰς ἡμέρας ὁποῖαί τινες ἔσονται δηλοῦν πέφυκεν οὐ τοῖς νοσοῦσι μόνον, ἀλλὰ καὶ τοῖς ὑγιαίνουσιν. εἰ μὲν γὰρ πρὸς τοὺς εὐκράτους

tiones faciet, quando ſigniferum percurrens in leone, ſcorpio et aquario fuerit. Verum in leone quadrata ſtatio ſeptimanae unius exiſtit. In ſcorpio diametra duas ſeptimanas habet: ita quoque in aquario ſecundo quadrangularis ſtatio in tertiam ſeptimanam procedit, idque neceſſario, quod luna, ſicut ante diximus, vicenis diebus ſeptenisque et particula quadam adjecta, maxime tertia diei parte, univerſum ſigniferi ambitum peragit. Si namque in toto tempore totum orbem pertranſire oportet, conſtat quartam ipſius partem in ſeptem prope diebus eam expedituram. Proinde hujus te admodnm meminiſſe ad futura convenit, nempe lunae transpoſitionem tetragonon non diebus ſeptem integris circumſcribi.

Cap. VI. Porro illud denuo repetendum eſt, quod nos quoque obſervantes veriſſimum ſemper eſſe comperimus ab Aegyptiis aſtronomis inventum, lunam non modo aegris, ſed etiam ſanis, dies quales tandem futuri ſint, poſſe praenunciare. Si etenim ad planetas temperatos ſteterit, quos

ἵσταιτο τῶν πλανητῶν, οὓς δὴ καὶ ἀγαθοποιοὺς ὀνομάζουσιν, ἀγαθὰς ἀπεργάζεσθαι τὰς ἡμέρας· [498] εἰ δὲ πρὸς τοὺς δυσκράτους, ἀνιαράς. ἔστω γὰρ ἀποκυϊσκομένου τινὸς ἐν μὲν τῷ κριῷ τοὺς ἀγαθοποιοὺς, ἐν δὲ τῷ ταύρῳ τοὺς κακοποιοὺς εἶναι, πάντως οὗτος ὁ ἄνθρωπος, ἐπειδὰν μὲν ἐν κριῷ καὶ καρκίνῳ καὶ ζυγῷ καὶ αἰγοκέρωτι γένηται ἡ σελήνη, καλῶς ἀπαλλάσσει. ἐπειδὰν δ' ἤτοι τὸν ταῦρον αὐτὸν, ἤ τι τῶν τετραγώνων, ἢ τὸ διάμετρον αὐτοῦ ζώδιον ἐπέχῃ, κακῶς τηνικαῦτα καὶ ἀνιαρῶς διάγει. καὶ δὴ καὶ νοσημάτων ἀρχαὶ τῷδε κάκισται μὲν ἐν ταύρῳ καὶ λέοντι καὶ σκορπίῳ καὶ ὑδροχόῳ τῆς σελήνης οὔσης, ἀκίνδυνον δὲ καὶ σωτήριον τὸν κριὸν καὶ τὸν καρκίνον καὶ τὸν ζυγὸν καὶ τὸν αἰγόκερων διερχομένης, καὶ τὰς ἀλλοιώσεις τὰς μεγάλας ἃς ἐν τοῖς τετραγώνοις τε καὶ διαμέτροις ἔφαμεν γίγνεσθαι καθ' ἑβδομάδα, ἐν μὲν τοῖς ὀλεθρίοις νοσήμασιν ὀλεθρίας καὶ αὐτὰς, ἐν δ' αὖ τοῖς περιεστηκόσιν ἀγαθὰς ἀνάγκη γίνεσθαι. καὶ διὰ τοῦθ' Ἱπποκράτης μέμφεται μάλιστα τὰς ἐν ταῖς κρινούσαις ἡμέραις ἀλλοιώσεις ἐπὶ τὸ χεῖρον. ὀλεθρίου γὰρ νοσήματος σύμπτωμα, καθάπερ, οἶμαι, τοὐναντίον ἐπιεικοῦς. εἰ δέ τις καὶ αὐτοῦ τούτου ζη-

jam nominant, falutares fauftos ac bonos dies producere, fi ad intemperatos, graves moleftosque. Fingamus enim homine quodam nafcente falutares planetas in ariete, malignos in tauro effe, is homo nimirum, quum luna in ariete, cancro, libra et capricorno fuerit, pulchre deget, quum vero taurum ipfum, vel tetragonum aliquod, vel diametrum fignum occupat, male tunc et molefte vitam tranfiget. Atque jam morborum initia huic, quum luna in tauro, leone, fcorpio et aquario fuerit, peffima, fine periculo autem et falutaria funt, quum arietem, cancrum, libram et capricornum luna permeat. Ad haec alterationes magnas, quas in tetragonis et diametris per feptimanas fieri diximus, in lethalibus quidem morbis lethales et ipfas, in falubribus bonas evenire neceffe eft. Quamobrem Hippocrates etiam damnat maxime mutationes, quae in diebus decretoriis ad pejora declinant, quippe quod lethalis morbi fymptoma fit, quemadmodum, ut arbitror, benigni contrarium. Quod fi quis

τεῖ τὴν αἰτίαν, τοῦ τὸ μέγιστον δύνασθαι τὰς τετραγώνους τε καὶ διαμέτρους στάσεις, ἐπὶ πλεῖστον ἀποχωρεῖ τοῦ προκειμένου. πρόκειται γὰρ νυνὶ οὐ τὰς πρώτας αἰτίας ἁπάντων τῶν κατ' ἀστρονομίαν ζητεῖν, ἀλλὰ τὰς εἰς τὰ παρόντα χρησίμους. χρήσιμοι δ' εἰσὶν αἰτίαι τῆς ἑβδομάδος ἐξηγούμεναι φύσιν. πάλιν οὖν αὐτὰς ἀναλάβωμεν ἐπὶ κεφαλαίων. αἱ τῆς σελήνης τετράγωνοί τε καὶ διάμετροι στάσεις ἐπὶ μὲν ἀγαθαῖς ταῖς ἀρχαῖς ἀγαθὰς ποιοῦσι τὰς ἀλλοιώσεις, ἐπὶ δὲ μοχθηραῖς μοχθηράς. καὶ τοῦτο πρὸς τῷ τοῖς ἀστρονόμοις ὁμολογεῖσθαι πάρεστιν, εἰ βούλει, καί σοι παραφυλάξασθαι. εἰ δὲ μήτ' αὐτὸς παρατηρεῖν ἐθέλεις τὰ τοιαῦτα μήτε τοῖς τηρήσασι πιστεύεις, τῶν νῦν ἐπιπολαζόντων τις εἶ σοφιστῶν· οἳ λόγῳ κατασκευάζειν ἡμᾶς ἀξιοῦσι τὰ σαφῶς φαινόμενα, δέον αὐτὸ τοὐναντίον ἐκ τῶν ἐναργῶς φαινομένων ὁρμωμένους ὑπὲρ τῶν ἀδήλων συλλογίζεσθαι. πρὸς τὴν ἰδίαν οὖν ἀρχὴν ἅπαν πρᾶγμα τὰς ἐφεξῆς περιόδους ἁπάσας ὁμολογούσας ἔχει.

Κεφ. ζ. Περίοδοι δ' εἰσὶν αἱ μὲν δι' ἡμερῶν ἀριθ-

et hujus ipſius cauſam, cur quadratae et diametrae ſtationes ſint potentiſſimae quaerat, is longi[illegible]opoſita diſputatione digreditur. Nam in praeſent[illegible]imas cauſas omnium, quae ad aſtronomiam pertinent, ſed quae propoſito noſtro utiles ſint, inquirere cogitamus. Utiles autem cauſae ſunt, quae ſeptimanae naturam interpretantur, rurſus igitur eas in ſummam colligamus. Lunae tetragonae et diametrae ſtationes in principiis bonis bonas faciunt alterationes, in malis malas. Atque hoc praeterquam quod aſtronomis in confeſſo eſt, integrum eſt et tibi obſervare. Sin autem hujusmodi nec obſervare volueris nec iis qui obſervarunt, fidem adhibere, indubie ſophiſtarum ubique nunc obſtrepentium aliquis es, qui ratione manifeſto apparentia nos approbare poſtulant, quum e contrario ex evidenter apparentibus de abditis ratiocinandum eſſet. Ita ſuo quaeque res principio circuitus ſequentes univerſos conſonos habet.

Cap. VII. Circuituum vero alii numero quodam

μοῦ τινος, αἱ δὲ διὰ μηνῶν. αἱ μὲν δὴ διὰ τῶν ἡμερῶν ἑβδοματικαί εἰσι καὶ πρὸς τὴν σελήνην ἀνήκουσιν, αἱ δὲ διὰ μηνῶν εἰς ἥλιον ἀναφέρονται· τόνδε τὸν τρόπον γιγνόμεναι. πάλιν γὰρ ἀπὸ τῶν Ἱπποκράτους ἀρκτέον ῥήσεων, τὰς μὲν θερινὰς νόσους ἐν χειμῶνι λέγοντος λύεσθαι, τὰς δὲ χειμερινὰς ἐν θέρει. αὕτη μέν σοι προθεσμία κρίσεών ἐστι χρονίων τε καὶ ὡς ἂν εἴποι τις ἐνιαυσιαίων νοσημάτων, οἷά περ ἐν τοῖς ὀξέσιν ἡ τῆς ιδ. ὁ γὰρ μέχρι τῆς πανσελήνου χρόνος, ἥμισυς ὑπάρχων ὅλης τῆς σεληνιακῆς περιόδου, τὸν αὐτὸν ἔχει λόγον τῷ μέχρι θέρους ἐκ χειμῶνος διαστήματι. καὶ μὲν δὴ καὶ ὁ ἀπὸ τῆς πανσελήνου μέχρι τῆς κρύψεως χρόνος ἀνάλογός ἐστι τῷ μέχρι χειμῶνος ἐκ θέρους διαστήματι. τούτων δ᾽ ἑκατέρου διχῆ τμηθέντος, ἐν μὲν τοῖς ὀξέσι νοσήμασιν ἡ ἑβδομάς ἐστιν, ἐν δ᾽ αὖ τοῖς χρονίοις αἱ τῶν ἐπιφανεστάτων ἄστρων εἰσὶν ἐπισημασίαι, καθ᾽ ἃς ἔαρ καὶ θέρος καὶ χειμὼν καὶ φθινόπωρον ἀφορίζονται. οὐ γὰρ δὴ ἴσων γε ἡμερῶν ἀριθμῷ διῄρηται ταῦτα κατ᾽ οὐδένα τῶν ἀστρονόμων, ἀλλὰ ταῖς τοῦ περιέχοντος ἡμᾶς ἀέρος μεταβολαῖς ἐπισήμοις οἰακίζεται. καί σοι

dierum conftant, alii menfium. Jam vero qui dierum numero conftant, feptimani funt et lunae modo incedunt, qui autem menfium, ad folem referuntur, eodem modo evenientes. Iterum enim ab Hippocratis verbis initium fumendum, *aeftivos morbos* dicentis *hieme folvi, hiemales aeftate.* Hoc quidem longorum morborum et quafi dicas annalium judicii ftatutum tempus eft, quemadmodum acutorum decimusquartus dies. Tempus enim quod ad usque plenilunium eft, totius lunaris circuitus dimidium exiftens, eandem rationem habet cum intervallo, quod ab hieme ad aeftatem usque intercedit, quin etiam a plenilunio ad usque occultationem tempus, fpatio quod ab aeftate ad hiemem usque porrigitur proportione refpondet. Sed horum utrumque bifariam fectum in acutis morbis feptimana eft, in diuturnis clariffimorum fiderum exortus, quorum ratione ver, aeftas, hiems et autumnus defcribuntur. Non etenim pari dierum numero haec fecundum ullius aftronomi fententiam divifa funt, verum manifeftis ambientis aëris mutationibus

πάλιν ἑτέρῳ λόγῳ. καθάπερ ἡ ἑβδομὰς ὀξέων νοσημάτων κριτική, [499] τὸν αὐτὸν τρόπον ὥρας ἐνιαυσιαίου μεταβολὴ χρονίων ἔσται νοσημάτων λυτική, ἵνα τὴν μὲν ἐν χειμῶνι συστᾶσαν νόσον ἔαρ λύσῃ, τὴν δ᾽ ἐν ἦρι θέρος, ὡσαύτως δὲ καὶ τὴν μὲν ἐν θέρει φθινόπωρον, τὴν δ᾽ ἐν ἐκείνῳ χειμών. ἐν δὲ ταῖς ἐν τῷ μηνὶ τετράσιν ἀνάλογον αἱ τῶν ὡρῶν εἰσιν ἑκάστης διχῇ τμηθείσης μοίρας. καὶ λέγεταί γε πρὸς τῶν ἀστρονόμων ὥσπερ ἀρχή τις εἶναι καὶ τελευτὴ τῶν ὡρῶν ἑκάστης ἐπιτολαῖς, ἢ δύσεσιν ἄστρων ἐπιφανῶν ὁριζομένη, κατὰ τὸν αὐτὸν τρόπον καὶ μεσότης ἑτέρου πάλιν ἄστρου φάσει διωρισμένη. τὰς οὖν τῶν νοσημάτων ἐν μέρει μεταβολὰς ἁπάσας ἢ ὡς πρὸς τὴν ἰδίαν ἀρχὴν αὐτῶν, ἢ ὡς πρὸς τὴν τοῦ περιέχοντος ἡμᾶς ἀέρος τροπὴν ἀνάγκη γίγνεσθαι. τῶν μὲν οὖν πρὸς τὴν ἰδίαν ἀρχὴν ἐξηγεῖσθαι τὴν σελήνην, τῶν δ᾽ ὡς πρὸς τὴν τοῦ περιέχοντος ἡμᾶς ἀέρος τροπὴν ἐν ὅλῳ μὲν τῷ ἐνιαυτῷ τὸν ἥλιον, ἐν ἑκάστῳ δὲ τῶν μηνῶν τὴν σελήνην. ἐκ δὲ τούτων συμβαίνει τὰς μὲν ἰσχυροτάτας μεταβολὰς εἶναι τὰς

diſtinguntur. Rurſus et alio modo. Quemadmodum ſeptimana acutorum morborum decretoria eſt, ſic temporis annui mutatio diuturnorum morborum erit ſolutoria, ut in hieme quidem conſtitutum morbum ver ſolvat, in vere conflatum aeſtas, ſimili ratione per aeſtatem contractum autumnus, in hoc paratum hiems. Caeterum ſingularum partium biſariam diviſarum partes menſis quaternariis proportione reſpondent. Quin aſtrologis etiam dicitur, quem in modum anni temporis cujusque et initium et finis ſiderum clarorum ortu et occaſu deſcribitur, in eundem quoque cujusque medietas, alterius rurſus ſideris exortu diſtinguitur. Itaque univerſas particulares morborum mutationes vel tanquam ad proprium ipſorum principium, vel tanquam ad ambientis nos aëris converſionem evenire neceſſe eſt. Quae igitur ceu ex proprio ipſorum principio fiunt, lunam ſequuntur, quae vero ab aëris nos ambientis converſione, in toto quidem anno ſolem, in ſingulis autem menſibus lunam. Ex his jam accidit mutationes validiſſimas eſſe, quae

ἰδίας ἑκάστῳ καθ᾽ ἑβδομάδα δηλονότι γιγνομένας, οὐ μὴν ἀλλὰ καὶ συνεπιμίγνυσθαί πως αὐταῖς τὰς ἐκ τοῦ περιέχοντος, ὥστ᾽ εἰκότως ἐκ τοῦ διὰ παντὸς ὡσαύτως γίνεσθαι, μεταπίπτουσιν οὕτως εἰς τὸ πλειστάκις. ἔτι δὲ μᾶλλον ἐπιταράττει τὴν τάξιν αὐτῶν ἥ τε βία τῶν παροξυσμῶν ἀναγκάζουσα προεκρήγνυσθαι τὰς κρίσεις, ὡς ἐφεξῆς ἐροῦ(447)μεν, ἥ τ᾽ εἰς τοὺς νοσοῦντας πλημμέλεια πολυειδὴς γινομένη αὐτῶν παρά τε τῶν ἰατρῶν, εἴ γε χρὴ καλεῖν ἰατροὺς, οὐ λυμεῶνας τῆς τέχνης, τούτους δὴ τοὺς νῦν ἐπιπολάζοντας, οὐχ ἥκιστα δὲ κἀξ ὧν οἱ κάμνοντες ἁμαρτάνουσιν καὶ διὰ τὴν ὑπηρεσίαν δ᾽ ἐνίοτε καὶ δι᾽ τι τῶν ἔξωθεν, ὡς πρόσθεν εἴρηται. θαυμάζειν οὖν χρὴ τῶν ἑβδομαδικῶν περιόδων τὴν δύναμιν, εἰ τοσούτων αἰτίων διακοπτόντων αὐτὰς, ὅμως ἐπικρατέστεραι πολὺ τῶν ἄλλων εὑρίσκονται. κατὰ μὲν τὰς ὀξείας νόσους, αἱ παρεμπίπτουσαι κρίσιμοι πλείους εἰσὶν, ὅτι καὶ τὸ σῶμα πρὸς μεταβολὴν ἐπιτήδειον, ἐν κινήσει τε καὶ ταραχῇ μεγάλῃ καθεστηκός· ἐν δὲ ταῖς χρονιωτέραις ὁδῷ καὶ τάξει μᾶλλον πρόεισιν ἡ τῶν ἑβδομάδων περίοδος.

videlicet cuique per feptenos dies proprie contingunt, quamvis etiam ipfis quodammodo commifceantur, quas aër excitat. Quare merito inde quod femper eodem modo accidant, in id ut in plurimis morbis fiant, decidunt. Adhuc autem magis ipfarum ordinem perturbat acceffionum violentia, crifes praerumpere compellens, ut in fermonis proceffu dicemus. Ad haec varius in aegrotis admiffus error tum ab ipfis medicis, fi medici appellandi fint, non artis corruptores, qui hoc feculo permulti funt, tum nihilominus ex iis quae laborantes peccant, quin et propter minifterium quandoque, et propter aliquod eorum quae extrinfecus accidunt, uti prius diximus. Igitur feptimanoruum virtutem mirari convenit, fi tot caufis eos interrumpentibus, multo tamen aliis fortiores inveniuntur. In acutis quidem morbis coincidentes decretorii plures funt, quoniam et corpus mutationi accommodum eft, in motu et perturbatione vehementi conftitutum, in longioribus via et ordine magis feptimanarum circuitus procedit.

Κεφ. η'. Ἀρκτέον οὖν αὖθις ἀπὸ τῶν ὀξέων ἁπασῶν, ἐφεξῆς τῶν κρινουσῶν ἡμερῶν τὰς αἰτίας ἐξιχνεύοντας. ἐν μὲν δὴ τῇ πρώτῃ τοὺς ἐφημέρους λύεσθαι συμβαίνει πυρετοὺς, οὐ μὴν ἤδη μετ' ἀγῶνός τε καὶ ταραχῆς ἀξιολόγου. καίτοι νομίζουσιν ἔνιοι καὶ Ἱπποκράτην τὰς κρινούσας ἡμέρας ἐν τῷ πρώτῳ τῶν ἐπιδημιῶν καταλέγοντα καὶ τῆς πρώτης μεμνημονευκέναι, κατὰ διττὸν τρόπον ἁμαρτάνοντες. περίοδος γὰρ πρώτη καὶ οὐχ ἡμέρα πρώτη γέγραπται σαφῶς ἐν τῷ τῶν περιττῶν καὶ ἀρτίων καταλόγῳ. καθάπερ οὖν ἐν τῷ τῶν ἀρτίων περίοδον πρώτην εἰπὼν ἐπιφέρει τὴν τετάρτην ἡμέραν, οὕτως ἐν τῷ τῶν περιττῶν τὴν τρίτην. ἔτι δὲ μᾶλλον ἀγνοοῦσι τὸ κατ' ἀρχὰς τοῦ προγνωστικοῦ γεγραμμένον ἐπὶ τοῦ νεκρώδους προσώπου, τὸ κρίνεται ἐν ἡμέρῃ καὶ νυκτὶ, ἢν διὰ ταύτας τὰς προφάσιας τὸ πρόσωπον τοιοῦτον ᾖ, μή πω γινώσκοντες ὡς ἐπὶ τοῦ δοκιμάζεται καὶ ἀναγνωρίζεται λέλεκται. τούτους μὲν οὖν ἐατέον. ἀρχὴν δὲ τῶν μετὰ σάλου τινὸς ἀλλοιουσῶν ὀξέως τὰς νόσους ἡμερῶν τὴν τρίτην ἀπὸ τῆς ἀρχῆς θετέον, ὡς καὶ πρόσθεν εἴρηται, μηδεμίαν ἔχουσαν ἤδη

Cap. VIII. Quapropter ab acutis denuo incipiamus omnium consequenter decernentium dierum causas investigantes. Jam quidem in primo febres diarias solvi contingit, non tamen jam cum certamine et perturbatione effatu digna, quamquam nonnulli Hippocratem quoque dies decretorios in epidemiῶn primo enumerantem et primi meminisse putant, duplici nomine errantes. Circuitus enim primus et non dies primus, manifesto scriptus est in parium impariumque dierum catalogo. Quemodmodum igitur in parium enumeratione primum circuitum praefatus, quartum diem inducit, ita in mentione imparium tertium. Adhuc vero magis ignorant quod statim initio prognostici scriptum est de facie cadaverosa. Quod si ob hujusmodi causas haec faciei species orta est, una die nocteque judicantur, non intelligentes loco verbi probatur et cognoscitur dictum esse. Hos igitur missos faciamus. Principium autem dierum, qui cum agitatione quadam acute morbos mutant, tertium a principio statuere oportet, veluti prius etiam dictum est, qui nul-

πρὸς τὴν πρώτην ἑβδομάδα κοινωνίαν, ἀλλ' ἐκ τῶν παρεμπιπτουσῶν ὑπάρχουσαν. ἡ μὲν γὰρ τετρὰς [500] ὅτι διχῇ τμηθείσης τῆς ἑβδομάδος ἀποτελεῖται καὶ διὰ τοῦτο μεγάλην ἔχει δύναμιν, ἔμπροσθεν εἴρηται. κρίνουσι δ' οὐχ ἧττον τῆς τετάρτης ἡμέρας ἡ γ' τε καὶ ε', καίτοι παρεμπίπτουσι δι' οὐδὲν ἄλλο ἢ ὅτι μετὰ τῶν παροξυσμῶν αἱ κρίσεις γίνονται. τοῦτο γὰρ δὴ καὶ αὐτὸ πρός τε τῆς ἐμπειρίας μαρτυρεῖται καὶ τῷ λόγῳ σκοπουμένοις οὐκ ἄδηλος ἡ αἰτία. τὸ γὰρ τῆς ταραχῆς βίαιον ἀναγκάζει τὴν φύσιν ἀποτρίβεσθαι τὰ λυποῦντα καὶ πρὸ τοῦ καιροῦ. δύναμις μὲν γάρ ἐστιν αὐτὴ τῶν ἀλλοτρίων ἐκκριτικὴ, καθότι δέδεικται πρότερον ἐν τοῖς τῶν φυσικῶν δυνάμεων ὑπομνήμασιν. ὁ καιρὸς δὲ τῆς ἐνεργείας ἐπὶ τῷ τέλει τῆς ἀλλοιωτικῆς δυνάμεώς ἐστι. τότε γὰρ ἐνεργεῖν ἐδείκνυτο κατὰ φύσιν ἁπάντων ἐπιτελουμένων, ὅταν ἐκείνη παύηται, ἀλλ' ἀναγκάζηταί ποτε πρὸ τῆς τελείας πέψεως ἀποτρίβεσθαι τὰ λυποῦντα, ὥσπερ ἐνίοτε συμπεπληρωμένης ἤδη τῆς πέψεως ἔτι μένει καὶ βραδύνει δι' ἀῤῥωστίαν. ἄμφω δ' ἔστιν αὐτὰ θεάσασθαι σαφῶς ἐπὶ τῆς γαστρός. ἐρεθισθεῖσά τε γὰρ οὐχ

lam jam cum prima feptimana communionem habet, fed ex coincidentibus exiftit. Siquidem quaternarius quod feptimana in duas partes fecta abfolvitur, ideoque permagnam facultatem obtinet, in priore fermone dictus eft. Tertius vero et quintus dies non minus judicant quam quartus, quamvis coincidant nulla alia ratione quam quod cum accessionibus crifes fiunt, hoc enim ipfum et ab experientia teftimonium habet et ratione contemplantibus non obfcura ejus caufa eft. Nam perturbationis violentia naturam ea quae moleftant etiam ante tempus propulfare compellit, quippe virtus ipfa eft aliorum expultrix, quemadmodum in opere de naturalibus facultatibus antea demonftratum eft. Tempus autem actionis poft finem alteratricis facultatis eft, tunc enim functionem obire omnibus fecundum naturam abfolutis oftendebatur, quum illa ab actione deftiterit. Verum ante perfectam coctionem interdum quae offendunt amoliri cogitur, ut interdum concoctione jam abfoluta moratur adhuc et lente propter imbecillitatem munus fubit. Utrunque autem in

ὑπομένει τὸν τῆς πέψεως χρόνον, ἀλλ᾽ εὐθὺς ἐκκρίνει σὺν τῷ λυποῦντι καὶ τὸ χρηστὸν, ἤδη τε πεπεμμένον αὐτάρκως ἐνίοτε βραδύνει τε καὶ μέλλει τὸ περιττὸν ἐκκρῖναι δι᾽ ἀῤῥωστίαν. ἐν δέ γε τῷ κατὰ φύσιν ἔχειν ὁ τῆς παντελοῦς πέψεως καιρὸς ὅρος ἐστὶν αὐτῆς τῆς τῶν περιττωμάτων ἀποκρίσεως, ὃν οὔτε προελάμβανεν οὔτ᾽ ἔμελλεν ἔτι παρόντος, ἀλλ᾽ ὡς ἐπὶ τῆς γαστρὸς, οὕτω καθ᾽ ὅλον ἐδείκνυτο τὸ σῶμα δύναμις ὑπάρχειν ἐν ἑκάστῳ τῶν μορίων ἀποκριτικὴ τῶν ἀλλοτρίων, ἥτις, οἶμαι, καὶ τὰς κρίσεις ἐν ταῖς νόσοις ἀπεργάζεται, καὶ διὰ τοῦτο ἄρισται γίνονται κρίσεις, ὅταν ἤδη πεπεμμένα τὰ κατὰ τὸ ζῶον ὑπάρχῃ πάντα. τὸ δὲ προεκρήγνυσθαι, καὶ γὰρ οὕτως ὀνομάζειν εἴωθεν Ἱπποκράτης, αὐτὸ μοχθηρόν ἐστιν. ὁμοῦ γὰρ τοῖς λυποῦσιν ἐκκρίνεται τὰ χρηστὰ καὶ γίνεται τοῦτο τῆς φύσεως ἐρεθισθείσης ἤτοι πρός τινος τῶν ἔξωθεν ἢ καὶ τῶν ἐν αὐτῷ τῷ σώματι ἐμπεριεχομένων. ἔξωθεν μὲν οὖν ἐστιν ὅ τ᾽ ἰατρὸς οὐκ ὀρθῶς τι πράξας ὅ τε κάμνων, οἵ θ᾽ ὑπηρέται, τά τ᾽ ἄλλα τὰ ἰδίως ἔξωθεν ὀνομαζόμενα, τὰ δ᾽ ἐν τῷ σώματι τά τε νοσήματά ἐστιν αὐτὰ καὶ τὰ τούτων αἴτια

ventriculo clare licet comtemplari; instigatus enim concoctionis tempus non expectat, sed protinus etiam utile cum eo quod molestat excernit, et ubi jam satis concoxerit, interdum cunctanter superfluum, imbecillitatis vitio, expellit. At quum secundum naturam se habet, perfectae concoctionis tempus ipsius recrementorum expulsionis terminus est, quae neque praevertit, neque praesentem adhuc moratur. Caeterum ut in ventriculo, sic in singulis totius corporis partibus alienorum expultrix facultas esse ostendebatur, quae meo sane judicio et crisim in morbis efficit, atque propterea optimae fiunt crises quum jam omnia in animantis corpore concocta fuerint. Praevenire autem crisim, sic enim Hippocrates appellare consuevit, malum est, nam utilia simul cum iis quae laedunt, excernuntur, fitque hoc natura incitata vel ab exteriore quodam, vel ab iis quae in ipso corpore continentur. Extrinsecus igitur est medicus qui parum recte quippiam fecerit, aeger, famuli atque alia, quae proprie exteriora nominantur, in ipso autem corpore sunt

καὶ οἱ παροξυσμοί. νόησον δή μοι τοιοῦτόν τι συμβαῖνον ἐπὶ τῆς φύσεως, οἷον ἤδη συνέπεσεν ἀνθρώποις ἀσθενέσι προπηλακισθεῖσιν ὑπό τινων ἰσχυροτέρων ἐξορμῆσαι πρὸ τοῦ δέοντος, ἀπαρασκευάστοις τε μαχομένοις ἡττηθῆναι. καὶ μὴν καὶ φορτίον ἀποθέσθαι τις βουλόμενος ἄκων ἐνίοτε συγκατέπεσεν αὐτῷ, καί τις σφοδρότερον θέων, εἶτ' οὐκ ἐπισχεῖν ἑαυτὸν δυνηθεὶς, ἄκων ἠνέχθη κατὰ φάραγγος. ἅπαντα ταῦτα παραδείγματα κακῶν ἐστι κρίσεων, ὑπὲρ ὧν ἐπὶ πλέον μὲν ἐν τοῖς περὶ κρίσεων ἐροῦμεν, εἰρήσεται δὲ καὶ νῦν ἀναγκαῖον, οἷόν τι καὶ τῷ προεκρήγνυσθαι βούλεται δηλοῦν ὁ Ἱπποκράτης, ἐξηγήσασθαί μου προελομένου. καὶ γὰρ ἀδύνατόν ἐστι περὶ κρισίμων ἡμερῶν ἐπιχειρήσαντά τι διέρχεσθαι μὴ καὶ περὶ κρίσεως εἰπεῖν τι, ἢ καὶ περὶ κρίσεως διδάσκοντα μὴ καὶ περὶ κρισίμων ἡμερῶν διελθεῖν, ἀλλ' ἐπανάγειν χρὴ τὸν λόγον ἐπὶ τὸ προκείμενον ἀεὶ καὶ τοσοῦτον ἅπτεσθαι τῶν παρακειμένων ὅσον ἀναγκαῖον. ἓν δή τι τῶν ἐρεθιζόντων τὴν φύσιν ἐστὶ καὶ οἷον προπηλακιζόντων ὁ παροξυσμὸς, οὐκ ἐπιτρέ-

morbi ipfi eorumque caufae et acceffiones. Confidera jam mihi tale quid in natura accidiffe, quod hominibus infirmis contigit, qui a fortioribus quibusdam intempeftive ad congreffum irritati, imparati, pugnando fuperantur. Quinetiam onus deponere quis volens interdum vel invitus cum eo concidit. Item vehementius quis currens, deinde fe ipfum retinere nequiens, invitus in convallem delatus eft. Omnia haec exempla funt malarum crifeon, de quibus in opere de crifibus copiofius dicturi fumus. Sed nunc quoque neceffarium dicetur, quum inftituerim, quidnam verbo προεκρήγνυσθαι Hippocrates fibi velit interpretari. Etenim fieri non poteft ut qui de diebus decretoriis quippiam referre aggreffus fit, nihil de crifi etiam dicat, vel qui de crifi doceat, non etiam de diebus decretoriis verba faciat. Verum fermo ad propofitam inftitutionem femper revocandus eft, et tantam adhaerentium mentionem facere oportet, quanta neceffaria effe videtur. Unum jam ex illis quae naturam ftimulant et veluti provocant, acceffio eft, nullam

πων ἡσυχάζειν οὐδὲ μένειν, ἀλλ' ἐπεγείρων τε καὶ κινῶν καὶ ὡς ἂν εἴποι τις εἰς διαμάχην προκαλούμενος· ὅθεν ἐπὶ τῶν ὀξέων νοσημάτων ἐν περιτταῖς ἡμέραις ἡ κρίσις. οὕτω γὰρ καὶ παροξύνεται. τίς μὲν οὖν ἐστιν ἡ αἰτία δι' ἣν ἐν τοῖς ὀξέσι νοσήμασι διὰ τρίτης οἱ παροξυσμοὶ γίνονται τοὐπίπαν, ἐν δὲ τοῖς γε χρονίοις ἤτοι καθ' ἑκάστην ἡμέραν [501] ἢ διὰ δ' οὐκ εὐπετές ἐστιν εὑρεῖν, οὔτε νῦν ἀναγκαῖόν ἐστι ζητεῖν. ὅτι δ' οὕτως συμβαίνει, φαίνεται καὶ πρὸς τὰ παρόντα λόγον ἀρχῆς ἔχει. θεμένων γὰρ, ὥσπερ καὶ φαίνεται, ὁ δεύτερος ἀπὸ τῆς ἀρχῆς παροξυσμὸς εἰς τὴν τρίτην ἡμέραν ἐκπεσεῖται, τρίτος δ' εἰς τὴν πέμπτην, τέταρτος δ' εἰς τὴν ζ, πέμπτος δ' εἰς τὴν θ', εἰς περιττὰς δὲ σύμπαντες. ἐπεὶ τοίνυν ἡ φύσις οὐκ ἀεὶ τοῖς προσήκουσι καιροῖς ἐξορμῶσα κρίνει τὰς νόσους, ἀλλ' ἐρεθιζομένη πολλάκις ἄλλοτε πρὸς ἄλλων αἰτίων, ἀφ' ὧν ἐστι συνεχέστατα γινόμενος ἐν τοῖς ὀξέσι νοσήμασιν ὁ παροξυσμὸς, ἐδείχθη δ' οὗτος εἰς περιττὰς ἐμπίπτων, εὐλόγως ἐν περιτταῖς αἱ πλεῖσται κρίσεις γίνονται τῶν ὀξέων νοσημάτων, οὐκ αὐτῶν τῶν ἡμερῶν πρώτως τὴν τοῦ κρίνειν ἐχουσῶν δύναμιν, ἀεὶ γὰρ τούτῳ

quietem nec moram concedens, verum incitans movensque et veluti dixeris pugnam indicens. Unde acutorum morborum in diebus imparibus judicium contingit, in his enim et accessiones sunt. Quae igitur causa sit, ob quam in acutis morbis tertio quoque die plurimum accessiones fiant, in longis autem vel quotidie, vel quarto quoque die, non promptum est invenire, nec in praesentia disquirere necessarium, quod vero sic eveniunt, apparet, et ad praesentia rationem ex principio habet; si enim ponamus, ut etiam apparet, secunda ab initio accessio ad tertium diem delabetur, tertia ad quintum, quarta ad septimum, quinta ad nonum, omnes autem in impares incidunt. Quum ergo natura non convenienti semper tempore de morbis decernat, sed concitata plerumque alias ab aliis causis, a quibus accessio in morbis acutis maxime continua redditur, ostensa vero est in impares incidere, in imparibus acutorum morborum plurima judicia fieri ratio est, non quod dies ipsi primariam

χρὴ προσέχειν τὸν νοῦν, ἀλλὰ κατά τι συμβεβηκὸς οὕτως ἀπαντῶντος. προείρηται δὲ, ὡς οἶμαι, σαφῶς ἤδη τὸ συμβεβηκὸς τοῦτο. διότι γὰρ ἐν παροξυσμοῖς αἱ κρίσεις τῶν νοσημάτων γίνονται τοὐπίπαν, εἰς τὰς περιττὰς δ' ἡμέρας ἐμπίπτουσιν οὗτοι, διὰ τοῦτο ἐν τοῖς ὀξέσι νοσήμασιν αἱ κρίσεις ἐν περιτταῖς. εἰ δέ γε ὁ τῶν ἡμερῶν ἀριθμὸς ἦν αὐτὸς ὁ τὴν δύναμιν ἔχων τοῦ κρίνειν, οὐκ ἐχρῆν πολλάκις μὲν ἐν ταῖς περιτταῖς, ὀλιγάκις δ' ἐν ταῖς ἀρτίαις, ἀλλὰ διὰ παντὸς μὲν ἐν ταῖς περιτταῖς, μηδέποτε δ' ἐν ταῖς ἀρτίαις κρίνεσθαι τὰς ὀξείας νόσους. οὐδὲ γὰρ ὁ τῆς ζ ἀριθμὸς, ἢ ὁ τῆς δ αἴ(448)τιοι τῆς κρίσεώς εἰσιν, ἀλλ' ὅτι τῆς σελήνης νεωτεροποιούσης καὶ μεταβαλλούσης τὰ περὶ τὴν γῆν συμβέβηκε, καὶ τὰς τῶν κινήσεων περιόδους εἰς τούτους πρώτους ἐξήκειν τοὺς ἀριθμοὺς, εἰκότως ἐν αὐταῖς αἱ προθεσμίαι τῶν ἀλλοιώσεων εὑρίσκονται. οὐ γὰρ ὑπὸ τῶν ἀριθμῶν, ἀλλ' ὑπὸ τῆς σελήνης αἱ μεταβολαὶ τοῖς ἐπιγείοις. τῷ δ' εἶναι τὸ μεταβάλλον ἐν κινήσει χρόνος ἀναγκαίως ἔζευκται ταῖς μεταβολαῖς, ὥστε ἐξ ἀνάγκης καὶ ὁ ἀριθμός. οὔκουν ὅτι θῆλυς

decernendi virtutem habeant, semper enim huic animum adhibere oportet, sed quia per accidens aliquod sic eveniat. Praedixi autem, opinor, manifesto jam hoc accidens, siquidem ratione qua morborum judicia frequentissime in accessionibus accidunt, hae autem in dies impares incidunt, eadem in morbis acutis imparibus diebus crises contingunt. At si dierum numerus ipse decernendi facultatem haberet, non frequenter diebus imparibus, raro paribus, verum perpetuo imparibus, nunquam paribus de acutis morbis judicium fieri oporteret. Neque enim septimi vel quarti numerus crisis auctor est, sed quod luna innovante et immutante terrena, motuum quoque circuitus ad hos principes numeros venire contingat, merito in ipsis tanquam stata alterationum tempora inveniuntur. Quippe non a numeris, sed a luna mutationes terrenis adveniunt, at quum in motu mutans consistat, tempus mutationibus necessario conjunctum est, quare etiam numerus necessario. Non igitur

μὲν ὁ ἄρτιος ἅπας ἀριθμὸς, ἄῤῥην δ' ὁ περιττὸς, αἱ κρίσεις τῶν ὀξέων ἐν περιτταῖς· οὔτε γὰρ ἁπλῶς ἰσχυρότερος ὁ περιττὸς τοῦ ἀρτίου οὔτ', εἴπερ ἰσχυρότερος, ἤδη θῆλυς ὁ ἀσθενέστερος, οὔτ', εἰ θῆλυς μὲν οὗτος, ἄρσην δ' ὁ ἕτερος, εὔλογον ἐν μὲν τοῖς ἄῤῥεσιν ἀριθμοῖς τὰς ὀξείας κρίνεσθαι νόσους, ἐν δὲ ταῖς θήλεσι τὰς χρονίας. ἅπαντα γὰρ ὅσα ληροῦσιν ὑπὲρ ἀριθμῶν δυνάμεως οὕτως εὐφώρατον ἔχει τὴν ἀτοπίαν, ὥστε μοί γε πολλάκις θαυμάζειν ἐπῆλθεν, εἰ οὕτως ὁ Πυθαγόρας ἐκεῖνος ἅμα τε σοφὸς ἦν ἀνὴρ ἅμα τε τοσοῦτον ᾤετο δύνασθαι τοὺς ἀριθμούς. ἀλλ' οὐ νῦν καιρὸς ἀντιφλυαρεῖν αὐτοῖς. ἱκανὸν γὰρ εἰς τὰ παρόντα τό τε τὴν σελήνην ἀλλοιοῦν τὰ περίγεια καὶ μάλιστα μὲν καθ' ἑβδομάδα τὰς μεγάλας ἐργάζεσθαι μεταβολὰς, ἐφεξῆς δ' αὐτῶν κατὰ τετράδα τὰς μικρὰς, ὅτι τε παροξυσμοῦ δεῖται τοὐπίπαν ἡ κρίσις, ὅτι τε διὰ τρίτης ἐν τοῖς ὀξέσιν οἱ παροξυσμοί. τούτων γὰρ ὑποκειμένων ἀναγκαῖον ἔσται τὰς ὀξείας νόσους ἐν περιτταῖς μᾶλλον ἡμέραις κρίνεσθαι. διὰ τοῦτο οὖν ἡ τρίτη

quod omnis par numerus foeminam, impar masculum referat, acutorum judicia imparibus diebus accidunt, neque enim impar abſolute pari fortior eſt, neque, ſi fortior, jam foemininus imbecillior, neque, ſi foemininus quidem hic, masculus alter ſit, acutos morbos in masculis numeris judicari, diuturnos in foemininis, rationi conſentaneum eſt. Omnia ſiquidem quae de numerorum virtute nugantur tam facile abſurda eſſe deprehendimus, ut mihi ſubinde mirari ſubeat, an Pythagoras ille ita et ſimul ſapiens eſſet vir et ſimul tantum poſſe numeros exiſtimaret. Atque nunc adverſus ipſos etiam nobis nugari non vacat, nam ſatis eſt ad rem inſtitutam terrena lunam alterare et in ſeptimanis potiſſimum magnas parere mutationes, poſt in quaternariis exiguas, ad haec criſim acceſſione plurimum indigere, item acceſſiones tertio quoque die in morbis acutis evenire, his etenim poſitis acutos morbos in imparibus diebus magis ad judicium tendere neceſſitas erit. Hujus rei gratia tertius et

τε καὶ ἡ ε΄ κρίνουσιν εὐλόγως, οὐκ ἐκ τῆς σεληνιακῆς περιόδου λαβοῦσαι τὸ κρίνειν, ἀλλ' ἤτοι τὴν μέλλουσαν ἐν τῇ δ΄ κρίσιν ἀπαντήσεσθαι τῆς τρίτης προλαβούσης τῇ βίᾳ τοῦ παροξυσμοῦ, ἢ καὶ νὴ Δία τῆς φύσεως ὑπὸ καμάτου τε ἅμα καὶ τοῦ μὴ βιασθῆναι κατὰ μὲν τὴν δ΄ ἡμέραν ἡσυχίαν ἀγούσης, κινηθείσης δ' ἐπὶ τὴν κρίσιν ἐν τῇ ε΄. φαίνεται γὰρ αὕτη μὲν ὀλίγον ὑστερίζειν τῆς ὄντως κρισίμου, προλαμβάνειν δ' ὀλίγον ἡ τρίτη καὶ τὸ κρίνειν ἐσχηκέναι, διότι πλησίον οὖσαι τῆς ὄντως κρισίμου τοὺς παροξυσμοὺς ἐδέξαντο. καὶ γὰρ οὖν καὶ ἡ θ΄ τῶν ἡμερῶν ἐν τῷ μέσῳ τεταγμένη δύο κρισίμων, ἑβδόμης τε καὶ ια΄, ἤτοι τὴν οὐ γεγενημένην ἐπὶ τῆς ζ΄ ἡμέρας κρίσιν ἢ τὴν ἐπὶ τῆς ια΄ ἐσομένην αὐτὴ σφετερίζεται κρίσιν· σπανιώτερον μὲν τὴν τῆς ζ΄, πολλάκις δὲ τὴν τῆς ια΄. [502] ἡ μὲν γὰρ ἰδία τῆς ἑβδόμης ἡμέρας κρίσις οὐκ ἂν εἰς τὴν θ΄ ποτ' ἀφίκοιτο μὴ πολλῶν ἁμαρτηθέντων, δειχθήσεται δὲ τοῦτο ἐν τοῖς περὶ κρίσεων ὑπομνήμασιν, ἡ δὲ τῆς ια΄ ἔμπαλιν, ὅταν ἀκριβῶς τε πάντα πραχθῇ καὶ βίαιος ὁ τῆς ἐννάτης ἡμέρας γένηται παροξυσμός. ἀπόδειξις δ' ἐναρ-

quintus merito decernunt, non ex lunari circuitu decernendi potentiam ſortiti, ſed vel quod violentiam acceſſionis tertius criſim quarto die futuram praevertet, vel et per Jovem, quod natura dum quarto die laſſa nec incitata conquieſcit, quinto ad judicium commoveatur; nam hic quam vere decretorius magis paulo tardare videtur, tertius paulo magis anticipare conſpicitur, atque ambo criſim obtinuiſſe, quod vicini ambo vere decretorio acceſſiones ſuſceperint. Jam vero et nonus inter duos decretorios ſeptimum et undecimum medius, vel non factum in ſeptimo die judicium, vel undecimo futurum, ipſe ſibi vendicat, rarius quidem ſeptimi, ſaepe undecimi criſim aſſumit. Etenim ſeptimi diei propria criſis non ad nonum, modo pauci errores commiſſi ſint, unquam pervenerit, ſed hoc in libris de criſibus declarabimuus, undecimi vero e contrario, quum et exacte omnia geſta ſint, et violenta noni diei acceſſio invadat. Porro propter acceſſionum vehementias hujusmodi coinci-

γεστάτη τοῦ διὰ τὰς σφοδρότητας τῶν παροξυσμῶν τὰς τοιαύτας παρεμπίπτειν ἡμέρας τὸ μηκέθ' ὁμοίως ἐπὶ προηκόντων γίνεσθαι τῶν νοσημάτων· ὡς γὰρ καὶ τὰ τῆς σφοδρότητος, οὕτω καὶ τὰ τοῦ πλήθους ἐκλύεται τῶν παρεμπιπτουσῶν ἡμερῶν. οὕτω δὲ δή τι βίαιον ἔχει σφοδρότης παροξυσμοῦ πρὸς κρίσιν, ὥστ' ἐν ἁπάσαις σχεδόν τι ταῖς ἡμέραις ἔστιν ἰδεῖν κρινόμενα τὰ κατόξεα νοσήματα· τό τε γὰρ πέρας αὐτῶν ἡ ζ' τῶν ἡμερῶν ἐστι, κρίνειν δή που πεφυκυῖα, καὶ πρὸ ταύτης οὐχ ἡ δ' μόνον, ἀλλὰ καὶ ἡ γ' καὶ ἡ ε' καὶ ἡ στ', δέχονταί ποτε κρίσεις. ἐζήτηται δ', ὡς ἐλέγετο, καὶ περὶ τῆς α' εἰ κρίνει. λοιπὴ τοίνυν ἡ δευτέρα βεβαίως τοῦ κρίνειν ἐκπέπτωκεν. ἔστω δ', εἰ βούλει, καὶ ἡ α', ἀλλὰ καὶ ἡ τρίτη γε καὶ δ' καὶ ε' καὶ στ' καὶ ζ' κρίνουσιν ἅπασαι. καὶ πᾶσαι αἱ μετὰ τὴν ἀρχὴν τοῦ νοσήματος ἐν τοῖς κατόξεσιν ἡμέραι κρίνουσαι φαίνονται διὰ τὴν σφοδρότητα τῶν παροξυσμῶν. καὶ γὰρ οὖν καὶ ἡ στ' τῶν ἡμερῶν οὔτ' ἐκ τῶν κατὰ περίοδον οὖσα κρισίμων οὔτ' ἐν ἀριθμῷ περιττῷ, διὰ τοῦτο καὶ αὐτὴ δέχεται κρίσεις παμπόλλας, ὅτι τῆς ὑστάτης τῶν κατοξέων ἐντός ἐστιν. ἅπαντα

dere dies clarissime demonstratur, quod videlicet in diuturnis morbis non similiter evenit. Sicut enim accessionum vehementia, ita dierum quoque coincidentium numerus in illis exolvitur. Adeo autem sane violenti quid habet vehementia accessionis ad crisim, ut in omnibus fere diebus peracutos judicari videre liceat; nam ultimus ipsorum dies, qui est septimus, judicandi vim obtinet, et ante hunc non quartus modo, sed et tertius et quintus et sextus crises quandoque excipiunt. Quin et de primo an decernet, ut dicebatur, quaesitum est. Reliquus itaque secundus ordine decretorio indubie elapsus est, sit autem, si vis, et primus; sed tertius, quartus, quintus, sextus, septimus omnes decernunt. Ac omnes dies post morbi principium in peracutis propter accessionum vehementiam decernere videntur. Ergo sextus etiam, etsi nec inter decretorios, qui circuitu constat, nec impari numero ascribatur, tamen et ipse persaepe decernit, quoniam intra peracutorum terminum continetur. Universi

δὲ τὰ τοιαῦτα δυοῖν θάτερον, ἢ σύνοχον ἔχει τὸν πυρετὸν, οὕτω δ' ὀνομάζουσι τὸν ἀπὸ τῆς πρώτης συστάσεως ἄχρι τῆς κρίσεως ὁμότονον, ὡς εἴρηται, χωρὶς αἰσθητῆς παρακμῆς, ἢ εἰ καὶ σαφεῖς ἔχει τάς τε παρακμὰς καὶ τοὺς παροξυσμοὺς, οὐ διὰ τρίτης μόνον ἔχει σαφεῖς, ἀλλὰ κἂν ταῖς μέσαις αὐτῶν, ὥσπερ καὶ ὁ ἡμιτριταῖος. ἡ μὲν οὖν πρώτη διαφορὰ τῶν κατοξέων οἷον εἷς τίς ἐστι παροξυσμὸς, ὥστ' οὐδὲν ὅσον γε ἐπὶ τῷ παροξυσμῷ πλεονεκτήσουσιν αἱ περιτταὶ τῶν ἀρτίων, ὁμοίου γε τοῦ πυρετοῦ κατὰ πάσας τὰς ἡμέρας ὑπάρχοντος. ἡ δευτέρα δὲ κἂν διὰ τρίτης ἔχῃ τοὺς μεγάλους παροξυσμοὺς καὶ τὰς οἷον ἀρχὰς τῶν περιόδων, ἀλλ' ἥ γε μέση τηλικοῦτον καὶ αὐτὴ φέρει πολλάκις ἐν τοῖς κατόξεσι τὸν παροξυσμὸν, ὡς τῶν ἐν ἄλλοις τισὶ νοσήμασι μεγάλων παροξυσμῶν μηδὲν ἀποδεῖν. ὅταν οὖν ἐπείγηται μὲν ὡς ἐπὶ τὴν ἑβδόμην τὸ νόσημα καὶ κατὰ τὸν ἑαυτοῦ λόγον ἐν ταύτῃ κριθήσεσθαι μέλλῃ, τὸ δὲ μέγεθος τοῦ μέσου παροξυσμοῦ καταναγκάσῃ τὴν φύσιν ἐξορμῆσαι πρὸς τὴν κρίσιν, οὐ περιμείνασαν τὸν οἰκεῖον και-

autem tales morbi alterum duorum habent, vel fynochum febrem, ita enim appellant quae a prima conftitutione eundem tenorem fine manifefta declinatione ad crifim usque, uti diximus, fervat, vel febrem aliam, quae etfi manifeftas habeat declinationes et acceffiones, non tamen tertio quoque die manifeftas tantum habet, verum in ipforum dierum quoque mediis, quemadmodum et femitertiana. Proinde prima peracutorum differentia velut una quaedam eft acceffio, quamobrem nihil, quantum ad acceffionem pertinet, impares paribus praeftabunt, quum febris fingulis diebus aequalis exiftat. Secunda etfi per triduum magnas habeat acceffiones et veluti principia circuituum, tamen medius ipforum dies tantam et ipfe in peracutis morbis acceffionem frequenter affert, ut etiam magnis aliorum quorundam morborum acceffionibus nihilo fit inferior. Quum igitur morbus velut ad feptimum feftinat et fecundum ipfius rationem in eodem judicandus eft, mediae vero acceffionis magnitudo naturam ad crifim ante fuum tempus venire compellit, vel

ρὸν, ἢ καί τι προσγένηται τῶν ἔξωθεν ἐρεθιζόντων αὐτὴν, οὕτως ἡ κρίσις ἐν τῇ στ΄ προεκρήγνυται. αὕτη μὲν οὖν τοσούτῳ χείρων ἐστὶ τῆς ἐσομένης ἐπὶ τῆς ζ΄ ὅσῳ καὶ φθάνει. χειρίστη δὲ κρίσις ἡ ἑκταία καθ᾽ ἕτερον γίνεται τρόπον, ὃν ἐπὶ πλέον μὲν ἐν τοῖς περὶ κρίσεων ἐροῦμεν, ἐκείνης γάρ ἐστι πραγματείας οἰκεῖον ἀγαθὰς καὶ κακὰς διελέσθαι κρίσεις· ἐνταῦθα δὲ πρόκειται μόνον ὑπὲρ τῶν κρινουσῶν ἡμερῶν διελθεῖν. ἀλλ᾽ ἐπειδὴ κατέστην ἅπαξ τὰ περὶ τῆς στ΄ ἡμέρας εἰπεῖν ἅπαντα, καὶ τοῦτ᾽ ἔτι προσθήσω διὰ κεφαλαίων. εἰσβάλλει τινὰ νοσήματα τὴν δευτέραν τῆς πρώτης ἔχοντα βαρυτέραν καὶ τὴν δ΄ τῆς γ΄, καὶ ὅλους τοὺς παροξυσμοὺς ἐν ἀρτίοις, ὄντα μὲν, ὡς ἐν τοῖς περὶ κρίσεων ἀποδειχθήσεται, τῆς τῶν χρονίων φύσεως, φθάνοντα δ᾽ ὡς ὀξέα κρίνεσθαι διὰ σφοδρότητα· ταῦτα καὶ δευτεραίους μὲν ἀναιρεῖ καὶ τεταρταίους, ἑκταίους δὲ πλείστους. ἐπὶ μὲν γὰρ δὴ τῆς δευτέρας ἡμέρας ἰσχύει πως ἡ φύσις ἔτι, κατὰ δὲ τὴν δ΄ ἰσχύει μὲν ἔτι κἀπὶ ταύτης μᾶλλον ἢ κατὰ τὴν στ΄, ἀλλ᾽ οὔπω διαγωνίζεσθαι τολμᾷ· κατὰ δὲ τὴν στ΄ ἡ σφοδρότης τοῦ παροξυσμοῦ πολλάκις ἐκκαλεῖται μὲν αὐ-

extrinfecus aliquid evenit ipfam irritans, fic crifis fexto die paerumpet. Atque haec tanto pejor eft ea, quae feptimo futura erat, quanto magis ipfam praevertit. Peffima vero crifis fecundum aliam rationem fexto die accidit, quam in opere de crifibus plenius enarrabimus, quippe ad illud proprie pertinet bona malaque judicia diftinguere, hic tantum de diebus decretoriis differere ftatuimus. Sed quia femel de fexto die univerfa dicere paravimus, hoc quoque adhuc fummatim adjungemus. Invadunt quidam morbi fecundum diem primo graviorem habentes, quartum tertio et totas acceffiones in diebus paribus, qui longorum quidem morborum naturam, quemadmodum in commentariis de crifibus oftendemus, habent, judicium tamen praevertunt ut acuti, propter acceffionis vehementiam, hi etiam in fecundo die interficiunt et quarto, fed fexto plurimos. Etenim in fecundo die natura quodammodo valida adhuc eft, item in quarto adhuc valida magis quam in fexto, fed nondum in certamen venire audet, at in fexto acceffionis vehementia

τὴν ἐπὶ τὸν ἀγῶνα. [503] δυοῖν δὲ θάτερον, ἢ κατέπεσεν αὐτῇ καὶ κατεσβέσθη πρὶν ἐκκρῖναι τὰ λυποῦντα, ἢ τὸ μὲν πλεῖστον αὐτῶν ἐξέκρινε, τὸ λοιπὸν δ᾽ οὐκ ἔτι ἴσχυσεν, ἀλλ᾽ ὑπ᾽ ἀῤῥωστίας τε καὶ καμάτου τελέως καταπίπτει καὶ κεῖται πάρετος. εἶτ᾽ εἰ μὲν ἐν τῷ μετὰ ταῦτα χρόνῳ δυνηθείη πως ἑαυτὴν ἀνακτήσασθαι, κατὰ βραχὺ πέττει τὴν νόσον· εἰ δ᾽ εἴη τὰ λείψανα τῆς νόσου μείζω τοῦ κατ᾽ αὐτὴν τόνου, τοσοῦτον ἐπιβιοῖ χρόνον ὁ τοιοῦτος ἄνθρωπος ὅσον ἐξαρκεῖν ἡ φύσις ἔτι δύναται, τεθνήξεται δὲ μετὰ ταῦτα. περὶ μὲν δὴ τῶν παρεμπιπτουσῶν ἡμερῶν αὐτάρκως εἴρηται.

Κεφ. θ'. Διὰ τί δ᾽ ἄμφω κρίνουσιν, ἥ τε εἰκοστὴ καὶ εἰκοστὴ πρώτη, πολὺ δὲ μᾶλλον ἡ εἰκοστή; πρῶτον μὲν ὅτι χρόνιον ἤδη τὸ τοιοῦτον νόσημα καὶ τοὺς παροξυσμοὺς αἱ ἄρτιαι λαμβάνουσιν, εἶθ᾽ ὅτι καὶ ἡ ἑβδομὰς οὐκ ἔστιν ὁλοκλήρων ἡμερῶν ἑπτὰ, καθότι καὶ πρόσθεν εἴρηται, καὶ τοῦτο ἠπίστατο καὶ Ἱπποκράτης. εἰπὼν γὰρ ἐν τῷ προγνωστικῷ· αὗται μὲν οὖν διὰ τεσσάρων εἰς τὴν εἰκοστὴν ἐκ προσθέσιος ἀφικνέονται· μετὰ ταῦτα ἐπήνεγκεν· οὐ δύνα(449)ται δὲ ὅλη-

frequenter eam ad certationem provocat. Quare alterum e duobus fuftinet, vel in ea concidit et prius quam quae offendunt excreverit, extinguitur, vel plurimum ex eis propulfat, reliquum vero adhuc non poteft, verum imbecilla et defatigata prorfus cadit et languida jacet. Deinde fi quomodo poftero tempore recreari ac refici potuerit, paulatim morbum concoquit, quod fi morbi reliquiae ejus robore majores fint, tam diu aeger fupervivet, quamdiu natura adhuc fufficere poteft, morietur tamen poftea. Jam vero de diebus coincidentibus abunde dictum eft.

Cap. IX. Cur autem et vigefimus et vigefimusprimus, multo magis vigefimus decernat, explicabo. Primum quoniam hujusmodi morbus diuturnus jam eft, ipfas acceffiones dies pares excipiunt, deinde quod feptimana non integris feptem diebus conftet, veluti prius expofitum eft, novit hoc quoque Hippocrates. Quum enim dixiffet in opere prognoftico: *Hi ergo ex acutiffimis morbis per quatuor in viginti ex additione perveniunt*, his fubjungit: *Verum hu-*

σιν ἡμέρῃσιν οὐδὲν τούτων ἀτρεκέως ἀριθμέεσθαι. οὐδὲ γὰρ ὁ ἐνιαυτός τε καὶ οἱ μῆνες ὅλῃσιν ἡμέρῃσι πεφύκασιν ἀριθμέεσθαι. ὡς οὖν ὁ ἐνιαυτὸς μὲν ἐπὶ ταῖς τριακοσίαις ἑξήκοντα πέντε ἡμέραις ἐπικείμενον ἔχει μόριον ἡμέρας μεῖζον ἢ τέταρτον, ὅ τε μὴν ἥμισυ τῆς μιᾶς ἡμέρας ἀπολείπεται τοῦ τριακονθήμερος ὑπάρχειν, οὕτως καὶ ἡ ἑβδομὰς ἕκτῳ μάλιστα μέρει μιᾶς ἡμέρας ἀπολείπεται τὰ τέλεον ὑπάρχειν ἡμερῶν ἑπτά. συμβαίνει τοιγαροῦν οὐ μιᾶς καὶ εἴκοσιν ἡμερῶν γίνεσθαι τὰς τρεῖς ἑβδομάδας ὁλοκλήρων, ἀλλὰ ἀπολείπεσθαι σχεδὸν ὅλῳ τῷ ἡμίσει μέρει τῆς μιᾶς ἡμέρας καὶ διὰ τοῦτο ἐπαμφοτερίζειν τὸν ἀριθμὸν, οὐ μᾶλλόν τι τῶν εἴκοσιν ἐγγὺς ἢ τῶν ἑνὸς καὶ εἴκοσιν ὑπάρχοντα. τῆς γὰρ ὅλης σεληνιακῆς περιόδου ἑπτὰ καὶ εἴκοσι ἡμερῶν οὔσης καὶ προσέτι τρίτον μέρους μιᾶς ἡμέρας καὶ διὰ τοῦτο ἑκάστης ἑβδομάδος ἑπτὰ γινομένης ἡμερῶν ἀπολιπουσῶν ἕκτον, αἱ τρεῖς ἑβδομάδες ἡμερῶν εἴκοσι καὶ ἡμισείας ἔσονται. πλησίον οὖν ὑπάρχουσαν αὐτῇ τὴν ἀκριβῆ περίοδον ἡ εἰκοστὴ σφετερίζεται τῷ χρονίζειν ἤδη τὰ τοιαῦτα νοσήματα καὶ τοὺς παροξυσμοὺς ἐν ἀρτίαις ἴσχειν. ὧν

jusmodi ſupputatio per integros dies nimirum fieri non poteſt, quippe quum nec annus, nec menſes ipſi integris diebus numerari poſſint. Ut igitur annus ad trecentos ſexagintaquinque dies particulam diei majorem quarta adjectam habet, tum menſis ad triginta dies abſolvendos unius dimidium deſiderat, ſic et ſeptimana ſexta maxime diei parte, ut ſeptem integros habeat, indiget. Quamobrem fit ut tres ſeptimanae non unum et viginti dies integros, ſed minus fere tota dimidia parte unius conſequantur. Ob quod etiam numerum hujusmodi non magis viginti quam uni et viginti diebus vicinum utrique parti invenire videas. Nam quum totus lunaris circuitus ſeptem et viginti diebus et adhuc tertia unius parte abſolvatur, ideoque ſeptimana quaelibet ſeptem diebus minus ſextante conſtet, tres ſeptimanae viginti dies et dimidium habebunt. Igitur vigeſimus exactam periodum propinquam ſibi vindicat, quoniam tales jam morbi diuturni evadent et acceſſiones paribus diebus accipiunt, quorum vero acceſſiones in imparibus eveniunt, horum et

δ' ἐν περιτταῖς οἱ παροξυσμοὶ, τούτων καὶ αἱ κρίσεις εἰς τὴν εἰκοστὴν πρώτην ἐμπίπτουσιν. ἐπεὶ δ' οὐ μόνον ἡ περίοδος τῆς σελήνης, ἀλλὰ καὶ ὁ μηνιαῖος χρόνος ὁ τῆς φάσεως ἔχει τινὰ δύναμιν, ὡς ἐλέγομεν, αὕτη μὲν γὰρ ἡ κατὰ τὸν ζωδιακὸν περίοδος οἰκειοτάτη ἐστὶ ταῖς ἰδίαις ἀρχαῖς ἑκάστου τῶν πραγμάτων, ὁ δ' αὖ μηνιαῖος χρόνος ὁ τῆς φάσεως ἀλλοιῶν τὸν περίγειον ἀέρα κοινῇ πᾶσιν ἡμῖν διαφέρει, ἐδείχθη δὲ καὶ οὗτος ἑπτὰ καὶ εἴκοσιν ἡμερῶν ὡς ἔγγιστα δεόντως, διὰ τοῦτ' εἰκότως ἡ ἑβδομὰς ἔτι μικροτέρα γενήσεται τῆς ἔμπροσθεν εἰρημένης. εἴτε γὰρ ἀπὸ τῶν τριάκοντα βουληθείης ἀφελεῖν τὰς τρεῖς ἐκείνας ἡμέρας τὰς περὶ σύνοδον, ἐν αἷς ἔτ' ἄκριτον ἦν τὸ περιέχον, εἴτ' ἀπὸ τῶν κθ' καὶ ἡμισείας, ὁ λοιπὸς χρόνος, ἐν ᾧ σαφὲς ἔχει φῶς ἡ σελήνη, κατὰ μὲν τὸν πρότερον ἑπτὰ καὶ εἴκοσιν ἡμερῶν γενήσεται, κατὰ δὲ τὸν δεύτερον εἴκοσι καὶ ἓξ καὶ ἡμισείας. ἐπεὶ τοίνυν ἀλλοιώσεις ἔφαμεν γίνεσθαι τοῖς σώμασιν ἡμῶν τὰς μὲν ἰδίας, τὰς δὲ κοινὰς, [504] ἰδίας μὲν ὡς πρὸς τὰς ἰδίας ἀρχὰς, κοινὰς δὲ τῷ συναπολαύειν τοῦ περιέχοντος, εἰς ταὐτὸν δὲ συμβαίνειν

judicia ad vigefimumprimum delabuntur. Sed quoniam non folum lunae circuitus, verum et menftruum tempus apparitionis virtutem quandam in nos poffidet, uti prius docuimus, ipfe etenim figniferi circuitus accommodatiffimus eft unicuique rei propriis principiis, menftruale vero tempus, quo luna confpicitur, ambientem nos aërem immutans omnibus ex aequo hominibus communem effectum oftendit. Demonftratum eft autem et hoc tempus viginti et feptem dies propemodum continere, ideoque feptimana ejus minor adhuc prius dicta merito evadet. Sive enim a triginta tres illos qui circa coitionem funt dies, in quibus nihil adhuc de aëre decernitur auferre cogites, five a vigintinovem et dimidio, reliquum tempus quo luna manifeftum de fe lumen praebet, priore modo feptem et viginti dies, altero vigintifex et dimidium habebit. Quoniam ergo mutationes corporibus noftris accidere diximus quasdam proprias, quasdam communes, proprias, quae tanquam ad propria principia fpectent, communes, quae ad communem ambientis ufum,

ἑκατέρας τῆς σελήνης τὰς περιόδους καὶ βραχεῖ τινι λείπεσθαι τὰς κοινὰς τῶν ἰδίων, ἀφαιρεθήσεται δή τι καὶ κατὰ τοῦτο τοῦ τῆς ἑβδομάδος ἀριθμοῦ. συνεπιμιγνυμένης γὰρ τῆς κοινῆς τῇ ἰδίᾳ καὶ οὔσης ὀλιγοχρονιωτέρας, ἀνάγκη καὶ κατὰ τοῦτο παραθραύεσθαί τι τοῦ τῆς ἑβδομάδος ἀριθμοῦ καὶ οἷον ἐν μεθορίῳ γίγνεσθαί τινι τοῦ κοινοῦ καὶ τοῦ ἰδίου. καλῶ δ' ἴδιον μὲν τὸν ἐκ τῆς ζωδιακῆς περιόδου γινόμενον, ἑκάστῳ γὰρ ἡμῶν αὐτὸς διαφέρει, κοινὸν δὲ τὸν ἐκ τῆς μηνιαίας, ὃν ὀλίγον ἔμπροσθεν ἔδειξα μηδ' ὅλως ὑπάρχειν ἑπτὰ καὶ εἴκοσιν ἡμερῶν. ἐὰν γὰρ ἀπὸ μὲν τοῦ μηνιαίου χρόνου τοῦ ἀκριβοῦς, ὃς ἀπολείπεσθαι τῶν τριάκονθ' ἡμερῶν ἡμίσει μάλιστα μιᾶς ἡμέρας ἐλέγετο τὰς τρεῖς ἀφέλῃς ἡμέρας τὰς περὶ σύνοδον, αἱ λοιπαὶ δηλονότι τῶν ἑπτὰ καὶ εἴκοσι ἡμερῶν ἔσονται μείους ἥμισυ τῆς μιᾶς ἡμέρας. ἀλλ' οὗτος οὖν ὁ χρόνος ὁ διαιρούμενος εἰς τὰς ἑβδομάδας, οὐχ ὁ σύμπας μηνιαῖος. ὥσθ' ὁ κοινὸς χρόνος τῆς ἑβδομάδος, ὁ τὸ περιέχον ἀλλοιῶν, ἐλάττων ἔσται τοῦ καθ' ἕκαστον ἰδίου. δύνασθαι δὲ καὶ οὗτος ἐλέγετο καὶ διὰ τοῦτο παραθραύειν τι τοῦ χρόνου τῆς ἑτέρας ἑβδομάδος,

in idem autem utrosque lunae circuitus fieri contingit, et communes propriis paulo breviores esse. Atque sic jam ex septimanae numero quippiam auferetur. Nam quum propriae communis admisceatur, sitque paulo brevioris temporis, ita quosque aliquid de septimanae numero confringi et veluti in medio quodam proprii et communis consistere necesse est; vocò autem proprium, qui ex Zodiaci circuitu proficiscitur, nam is cuique nostrum virtutem affert, communem, qui ex circuitu menstruo fit, quem supra recensui nequaquam septem et viginti dierum esse. Nam si a menstrui tempore exacto, quod ad triginta dies integros unius dimidium maxime requirere dicebatur, tres qui circa coitum sunt dies ademeris, reliqui videlicet vigintiseptem minus diei dimidio erunt. Itaque hoc tempus non menstruale totum in septimanas dividitur. Quare commune tempus septimanae quod aërem immutat, minus erit eo, quod singulis est proprium, quanquam et hoc virtutem habere dicebatur ideoque nonnihil ex alterius septimanae tempore confringere, ut medium utriusque tem-

ὥσθ' ὁ μέσος ἀμφοῖν ὁ οἷον μικτὸς ἐξ αὐτῶν ἐπὶ πλέον ἀφαιρήσει τῆς ἑβδομάδος ἕκτου μέρους. τὸ μὲν οὖν ἀκριβὲς ἢ τῆς μίξεως ἢ τῆς ἀφαιρέσεως ὁ θεὸς οἶδεν· ὅσον δὲ ἀνθρωπίνῳ στοχασμῷ συμβάλλειν ἐγχωρεῖ, πιθανώτερόν ἐστι μέσον ἀμφοῖν ποιῆσαι τῶν περιόδων τὸν ἐξ ἀμφοῖν κοινόν. ἐπεὶ τοίνυν ὁ μὲν τῆς φάσεώς ἐστι τῆς ἐναργοῦς καὶ δραστηρίου χρόνος εἴκοσιν ἓξ ἡμερῶν καὶ ἡμισείας, ὁ δὲ τῆς ζωδιακῆς περιόδου εἰκοστὸν καὶ ἕβδομον καὶ τρίτον, δῆλον ὡς ὁ μέσος αὐτῶν κ' καὶ στ' ἡμερῶν ἔσται καὶ προσέτι μάλιστα μορίου μιᾶς ἡμέρας ἡμίσεος τρίτον καὶ ιβ'. συνθεὶς γὰρ ἀμφοτέρους τοὺς χρόνους, εἰ τὸ ἥμισυ λάβοις, εὑρήσεις τὸ μέσον. ἀλλ' οὗτος ὁ χρόνος ὁ μέσος ἀπολείπεται τῶν ἑπτὰ καὶ εἴκοσιν ἡμερῶν δωδεκάτῳ μάλιστα μέρει μιᾶς ἡμέρας. εἰ μέντοι τέμοις αὐτὸν εἰς τέτταρα, τὸν ἀκριβῆ χρόνον εὑρήσεις τῆς ἑβδομάδος οὐχ ἕκτῳ μόνον μιᾶς ἡμέρας ἀπολειπόμενον, ἀλλ' ἔτι πλέον. λαμβανέσθω γὰρ τῶν κστ' καὶ ἡμίσεος τρίτον, ιβ' τὸ τέταρτον μέρος, ἔσται δὲ χρόνος ἡμερῶν στ' ἡμίσεος πέμπτον καὶ προσέτι μορίων ἄλλων ἐπικειμένων μικροτέρων, ἅπερ ἐστὶν ἑξήκοντα πρῶτα καὶ ἑκα-

pus, quod velut mixtum ex eis eſt, plus ſexta parte ſeptimanae demat. Ac exactam quidem vel mixturam vel ablationem deus tantum novit, quantum vero humana conjectura aſſequi licet, praeſtat circuitum earum communem medium inter utrasque collocari. Quum ergo apparitionis manifeſtae et efficacis tempus ſit dies vigeſimusſextus et dimidius, Zodiaci vero circuitus expleant vigintiſeptem dies cum tertia unius parte, liquet medium ipſorum fore vigeſimumſextum diem,| ad haec dimidium et tertiam maxime duodecimam unius diei partem, ſiquidem ubi utroque tempore conjuncto dimidium acceperis, medium ipſum invenies. At hoc tempus medium a vigintiſeptem diebus duodecima maxime unius diei parte deficit, quia ſi in quatuor ipſum dividas, exactum ſeptimanae tempus offendes, non ſexta modo unius diei parte, ſed etiam majore mutilum. Sumatur enim ex vigintiſex diebus et dimidio tertia et ex duode-

τοστὰ εἰκοστά· τὰ δεύτερα διακόσια δὴ καὶ τεσσαράκοντα. ὁ δ' αὐτὸς χρόνος καὶ οὗτος ἂν λέγοιτο ἡμερῶν ἓξ καὶ ἡμίσεος καὶ ἕκτου καὶ εἰκοστοῦ τετάρτου καὶ τεσσαρακοστοῦ ὀγδόου. ὁ δὲ τηλικοῦτος χρόνος ἀπολείπεται τοῦ τῶν ἑπτὰ ἡμερῶν τετάρτῳ μέρει μιᾶς ἡμέρας καὶ ἔτι πρὸς τὸν ἀκριβῆ λόγον ἑξηκοντά τε καὶ ἑκατοστὰ εἰκοστὰ καὶ σμ', καὶ τούτων οὕτως ἐχόντων αἱ τρεῖς ἑβδομάδες ἡμερῶν εἴκοσιν ἔσονται καὶ προσέτι μορίου τινὸς ἡμέρας α' ἕκτου, ὥστε καὶ κατὰ τοῦτον τὸν τρόπον ἀκριβολογουμένοις ὀλίγον ὑπερβάλλει τῆς εἰκοστῆς ἡμέρας ὁ τῶν τριῶν ἑβδομάδων ἀριθμὸς, καὶ ταύτης ἔσται πολὺ μᾶλλον ἢ τῆς εἰκοστῆς πρώτης οἰκεῖος. ἐμοὶ μὲν δέδεικται κατά τε τὸ ἀληθὲς αὐτὸ καὶ κατὰ τὴν Ἱπποκράτους γνώμην ὅτι μηδὲν τούτων ὅλησιν ἡμέρησιν ἀτρεκέως ἀριθμεῖσθαι δύναται, τουτέστιν ἀπηκριβωμένως τε καὶ ἀπηρτυσμένως, οὔθ' ἡ ἑβδομὰς οὔθ' ἡ τετρὰς οὔθ' ὁ μὴν οὔθ' ὁ ἐνιαυτὸς, οὔτ' ἄλλο τῶν ἁπάντων οὐδέν.

cim quarta pars, erit autem tempus dierum sex dimidii quinta pars, et particulis aliis minoribus insuper adjectis, quae sunt sexagesima prima, dein centesima vigesima, ducentesima quadragesima. Idem tempus et hoc dici possit dierum sex et dimidii et sextae partis diei vigesimae quartae et quadragesimaeoctavae. Abest autem hujusmodi tempus a septem diebus unius diei quadrante, et si exacte computes, sexagesima parte, centesima vigesima et ducentesima quadragesima. Quae quum ita se habeant, tres septimanae viginti diebus et sexta unius diei parte comprehendentur. Proinde si hunc in modum exacte rationem ineamus, trium septimanarum numerus paululum viginti dies excedet, atque his multo magis quam viginti et uni erit proprius. Jam sane ostendi secundum rerum veritatem et Hippocratis sententiam, nullam horum supputationem per dies integros fieri posse, hoc est absolute citraque divisionem, neque septimanam neque quaternarium neque mensem neque annum neque alium quemvis numerum.

Κεφ. ι΄. [505] Ὅστις δὲ τῇ τῶν λόγων ἀκριβείᾳ δυσχεραίνει, τοῦτον οὐδεὶς ἀναγκάζει μανθάνειν αὐτούς, ἀλλ' ἀρκεῖ τὸ πρῶτον αὐτῷ τῆσδε τῆς πραγματείας ὑπόμνημα. εἰ δὲ μὴ πάνυ τις ἀργὸς εἴη, προστιθέτω μὲν καὶ τὸ δεύτερον, ἀπεχέσθω δὲ τοῦ τρίτου. ἡμεῖς γὰρ ταῦτα καὶ αὐτοὶ γινώσκομεν, ὀλίγοις παντελῶς γεγραφότες, οὐδὲ τούτοις γε ἑκόντες. ἀλλ' ἴσασι γὰρ θεοὶ καὶ καλείσθωσαν μάρτυρες, ὅτι πολλὰ βιασθέντες ὑπό τινων ἑταίρων ἠναγκάσθημεν αὐτοῖς γράψαι ταῦτα.

Κεφ. ια΄. Μωροὶ τ' ἂν εἴημεν, εἰ δημόσιον ἄκουσμα νομίζοιμεν εἶναι λόγον τοιοῦτον. ὅτι γὰρ τοῖς πολλοῖς ἀκούειν ἥδιον ἀμήτορα μὲν τὴν μονάδα, τολμᾷν δὲ τὴν δυάδα καὶ καθ' ἕτερον τρόπον ἰδέαν μὲν τὴν μονάδα, τὴν δυάδα δὲ ὕλην ἄπειρον, εἶθ' ἑξῆς τὴν τριάδα πεπερασμένην ἁρμονίαν, ἢ τέλειον ἀριθμὸν καὶ α΄, ἢ στερεὸν, ἢ ἐπίπεδον. ὅ τι γὰρ ἂν αὐτοῖς δόξῃ λέγουσιν ἄλλοι ἄλλο, καὶ Ἀθηνᾶν γε τινὰ καλοῦσιν ἀριθμὸν, ἕτερον δ' Ἄρτεμιν, Ἀπόλλωνα δ' ἄλλον. ὥσπερ οὖν οὐκ

Cap. X. Qui jam difputationis hujus fubtilitati fuccenfet, ac difficilem eam exiftimat, hunc nemo ipfam addifcere cogit, verum primus hujus operis liber ei fufficit. Quod fi quis non admodum fegnis fuerit, fecundum quoque adjiciat, a tertio autem abftineat. Nos fiquidem haec paucis plane iisque invito fcripfiffe affirmanus. Vos o dii immortales noviftis, vos in teftimonium voco, haec me amicorum quorundam precibus vehementer adactum fcriptis mandaffe.

Cap. XI. Nam ftulti nimirum effemus, fi hujusmodi fermonem vulgo convenire arbitremur, quoniam illi unitatem matris expertem, dualitatem numerum inaudire fuavius eft, et alia ratione unitatem formam effe, dualitatem materiam infinitam, deinde trinitatem abfolutam harmoniam, vel perfectum numerum et primum aut folidum aut planum. Quicquid enim in mentem ipfis venit dicunt, alii aliud, et Minervam aliquem numerum appellant, alterum Dianam, alium Apollinem. Quemadmodum igitur

ἀγνοοῦμεν, οὕτως οὐδὲ λέγειν ὑπομένομεν, οὐδεμίαν ἐπιστημονικὴν ἀπόδειξιν ἐπάγειν τοῖς λόγοις αὐτῶν δυνάμενοι, καὶ τοῖς γε φίλοις ἐδείξαμεν ἔργῳ πολλάκις ὡς ταῖς τοιαύταις τις χρώμενος ψυχρολογίαις, εἴτ᾽ ἐπαινεῖν ὀντιναοῦν ἀριθμὸν, εἴτε καὶ ψέγειν βούλοιτο, πρόχειρον αὐτῷ. κινδυνεύουσι γὰρ εἰς τοσοῦτον ἥκειν ἠλιθιότητος οἱ τὰ τοιαῦτα ληροῦντες ὡς ἐπειδὰν ἢ περὶ τῆς ἑβδομάδος, ἢ περί τινος ἄλλου λέγωσιν, οὐκ ἀρκεῖσθαι μόνοις τοῖς τοιούτοις ψυχρεύμασιν, ὥστε Πλειάδες ἑπτὰ καὶ τῶν ἄρκτων ἑπτάστερος ἑκατέρα, καὶ γὰρ καὶ ὀνομάζουσιν οὕτως, ἀλλὰ καὶ τῶν ἑπταπύλων Θηβῶν μνημονεύουσι καὶ δηλονότι τῶν ἐπὶ Θήβαις ἑπτά. καίτοι τί πρὸς ἔπος, εἰ Πλειάδες ἑπτὰ, Δίωνα πλευριτικὸν γενόμενον ἑβδομαῖον κριθῆναι; καὶ γὰρ ἄλλοτε μὲν ἐνναταῖος, ἄλλοτε δὲ δεκαταῖος ἐκρίθη. τί δ᾽ ὅμοιον, εἰ ἑπτὰ Νείλου στόματα, Θέωνα περιπνευμονικὸν γενόμενον ἑβδομαῖον κριθῆναι; καὶ γὰρ ἄλλοτε μὲν τεταρταῖος, ἄλλοτε δὲ πεμπταῖος ἐκρίθη. ἀλλ᾽ ὥσπερ κἀν τοῖς ἄλλοις ἅπασι διττὴ τῶν φαύλων ἁπάντων ἐστὶν ἡ φύσις, ὑπερ-

hoc non ignoramus, ita dicere dedignamur, quum nullam demonstrationem scientificam hujusmodi placitis adducere queamus. Et amicis frequenter ipsa re ostendimus hujusmodi frigidis sermonibus utendi, sive quemvis numerum laudare, sive reprehendere voluerit, proclive esse. Nam periculum est ne eo stupiditatis veniant, vel de alio quovis dixerint, non contenti solis hujusmodi ineptiis, addant Plejades septem et utramque ursam septistellam, etenim sic nominant, imo et Thebarum septiportarum meminerunt. At quid ad rem propositam spectat, si Plejades septem sint, Dionem laterali morbo laborantem septimo die de morbo judicium sustinisse? etenim alias nono, alias decimo die crisim habuit. Quid autem similitudinis est, si septem Nili sint ostia, Theonem pulmonis vitio aegrotantem septimo die judicatum fuisse? nam aliquando quarto, interdum quinto, morbi judicium accepit. Verum ut in aliis omnibus duplex vitii cujusque ac pravitatis natura est, excessus et

βολή τε καὶ ἔλλειψις, οὕτω κἀνταῦθα. τινὲς μὲν ὅλως μισοῦσι καὶ τοὺς τἀληθῆ λέγειν ὑπὲρ ἑβδομάδος ἐπιχειροῦντας, ἐσχάτως ὄντες μισόλογοι τινὲς δὲ εἰς τοσαύτην ἐμπίπτουσι φλυαρίαν, ὡς καὶ τῶν μηδὲν προσηκόντων μνημονεύειν. ἑκατέρα, φασὶ, τῶν ἄρκτων ἀστέρων ἐστὶν ἑπτά. πρῶτον οὐκ ἀληθὲς, ἀλλὰ καὶ τοῦτ' ἐσχάτην αὐτῶν ἀμαθίαν κατηγορεῖ. κείσθω γοῦν ἀληθές. ἀλλ' οὔθ' ὁ Βοώτης οὔθ' ὁ δι' αὐτῶν τῶν ἄρκτων δράκων ἀστέρων ἐστὶν ἑπτά. κατὰ δὲ τὸν αὐτὸν τρόπον οὔθ' ὁ στεφανὸς οὔθ' ὁ ἐγγόνασις οὔθ' ὁ ὀφιοῦχος οὔτε καρκίνος, ἢ λέγω, οὔθ' ὅλως οὐδὲν τῶν ιβ' ζωδίων, ἐν οἷς οἱ πλανῆται φέρονται. καίτοι ὅτι τὰ τῇδε κοσμοῦσιν οἶδε καὶ διατάττουσιν, οὐ τοῖς ἀστρονόμοις μόνον, ἀλλὰ καὶ τοῖς ἀρίστοις ἅπασιν ὡμολόγηται φιλοσόφοις. [506] οὔτ' οὖν τοὺς φλυαροῦντας ἀποδέχεσθαι χρὴ, καὶ τοὺς ἀποδιδράσκοντας ἀεὶ τοιαύτην θεωρίαν μὴ προσαναγκάζειν.

Κεφ. ιβ'. Ἐμοὶ δ' οὖν αὐτὸ τὸ ἀληθὲς εἰς ὅσον ἀνθρώπῳ δυνατὸν εὑρῆσθαι νομίζω, γιγνωσκόμενον μέν που

defectus, ita hic quoque. Nonnulli eos qui veritatem de feptimana dicere conantur, prorfus adverfantur, quippe qui fermonem quemlibet fummo odio profequuntur. Nonnulli in tantam nugacitatem incidunt ut etiam ea quae ad rem nihil pertinent commemorent. Utrique, urfae, inquiunt, feptem ftellae funt. Primum fane verum non eft, fed hoc extremam eorum infcitiam coarguit. Efto jam verum, fed neque Bootes, neque qui per ipfas urfas tranfit draco feptem ftellas obtinet. Pari modo nec engonafis nec corona nec ophiuchus nec cancer vel leo, nec omnino ullum ex duodecim fignis, in quibus planetae feruntur, etfi illa terrena exornare atque etiam difponere non aftronomis modo, fed etiam philofophis clariffimis in confeffo habetur. Quamobrem nec recipiendi funt nugatores, nec cogendi, qui hujusmodi fpeculationem femper refugiunt.

Cap. XII. A me itaque veritatem ipfam quantum homini licet inventam effe puto, quam quidem et Hippo-

καὶ πρόσθεν Ἱπποκράτει, καθότι διὰ τῆς προγεγραμμένης ῥήσεως ἐνεδείξατο, ῥαθυμίᾳ δὲ τῇ τῶν πολλῶν σιωπηθέν. ἐγὼ δ' οὔτ' ἄλλο τι παρ' Ἱπποκράτους μάτην εὑρίσκω γεγραμμένον, οὔθ' ὅτι μηδὲν τούτων ὅλησιν ἡμέρησιν ἀτρεκέως ἀριθμεῖσθαι δύναται, καὶ λαβὼν ἀρχὴν ὁμολογουμένην οὐκ ἀστρονόμοις μόνον, ἢ φυσικοῖς φιλοσόφοις, ἀλλὰ καὶ γεωργοῖς καὶ ναύταις καὶ πᾶσιν ἀνθρώποις, ὡς ἡ σελήνη τὸν περίγειον ἐπιτροπεύει τόπον, οἷον ὕπαρχός τις οὖσα μεγάλου βασιλέως τοῦ ἡλίου, ταῖς ταύτης περιόδοις ἐπέδειξα τὰς κρινούσας ἡμέρας ἑπομένας· ἐπέδειξα δὲ καὶ τῶν παρεμπιπτουσῶν ἡμερῶν τὰς αἰτίας καὶ διὰ τί τὰς τρεῖς ἑβδομάδας οὐκ εἰς τὴν κα', ἀλλ' εἰς τὴν κ' μᾶλλον ὁ Ἱπποκράτης ἀξιοῖ περιάγεσθαι. τούτων δ' ἀποδεδειγμένων οὐδὲν ἔτι χαλεπὸν εὑρεῖν οὐδὲ διὰ τί τὴν μὲν πρώτην ἑβδομάδα τῆς δευτέρας διαζεύγνυσι, συνάπτει δὲ ταύτην τῇ τρίτῃ, οὔτε γὰρ τὴν δευτέραν τῇ πρώτῃ συνάπτειν εὔλογον ἦν, εἰς τὴν ιδ' ἀφικνουμένης τῆς κρίσεως, οὔτε τὴν τρίτην τῇ δευτέρᾳ διαζευ-

crates prius cognoverat, ficut et praefcriptis verbis indicavit, vulgare autem medicorum genus prae fegnitie eam fubticuit. Enimvero nec aliud quippiam ab Hippocrate fruftra fcriptum invenio nec illud, quod *ulla horum computatio totis diebus fieri nequit.* Atque principium non aftronomis tantum, vel naturalibus philofophis, fed agricolis quoque et nautis, hominibusque omnibus receptum affumi, lunam videlicet terreftrem plagam veluti hyparchum quendam magni regis folis gubernare. Hujusce circuitus dies decretorios fequi monftravimus, ad haec coincidentium dierum caufas indicavimus, item cur tres feptimanas ad vigefimum, non ad vigefimum primum, potius Hippocrates voluerit deducere. Caeterum his demonftrantis nullum adhuc negotium eft invenire quare primam feptimanam a fecunda feparet, hanc autem tertiae conjungat. Neque enim fecundam primae, crifi ad quartumdecimum diem perveniente, conjungere ratio poftulabat, neque tertiam a fecunda removere

γνῦναι τῆς κ' μᾶλλον ἢ τῆς κα' ἐκδεχομένης τὰς κρίσεις. ἐπεὶ δὲ τῶν ἑβδομάδων αὐτῶν αἱ δύο μόναι πρῶται διαζεύγνυνται, συνάπτεται δ' ἡ τρίτη, δῆλον ὡς καὶ τῶν τετράδων ἔνιαι μὲν ἐξ ἀνάγκης συναφθήσονται, διαζευχθήσονται δ' ἕτεραι. ἡ μὲν οὖν δευτέρα τετρὰς καὶ ἡ πρώτη συναφθήσονται, διότι μιᾶς ἑβδομάδος τῆς πρώτης διχῇ τμηθείσης ἑκατέρα μόριον ἐστιν. ἡ δὲ τρίτη τῆς δευτέρας διαζευχθήσεται, διότι καὶ ἡ ἑβδομὰς ἡ δευτέρα τῆς πρώτης διεζευγνυτο. συναφθήσεται δὲ ἡ τρίτη τῇ τετάρτῃ, διότι τῆς δευτέρας ἑβδομάδος ἑκατέρα μόριόν ἐστιν. αὕτη δ' οὖν πάλιν ἡ τετάρτη τῇ ε' συναφθήσεται διὰ τὴν τρίτην ἑβδομάδα συναφθεῖσαν τῇ δευτέρᾳ. συναφθήσεται δε καὶ ἡ στ' τετρὰς τῇ ε' κατὰ τὴν ιζ' ἡμέραν, ὡς ἂν τῆς τρίτης ἑβδομάδος ἑκατέρα μέρος ὑπάρχουσα.

Κεφ. ιγ'. Εἰς μὲν οὖν τὸ καλῶς διαιτῆσαι χρησιμώτατόν ἐστι προγνῶναι τὸν χρόνον τῆς κρίσεως. εἴτε δ' ὀξὺ χρὴ καλεῖν, εἴτε χρόνιον, εἴτ' ἄλλως πως ὀνομάζειν

quum vigefimus magis quam vigefimusprimus judicia excipiat. Quoniam vero inter feptimanas ipfas duae quidem primae feparantur, tertia vero copulatur, perfpicuum eft quaternarios quoque nonnullos neceffario conjungi alios, feparari. Itaque fecundus quaternarius et primus conjungentur, quod unius feptimanae primae bibariam divifae particula uterque fit, tertius a fecundo disjungetur, quoniam et feptimana fecunda a priore feparata eft. Tertius autem quarto copulabitur, quoniam fecundae feptimanae uterque particula eft. Hic itaque rurfum quartus propter tertiam feptimanam fecundae conjunctam quinto copulabitur. Adjungetur etiam fextus quaternarius quinto, in decimofeptimo die, tanquam tertiae feptimanae pars uterque exiftens.

Cap. XIII. Quapropter ad bonam victus rationem inftituendam utiliffimum eft judicii tempus praecognofcere, num vero acutum, vel diuturnum, vel alio modo morbum

τόδε τὸ νόσημα, τὸ κατὰ τὴν κ' ἡμέραν, εἰ οὕτως ἔτυχε, κριθησόμενον, οὐδὲν ὠφελεῖ τὸν κάμνοντα. δύναται γάρ τις, μηδὲν φθεγξάμενος, ἀλλὰ μηδὲ νοήσας ὅλως ὅ τι ποτὲ χρὴ καλεῖν αὐτὸ, καλῶς διαιτῆσαι τὸν νοσοῦντα, μηδέν γε τῶν ἄλλων παραλιπὼν ἃ πρὸς τοῦτο διαφέρει. τὸ μὲν ἀληθὲς ἅμα καὶ χρήσιμον εἴρηταί μοι, τὸ δὲ τοῦ σοφιστικοῦ λήρου περαινέσθω, μετὰ ταῦτα δεικνύντων ἡμῶν κἀνταῦθα, πόσον ἀγνοοῦσι τοῦ προσήκοντος οἱ πλεῖστοι τῶν ἰατρῶν. οἴονται γὰρ ὀξὺ μὲν καλεῖσθαι [507] νόσημα τὸ ταχέως κρινόμενον, ἐναντίον δ' ὑπάρχειν αὐτοῦ τὸ χρόνιον. ἔχει δ' οὐχ οὕτω τἀληθὲς, ἀλλ' ἔστι γάρ τι νόσημα βραχυχρόνιον μὲν, οὐ πάντως δ' ὀξύ. καὶ τούτῳ μὲν ἐναντίον ἐστὶ τὸ χρόνιον, ἢ πολυχρόνιον, ἢ ὅπως ἄν τις ἑτέρως ἐθέλῃ καλεῖν αὐτό. τῷ δ' ὀξεῖ φύσις ἑτέρα νοσήματος ἀντίκειται, οὐδὲν ἴδιον ὄνομα κεκτημένη. καὶ τοῦτ' εἰκότως ἐγένετο· τοῦ γὰρ ὀξέως νοσήματος, ὡς ὁ μὲν Ἀρχιγένης ὑπεγράφετο, τοῦ διὰ συντόμως κινδυνώδους· ὡς δ' Ἱπποκρά-

nominare conveniat, qui vigesimo die verbi gratia judicandus est, id nihil aegro praesidii affert; potest enim quispiam ne locutus quidem, imo qui nec prorsus cogitaverit, quinam ipse vocandus sit, probam victus legem aegro instituere, modo nihil ex aliis praeterierit, quae huc conferre videntur. Jam sane veritatem simul et utilitatem exposui; sophisticarum autem nugarum finis jam esto, post haec ostendentibus nobis hoc in loco quantum plerique medici ea quae conveniant ignorent. Putant enim acutum vocari morbum qui celeriter judicatur, contrarium hujus diuturnum. At veritas non ita habet: est siquidem morbus quidem brevi tempore durans, non tamen omnino acutus. Huic contrarius est morbus diuturnus, vel multo tempore durans, vel quomodocunque aliter quis vocare ipsum malit; acuto, alia morbi natura nullum proprium nomen sortita, opposita est, idque merito evenit; nam acuti morbi, qui, ut Archigenes quidem describebat, cum velocitate est periculosus, ut Hip-

της ἔλεγε, τοῦ μετὰ πυρετοῦ συνεχοῦς γιγνομένου, συμβεβηκὸς ἐξ ἀνάγκης ἔσται τὸ ταχέως κρίνεσθαι. κατὰ μὲν γὰρ τὸ τῆς κινήσεως εἶδος ὀξὺ προσηγόρευται, παύσασθαι δ' ἀναγκαῖον αὐτὸ διὰ ταχέων, ὡς ἂν ἐπειγομένῳ πρὸς τὴν οἰκείαν τελευτήν. αὐτὸ γὰρ τοῦτ' ἔστι τὸ ταχέως κινεῖσθαι, τὸ συῤῥεῖν ἐπὶ τὸ πέρας. ἔσται δὴ πάντως βραχυχρόνιον μὲν κατ' ἄλλο μέν τι καὶ ἄλλο τῶν ἐν αὐτῷ, τό τ' ὀξὺ καὶ τὸ βραχυχρόνιον εἰρήσεται. διὰ μὲν γὰρ τὸ τῆς κινήσεως ἠπειγμένον ὀξὺ, διότι δ' οὐχ οἷόν τε χρονίζειν αὐτῷ ταχέως κινουμένῳ, βραχυχρόνιον ὀνομασθήσεται. φύσις δ' ἄλλη νοσήματος αὐτῷ παράκειται βραχυχρονίου. πολλοὶ γὰρ τῶν ἐφημέρων πυρετῶν διά τινα ψύξιν, ἢ ἔγκαυσιν ἐπιπόλαιον, ἢ κάματον βραχὺν, ἢ ἀγρυπνίαν, ἢ λύπην, ἢ μέθην, ἢ θυμὸν, ἤ τι τοιοῦτον, ἐγένοντο μικροί τε ἅμα καὶ βραχεῖς καὶ τελέως ἀκίνδυνοι, καὶ τούτους οὐδεὶς οὔτε ἰδιώτης οὔτε ἰατρὸς ὀξὺ νόσημα καλεῖν εἴθισται. τὸ μὲν οὖν ὀξὺ τοῦ βραχυχρονίου σαφῶς ἐν αὐτοῖς τούτοις διακέκριται, τὸ δὲ βραδὺ τῷ πολυχρο-

pocrates autem, cum febre continua evenit; accidens necessario erit ut celeriter judicetur, etenim ex motus specie acutus nuncupatur, Quiescere autem celeriter ipsi est necesse, ut qui ad proprium finem properet nam idem est celeriter moveri ac ad terminum confluere. Erit jam omnino brevis temporis, alia tamen atque alia ratione et acutus et brevis temporis dicetur; nam propter motus celeritatem acutus, quod vero diu morari is qui celeriter movetur non potest, brevis temporis appellabitur. At ei adest alia morbi natura, multae siquidem febres diariae ex frigore quodam, vel adustione partium exteriorum, vel labore brevi, vel vigilia, vel tristitia, vel ebrietate, vel ira, vel id genus similibus, proveniunt, parvae simul et breves et periculis prorsus vacuae, atque nemo has vel idiota, vel medicus acutum morbum vocare consuevit. Itaque acutus a brevi morbo his signis manifeste distinctus est, tardus autem cum diuturno

Ed. Chart. VIII. [507.] Ed. Bas. III. (450.)

νίῳ συνεχύθη, καίτοί γ' οὐ τὴν αὐτὴν ἔχον ἔννοιαν, εἴ γε τὸ μὲν ὀξὺ τῷ βραδεῖ, τὸ δ' ὀλιγοχρόνιον τῷ πολυχρονίῳ κατ' ἀντίθεσιν εἴρηται. πᾶν μὲν οὖν ὀξὺ πάντως ὀλιγοχρόνιον, καὶ πᾶν χρόνιον ἐξ ἀνάγκης βραχὺ, οὐ μὴν οὔτ' εἰ βραχυχρόνιον, ὀξὺ πάντως, οὐδ' εἰ βραδὺ, πολυχρόνιον. ἐξ οὖν τῆς τοιαύτης ὑπαλλάξεως, οὐ πάνυ τι σαφοῦς ὑπαρχούσης τοῖς πλείστοις τῶν ἰατρῶν, οὐ μόνον αἱ προσηγορίαι συνεχύθησαν, ἀλλὰ καὶ τῶν πραγμάτων αὐτῶν αἱ διαγνώσεις.

confusus est, quanquam non eandem notionem obtinet, siquidem acutus tardo, exigui temporis, diuturno oppositus est. Omnis ergo acutus plane exigui temporis morbus est et omnis diuturnus necessario tardus, non tamen si brevis temporis, acutus statim est, neque si tardus, longi temporis. Proinde ex tali immutatione non admodum manifesta compluribus medicis, non appellationes tantum, sed rerum quoque ipsarum dignotiones confusae fuerunt.

LIPSIAE

LITERIS GUILIELMI HAACK.